Bayerische StaatsBibliothek
Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Zachariae von Lingenthal, Karl Eduard, 1812-1894

Jus Graeco-Romanum

Bd.: 5

Lipsiae 1869

J.rom.f. 154 nc-5
urn:nbn:de:bvb:12-bsb10566411-4

J. rom. F. 154 nc

Zachariae

<36620557900014
<36620557900014
Bayer. Staatsbibliothek

BAYERISCHE
STAATS-
BIBLIOTHEK
MUENCHEN

464 D

JUS GRAECO-ROMANUM.

PARS V.

SYNOPSIS BASILICORUM.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

TYPIS J. B. HIRSCHFELD.

MDCCCLXIX.

SYNOPSIS BASILICORUM.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

TYPIS J. B. HIRSCHFELD.

MDCCCLXIX.

BIBLIOTHECA
REGIA
MONACENSIS.

BAYERISCHE
STAATS-
BIBLIOTHEK
MUENCHEN

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

PROLEGOMENA.

§. 1. Indoles operis.

Synopsis Basilicorum major, quam ita vocant ut a Synopsi minori i. e. τῷ μικρῷ κατὰ στοιχεῖον distinguatur, in Codicibus MSS. titulum habet: Ἐκλογὴ καὶ σύνοψις τῶν βασιλικῶν ἑξήκοντα βιβλίων σὺν παραπομπαῖς κατὰ στοιχεῖον.

Is titulus indoli operis apprime convenit. Praestat enim ex omnibus deinceps Basilicorum libris*) delectum locorum graviorum, qui vel textualiter vel in brevius contracti (praecedente ὅτι κτλ.) exhibentur. Distributi sunt in titulos 348; primus est περὶ τῆς ὀρθοδόξου πίστεως honorifice praepositus; reliqui 347 digesti sunt secundum alphabeti literas. Rubricae titulorum ab auctore ipso compositae sunt, ita tamen ut fere titulorum inscriptiones, quales in Basilicis extant, ob oculos habuerit.

Quod παραπομπαὶ additae esse dicuntur, id quid significet non satis in aprico est. Videntur indicari tum relegationes ad capita Basilicorum in delectum nec verbo nec argumento tenus recepta, quales paene in omnibus titulis obviam fiunt, tum σημειώσεις marginales, maxime Novellarum Justiniani allegationes, quas nos inter scholia edidimus.

---

*) Auctor textum tantum, non scholia Basilicorum praestat. Quod litera Χ. 2, 19 scholium exhiberi videtur, id potius vitio Codicis MS. et editionum Basilicorum tribuerim.

§. 2. Codices MSS.

Synopsis Basilicorum in quam plurimis Codicibus MSS. nobis servata est. Nimirum extant

1. Berolini in bibliotheca regia Codex numero accessorio 6743 signatus, membran. saec. XI, foliis 22 particulas literarum *Γ, Δ, Ε, Ζ, Λ, Μ, Ν, Τ, Υ* cum scholiis recentioribus praestans.

2—5. Florentiae in bibl. Laurentiana quatuor: Plut. IV Cod. 10 (membr. saec. XII), Plut. LXXX Cod. 8 (membr. saec. XIII) et Cod. 10 (bombyc. saec. XIV) et Cod. 20 (chart. saec. XIV).

6. 7. Lipsiae in bibl. Universitatis duo: Codex miscellaneus (olim Meerman. 175, deinde F. A. Bieneri), cujus folia 6 ultima ad Synopsin pertinentia olim partem Codicis Bodlej. 173 effecisse videntur: et Codex chartac. exaratus Venetiae 1541, olim collegii Claromontani societatis Jesu Paris., deinde Meerman. 169, denique F. A. Bieneri, ex cujus legato in bibliothecam Universitatis pervenit.

8. 9. Londini duo: Codex appendicem Synopseos continens (Bernard Catal. Angliae II p. 84) in bibliotheca societatis regiae (Somersethouse) quaerendus: et in bibliotheca Musei Britannici Egertonianus 265, chart. saec. XV, similiter appendicem Synopseos continens.

10. Lugduni Batavorum in bibl. publica Codex chartac. recens, olim Isaaci Vossii (Uffenbach Merkwürd. Reisen. Ulm 1754. tom. III p. 428).

11. Oxonii in bibl. Bodlejana Codex 173 (Barocc. 173), membran. saec. XI.

12—21. Parisiis in bibl. publica imperiali decem: scilicet inter graecos Cod. 4 (rescriptus), 1346 (membr. saec. XI), 1347 (chart. saec. XVI), 1351 (chart. saec. XV) Labbaeo usurpatus, 1355 (chart. saec. XIV — Harmenopuli hexabiblos ex Synopsi aucta et appendix Synopseos tantum non integra), 1357. A (membr. saec. XI), 1385. A (chart. anni 1431 — fol. 120 — 357 praestat excerptorum ex Synopsi seriem quadripertitam), 1388 (chart. saec. XV — fol. 323—384 habetur appendix Synopseos, fol. 384—397 delectus ex Synopsi ejusque scholiis), 1391 (chart. saec. XIV — fol. 121 sqq.

et fol. 213 sqq. exhibent excerpta ex literis *Z, H, Θ, I, K, N, Ξ, O, M* et *N*), 2005 (chart. anni 1447).

22—30. Romae in bibl. Vaticana novem: scilicet Vat. 852. 854. 855. Palatin. 8. 13 (exaratus a. 1167) et 249, Ottobon. 15. 64. 243.

31—34. In Scorialensi bibl. quatuor: IV—*Ω*—19 (membr. saec. XI), III—*X*—7 (membr. saec. XII) *), III—*X*—8 (chart.), I—*T*—17 (membr. saec. XIII).

35. Taurini in bibl. regia Codex gr. 81 membran. saec. XI.

36—42. Venetiae in bibl. Marciana septem: Cod. 173 (membr. de anno 1092), 174 (membr. saec. XIII), 175, 176, 177 (saec. XII) et Append. III, 30. XI, 30.

43—45. Vindobonae in bibl. Caesarea tres: scilicet Cod. jurid. gr. 1 (membr. saec. XI), 2 (chart. saec. XIV), et supplementi no. 47 et 48.

Praeterea innotuerunt

46. Codex Sambuci, Tarenti repertus, quo usus est Leunclavius.

47. Codex Petri Pithoei, ab eodem collatus.

48. Codex Petavianus, a Fabroto adhibitus.

49. Codices Mediolanenses, quos in Ambrosiana extare auctor est Montefalconius.

50. Codex Arundelianus, laudatus a Seldenio in libro: Uxor hebraica. Francof. 1673 p. 78.

Qui quidem Codices 46—50 interne supra recensitos lateant an deperditi sint, mihi quidem non constat.

§. 3. Codicum MSS. classes variae.

Synopsis ipsa in Codicibus modo recensitis unius ejusdemque formae est. Reperitur quidem varietas lectionum: nonnunquam verba quaedam, imo integra capita a librariis modo omissa modo addita vel transposita, et παραπομπαὶ auctoris aliquando neglectae sunt. In universum tamen ea est textus conformatio in omnibus, ut, quod

*) Hos Haenelius Valdoleti reperit emtosque Lipsiam attulit, mox autem quum e Scorialensi bibliotheca fraude sublatos cognovisset, huic bibliothecae restituit. Hinc factum, ut Codices isti tamquam Haeneliani aliquamdiu innotuerint. — Etiam A. Augustini Codices 181 et 182 inter Scorialenses istos quaerendi sunt.

olim suspicatus eram*), duas vel tres ejus recensiones a se invicem distinguendas esse, id jam nolim existimare.

Diversa est ratio appendicis, quae fere Synopsi in Codicibus MSS. accedit. Ea quum potissimum Novellas recentiorum imperatorum constitutiones praestet, minime eadem est in variis Codicibus, sed triplici forma exhibetur, prout Novellas istas epitomatas aut integras, et saeculi tantum decimi vel etiam seriorum temporum Novellas complectitur.

Hinc in tres classes Codices MSS. commode possunt distribui, ut Wittius accurate demonstravit**). Diligentiore tamen expositione earum classium hoc loco non est opus: Synopseos enim, non appendicum editio paratur.

§. 4. **Historia Synopseos.**

In vetustissimis Codicibus MSS., veluti Paris. gr. 1346, 1357A, Bodlej. 173, Palat. 13, Vind. jur. gr. 1, Synopsi appendix adjecta reperitur, quae duabus partibus probe a se invicem distinguendis constat.

Utriusque partis origo atque indoles diversa est, utraque tamen saeculo X exeunti debetur.

Prima pars inprimis continet collectionem legum Novellarum et sententiarum judicialium ad res agrarias spectantium et inter annos 922 et 964 latarum. Secunda pars paene omnium Novellarum inter annos 886 et 969 publicatarum epitomas ordine dispositas praestat; ut quae in prima parte obviam fiunt *νεαραὶ*, eaedem fere in secunda inter alias epitomatae reperiantur.

Prima pars inter annos 964 et 967 collecta esse videtur: habet enim Novellam Nicephori de monasteriis anno 964 editam (Coll. III Nov. 19), reliquas ejusdem imperatoris Novellas anno 967 editas (Coll. III Nov. 20—22), licet ad rem agrariam pertinentes, non item.

Secunda pars sub finem imperii Nicephori inter annos 967—988 compilata est. Continet enim epitomas Novellarum anno 987 a Nicephoro promulgatarum, posterioris temporis Novellas nullas habet. Imo Novellam Nicephori de monasteriis exhibet, licet lege Basilii anno

---

*) Cf. *Αἱ ῥοπαὶ* p. 33 sqq.

**) Wittius in Zeitschr. f. gesch. RW. VIII p. 164 sqq. ' Bienerus ibid. p. 264 sqq. *Αἱ ῥοπαί* l. l. Delineatio hist. JGR. §. 39. Mortreuil hist. du droit Byz. II p. 435 sqq. III p. 298 sqq.

988 edita (Coll. III Nov. 26) abrogata fuerit. Denique celeberrima Basilii Novella anno 996 edita (Coll. III Nov. 29) in hac parte desideratur, et in nonnullis tantum Codicibus MSS. corollarii loco a recentioribus librariis adjecta est*).

Secundam partem ab ipso Synopseos auctore compilatam et Synopsi adjectam esse, Wittio placuit, eique Bienerus, Mortrelius et ego olim accessimus. Nunc equidem assentiri nolim. Neque enim satis commode explicatur, quomodo prima pars postmodum intercalata sit: et in calce Novellae Constantini de homicidis (Coll. III Nov. 11) auctor secundae partis addit „τὴν δὲ διαφορὰν τῶν ἄλλως προβαινόντων φόνων ἐν τῷ ξ' βιβλίῳ ἐφευρήσεις", qui si ad Synopsin haec composuisset, profecto scripturus erat: ἐν τῷ Φ στοιχείῳ ἐφευρήσεις.

Jam vero si alius fuit Synopseos auctor, alii appendicum illarum auctores, ex aetate, qua appendices sive collectiones Novellarum istae compilatae sunt, de aetate Synopseos ipsius certi quicquam colligi non potest. Sed profecto eo tempore quo prima et secunda pars veteris appendicis in manibus studiosorum versabatur, Synopsin aeque in usu fuisse patet. Proinde Synopsin saeculo decimo medio confectam esse admodum est probabile. Auctor Synopseos quis fuerit, in obscuro est. Nugae enim sunt, quod nonnulli de Basilio, Leone et Constantino vel de Romano Lacapeno, alii de Cosma magistro vel de Josepho Tenedio**) cogitarunt.

Synopsis apud Graecos maximam auctoritatem nacta est. Testis est numerus Codicum MSS. vel hodie superstitum, numerusque auctorum et librorum, veluti τοῦ μικροῦ κατὰ στοιχεῖον, Prochiri aucti, Hexabibli a Const. Harmenopulo confectae, in quibus componendis magnus fuit Synopseos usus. Denique per Synopsin utpote librum comparatu faciliorem et ad usum quotidianum paratiorem effectum esse videtur, ut Basilica ipsa in dies magis ne rentur eorumque exemplaria magis magisque rarescerent.

---

*) Vestigium aetatis, qua auctor hujus partis vixerit, aliquando latere putavi in verbis initialibus Epitomae Nov. Constantini de potentibus praedia pauperum acquirentibus (Coll. III Nov. 6): „ἀπὸ τῆς παρελθούσης ιε' ἰνδ." Sed cf. Novv. a me editas p. 245 not. 28 et p. 253 not. 8 et p. 254 not. 11.

**) Antonius Augustinus libris usus est ex bibliotheca τοῦ πανιερωτάτου μητροπολίτου τενέδου καὶ ὑπερτίμου ἰωσήφ, quorum pars vel hodie in bibliotheca Scorialensi superest. Itaque Josephi Tenedii nomen possessorem non auctorem horum librorum designat.

§. 5. Historia literaria.

In Occidente Synopsis Augustino et Cujacio primis innotuit. Mox Thomas Freigius Synopseos versionem latinam tentavit. Cujus interpretationem manuscriptam nactus Jo. Leunclajus Synopsin graece et latine primus edidit hoc titulo:

LX librorum Βασιλικῶν i. e. universi juris Romani auctoritate principum Rom. Graecam in linguam traducti, Ecloga sive Synopsis hactenus desiderata, nunc edita per Joan. Leunclajum ex Joan. Sambuci V. C. bibliotheca. Item Novellarum antehac non publicatarum liber. Adjunctae sunt Adnotationes) interpretis, quibus multae leges multaque loca juris civilis restituuntur et emendantur. Basileae per Eusebium Episcopium et Nicolai Fr. heredes. MDLXXV.*

Leunclajus tamen literarum ordinem ab auctore observatum deseruit, et seriem librorum, titulorum et capitum, qualis in Basilicis fuisset, restituere conatus est. Proinde Synopsin disjectis membris ita foede tractavit, ut eam deformasse potius quam edidisse sit dicendus.

Anno 1606 Parisiis apud Adrianum Beys via Jacobaea prodierunt

Caroli Labbaei Observationes et Emendationes in Synopsin Basilicῶν. In quibus multa loca restituuntur, plurimae lacunae replentur, quaedam capita nunc primum in lucem proferuntur: quaedam etiam leges Digestorum et Codicis rationibus illustrantur et interpretantur . . . Ex MSS. codd. Biblioth. Reg.

Ad crisin et restitutionem librorum juris Justinianei Synopsis multum profuit interpretibus. Imprimis Pacius in editione Codicis anno 1580 publicata ex Synopsi nostra sive Ecloga multa hausit, eumque Dionysius Gothofredus in editionibus Corporis Juris sequutus est.

Denique Synopsis in restituendis libris Basilicorum deperditis summae utilitatis fuit, et hactenus ab editoribus Basilicorum Fabroto et Heimbachio diligenter tractata.

§. 6. Editionis ratio.

Quum post Leunclajum Synopseos genuinae utpote libri apud Graecos celebratissimi editio in usum studiosorum juris Graeco-Romani paranda esse videretur, pro fundamento sumsi Codicem Lip-

---

*) Has adnotationes sub incudem revocatas denuo edidit Leunclavius lib. II Notatorum, quae Paratitlis ab ipso a. 1593 editis accedunt.

siensem supra numero 7 relatum, qui licet recenter admodum scriptus sit, tamen optimae notae est et ex prototypo antiquo haustus. Hunc cum editione Leunclaji et Labbaei Observationibus contuli, uncis includens ea, quae ex his subsidiis ad textum Codicis Lipsiensis supplendum addenda esse viderentur.

Initio posui titulorum indicem. Is in Codicibus MSS. modo praecedit Synopsin, modo in fine adjectus est, in nonnullis plane deest: atque etiam in ipso titulorum recensu Codices multum a se invicem discrepant, ut *τὸν πίνακα* potius librariis, quam auctori Synopseos tribuerim. Videbatur tamen praeponendus esse, ut argumentum operis quasi uno conspectu ob oculos poneretur.

Singula capita cujusvis tituli continuis numeris distinxi, quo facilior esset eorum allegatio. In numeris librorum et titulorum Basilicorum laudatis nonnumquam critica emendatione opus fuit. In numeris autem, quibus auctor singula capita alicujus libri et tituli Basilicorum designat, nihil prorsus mutavi: videtur enim exemplari Basilicorum usus esse quantum ad numeros capitum pertinet satis corrupto.

Codices MSS. passim breves rubricas marginales ad varia singulorum titulorum capita praestant, quo eorum argumentum indicetur, veluti *A*. 18, 5: *περὶ τοῦ κόττῳ πραθῆναι οἶνον καὶ μὴ ὑπὸ γεῦσιν*, *A*. 24, 5: *τί ἐστι δημοτικὴ ἀγωγή;* et id genus alia. Has ut typothetae parcerem eo lubentius omisi, quo minus auctore Synopseos dignae esse viderentur*).

Denique scholia addidi. Eorum nonnulla auctori Synopseos ipsi debentur, et in omnibus paene Codicibus similiter adscripta reperiuntur, inprimis illa, quae vel ad alios titulos Synopseos vel ad Novellas Justiniani lectorem ablegant. Reliqua scholia a studiosis ubi videretur adscripta et deinceps a recentioribus librariis descripta sunt. Proinde varia sunt in variis Codicibus nec unquam in formam ordinariae glossae redacta. Editio nostra ea repraesentat, quae vel Lipsiensis Codex praestat vel Leunclavius ex Sambuci Codice et Labbaeus ex Codicibus Parisiensibus ediderunt: accedunt nonnulla, quae ex Parisiensibus et Vindobonensibus Synopseos Codicibus enotaveram.

*) Cf. *K*. 2. not. 2.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

SYNOPSIS BASILICORUM.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

Πίναξ ἀκριβὴς τῶν βασιλικῶν ξ' βιβλίων κατὰ στοιχεῖον.

Α.

I. Περὶ ἀγγαρειῶν καὶ παραγγαρειῶν, καὶ τίνες καὶ πότε ἀγγαρεύονται ἢ οὐκ ἀγγαρεύονται.
II. Περὶ ἀγνοίας νόμου ἢ φάκτου, καὶ τίνες βοηθοῦνται ἐξ αὐτῶν καὶ τίνες οὐ βοηθοῦνται.
III. Περὶ ἀγορασίας καὶ πράσεως καὶ τῶν περὶ αὐτῶν συναλλαγμάτων τε καὶ συμφώνων, καὶ ποῖα πράγματα οὐ δύνανται πιπράσκεσθαι ἤτοι κεκώλυνται, καὶ περὶ διαφορᾶς πράσεως καὶ μισθώσεως, καὶ τίνες κωλύονται πωλεῖν ἢ ἀγοράζειν.
IV. Περὶ ἀγορασίας καὶ πράσεως ἐπὶ ὅρῳ γενομένης, ὡς ἵνα γενομένου ὑπερθεματισμοῦ ἤτοι ἐπαυξήσεως τοῦ τιμήματος εἴσω τοῦ συνδόξαντος ἐν τῷ συμφώνῳ τῆς πράσεως ὅρου ἀναλύηται ἡ πρᾶσις.
V. Περὶ ἀγορασίας καὶ πράσεως ἐπὶ ὅρῳ γενομένης, ἵνα, εἰ μὴ ἐντὸς τῆς ὡρισμένης προθεσμίας καταβληθείη τὸ τίμημα, ἀναλύηται.
VI. Περὶ ἀγωγῆς ἢ κληρονομίας ἢ γραμματείου ἀγορασθέντος.
VII. Περὶ ἀναλυομένης ἀγορασίας καὶ πράσεως.
VIII. Περὶ κινδύνου καὶ ὠφελείας τοῦ ἀγοραστοῦ, καὶ περὶ καταβολῆς τοῦ τιμήματος, καὶ πότε δύναται ὁ πράτης παρακατέχειν τὸ τίμημα.
IX. Περὶ τῶν ἐπὶ συμφώνῳ ἀγορασθέντων δούλων, τοῦ μὴ διάγειν τυχὸν ἔν τινι τόπῳ ἢ ἐπὶ τῷ ἐλευθερωθῆναι ἢ μὴ ἐλευθερωθῆναι, καὶ περὶ χειρὸς ἐπιβολῆς.
X. Περὶ τῆς κινουμένης ἀγωγῆς ἐπὶ ἀγορασίας καὶ πράσεως, ἐάν τι παρὰ τὰ συμφωνηθέντα γένηται, καὶ ἐὰν τὸ πραθὲν ἀνδράποδον ἢ ἕτερον ζῶον ἢ ξύλον ὑπαίτιόν ἐστιν, ἢ ἐὰν ψεύσηται περὶ τὸ μέτρον ἢ τὴν ποιότητα τοῦ πραθέντος, καὶ τίνα τῷ οἴκῳ ἢ τῷ ἀγρῷ ἕπονται.
XI. Περὶ ἀγορασίας καὶ πράσεως ὑπὸ διατίμησιν γινομένης.
XII. Περὶ ἀναλύσεως πράσεως, καὶ ἐκ ποίων παθῶν καὶ αἰτιῶν ἀναστρέφεται τὸ πραθὲν ἀνδράποδον ἢ ἕτερον ζῶον, ἢ μειοῦται ἡ τούτου τιμή. καὶ ὅτι ἡ μὲν τὸ πραθὲν ἀναστρέφουσα ἀγωγὴ εἴσω ἓξ μηνῶν κινεῖται, ἡ δὲ μειοῦσα τὸ τίμημα ἐντὸς ἐνιαυτοῦ. καὶ ὅτι δι' ὑπερθεματισμοῦ ἀναλύεται ἡ πρᾶσις. καὶ ὅτι περὶ νόσου προφανοῦς ὁ πράτης οὐκ εὐθύνεται.
XIII. Περὶ ἀγορασθέντος πράγματος καὶ ἐκνικηθέντος, εἴτε ἀγροῦ

εἴτε δούλου, εἴτε ἀνευθύνου εἴτε ὑπευθύνου. καὶ πότε εἰς τὸ διπλοῦν ὁ πράτης ἐνέχεται.
XIV. Περὶ ἀγορασθέντος πράγματος καὶ παραδοθέντος τῷ ἀγοραστῇ, καὶ περὶ τῆς τούτων παραγραφῆς, καὶ περὶ ἐνταλθέντων πραθῆναι.
XV. Περὶ τῶν ὑπὸ τοῦ δημοσίου πραθέντων διὰ δημόσιον χρέος, ὅτι οὐκ ἀνατρέπεται ἡ τοιαύτη πρᾶσις.
XVI. Περὶ πραθέντος ἀγροῦ ἄνευ τέλους.
XVII. Περὶ τῶν ἀλλοτρίῳ ὀνόματι ἀγορασθέντων, ἢ ἀλλοτρίοις χρήμασιν, ὡς ὅταν ἀγορασθῇ τι ὀνόματι γυναικὸς, τοῦ ἀνδρὸς τὸ τίμημα δεδωκότος.
XVIII. Περὶ ἀγορασίας καὶ πράσεως οἴνου.
XIX. Περὶ ἀγορασίας καὶ πράσεως εἰκονικῆς.
XX. Περὶ πραθέντος εἰς δύο πρόσωπα ἀγροῦ.
XXI. Περὶ ἀγοράσαντος παρὰ μὴ δεσπότου, αὐτοῦ τοῦ δεσπότου παραγγέλλοντος μὴ ἀγοράσαι, καὶ περὶ λοιπῶν ἀγοραστῶν.
XXII. Περὶ ἀγρῶν τῶν ἀναληφθέντων ἀπὸ τῶν πολεμίων.
XXIII. Περὶ ἀγρῶν λιμητανέων καὶ λιμητοτρόφων καὶ ἐμφυτευτικαρίων.
XXIV. Περὶ ἀγωγῶν ἐκ διαφόρων αἰτιῶν συνισταμένων.
XXV. Περὶ ἀγωγῆς ἀφαιρέσεως πραγμάτων.
XXVI. Περὶ ἀγωγῆς τῆς τὰ ἴδια ἐκδικούσης.
XXVII. Περὶ ἀγωγοῦ δημοσίου.
XXVIII. Περὶ ἀδελφοποιΐας.
XXIX. Περὶ ἀδιαθέτων.
XXX. Περὶ τῶν ἀθεμίτως συναπτομένων ἐπὶ μοιχείᾳ ἢ πορνείᾳ ἢ γάμῳ.
XXXI. Περὶ ἀθωώσεως, ἤτοι ἐλευθερίας χρέους καὶ ἀποχῆς δι' ἀμοιβαίας ἐπερωτήσεως γενομένης, καὶ τί διαφέρει ἀθώωσις ἀποχῆς, καὶ τίνες δύνανται ποιεῖν ἀθώωσιν ἢ ἀποχήν.
XXXII. Περὶ αἱμομικτῶν.
XXXIII. Περὶ αἱρετικῶν.
XXXIV. Περὶ αἰτήσεων βασιλεῖ προσφερομένων, καὶ περὶ τῶν αἰτούντων ἄρχειν ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ.
XXXV. Περὶ αἰχμαλώτων δούλων τε καὶ ἐλευθέρων, καὶ περὶ ὑποστροφῆς αὐτῶν, καὶ περὶ παίδων, καὶ δικαίου.
XXXVI. Περὶ ἁλιέων καὶ ἁλείας.
XXXVII. Περὶ ἀλληλοκληρονομίας.
XXXVIII. Περὶ ἀμφιβόλων καὶ ἀσαφῶν ῥημάτων τε καὶ συμφώνων καὶ ἐπερωτήσεων καὶ ἀγωγῶν.
XXXIX. Περὶ ἀναργυρίας.
XL. Περὶ ἀναρχίας.
XLI. Περὶ ἀναφωνούντων εἰς ἐλευθερίαν εἴτε εἰς εὐγένειαν.
XLII. Περὶ τῶν ἀναγκαζομένων μαρτυρεῖν, ἢ προφέρειν δικαιώματα ἢ καὶ ἐκδιδόναι, εἴτε καθ' ἑαυτῶν εἴτε κατά τινων. καὶ τίνες οὐκ ἀναγκάζονται μαρτυρεῖν ἢ προφέρειν δικαιώματα ἢ ἐκδιδόναι τοὺς λογισμούς. καὶ ὅτι οὐδεὶς ἀναγκάζεται χρηματικὴν ἢ ἐγκληματικὴν δίκην κινεῖν.

XLIII. *Περὶ ἀναγραφέων ἤτοι λογοθετῶν τῶν ἐν τοῖς θέμασιν ἀποστελλομένων, καὶ τὰ τῷ δημοσίῳ ἀνήκοντα ἀπὸ παντοίας ὑποθέσεως ἀπαργυριζόντων καὶ ἀναψηλαφώντων καὶ εἰσπραττομένων. καὶ ὅτι ἐν ἑκάστῃ λίτρᾳ τῶν ἀπαιτουμένων παρ᾽ αὐτῶν νομίσματα ἓξ λαμβάνουσιν.*

XLIV. *Περὶ ἀνδραποδιστῶν.*

XLV. *Περὶ ἀνήβων, καὶ ποῦ ἀνάγεσθαι καὶ διαιτᾶσθαι ὀφείλουσι, καὶ περὶ δαπανημάτων αὐτῶν.*

XLVI. *Περὶ ἀνθρώπων ἐλευθέρων τε καὶ δούλων καὶ εὐγενῶν καὶ ἀπελευθέρων, καὶ περὶ καταστάσεως καὶ ποιότητος καὶ διαιρέσεως αὐτῶν, καὶ ἐναλλαγῆς τῆς τούτων καταστάσεως.*

XLVII. *Περὶ ἀννόνων διδομένων τῇ τε κωνσταντινουπόλει καὶ τοῖς σχολαρίοις.*

XLVIII. *Περὶ ἀνταλλαγῆς, καὶ τί διαφέρει ἀνταλλαγὴ πράσεως.*

XLIX. *Περὶ ἀνταγοραστοῦ.*

L. *Περὶ ἀντιφωνητῶν.*

LI. *Περὶ ἀπαργυρισμοῦ.*

LII. *Περὶ ἀπελατῶν.*

LIII. *Περὶ ἀπαιτήσεως τῶν ἀπὸ καταδίκης ἤτοι ἀποφάσεως καὶ ψήφου δικαστικῆς, καὶ περὶ τῶν μὴ χρεωστουμένων μὲν, καταβληθέντων δὲ κατὰ ἀπάτην ἢ δι᾽ ἄγνοιαν ὡς κεχρεωστημένων, καὶ διὰ τοῦτο ἀπαιτουμένων.*

LIV. *Περὶ ἀπογραφῆς τῶν πραγμάτων τοῦ τελευτήσαντος.*

LV. *Περὶ ἀποκαταστάσεως.*

LVI. *Περὶ ἀποδείξεων, καὶ τίς καὶ πῶς ὀφείλει ἀποδεικνύειν.*

LVII. *Περὶ ἀπολέσαντος τὸ δοθὲν αὐτῷ.*

LVIII. *Περὶ τῶν ἀπολλύντων ὡς ἀχαρίστων καὶ ἀναξίων τὸν ἐαθέντα αὐτοῖς κλῆρον ἢ λεγάτον, ἢ*[1] *καὶ τὰ παρανόμως αὐτοῖς καταλειφθέντα ἢ δωρηθέντα.*

LIX. *Περὶ ἀπόντων καὶ ἀναζητουμένων ὡς ἐπὶ ἐγκλήματι κατηγορουμένων.*

LX. *Περὶ τοῦ ἀποσπῶντος βίᾳ ἢ δόλῳ τὸν καλούμενον εἰς δικαστήριον ἢ καὶ ἐμποδίζοντος.*

LXI. *Περὶ ἀποστατῶν τῶν ἀφισταμένων τῆς ὀρθοδόξου πίστεως*[2].

LXII. *Περὶ ἀργυροπρατῶν καὶ τῶν περὶ αὐτοὺς συναλλαγμάτων.*

LXIII. *Περὶ ἁρπαγῆς παρθένων τε καὶ χηρῶν, καὶ καθιερωμένων καὶ μεμνηστευμένων, εὐγενῶν τε καὶ ἀπελευθέρων καὶ δούλων, εἴτε μεθ᾽ ὅπλων ἡ ἁρπαγὴ γένονεν εἴτε χωρὶς ὅπλων. καὶ περὶ τῶν συναγωνισαμένων αὐτοῖς κατὰ οἱονδήποτε τρόπον ἐν τῇ τοιαύτῃ ἁρπαγῇ.*

LXIV. *Περὶ τῶν ἁρπαγὰς ἐξ ἐφόδου ποιούντων, εἴτε ἀπ᾽ ἀγροῦ εἴτε ἐξ ἐμπρησμοῦ ἢ καταπτώσεως.*

LXV. *Περὶ ἀῤῥαβώνων.*

LXVI. *Περὶ ἀρχόντων συγκλητικῶν τε καὶ ἀξιωματικῶν, καὶ περὶ*

---

[1] Lips. simpliciter *ἢ δωρεάν*, reliqua omittens. [2] Lips. *ψευδότιτλον* intercalat, sic: *περὶ ἀρνουμένων τὰ ἴδια χειρόγραφα, ἀνάγνωθι τὸ περὶ ἀποδείξεων.*

παντοίων ὀφφικιαλίων, καὶ περὶ τάξεων καὶ προνομίων αὐτῶν, καὶ καθέδρῶν, καὶ περὶ παίδων αὐτῶν καὶ γαμετῶν, καὶ περὶ συνέδρων αὐτῶν. καὶ ὅτι οἱ ἄτιμοι καὶ αἰσχροὶ οὐ γίνονται συγκλητικοὶ, καὶ ὅπως ὀφείλει ἕκαστος αὐτῶν διαπρέπειν ἐν αἷς ἄρχουσιν ἐπαρχίαις[1].

[LXVII. *Περὶ ἀσελγῶν ἤτοι ἀρσενοκοιτῶν*[2].]

LXVIII. *Περὶ ἀτελείας.*

LXIX. *Περὶ ἀτιμουμένου, καὶ ἐξ ὧν αἰτιῶν ἀτιμοῦταί τις, καὶ δι' ὧν ἀτιμία οὐ προσγίνεται.*

LXX. *Περὶ ἀφηλίκων.*

LXXI. *Περὶ ἀχαρίστων παίδων τε καὶ γονέων, καὶ τῶν τῆς ἀχαριστίας αἰτιῶν, δι' ἃς*[3] *δύνανται ἑκάτεροι ἀποκλήρους ποιεῖν.*

LXXII. *Περὶ ἀχαρίστων ἀδελφῶν, καὶ τῶν αἰτιῶν τῆς ἀχαριστίας αὐτῶν*[4].

Β.

I. *Περὶ βαθμῶν συγγενείας.*

II. *Περὶ βαλάνου.*

III. *Περὶ βασιλέως καὶ βασιλίσσης ἤτοι αὐγούστης.*

IV. *Περὶ βασιλικῶν ἀντιγραφῶν καὶ διατάξεων καὶ κελεύσεων καὶ τύπων.*

V.[5] *Περὶ βεβαιώσεως τῶν προκομιζομένων ἐγγράφων δικαιωμάτων.*

VI. *Περὶ βίας.*

Γ.

I. *Περὶ γάμου νομίμου, καὶ πότε ἀναγκάζονται οἱ γονεῖς ἐκγαμίζειν τοὺς ἰδίους παῖδας.*

II. *Περὶ γάμων κεκωλυμένων.*

III. *Περὶ γάμων ἀθεμίτων.*

IV. *Περὶ γάμου λύσεως, καὶ τῶν τῆς λύσεως αἰτιῶν.*

V. *Περὶ γαμικῶν κερδῶν, καὶ περὶ τῶν γαμικῶν δωρεῶν.*

VI. *Περὶ γεωργῶν ἐναπογράφων τε καὶ παροίκων καὶ μισθωτῶν, καὶ περὶ τῶν ἐξ αὐτῶν τικτομένων, καὶ περὶ πατριμονιαλίων γεωργῶν ἤτοι ἰδοκτήτων τοῦ βασιλέως.*

VII. *Περὶ γοήτων.*

VIII. *Περὶ γονέων, καὶ τῆς εἰς αὐτοὺς ὑποταγῆς καὶ προνοίας παρὰ τῶν παίδων καὶ τῆς πρὸς τοὺς παῖδας παρὰ τῶν γονέων*

---

[1] Apud Leunclav. subjiciuntur quatuor *ψευδότιτλα*, scilicet: *Περὶ ἀνθυπάτων καὶ ὑπάτων καὶ λεγάτων. Περὶ ἐπάρχου πόλεως, καὶ τάξεως, καὶ προνομίου αὐτοῦ. καὶ ἐπάρχου πραιτωρίων. Περὶ νυκτεπάρχου, ἤτοι πραίτωρος δήμου. Περὶ κοιαίστορος καὶ τάξεως καὶ προνομίων αὐτοῦ, καὶ περὶ κοιαισίτωρος τουτέστιν ἐρευνητοῦ.* [2] Deest tam in Lips. quam apud Leuncl. [3] Lips. *ὧν.* [4] Lips. propter *ψευδότιτλα* in indice *οα'*, in textu *πδ'* titulos numerat. [5] Lips. perperam inserit: *περὶ βασιλικῶν κελεύσεων ἤτοι θείων τύπων, ὥστε μὴ ἐῤῥῶσθαι αὐτοὺς, εἰ μὴ γένοιντο καταφανεῖς τοῖς τῶν πραιτωρίων ἐνδόξοις ὑπάρχοις.*

ὀφειλομένης ἐπὶ τῇ ἀναγωγῇ αὐτῶν προνοίας, καὶ ὅτι ἁμαρτάνοντες εἰς τοὺς γονεῖς οἱ παῖδες κολάζονται.
IX. Περὶ γυναικῶν καὶ προνομίων αὐτῶν, καὶ πότε εὐθύνονται καὶ πότε οὐκ εὐθύνονται, καὶ περὶ τοῦ μὴ ἐγκλείεσθαι αὐτάς.
X. Περὶ γυναικειαρίων.

Δ.

I. Περὶ δαπανημάτων ἐν πράγματι ἀλλοτρίῳ γινομένων.
II. Περὶ δαπανημάτων μὴ ἀπαιτουμένων [ὡς δι᾽ εὐσέβειαν λογιζομένων δαπανᾶσθαι].
III. Περὶ δένδρων καὶ δενδροτομιῶν.
IV. Περὶ δεσποτείας ἐκ διαφόρων τρόπων διὰ χρονίας νομῆς συνισταμένης, καὶ πότε ἀντίκειται ἡ τοῦ μακροῦ χρόνου παραγραφὴ καὶ πότε οὐκ ἀντίκειται, καὶ τίνα μὲν διὰ τριετίας ἢ τετραετίας, τίνα δὲ διὰ δεκαετίας ἢ εἰκοσαετίας ἢ τριακονταετίας ἢ τεσσαρακονταετίας δεσπόζονται[1].
V. Περὶ δεσποτῶν ἐπαχθῶς καὶ οὐ προσηκόντως κεχρημένων τοῖς ἑαυτῶν δούλοις.
VI. Περὶ δευτερογαμούντων ἢ μὴ δευτερογαμούντων, καὶ περὶ διαδοχῆς τῶν παίδων αὐτῶν, καὶ περὶ τῶν πρὸ τοῦ τὸν πένθιμον χρόνον τελειωθῆναι εἰς δεύτερον γάμον ἐρχομένων.
VII. Περὶ δημευομένων.
VIII. Περὶ τοῦ δημοσίου δρόμου, καὶ τῶν τοῖς κοντούροις χρωμένων.
IX. Περὶ δημοσίων ἵππων καὶ ἀγώνων καὶ ἡνιόχων καὶ θυμελικῶν.
X. Περὶ δημοσίων οἰκοδομημάτων, καὶ τῆς εἰς αὐτὰ γινομένης συνεισφορᾶς καὶ ὑπηρεσίας ἤτοι λειτουργίας.
XI. Περὶ τοῦ δημοσίου καὶ τῶν προνομίων καὶ ἀγωγῶν αὐτοῦ.
XII. Περὶ τῶν δημόσια χρήματα ὑφελομένων, ἢ εἰς τὰς ἰδίας χρείας τρεψάντων, ἢ ὅλως νοσφισαμένων, ἢ δόλον ἐν αὐτοῖς ποιησάντων, ἢ ἐν τῷ ἄρχειν κλοπήν τινα πεπραχότων.
XIII. Περὶ διαθηκῶν καὶ διατιθεμένων, καὶ τίνες οὐ δύνανται διατίθεσθαι ἢ κεκώλυνται μαρτυρεῖν ἐν διαθήκῃ[2].
XIV. Περὶ τῶν κωλυόντων διαθήκην γενέσθαι.
XV. Περὶ διαθηκῶν, ποίῳ τρόπῳ ἀνοίγονται καὶ μεταγράφονται.
XVI. Περὶ τῶν ἐν διαθήκῃ χαραγέντων ἢ περικλουβισθέντων ἢ ἀπαλειφθέντων.
XVII. Περὶ διαθήκης ῥηγνυμένης ἀπὸ ἀμνημονεύτων παίδων.
XVIII. Περὶ διαθήκης παρανόμου καὶ ἀκύρου καὶ ῥηγνυμένης.
XIX. Περὶ ἀκαθηκούσης διαθήκης, καὶ παρὰ τίνι ὀφείλει ἡ διαθήκη παρατίθεσθαι.

[1] Lips. hic intercalat rubricam ψευδότιτλον· περὶ τῶν ἀπὸ χρονίας νομῆς παραγραφομένων. [2] Lips. tres rubricas ψευδοτίτλους intercalat: περὶ διαθήκης μυστικῆς καὶ περὶ ἀτελοῦς καὶ περὶ ἀγράφου καὶ περὶ δευτέρας καὶ ποίῳ τρόπῳ αἱ διαθῆκαι συνίστανται. — Περὶ τῶν δυναμένων ποιεῖν διαθήκην καὶ τῶν μὴ δυναμένων. — Περὶ διαθήκης στρατιωτῶν.

XX. *Περὶ τῶν διαθήκην ἀνοιγόντων ἢ μεταγραφόντων ἢ ἀναγινωσκόντων παρὰ νόμον, ἢ ἀπαλειφόντων ἢ κρυψάντων ἢ κλεψάντων, ἢ γραψάντων ἐν αὐτῇ λεγάτον εἴτε ἑαυτοῖς εἴτε ἑτέρῳ, ἢ ἄλλο τὶ περὶ αὐτὴν ἁμαρτησάντων.*

XXI. *Περὶ διατιθεμένων τῶν εὐσεβέσιν αἰτίαις καταλιμπανόντων τὶ, τυχὸν ἐπὶ τῷ κτισθῆναι ἐκκλησίαν ἢ καλλωπισθῆναι, εἴτε ἐπὶ αἰχμαλώτων ἀναῤῥύσει, εἴτε ἐπὶ ἀποτροφῇ πενήτων, ἢ γενέσθει ξενῶνα ἢ ὀρφανοτροφεῖον ἢ πτωχεῖον.*

XXII. *Περὶ τῆς κατὰ τῆς διαθήκης μέμψεως, καὶ πότε καὶ παρὰ τίνος δύναται κινεῖσθαι ἢ μὴ δύναται, καὶ περὶ εὐτρεπισμοῦ διαθήκης.*

XXIII. *Περὶ τῆς κατὰ διαθήκης ἐναντιώσεως, καὶ περὶ διακατοχῶν*[1].

XXIV. *Περὶ διαγνώσεων καὶ τάξεως αὐτῶν.*

XXV. *Περὶ διαγνωμόνων*[2].

XXVI. *Περὶ δικαζομένων, ἤτοι ἐναγόντων καὶ ἐναγομένων, αὐτεξουσίων τε καὶ ὑπεξουσίων, καὶ τίνες δύνανται ἐνάγειν ἢ ἐνάγεσθαι καὶ τίνες οὐ δύνανται, καὶ πότε καὶ παρὰ τίνι καὶ ἐν ποίῳ φόρῳ τὶς ἐνάγειν ὀφείλει, καὶ περὶ λαμβανόντων*[3] *ἢ ἀποκρυπτομένων*[4].

XXVII. *Περὶ διαλύσεων, καὶ πότε ἔξεστι διαλύεσθαι καὶ πότε οὐκ ἔξεστι, καὶ ποῖαι τῶν διαλύσεων οὐ κρατοῦσιν.*

XXVIII. *Περὶ διασεισμοῦ.*

XXIX. *Περὶ διαφθειρόντων τὸ προτεθὲν ἢ μέλλον προτίθεσθαι ἐπὶ διηνεκεῖ αἰτίᾳ πρόσταγμα.*

XXX. *Περὶ τῶν διδομένων ἢ δρωμένων ἐπὶ αἰσχρᾷ αἰτίᾳ, ἢ ἐπὶ ἄλλῃ τινὶ οἱᾳδήποτε ὑποθέσει, καὶ περὶ τῶν ταῦτα διδόντων καὶ τῶν δεχομένων, καὶ πότε ἀπαιτοῦνται τὰ δοθέντα καὶ πότε οὐκ ἀπαιτοῦνται*[5].

XXXI. *Περὶ διεκδικητῶν καὶ συνδίκων ὁμάδος ἢ πόλεως. διεκδικηταὶ δὲ λέγονται πάντες οἱ διεκδικοῦντες καὶ φροντίζοντες, εἴτε διοικηταὶ εἴτε ἐπίτροποι εἴτε κουράτορες εἴτε προκουρά-*

---

[1] Lips. inserit rubricas *ψευδοτίτλους* has: *Περὶ κυρίας διακατοχῆς. — Περὶ ἀγαθῆς διακατοχῆς καὶ ἐναντιώσεως διαθήκης. — Περὶ γαστρὸς εἰς διακατοχὴν στελλομένης, ὅπερ εὑρήσεις ἐν τῷ περὶ ἐγκυμονούσης. ἐν δὲ τῷ ε' τί. διαλαμβάνεται καὶ περὶ ἀμφιβαλλομένου ἀνήβου υἱοῦ, οὗτινος ἐν τῷ α' κεφ. φησίν. — Περὶ τῆς κινουμένης παρὰ τῶν αὐτεξουσίους ποιησάντων τοὺς παῖδας. — Πότε τῶν μὴ ἀπαιτούντων τὴν διακατοχὴν τὰ μέρη τοῖς αἰτοῦσιν ἁρμόζει καὶ περὶ τῆς τῶν ὑπαρχόντων ἀπελευθέρων διακατοχῆς. — Περὶ τῶν παραιτουμένων τὴν τῶν ὑπαρχόντων διακατοχήν.*
[2] Leuncl. *διακατοχῆς.* [3] Leuncl. recte *λανθανόντων* emendat. [4] Lips. cum Leuncl. intercalat *ψευδότιτλον· περὶ τῶν δυναμένων καλεῖσθαι εἰς δικαστήριον ἢ μὴ δυναμένων.* — Deinde in Lips. sequuntur rubricae: *Περὶ τῶν ἐπίτηδες ἐπὶ βλάβῃ τῶν ἀντιδίκων ἢ ἕτερον δυνατὸν ἀντικαθιστάντων ἢ ἐξ ἑτέρας ἐπαρχίας περὶ ὧν εὑρήσεις ἐν τῇ περὶ προσφευγόντων εἰς δυνατὰ πρόσωπα. — Περὶ τῶν ἐν δικαστηρίῳ ἐρωτωμένων καὶ ἀποκρινομένων.*
[5] Lips. addit *ψευδότιτλον· Περὶ δωροδοκούντων καὶ δωροδοκουμένων.*

τορες εἴτε ἐντολεῖς εἰσι. διεκδικεῖν γάρ ἐστι τὸ τὰ αὐτὰ ποιεῖν, ἅπερ καὶ ὁ πρωτότυπος ἐποίει παρών. καὶ δίδωσιν ὁ τοιοῦτος καὶ τὴν ἐπὶ τῇ ἱκανοδοσίᾳ ἀσφάλειαν. οὐδεὶς γὰρ ἀλλοτρίαν δίκην ἄνευ ἱκανοδοσίας διεκδικεῖν δοκεῖ, εἰ καί ἐστιν ὑπατικός. οὔτε δὲ γυνὴ οὔτε στρατιώτης ἀξιόχρεώς ἐστιν εἰς τὸ [δι]εκδικεῖν, οὔτε ὁ κατηγορηθεὶς ἐπὶ ἐγκλήματι πρὸ ἀθωώσεως[1].

XXXII. Περὶ δικαιοσύνης.

XXXIII. Περὶ δικαστῶν καὶ δικαιοδοσίας αὐτῶν καὶ τάξεως, καὶ περὶ παρέδρων αὐτῶν, καὶ περὶ αἱρετῶν δικαστῶν[2].

XXXIV. Περὶ δικαστηρίων δημοσίων τε καὶ ἐγκληματικῶν. καὶ ποῖα μὲν εἰσὶ κεφαλικὰ, ποῖα δὲ οὐ κεφαλικὰ, καὶ ποῖα ἀτιμοποιά.

XXXV. Περὶ δικαζόντων διαιτητῶν, καὶ περὶ τῶν διδομένων αὐτοῖς συνηθειῶν ἐν ταῖς ὑπερβαινούσαις τὰ ρ' νομίσματα δίκαις.

XXXVI. Περὶ διοικητῶν, καὶ ὅτι ὁ διοικητὴς τῶν ὄντων παρ' αὐτῷ χρημάτων τόκους δίδωσιν ἀπὸ ὑπερθέσεως καὶ οὓς ἔλαβε δανείσας, κἂν μὴ ἐνετάλθη δανεῖσαι. ἐστὶ δὲ διοικητὴς ὁ ἐνταλθεὶς διοικεῖν τὰ τοῦ ἀπόντος πράγματα, καὶ ἐνάγων καὶ ἐναγόμενος ὑπὲρ τῶν τοῦ ἀπόντος πραγμάτων, ὧν τὴν διοίκησιν ποιεῖται. λέγεται δὲ ὁ τοιοῦτος καὶ διεκδικητὴς καὶ ἐντολεὺς καὶ συνήγορος.

XXXVII. Περὶ δόλου[3].

XXXVIII. Περὶ δούλων.

XXXIX. Περὶ δουλογραφίου.

XL. Περὶ δουλειῶν[4].

XLI. Περὶ δωρεῶν[5].

XLII. Περὶ δωρεῶν μεταξὺ ἀνδρῶν καὶ γυναικῶν καὶ κηδεστῶν καὶ ὑπεξουσίων[6].

E.

I. Περὶ ἐγγυητῶν[7].

II. Περὶ ἐγκαταλελειμμένων.

III. Περὶ ἐγκληματικῶν.

[IV. Περὶ ἐγγραφῶν[8].]

V. Περὶ ἐγκύου, ὅτι οὐ τιμωρεῖται οὐδὲ βασανίζεται [πρὶν ἢ τέκῃ].

---

[1] Idem subjicit: Περὶ τῆς κατὰ τῶν διεκδικητῶν διδομένης ἱκανοδοσίας, καὶ ἧς αὐτοὶ λαμβάνουσι. [2] Lips. repetit rubricam: Περὶ αἱρετῶν δικαστῶν. [3] Lips. Περὶ τῶν χρησίμως παρ' αὐτῶν δαπανηθέντων καὶ περὶ ὧν προείρηται ἐν τῷ περὶ δαπανῶν τίτλῳ, καὶ περὶ δόλου. [4] Lips. addit rubricas: Περὶ δουλειῶν πολιτικῶν κτημάτων. — Περὶ δουλειῶν ἀγροικικῶν κτημάτων. — Περὶ κοινῶν κτημάτων τουτέστι πολιτικῶν τε καὶ ἀγροικικῶν. [5] Lips. Περὶ τῶν θανάτου αἰτίᾳ δωρεῶν ἢ μετὰ θάνατον. [6] Lips. ob ψευδότιτλα titulos numerat LXII, tam in indice quam in, textu. [7] Lips. addit rubricam: Περὶ ἐγγυωμένων ἀφήλικας. [8] Hunc titulum tam Lips. quam Leuncl. omittunt.

VI. *Περὶ ἐγκυμονούσης καὶ ἐγκυμονουμένων, καὶ περὶ φυλακῆς [αὐτῶν], καὶ πότε καὶ ὅπως*[1] *εἰς νομὴν πέμπονται, καὶ περὶ τῆς εἰς νομὴν πεμφθείσης καὶ ταύτην δόλῳ πρὸς ἄλλον μεταγαγούσης, καὶ περὶ τῆς κατὰ συκοφαντίαν εἰς τὴν νομὴν πεμφθείσης, ὡς τῇ ἀληθείᾳ μὲν μὴ ἐγκυμονούσης, λεγούσης δὲ ἐγκυμονεῖν.*

VII. *Περὶ ἐκβιβαστῶν τῶν ἀποστελλομένων ἐπὶ τῷ ἀπαιτεῖν δημόσιον πρᾶγμα, καὶ περὶ τῶν διδομένων αὐτοῖς συνηθειῶν.*

VIII. *Περὶ ἐκδικουμένων πραγμάτων καὶ τῶν ταῦτα ἐκδικούντων, καὶ περὶ τῶν νεμομένων αὐτά, καὶ πότε μὲν αὐτὰ τὰ εἴδη ἐκδικοῦνται, πότε δὲ αἱ τιμαὶ αὐτῶν δίδονται καὶ πότε μετὰ τῶν καρπῶν ἐκδικοῦνται καὶ πότε οὐδὲ αἱ τιμαὶ δίδονται.*

IX. *Περὶ ἐκκλήτου, καὶ τίνες δύνανται ἐκκαλεῖσθαι καὶ ποῖα τῶν ἀποφάσεων οὐχ ὑπόκειται ἐκκλήτῳ, καὶ περὶ διαφόρων προθεσμιῶν τῆς ἐκκλήτου, καὶ ὅτι τρίτον τὶς οὐκ ἐκκαλεῖται.*

X. *Περὶ ἐκκλησιῶν καὶ τῶν προνομίων αὐτῶν καὶ κανόνων, καὶ περὶ ἀριθμοῦ τῶν κληρικῶν αὐτῶν καὶ μάλιστα τῆς μεγάλης ἐκκλησίας, καὶ περὶ τῆς θείας λειτουργίας ὅπως ὀφείλει τελεῖσθαι, καὶ περὶ τῶν κατασκευαζόντων εὐκτήριον ἢ ἕτερον σεβάσμιον οἶκον.*

XI. *Περὶ ἐκλήψεων καὶ περὶ [ἐκ]ποιήσεων τῶν κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ ἐμφύτευσιν ἢ ἐκμίσθωσιν ἢ καθ᾽ ἕτερον τρόπον γινομένων ἀπό τε ἐκκλησιῶν καὶ μοναστηρίων*[2] *καὶ λοιπῶν εὐαγῶν οἴκων.*

XII. *Περὶ ἐκλήψεων καὶ ἐκποιήσεων τῶν κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ ἐμφύτευσιν ἢ ἐκμίσθωσιν ἢ καθ᾽ ἕτερον τρόπον γινομένων ἀπό τε τοῦ δημοσίου καὶ τῆς πόλεως καὶ τῶν πατριμονιαλίων ἤτοι ἰδιοκτήτων τοῦ βασιλέως καὶ ταμιακῶν.*

XIII. *Περὶ ἐκτρωσάσης ἐπίτηδες εἴτε ἐπὶ χρήμασιν εἴτε διὰ μῖσος τοῦ ἀνδρός.*

XIV. *Περὶ ἐλευθεριῶν, καὶ ὅτι κατὰ ἐλευθερίας οὐκ ἔστιν ἀποκατάστασις, εἰ μὴ κελεύσει βασιλέως ἀπὸ*[3] *μεγάλης αἰτίας. ἁρμόζει δὲ ἡ περὶ δόλου ἀγωγή.*

XV. *Περὶ ἐλευθερούντων καὶ ἐλευθερουμένων καὶ τίνες δύνανται ἐλευθεροῦν ἢ ἐλευθεροῦσθαι καὶ τίνες κωλύονται, καὶ περὶ ἐλευθεριῶν φιδεϊκομισσαρίων τε καὶ ὀρθῶν, καὶ ὑπὸ αἵρεσιν καὶ ἡμέραν καὶ αἰτίαν*[4].

XVI. *Περὶ τῶν ἐλευθερουμένων ἐξ αἰτιῶν εὐλόγων, καὶ τῶν λαμβανόντων τὴν ἐλευθερίαν ὡς ἀντιμισθίαν καὶ ἔπαθλον.*

XVII. *Περὶ ἐλευθέρων πραθέντων ἢ δουλαγωγουμένων ἢ βίᾳ κατεχομένων.*

XVIII. *Περὶ ἐλευθερουμένων εἰς βλάβην τῶν δανειστῶν.*

---

[1] Lips. *οὕτως.* [2] Lips. ex rubrica sequente: *ἀπό τε τοῦ δημοσίου καὶ τῆς πόλεως.* [3] Lips. *κατὰ.* [4] Lips. *ψευδότιτλον* addit: *περὶ τῶν εἰς ἐλευθερίαν ἢ εὐγένειαν ἀναφωνούντων διαλαμβάνεται καὶ προείρηται περὶ αὐτοῦ.*

XIX. Περὶ ἑλλήνων.
XX. Περὶ ἐμπρησμῶν, καὶ περὶ τῶν ποιούντων αὐτούς.
XXI. Περὶ ἐμφυτεύσεων.
XXII. Περὶ ἐνοχῶν παντοίων ἀπό τε συναλλάγματος καὶ ἁμαρτήματος τικτομένων καὶ τίνες ἐνέχονται καὶ τίνες οὐκ ἐνέχονται.
XXIII. Περὶ ἐνεχυραζόντων.
XXIV. Περὶ ἐνεχύρων καὶ ὑποθηκῶν, καὶ περὶ διαπράσεως καὶ ποῖα οὐ δύνανται πιπράσκεσθαι, καὶ πότε καὶ αἱ στρατεῖαι ὑπόκεινται, καὶ ποῖα σιωπηρῶς ὑπόκεινται, καὶ τίνες ἐν αὐτοῖς προτιμῶνται.
XXV. Περὶ ἐνοίκων.
XXVI. Περὶ ἐντολῶν καὶ ἐντολέων.
XXVII. Περὶ ἐντολέων.
XXVIII. Περὶ ἐξορίστων.
XXIX. Περὶ ἐξωπροίκων.
XXX. Περὶ ἐξοπλισμοῦ ἀγροῦ τε καὶ οἴκου καὶ ἐργαστηρίων.
XXXI. Περὶ ἐπαγγελλομένων ἔργον τὶ ποιεῖν πόλει ἢ χρήματα διδόναι.
XXXII. Περὶ ἐπερωτήσεων καὶ ἐπερωτώντων καὶ ἐπερωτωμένων.
XXXIII. Περὶ ἐπιβούλων τῶν κατὰ οἱονδήποτε τρόπον εἴτε κατὰ τῆς βασιλείας εἴτε κατὰ τῆς πολιτείας ἢ τοῦ στρατοῦ, ἢ τῶν ἀρχόντων αὐτῶν μελετησάντων, ἢ στασιασάντων, ἢ προδοσίαν τινὰ ποιησάντων ἢ πρὸς τοὺς πολεμίους αὐτομολησάντων ἢ γράμματα στειλάντων, ἢ ἐρεθισάντων στρατιώτας πρὸς στάσιν καὶ θόρυβον[1] ἢ προδιδόντων κάστρα ἢ ἀνταιρόντων ἢ συνωμοσίαν ποιούντων ἢ βλαπτόντων τεῖχος ἢ δι' αὐτοῦ καὶ μὴ διὰ τῆς πόρτας εἰσιόντων, καὶ τίνες αὐτῶν ὑπόκεινται τῷ τῆς ἱεροσυλίας ἐγκλήματι καὶ τίνες τῷ τῶν φονευτῶν.
XXXIV. Περὶ ἐπιβολῶν. ἐστὶ δὲ ἐπιβολὴ ἐπίδοσις ἀπόρου κτήσεως πρὸς κληρονόμους ἢ συντελεστὰς καὶ ὁμοχώρους καὶ ὁμοκήνσους.
XXXV. Περὶ ἐπιδίκων, τουτέστιν ὧν ἡ δεσποτεία φιλονεικεῖται.
XXXVI. Περὶ ἐπιόρκων.
XXXVII. Περὶ ἐπισκόπων καὶ χειροτονιῶν αὐτῶν καὶ προνομίων.
XXXVIII. Περὶ ἐπιτρόπων καὶ τίνες δύνανται ἐπιτροπεύειν καὶ τίνες οὐ δύνανται, καὶ πότε εὐθύνονται καὶ ἐν τίσι, καὶ περὶ τοῦ ποιεῖν αὐτοὺς ἀπογραφὴν, καὶ τίνες δύνανται παραιτεῖσθαι τὴν ἐπιτροπὴν καὶ πότε καὶ τίνες οὐ δύνανται, καὶ πότε εὐθύνονται εἰς τόκους καὶ πότε οὐκ εὐθύνονται.
XXXIX. Περὶ ἐπιτροπευούσης μητρὸς ἢ διοικούσης τὰ τῆς θυγατρὸς πράγματα.
XL. Περὶ ἐποπτῶν ἤτοι ἐξισωτῶν κηνσευόντων.
XLI. Περὶ ἐργολάβων. ἐστὶ δὲ ἐργολάβος ὁ χρήματα δεδωκὼς[2] ἐπὶ τῷ ἐκχωρηθῆναι ἀγωγήν.

---

[1] Lips. πόλεμον. [2] Lips. ἐκδ.

XLII. *Περὶ ἐρημοδίκων, τουτέστι τῶν ἐκ μονομεροῦς εἰσηγήσεως τὴν καταδίκην ἐχόντων.*
XLIII. *Περὶ εὐνούχων καὶ περὶ τοῦ μὴ εὐνουχίζεσθαι ῥωμαῖον.*

Z.

I. *Περὶ ζημιούντων ἀνθρώπων τε καὶ ἀλόγων ζώων, οἷον ἵππου λακτίζοντος ἢ βοὸς κερατίζοντος ἢ κυνὸς δάκνοντος καὶ λοιπῶν.*
II. *Περὶ ζητήσεων ἤτοι ἐξετάσεων, καὶ πότε καὶ τίνας δεῖ ἐμβασάνως ἐξετάζεσθαι.*
III. *Περὶ ζυγοστατῶν τῶν τὰς εἰσκομιδὰς ὑποδεχομένων.*

H.

I. *Περὶ ἡμερῶν ἀπράκτων ἤτοι σχολαζουσῶν, καὶ τίνες ἐν αὐταῖς τιμωροῦνται ἢ τῆς φυλακῆς οὐκ ἐκβάλλονται, καὶ τίνες οὐ τιμωροῦνται ἢ τῆς φυλακῆς ἐκβάλλονται. καὶ ὅτι ἡ ἡμέρα ἀπὸ ζ′ ὥρας τῆς νυκτὸς ἄρχεται.*

Θ.

I. *Περὶ θεάτρων καὶ θυμελικῶν.*
II. *Περὶ θησαυρῶν εὑρισκομένων.*
III. *Περὶ θυσιῶν.*

I.

I. *Περὶ ἱερῶν.*
II. *Περὶ ἱεροσυλίας.*
III. *Περὶ ἱκανοδοσίας διδομένης ἐπὶ ἐκπληρώσει τῶν κριθέντων ἢ κριθησομένων, καὶ τίνες ταύτην διδόασιν ἢ λαμβάνουσι, καὶ περὶ τῶν παρ' αὐτῶν διδομένων ἐγγυητῶν τε καὶ ἐντολέων, καὶ πότε καὶ ἐν τίσιν εὐθύνονται.*
IV. *Περὶ ἰουδαίων.*

K.

I. *Περὶ κακοτρόπων ἤτοι περιέργων καὶ δολίων τῶν τὸ ἑτέρῳ ὑποκείμενον ἢ πραθὲν ὡς ἴδιον καὶ ἀνεύθυνον πρὸς ἕτερον μεταφερόντων, οἵτινες καὶ τῷ στελλιονάτους ὑπόκεινται ἐγκλήματι ὡς ἀντιβαδιασταί.*
II. *Περὶ κανόνων διαφόρων νομίμων.*
III. *Περὶ καρπῶν, κα τῶν κακῇ πίστει καρπωσαμένων.*
IV. *Περὶ καταμηνυόντων ἤτοι προσαγγελλόντων θησαυροὺς τε καὶ λοιπὰ τῷ δημοσίῳ ἀνήκοντα, καὶ τίνες κωλύονται καταμηνύειν.*
V. *Περὶ καταδικασθέντων, καὶ περὶ κεκριμένου πράγματος.*
VI. *Περὶ καταδίκων δημευομένων ἢ συγχωρουμένων.*
VII. *Περὶ καταλυόντων οἴκους.*
VIII. *Περὶ κατηγορούντων καὶ κατηγορουμένων ἐγκληματικῶς, καὶ τίνες δύνανται κατηγορεῖν ἐγκληματικῶς καὶ τίνες οὐ δύνανται, καὶ ὅτι εἴσω διετίας ὀφείλει πληροῦν ὁ κατήγορος τὴν ἰδίαν κατηγορίαν, καὶ ὅτι ὁ κατήγορος χωρὶς συγχωρήσεως*

ἀποστὰς ὑποπίπτει τῷ περὶ συκοφαντίας ἐγκλήματι, καὶ περὶ τῶν προδιδόντων τὴν ἰδίαν ὑπόθεσιν κατηγόρων, καὶ περὶ τῶν κατηγορούντων ἐπισκόπων χειροτονουμένων, καὶ πότε δεῖ τοὺς κατηγορουμένους φυλακῇ ἐμβάλλεσθαι ἢ στρατιώταις παραδίδοσθαι ἢ ἐγγυηταῖς ἢ ἑαυτοῖς καταπιστεύεσθαι.

IX. Περὶ καινοτομιῶν, ἤτοι καινοῦ ἔργου γινομένου ἐν οἱῳδήποτε τόπῳ εἴτε δημοσίῳ εἴτε ἰδιωτικῷ ἐπὶ καινοτομίᾳ τινὸς, καὶ πότε καὶ πῶς ὁ καινοτομῶν παραγγέλλεται.

X. Περὶ κεκωλυμένων εἰδῶν.

XI. Περὶ κηπουρῶν.

XII. Περὶ κιχρώντων καὶ κιχρωμένων, καὶ τίνες οὐκ ἐνέχονται τῇ ἀγωγῇ τῶν ἐν χρήσει διδομένων, καὶ ἐν τίσιν οἱ εὐθυνόμενοι ἐνέχονται.

XIII. Περὶ κλεπτοτελωνήματος.

XIV. Περὶ κληρονομίας καὶ ἐνστάσεως ἀνιόντων ἢ κατιόντων καὶ κυοφορουμένων, καὶ περὶ ἀποκλήρων ἀμνημονεύτων ἐαθέντων εἴτε ὡς ἀχαρίστων εἴτε ὡς ἄλλως πῶς, καὶ περὶ τῶν τῆς ἀχαριστίας αἰτιῶν, καὶ περὶ συνεισφορᾶς.

XV. Περὶ κληρονομίας παίδων γνησίων τε καὶ νόθων καὶ ἐκ νόθων γινομένων γνησίων, καὶ [περὶ] παλλακῶν γνησίων γινομένων τῇ τῶν προικῴων συμφώνων ποιήσει.

XVI. Περὶ κληρονομίας ἀνιόντων καὶ κατιόντων καὶ λοιπῶν συγγενῶν τῶν ἐξ ἀδιαθέτου κληρονομεῖν δυναμένων, καὶ τίνες καλοῦνται πρῶτοι καὶ τίνες δεύτεροι καὶ καθεξῆς, καὶ τίνες ἐκπίπτουσι τῆς κληρονομίας καὶ πότε καὶ τῆς παρ᾽ αὐτῶν αἰτουμένης διακατοχῆς, καὶ περὶ τῶν ἀξιωθέντων ἀποκαταστῆσαί τινι κληρονομίαν ἢ μέρος αὐτῆς ἢ φιδεϊκόμισσον, [καὶ περὶ γυναικὸς] καὶ ἀνδρὸς ἀλλήλους κληρονομούντων.

XVII. Περὶ κληρονόμων ἐνεχομένων ἐκ τῶν πλημμελημάτων τῶν τελευτησάντων, καὶ ἐναγόντων καὶ ἐναγομένων ὑπὲρ κληρονομιαίων πραγμάτων, καὶ περὶ τῆς τούτων ἐκδικήσεως καὶ ἀπαιτήσεως καὶ ἀποκαταστάσεως ἀπὸ τῶν ταῦτα νεμομένων εἴτε καλῇ πίστει εἴτε κακῇ.

XVIII.' Περὶ κληρικῶν, ἱερέων τε καὶ λοιπῶν, τῶν [ἐν] ἐκκλησιαστικῷ βαθμῷ καταλεγομένων.

XIX. Περὶ κλοπῆς γενομένης ὑπὸ ἐλευθέρων τε καὶ δούλων, καὶ περὶ κλοπιμαίων, καὶ περὶ τῆς [παρὰ] φαμιλίας γενομένης κλοπῆς, καὶ περὶ τῆς ἐν πανδοχείῳ ἢ καπηλείῳ γενομένης, καὶ περὶ τῆς τῶν κληρονομιαίων κλοπῆς, καὶ τῆς γενομένης εἰς σάκκους ἢ ἐσθῆτας, τουτέστι τῶν ἐκδυόντων ἀνθρώπους κλεπτῶν.

XX. Περὶ κογχυλευτῶν.

XXI. Περὶ κοινωνίας καὶ λύσεως αὐτῆς, καὶ περὶ κοινοπραξίας, καὶ περὶ δαπανημάτων γινομένων παρὰ κοινωνῶν.

XXII. Περὶ κοινῶν πραγμάτων καὶ διαιρέσεως αὐτῶν καὶ διαπράσεως, καὶ παρὰ τίνι ὀφείλει [εἶναι] τὸ κοινὸν δικαίωμα.

XXIII. Περὶ κολάκων.

XXIV. *Περὶ κομμερκίου.*
XXV. *Περὶ κοττιστῶν ἤτοι κυβιστῶν.*
XXVI. *Περὶ κουρατόρων καὶ προκουρατόρων, καὶ τίνες κωλύονται κουρατορεύειν.*
XXVII. *Περὶ κτηνοβατῶν.*
XXVIII. *Περὶ κωδικέλλου.*

Λ.

I. *Περὶ λεγάτων.*
II. *Περὶ λειτουργιῶν καὶ τίνες μὲν λειτουργεῖν ἀναγκάζονται καὶ πότε, τίνες δὲ οὐκ ἀναγκάζονται, ἀλλ᾽ ἔχουσιν ἀλειτουργησίαν.*
III. *Περὶ λειψάνων ἁγίων, καὶ περὶ λειψάνων τῶν τιμωρηθέντων καταδίκων.*
IV. *Περὶ λῃστῶν.*

M.

I. *Περὶ μαθηματικῶν.*
II. *Περὶ μανδατώρων.*
III. *Περὶ μανιχαίων.*
IV. *Περὶ μάντεων.*
V. *Περὶ μαινομένων.*
VI. *Περὶ μαρτύρων εὐϋπολήπτων καὶ ἀτίμων καὶ μαρτυριῶν.*
VII. *Περὶ μεσεγγυητῶν.*
VIII. *Περὶ μεταθέσεως ἐνοχῆς.*
IX. *Περὶ μετοίκων.*
X. *Περὶ μετρητῶν ψευσαμένων περὶ τὸ μέτρον.*
XI. *Περὶ μεταλλιζομένων.*
XII. *Περὶ μιτάτων ἤτοι ἀπλήκτων, καὶ τίνες οὐχ ὑπόκεινται αὐτοῖς.*
XIII. *Περὶ μισθώσεως καὶ ἐκμισθώσεως καὶ μισθούντων καὶ μισθουμένων, [καὶ] ὅτι ἐπὶ τῶν πολιτικῶν οἰκήσεων σιωπηρῶς ὑπόκεινται τῷ μισθωτῇ τὰ εἰσαχθέντα.*
XIV. *Περὶ μισθοῦ παιδευτῶν ἤτοι διδασκάλων, φιλοσόφων τε καὶ ἰατρῶν καὶ λοιπῶν.*
XV. *Περὶ μνηστείας καὶ συστάσεως καὶ λύσεως αὐτῆς, καὶ περὶ τῶν ὀνόματι αὐτῆς γινομένων ἀῤῥαβώνων καὶ δωρεῶν.*
XVI. *Περὶ μοιχείας καὶ πάσης τῆς κατ᾽ αὐτὴν ἐνοχῆς καὶ ἀγωγῆς.*
XVII. *Περὶ μοναστηρίων οἰκοδομῆς, καὶ περὶ μοναζόντων καὶ τῆς διαγωγῆς αὐτῶν καὶ προνομίου.*
XVIII. *Περὶ μονιταρίων ἤτοι χαρακτῶν.*

N.

I. *Περὶ ναυτικῶν ἐνοχῶν, καὶ παντοίων ἀγωγῶν τῶν κινουμένων περὶ πλοίων καὶ πάντων τῶν ἐν αὐτοῖς ἐμπλεόντων ναυκλήρων, πιστικῶν, ναυτῶν, ἐμπόρων τε καὶ λοιπῶν ἐπιβατῶν, καὶ περὶ ναυαγίου.*
II. *Περὶ νεμομένων τὸ ἀλλότριον εἴτε καλῇ πίστει εἴτε κακῇ.*
III. *Περὶ νηπίων ἐκτιθεμένων ἤτοι ῥιπτομένων, ἐλευθέρων τε καὶ δούλων.*

IV. Περὶ τῶν εἰς νομὴν ἤτοι διακατοχὴν προπεμπομένων, καὶ ἐκ ποίων αἰτιῶν πέμπονται, καὶ πότε τὰ εἰς νομὴν δοθέντα πιπράσκονται, καὶ περὶ παραγραφῆς τῶν εἰς νομὴν μὲν πεμφθέντων, βίᾳ δὲ ἢ δόλῳ ἐκβληθέντων ἢ κωλυθέντων.
V. Περὶ νομῶν ἤτοι βοσκῶν.
VI. Περὶ νόμου καὶ μακρᾶς συνηθείας.
VII. Περὶ νομισμάτων παλαιῶν.

Ξ.

I. Περὶ τοῦ ξενῶνος τοῦ ὁσίου σαμψών.

Ο.

I. Περὶ ὁδοῦ δημοσίας [τε] καὶ ἀγροικικῆς καὶ ἰδιωτικῆς καὶ πλατείας.
II. Περὶ ὅρκου ἐπακτοῦ καὶ ἀντεπαγομένου καὶ δικαστικοῦ καὶ τοῦ περὶ συκοφαντίας, καὶ τίνες οὐ δύνανται ὅρκον ἐπάξαι ἢ ἀντεπάξαι, καὶ πότε [οὐκ] ἔχει παραγραφὴν ὁ ὀμνὺς, καὶ ὅτι οἱ ἔνδοξοι καὶ οἱ ἀσθενεῖς οἴκοι ὀμνύουσιν.
III. Περὶ ὅρκου ἐνδίκου [1], καὶ τίνες οὐκ ἀναγκάζονται ὑπέχειν αὐτὸν, καὶ πότε καὶ δοθέντος αὐτοῦ κουφίζεται ὁ ἐναγόμενος.
IV. Περὶ ὅρκου δοθέντος παρὰ τοῦ τελευτῶντος ἕνεκεν τοῦ μέτρου τῆς αὐτοῦ περιουσίας.
V. Περὶ ὅρκου τοῦ διδομένου παρὰ τῶν χειροτονουμένων ἐπισκόπων [2].
VI. Περὶ ὁμολογησάντων, καὶ πότε εὐθύνονται καὶ πότε οὐκ εὐθύνονται.
VII. Περὶ ὅπλων καὶ ὁπλοποιῶν, καὶ τοῦ μηδένα τῶν ἰδιωτῶν ἐργάζεσθαι ἢ ἀγοράζειν ἢ ἐπιφέρεσθαι ἢ ἔχειν ὅπλα.
VIII. Περὶ ὅρων ἀποκινηθέντων, καὶ περὶ ζητήσεως αὐτῶν.
IX. Περὶ ὀρφανοτρόφων.

Π.

I. Περὶ παίδων φυσικῶν ἤτοι νόθων, καὶ τῶν ἐκ νόθων γνησίων γινομένων, καὶ περὶ παλλακῶν τῶν καὶ γνησίων γινομένων τῇ τῶν προικῴων συμβολαίων ποιήσει.
II. Περὶ παιδεύσεως συγγενῶν.
III. Περὶ παραγραφῶν [καὶ ἀντιπαραγραφῶν].
IV. Περὶ παραγγελιῶν.
V. Περὶ παραθήκης [3].
VI. Περὶ παραστάσεως ἤτοι ἀπαδείξεως [4] πράγματων, καὶ ἀποκαταστάσεως αὐτῶν καὶ ἀγωγῆς.
VII. Περὶ παροίκων.

---

[1] Lips. ἀδικουμένου, Leuncl. ἐκδικουμένου. [2] Leuncl. παρὰ τῶν δικαζομένων. [3] Leuncl. mavult: παρακαταθήκης. Non opus. — Caeterum Leuncl. subjicit rubricam: Περὶ παραιτήσεων, quem tamen tractatum Lipsiensis non literae Π sed literae Ε tit. 38 inseruit. [4] Leuncl. ἐπιδ.

VIII. Περὶ χαρακτῶν καὶ περὶ παραψαλιστῶν.
IX. Περὶ τῶν παρακλήσει συγχωρουμένων ποιεῖν τι ἢ νέμεσθαι.
X. Περὶ πατριάρχου.
XI. Περὶ πατρώνων καὶ ἀπελευθέρων.
XII. Περὶ πεκουλίου.
XIII. Περὶ πενθίμου, καὶ τίνες οὐ πενθοῦνται.
XIV. Περὶ [τῶν περι]οριζομένων.
XV. Περὶ τῶν περισσοπρακτούντων, τουτέστι τῶν περιττὸν ἀπαιτούντων.
XVI. Περὶ πλάνης, ὡς ὅτε [ὁ] διατιθέμενος εἴπῃ περὶ οἰκογενοῦς δούλου τόνδε τὸν ἀγοραστήν[1].
XVII. Περὶ πλαστῶν καὶ τῶν εὐθυνομένων τῷ τοιούτῳ ἐγκλήματι.
XVIII. Περὶ ποινῶν.
XIX. Περὶ πόλεων καὶ προνομίων αὐτῶν, καὶ τῶν ἀπό τινος πολιτικῆς διοικήσεως ἢ φάκτου εὐθυνομένων αὐτοῖς.
XX. Περὶ πολιτῶν, καὶ προνομίων αὐτῶν καὶ λειτουργιῶν.
XXI. Περὶ πορνευόντων εἰς ἰδίας δούλας ἢ ἀλλοτρίας καὶ ἐλευθέρας, εἴτε γυναῖκας ἐχόντων αὐτῶν εἴτε μή, καὶ περὶ τῶν πειρωμένων δύο γυναῖκας ἔχειν.
XXII. Περὶ πορνοβοσκῶν.
XXIII. Περὶ ποταμοῦ καὶ τῆς ὄχθης αὐτοῦ, καὶ περὶ τῆς ἐν αὐτῷ φυομένης νήσου.
XXIV. Περὶ πραγματευτῶν τῶν τῇ εὐθηνίᾳ ἐπιβουλευόντων ἐκ τοῦ ἀγοράζειν καὶ ἀποτίθεσθαι φορτία ἢ σταθμοῖς νόθοις χρᾶσθαι, καὶ περὶ τοῦ μὴ ἐξεῖναι αὐτοῖς συμφωνεῖν πρὸς ἀλλήλους περὶ τῶν εἰδῶν ἐφ᾽ ᾧ μὴ ἐλάττονος οὗ πρὸς ἀλλήλους διέταξαν πραθῶσι, καὶ τοῦ μὴ ἔχειν μονοπώλιον.
XXV. Περὶ πραγμάτων ποιότητος καὶ τῆς διαιρέσεως αὐτῶν.
XXVI. Περὶ προδιδόντων ἀλλότρια δικαιώματα.
XXVII. Περὶ προδότου καὶ αὐτομόλου.
XXVIII. Περὶ προθεσμιῶν τῶν διδομένων τοῖς δικαζομένοις παρὰ τῶν δικαστῶν.
XXIX. Περὶ προικὸς καὶ προνομίου αὐτῆς καὶ δικαίου καὶ τῶν περὶ αὐτὴν πάκτων ἤτοι συμφώνων, καὶ ποῖα αὐτῶν ἔρρωται καὶ ποῖα οὐκ ἔρρωται, καὶ περὶ ἀπαιτήσεως καὶ ἐκδικήσεως αὐτῆς, καὶ περὶ τῶν εἰς αὐτὴν γενομένων δαπανημάτων, καὶ ποῖα τῶν δαπανημάτων μειοῦσιν αὐτὴν καὶ ποῖα οὐ μειοῦσι, καὶ περὶ ἀπαιτήσεως πρώτης καὶ δευτέρας προικὸς, καὶ περὶ τῆς ὑποσχεθείσης καὶ μὴ ἐπιδοθείσης, ἔνθα καὶ περὶ τῆς πρὸ γάμου δωρεᾶς φησι, καὶ ὅτι ὁ ἀνὴρ οὔτε ἐγγυητὴν οὔτε μανδάτορα ἐπὶ τῷ φυλάξαι τὴν προῖκα δίδωσι.
XXX. Περὶ προικὸς καὶ πρὸ γάμου δωρεᾶς ὅτι οὐχ ὑπόκεινται κληρονομιαίαις ἀποκαταστάσεσιν, καὶ ὅτι μετὰ τὸν γάμον δύνανται ἐπαυξεῖσθαι, καὶ περὶ τοῦ μὴ ἐκποιεῖσθαι τὰ ἀκίνητα αὐτῶν, καὶ περὶ προνομίου προικός, καὶ ὅτι οὐ συλλογίζεται

[1] Leuncl. emendat ἀγοραστόν. Recte.

εἰς τὴν τοῦ ἀνδρὸς ὑπόστασιν ἡ προὶξ ἐπιφερομένης αὐτῷ λειτουργίας.

XXXI. Περὶ προξενητῶν καὶ προξενητικῶν.

XXXII. Περὶ προστίμων ἤτοι ποινῶν τῶν ἐξ ἐπερωτήσεως καὶ τῶν ἀπὸ καταδίκης ἀρχόντων.

XXXIII. Περὶ τῶν προσφευγόντων τῇ ἁγίᾳ ἐκκλησίᾳ δούλων τε καὶ ἐλευθέρων· καὶ τίνες αὐτῶν οὐκ ἔχουσιν ἀθῴωσιν.

XXXIV. Περὶ τῶν προσφευγόντων εἰς προστασίαν τινῶν δυνατῶν.

XXXV. Περὶ προτιμήσεως τῶν πιπρασκομένων παρὰ μητροκωμητῶν.

XXXVI. Περὶ τῶν προσποριζομένων ἡμῖν.

XXXVII. Περὶ [προ]χρονισμοῦ.

Ρ.

I. Περὶ ῥημάτων σημασίας.

II. Περὶ ῥωμαλέων αἰτούντων.

Σ.

I. Περὶ σταυροῦ τιμίου.

II. Περὶ στασιωτῶν ἤτοι τῶν στάσεις καὶ θορύβους καὶ ὀχλαγώγια ποιούντων καὶ τῶν διεγειρόντων αὐτοὺς ἢ ὑποδεχομένων.

III. Περὶ στρατηγῶν.

IV. Περὶ στρατιωτῶν, καὶ προνομίων αὐτῶν, καὶ πεκουλίων καὶ ῥογῶν καὶ ἀννόνων καὶ ἐπιδημιῶν καὶ παρόδων, καὶ περὶ τῶν παρ᾽ αὐτῶν ἁμαρτανομένων καὶ περὶ τιμωρίας ἑκάστου αὐτῶν ἁμαρτήματος, καὶ περὶ ἀποκαταστάσεως αὐτῶν, καὶ τίνες κωλύονται στρατεύεσθαι.

V. Περὶ συγχαριαρίων[1].

VI. Περὶ συκοφαντῶν.

VII. Περὶ συμβολαιογράφων καὶ συμβολαίων.

VIII. Περὶ συμφώνων καὶ συναινέσεων καὶ συναλλαγμάτων.

IX. Περὶ συνηθειῶν τῶν διδομένων παρὰ τῶν ἐπαρχεωτῶν τοῖς διακομίζουσι καὶ ἐμφανίζουσι τὰς ἐκ βασιλέως ἀποστελλομένας σάκρας ἤτοι ἐπαναγνωστικά, καὶ περὶ τῶν διδομένων συνηθειῶν τοῖς διακομίζουσι τὰ διατάγματα τῶν μελλόντων ἄρχειν πολιτικῆς ἢ στρατιωτικῆς ἀρχῆς.

X. Περὶ συνηγόρων, καὶ τίνες κωλύονται συνηγορεῖν.

XI. Περὶ συνωνῆς τῆς τε ἐν ὡρείοις ἀποκειμένης καὶ τῆς κατὰ θείαν κέλευσιν χορηγουμένης παρὰ τῶν κτητόρων.

XII. Περὶ συστημάτων καὶ σωματείων θεμιτῶν, ἤτοι χαρακτῶν, χαλκέων, μαγκίπων, κήπων[2], χοιρεμπόρων καὶ λοιπῶν· καὶ περὶ συστημάτων ἀθεμίτων.

Τ.

I. Περὶ ταβουλαρίων.

II. Περὶ ταβλιζόντων ἐκκλησιαστικῶν προσώπων.

---

[1] Lips. συχαρίων. [2] Deest apud Leuncl. Legendum videtur καπήλων vel κηπουρων.

III. *Περὶ τακίτου, ἤτοι τοῦ μὴ γινωσκομένου λεγάτου ἀπὸ ἀναγνώσεως τῆς διαθήκης.*
IV. *Περὶ ταξεωτῶν.*
V. *Περὶ τάφων, καὶ τί διαφέρουσιν οἱ τάφοι τῶν μνημάτων, καὶ περὶ τῆς γινομένης δαπάνης εἰς ταφὴν καὶ κηδείαν τῶν τεθνεώτων.*
VI. *Περὶ τειχῶν.*
VII. *Περὶ τέλους δημοσίου, καὶ τελεστῶν καὶ τελωνῶν.*
VIII. *Περὶ τεχνιτῶν [ἢ] ἐργολάβων, τοῦ μὴ ἐξεῖναι αὐτοῖς σύμφωνα ποιεῖν, ἵνα μή τις ὅπερ ἄλλῳ ἐπετράπη ἔργον πληρώσῃ.*
IX. *Περὶ τῶν τικτομένων ἀπὸ ἐλευθέρου καὶ δούλης ἢ τοὐναντίον, καὶ ἀπὸ ἐναπογράφων καὶ ἐλευθέρων.*
X. *Περὶ τιμῶν πολιτικῶν.*
XI. *Περὶ τόκων ἀπαιτουμένων καὶ μὴ ἀπαιτουμένων, καὶ ἀργυροπρατικῶν, καὶ τῶν μετὰ ὑπέρθεσιν ἀπαιτουμένων.*
XII. *Περὶ τυμβωρύχων.*
XIII. *Περὶ τοιχωρύχων.*

Υ.

I. *Περὶ ὕβρεων.*
II. *Περὶ ὕδατος ἀντλήσεως.*
III. *Περὶ υἱοθετούντων καὶ υἱοθετουμένων, καὶ τίνες δύνανται υἱοθετεῖν ἢ υἱοθετεῖσθαι καὶ τίνες οὐ δύνανται.*
IV. *Περὶ ὑπεξουσίων δούλων τε καὶ υἱῶν, καὶ τῶν καλῇ πίστει δουλευόντων ἡμῖν, καὶ πότε καὶ πῶς ὑπὲρ αὐτῶν ἐνάγονται καὶ εὐθύνονται οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους, ἀπό τε συναλλαγμάτων αὐτῶν καὶ ἁμαρτημάτων καὶ χρέους, εἴτε ὡς προστήσαντες αὐτοὺς πραγματείας τινὸς ἢ καὶ ὡς παραχωρήσαντες αὐτοῖς τὴν τοῦ πεκουλίου διοίκησιν, ἢ καὶ ὡς δαπανησάντων αὐτῶν εἰς τὰ τοῦ δεσπότου ἢ τοῦ πατρὸς πράγματα.*
V. *Περὶ ὑπεξουσίων καὶ λύσεως ὑπεξουσιότητος· καὶ ὅτι ἐὰν ἀχάριστοι φανῶσιν οἱ λυθέντες τῆς ὑπεξουσιότητος, γίνονται αὖθις*[1] *ὑπεξούσιοι.*
VI. *Περὶ ὑπερθέσεων.*
VII. *Περὶ ὑπερθεματισμοῦ.*
VIII. *Περὶ ὑπευθύνων εἰς φυλακὴν βαλλομένων ἢ ἐγγυητὰς διδόντων.*
IX. *Περὶ ὑπηρεσιῶν ἤτοι καρπῶν δούλων ἀπαιτουμένων.*
X. *Περὶ ὑποδεκτῶν*[2].
XI. *Περὶ ὑποδεκτῶν τῶν ὑποδεχομένων ληστὰς ἢ ἑτέρους ὑπευθύνους καὶ μὴ προσαγόντων αὐτοὺς τῷ δικαστηρίῳ.*
XII. *Περὶ ὑποβολιμαίου τοκετοῦ.*
XIII. *Περὶ ὑπονομιαίων ἤτοι καναλῶν.*
XIV. *Περὶ ὑποφθορᾶς καὶ ὑπονοθεύσεως δούλων τε καὶ σεμνῶν γυναικῶν, καὶ περὶ τῶν ὑποδεχομένων φυγάδα δοῦλον.*

---

[1] Lips. *αὐτοῖς.* [2] Hanc rubricam Leuncl. non habet.

XV. *Περὶ ὑποφθορᾶς ἀντιδίκων, καὶ τίνες δύνανται αὐτοὺς ὑποφθείρειν καὶ τίνες οὐ δύνανται.*

Φ.

I. *Περὶ φαλκιδίου.*
II. *Περὶ φαρμακῶν καὶ τῶν διδόντων ἢ πωλούντων φάρμακον.*
III. *Περὶ φθορέων παρθένων, καὶ περὶ συντέκνων.*
IV. *Περὶ φλυαριῶν χαρτῶν, τουτέστι τῶν ῥιπτομένων πιττακίων καὶ ἐχόντων κατηγορίας κατά τινων.*
V. *Περὶ φόβου, ὅτι τὸ κατὰ φόβον γενόμενον οὐκ ἔῤῥωται.*
VI. *Περὶ φόνων τῶν ἐξ οἱασοῦν προφάσεως γινομένων ἑκουσίων τε καὶ ἀκουσίων, καὶ περὶ τῶν βασανιζομένων ἐν τῇ περὶ τούτων ἐξετάσει, καὶ τίνες τῶν φονέων τιμωροῦνται καὶ τίνες συγγινώσκονται.*
VII. *Περὶ φροντιστῶν δημοσίων, τῶν ἐν ταῖς πόλεσι τῶν δημοσίων πραγμάτων φροντιζόντων.*
VIII. *Περὶ φυγάδων δούλων.*
IX. *Περὶ φυλακητῶν καὶ φυλάκων καὶ φυλακῆς, καὶ τίσιν ὑποβάλλονται τιμωρίαις οἱ ἀποδιδράσκοντες τῆς φυλακῆς καὶ οἱ φύλακες αὐτῶν, καὶ περὶ τοῦ μὴ εἶναι φυλακὴν ἰδιωτικήν.*

Χ.

I. *Περὶ χηρῶν.*
II. *Περὶ χρέους ἀπαιτήσεως καὶ περὶ χρεωστούντων καὶ χρεωστουμένων, καὶ περὶ ἐκστάσεως καὶ χωρισμοῦ καὶ διαπράσεως τῶν ὑπαρχόντων τοῦ χρεώστου*[1], *καὶ τίνες προτιμῶνται εἰς τὴν ἐξώνησιν αὐτῶν, καὶ περὶ τῶν ἐκποιουμένων παρὰ χρεώστου εἰς περιγραφὴν δανειστοῦ· καὶ περὶ διαφορᾶς χρέους ἢ δανείου· καὶ περὶ τῶν ἀρνουμένων τὰ ἴδια χειρόγραφα· καὶ τοῦ μὴ ἐνέχεσθαι γαμετὴν ὑπὲρ ἀνδρὸς, εἰ καὶ συνήνεσεν ἐν τῷ δανειακῷ γραμματείῳ, μήτε μητέρα ὑπὲρ τῶν τοῦ παιδὸς χρεῶν, εἰ καὶ μερικὴν ἐποιήσατο καταβολὴν, μήτε πατέρα ὑπὲρ παίδων, μήτε παῖδας ὑπὲρ πατρός· καὶ περὶ τοῦ μὴ κατέχεσθαι τὰ τῶν χρεωστῶν τέκνα παρὰ τῶν δανειστῶν εἰς ἐνέχυρον ἢ δουλικὴν ὑπηρεσίαν, μηδὲ ἐνυβρίζεσθαι τὰ λείψανα τῶν χρεωστῶν· καὶ περὶ ἀντελλόγου χρέους.*
III. *Περὶ χρέους δημοσίου καὶ προικιμαίου καὶ ἰδιωτικοῦ, καὶ περὶ προτιμήσεως αὐτῶν.*
IV. *Περὶ χρήσεως καρπῶν καὶ χρήσεως ψιλῆς, καὶ οἷς κέχρηνται προνομίοις οἱ ταύτην ἔχοντες· καὶ περὶ τῶν ἀπὸ λεγάτου χρήσεων, καὶ ποίοις δαπανήμασι καὶ βάρεσιν ὑπόκεινται· καὶ ὅτι δύνανται κατὰ μίμησιν τοῦ ἀγοραστοῦ ἐξεοῦν τὸν μισθωτόν.*

---

[1] Lips. *χρεωστῶν.*

Ψ.

I. *Περὶ ψευδομαρτύρων.*
II. *Περὶ ψιλῆς ἐπαγγελίας, καὶ περὶ ψιλοῦ συμφώνου.*
III. *Περὶ ψήφων δικαστικῶν ἤτοι ἀποφάσεων, καὶ ποῖαι εἰσὶν ἀπειλητικαὶ ἀποφάσεις.*

Ω.

I. *Περὶ ὡρειαρίων τῶν καὶ ὑποδεκτῶν καλουμένων, καὶ περὶ ὡρείων καὶ τῶν ἐν αὐτοῖς ἀποκειμένων εἰδῶν.*

Ἐκλογὴ καὶ σύνοψις τῶν βασιλικῶν ἑξήκοντα βιβλίων σὺν παραπομπαῖς κατὰ στοιχεῖον τοῦ περὶ πίστεως μόνου τίτλου προτεθέντος πάντων τῶν στοιχείων διὰ τὸ τίμιον.

Περὶ τῆς ὀρθοδόξου πίστεως τῶν χριστιανῶν καὶ τοῦ μηδένα κατατολμᾶν περὶ αὐτῆς δημοσίᾳ ἀμφισβητεῖν.

---

1. *Ἀνάγνωθι βι. α΄ τί. α΄ κεφ. α΄ καὶ δ΄, ἐν οἷς φησιν, ὅτι* Χριστιανός ἐστιν ὁ πιστεύων μίαν εἶναι θεότητα ἐν ἴσῃ ἐξουσίᾳ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ὁ γὰρ παρὰ τὰ εἰρημένα δοξάζων αἱρετικός ἐστιν.

2. Μηδεὶς κληρικὸς ἢ μοναχὸς ἢ στρατευόμενος ἢ ἄλλος οἱοσδήποτε πληθὺν συνάγων δημοσίᾳ περὶ τῆς πίστεως διαλεγέτω· ὑβρίζειν γὰρ δοκεῖ τὴν ἐν χαλκηδόνι σύνοδον τὴν δεόντως πάντα διατυπώσασαν, ἥτις καὶ τοῖς αἱρετικοῖς πᾶσι δίδωσι γινώσκειν τὰ ἡμέτερα. ὥστε οὖν εἰ μὲν κληρικὸς εἴη ὁ ταῦτα ποιῶν, τοῦ συλλόγου τῶν κληρικῶν ἐκπεσεῖται· εἰ δὲ στρατευόμενος, τῆς στρατείας· οἱ δὲ λοιποὶ κατὰ τὴν οἰκείαν τάξιν[1] τιμωρείσθωσαν.

Ἀρχὴ τοῦ Α στοιχείου.

I.

Περὶ ἀγγαρειῶν καὶ παραγγαρειῶν, καὶ τίνες καὶ πότε ἀγγαρεύονται ἢ οὐκ ἀγγαρεύονται.

1. *Ἀνάγν. βι. ε΄ τί. α΄ κεφ. ε΄, ἐν ᾧ φησι·* Δεῖ τὰς ἐκκλησίας μὴ λειτουργεῖν, μάλιστα ῥυπαρὰς λειτουργίας, εἰ μὴ εἰς ἀνανέω–

---

[1] Leuncl. τύχην.

σιν γεφύρας καὶ ὁδοστρωσιῶν. ὑποκείσθωσαν δὲ ἀγγαρείαις καὶ παραγγαρείαις ἐν καιρῷ στρατοπέδου.

2. Καὶ κεφ. ζ', ἐν ᾧ φησι· Μηδὲ ἡ ἐκκλησία μήτε ἕτερος τῶν τοῦ στρατοπέδου ἐξκουσατευέσθω βαρῶν, ἀγγαρείας τυχὸν ἢ παραγγαρείας ἢ τοιούτου τινός.

3. Ἀνάγν. καὶ βι. νς' τί. ιζ' κεφ. κα' καὶ κεφ. κβ', ἐν οἷς φησι· Μήτε ἀξία μήτε ἐκκλησία μηδὲ οἶκος ἐν καιρῷ στρατοπέδου ἀπηλλάχθωσαν ἀγγαρείας ἢ παραγγαρείας.

4. Καὶ ἐστὶν ἀγγαρεία μὲν ἡ πάροδος ἡ διὰ τῆς δημοσίας ὁδοῦ τῆς καὶ δρόμον ἐχούσης, ὡς τυχὸν ἐντεῦθεν ἐπὶ τύρον. παραγγαρεία δὲ ἡ διὰ τῆς πλαγίας ὁδοῦ. καὶ ὅτι τὸ παλαιὸν ἦν ὁ πλατὺς δρόμος, ὁ λεγόμενος διὰ ὀχημάτων· τοῦτον τοίνυν ἀναιρεῖ ἡ διάταξις, λέγουσα εἶναι ἡνίκα δεήσει παρερχομένων στρατιωτῶν ἤτοι πρεσβευτῶν ἤτοι ὅπλων. τοῖς δὲ δεσπόταις τῶν ζώων παρεχέσθωσαν τὰ μισθώματα.

5. Ἀνάγν. καὶ τί. ιε' τοῦ αὐτοῦ νς' βι. κεφ. κγ'.

II.

Περὶ ἀγνοίας νόμου ἢ φάκτου, καὶ τίνες βοηθοῦνται ἐξ αὐτῶν.

1. Ἀνάγν. βι. β' τί. δ', οὗ ἐν τῷ α' κεφ. φησίν· Ἡ ἄγνοια ἢ φάκτου ἢ νόμου ἐστίν. ἐὰν γάρ τις ἀγνοήσῃ τελευτῆσαι τὸν συγγενῆ αὐτοῦ, οὐ τρέχει ὁ χρόνος τῆς διακατοχῆς. εἰ δὲ γινώσκει μὲν αὐτὸν τελευτῆσαι ἢ καὶ τυχὸν διαθέσθαι εἰς αὐτόν, ἀγνοεῖ δὲ ἐξ ἀδιαθέτου ἁρμόζειν αὐτῷ ἢ ἐκ διαθήκης διακατοχήν, τρέχει ὁ χρόνος. περὶ γὰρ τὸν νόμον πλανᾶται. τὸ αὐτό ἐστι, κἂν ὁ ὁμοπάτριος ἀδελφὸς νομίζῃ προτιμᾶσθαι αὐτοῦ τὴν μητέρα[a].

2. Ἐν δὲ τῷ γ'. κεφ. Τὴν τοῦ φάκτου ἄγνοιαν τοῦ ἀπολλυμένου καὶ τοῦ λίαν ἀμελοῦς οὐ προσδεχόμεθα.

3. Ἐν δὲ τῷ ζ' κεφ. Ἡ τοῦ νόμου ἄγνοια τοὺς μὲν ἀπαιτοῦντας τὰ ἴδια οὐ βλάπτει· ἐπὶ δὲ κέρδει οὐ συμβάλλεται.

4. Ἐν δὲ τῷ η' κεφ. Ἡ τοῦ φάκτου ἄγνοια καὶ ἀνδράσι καὶ γυναιξὶ βοηθεῖ ἐπὶ κέρδους καὶ ζημίας. ἡ δὲ τοῦ νόμου ἄγνοια ἐπὶ κέρδους οὔτε γυναιξὶ βοηθεῖ, ἐπὶ ζημίας δὲ οὐδένα βλάπτει θέλοντα τὸ ἴδιον ἀπαιτῆσαι.

5. Ἐν δὲ τῷ θ' κεφ. Κανονικῶς ἡ μὲν τοῦ φάκτου ἄγνοια οὐδένα βλάπτει· ἡ δὲ τοῦ νόμου πάντας βλάπτει, πλὴν τῶν ἀφηλίκων καὶ ἔν τισι τῶν γυναικῶν, ἔνθα μή ἐστιν ἁμάρτημα,

---

a Ἀμφότεροι γὰρ ἐξ ἴσου καλοῦνται.

ἀλλὰ νόμου ἄγνοια. ὁ γὰρ ἀφήλιξ δανείσας ὑπεξουσίῳ βοηθεῖται.

Καὶ ὅτι ἡ τοῦ νόμου ἄγνοια τότε οὐ συμβάλλεται, ὅταν τὶς εἶχε τοὺς ὀφείλοντας ἐρωτηθῆναι τὸν νόμον, ἢ αὐτὸς διὰ τῆς οἰκείας φρονήσεως ἐγίνωσκεν. ὁ γὰρ εἰδέναι δυνάμενος ἐκ τῆς ἀγνοίας τοῦ νόμου βλάπτεται· ὅπερ σπανίως δεχόμεθα.

6. Ἐν δὲ τῷ ις' κεφ. Ἡ τοῦ φάκτου ἄγνοια τοῖς τμηθεῖσιν οὐ συμβάλλεται φάκτοις[b].

7. Ἐν δὲ τῷ κα' κεφ. Μηδεὶς ἀγνοείτω ἢ ἀποπροσποιείτω διατάξεις βασιλικάς.

III.

Περὶ ἀγορασίας καὶ πράσεως, καὶ τῶν περὶ αὐτῶν συναλλαγμάτων τε καὶ συμφώνων, καὶ ποῖα πράγματα οὐ δύνανται πιπράσκεσθαι ἤτοι κεκώλυνται, καὶ περὶ διαφορᾶς πράσεως καὶ μισθώσεως, καὶ τίνες κωλύονται ἀγοράζειν ἢ πωλεῖν.

1. Ἀνάγν. βι. ιθ' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησί· Ποτὲ καταλλαγὴ ἦν πραγμάτων ἀντιδιδομένων, ὕστερον δὲ γέγονεν ἡ πρᾶσις ἀργυρίων ἐπινεμηθέντων· χωρὶς γὰρ ἀργυρίων οὐ συνίσταται πρᾶσις.

Καὶ ὅτι ἡ ἀγορασία τοῦ ἐθνικοῦ νόμου ἐστί· διὸ καὶ συναινέσει συνίσταται, καὶ μεταξὺ ἀπόντων, καὶ διὰ μέσου καὶ διὰ[1] γραμμάτων.

2. Ἐν δὲ τῷ β' κεφ. Μεταξὺ πατρὸς καὶ υἱοῦ, εἰ μὴ ἐπὶ ἰδιοκτήτῳ πράγματι[a], οὐ συνίσταται πρᾶσις[2]. καὶ ὅτι ἄνευ τιμήματος οὐκ ἔστι πρᾶσις[b].

---

b Θαλελαίου. Καὶ ὁ φάκτον ἀγνοῶν συγγινώσκεται, ἐὰν πρὸ τῆς τομῆς τοῦ φάκτου τὴν ἄγνοιαν προεβάλετο· εἰ γὰρ μετὰ ψῆφον ἠγνόησεν, οὐ συγγινώσκεται. ἀνάγν. βι. η' τί. λε' διατ. δ', ἔνθα φησὶν ὅτι ἔῤῥωται ἡ φωνὴ τῶν δικαζομένων ἄχρι τῆς καταδίκης.

Ὅτι τὸ ἐκ τῆς ἀγνοίας πραχθὲν καὶ τμηθὲν φάκτον τῷ προκαλύμματι τῆς ἀγνοίας οὐκ ἀνανεοῦται[3].

a Ὁ γὰρ ὑπεξούσιος ἐν τῷ ἰδιοκτήτῳ τάξιν ἔχει αὐτεξουσίου.

b Χωρὶς[4] τιμήματος οὐδεμία συνίσταται πρᾶσις. ἡ δὲ τιμήματος ἀπαρίθμησις οὐ συνίστησιν πρᾶσιν, ἀλλὰ τὸ περὶ τούτου σύμφωνον. τοῦτο δὲ λέγομεν ἐπὶ τῆς ἀγράφου πράσεως. ἐπὶ γὰρ τῆς ἐγγράφου οὐχ ἑτέρως τὸ τέλος προσγίνεσθαι λέγομεν τῇ πράσει καὶ τῇ ἀγορασίᾳ, εἰ μὴ καὶ τὰ συμ-

---

1 Lips. διὰ μέσου μετὰ γραμμ. 2 Lips. temere hic repetit illa: οτι η ἀγορασία τοῦ ἐθνικοῦ νόμου. 3 Hoc scholium Leunclajus tamquam partem textus edidit. 4 Theoph. III, 3 pr. § 1.

3. Ἐν δὲ τῷ ζ' κεφ. Οἱ πωλοῦντες καὶ οἱ ἀγοράζοντες, ἐὰν διχονοῶσι περὶ τὸ τίμημα ἢ τὸ πρᾶγμα ἢ τὴν ὕλην, οὐκ ἔῤῥωται ἡ πρᾶσις. τυχὸν γὰρ ἐγὼ πέτρον ἐνόμιζον πωλεῖν, καὶ σὺ παῦλον ἀγοράζειν· ἢ χαλκὸς ἀντὶ χρυσοῦ ἐπωλεῖτο. Ἡ δὲ περὶ τὴν προσηγορίαν τοῦ πιπρασκομένου πλάνη οὐ βλάπτει τὸ συνάλλαγμα. εἰ δὲ ὄξος ἀπὸ οἴνου, οὐ μὴν σκευαστὸν, ἀντὶ οἴνου πραθῇ, ἔῤῥωται ἡ πρᾶσις[d]. Καὶ ἐὰν ἧττον δόκιμός ἐστιν ὁ πραθεὶς χρυσὸς παρ' ὃ ὁ ἀγοραστὴς ἤλπιζεν, ἔῤῥωται ἡ πρᾶσις.

4. Ἐν δὲ τῷ ιδ' κεφ. Ἐὰν κελευσθεὶς ὁ δοῦλός μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πραθέντος ἀγροῦ πλέον ὑποδείξῃ ἢ κατὰ δόλον ἢ ἄγνοιαν, οὐ προκρίνει με[1].

5. Ἐν δὲ τῷ ιε' κεφ. Ὅπερ ἐπώλησα οὐ γίνεται τοῦ λαβόντος,

βόλαια τῆς πράσεως συγγραφῇ, ἢ οἰκείᾳ χειρὶ τοῦ πιπράσκοντος, ἢ ὑπὸ ἑτέρου μὲν γραφῇ, ὑπογράψῃ δὲ ὁ πιπράσκων. εἰ δὲ διὰ ταβελλίωνος γένηται, εἰ μὴ καὶ κομπλετίονες παρακολουθήσουσι, ἡγησαμένης τῆς ὑπογραφῆς, καὶ ἀπολυθῇ τὰ συμβόλαια τοῖς μέρεσιν. ἐν ὅσῳ γὰρ ἐλλείπει τὶ τούτων, καὶ μεταμελείᾳ χώρα γενήσεται, καὶ δύναται ὁ ἀγοραστὴς καὶ ὁ πράτης ἀζημίως ἀναχωρεῖν ἀπὸ τοῦ συναλλάγματος. οὕτω μέντοιγε εἰ μὴ ἄρα ἤδη ἔτυχέ τι λόγῳ ἀῤῥαβῶνος δοθέν. τούτου γὰρ γενομένου εἴτε ἐγγράφως εἴτε ἀγράφως ἡ πρᾶσις γένηται, ὁ ἀναχωρῶν τοῦ συναλλάγματος, εἰ μὲν ἀγοραστὴς εἴη, ἀπόλλυσι τὸν ἀῤῥαβῶνα, εἰ δὲ πράτης, τὸ διπλοῦν παρέχειν ἀναγκάζεται· εἰ καὶ μηδὲν ἐν τῷ δίδοσθαι ἀῤῥαβῶνας συνεφωνήθη. τίμημα μέντοι πάντως ὁρίζεσθαι χρὴ ἐπὶ τῆς πράσεως· οὐδεμία γὰρ ἔσται πρᾶσις τιμήματος μὴ ὑποκειμένου. ἀλλὰ καὶ κέρτον ὀφείλει εἶναι τὸ τίμημα.

ς'. Τὸ[2] ἐξ ἀρχῆς σύμφωνον διὰ μεταγενεστέρου δύναται ἀμείβεσθαι, ὥσπερ καὶ ὑπαναχωρεῖν τέλος[3] ἔξεστιν, εἰ μὴ ἐπληρώθη ἅπερ ἕκαστον μέρος ὀφείλει ποιεῖν. δύναταί[4] φησιν ὑπαναχωρεῖν τοῦ συναλλάγματος πάκτῳ μεταγενεστέρῳ, ἡνίκα μηδέτερον τῶν μερῶν ἐποίησε τὰ ἑαυτοῦ, ὁ μὲν ἀγοράσας διδοὺς[5] τὸ τίμημα, ὁ δὲ πράττων[6] μὴ τραδιτεύσας τὸ πρᾶγμα· ἡ λεγομένη[7] ῥε νόνδουμ σεκούτα.

c Εἰ ἀντὶ χρυσοῦ πραθῇ χαλκὸς ἑκατέρου ἀγνοοῦντος, ἄκυρος ἡ πρᾶσις. εἰ δέ [τι] ἔχει ἀπὸ χρυσοῦ ὁ χαλκὸς, [ἔῤῥωται ἡ πρᾶσις].

d Ἐπὶ μὲν τοῦ ὄξους, ἐπειδὴ κατ' ἀρχὰς οἶνος ἦν, συνίστασθαι τὴν πρᾶξιν[8]. εἰ δὲ ἐξ ἀρχῆς ὄξος ἦν, τυχὸν ὀμφάκων σταφυλῶν, οὐκ ἰσχύει.

---

[1] Leuncl. μοι. Idem addit: τὸ αὐτὸ καὶ περὶ παραδόσεως νομῆς σχολαζούσης, εἰ ἐσχόλασεν ὁ δεσπότης. Quorum pars prior textum, posterior scholium continere videtur. [2] Haec Leuncl. partem textus esse voluit. Atqui in Lips. desunt, et scholia sapiunt. Cf. Edit. Heimb. c. 5, in Supplem. c. 6. [3] Malim τῆς ὅλης πράσεως. [4] Lege δυνατόν. [5] Lege μὴ διδοὺς. [6] Lege πράτης. [7] Forte τὸ λεγόμενον. [8] Lege πρᾶσιν.

εἰ μὴ δοθῇ τὸ τίμημα ἢ ἱκανοδοσία, ἢ χάριν[1] ἱκανοδοσίας καταπιστεύσω τῷ ἀγοραστῇ[e].

6. Ἐν δὲ τῷ κβ' κεφ. Ὁ ἐξ οἱουδήτινος ἀγοράζων νομίζων αὐτὸν δεσπότην, καλῇ πίστει ἀγοράζει· οὐ μὴν ὁ ἀγοράζων παρὰ ἀνήβου χωρὶς αὐθεντίας τοῦ ἐπιτρόπου, ἢ ἐν εἰδήσει σὺν αὐθεντίᾳ τοῦ πλαστοῦ ἐπιτρόπου.

7. Ἐν δὲ τῷ κγ' κεφ. Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν δοῦλος κλέψῃ τὶ τοῦ πεκουλίου καὶ περιέλθῃ εἰς τὸν ἀγοραστὴν, χώρα τῇ ἀγωγῇ τῇ ἀπαιτούσῃ τὸ κλαπὲν πρᾶγμα, καὶ τῇ περὶ ἀποκρυβῆς ἀγωγῇ καὶ τῇ ἐκδικούσῃ τὸ τοῦ πραθέντος τίμημα[f].

8. Ἐν δὲ τῷ λ' κεφ. Ὁ τίμημα μὲν ὁρίσας, κατὰ δὲ δωρεὰν μέλλων αὐτὸ μὴ ἀπαιτεῖν, οὐ δοκεῖ πιπράσκειν[g].

---

e Ἡ ἄγραφος πρᾶσις συνίσταται, κἂν μόνον[2] τὸ τίμημα καταβληθῇ ἢ τὸ πρᾶγμα παρεδόθη, ἢ ἱκανοδοσία δοθῇ, ἢ χωρὶς ἱκανοδοσίας οὕτως ὁ πράτης καταπιστεύσῃ τῷ ἀγοραστῇ. ἡ δὲ ἔγγραφος πρᾶσις οὐ συνίσταται, εἰ μὴ [συγγραφῇ] καὶ ἀπολυθῇ τὸ περὶ αὐτῆς συμβόλαιον.

ιζ'[3]. Καὶ εἰδὼς καὶ ἀγνοῶν ἀνισχύρως ἀγοράζω τὸ ἐμόν. εἰ δὲ ἠγνόησα, καὶ τὸ τίμημα ἀπαιτῶ. εἰ μέντοι μόνην χρῆσιν εἶχον ἐν τῷ πραθέντι μοι, ἔῤῥωται ἡ πρᾶσις, διακρίσει δὲ τοῦ δικαστοῦ μειοῦται τὸ τίμημα. [εἰ κοινὸν πρᾶγμα πραθῇ ἀγνοοῦντος τοῦ] δεσπότου, ἐν μέρει ἰσχύει καὶ ἐν μέρει οὐκ ἰσχύει.

ιη'. Τὸ παρὰ τοῦ πράτου λεγόμενον ἀσαφῶς αὐτὸν βλάπτει. οἷον ἐπώλησά τινι ἀγρὸν εἰς λίτρας ιβ', εἰπὼν διὰ γ' ἐτῶν ἀπολαβεῖν με τὸ τοιοῦτον ποσόν. πληρωθέντος γοῦν τοῦ χρόνου, ἐζήτουν τὰς δ' λίτρας. ὁ δὲ ἔλεγε, τῶν γ' πληρωθέντων ἐτῶν ἅπαν ἀποδοῦναι. διὰ τὸ σαφηνίσαι γοῦν ἐν τῇ πράσει πῶς ὤφειλον λαβεῖν, βέβλαμμαι. εἰ γὰρ ἐδήλωσα τοῦτο, ἔλαβον ἂν ὡς συνεφώνησα. νυνὶ δὲ πρὸς εὐεργεσίαν ἑρμηνευθήσεται τοῦ ἀγοραστοῦ.

f κζ'[4]. Τοῦ πράτου μου τὴν νομὴν ἰσχυρῶς ἀγοράζω παρὰ τοῦ ἔχοντος αὐτὴν, καὶ δύναμαι περιγενέσθαι ἐν τῇ περὶ νομῆς δίκῃ. ὁ [ὑπὸ γεῦσιν] ἀγοράζων δύναται ἀποδοκιμάζειν. ὁ δὲ ὑπὸ μέτρον, οὔτε προστιθέναι οὔτε ὑφαιρεῖν. ἐὰν εἴπω· πέτρος ἢ παῦλος ἐστί μοι ἀγορασθεὶς, ὃν θέλει ὁ πράτης δίδωσιν, ὡς ἐπὶ τῶν ἐπερωτήσεων. [ἀλλ' ἑνὸς τελευτήσαντος] ὁ ἄλλος δίδοται. ὁ γὰρ πρῶτος τῷ πράτῃ, ὁ ἄλλος τῷ ἀγοράσαντι ἐγκινδυνεύεται. εἰ μὲν οἱ δύο ἅμα τελευτήσωσι, κεχρεώστηται τὸ τίμημα.

g Ἡνίκα τὶς πιπράσκων ὁρίζει τίμημα δωρεᾶς χάριν, οὐχ ὡς μέλλων

---

[1] Leuncl. conjicit: χωρίς. [2] Fabrot. edidit: κἂν μὴ — παραδοθῇ, ἀλλ' ἢ ἱκαν. [3] Sequentia (Edit. Heimb. c. 15. 16. 20, in Suppl. c. 16. 17. 21) Leuncl. tamquam partem textus edidit. Sed ex margine irrepsisse arguit tum ordo capitum turbatus, tum posterior pars c. 21, quae aperte scholium sapit. [4] Cf. Edit. Heimb. c. 32, Suppl. c. 34. Leuncl. quasi partem textus edidit.

9. Ἐν δὲ τῷ λβ' κεφ. Εἰ μὲν εἰς τὸ παντελὲς γένηται πρᾶσις δωρεᾶς αἰτίᾳ, οὐκ ἔῤῥωται. εἰ δὲ δωρεᾶς αἰτίᾳ πραθῇ τι ἥττονος τιμήματος, ἰσχύει. μεταξὺ δὲ ἀνδρὸς καὶ γυναικὸς οὐδὲ τοῦτο ἔῤῥωται, ἀλλὰ ἄκυρος ἡ πρᾶσις.

10. Ἐν δὲ τῷ λδ' κεφ. Ἐὰν πωλήσας ἀγρὸν παρεχώρησα ὕδωρ, καὶ ὁδὸν χρεωστῶ.

11. Ἐν δὲ τῷ λε' κεφ. Τὰ εἰς ἔπαινον τοῦ πιπρασκομένου λεγόμενα παρὰ τοῦ πράτου, εἰ μὲν φαίνονται, οὐκ ἐνοχοποιοῦσιν αὐτόν· οἷον ὅτι εὐειδής ἐστιν ὁ δοῦλος ἢ καλῶς ὁ οἶκος ἔκτισται. εἰ δὲ εἴποι γεγραμματισμένον ἢ τεχνίτην εἶναι, τοιοῦτον δίδωσιν, ὡς κατὰ τοῦτο πλείονος πωλήσας.

12. Ἐν δὲ τῷ λθ' κεφ. Οὐδεὶς ἐκ τοῦ παρ' αὐτοῦ χειριζομένου ὀφφικίου ἀγοράζειν τὶ δύναται δι' ἑτέρου ἢ δι' ἑαυτοῦ· ἐπεὶ καὶ τοῦ πράγματος ἐκπίπτει καὶ εἰς τὸ τετραπλοῦν ἐνάγεται. ὑπεξαιροῦνται δὲ οἱ ῥητῶς ἐπιτετραμμένοι[h].

13. Ἐν δὲ τῷ να' κεφ. Ὁ πράττων ὀφφίκιον ἐν ἐπαρχίᾳ ἢ στρατευόμενος οὐ δύναται ἀκίνητον ἀγοράζειν ἐν αὐτῇ, εἰ μὴ πατρῷον[1] παρὰ τοῦ δημοσίου.

14. Ἐν δὲ τῷ ξε' κεφ. Ὁ ἀγοραστὴς τοῖς δικαίοις τοῦ πράτου κέχρηται, κἂν τῇ νομῇ αὐτοῦ πρὸς τὴν τοῦ μακροῦ χρόνου παραγραφήν.

15. Ἐν δὲ τῷ οα' κεφ. Μηδεὶς βαπτέτω[2] ἢ πιπρασκέτω πορφύραν, μήτε ἐν μετάξῃ μήτε ἐν ἐρίῳ. ὁ δὲ πωλήσας καὶ δημεύεται καὶ κεφαλικῶς τιμωρεῖται.

Ὁμοίως δὲ καὶ ὁ ἀγοράσας σῖτον ἐκ τοῦ δημοσίου κανόνος ἢ πωλήσας κεφαλικῶς τιμωρεῖται.

16. Ἐν δὲ τῷ ογ' κεφ. Μηδεὶς εἰς τὸ βαρβαρικὸν ἀπαγέτω οἶνον ἢ ἔλαιον ἢ γάρον, μήτε τοῦ γεύσασθαι ἕνεκεν, μηδὲ ἐπὶ τῇ χρήσει αὐτῶν τῶν ἐμπόρων.

Μήτε δὲ ὅπλα ἢ σίδηρον πιπρασκέτω. ὁ δὲ παρὰ ταῦτα ποιήσας τὶ δημευέσθω καὶ κεφαλικῇ ὑποκείσθω τιμωρίᾳ[3].

17. Ἐν δὲ τῷ οε' κεφ. Εἴ τις διὰ τὴν πολλὴν πενίαν καὶ τὴν ἔνδειαν τῆς τροφῆς ἕνεκεν τὸν υἱὸν ἢ τὴν θυγατέρα πωλήσει,

---

ἀπαιτεῖν, ἡ πρᾶσις οὐκ ἔῤῥωται, διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτε τὶς ἄλλο πράττει καὶ ἄλλο τὶ προσποιεῖται, οὐδὲ ὃ πράττει δοκεῖ ἐῤῥῶσθαι.

h Περὶ ἀρχόντων ἀγοραζόντων ἀνάγνωθι βι. νζ' τί. α' κεφ. ιη', ὅπερ εὑρήσεις ἐν τῷ περὶ στρατιωτῶν.

---

1 Lips. πρῶτον. 2 Leuncl. καπηλευέτω. 3 Lips. κεφαλικῶς τιμωρείσθω.

ἐῤῥωται ἡ πρᾶσις[i]. ἐπὶ τούτῳ δὲ μόνον ἔῤῥωται, ἐφ᾽ ᾧ τὸν ἀγοράσαντα μὴ ἄλλως ἀναγκάζεσθαι ἀποδοῦναι ταῦτα τὰ πρόσωπα, ἐὰν μὴ ἢ τὸ τίμημα λάβῃ, ὅσου εἰσὶν ἄξια νῦν[k], ἢ ἀνδράποδον αὐτοῖς ὅμοιον. ἐξέστω γὰρ αὐτῷ τῷ πεπρακότι ἢ τῷ πραθέντι ἢ εἴ τινι δήποτε ἑτέρῳ εἰς τὴν ἰδίαν εὐγένειαν αὐτὸν ἐπαναλαβεῖν· μόνον ἐὰν ἢ τὸ τίμημα προσφέρῃ, ὅσον ἰσχύει νῦν ὁ πραθεὶς, ἢ ἀνδράποδον ὑπὲρ τούτου παράσχῃ. εἰ γὰρ καὶ πένης ἦν, εἶχε δὲ τὸν τρέφοντα αὐτὸν ὡς διὰ τὸ εὐσεβὲς, οὐ καλῶς πιπράσκει. ἡ γὰρ διάταξίς φησιν[1] ὡς εἰ μὴ πάντα συνδράμωσιν, οὐκ ἔῤῥωται ἡ πρᾶσις.

18. Ἐν δὲ τῷ νδ´ κεφ.[2] Συνεφώνησα τόσους κεράμους ποιῆσαι τοῦ νομίσματος. εἰ μὲν σή ἐστιν ἡ ὕλη, ἐξ ἧς γίνονται, πρᾶσίς ἐστιν· εἰ δὲ ἐγὼ δέδωκα αὐτὴν, μίσθωσίς ἐστιν. ἐπὶ μὲν γὰρ τῆς πράσεως ἡ δεσποτεία τῆς ὕλης ἀμείβεται· ἐπὶ δὲ τῆς μισθώσεως τοῦ αὐτοῦ μένει.

19. Ἀνάγνωθι καὶ βι. ι´ τί. β´ κεφ. λγ´, ἐν ᾧ φησι· Παλαιῶν νόμων κωλυόντων τοὺς ἄρχοντας ἀγοράζειν τὶ παρὰ τῶν ἰδίων ἐπαρχεωτῶν, καὶ διατάξεως τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν τοῦτον τὸν νόμον ἀνανεωσάσης, τῆς ἀνηνεγμένης ἐν τῷ α´ βιβλίῳ τοῦ κώδικος, ἡ προκειμένη διάταξις γενικώτερον νομοθετεῖ, ἵνα κἂν ταξεώτης ἢ ἄλλος τὶς οἱονδήποτε μεταχειρίζων ὀφφίκιον ἀγοράσῃ πρᾶγμα ἐν ἐκείνῃ τῇ ἐπαρχίᾳ ἢ τῷ τόπῳ, ἐν ᾧ χειρίζει τὸ ὀφφίκιον, τοῦ πεπρακότος εὐλαβηθέντος αὐτὸν καὶ διὰ τοῦτο πωλήσαντος, ἵνα καὶ τὸ ἀγορασθὲν ἀναδιδῶται πρᾶγμα, καὶ τὸ τίμημα κερδαίνῃ ὁ πεπρακώς.

20. Ἀνάγν. καὶ τι. γ´ κεφ. λϛ´, ἐν ᾧ φησιν. Ὁ πράτης ἐφ᾽ οἷς λέγει πρὸς ἔπαινον τοῦ πιπρασκομένου οὐκ ἐνέχεται, εἰ μὴ ἀπάτῃ τοῦ ἀγοραστοῦ εἶπε· τότε γὰρ ἡ περὶ δόλου ἁρμόζει.

21. Ἀνάγν. καὶ τί. δ´ κεφ. ιϛ´ θεμ. δ´, ἐν ᾧ φησιν· Ἐπὶ τῆς πράσεως καὶ τῆς ἀγορασίας ἔξεστι κατὰ φύσιν ἀλλήλους ἐν τῷ τιμήματι περιγράφειν τοὺς συναλλάσσοντας[l].

22. Ἀνάγν. καὶ βι. νϛ´ τί. β´ κεφ. μα´, ἐν ᾧ φησιν· Ἐὰν ἄρχων

---

i Περὶ τοῦ πραθέντος ἀνάγν. καὶ τοῦ ε´ στοιχείου κεφ. ιϛ´[3].

k Ἀντὶ ὅσου νῦν ἐστὶν ἄξιον αὐξηθὲν καὶ μεῖζον γενόμενον τὸ πραθέν.

l Οὐ μὴν ἐπὶ τῷ μέτρῳ ἢ τῷ σταθμῷ τοῦ πιπρασκομένου, ὡς κεφ. λβ´ τοῦ κ´ τί. τοῦ παρόντος βιβλίου.

---

1 Lips. κελεύει. 2 Leunclajus hoc caput rectius collocavit supra inter c. 13 et 14. 3 Lege: Περὶ τοῦ πραθ. ἐλευθέρου, et vide lit. E tit. 17.

ἐπαρχίας ἢ ἄλλως διοικῶν αὐτὴν ἀγοράσῃ τὶ ἐν αὐτῇ, κἂν διὰ μέσου, τῆς πράσεως ἀκυρουμένης ἐκδικεῖται τὸ πρᾶγμα καὶ ἡ τιμὴ τῷ δημοσίῳ εἰσκομίζεται. τῷ δὲ διοικοῦντι οὐδὲ πλοῖον ἔξεστιν ἐν αὐτῇ κατασκευάζειν.

23. Ἀνάγν. καὶ βι. ξ' τί. μη' κεφ. α', ἐν ᾧ φησιν· Δύναται τὸν ἀπόντα δοῦλον πωλεῖν ὁ δεσπότης, οὐ μὴν τὸν φυγάδα. καλῶς δὲ ἐντέλλεταί τινι ζητῆσαι τὸν φυγάδα καὶ ἔχειν ἠγορασμένον καὶ ἑτέρῳ[1] πωλῆσαι. οἱ γὰρ τὴν φυγὴν τῶν ἰδίων δούλων πωλοῦντες ὑπόκεινται τῷ νόμῳ.

24. Καὶ ἐν τῷ ι' κεφ. Ὅτι τὸν μὲν ἐν φυγῇ δοῦλον οὔτε πωλεῖν δύναταί τις οὔτε δωρεῖσθαι οὔτε ἀγοράζειν. ἀλλ' ὁ ἐν ἐκ τούτων ποιήσας ὑπόκειται τῷ νόμῳ τῷ περὶ ἀνδραποδισμοῦ, ὑπεξῃρημένου συγκληρονόμου. οὗτοι γὰρ ἐν τῷ διαιρεῖσθαι τὰ ἐπίκοινα πράγματα ἀνάγκην ἔχουσι καὶ περὶ τοῦ ὄντος ἐν φυγῇ οἰκέτου συμφωνεῖν, ὥστε τοῦδε αὐτὸν εἶναι. δυνατὸν δὲ οὕτω πρᾶσιν συμφωνηθῆναι, ὑπὸ αἵρεσιν τυχὸν, ὅτι ἐὰν εὑρεθῇ, πιπράσκω σοι αὐτὸν τοσῶνδε νομισμάτων.

25. Ἀνάγν. καὶ τί. ιϛ' τοῦ ιθ' τούτου βιβλίου, ἐν ᾧ φησι περὶ ἐπιτρόπου καὶ κουράτωρος[m].

IV.

Περὶ ἀγορασίας καὶ πράσεως ἐπὶ ὅρῳ γενομένης, ὡς ἵνα γενομένου ὑπερθεματισμοῦ ἤτοι ἐπαυξήσεως τοῦ τιμήματος εἴσω τοῦ συνδόξαντος ἐν τῷ συμφώνῳ τῆς πράσεως ὅρου ἀναλύηται ἡ πρᾶσις.

1. Ἀνάγν. βι. ιθ' τί. β', οὗτινος ἐν τῷ γ' κεφ. φησί· Κρείττων ἡ αἵρεσις γίνεται καὶ ἐν πλείονι ποσῷ, καὶ ἐν ταχυτέρᾳ ἢ εὐχερεστέρᾳ καταβολῇ, καὶ ἐν τόπῳ ἐπιτηδειοτέρῳ, καὶ ἐν εὐπορωτέρῳ ἀγοραστῇ, καὶ ἐν τῷ ἀγοράσαι ἐπὶ ἐλαφροτέρᾳ αἱρέσει, καὶ ἐν τῷ μὴ ἀπαιτῆσαι τὸν πράτην ἱκανοδοσίαν καὶ τὰ λοιπὰ, ὅσα ἦν ἐν τῇ πρώτῃ πράσει βαρέα, κἂν ἧττον τίμημα δίδωσι.

---

[m] Ὅτι δύνανται πιπράσκειν τὰ προσόντα αὐτοῖς πράγματα, κἂν τὰ μάλιστα κατεκρίθησαν χρεωστεῖν τῷ ἀνήβῳ. ἀλλ' ἐπειδὴ σιωπηρὰν ὑποθήκην ἔχουσιν οἱ ἐπιτροπευόμενοι καὶ κουρατωρευόμενοι, ἰδίῳ ὀνόματι (τουτέστι μετὰ τοῦ βάρους τῆς ὑποθήκης ἣν ἔχει σιωπηρῶς ὁ πούπιλος καὶ ὁ ἀφήλιξ κατὰ τοῦ πράτου τοῦ ἐπιτρόπου καὶ τοῦ κουράτωρος) καὶ πιπράσκουσι καὶ ὑποτίθενται τὰ προσόντα αὐτοῖς πράγματα καὶ οἱ ἐπίτροποι καὶ οἱ κουράτωρες.

---

[1] Lips. ἄλλῳ.

Τὰ γὰρ λυσιτελοῦντα τῷ πράτῃ κρείττονα ποιεῖ τὴν αἵρεσιν αὐτοῦ[a].

2. *Ἐν δὲ τῷ ι' κεφ.* Ὅτι ὁ δεύτερος ἀγοραστὴς μόνον τὸ πρᾶγμα, καὶ οὐ τοὺς καρποὺς λαμβάνει. οὐ παρὰ τοῦτο δὲ, ἐὰν τὸ αὐτὸ τῷ πρώτῳ δίδωσι τίμημα, δοκεῖ γίνεσθαι κρείττων ἡ αἵρεσις τοῦ πράτου, ὡς αὐτοῦ μέλλοντος κερδαίνειν τοὺς καρπούς.

3. *Ἀνάγνωθι καὶ βι. ιε' τί. α' κεφ. μ'. περὶ τούτων δὲ εὑρήσεις σαφέστερον ἐν τῷ περὶ ὑπερθεματισμοῦ τίτλῳ.*

V.

Περὶ ἀγορασίας καὶ πράσεως ἐπὶ ὅρῳ γενομένης, ὡς ἵνα εἰ μὴ ἐντὸς τῆς ὡρισμένης προθεσμίας καταβληθῇ τὸ τίμημα, ἀναλύηται.

1. *Ἀνάγν. βι. ιθ' τί. γ', οὗτινος ἐν τῷ α' κεφ. φησί·* Τὸ εἰπεῖν· ἐὰν εἴσω τῆσδε τῆς προθεσμίας μὴ καταβάλῃς τὸ τίμημα ἀναγόραστός ἐστιν ὁ ἀγρὸς, ὑπὲρ τοῦ πράτου ἐστὶ, καὶ δύναται αὐτῷ μὴ χρήσασθαι μήτε τὴν πρᾶσιν ἀναλύειν· οὐ γὰρ ἄκων κέχρηται τῷ προτεθέντι ὅρῳ. ἐν δὲ τῷ μεταξὺ τῷ ἀγοραστῇ κινδυνεύεται τὸ πραθέν[a].

---

[a] *Ἔξεστι τῷ πράτῃ γενομένης τῆς αἱρέσεως αὐτοῦ κρείττονος προσκυροῦν τῷ δευτέρῳ ἀγοραστῇ, εἰ μὴ πλέον ὁ πρῶτος ὑπερθεματίζει.*

Στεφάνου. Μὴ εἴπῃς, ὅτι πλέον τοῦ δευτέρου ἀγοραστοῦ ὀφείλει ὁ πρῶτος ὑπερθεματίζειν, εἰ βούλοιτο ἀναφαίρετον εἶναι τὸ πρᾶγμα παρ' αὐτοῦ. τὸ δὲ πλέον οὐ τοῦτο σημαίνει ὅτι τυχὸν πλέον ὧν προσέθηκεν ὁ δεύτερος ἀγοραστὴς ὀφείλει προσθεῖναι ὁ πρῶτος, ἀλλ' ὅτι τῷ πλείονι ὅπερ προσέθηκεν ὁ δεύτερος ἀγοραστὴς ὁ πρῶτος ὀφείλει κεχρῆσθαι, τουτέστι τῷ αὐτῷ κεχρῆσθαι ὑπερθεματισμῷ, ᾧ ἐχρήσατο ὁ δεύτερος ἀγοραστὴς, εἰ βούλοιτο βεβαίαν εἶναι τὴν πρᾶσιν τὴν πρὸς αὐτὸν γενομένην.

Τοῦ ἀνωνύμου. Καὶ οἱ νεμόμενοι δημοσίους ἀγροὺς προτιμῶνται τῶν νεωστὶ θελόντων αὐτοὺς μισθώσασθαι, ἐὰν τὴν παρ' αὐτῶν προτεινομένην προσθήκην δέχωνται, ὡς βι. ια' τί. οα' διατ. δ'.

[a] *Στεφάνου. Μάθε κανονικῶς, ὅτι οὐδεὶς τῶν ὑπὸ ἡμέραν τὶ ὀφειλόντων παρασχεῖν συγγινώσκεται μὴ καταβαλὼν, ἐὰν λέγῃ ὅτι διὰ τοῦτο οὐ κατέβαλον, ἐπειδὴ μὴ ὑπεμνήσθην. ὁ γὰρ ὑπὸ ἡμέραν ὀφείλων ἑαυτὸν ὑπομιμνήσκειν ὀφείλει καὶ τὴν τοῦ κρεδίτορος μὴ περιμένειν ὑπόμνησιν, ὡς ἔστι μὲν καὶ ἀλλαχόθεν μαθεῖν, μάλιστα δὲ ἐν τῷ δ' βι. τοῦ κώδ. τί. ξά διατ. β'.*

VI.

Περὶ ἀγωγῆς ἢ κληρονομίας ἢ γραμματείου ἀγορασθέντος.

1. Ἀνάγν. βι. ιθ' τί. δ', οὗτινος ἐν τῷ α'[1] κεφ. φησίν· Ἔνθα μὴ [προ]συνεφωνήθη, ἵνα τὸ δίκαιον, ὅπερ ὁ πράτης ἔχει, αὐτὸ εἴη πεπραμένον, ἀναγκάζεται δεῖξαι κληρονόμον ἑαυτόν.

2. Ἐν δὲ τῷ κ' κεφ. Ὁ πιπράσκων ἀγωγὴν καὶ τὰς κατὰ τοῦ ἐναγομένου καὶ ἀντιφωνητῶν ἀγωγὰς ἐκχωρεῖ, εἰ μὴ ἕτερον ἔδοξεν.

3. Ἐν δὲ τῷ κε' κεφ. Ἡ τοῦ γραμματείου πρᾶσις καὶ ἀγνοοῦντος καὶ μὴ βουλομένου ἐκείνου, καθ' οὗ ἐκχωροῦνται αἱ ἀγωγαί, δύναται συνίσταθαι.

VII.

Περὶ ἀναλυομέμης ἀγορασίας.

1. Ἀνάγν. βι. ιθ' τί. ε', οὗτινος ἐν τῷ ιβ' κεφ. φησίν· Ἡ κατὰ δωρεὰν πρᾶσις ἀνυπόστατός ἐστιν. ἐὰν δέ τις πωλήσας ἀγρὸν συνεφώνησεν ἀντὶ τοῦ τιμήματος, ἵνα ἀποτρέφηται ἀπὸ τοῦ λαβόντος τὸν ἀγρὸν, καλῶς ἀναγκάζει αὐτὸν πληρῶσαι τὰ συμφωνηθέντα.

2. Ἐν δὲ τῷ ις' κεφ. Ἡ πρᾶσις ἐκ τοῦ μὴ καταβληθῆναι τὸ τίμημα οὐκ ἀνατρέπεται, εἰ μὴ ἄρα ἐξαρχῆς κατὰ δωρεὰν ἐγένετο[a].

Καὶ ὅτι ἡ τῆς ἀγορασίας πίστις καὶ[2] τῆς πράσεως χωρὶς ποσότητος οὐδεμία ἐστίν. ἐκ δὲ τοῦ ἀρέσαντος τιμήματος μὴ ἀριθμηθέντος, ἀλλὰ μόνης τῆς νομῆς αὐτῷ παραδοθείσης, τὸ τοιοῦτον συνάλλαγμα οὔκ ἐστιν ἄκυρον. οὐδὲ διὰ τοῦτο ὁ ἀγοράσας κακῶς νέμεται, ὅτι μὴ κατεβλήθη ἡ ποσότης, ἣν δοθῆναι συνεφωνήθη. ἀλλὰ καὶ ἐπὶ δωρεᾶς πράσεως κτήματος γενομένης, ἐὰν παράδοσις παρακολουθήσῃ, ἀγωγῆς τοῦ τιμήματος μηδεμιᾶς ἁρμοζούσης, περαιοῦται ἡ δωρεά[b].

---

a Οὐ γὰρ ὀφείλει ὁ πράτης ἐπαναλαμβάνειν τὸ πρᾶγμα, ἀλλὰ τὸ τίμημα ἐπιζητεῖν.

b Ἐν[3] τῷ β' κεφ. τοῦ β' τί. τοῦ ιη' βι. φησὶν, ὅτι οὐ παύεται εἶναι τὸ πρᾶγμα τοῦ πιπράσκοντος, εἰ μὴ λάβῃ τὸ τίμημα ἢ τὸ ἱκανὸν ἢ ἐγγυητάς. τὸ δὲ

---

[1] Legerim ια'. [2] Leuncl. ἐπὶ. [3] Cf. Heimb. c. 6, Suppl. c. 7. Hoc scholium Lips. in textu collocat post verbum δωρεά. Idem legit: Ἐν τῷ β' κεφ. τοῦ β' βι. τοῦ ιη' τί. Fabrotus autem: Ἐν τῷ διγ. ε' τί. δ' τοῦ ιδ' βι. Significari cre diderim Dig. XVIII, 1, 19.

Καὶ ὅτι τὸ ἴδιον οὐδεὶς δύναται ἀγοράζειν, ἀλλὰ κἂν εἰκονικῶς δόξῃ ἀγοράζειν, οὐδὲν ὑπομένει πρόκριμα.

3. Ἐν δὲ τῷ κβ' κεφ. *Ὅτι εἰ μὲν ἀῤῥαβῶνος ἕνεκεν χρυσίον ἐδόθη, δύνασαι τοῦτο μόνον κατὰ τὴν πίστιν τῶν συμφώνων ἀναλαβεῖν. εἰ δὲ μέρος τοῦ τιμήματος κατέβαλες, εἰς τὰ ὀφείλοντα παρὰ τοῦ πράτου διὰ τῆς ἀγωγῆς τῆς τὸ τίμημα ἀπαιτούσης παρασχεθῆναι μᾶλλον ἔχεις ἀγωγὴν, ἤπερ εἰς ἐπανάληψιν τῆς ποσότητος τοῦ τιμήματος, ὅπερ δεδωκέναι σημαίνεις.*

4. Ἀνάγν. καὶ βι. λ' τί. α' κεφ. κδ' θεμ. ια' ἐν ᾧ φησιν· *Ἡ κατὰ δωρεὰν πρᾶσις ἄκυρός ἐστιν· εἰ μέντοι ἥττονος ἠγόρασεν, ἢ τὸ τίμημα μετὰ ταῦτα συνεχώρησεν, ἔῤῥωται ἡ δωρεά.*

5. Καὶ κεφ. ξθ' ἐν ᾧ φησιν· *Ἐὰν μὴ ταῖς ἀληθείαις πιπράσκων ὁ ἀνὴρ ἀλλὰ εἰκονικῶς πιπράσκων ἐδωρήσατο τῇ γυναικὶ τὸ πρᾶγμα, εἰ μὲν ἐπέμεινε τῇ αὐτοῦ[1] βουλήσει, ἴσχυσε μὲν ἡ δωρεά· ἐὰν δὲ ὁ ἀνὴρ εὑρεθῇ ἀπὸ πριμιπίλου[c] χρεωστῶν, καὶ μὴ ἀρκεῖ πρὸς ἀπόδοσιν ἡ λοιπὴ αὐτοῦ περιουσία, δύναται χωρῆσαι καὶ κατὰ τούτου τοῦ πράγματος. ἐὰν δὲ περιὼν ἀνεκαλέσατο τὴν δωρεὰν, τότε οὐδὲ ἀπεσείσατο τὴν δεσποτείαν τοῦ πράγματος, ἀλλ' ἔχων αὐτὴν ἐτελεύτησε.*

VIII.

Περὶ κινδύνου καὶ ὠφελείας τοῦ ἀγοραστοῦ, καὶ περὶ καταβολῆς τοῦ τιμήματος, καὶ πότε δύναται ὁ πράτης παρακατέχειν τὸ τίμημα.

1. Ἀνάγν. βι. ιθ' τί ς' οὗ ἐν τῷ α' κεφ. φησίν· *Ὅτι μετὰ τὴν πρᾶσιν τοῦ ἀγροῦ τὸ κέρδος καὶ ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ. τί γάρ; ὅτι διὰ προσχώσεως ηὐξήθη, ἢ μέρος αὐτοῦ ἢ καὶ ὅλον ποταμὸς κατέλαβεν;*

2. Ἐν δὲ τῷ ζ' κεφ. *Ὅτι ἐὰν ἡ πραθεῖσα ὕλη κλαπῇ, εἰ μὲν πρὸ παραδόσεως, ὁ πράτης ζημιοῦται· εἰ δὲ μετὰ ταῦτα, ὁ ἀγοραστής. δοκοῦσι δὲ παραδεδόσθαι αἱ δοκοὶ, ἃς ὁ ἀγοραστὴς ἐσφράγισεν.*

εἰρημένον ἐν τῇ γ' διατάξει καὶ τῇ θ'[2], ὅτι ἡ κατὰ δωρεὰν πρᾶσις πιστεύεται[3], νόησον ὅτι ὡς πρᾶσις οὐ συνίσταται οὐδὲ ποιεῖ τὴν τῆς πράσεως[4] ἀγωγήν. ἐπεὶ ὡς δωρεὰ συνίσταται καὶ ἰσχύει.

c Τοῦ δημοσίου.

---

1 Heimb. conj. *αὐτῇ*. Idem mox conj. *ἀρκῇ* et *δυνατόν*. 2 Leuncl. *η'*. Intelligas Cod. IV, 38, 3. 9. 3 Legerim: *οὐ συνίσταται*. 4 Edit.: *προαιρέσεως*.

3. Ἐν δὲ τῷ θ' κεφ. Ἔνθα ὑπέρθεσιν ὁ ἀγοραστὴς ποιήσει[1], λοιπὸν οὐκ ἀπὸ ἀμελείας, ἀλλ' ἀπὸ δόλου ὁ πράτης ἐνέχεται. εἰ δὲ οἱ δύο ὑπέρθεσιν ποιήσουσι, τῇ ὑστέρᾳ προσέχομεν. εἰκὸς γὰρ ὑπέρθεσιν ποιήσας ὁ ἀγοραστὴς ἠθέλησε μετὰ ταῦτα λαβεῖν, καὶ δυνάμενος ὁ πράτης παρασχεῖν ὑπερέθετο, ἢ τοὐναντίον.

4. Ἐν δὲ τῷ ι' κεφ. Ἐὰν δὲ πρὸ τῆς τοῦ τιμήματος καταβολῆς ἡ δεσποτεία τοῦ πραθέντος στασιασθῇ, οὐ δίδωσιν ὁ ἀγοραστὴς τὴν τιμὴν, εἰ μὴ λάβῃ περὶ ἐκνικήσεως ἀξιοπίστους ἐγγυητάς.

5. Ἐν δὲ τῷ ια' κεφ. Ὁ ἀγοραστὴς ὑπέρθεσιν ποιήσας εἰς τὴν τοῦ τιμήματος καταβολὴν μόνους τόκους δίδωσι, καὶ οὐχ ὅσα ὁ πράτης ἠδύνατο διὰ τῶν τιμημάτων ἀπὸ πραγματείας ὡς εἰκὸς κερδάναι.

6. Ἐν δὲ τῷ ιβ' κεφ. Ὅτι μετὰ τὸ γενέσθαι τὴν πρᾶσιν πᾶν κέρδος καὶ πᾶσα βλάβη ἐπὶ τῷ πράγματι γενομένη εἰς κέρδος καὶ ζημίαν ἀνήκει τοῦ ἀγοραστοῦ. ὁ γὰρ πράτης ἐκνικηθέντος τοῦ πράγματος τότε κινδυνεύει, ὅτε ἀπὸ αἰτίας ἀρχαιοτέρας τῆς πράσεως συνέβη τὰ τῆς ἐκνικήσεως· εἴγε καὶ παρήγγειλεν αὐτῷ [ὁ ἀγοραστὴς] ἐλθεῖν καὶ δικάσασθαι, καὶ μὴ ἀπόντος αὐτοῦ ἡ καταδίκη γέγονεν.

7. Ἐν δὲ τῷ ιγ' κεφ. Ὅτι ὁ δόλος τοῦ πράτου τὸν πίστει ἀγαθῇ ἀγοράσαντα οὐδέποτε καταβλάπτει[a].

8. Ἐν δὲ τῷ ιδ' κεφ. Ὅτι τῆς πράσεως τελείας γενομένης, εἰ μὴ ὑπέρθεσιν ἐποίησεν ὁ πράτης ἐν τῇ παραδόσει, ὁ ἀγοραστὴς κινδυνεύει ἐπὶ πάσης βλάβης ἐν τῷ πράγματι γενομένης.

9. Ἐν δὲ τῷ ις' κεφ. Ὁ θάνατος τῆς πραθείσης θεραπαίνης μετὰ τὴν πρᾶσιν συμβὰς τῷ ἀγοραστῇ κινδυνεύεται· μόνον εἰ μὴ ἀπό τινος πάθους ἀρχαιοτέρου τῆς πράσεως ἐτελεύτησε.

IX.

Περὶ τῶν ἐπὶ συμφώνῳ ἀγορασθέντων δούλων, τοῦ μὴ διάγειν[2] τυχὸν ἔν τινι τόπῳ, ἢ ἐπὶ τῷ ἐλευθερωθῆναι ἢ μὴ ἐλευθερωθῆναι, καὶ περὶ χειρὸς ἐπιβολῆς.

1. Ἀνάγν. βι. ιθ' [τί. ζ'] οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ὁ ἥττων τῶν κ' ἐτῶν ἀνισχύρως ἐπὶ τῷ ἐλευθερωθῆναι πωλεῖ δοῦλον, κἂν

---

[a] Ὁ γὰρ ἐξ οἱουδήποτε ἀγοράζων, νομίζων εἶναι δεσπότην, καλῇ πίστει ἀγοράζει.

---

[1] Lips. ποιεῖται. [2] Lips. τυγχάνειν.

συμφωνήσῃ τὴν ἐλευθερίαν ὑπερτεθῆναι ἕως οὗ πληρώσῃ τὰ κ' ἔτη.

2. Ἐν δὲ τῷ ε' κεφ. Ἐὰν ὁ πραθεὶς δοῦλος κωλυθῇ τοῦ προαστείου, καὶ τῆς πόλεως κωλύεται· ἵνα μὴ τῶν μειζόνων ἀπολαύῃ ὁ τῶν ἡττόνων κωλυθείς.

3. Ἐν δὲ τῷ ζ' κεφ. Ὅτι ἐὰν χωρὶς ἐπερωτήσεως συμφωνήσῃ ποινὴν λαβεῖν ὁ πράτης, εἴγε ὁ πραθεὶς ἐν ἰταλίᾳ εὑρεθῇ, οὐκ ἔχει ἀπαίτησιν εἰ μὴ μέχρι τῆς ποσότητος, ἣν ὡς εἰκὸς αὐτὸς ἑτέρῳ παρασχεῖν ἀναγκάζεται μὴ φυλαττομένου τοῦ συμφώνου. καλῶς δέ γε συμφωνεῖ μὴ πραθῆναι ἐπ' ἐξαγωγῇ[a]· καὶ γίνεται διαθέσεως λόγος διὰ τὸ κακοθελές[b].

4. Ἐν δὲ τῷ κα' κεφ. Ἐάν τις πωλήσῃ κόρην ἐπὶ τῷ ἐλευθερωθῆναι ἐμπροθέσμως, εἰ δὲ μὴ ἐλευθερωθῇ, πρόστιμον ἐπερωτήσῃ· τῆς προθεσμίας ἐνισταμένης ἡ μὲν κόρη ἐλευθέρα γίνεται, τὸ δὲ πρόστιμον ἀπαίτησιν οὐκ ἔχει, ἐπειδὴ ἡ τοῦ συμφώνου δύναμις τὴν ὀφείλουσαν παρὰ τοῦ πράτου δοθῆναι ἐλευθερίαν ἐπιτίθησιν.

X.

Περὶ τῆς κινουμένης ἀγωγῆς ἐπὶ ἀγορασίας καὶ πράσεως, ἐάν τι παρὰ τὰ συμφωνηθέντα γένηται, καὶ ἐὰν τὸ πραθὲν ἀνδράποδον ἢ ἕτερον ζῶον ἢ ξύλον ὑπαίτιόν ἐστιν, ἢ ἐὰν ψεύσηται περὶ τὸ μέτρον ἢ τὴν ποιότητα τοῦ πραθέντος, καὶ τίνα τῷ οἴκῳ ἢ τῷ ἀγρῷ ἕπονται.

1. Ἀνάγν. βι. ιθ' τί. η', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ πράτης μὴ παραδιδοὺς τὸ πρᾶγμα ἐνάγεται εἰς τὸ διαφέρον τῷ ἀγοραστῇ, καὶ εἰ συμβαίνει τὸ διαφέρον ὑπερβαίνειν τὸ τίμημα.

2. Ἐν δὲ τῷ β' κεφ. Εἰ μὴ παραδίδωσι τὸ μέτρον ὃ ὑπέσχετο ὁ πράτης, κατέχεται.

---

a Ἐπὶ κωλύσει διαγωγῆς τινος τόπου.

b Ὁ[1] ποινὴν τὸν ἀγοραστὴν[2] ἐπερωτήσας εἰς βλάβην τοῦ πραθέντος οἰκέτου, εἰ μὲν εἰς χρήματα ζημιοῦται (τυχὸν καὶ αὐτὸς ἑτέραν ποινὴν ἐπερωτηθεὶς ἐὰν ἐλευθερώσει τὸν οἰκέτην), ἔχει ἀπαίτησιν. εἰ μηδὲν ἐν χρήμασι τῷ πράτῃ διαφέρει, ἀλλὰ δι' ὀργὴν ἢ λύπην, μᾶλλον δὲ διὰ σκληρότητα καὶ ἀπανθρωπίαν ζητεῖ φυλαχθῆναι[3], τὸ δὲ σύμφωνον ἢ δοθῆναι αὐτῷ τὴν ποινήν, εἴτε παρηκολούθησεν ἐπερώτησις εἴτε μή, ἀργεῖ ἡ ἀπαίτησις. ὀργῆς γὰρ ἀποπλήρωσις οὐκ ἔχει διαφέρον· εἰ μὴ ἄρα διὰ τοῦτο ἥττονος ἐπώλησε τὸν οἰκέτην. τότε γὰρ παραβαινομένου τοῦ συμφώνου ἔχει ἀπαίτησιν.

---

[1] Haec Leuncl. addit tanquam partem textus cap. 5 cit. Sed aperte *παραγραφόμενα* sunt ad c. 7 cit. [2] Leuncl. *ἀγορασθέντα*. [3] Leuncl. hic inserit schol. a.

3. Ἐν δὲ τῷ δ' κεφ. Ἐὰν ἐλλείπῃ τὸ μέτρον τοῦ πραθέντος ἀγροῦ, πρὸς τὸ ποσὸν τῆς ἐργασίας τῶν ζευγῶν ὁ πράτης ἐνέχεται, καὶ πρὸς[1] τὸ μέτρον τὸ τίμημα μειοῦται. εἰ δὲ μὴ τῷ παντὶ ἀγρῷ, ἀλλὰ μέρει ἐλλείπῃ, οἷον τῷ ἀμπελῶνι, τότε καὶ τῆς καλλονῆς γίνεται λόγος.

4. Ἐν δὲ τῷ ϛ' κεφ. Ὅτι ὁ ὑπεξούσιος πωλῶν ἐνέχεται ὡς αὐτεξούσιος.

Καὶ ὅτι ὁ πωλῶν ἐν εἰδήσει ἀλλότριον ἢ ὑποκείμενον ἐνέχεται, κἂν συμφωνήσῃ μηδὲν ἐκ τούτου παρασχεῖν[a].

5. Ἐν δὲ τῷ ια' κεφ. Ὅτι καὶ ἀλλότριον δοῦλον πωλῶν ὁμολογεῖν ὀφείλει μὴ ὑποκεῖσθαι αὐτὸν κλοπῇ ἢ ἐνοχῇ. κινεῖται δὲ ἡ ἀγωγὴ εἰς τὸ παραδοθῆναι τὸ πραθὲν καὶ ἀσφαλισθῆναι τὸν ἀγοραστὴν εἰς τὸ ἐξεῖναι αὐτῷ ἔχειν.

Καὶ ὅτι ὁ ἀγοραστὴς τῇ ἐνοχῇ τοῦ πραθέντος οἰκέτου καταδικασθεὶς οὐ λαμβάνει πλέον, ἢ ὅσον ἧττον ἠδύνατο παρασχεῖν[2]. εἴτε γὰρ διεκδικήσει τὴν ἐνοχὴν εἴτε καὶ μὴ[b], ἀλλὰ δῷ τὴν ἀποτίμησιν τῆς δίκης, ἔχει τὴν ἀγωγὴν τὴν τὸ πρᾶγμα ἀπαιτοῦσαν[c], καὶ τὴν ἀγωγὴν τὴν περὶ μελλούσης ζημίας[d], ἐν ᾧ δῆλόν ἐστιν ἡμαρτηκέναι τὸν δοῦλον.

Καὶ ὅτι ἐν τῷ περὶ νομῆς δικαστηρίῳ διδοὺς ὁ πράτης τὸ διπλοῦν οὐδὲν ἀπαιτεῖται προφάσει τῶν ἄλλων τῶν ἐξ ἔθους ἐν τῇ πράσει συμφωνουμένων.

Καὶ ὅτι ἐὰν πωλήσωσι ἐφ' ᾧ μήτε ἐμὲ μήτε τὸν κληρονόμον μου ἢ τὰ φερόμενα εἰς ἐμὲ πρόσωπα ἐμποδίσαι σοι ἔχειν, καὶ ἄλλος ἐκνικήσῃ τὸ πραθὲν, οὐκ ἐνέχομαι τῇ ἀγωγῇ τῇ περὶ τῆς μελλούσης ζημίας, οὔτε τῇ ἀγωγῇ τῇ τὸ πρᾶγμα ἀπαιτούσῃ εἰς τὸ διαφέρον ἀλλ' εἰς τὴν ἀνάδοσιν τοῦ τιμήματος· εἰ μὴ ἄρα συνεφώνησα μηδὲν παρασχεῖν ἐκνικωμένου τοῦ πράγματος ἐν ἀγνοίᾳ τοῦ πιπράσκειν ἀλλότριον. ὁ γὰρ εἰδὼς καὶ τοῦ συμφώνου ὄντος ἐνέχεται τῇ ἀγωγῇ τῇ ἀπαιτούσῃ τὸ πρᾶγμα, οὐ μὴν ὁ ἀγνοήσας. ἐνδέχεται γὰρ τὸν πράτην κερδᾶναι τὸ τίμημα, καὶ τὸν ἀγοραστὴν μὴ σχεῖν τὸ πρᾶγμα,

---

a Ἡ γὰρ ἀπαίτησις τοῦ πράγματος καλῇ πίστει οὖσα δόλον οὐκ ἐπιδέχεται.

b Τουτέστιν, εἴτε καταδικάσεται εἴτε καὶ μή.

c Τὴν ἐξ ἔμτο.

d Τὴν ἐξ στιπουλάτο.

[1] Leuncl. ὑπέρ. [2] Leuncl. ἢ ὅσον παρέσχεν.

ὡς ἐπὶ ἁλείας καὶ θήρας. κἂν γὰρ μηδὲν κρατηθῇ, δίδωσιν ὁ ἀγοραστὴς τὸ τίμημα.

6. Ἐν δὲ τῷ ιγ' κεφ. Ἐὰν πωλήσω ἀσθενῆ θρέμματα ἢ ξύλον ἐπίσαθρον, εἰ μὲν ἀγνοῶν, ἐκ τῆς τιμῆς ἀναδίδωμι ὅσον ἂν ἥττονος ὁ ἀγοραστὴς τὸ ὑπαίτιον εἰδὼς ἠγόραζεν· εἰ δὲ γινώσκων, ἐνέχομαι ἐπὶ τῷ διαφέροντι. τυχὸν γὰρ οἶκος διὰ τὸ σαθρὸν ξύλον[1] κατέπεσεν, ἢ τῆς νόσου τῶν θρεμμάτων ἕτερα διὰ τῆς ἁφῆς μετέσχον.

Καὶ ὅτι ὁ φυγάδα πωλήσας ἢ κλέπτην, [εἰ μὲν εἰδώς,] ἐπὶ μὲν τοῦ φυγάδος δίδωσι τὸ διαφέρον, ἐπὶ δὲ τοῦ κλέπτου δίδωσι διπλῆν τὴν τιμὴν, καὶ εἴ τινα ζημίαν τῷ ἀγοραστῇ ἐπήγαγεν· εἰ δὲ ἀγνοῶν, περὶ μὲν τοῦ φυγάδος ἐνέχεται εἰς τὸ τίμημα, περὶ δὲ τοῦ κλέπτου οὐκ ἐνέχεται.

Διαφέρον δέ ἐστι, καὶ ἐὰν ὑπενόθευσε σὺν αὐτῷ καὶ ἄλλους φυγεῖν, ἢ ἔκλεψέ[2] τινα.

Εἰ δὲ καὶ μὴ ᾔδει μὲν κλέπτην αὐτὸν εἶναι, διεβεβαιώσατο δὲ πιστὸν καὶ χρήσιμον πιπράσκειν, [ἐνέχεται]. ὁ μὲν γὰρ εἰδὼς ἐκ τοῦ μὴ ὑπομνῆσαι τὸν ἀγοραστὴν ἐνέχεται· ὁ δὲ ἀγνοῶν ἐκ τοῦ προπετῶς τὰ μὴ ὄντα διαβεβαιώσασθαι.

Καὶ ὅτι ἐὰν ὁ πράτης εἰδὼς διαφόροις ὑποκεῖσθαι τέλεσι τὸν ἀγρὸν ἐν τῇ ὠνῇ μόνον τὸ ἓν ἐκφωνήσῃ, καὶ ἐπαγάγῃ, εἴ τι ἐστὶν ἐπικείμενον τῷ ἀγρῷ δημόσιον ἢ ἐμφύτευμα ἢ τέλεσμα ἢ ὑπὲρ ὁδοστρωσίας τοῦτο διδόναι τὸν ἀγοραστήν, ἐνέχεται[e] τῇ ἀγωγῇ[3] διὰ τὸν δόλον.

[Εἰ[4] δὲ ἐπίτροπος ἦν ὁ τοῦτο ποιήσας ἐν ὀρφανικῇ πράσει, εἰ μὲν αὐτὸς ἐπώλησεν, ἐνέχεται· εἰ δὲ τῷ ἀνήβῳ πωλοῦντι συνήνεσεν, ὁ μὲν ἄνηβος εἰς ὃ γέγονεν εὐπορώτερος ἐνέχεται, ὁ δὲ ἐπίτροπος εἰς τὰ λοιπὰ διηνεκῶς. τὸ γὰρ κατὰ δόλον αὐτοῦ γεγονὸς οὐ μεταβαίνει μετὰ τὴν ἥβην εἰς τὸν ἄνηβον.]

Καὶ ὅτι ἡ κατὰ τοῦ ἀγοραστοῦ ἀγωγὴ[f] ἁρμόζει τῷ πράτῃ μεθοδεύουσα τὸ συμφωνηθὲν τίμημα καὶ τοὺς μετὰ τὴν παράδοσιν τόκους.

Κἂν κατὰ παράκλησιν παρεδόθη· μόνον γὰρ ζητοῦμεν,

---

e Τῇ ἐξ ἔμτο.
f Ἡ ἐξ βένδιτο.

---

1 Leuncl. τοῦ ξύλου. 2 Leuncl. κλέψαι. 3 Lips. τῇ διὰ τ. δ. 4 Hoc thema in Lips. deest.

εἰ εὐχέρειαν εἶχεν[1] ὁ ἀγοραστὴς λαβεῖν τοὺς καρποὺς οὓς λαμβάνει ὁ πράτης.

Καὶ τὰ περὶ τὸ πρᾶγμα δαπανηθέντα, τυχὸν εἰς ἀνόρθωσιν οἴκου ἢ ἐπιμέλειαν οἰκέτου νοσοῦντος ἢ ἐπιστήμην, ἅτινα πιθανὸν ἦν βούλεσθαι τὸν ἀγοραστὴν δαπανηθῆναι, καὶ τὰ εἰς ταφὴν τοῦ τελευτήσαντος δούλου ἄνευ ῥᾳθυμίας τοῦ πράτου.

Καὶ ἐὰν συνέδοξεν ἐν τῷ[2] πιπράσκειν ὑπεύθυνον δοθῆναι παρὰ τοῦ ἀγοραστοῦ εὐπορώτερον·

Ἢ συνεφωνήθη, ὥστε τοῦ ἀγοραστοῦ πλείονος τὸ πρᾶγμα πωλοῦντος παρασχεῖν τῷ πράτῃ τοῦ περιττοῦ μοῖραν· κἂν ὁ κληρονόμος τοῦ ἀγοραστοῦ πλείονος πωλήσῃ.

7. Ἐν δὲ τῷ ιε΄[3] κεφ. Ἐὰν δὲ συνεφωνήθη δοῦναι τὸν ἀγοραστὴν τὸ διπλοῦν, εἰ μὴ ἐντὸς προθεσμίας καταβάλῃ τὸ τίμημα, τὸ ὑπὲρ τὸν νόμιμον τόκον οὐκ ἔῤῥωται.

8. Ἐν δὲ τῷ ιϛ΄[4] κεφ. Τοῦ πραθέντος ἢ λεγατευθέντος οἴκου ἐστὶν, ἅτινα ἢ ὡς μέρος αὐτοῦ ἐστιν ἢ δι' αὐτὸν γέγονεν· ὡς τοῦ φρέατος σκέπασμα, καὶ αἱ δεξαμεναὶ καὶ οἱ λουτῆρες, καὶ οἱ ἡνωμένοι τοῖς ἀναβρυτοῖς σωλῆνες, εἰ καὶ πόῤῥω τῆς οἰκίας ἐκτείνονται, καὶ οἱ κανάλοι. οἱ δὲ ἐν ταῖς πισκίναις ἰχθύες οὐκ εἰσὶ τοῦ οἴκου ἢ τοῦ ἀγροῦ, ὥσπερ οὐδὲ[5] τὰ λοιπὰ ζῶα.

Καὶ ὅτι οὐδέν ἐστι τοῦ ἀγροῦ, ὃ μὴ ἥνωται τῇ γῇ. πολλὰ δέ ἐστι τοῦ οἴκου μὴ ἡνωμένα αὐτῷ· οἷον μοχλοὶ, [κλεῖς,] κλεῖθρα. εἰσί τινα κατορωρυγμένα, καὶ ὅμως οὐκ εἰσὶ τοῦ ἀγροῦ ἢ τοῦ ἐποικίου·[g] ὡς τὰ οἰνηρὰ σκεύη καὶ ὁ βάδης[6].[h] ταῦτα γὰρ τῆς ἐξοπλίσεώς ἐστι.

Καὶ ὁ οἶνος καὶ οἱ ληφθέντες καρποὶ οὐκ εἰσὶ τοῦ ἐποικίου.

9. Ἐν δὲ τῷ κ΄ κεφ. Εἰ καὶ μὴ περὶ τὸ μέτρον, ἀλλὰ καὶ περὶ τὴν ποιότητα ψεύσεται ὁ πράτης, ἐνέχεται· τυχὸν γὰρ ρ΄

---

g Ἐποίκιον ἐστὶν ἡ ἐν τῷ ἀγρῷ οἰκία.

h Ξύλον πιέζον καὶ θλῖβον καὶ τὰς σταφυλάς. ξύλον μέγιστον ἐπιτιθέμενον ταῖς ἐλαίαις καὶ ταῖς σταφυλαῖς εἰς τὸ ἐκπιέζεσθαι τὸ ἔλαιον καὶ τὸν οἶνον.

Βάδης τὸ ἀποθλῖβον τὰς σταφυλὰς ξύλον. εὑρήσεις πάντα ἐν λεπτῷ ἀναγινώσκων τὸν ὅλον τίτλον.

---

1 Leuncl. ἔσχεν. 2 Lips. αὐτὸν pro his: ἐν τῷ. 3 Leuncl. ιδ΄. Sed potius est thema capitis praecedentis. 4 Leuncl. ιε΄. Etiam hujus capitis principium potius est thema capitis 13. 5 Leuncl. μηδέ. 6 Leuncl. μάδης.

ζευγῶν ἐργασίας οὔσης, εἶπεν ἐξ αὐτῶν ἀμπελῶνα εἶναι ν' ζευγῶν ἐργασίας, μὴ οὔσης τοσαύτης.

10. Ἐν δὲ τῷ κα' κεφ. Ὅτι ἐὰν πωλήσας δοῦλον μετὰ τοῦ πεκουλίου ἐλευθερώσω αὐτὸν, ἐνέχομαι καὶ ἐπὶ τοῖς ἐπικτηθεῖσι τῷ ἐλευθερωθέντι, εἴγε μὴ ἐλευθερωθέντος αὐτοῦ προσεπορίζοντο τῷ ἀγοραστῇ. ἀσφαλίζομαι δὲ, ὡς εἴ τι λάβω ἐκ τῆς τοῦ ἀπελευθέρου κληρονομίας, ἀποκαθίστημι τῷ ἀγοραστῇ.

11. Ἐν δὲ τῷ κς' κεφ. Ἐὰν ἐν ἀγνοίᾳ παρὰ τοῦ κληρονόμου ἀγοράσω τὸ λεγατευθὲν μοι ὑπὸ αἵρεσιν, διὰ τῆς κατὰ τοῦ πράτου ἀγωγῆς τὴν τιμὴν λαμβάνω.

12. Ἐν δὲ τῷ κζ' κεφ. Ἐὰν δοῦλον μετὰ τοῦ πεκουλίου πωλήσω σοι, καὶ πρὸ παραδόσεως κλέψῃ τὶ παρ' ἐμοῦ, ἰδίῳ δικαίῳ μειοῦται τὸ πεκούλιον. εἰ δὲ καὶ δεδωκὼς ἔτυχόν σοι τὸ πεκούλιον, ἀναλαμβάνω. εἰ δὲ μετὰ τὸ παραδοθῆναι τὸν δοῦλον[1] ἡ κλοπὴ γέγονεν, οὐκ ἔχω κατὰ σοῦ, εἰ μὴ εἰς ὃ τὸ πεκούλιον ἐκ τῆς κλοπῆς ηὐξήθη. εἰ μέντοι τοὺς νούμμους ἀγνοῶν κλοπιμαίους ἀφέλῃς αὐτοὺς ὡς πεκουλιαρίους καὶ δαπανήσεις, ἐνέχῃ μοι.

Καὶ ὅτι ὁ ἐν εἰδήσει τῷ ἀγνοοῦντι πιπράσκων ἀλλότριον καὶ πρὸ ἐκνικήσεως ἐνάγεται τῇ περὶ τῆς πράσεως ἀγωγῇ εἰς ὃ διαφέρει τῷ ἀγοραστῇ αὐτοῦ εἶναι τὸ πρᾶγμα, καὶ μάλιστα εἰ βούλεται ὁ ἀγοραστὴς ἐλευθερῶσαι ἢ ἐνεχυράσαι τὸ ἀγορασθέν. ὁ δὲ μὴ ἐν εἰδήσει πωλῶν ἀλλότριον οὐκ ἐνέχεται ἐπὶ τῷ ποιῆσαι δεσπότην τὸν ἀγορασὴν, ἀλλ' ἐπὶ τῷ ἐξεῖναι αὐτὸ ἔχειν.

13. Ἐν δὲ τῷ λγ' κεφ. Πωλῶν δοῦλον εἶπον αὐτὸν ἔχειν πεκούλιον δέκα νομισμάτων. εἰ μὲν ἧττόν ἐστιν, ἀναπληρῶ τὰ δέκα νομίσματα. εἰ δὲ πλέον ἔχει, τὸ πᾶν ὁ ἀγοραστὴς λαμβάνει· εἰ μὴ ἔδοξε, μόνον τῶν δέκα λαβεῖν αὐτόν.

14. Ἐν δὲ τῷ μβ' κεφ. Εἰ[i] καὶ μετὰ ὑπέρθεσιν καταβληθῇ τὸ κεφάλαιον, οὐκ ἀπαιτεῖται τόκος. οὐ γάρ ἐστιν ὑπὸ ἐνοχὴν, ἀλλ' ὀφφικίῳ τοῦ δικαστοῦ δίδοται.

15. Ἐν δὲ τῷ ν' κεφ. Ὁ πράτης κατὰ τοῦ ἀγοραστοῦ τὴν περὶ τοῦ τιμήματος ἀγωγὴν κινεῖ. τὴν γὰρ περὶ τοῦ πράγματος ἀγωγὴν μετὰ τὴν τοῦ πράγματος παράδοσιν ἔχειν οὐ δύναται.

---

[i] Οὐκ ἀπαιτεῖται τόκος μετὰ τὸ καταβληθῆναι τὸ κεφάλαιον.

---

[1] Leuncl. τοῦ δούλου.

16. Ἐν δὲ τῷ νδʹ κεφ. Ὁ ἀγοραστὴς ἀπὸ καιροῦ τῆς παραδόσεως τοῦ πράγματος [καὶ] τόκους χρεωστεῖ τοῦ τιμήματος[k].

17. Ἐν δὲ τῷ νεʹ κεφ. Ὁ πωλήσας δούλους καὶ λαβὼν τὸ τίμημα ἐκ τοῦ πεκουλίου αὐτῶν τῶν δούλων οὐκ ἔδοξε τίμημα λαμβάνειν, ὡς τὰ ἴδια δεξάμενος, καὶ ἔχει ἀκέραιον τὴν τοῦ τιμήματος ἀγωγήν.

18. Ἐν δὲ τῷ νηʹ κεφ. Ἐὰν ὁ πράτης ἐλάττονα εἶπε τὴν τοῦ ἀγροῦ συντέλειαν, εἴτε εἰδὼς εἴτε ἀγνοῶν, ἐνάγεται παρὰ τοῦ ἀγοραστοῦ εἰς τοσοῦτον, ὅσον ἤμελλεν ἐλάττονος τὸ πρᾶγμα ἀγοράζειν, εἴπερ ἠπίστατο τὸ μέτρον τῆς συντελείας καὶ μὴ ἠγνόει ὁ ἀγοραστής. εἰ δὲ ἐπιστάμενος τὸ μέτρον ἠγόρασεν, οὐδεμίαν ἔχει ἀγωγήν.

19. Ἐν δὲ τῷ ξεʹ κεφ. Ὁ ἀγοραστὴς ἀδίκως ἀποσπασθέντος ἐξ αὐτοῦ τοῦ πραθέντος πράγματος οὐδεμίαν ἀγωγὴν ἔχει κατὰ τοῦ πράτου.

20. Ἐν δὲ τῷ ξςʹ. Ὁ μὲν ἐν εἰδήσει ἀλλότριον ἀγοράσας οὐδέποτε αὐτοῦ γίνεται δεσπότης. ὁ δὲ ἐν ἀγνοίᾳ ἀγοράσας αὐτὸς μὲν διὰ χρήσεως κυριεύει, λοιπὸν δὲ ὁ πεπρακὼς αὐτὸ κατέχεται τῷ δεσπότῃ.

21. Ἐν δὲ τῷ ξηʹ. Ἐὰν ὁ ἀνὴρ πωλήσῃ πρᾶγμα[l] τῇ γυναικὶ διαφέρον, κἂν τὰ μάλιστα κατὰ ἀπάτην ἡ γυνὴ συναινέσασα[m] τὸ τῆς ἀγορασίας σφραγίσῃ συμβόλαιον, οὐδὲν ἐντεῦθεν ὑπομένει πρόκριμα· ἀλλὰ λοιπὸν δέεται[n] ὁ ἀγοραστὴς ἢ[o] τῆς διὰ τῆς χρήσεως κυριότητος, ἢ[p] χρονίας παραγραφῆς.

22. Ἐν δὲ τῷ ογʹ κεφ. Ὁ κοινωνὸς οὐ καλῶς πωλεῖ τέλειον ὅλον τὸ πρᾶγμα. δύναται γὰρ ὁ ἕτερος κοινωνὸς, μηδέπω γενομένου δεσπότου τοῦ ἀγοραστοῦ διὰ τῆς χρήσεως ἢ χρονίας παραγραφῆς, κινῆσαι τὴν ἐπὶ τῷ πράγματι ἀγωγήν.

23. Ἐν δὲ τῷ οδʹ κεφ. Ὁ δημόσιος τὸ ἐπίκοινον πρᾶγμα πωλήσας δεσπότην ἐξ ὁλοκλήρου ποιεῖ τὸν ἀγοραστήν. κἂν γὰρ τὸ πάντῃ ἀλλότριον πωλήσῃ, ὡς ἐν τοῖς ἰνστιτούτοις ἔγνως, δεσπότην μὲν ποιεῖ τὸν ἀγοραστὴν, ἐνάγεται δὲ αὐτὸς

---

k Ὁμοίως καὶ ἐν τῷ ιγʹ κεφ. θέμ. γʹ φησίν.

l Μὴ ὂν προικιμαῖον ἀδιατίμητον.

m Εἰ γὰρ συνῄνεσεν, ἔῤῥωται ἡ πρᾶσις, εἰ μὴ ἔτι προικιμαῖος ἦν ὁ ἀγρός. τυχὸν γὰρ ἠπάτησεν αὐτὴν, εἰπὼν ἕτερον εἶναι τὸν χάρτην, καὶ οὕτως ἐπεσφράγικε ἡ γυνή.

n Μετὰ τὴν λύσιν τοῦ γάμου ἢ τὴν τοῦ ἀνδρὸς ἀπορίαν.

o Ἐπὶ τῶν κινητῶν.

p Ἐπὶ τῶν ἀκινήτων.

παρὰ τοῦ λέγοντος ἔχειν δίκαιον δεσποτείας ἢ ὑποθήκης ἐπὶ τούτῳ τῷ πράγματι, τετραετίας ἐντὸς δηλονότι. τὸ δὲ περιελθεῖν εἰς τὸν δημόσιον τὸ τίμημα τοῦ πραθέντος ἀλλοτρίου πράγματος οὐ βεβαιοῖ τὴν πρᾶσιν· τότε γὰρ ἔχει τὸ προνόμιον ὁ δημόσιος, ὅτε ἰδικῶς αὐτὸ[1] τὸ πρᾶγμα πωλήσει[q].

24. Ἐν δὲ τῷ ος' κεφ. Ὁ κοινωνὸς τέλειον μὲν τὸ πρᾶγμα οὐ δύναται ἐκποιεῖν· ἐὰν δὲ ἐκποιήσῃ, ὁ ἕτερος κοινωνὸς τὸ ἴδιον μέρος μόνον ἐκδικεῖ, οὐ μὴν καὶ τὸ τοῦ πεπρακότος, κἂν στρατιώτης εἴη.

XI.

Περὶ ἀγορασίας καὶ πράσεως ὑπὸ διατίμησιν γινομένης.

1. Ἀνάγν. βι. ιθ' τί. θ' οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὅτε διὰ τὸ πωλῆσαι δοθῇ τινι ὑπὸ διατίμησιν πρᾶγμα, χώρα τῇ περὶ τῆς διατιμήσεως συμφωνίᾳ[a], ἥτις ἁρμόζει, ὁσάκις ἀγωγῆς διδομένης ἀμφιβάλλεται τὸ ὄνομα τοῦ συναλλάγματος. πολιτικὸν γὰρ καὶ καλῇ πίστει ὑπέστη[2] συνάλλαγμα. διὸ καὶ πάντα τὰ τῶν καλῇ πίστει ἀγωγῶν ἐνταῦθα τρακταΐζεται. ἡ δὲ διατίμησις ποιεῖ τὸν κίνδυνον τοῦ λαμβάνοντος, καὶ χρεωστεῖ ἀποδοῦναι τὸ πρᾶγμα ἀκέραιον ἢ τὸ συμφωνηθὲν τίμημα.

XII.

Περὶ ἀναλύσεως πράσεως, καὶ ἐκ ποίων παθῶν καὶ αἰτίων ἀναστρέφεται τὸ πραθὲν ἀνδράποδον ἢ ἕτερον ζῶον ἢ μειοῦται ἡ τούτου τιμή· καὶ ὅτι ἡ μὲν τὸ πραθὲν ἀναστρέφουσα ἀγωγὴ[a] εἴσω ἓξ μηνῶν κινεῖται, ἡ δὲ μειοῦσα τὸ τίμημα[b] ἐντὸς ἐνιαυτοῦ· καὶ ὅτι δι' ὑπερθεματισμοῦ ἀναλύεται ἡ πρᾶσις· καὶ ὅτι περὶ νόσου προφανοῦς ὁ πράτης οὐκ εὐθύνεται.

1. Ἀνάγν. βι. ιθ' τί. ι', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὅτι ὁ παρὼν τίτλος διαλαμβάνει περὶ τῶν πραθέντων κινητῶν τε καὶ ἀκινήτων·

---

q Ζήτει κεφ. ιε'[3]. εὑρήσεις τὴν τοῦ ζήνωνος διάταξιν, ἥτις καὶ μᾶλλον ὀφείλει κρατεῖν.

a Τῇ πραισκρίπτοις βέρβοις, τῇ λεγομένῃ αἰστιματορία. εἰ γὰρ καὶ μισθὸς ὡρίσθη, οὐκ ἀμείβεται τὸ τοιοῦτον συνάλλαγμα. οὐδὲ εἰς ἐμτίονα [μετα]πίπτει.

a Ἡ ῥεδιβιτορία.

b Ἡ ἐξ ἔμτο.

---

1 Leuncl. conj. αὐτός. 2 Heimb. legi vult ὕπεστι. 3 i. e. tit. XV infra.

φησὶ γὰρ ὀφείλειν τὸν πράτην προλέγειν τὰ πάθη καὶ τὰ αἴτια τοῦ δούλου, καὶ εἰ φυγάς ἐστιν ἢ ῥεμβὸς, ἢ ἐνοχῇ ὑπόκειται ἢ κεφαλικόν [τι] ἥμαρτεν, ἢ πρὸς ἐπιβουλὴν ἑαυτοῦ τι πέπραχεν, ἢ κατῆλθεν εἰς κυνηγέσιον ἐπὶ τῷ θηριομαχῆσαι[c]. ταῦτα δὲ μὴ λέγων ἢ περὶ τὰ λεγόμενα ψευδόμενος εἰς τὸ διαφέρον[d] ὑπόκειται· καὶ λαμβάνει τὸν δοῦλον καὶ εἴ τι μετὰ τὸ παραδοθῆναι τῷ ἀγοραστῇ γέγονε χείρων ὁ δοῦλος ἐκ σπουδῆς τοῦ ἀγοραστοῦ καὶ τῆς φαμιλίας αὐτοῦ καὶ τοῦ φροντιστοῦ, καὶ τὰ μετὰ τὴν πρᾶσιν ἐξ αὐτοῦ γεννηθέντα ἢ δι᾽ αὐτοῦ προσποριςθέντα, καὶ τὸ προστεθὲν ὡς εἰκὸς αὐτῷ πιπρασκομένῳ[e], καὶ τοὺς ἐξ αὐτοῦ ληφθέντας καρπούς[f]. ἀναλαμβάνει δὲ καὶ αὐτὸς τὰς ὡς εἰκὸς παρ᾽ αὐτοῦ δοθείσας προσθήκας.

[Ὁ[1] ἐν εἰδήσει κατὰ δόλον παρὰ ταῦτα πωλῶν, εἰ[g] καὶ ἀγνοῶν ὁ πράτης τὰ ὀφειλόμενα κατὰ τὸν νόμον ὑπόκειται. ἀδιάφορον γὰρ, εἴτε κατ᾽ ἀπάτην εἴτε κατ᾽ ἄγνοιαν ἀγοραστὴς ἀπατᾶται.]

[Καὶ χώραν ἔχει ὁ νόμος ἐπὶ πολιτικῶν καὶ ὀρφανικῶν πράσεων, οὐ μὴν καὶ δημοσίων. ὁ γὰρ δημόσιος εἰ πωλεῖ τι, οὐκ ἀναστρέφεται.] καὶ ὅτι τὸ τῇ χρήσει ἢ ὑπουργίᾳ ἐμποδίζον πάθος ἢ αἴτιον εἰσάγει τὴν ἀναστρέφουσαν τὸ πραθὲν ἀγωγὴν, οὐ μὴν τὸ τυχόν τε καὶ ἐλαφρὸν, ὡς ἐλαφρὸς πυρετὸς ἢ παλαιὸς τεταρταῖος ἢ τὸ μικρὸν τραῦμα[h]. ταῦτα γὰρ οὔτε δεῖ προλέγειν ὡς εὐκαταφρόνητα[i].

---

c Παρεδόθη τῷ θεάτρῳ εἰς τὸ θηριομαχῆσαι.

d Εἰς ὃ ἐζημιώθη ὁ ἀγοραστής.

e Τοῦτο ἐπὶ πράγματι. τυχὸν γὰρ οὐ μόνον τὸν δοῦλον δέδωκεν ὁ πράτης, ἀλλὰ καί τι σὺν αὐτῷ.

f Ὡσαύτως καὶ τὸ[2] τοῦ αὐτοῦ ἰ τί. φησίν· Ἐπιγινώσκει τῷ πράτῃ ὁ ἀγοραστὴς ἀναστρέφων καὶ εἴ τι χείρονα τὸν δοῦλον ἐποίησε κατὰ ψυχὴν ἢ σῶμα, τυχὸν αἰσχρουργηθέντα ἢ φυγάδα γενόμενον τῇ ἐπαχθείᾳ τοῦ ἀγοραστοῦ. εἰ δὲ τὸν δοῦλον ἀποδῷ ἔξωθεν δίκης ἤτοι δικαστηρίου, οὐ δίδωσι δὲ τὰ λοιπὰ τὰ προειρημένα, χώρα τῇ ἀπαιτούσῃ τὴν τιμὴν ἀγωγῇ.

g Τουτέστιν, εἰ δὲ καὶ ἀγνοεῖ νόμον ὁ πράτης ἐνέχεται τῇ αἰδιλικίᾳ.

h Τὸ ἀνὰ δάκτυλον καὶ ἀνεπαίσθητον.

i Νόσος[3] ἐστὶ σωματικὴ κατάστασις παρὰ τὴν φύσιν ἡμῖν προσγινομένη χρήσεώς τινος ἀναιρετικὴ, ἧς ἕνεκα φύσις ἡμῖν τὴν ὑγίειαν ἐχαρίσατο. αὕτη δὲ ἡ παρὰ φύσιν κατάστασις πῶς μὲν κατὰ παντὸς ἐῤῥύη τοῦ σώμα-

---

1 Hoc et quod sequitur thema in Lips. desunt. Fortasse in Leunclavii Codice ex margine irrepserant. Vide, quae dixi ad schol. i. 2 Lege: τὸ . . . κεφ. Intelligitur Dig. XXI, 1, 23. 3 Haec Leuncl. in textu habet post thema καὶ

2. Ἐν δὲ τῷ γ' κεφ. Τὰ δειλὰ καὶ λακτιστικὰ ὑποζύγια οὐκ εἰσιν ἐμπαθῆ. ψυχικὰ γάρ εἰσι τὰ αἴτια.

Ἐὰν οὖν μόνον ψυχικόν ἐστι τὸ αἴτιον, οὐκ ἔχει χώραν ἡ ἀναστρέφουσα τὸ πραθὲν ἀγωγὴ, εἰ μὴ προεῖπεν ὁ πράτης ἀπεῖναι αὐτό. ἁρμόζει δὲ τὸ μειωθῆναι τὸ τίμημα. εἰ δὲ σωματικόν ἐστιν, ἢ κοινὸν ψυχῆς καὶ σώματος, χώρα τῷ ἀναστραφῆναι τὸ πραθέν[k].

Οὐκ ἐπιζητοῦμεν ὀλέθριον εἶναι τὸ πάθος, ἀλλὰ τὸ οἱονδήποτε τῷ πράγματι ἐμποδίζον πάθος. οὐ διαφερόμεθα γὰρ ποίῳ πράγματι τὸ πάθος ἐναντιοῦται.

3. Ἐν δὲ τῷ θ' κεφ. Ἡ ἔγκυος καὶ ἡ λεχὼ[1] ὑγιής ἐστιν, εἰ μή τι συμβὰν ἔξωθεν ἐνεποίησε νόσον. καὶ ἡ κατὰ φύσιν, οὐ μὴν ἀπὸ πάθους στεῖρα. καὶ ὁ ἐν τῇ κοίτῃ οὐρῶν ἐκ τοῦ ἐνυπνιάζεσθαι ἢ ὀκνεῖν ἀπὸ οἴνου. ὁ μέντοι τὴν κύστιν[2] ἐμπαθὴς ἀναστρέφεται.

Ἡ ἐστενωμένη[3] γυνὴ ὥστε τὰ γυναικῶν μὴ ὑπομένειν οὐκ ἐστιν ὑγιής.

Ὁ ἔχων χοιράδας παλαιὰς ἀνιάτους ἐμπαθής ἐστι.

Περὶ νόσου προφανοῦς ὁ πράτης οὐκ ἐνάγεται, οἷον ἐὰν τυφλὸς πραθῇ, ἢ ἐπικίνδυνον ἔχων οὐλὴν [ἐν φανερῷ] κατὰ κεφαλῆς ἢ ἄλλου μέρους. τὸ γὰρ δόγμα περὶ ἐκείνων διαλαμβάνει τῶν παθῶν καὶ αἰτίων, ἅ τινά τις ἠγνόησεν ἢ ἀγνοῆσαι ἠδύνατο.

4. Ἐν δὲ τῷ ιβ' κεφ. Ῥεμβός ἐστι μικρὸς φυγὰς, [καὶ ἐκ τοῦ ἐναντίου ὁ φυγὰς μέγας ῥεμβός ἐστι.] κυρίως δὲ ῥεμβός ἐστιν, ὃς[4] συνεχῶς πλανώμενος καὶ τοὺς καιροὺς εἰς ἀνόνητα δαπανῶν βραδέως εἰς τὸν οἶκον ἀναστρέφει.

τος, ὡς ἡ φθίσις καὶ ὁ πυρετός· πῶς δὲ κατὰ μέρος τοῦ σώματος, ὥσπερ ἡ τύφλωσις. πολλὴ γὰρ διαφορὰ βιτίου καὶ νόσου. καὶ γὰρ τὸν ψελλὸν βιτίοσον ἄν τις καλέσῃ, καὶ οὐ νοσώδη.

k Γενικῶς ἐπὶ τῶν τῆς ψυχῆς βιτίων, ἐφ' ὧν δύναται τὴν ῥεδιβιτορίαν κινεῖν, ἐπὶ τούτων χώρα γίνεται τῇ ἐξ ἔμπτο. εἰ τὸ τῆς ψυχῆς βίτιον ἀπὸ σωματικοῦ πάθους ἔλαβε τὴν ἀρχὴν, ὡς ἔνθεν τὶς ἀπὸ σφοδροτέρου καὶ διακαοῦς πυρετοῦ ἀτακτῶν τε καὶ ἀλλοκοτῶν ἢ τοῖς ῥύμοις δίκην μεμηνότος περινοστῶν καταγέλαστα φθέγγεται, τότε χώρα γίνεται τῇ ῥεδιβιτίωνι.

1 Ἡ νεωστὶ τετοκυῖα.

ὅτι τὸ — εὐκαταφρόνητα. Sed secundum ordinem Digestorum praeponenda fuissent: nam respondent l. 1 §. 7 D. XXI, 1, dum illud thema §. 8 ejusdem legis repraesentet: proinde ex margine irrepsisse videntur. 1 Leuncl. λοχός. 2 Lips. κύστην. 3 Leuncl. στενομένη. 4 Lips. ὅ.

5. *Ἐν δὲ τῷ ιγ΄ κεφ.* Ἐάν τι προσεῖναι τῷ δούλῳ χρήσιμον ὁ πράτης διαβεβαιώσηται, τυχὸν ὅτι σπουδαῖος, [τροχαλὸς, ἄγρυπνος, ἐπίπονος] ἢ ποριστικὸς, οὐκ εἰς ἄκρον ἀπαιτοῦμεν αὐτὰ προσεῖναι[m], ἀλλὰ μέσως [ἤτοι συγκεκραμένως]. εἰ μέντοι τἀναντία τῶν διαβεβαιωθέντων ἔχων εὑρεθῇ, κινεῖ ὁ ἀγοραστὴς τὴν ἀναστρέφουσαν τὸ πραθὲν ἢ τὴν μειοῦσαν τὸ τίμημα ἀγωγὴν[n] εἴσω συναπτοῦ ἐνιαυτοῦ.

Ὁ εἰπὼν ἄριστον εἶναι μάγειρον ἄριστον παρασχεῖν ὀφείλει. ὁ δὲ μάγειρον ἁπλῶς εἰπὼν καὶ μέσον δίδωσιν. καὶ ἐπὶ τῶν λοιπῶν τεχνῶν τὸ αὐτό.

Καὶ ἐὰν εἴπῃ τὸν δοῦλον ἁπλῶς ἔχειν πεκούλιον, ἀρκεῖ καὶ τὸ ἐλάχιστον ἔχειν[o].

6. *Ἐν δὲ τῷ κη΄ κεφ.* Ἐάν τις ὡς νεώνητον πωλήσῃ τὸν ἤδη δουλεύσαντα[p], ὑπόκειται τῇ ἀναστροφῇ. σπεύδουσι γὰρ οἱ ἄνθρωποι τοὺς νεωνήτους λαμβάνειν ὡς δυναμένους διδάσκεσθαι καὶ πρὸς τοὺς οἰκείους μεταποιεῖσθαι τρόπους.

7. *Ἐν δὲ τῷ κθ΄ κεφ.* Ὁ πιπράσκων ὑποζύγια λεγέτω καὶ τὰ πάθη καὶ τὰ αἴτια αὐτῶν, καὶ διδότω τὸν ἐπικείμενον αὐτοῖς διὰ τὸ πραθῆναι κόσμον. ὁ δὲ τοῦτο μὴ ποιῶν εἰς μὲν τὸ δοῦναι τὸν κόσμον ἢ ἀναλαβεῖν τὰ ὑποζύγια διὰ τὸ μὴ δοθῆναι τὸν κόσμον εἴσω ἑξήκοντα ἡμερῶν ἐνάγεται· διὰ δὲ τὰ πάθη καὶ τὰ αἴτια τῇ μὲν ἀναστροφῇ εἴσω ἓξ μηνῶν, τῇ δὲ μειώσει τοῦ τιμήματος εἴσω ἐνιαυτοῦ[q].

Καὶ ἴσων ὄντων τῶν πραθέντων διὰ τὸ πάθος τοῦ ἑνὸς ἀποδίδονται πάντα.

8. *Ἐν δὲ τῷ λα΄ κεφ.* Κερατίζων βοῦς ἐμπαθής ἐστι, καὶ

---

m Οἷον ἐνδιημερεύειν τοῖς πόνοις.

n Τὴν κονάντι μινόρις, ἥτις λέγεται αἰστιματωρία.

o ιθ΄. Ὁ[1] πράτης εἰ μὴ ἠσφαλίσατο περὶ τῶν κεφαλαίων τῆς αἰδιλικίας, ἐνάγεται τῶν ἀναστρεφομένων τὸ πραθὲν ἀγωγῶν[2] εἴσω δύο μηνῶν, ἢ τῇ μειούσῃ τὸ τίμημα εἴσω ἓξ μηνῶν.

p Τὸν βετεράτωρα.

q Ἀφ᾽ οὗ γνῷ τὸ πάθος ὃ ὀφείλει γνωσθῆναι ὁ ἀγοραστὴς, τρέχουσιν οἱ ϛ΄ μῆνες, ὥς φησι μβ΄, μγ΄ καὶ ἡ κ΄ νεαρά.

Ταῦτα δὲ ἐὰν ὁ πράτης αὐτὸν ἠσφαλίσατο ἐπὶ τοῖς τῆς αἰδιλικίας κεφαλαίοις. μὴ ἀσφαλισαμένου γὰρ, ἀλλὰ σιωπήσαντος καὶ ψιλῶς ὑποσχομένου, τότε τὴν ῥεδιβιτωρίαν ἐντὸς δύο μηνῶν ἔχει ὁ ἀγοραστὴς, ὥς φησι τὸ ιθ΄ κεφ.[3]

---

1 Haec in textu exhibuit Leuncl. 2 Legerim: τῇ ἀναστρεφούσῃ ἀγωγῇ. 3 Cf. schol. o.

ἡ λακτίζουσα μοῦλα, καὶ τὰ ὑποζύγια τὰ ἀναιτίως θορυβούμενα καὶ φεύγοντα.

9. Ἐν δὲ τῷ λγ' κεφ. Ὅτι εἰ μὲν μὴ ἀποδίδωσιν ὁ πράτης τὸ τίμημα καὶ τὰς προσθήκας καὶ ἐλευθεροῖ τὸν δι' αὐτὸν ἐνοχοποιηθέντα, εἰς τὸ διπλοῦν τοῦ τιμήματος καὶ τῆς προσθήκης καταδικάζεται τῇ περὶ τῆς ἀναστροφῆς ἀγωγῇ. εἰ δὲ ταῦτα ποιεῖ, εἰς τὸ ἁπλοῦν καταδικάζεται.

10. Ἐν δὲ τῷ λε' κεφ. Ὅτι τῇ παραγραφῇ τῶν ἓξ μηνῶν τῆς περὶ ἀναστροφῆς ἀγωγῆς ἐκβληθεὶς δύναται τὴν μειοῦσαν τὸ τίμημα κινεῖν εἴσω ἐνιαυτοῦ.

Ὁ δεδεμένον πιπράσκων οὐχ ὑπόκειται τῇ περὶ φυγῆς ἀγωγῇ. μεῖζον γάρ ἐστι τοῦτο τοῦ εἰπεῖν, ὡς ἐδέθη.

Ἀντιτίθεται γὰρ τῷ ἀγοραστῇ παραγραφὴ γινώσκοντι περὶ τῆς φυγῆς ἢ τῶν δεσμῶν καὶ τῶν ὁμοίων.

Σύνηθές ἐστι μὴ ἁρμόζειν τὴν περὶ ἀναστροφῆς ἀγωγὴν ἐπὶ τῶν ἁπλῶν πράσεων[r].

11. Ἐν δὲ τῷ λθ' κεφ. Ἐὰν παρ' ἐμοῦ κλέψῃ ὁ δοῦλός μου, οὐκ ἔστιν ἀναγκαῖον ἐν τῇ πράσει τοῦτο προλέγειν, οὔτε ἐκ τούτου ἁρμόζει ἡ ἀναστροφή. εἰ δὲ εἶπον αὐτὸν μὴ εἶναι κλέπτην, ἐνέχομαι.

12. Ἐν δὲ τῷ μ' κεφ. Ὁ τριταΐζων ἢ τεταρταΐζων καὶ ὁ ποδαγρὸς καὶ ὁ δαιμονιζόμενος οὔτε τὸν καιρὸν, ἐν ᾧ σχολάζουσιν, ὑγιαίνειν δοκοῦσιν.

13. Ἐν δὲ τῷ μα' κεφ. Ὁ καλῇ αἱρέσει πραθεὶς καὶ φυγὼν οὐ ποιεῖ χώραν τῇ ἀναστροφῇ, εἰ μὴ καὶ πρὸ τούτου ἔφυγεν[s].

14. Ἐν δὲ τῷ νβ' κεφ. Ἐὰν πωλήσῃ τὶς φυγάδα δοῦλον, μὴ ἀγνοήσας αὐτὸν φυγάδα εἶναι, κατέχεται καὶ εἰς τὴν τιμὴν καὶ εἰς τὴν ἔξωθεν γενομένην βλάβην. τί γάρ; ὅτι δοῦλον ἕτερον ὑπονοθεύσας ἢ πρᾶγμα κλέψας ἔφυγεν οὗτος ὁ οἰκέτης.

15. [Ἐν δὲ τῷ νγ' κεφ.[1]] Καὶ ὅτι ὁπότε θεματίζεις τὸν δοῦλον, ὃν ἤδη ἠγόρασας, μετὰ ἐνιαυσιαῖον χρόνον πεφευγέναι, ποίῳ λόγῳ τούτου ἕνεκεν κατὰ τοῦ πεπρακότος αὐτὸν κινῆσαι

---

r Περὶ τῶν μήτε ἔπαινον μήτε ψόγον ἐχουσῶν λέγει.

s Εἰ μὴ δείκνυται εἰ παρὰ τῷ πράτῃ φυγὰς ἦν ὁ δοῦλος, τῇ ἐμβασάνῳ αὐτοῦ ζητήσει πιστεύομεν. καθ' ἑαυτοῦ γὰρ ἐρωτᾶσθαι δοκεῖ, οὐ μὴν ὑπὲρ δεσπότου ἢ κατὰ δεσπότου. βιβλίον κβ' τῶν βασιλικῶν τίτλος α'.

---

1 Supplevi, licet vel apud Leuncl. desit.

ἐπιζητεῖς, οὐ δύναμαι κατανοῆσαι. καὶ γὰρ τὴν ἀναστρέφουσαν τὸ πραθὲν ἀγωγὴν ἑξημηνιαίοις χρόνοις ἢ τὴν ἐλαττοῦσαν τὸ τίμημα ἐνιαυτῷ συγκλείεσθαι φανερόν ἐστι.

16. Ἐν δὲ τῷ νδ' κεφ. Ἡ μετὰ τὴν πρᾶσιν τοῦ οἰκέτου φυγὴ, εἰ μὴ δείκνυται [καὶ] πρὸ τῆς πράσεως πεφευγὼς, οὐδὲν τὸν πράτην [κατα]βλάπτει.

17. Ἐν δὲ τῷ νς' κεφ. Γενομένου ἅπαξ πίστει καλῇ τοῦ συναλλάγματος[t], καὶ τοῦ ἀνδραπόδου ληφθέντος καὶ τοῦ τιμήματος καταβληθέντος, οὕτως τοῦ ἀναλαβεῖν τὸ τίμημα ἐξουσία ἐστὶ τῷ τὸ ἀνδράποδον ἠγορακότι φιλοτιμητέα, ἐὰν ἐκεῖνο ὅπερ εἶπε πεφευγὸς ἀνδράποδον δυνηθῇ παραστῆσαι. τοῦτο γὰρ οὐ μόνον ἐπὶ τῶν βαρβάρων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀπὸ ῥωμαϊκῆς ἐπαρχίας δουλευσάντων οἰκετῶν προγεγραμμένον ἐστίν.

18. Ἐν δὲ τῷ νζ' κεφ. Ὁ κατὰ βίαν πρᾶγμα πεπρακὼς δύναται ἀναδιδοὺς ὅπερ ἔλαβε τίμημα τὴν κατὰ βίαν γενομένην πρᾶσιν ἀνατρέπειν· καὶ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ οἱ κληρονόμοι αὐτοῦ.

19. Ἐν δὲ τῷ νη' κεφ. Ἐάν τις τὸ ἴδιον πρᾶγμα ἐλαχίστου τιμήματος πωλήσῃ, δύναται τὸ τίμημα ἀναδιδοὺς, λαμβάνειν τὸ ἴδιον πρᾶγμα. ἐλάχιστον δὲ τίμημά ἐστι τὸ μηδὲ εἰς ἡμίσειαν διατίμησιν ἀναφερόμενον. ἐὰν δὲ ὁ ἀγοραστὴς ἐπιλέξηται τὸ λεῖπον τῷ δικαίῳ τιμήματι δοῦναι, ἔχειν αὐτὸν τὸ πεπραμένον πρᾶγμα. τὸ αὐτὸ δὲ δίκαιον καὶ ἐπὶ τοῖς παισὶ τοῦ πράτου προβαινέτω.[u]

20. Ἐν δὲ τῷ ξβ' κεφ. Οὐκ ἔστι δεδοκιμασμένη ἡ αἰτία, δι' ἣν ἀνατραπῆναι τὴν κατὰ συναίνεσιν [γενομένην] πρᾶσιν ἐπιζητεῖς. εἰ καὶ τὰ μάλιστα γὰρ τὸ διπλάσιον προσφέρεις τί-

---

t Εἰ δὲ οὐ καλῇ πίστει ἡ πρᾶσις ἦν, ἀλλ' ἐν εἰδήσει τοῦ φυγάδα τὸν οἰκέτην εἶναι ὁ πράτης πέπρακεν, ἐλάμβανεν ἂν τὸ τίμημα ἀπεντεῦθεν ὁ ἀγοραστὴς, παρεῖχε δὲ μόνον καυτίονα, ὡς ἐὰν εὑρήσει τὸν οἰκέτην, ἀποκαθίστησιν αὐτόν.

u Ἐπὶ τῆς ὑπὲρ τὸ διπλάσιον πράσεως, φησὶν ὁ στέφανος, δύναται ὁ πράτης προσφέρων τὸ τίμημα, ὅπερ ἔλαβεν, ἀναγκάζειν τὸν ἀγοραστὴν ἐξ αὐθεντίας τοῦ ἄρχοντος τεραετίας ἐντὸς δυοῖν θάτερον ἐπιλέγεσθαι, ἢ τὸ λεῖπον εἰς τὴν ἀξίαν διατίμησιν τοῦ πράγματος ἀναπληρῶσαι καὶ ἔχειν βεβαίως αὐτὸ, ἢ διαδοῦναι μὲν τοῦτο, λαβεῖν δὲ ὅπερ δέδωκε τίμημα. ἡ δὲ ἀξία διατίμησις τοῦ πράγματος σκοπεῖται, ἥτις ἦν οὐ νῦν, ὅτε καὶ ἀνατρέπειν ὁ πράτης βούλεται τὸ συνάλλαγμα, ἀλλ' ὅτε τὴν ἀρχὴν τοῦτο ἐπώλησεν. ὡς ἐν τῷ β' διγέστῳ τοῦ γ' τί. τοῦ ις' βι. τῶν διγ. καὶ βι. τοῦ κώδ. δ' τί. μδ' διάτ. β'.

μημα τῷ ἀγοραστῇ, ὅμως ἄκων εἰς τὸ ἀνατρέψαι τὴν πρᾶσιν οὐ συνωθεῖται.

21. Ἐν δὲ τῷ ξδ' κεφ. Ἐὰν υἱὸς κατὰ γνώμην πατρὸς πρᾶγμα πωλήσῃ, εἰ μὴ δείκνυσιν ὁ πατὴρ κατὰ φόβον θανάτου ἢ βασάνων τοῦ σώματος γεγονέναι τὸ συνάλλαγμα ἢ κατὰ δόλον, οὐ δύναται αὐτὸ ἀνατρέπειν. οὐκ ἀρκεῖ δὲ πρὸς ἀπόδειξιν δόλου τὸ λέγειν πλείονος ἄξιον εἶναι τὸ πρᾶγμα. ἔξεστι γὰρ ἐν τῇ πράσει καὶ τῇ ἀγορασίᾳ περιγράφειν ἀλλήλους, εἰ μὴ ἄρα ἔλαττον τοῦ ἡμίσεος μέρους τοῦ δικαίου τιμήματος δέδωκεν τῷ πράτῃ[1], τῆς ἐπιλογῆς τῆς ἤδη παρασχεθείσης τῷ ἀγοραστῇ φυλαττομένης, διδόντος καὶ τὸ λεῖπον τοῦ δικαίου τιμήματος τοῦ ἀγοραστοῦ δηλονότι.

22. Ἐν δὲ τῷ ξζ' κεφ. Ὁ πράτης τὸν δόλον τοῦ ἀγοραστοῦ ἐπιλαμβάνεσθαι τότε δύναται, ὅτε ἠγνόησε τὸν δόλον ἐν καιρῷ τοῦ συναλλάγματος. εἰ γὰρ εἰδὼς συνήλλαξεν, οὐ[κ ἔτι] δύναται βοηθεῖσθαι. ἐὰν δὲ τὸ συναρέσαν τίμημα δείκνυται μὴ καταβληθέν, ἢ ἐχειρογραφήθη ἀντιλογισθῆναι αὐτῷ εἰς ποσότητα χρέους κατὰ πλάνην γενομένου, τοῦτο ἀποδίδοσθαι ὀρθῶς αἰτεῖται.

23. Ἐν δὲ τῷ ξη' κεφ. Οὐ δύναται ὁ πράτης ἀνατρέπειν τὴν πρᾶσιν ἐκ τοῦ λέγειν, ὅτι χρεῶν ἢ λειτουργιῶν ἐπικειμένων πέπρακε.

24. Ἐν δὲ τῷ οβ' κεφ. Εἴ τινας τῷ τῶν χρεῶν μεγέθει συνεχομένους ἡ ἀνάγκη τοῦ δημοσίου λόγου συνελάσει τὰς ἰδίας οὐσίας πωλῆσαι, ἡ τοῦ πράγματος ποιότης καὶ ἡ ποσότης τῶν προσόδων δοκιμαζέσθω, καὶ μὴ προσχήματι τῆς πράσεως τῆς δημοσίας χώρα ταῖς περιγραφαῖς περιλιμπανέσθω, καὶ τῶν κτημάτων ἐλάττονος διαπραθέντων πλέον ὁ ἀγοραστὴς ἐκ τῆς χάριτος ἤπερ ὁ χρεώστης ἐκ τοῦ τιμήματος κερδαινέτω. ὅτε τοίνυν διὰ χρέα δημόσια πρᾶσις γίνεται, τὸ ἀληθὲς τίμημα τῷ πράτῃ παρέχεσθαι ὀφείλει.

25. Ἀνάγν. καὶ βι. να' τί. δ' κεφ. δ', ἐν ᾧ φησιν· Ὁ ἐν εἰδήσει φυγάδα ἀγοράζων, εἰ μὲν ἐπηρώτησε μὴ εἶναι αὐτὸν φυγάδα, οὐκ ἐκβάλλεται παραγραφῇ. εἰ δὲ μὴ ἐπηρώτησεν, ἐκβάλλεται. ἐφ' ἑκατέρου δὲ θέματος ἀργεῖ ἡ περὶ ἀφαιρέσεως τῶν πραγμάτων εἰς ἐκδίκησιν κινουμένη ἀγωγή.

---

[1] Leuncl. ὁ πράτης, pro quo Heimb. conj. ὁ ἀγοραστής.

XIII.

Περὶ ἀγορασθέντος πράγματος καὶ ἐκνικηθέντος, εἴτε ἀγροῦ εἴτε δούλου, εἴτε ἀνευθύνου εἴτε ὑπευθύνου· καὶ πότε εἰς τὸ διπλοῦν ὁ πράτης ἐνέχεται.

1. *Ἀνάγν. βι. ιθ' τί. ια'. κεφ. α', ἐν ᾧ φησιν·* Εἴτε μέρος εἴτε ὅλος ὁ πραθεὶς ἀγρὸς ἐκνικηθῇ, ἐνάγεται ὁ πράτης. καὶ εἰ μὲν ἐξ ἀδιαιρέτου τὸ μέρος ἐκνικηθῇ, πρὸς τὸ ποσὸν τοῦ τιμήματος αὐτοῦ ἐνάγεται. εἰ δὲ δῆλον μέρος, πρὸς τὴν πιότητα τοῦ ἐκνικηθέντος ἡ ἀποτίμησις γίνεται.

2. *Ἐν δὲ τῷ γ' κεφ.* Χρεωστεῖ ὁ πράτης ἐν τῷ καιρῷ τῆς πράσεως παρασχεῖν τὸν δοῦλον μὴ ὑποκείμενον κλοπῇ ἢ ἐκδόσει.

3. *Ἐν δὲ τῷ η' κεφ.* Ὁ πράτης τοῦ δούλου ἐκνικωμένου αὐτοῦ ἐνέχεται τῇ περὶ τῆς πράσεως ἀγωγῇ εἰς τὸ διαφέρον τῷ ἀγοραστῇ· τυχὸν ἐπὶ τοῖς δι' αὐτοῦ προσπορισθεῖσι, καὶ τῷ τοκετῷ τῆς δούλης, καὶ ἔνθα κληρονόμος γραφεὶς κελεύσει τοῦ ἀγοραστοῦ ἐκληρονόμησεν.

4. *Ἐν δὲ τῷ ια' κεφ.* Ἐὰν τὸν πραθέντα σοι ἀγρὸν φιλοτιμήσηταί τινι ὁ βασιλεὺς ἢ κελεύσῃ πραθῆναι, οὐκ[1] ἐνέχῃ ἐπὶ τῷ τιμήματι. αἱ γὰρ μετὰ τὴν πρᾶσιν συμβαίνουσαι τῆς ἐκνικήσεως τυχηραὶ αἰτίαι πρὸς τὸν πράτην οὐ φέρονται.

5. *Ἐν δὲ τῷ ιβ' κεφ.* Ὁ ὁμολογήσας μὴ ὑποκεῖσθαι ἐνοχῇ τὸν δοῦλον οὐκ ἐνέχεται διὰ τὰ δημόσια ἁμαρτήματα[a].

6. *Ἐν δὲ τῷ λβ' κεφ. θέμ. ε'.* Οἴκου ἢ πλοίου πραθέντος οὐ δοκεῖ τὰ καθέκαστα, οἷον λίθοι ἢ σανίδες, πιπράσκεσθαι. διὸ οὔτε περὶ ἐκνικήσεως αὐτῶν ὁ πράτης ἐνέχεται εἰς τὸ διπλάσιον, ὡσανεὶ μέρους ἐκνικηθέντος.

7. *Ἐν δὲ τῷ λϛ' κεφ.* Ἐὰν ἔγκυος δούλη πραθῇ καὶ τὸ τεχθὲν ἐκνικηθῇ, οὐκ ἐνέχεται ὁ πράτης· οὔτε γὰρ ὁ τοκετὸς ἐπράθη.

Τὸ αὐτὸ καὶ ἐπὶ τοῦ μετὰ τὴν πρᾶσιν τεχθέντος μόσχου[b].

8. *Ἐν δὲ τῷ μβ' κεφ.* Ἐὰν οἱ ταξεῶται τὰ ἐνέχυρα πωλή-

---

[a] *Τὰ ἐγκλήματα.*

[b] *Θεμάτισον ἢ τελευτήσασαν τὴν θεράπαιναν ἢ τὴν δάμαλιν, καὶ μετὰ τοῦτο τὰ τεχθέντα ἐκδικηθῆναι· ἢ ὅτι τὸν μέλλοντα ἔσεσθαι ταύτης τοκετὸν ὁ δεσπότης πρὸ τῆς πράσεως ἐληγάτευσέ τινι. ὁ ληγατευθεὶς τὸ βρέφος ἢ τὸν μόσχον ἐκδικῆσαι μετὰ τὴν γέννησιν τέως δύναται, εἰ μὴ τῇ δούπλῃ κατέχεται, ἀλλὰ τῇ ἐξ ἔμτο· ὡς ἐν τῷ βιβλίῳ τῶν δὲ ῥέβους κεῖται.*

---

[1] Heimb. negationem delendam esse vidit.

σωσι τοῖς ψηφισθεῖσιν ἀκολουθοῦντες, οὐχ ὑπόκεινται τοῦ πράγματος ἐκνικωμένου. εἰ δὲ κατὰ δόλον ἥττονος ἐπώλησαν, ἔχει κατ᾽ αὐτῶν ὁ δεσπότης τὴν περὶ δόλου ἀγωγήν.

9. Ἐν δὲ τῷ μγ' κεφ. Ἐὰν κατὰ πλάνην ἢ ἄγνοιαν ἢ ῥυπαρίαν τοῦ δικαστοῦ ἡττηθῇ ὁ ἀγοραστὴς, οὐκ ἐνέχεται ὁ πράτης.

10. Ἐν δὲ τῷ να' κεφ. Εἰ μὴ λεχθῇ ἐν τῇ πράσει πόσον ὑπὲρ ἐκνικήσεως ὀφείλει παρασχεῖν ὁ πράτης, τὸ ἁπλοῦν μόνον διὰ τὴν ἐκνίκησιν ἐκδίδωσι[1], καὶ κατὰ φύσιν τῆς ἐπὶ τῇ πράσει ἀγωγῆς τὸ διαφέρον.

11. Ἐν δὲ τῷ νη' κεφ. Ὁ πράτης μετὰ χρόνον τοῦ ἐκνικηθῆναι τὸ πρᾶγμα προσφέρων αὐτὸ τῷ ἀγοραστῇ οὐκ ἐκκλίνει τὴν εἰς τὸ διαφέρον καταδίκην.

12. Ἐν δὲ τῷ ξβ'[2] κεφ. Ἐὰν ὁ πράτης εἰδὼς τὴν αἵρεσιν τῆς ἐλευθερίας κρύψῃ αὐτὴν ἀγνοοῦντα τὸν ἀγοραστὴν[3], καὶ ἁπλῶς εἴπῃ ὑπὸ ὅρον ἐλεύθερον τὸν πιπρασκόμενον εἶναι, τῆς αἱρέσεως ἐξιούσης, οὐ τῇ ἐκνικήσει ἀλλὰ τῇ ἐπὶ τῇ πράσει ἀγωγῇ ὑπόκειται. ὥσπερ ὁ παραδιδοὺς ἀγρὸν καὶ τὰς δουλείας εἰδὼς, ἐὰν εἴπῃ ἁπλῶς, αἱ δουλεῖαι οἷαι εἰσὶν ἔστωσαν, τῇ ἐπὶ πράσει ἀγωγῇ ἐνέχεται, καὶ οὐ[4] τῇ ἐκνικήσει.

Ἐὰν ἐλλείπῃ τῷ μέτρῳ τοῦ πραθέντος ἀγροῦ, ἀναλαμβάνει μέρος τοῦ τιμήματος ὁ ἀγοραστής. τοῦτο δὲ συνάγεται ἀπὸ πασῶν τῶν λεχθεισῶν τῶν ζευγῶν ἐργασιῶν.

13. Ἐκνικωμένου τοῦ πράγματος οὐ μόνον εἰς ἀνάληψιν τῆς τιμῆς ἁρμόζει ἡ ἐπὶ τῇ πράσει ἀγωγὴ, ἀλλὰ καὶ εἰς τὸ διαφέρον. ὅθεν ἐὰν ἥττονος γέγονεν, ὁ ἀγοραστὴς ζημιοῦται[c].

14. Ἀνάγν. καὶ τί. ιθ'[5] τοῦ αὐτοῦ ιθ' βι., ἐν ᾧ διαλαμβάνεται, τίνες κατέχονται καὶ εὐθύνονται ὑπὲρ τῶν ἐκνικωμένων, οὗτινος ἐν τῷ ς' κεφ. Ἐὰν μηδὲν περὶ ἐκνικήσεως συμπεφώνηται ἰδικῶς, ὅμως εἰ ἐκνικηθῇ τὸ πρᾶγμα, δύναται ἡ ἐπὶ τῇ πράσει ἀγωγὴ κινεῖσθαι κατὰ τοῦ πράτου.

15. Ἐν δὲ τῷ ιθ' κεφ. Ἐὰν ὑποκείμενον πρᾶγμα ἐπώλησας, εἶτα ὁ ἀγοραστὴς ἐκτήσατο μακροῦ χρόνου παραγραφὴν, οὐδένα φόβον ἕξεις τοῦ λοιποῦ περὶ ἐκνικήσεως.

---

c Τὸ δίγεστον. τοιγαροῦν εἰ χεῖρον ἔτυχε τὸ πρᾶγμα πρὸ τῆς ἐκνικήσεως γεγονὸς, τοῦτο τὸν ἀγοραστὴν ὁρᾷ, καὶ ἀναγκάζει[6] οὗτος τὴν ἀπομείωσιν λογίζεσθαι τῷ πεπρακότι.

---

[1] Malim δίδωσι. [2] Lips. ξθ'. [3] Lege ἀγνοοῦντος τοῦ ἀγοραστοῦ. [4] Lips. οὐκ ἔχει pro οὐ. [5] Leuncl. ιε'. [6] Lege ἀναγκάζεται.

16. Ἐν δὲ τῷ κ' κεφ. Ὁ πράτης γινομένης τῆς ἐκνικήσεως δύναται συμπαρεῖναι. περαιωθείσης δὲ αὐτῆς οὐ δύναται ἀναπαλαίειν, εἰ μὴ ἐξεκαλέσατο. οὐκ ἄλλως δὲ εὐθύνεται ὑπὸ τοῦ ἀγοραστοῦ, εἰ μὴ ἀπηγγέλθη αὐτῷ [1] παρ' αὐτοῦ.

17. Ἡ ἐπὶ τῇ πράσει ἀγωγὴ μακροῦ χρόνου παραγραφῇ οὐκ ἐκβάλλεται. εἰ δὲ ὁ πραθεὶς οἰκέτης εἰς ἐλευθερίαν ἀναφωνεῖ καὶ ὑπὲρ αὐτοῦ ψῆφος προβῇ, δύναται ὁ ἀγοραστὴς εἰς τὸ διαφέρον κινῆσαι, εἰ μὴ ἀπὸ συμφώνου κεκώλυται.

18. Ἀνάγν. καὶ βι. να' τί. δ' κεφ. β' [θεμ. ε' καὶ κεφ. δ'] θεμ. ζ' καὶ κεφ. ε' θεμ. ιε' ἐν ᾧ φησιν· Ἐὰν ἀλλότριον ἀγρὸν πωλήσῃς μοι καὶ παραδῷς, ὕστερον δὲ κληρονομήσας τοῦ δεσπότου τοῦ ἀγροῦ πωλήσῃς αὐτὸν ἄλλῳ καὶ παραδῷς, ἐγὼ μᾶλλον εἰμὶ βεβαιότερος.

19. Ἀνάγν. καὶ θεμ. κ' κεφ. ιγ' θεμ. β' καὶ τί. ϛ' κεφ. γ' θεμ. β'.

XIV.

Περὶ ἀγορασθέντων πραγμάτων καὶ παραδοθέντων τῷ ἀγοραστῇ, καὶ περὶ τῆς τούτων παραγραφῆς· καὶ περὶ ἐνταλθέντων πραθῆναι.

1. Ἀνάγν. βι. ιθ' τί. ιβ' [2], οὗτινος ἐν τῷ α' κεφ. φησιν· Ἐὰν ἥττονος οὗπερ ἐνετειλάμην πραθῇ τὸ πρᾶγμά μου, οὐ δοκεῖ πεπρᾶσθαι. καὶ οὐκ ἀντίκειταί μοι παραγραφὴ ἀπαιτοῦντι αὐτό.

2. Ἐν δὲ τῷ γ' κεφ. Εἰ καὶ μὴ παρεδόθη τῷ ἀγοραστῇ τὸ πρᾶγμα, δράξεται δὲ τῆς νομῆς αὐτοῦ ἄνευ αἰτίου[a], ἔχει κατὰ τοῦ πράτου τὴν παραγραφὴν, εἰ μὴ εὔλογον αἰτίαν[b] ὁ πράτης ἔχει, δι' ἣν ἐκδικεῖ τὸ πρᾶγμα. εὐλόγου γὰρ ὑπούσης αἰτίας καὶ μετὰ τὸ παραδοῦναι ἐκδικεῖ, καὶ ἀντιτίθησι τῇ παραγραφῇ ἀντιπαραγραφήν.

---

[a] Τουτέστι, μὴ βίᾳ καὶ λάθρα.

[b] Οἷον εἰ συνέδοξε τυχὸν αὐτοὺς ὑπαναχωρεῖν τοῦ συναλλάγματος, η καὶ ἐλάττων ἦν τῶν κε' ἐνιαυτῶν ὁ πωλήσας καὶ περιεγράφη. Τυχὸν φόβῳ πεπρακὼς, ἢ ὅτι ἐλάττων ἦν τῶν κε' ἐτῶν καὶ δέκρετον οὐ γέγονεν, ἢ ὅτι ὑπαναχώρησις προέβη τοῦ συναλλαγμάτος.

---

[1] Lips. αὐτό. [2] Lips. et Leuncl. β'.

XV.

Περὶ τῶν ὑπὸ τοῦ δημοσίου πραθέντων διὰ δημόσιον χρέος, ὅτι οὐκ ἀνατρέπεται ἡ τοιαύτη πρᾶσις.[a]

1. *Ἀνάγν. βι. ιθ' τί. ιγ', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Ἐὰν ὁ δημόσιος διὰ δημόσια χρέα πωλήσῃ πράγματα τοῦ χρεώστου, οὐδὲ αὐτὸς ὁ χρεώστης οὐδὲ ὁ δανειστὴς αὐτοῦ δύναται προσαγαγεῖν τὸ χρέος καὶ ἐκδικῆσαι τὰ πράγματα. πάντων γὰρ προτιμότερός ἐστιν ὁ δημόσιος.

2. *Ἐν δὲ τῷ γ' κεφ.* Τὰ ληφθέντα πράγματα τοῦ ἐπὶ δημοσίοις τελέσμασιν ἀγνωμονοῦντος καὶ παρὰ ἄρχοντι ἐναχθέντος, εἴ τις δημοσίᾳ ὠνήσεται, βεβαίως ἕξει.

---

a *Ἀνατολίου*[1]. *Ἐὰν χρεώστου φισκαλίου πιπράσκεται πράγματα, κατὰ ὑπερθεματισμὸν τοῦτο γενέσθω, καὶ λοιπὸν ὁ ἀγοράσας βεβαίως ἕξει μὴ δεδιὼς ἢ βασιλικὴν κέλευσιν ἢ ἀφηλικιότητα τοῦ χρεώστου, ἵνα μὴ ἀσυνάλλακτα γένηται τῷ φίσκῳ.*

Ἀνάγν. κεφ. α' τοῦ ε' τί. τοῦ νϛ'[2] *βι. Οἱ παρὰ τῶν ὑποκειμένων τῷ δημοσίῳ ἀγοράζοντες προσώπων πράγματα, ἐὰν ἐνάγωνται παρὰ τοῦ δημοσίου, καλῶς ἐξαιτοῦσιν ἀσφάλειαν αὐτοὶ ποιῆσαι τῷ δημοσίῳ καὶ πρὸ τοῦ*[3] *ἐναχθῆναι τοὺς πεπρακότας αὐτοῖς.*

Ἀνατολίου. Ἐὰν τὰ ὑποκείμενα τῷ φίσκῳ ἠγόρασέ τις, εἶτα ἐναγόμενος νῦν λέγει, κατὰ τοῦ πράτου πρῶτον ὀφείλειν κινεῖσθαι τὴν ἀγωγὴν, καὶ εἰς ἀποτυχίαν αὐτὸς διαβεβαιοῦται τὸ ἀζήμιον, καλῶς λέγει καὶ ὀφείλει ἀκουσθῆναι.

Ἀνάγν. κεφ. ζ'[4] *τοῦ δ' τί. τοῦ ν' βι. τῶν βασιλικῶν· Ἐάν τις καλῇ πίστει ἀγοράσῃ δούλην κλοπιμαίαν, ἐκείνη δὲ συλλάβῃ παρ' αὐτῷ καὶ γεννήσῃ, εἰ καὶ αὐτὴ εἰς αἰτίαν κλοπιμαίαν ἐνέπεσεν, οὐκ ἔστιν ὁ τοκετὸς κλοπιμαῖος, καὶ δύναται διὰ τοῦ χρόνου δεσποθῆναι.*

Ἀνατολίου. Εἰ καὶ τὴν μητέρα κλοπιμαίαν οὖσαν οὐ δυνατὸν ουσουκαπιτευθῆναι, ὅμως τὸν τοκετὸν αὐτῆς καλῶς οὐσουκαπιτεύομεν, ἐν ᾧ παρ' ἡμῖν ἐτέχθη τοῖς ἀγορασταῖς.

Θεοδώρου. Τὸ τεχθὲν φούρτιβον ἤτοι κλοπιμαῖον οὐσουκαπιτεύεται. οὐσουκαπιτεύειν δέ ἐστι τὸ διὰ μακρᾶς χρήσεως δεσπόζειν, ἐὰν δηλονότι βόνα φίδε ἤτοι καλῇ πίστει ἡ ἀγορασία γέγονεν.

Ἐὰν κλοπιμαίαν θεράπαιναν πίστει καλῇ ἀγοράσῃς, εἴγε αὐτὴ γεννήσει παρά σοι, δύνασαι οὐσουκαπιτεύειν, εἰ καὶ ἐν τῷ μέσῳ τῆς οὐσουκαπίονος τίνος ἦν ἡ θεράπαινα γνῷς[5] *ἢ καὶ μαθὼν οὐκ ἐδύνασο ἀπαγγεῖλαι τῷ δεσπότῃ αὐτῆς ἢ μαθὼν καὶ δυνηθεὶς ἀπήγγειλας αὐτῷ, οὐσουκαπιτεύεις. εἰ δὲ εἰδὼς καὶ δυνάμενος ἀπαγγεῖλαι οὐκ ἀπήγγειλας, οὐ δύνασαι οὐσου καπιτεύειν τὸν τοκετὸν, ἐπειδὴ λάθρα λοιπὸν ἐνέμου τὴν τεκοῦσαν. οὐδὲ γὰρ ἐνδέχεται τὸ αὐτὸ πρᾶγμα καὶ πρὸ σοῦο νέμεσθαί τινα καὶ λαθραίως· ὡς δ' διγ. τοῦ ι' τί. τοῦ μβ'*[6] *βι. τῶν διγέστων.*

---

[1] Cod. X, 3, 5. [2] Cod. Paris. 1351, ex quo haec exhibentur, *κϛ'* legit. Sed intelligitur lib. LVI Basil. [3] Lege *πρῶτον*. [4] Nobis *ιϛ'*. [5] Corruptelam hujus loci sanare est ex Harm. III, 3, 92. [6] Lege *μα'*.

3. *Ἀνάγν. καὶ βι. ι΄ τί. ιθ΄ κεφ. β΄ ἐν ᾧ φησιν·* Τὸ πραθὲν ὑπὸ τοῦ δημοσίου, κατὰ μὲν τὴν τοῦ μάρκου διάταξιν καὶ κομμόδου εἴσω ε΄ ἐνιαυτῶν[b] μόνον ὁ δεσπότης δύναται ἐκδικεῖν, κατὰ δὲ τὴν τοῦ ζήνωνος διάταξιν[c] εὐθέως ἔχει τὸ ἀσφαλὲς ὁ ἀγοραστὴς καὶ οὐκέτι ἐνάγεται περὶ τοῦ πράγματος, εἰ μὴ κατὰ συμπαιγνίαν ἤτοι ἀπάτην πάνυ ἐλαχίστου τιμήματος πραθῇ τὸ πρᾶγμα.

4. *Ἀνάγν. καὶ βι. νϛ΄ τί. ζ΄, οὗτινος ἐν τῷ θ΄ κεφ. φησίν·* Ὁ ἀγοράσας παρὰ τοῦ δημοσίου πράγματα καὶ τὸ τίμημα καταβαλὼν οὐκέτι ἐνάγεται.

5. *Ἐν δὲ τῷ ι΄ κεφ.* Ἅπαξ πωλήσας ὁ δημόσιος πρᾶγμα ἀναψηλαφᾶν τὴν πρᾶσιν οὐ δύναται. πάντα δὲ τὰ εἰρημένα μοι ἐν ταῖς διατάξεσι νόησον, ὅτε[1] μὴ διοικητὴς δοῦλος οὐσίας ἐπράθη. αἱ γὰρ τῶν τοιούτων δούλων πράσεις ἀνατρέπονται.

XVI.

Περὶ πραθέντος ἀγροῦ ἄνευ τέλους.

1. *Ἀνάγν. βι. ιθ΄ τί. ιδ΄, ἐν ᾧ φησιν·* Πάντες ὑπὲρ τούτων τῶν ἀγρῶν, οὓς νέμονται, τὰ δημόσια τελέσματα ἐπιγινωσκέτωσαν, καὶ συμφώνοις ἐναντίοις μὴ ὠφελείσθωσαν, εἴτε [ὁ πράτης εἴτε] ὁ δωρησάμενος παρ᾽ ἑαυτῷ τὸ τῶν δημοσίων συνεισφορῶν βάρος διὰ παρανόμων συμφώνων βουληθῇ παρακατασχεῖν.

2. *Περὶ τούτου εὑρήσεις πλατύτερον ἐν τῷ περὶ τελῶν δημοσίων.*

XVII.

Περὶ τῶν ἀλλοτρίῳ ὀνόματι ἀγορασθέντων ἢ ἀλλοτρίοις χρήμασιν, ὡς ὅταν ἀγορασθῇ τι ὀνόματι γυναικὸς, τοῦ ἀνδρὸς τὸ τίμημα δεδωκότος.

1. *Ἀνάγν. βι. ιθ΄ τί. ιε΄, οὗτινος ἐν τῷ ϛ΄ κεφ. φησίν·* Εἰ μὲν τῆς γυναικὸς ἀγοραζούσης καὶ αὐτῇ παραδιδομένου τοῦ πράγματος ὁ ἀνὴρ μόνον τὸ τίμημα δέδωκε, δέσποινα μέν ἐστι, δύναται δὲ κινῆσαι κατ᾽ αὐτῆς ἀπαιτῶν τὸ τίμημα, ὅπερ δέδωκεν εἰς τὸ διαφέρον ἐκείνῃ συνάλλαγμα. εἰ μέντοι ὁ ἀνὴρ

---

b *Ἐν δὲ τῷ ε΄ κεφ. τοῦ λγ΄ τί. τοῦ ι΄ βι. τετραετίαν φησὶν, ὅπερ εὑρήσεις ἐν τῷ περὶ ἀφηλίκων.*

c *Διὰ*[2] *τοῦτο ζήνωνος διάταξις ὀφείλει κρατεῖν [ὡς] μεταγενεστέρα.*

---

[1] Sic Heimb. recte. Lips. et Leuncl. *ὅτι*. [2] Lege *Ἡ τοῦ*.

ἠγόρασε καὶ αὐτῷ τὸ πρᾶγμα παρεδόθη καὶ αὐτὸς τὸ τίμημα δέδωκεν, εἰκονικῶς δὲ μόνον τὸ τῆς γυναικὸς ὄνομα ἐτέθη, δεῖ προσέχειν ἡμᾶς τῇ ἀληθείᾳ, ὅτι αὐτός ἐστιν ὁ δεσπότης.

XVIII.

Περὶ ἀγορασίας καὶ πράσεως οἴνου.

1. Ἀνάγν. βι. νγ' τί. ιζ'[1] οὗτινος ἐν τῷ α' κεφ. φησίν· Οἱ οἰνέμποροι ὡς ἂν συμφωνήσουσι πιπράσκουσιν· οὐδεὶς γὰρ ἀναγκάζεται πωλεῖν ἀπαρεσκόμενος τῷ μέτρῳ ἢ τῷ τιμήματι· καὶ μάλιστα εἰ μηδὲν γίνεται παρὰ τὴν συνήθειαν τοῦ κλίματος.

2. Ἐν δὲ τῷ γ' κεφ. Ἐὰν ὁρισθῇ χρόνος τῇ μετρήσει, καὶ ἐμποδίζῃ ὁ ἀγοραστὴς, ἔξεστι τῷ πράτῃ ἐκχεῖν τὸν οἶνον, διαμαρτυρομένῳ μέντοι τοῦτο πρότερον τὸν ἀγοραστήν. εἰ δὲ μὴ ἐκχύσει, λαμβάνει τὸν μισθὸν τῶν πίθων, ἐν ᾧ διέφερεν αὐτῷ· τυχὸν γὰρ αὐτοὺς ἐμίσθου ἢ ἄλλους ἐμισθώσατο. κάλλιον δὲ ποιεῖ μισθούμενος καὶ μὴ ἀποδιδοὺς τὸν οἶνον, ἕως οὗ λάβῃ παρὰ τοῦ ἀγοραστοῦ τὸν μισθὸν, ἢ πωλῶν τὸν οἶνον ἀβλαβῶς ὅσου δυνηθῇ, ἵνα μὴ πολὺ ζημιωθῇ ὁ ἀγοραστής.

3. Ἐν δὲ τῷ ε' κεφ. Εἰ μὴ ὁρισθῇ, πότε οἱ πίθοι ὤφειλον κενωθῆναι, δεῖ αὐτοὺς πρὸ τῆς ἐπιούσης τρύγης κενωθῆναι.

Εἰ[2] δὲ οἰνέμπορος ἦν ὁ πράτης, οὐ περιμένει τὰς τρύγας· ὁ γὰρ λυσιτελῶν αὐτῷ καιρὸς σκοπεῖται.

Πρὸ τῆς μετρήσεως τοῖς μέντοι[3] τυχηροῖς ἢ ταῖς μεγάλαις ἀνάγκαις ὁ πράτης οὐχ ὑπόκειται.

4. Ἐν δὲ τῷ θ' κεφ. Ἐμποδίσας ὁ πράτης περὶ τὴν παράδοσιν[4] δίδωσι τὸ διαφέρον τὸ ἐξ αὐτοῦ τοῦ πράγματος ὂν, οὐ μὴν εἴ τι ὁ ἀγοραστὴς ἠδύνατο κερδάναι ἀπὸ τῆς πραγματείας τοῦ πραθέντος αὐτῷ οἴνου.

5. Ἐν δὲ τῷ ι' κεφ. Ἐὰν κέττῳ πραθῇ οἶνος καὶ μὴ ὑπὸ γεῦσιν, μόνην φυλακὴν ἀκριβεστάτην ὁ πράτης χρεωστεῖ, ὁ δὲ κίνδυνος ἅπας καὶ τοῦ ὀξίσαι καὶ τοῦ ὑδαρωθῆναι τὸν ἀγοραστὴν ὁρᾷ. καὶ εἰ μὴ ὁρισθῇ χρόνος τῇ αἱρέσει αὐτοῦ, διαμαρτύρεται τὸν ἀγοραστὴν ὁ πράτης. δεῖ μέντοι πρὸ τῆς τρύγης αὐτὸν ἐπαίρεσθαι. δυσχερῶς δέ τις ἀγοράζει ἐπὶ τῷ μὴ γεύσασθαι. καὶ ἔνθα μὴ ὁρισθῇ τῇ γεύσει χρόνος, ὁτεδήποτε δυνάται ὁ ἀγοραστὴς γεύεσθαι, καὶ ἕως οὗ γεύσηται, τοῦ πράτου ἐστὶν ὁ κίνδυνος.

---

[1] Lege ζ'. [2] Excidit: Ἐν δὲ τῷ ς' κεφ. [3] Legendum: Πρὸ τῆς μετρ. μέντοι τοῖς. [4] Leuncl. περὶ τῆς παραδόσεως.

6. Ἐν δὲ τῷ ια΄ κεφ. Πρὸ τῆς μετρήσεως ὁ κίνδυνος τὸν πράτην ὁρᾷ. εἰ δὲ ὁ ἀγοραστὴς ἐνεπόδισεν ἐμπροθέσμως λαβεῖν, μετὰ ταῦτα ὁ πράτης ἀπὸ μόνου δόλου ἐνέχεται.

XIX.

Περὶ ἀγορασίας καὶ πράσεως εἰκονικῆς.

1. Ἀνάγν. βι. ια΄ τί. β΄ κεφ. κθ΄[1].

2. Καὶ βι. ιθ΄ τί. α΄ κεφ. με΄ ἐν ᾧ φησιν, ὅτι ἡ εἰκονικὴ[a] πρᾶσις οὐδέν ἐστιν οὔτε δοκεῖ ἐκποιεῖσθαι τὸ πρᾶγμα.

3. Ἀνάγν. βι. νβ΄ τί. α΄ κεφ. νγ΄, [ὅπερ εἴρηται] ἐν τῷ περὶ ἐνοχῶν.

XX.

Περὶ πραθέντος εἰς δύο πρόσωπα ἀγροῦ.

1. Ἀνάγν. βι. ιε΄ τί. α΄ κεφ. ϙε΄, ἐν ᾧ φησιν· Ἐὰν δύο τινὲς τὸν αὐτὸν ἀγρὸν ἀγοράσωσιν ἐξ ὁλοκλήρου, ὁ πρώτως αὐτὸν λαβὼν ἔσται βελτίων, εἰ καὶ τὸ τίμημα οὐ[2] κατέβαλε, κἂν τὰ μάλιστα μὴ ἔλαβε[3] τὰ δικαιώματα τοῦ ἀγροῦ. ὁμοίως καὶ ἐπὶ δωρεᾶς.

2. Ἀνάγν. καὶ τί. β΄ κεφ. θ΄ θεμ. γ΄, ἐν ᾧ φησιν· Ἐὰν δὲ δύο τισὶ τὸ αὐτὸ πρᾶγμα κεχωρισμένως πραθῇ καλῇ πίστει, εἰ μὲν ἀπὸ τοῦ αὐτοῦ[a], κρείττων ἐστὶν ὁ πρώτως λαβών· εἰ δὲ παρὰ διαφόρων μὴ δεσποζόντων, κρείττων ἐστὶν ὁ νεμόμενος.

XXI.

Περὶ ἀγοράσαντος παρὰ μὴ δεσπότου, αὐτοῦ τοῦ δεσπότου παραγγέλλοντος μὴ ἀγοράσαι, καὶ περὶ λοιπῶν ἀγοραστῶν.

1. Ἀνάγν. βι. ιε΄ τί. α΄ κεφ. ϙζ΄, ἐν ᾧ φησιν· Ἐάν τις ἀγρὸν ἀγοράσῃ παρὰ μὴ δεσπότου πωλοῦντος, αὐτοῦ τοῦ δεσπότου παραγγέλλοντος αὐτῷ μὴ ἀγοράσαι, μετὰ τῶν καρπῶν αὐτὸν ἀποκαθίστησι.

2. Ἀνάγν. καὶ τοῦ αὐτοῦ τί. κεφ. η΄[4], ἐν ᾧ φησιν· Ὅτι ὁ ἀγοραστὴς πρὸ παραδόσεως οὐκ ἔχει τὴν ἐπ᾽ αὐτῷ τῷ πράγματι

---

[a] Ἡ ἄνευ τιμήματος.

[a] Μὴ ὄντος δηλονότι δεσπότου.

---

[1] Nobis c. 38. [2] Negationem a textu latino alienam defendi posse notat Heimb. [3] Lips. κἂν τὰ μάλ. κατέβαλε. [4] Leuncl. conj. μη΄. Malim ν΄. Apud Heimb. est c. 49, in Suppl. meo c. 50.

ἀγωγὴν, ὁ δὲ κληρονόμος ἔχει ἐπὶ τοῖς κληρονομιαίοις καὶ πρὶν ἢ νεμηθῇ.

3. Ἀνάγν. καὶ κεφ. ξε', ἐν ᾧ φησιν· Ὁ ἀγοράσας ἀλλότριον ἀγρὸν οὐ δίδωσιν αὐτὸν τῷ δεσπότῃ, εἰ μὴ λάβῃ τὰ χρήματα ἅπερ δέδωκε τῷ ἐσχηκότι αὐτὸν εἰς ἐνέχυρον[a].

4. Ἀνάγν. καὶ κεφ. οβ', ἐν ᾧ φησιν· Ἐὰν τὸν ἀγρὸν πέτρου πωλήσῃς μοι, καὶ παραδῷς λαβὼν τὸ τίμημα, εἶτα κληρονομήσας πέτρου πωλήσῃς καὶ παραδῷς αὐτὸν ἑτέρῳ, ἐγώ εἰμι ἐπικρατέστερος, ἐπειδὴ κἂν ἐγὼ νέμωμαι καὶ ἐνάγῃς μοι, παραγράφομαί σε, καὶ σὺ ἐὰν νέμῃ, ἐκδικῶ[1] αὐτόν.

5. Ἀνάγν. καὶ κεφ. πδ', ἐν ᾧ φησιν· Ὁ παρὰ κακῇ πίστει νομέως ἀγοράσας καλῇ πίστει δύναται τὸ πρᾶγμα διὰ χρήσεως δεσπόζειν.

6. Ἀνάγν. καὶ κεφ. πς', ἐν ᾧ φησιν· Ὁ ἀγοράσας ἑαυτῷ κτήματα ἐκ τῶν παρακατατεθέντων αὐτῷ νομισμάτων ὑπό τινος οὐκ ἀναγκάζεται αὐτὰ τὰ κτήματα διδόναι ἀντὶ τῆς παραθήκης, ἀλλὰ τὰ νομίσματα ἅπερ ἔλαβεν ἀποδίδωσιν.

7. Ἀνάγν. καὶ κεφ. ϙβ', ἐν ᾧ φησιν· Ὁ δούλην πωλήσας καὶ παραδοὺς οὐκέτι δύναται διεκδικεῖν αὐτὴν ἢ τοὺς τοκετοὺς αὐτῆς, ἅπαξ δεσπότου τοῦ ἀγοραστοῦ γενομένου· ἀλλὰ μᾶλλον περὶ τοῦ τιμήματος ὀφείλει κινεῖν τὴν ἁρμόζουσαν αὐτῷ ἀγωγήν.

8. Ἀνάγν. καὶ κεφ. ϙδ', ἐν ᾧ φησιν· Ἐάν τις παρὰ γυναικὸς ἀγοράσῃ πρᾶγμα διαφέρον τῷ ταύτης παιδὶ, καλῶς ἐνάγεται τῇ ἐπ' αὐτῷ ἀγωγῇ. ἐὰν δὲ ὁ παῖς κληρονομήσῃ τὴν μητέρα, εἰς ὅσον αὐτὴν ἐκληρονόμησεν ἀναγκάζεται ἐφησυχάζειν, ἐκβαλλόμενος διὰ δόλου παραγραφῆς.

9. Ἀνάγν. καὶ κεφ. ρζ', ἐν ᾧ φησιν· Ὁ ἀγοράσας δοῦλον οὐ δύναται πρὸ παραδόσεως ἐκδικεῖν τὴν τούτου δεσποτείαν. ὁμοίως[2] πανταχοῦ, ὅτι οὐκ ἀπὸ τοῦ συμφώνου, ἀλλ' ἀπὸ τῆς παραδόσεως γίνεται δεσπότης ὁ ἀγοραστής.

10. Ἀνάγν. καὶ τί. β' τοῦ αὐτοῦ ιε' βι. ἀπὸ τοῦ ζ' κεφ. ἕως τοῦ ιε' κεφ. ἐν δὲ τῷ ζ' κεφ. φησίν· Ὅτι ὁ ἀπὸ μαινομένου ἐν ἀγνοίᾳ ἀγοράζων ἔχει τὴν πουβλικιανήν· διὰ χρήσεως γὰρ δεσπόζει.

Καὶ ὁ ἀγοράσας ἐν ἀγνοίᾳ παρὰ νέου,

---

[a] Εἰ γὰρ τίμημα καταβάλῃ, πῶς οὐκ[3] ἔχει τὴν ἐπὶ τῇ πράσει ἀγωγήν;

---

[1] Leuncl. ἐκδιώκω. [2] Haec verba: ὁμοίως κτλ. scholium continere existimat Heimb. [3] Forte πῶς ἔχει. Leuncl. mox ἐπὶ τῷ πράτῃ.

Καὶ ὁ λαβὼν κατὰ ἀνταλλαγὴν ἢ δωρεάν.

Ἡ γὰρ πουβλικιανὴ μίμησιν ἔχει δεσποτείας.

Καὶ ὅτι παντὶ ἀγοραστῇ τῷ καλῇ πίστει ἁρμόζει, καὶ οὐ βλάπτει αὐτὴν ὁ δόλος τοῦ πράτου.

Πρὶν δὲ παραλάβῃ τὶς τὸ πρᾶγμα, οὐκ ἔχει τὴν πουβλικιανὴν, κἂν καλῇ πίστει ἠγόρασεν.

11. *Ἀνάγν. καὶ τί. δ΄ κεφ. ε΄ θεμ. ε΄.*

XXII.

Περὶ ἀγρῶν τῶν ἀναληφθέντων ἀπὸ τῶν πολεμίων.

1. *Ἀνάγν. βι. λδ΄ τί. α΄ κεφ. ιζ΄, ἐν ᾧ φησι· Τοὺς ἀναληφθέντας παρὰ τῶν πολεμίων ἀγροὺς οἱ πρῴην ἀναλαμβάνουσι δεσπόται· οὐ γὰρ ἐν τάξει πραίδας εἰσὶν, οὔτε δημόσιοι γίνονται. οἱ γὰρ τῶν πολεμίων λαμβανόμενοι γίνονται δημόσιοι.*

XXIII.

Περὶ ἀγρῶν λιμητανέων[1] *καὶ λιμητοτρόφων καὶ ἐμφυτευτικαρίων.*

1. *Ἀνάγν. βι. νε΄ τί. ϛ΄, ζ΄, η΄, θ΄ καὶ ι΄*[2]. *ἐν δὲ τῷ β΄ κεφ. τοῦ ϛ΄ τί. φησί· Τοὺς ἀγροὺς τοὺς λιμητανέους, καὶ τὰς λίμνας, καὶ πᾶν δίκαιον ἀφορισθὲν ἐξ ἀρχῆς τοῖς λιμητανέοις*[a] *στρατιώταις, ἀτελῆ εἶναι καὶ βεβαίως κατέχεσθαι παρ᾿ αὐτῶν.*

XXIV.

Περὶ ἀγωγῶν ἐκ διαφόρων αἰτιῶν συνισταμένων.

1. *Ἀνάγν. βι. νβ΄ τί. α΄, οὗτινος ἐν τῷ κδ΄ κεφ. φησίν· Ὅτι τῶν ἀγωγῶν β΄ γένη εἰσίν. ἢ γὰρ ἰν ῥέμ*[a] *εἰσι καὶ καλοῦνται οὐινδικατίονες, ἢ προσωπικαὶ καὶ καλοῦνται κονδικτίκιοι*[b]. *ἐν πράγμασι ἀγωγή ἐστιν ἡ ἀπαίτησιν ἔχουσα πράγματος ἰδίου, ἥτις ἀεὶ κατὰ νομέως ἁρμόζει. προσωπικὴ δέ ἐστιν ἡ κινουμένη κατὰ τοῦ ἐνεχομένου εἰς τὸ ποιῆσαί τι ἢ δοῦναι.*

Καὶ ὅτι τῶν ἀγωγῶν αἱ μὲν ἀπὸ συναλλάγματος τίκτονται, αἱ δὲ ἀπὸ φάκτου, αἱ δὲ ἰν φακτούμ[c] *εἰσιν. ἀπὸ συναλ-*

---

[a] *Τοῖς τὰς κλεισούρας φυλάττουσιν.*

[a] *Ἐν πράγμασι.*

[b] *Οὐινδικτίων λέγεται ἡ ἐκδίκησις, κονδικτίκιος δὲ ἡ ἀπαίτησις.*

[c] *Ἐν ἀποτελέσματι.*

---

[1] Lips. *λιμηταρίων.* [2] Lips. addit *τί. νε΄.*

λάγματος ἀγωγαί εἰσιν, ἃς ἐπὶ κέρδει οἰκείῳ ποιεῖταί τις ἀγοράζων ἢ πιπράσκων ἢ μισθῶν[1], καὶ ἐπὶ τῶν ὁμοίων. ἀπὸ φάκτου, ὡς ἔνθα τὶς ἁμαρτήσει κλέπτων, ὑβρίζων ἢ ζημιῶν. ἐν ἀποτελέσματι ἀγωγή ἐστιν, ἣν ἔχει ὁ πάτρων κατὰ τοῦ ἀπελευθέρου κληθεὶς παρ᾽ αὐτοῦ ἄνευ συγγνώμης εἰς δικαστήριον.

Πᾶσαι δὲ αἱ ἀγωγαὶ ἢ πολιτικαί εἰσιν ἢ πραιτωρίαι.

2. Αἱ[2] ποιναλίαι πᾶσαι μετὰ προκάταρξιν κατὰ κληρονόμων παραπέμπονται.

3. Ἐν δὲ τῷ μη′ κεφ. φησίν· Ὅτι αἱ ἀπὸ συναλλάγματος ἀγωγαὶ διαβαίνουσι κατὰ κληρονόμων, εἰ καὶ ἁμάρτημα ἔχουσιν· ὡς ὅτε ἐπίτροπος δόλον ἐν τῇ ἐπιτροπῇ ποιήσει, ἢ ὁ παραθήκην δεξάμενος περὶ τὸ παρατεθέν. εἰ δὲ καὶ ὑπεξούσιοί τι τοιοῦτον πλημμελήσουσιν, οὐ νοξαλία, ἀλλὰ ἡ περὶ τοῦ πεκουλίου ἀγωγὴ ἁρμόζει.

4. Ἐν δὲ τῷ ν′ κεφ. Ἀγωγή ἐστιν δίκαιον τοῦ ἀπαιτῆσαί τινα ἐν δικαστηρίῳ ὅπερ κεχρεώστηται.

5. Ἀνάγν. καὶ βι. ξ′ τί. λβ′ κεφ. γ′, ἐν ᾧ φησιν· Ὅτι δημοτικὴ ἀγωγή ἐστιν ἡ φυλάττουσα τὸ τοῦ δημοσίου δίκαιον.

6. Ἀνάγν. καὶ βι. ιε′ τί. β′, ἐν ᾧ φησι περὶ τῆς πουβλικιανῆς ἀγωγῆς. οὗτινος ἐν τῷ α′ κεφ. φησίν· Ὁ κατὰ παράδοσιν λαβὼν παρὰ μὴ δεσπότου ἐξ εὐλόγου αἰτίας, καὶ μὴ διὰ χρήσεως δεσπόσας, ἔχει τὴν [πουβλικιανήν. ὁ γὰρ διὰ χρήσεως δεσπόσας ἔχει τὴν] πολιτικήν. καὶ κατὰ πολλοὺς δὲ νομικοὺς[3] τρόπους κτᾶταί τις δεσποτείαν.

7. Ἐν δὲ τῷ γ′ κεφ. Ὅτι τῷ κατ᾽ εὔλογον αἰτίαν λαβόντι πρᾶγμα καὶ ἐκπεσόντι δίδοται ἡ πουβλικιανή.

8. Ἐν δὲ τῷ ιγ′ κεφ. Ὅτι ἐξ οἱασδήποτε αἰτίας εὐλόγου προσπορισμοῦ[d] εἰ λαβόντες πρᾶγμα ἐκπέσωμεν αὐτοῦ, χώρα τῇ πουβλικιανῇ.

---

[d] Οἷον ἐξ ἀγορασίας, ἀπὸ λεγάτου ἢ θανάτου αἰτίᾳ δωρεᾶς, ἀπὸ προικὸς, ἀπὸ κρίσεως, ἀπὸ καταβολῆς ἔξω δικαστηρίου γενομένης, ἀπὸ νοξαλίας αἰτίας, ἐκ τῆς ἄρχοντος παραδόσεως, ἀπὸ τοῦ προσαγαγεῖν τὴν τῆς δίκης διατίμησιν, καὶ ἁπλῶς εἰπεῖν ἐξ ὧν αἰτιῶν ἡ δησποτεία τοῦ πράγματος ἐπὶ τὸν λαβόντα παραχρῆμα μετατίθεται ἀπὸ τοῦ πρὶν δεσπότου. εἰ δὲ μὴ ην ἐκεῖνος ὁ πρὶν κατέχων τὸ πρᾶγμα γνήσιος δεσπότης τοῦ πράγματος, ἐκπεσὼν τῆς τούτου δεσποτείας ὁ λαβὼν κινεῖ τὴν πουβλικιανήν.

---

[1] Lips. male addit ἢ ζημιῶν. [2] Praeponendum erat: Ἐν δὲ τῷ κε′ κεφ. [3] Malim νομίμους.

9. *Ἀνάγν. καὶ βι. κδ΄ τί. γ΄, οὗτινος ἐν τῷ ιδ΄ κεφ. φησίν·* Ὅτι ἡ κατὰ τοῦ χρεώστου προσωπικὴ ἀγωγὴ οὐκ ἀναιρεῖται, κἂν ὁ δανειστὴς ἐπιλέξηται τὰ ἐνέχυρα. ἀλλὰ λογίζεται μὲν εἰς τὸ χρέος τὸ τίμημα τοῦ ἐνεχύρου, τὸ δὲ ὑπόλοιπον ἀπαιτεῖ διὰ τῆς προσωπικῆς ἀγωγῆς.

10. *Ἀνάγν. καὶ βι. ξ΄ τί. ξβ΄, ἐν ᾧ φησι περὶ ἀγωγῆς διπλῆς, δυναμένης καὶ χρηματικῶς καὶ ἐγκληματικῶς κινεῖσθαι· οὗτινος ἐν τῷ α΄ κεφ.* Ὁσάκις ἀπὸ ἰδικῆς ζημίας καὶ χρηματικὸν καὶ ἐγκληματικὸν ἁρμόζει, ἐπιλογὴν ἔχει τὶς, εἴτε τὸ ἐγκληματικὸν πρῶτον εἴτε τὸ χρηματικὸν κινῆσαι. ὅθεν δύναταί τις κινῆσαι τὸ περὶ βίας ἰδιωτικῆς δικαστήριον, καὶ μετὰ ταῦτα κινῆσαι τὸν νόμον τὸν περὶ βίας δημοσίας. δύναται πάλιν κινῆσαι κρυπτομένης διαθήκης τὸ δικαστήριον τὸ περὶ τῆς φανερώσεως τῆς διαθήκης, καὶ πάλιν δύναται κινῆσαι τὸν νόμον τὸν περὶ πλαστογραφίας.

XXV.

Περὶ ἀγωγῆς ἀφαιρέσεως πραγμάτων.

1. *Ἀνάγν. βι. κη΄ τί. ια΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν·* Ὅτι γυνὴ κλέψασά τι ἐκ τοῦ ἀνδρὸς τῇ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγῇ ἐνάγεται μετὰ διαζύγιον, οὐ μὴν τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον· ὥσπερ καὶ ἡ θυγάτηρ κλέψασα [ἐκ] τοῦ πατρός [a].

2. Ἄτιμος[1] γὰρ ἀγωγὴ κατὰ γαμετῆς οὐ δίδοται.

3. Εἰ[2] δὲ μετὰ διαζύγιον ψηλαφᾷ τὰ πράγματα, τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἐνέχεται.

4. *Ἐν δὲ τῷ γ΄ κεφ.* Ὅτι τὰ εἰρημένα περὶ ὑπεξουσίας γυναικὸς λέγομεν, καὶ περὶ ὑπεξουσίου ἀνδρός.

5. *Ἐν δὲ τῷ ζ΄ κεφ.* Ὅτι ὁ κινῶν τὴν περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγὴν ὅρκον ἐπάγειν δύναται· καὶ ὄμνυσι πρῶτος τὸν περὶ συκοφαντίας [b].

Ὁ δὲ λεγόμενος κλέψαι μόνος ὀμνύειν ἀναγκάζεται, οὐ

---

[a] *Καὶ γὰρ οὐδὲ αὐτὴ τῷ περὶ κλοπῆς ἐνάγεται.*

[b] *Εἰ δὲ θέλει ὁ τὴν κλοπὴν ὑποστὰς, ὄμνυσι τῷ ἐναγομένῳ αὐτῷ, ὡς βι. ιβ΄ τῶν διγέστων τί. β΄ διγ. κη΄.*

---

[1] et [2] Haec sunt ex cap. 2 et 3.

μὴν ὁ πατὴρ ἢ ὁ κληρονόμος αὐτοῦ. ἄδικον γάρ ἐστιν ἄλλον ὀμνύναι περὶ τοῦ ἀλλοτρίου ἀποτελέσματος.

Διὸ οὔτε ἀντεπιφέρεται.

6. Οὔτε[1] ὁ τῇ περὶ κλοπῆς ἐναγόμενος ἐπιφέρει τῷ ἐνάγοντι, ἵνα ὀμόσῃ ὅτι κλέπτης ἐστίν.

7. Ὅθεν οὐδὲ γυνὴ ἀντεπιφέρει.

XXVI.

Περὶ ἀγωγῆς τῆς τὰ ἴδια ἐκδικούσης.

1. Ἀνάγν. βι. ζ' τί. ε', οὗτινος ἐν τῷ πα'[2] κεφ. φησίν· Ὅτι ἡ τὰ ἴδια ἐκδικοῦσα ἀγωγὴ οὐ κινεῖται κατὰ τοῦ τὸ ἀλλότριον πεπρακότος, ἀλλὰ κατὰ τοῦ ἀγοραστοῦ νεμομένου τὸ πρᾶγμα. ἐναγόμενος δὲ ὁ ἀγοραστὴς οὐ καλῶς ἀπαιτεῖ τὸν δεσπότην τοῦ πράγματος κινῆσαι κατὰ τοῦ πράτου τὴν τὰ ἴδια ἐκδικοῦσαν ἀγωγήν· αὐτὸς γάρ ἐστιν ὁ νεμόμενος, οὐχ ὁ πράτης. ἀλλὰ χρὴ αὐτὸν παραγγέλλειν τῷ πράτῃ[a].

2. Ἐν δὲ τῷ πβ' κεφ. Ἐν ταῖς τὰ ἴδια ἐκδικούσαις ἀγωγαῖς καὶ ἐν ταῖς προσωπικαῖς φυλάττεται ὁ κανὼν ὁ βουλόμενος τὸν ἐνάγοντα ἀκολουθεῖν τῷ φόρῳ τοῦ ἐναγομένου. ἡ μέντοι τὰ ἴδια ἐκδικοῦσα ἀγωγὴ καὶ ὅπου τὰ πράγματα διάκεινται δύναται κινηθῆναι.

3. Ἐν δὲ τῷ πδ' κεφ. Πᾶς ὁ ἀπὸ διοικήσεως ἐναγόμενος ἐν οἷς διῴκησε τόποις ἐνάγεται.

XXVII.

Περὶ ἀγωγοῦ δημοσίου.

1. Ἀνάγν. βι. νη' τί. ιθ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Οἱ οἰκήτορες, δι' ὧν παρέρχεται ὁ ἀγωγός, ἀτελεῖς ἔστωσαν, ἔξω τῶν

---

a Ἀλλοτρίου πράγματος πραθέντος οὐ κατὰ τοῦ πεπρακότος κινεῖται ἡ ἰν ῥὲμ ἤτοι ἡ περὶ ἐκδικήσεως ἀγωγή, ἀλλὰ κατὰ τοῦ νεμομένου τὸ πρᾶγμα. καὶ μάτην ὁ ἐναγόμενος ἀπαιτεῖ τὸν ἐνάγοντα κατὰ τοῦ πεπρακότος αὐτῷ κινῆσαι τὴν ἰν ῥὲμ, αὐτὸ τὸ πρᾶγμα νεμόμενος. ἀλλὰ δεῖ τὸν ἐναγόμενον παραγγέλλειν τῷ πεπρακότι, ὡς αὐτοῦ κινδυνεύοντος[3] διὰ τῆς ἐκνικήσεως. ἐν μιᾷ τοίνυν ἐπαρχίᾳ διαγόντων καὶ τοῦ ἐκδικοῦντος τὸ πρᾶγμα καὶ τοῦ ἀγορασθέντος ἄτοπόν ἐστι διὰ τὸ εἶναι ἐν ἄλλῃ ἐπαρχίᾳ τὸν ἠγορακότα ὑπερτεθῆναι τὸ δικαστήριον.

---

1 Notandum erat, haec sequentibus capitibus deberi. 2 Lips. να'. 3 Ita legendum. Leuncl. αὐτὸν κινδυνεύηται.

διατετυπωμένων βαρῶν καὶ ἐδίκτων. καθαιρέτωσαν μέντοι τὸν ἀγωγὸν, ἐπειδὴ δήμευσιν ὑπομένουσι τοῦ χωρίου. καὶ ἀπὸ ιε΄ ποδῶν δένδρα ἐχέτωσαν· φυλαττόντων ταῦτα τῶν ταξεωτῶν.

2. Καὶ ὅτι[1] ἐάν τις ἀπὸ τοῦ ἀγωγοῦ κωνσταντινουπόλεως ἑλκύσῃ ὕδωρ εἰς χωρίον ἴδιον χάριν τοῦ ὑδρευθῆναι αὐτὸ, ἀπόλλυσιν αὐτὸ, τοῦ δημοσίου αὐτὸ ἀφαιρουμένου.

3. Καὶ[2] ὅτι εἴ τις δήποτε ἐκ θείας φιλοτιμίας ἐκτήσατο ὕδωρ ἀπὸ τοῦ ἀδριανείου ἀγωγοῦ, τοῦτο ἐπαρθήτω, καὶ μόνον ταῖς βασιλικαῖς ὑπουργείτω ὑπηρεσίαις καὶ τοῖς ὑδρείοις. μηδεὶς δὲ τιτράτω τοῦτον τὸν ἀγωγόν. ὡς εἴ γε παραβαίη τὶς ταῦτα, εἴτε οὖν ἀνενέγκαι βουληθῇ, ρ΄ λίτρας προστιμᾶται. μήτε δένδρα ἔστωσαν ἐγγὺς, ἀλλὰ ἀπὸ δέκα ποδῶν. ταῦτα νομοθετοῦμεν καὶ περὶ τῶν μολυβδίνων σωλήνων τοῦ ἀχιλλέως καὶ τῶν ὑδρείων τῶν ἐχόντων ἐξ αὐτῶν, ὥστε ἄδειαν ἔχειν τὴν τάξιν τῶν ἐπάρχων ἀνερευνᾶν τοὺς οἴκους καὶ τὰ βαλανεῖα τὰ ἰδιωτικὰ, μήποτε[3] κλέπτηται ὑπὸ αὐτῶν.

4. Ἐν δὲ τῷ β΄ κεφ. Μηδεὶς ἀξίᾳ πεποιθὼς κακουργείτω ἢ εἰς ἀγωγὸν ἢ πηγὴν, ἢ λαθραίως ἀφέληταί τι ἐξ αὐτοῦ. μήτε ἐγγὺς αὐτοῦ φυτευέσθωσαν δένδρα, ἵνα μὴ βλάψωσιν αὐτόν. εἰ δὲ μήγε, εἴτε προάστειον εἴη εἴτε χωρίον ἢ ὑδρομύλιον ἢ κῆπος, δημευθήσεται μηκέτι ἀνακληθησόμενον.

XXVIII.

Περὶ ἀδελφοποιΐας.

1. Ἀνάγν. βι. λε΄ τί. ιγ΄ κεφ. ιε΄, ἐν ᾧ φησι· Μηδὲ παρὰ ξένοις[a] τοῖς ἔξω ῥώμης οἰκοῦσι διὰ θέσεως ἀδελφότης συνιστάσθω[b]. κἂν τις ὡς ἀδελφὸς προσληφθεὶς κληρονόμος γραφῇ, ἐκπιπτέτω τῆς κληρονομίας[c].

---

a Τοῖς μὴ συγγενέσι οὖσι δηλονότι. ὡς οὖν παρὰ τοῖς συγγενέσι οὐ κεκώλυται ἡ κατὰ θέσιν ἀδελφότης· εἰ γάρ τις ξένον τινὰ κατὰ θέσιν ἀδελφὸν ὄντα γράψῃ κληρονόμον ἀδελφὸν ὀνομάσας, οὐ ποιεῖ κληρονόμον διὰ τὸ ἀδελφὸν αὐτὸν ὀνομάσαι, ὡς τοῦ νόμου τούτου κωλύοντος τὴν κατὰ θέσιν ἀδελφότητα.

b Ἡ θέσις μιμεῖται τὴν φύσιν. οὐδεὶς δὲ ἑαυτῷ γεννᾷ ἀδελφόν.

c Ἐδεήθη τὶς βασιλέως, ὅτι ὁ πατὴρ αὐτοῦ ἔλαβεν εἰς θέσιν ἑαυτῷ ἀδελφὸν, καὶ τελευτῶν ὡς ἀδελφὸν ἐνεστήσατο κληρονόμον αὐτόν. καὶ λέγει ἡ

---

1 et 2 Auctor hic novum caput inchoari significare neglexit. 3 Leuncl. μή τι.

XXIX.

Περὶ τῶν ἀδιαθέτων.

1. *Ἀνάγν. βι. με΄ τί. α΄ κεφ. ιδ΄, ἐν ᾧ φησι·* Κυρίως ἀδιάθετοι λέγονται οἱ διαθέσθαι δυνάμενοι καὶ μὴ διαθέμενοι ἢ ἀκύρως διαθέμενοι, καὶ ὅτε ῥαγεῖσα ἢ ἄκυρος γένηται ἡ διαθήκη. οἱ δὲ μὴ δυνάμενοι διαθέσθαι λέγονται μὲν ἀδιάθετοι, οὐ κυρίως δὲ, ὡς ἐπὶ τοῦ ἀνήβου καὶ μαινομένου καὶ ἀσώτου καὶ τοῦ παρὰ τοῖς πολεμίοις τελευτήσαντος[a].

XXX.

Περὶ τῶν ἀθεμίτως συναπτομένων ἐπὶ πορνείᾳ ἢ μοιχείᾳ ἢ γάμῳ[a].

1. *Ἀνάγν. βι. ξ΄ τί. λζ΄ κεφ. ιε΄ θεμ. γ΄ καὶ κεφ. λϛ΄, ἐν ᾧ φησιν·* Ἔνθα συνῆπται ἀθέμιτον καὶ μοιχεία, ὡς ἐπὶ προγονῆς ἢ νύμφης ἢ μητρυιᾶς, καὶ ἡ γυνὴ ὁμοίως τιμωρεῖται τῷ ἀνδρί. τοῦτο γὰρ καὶ χωρὶς τῆς μοιχείας συμβαίνει.

Καὶ ὅτι ἔνθα δὴ καὶ φύσει καὶ νόμῳ μεμισημένον ἁμαρτάνει, ὁμοίως ἡ γυνὴ τῷ ἀνδρὶ τιμωρεῖται. εἰ δὲ τῷ νόμῳ μόνῳ κεκώλυται, συγγινώσκεται ἡ γυνή.

Καὶ ὅτι ἔσθ᾽ ὅτε καὶ οἱ ἄνδρες ἀθεμίτως μιγνύμενοι πρᾳότερον ἤπερ οἱ μοιχοὶ τιμωροῦνται· οἷον εἰ ὡς γαμετῇ συνέλθω τινὶ ἀθεμίτως, καὶ οὐχ ὡς πόρνῃ.

Καὶ ὁ ἀφῆλιξ δὲ ἐπὶ τοῦ ἀθεμίτου συγγινώσκεται, ἀφιστάμενος μέντοι τοῦ ἀθεμίτου. ἐπὶ δὲ μοιχείας οὔτε γυνὴ οὔτε ἀφῆλιξ ἔχουσι παραίτησιν.

διάταξις· οὐκ ἔξεστί τινι λαβεῖν εἰς θέσιν ἑαυτοῦ[1] ἀδελφὸν, καὶ δυνατὸν ἀποσπᾶσθαι παρ᾽ αὐτοῦ τὸ μέρος τοῦ κληρονόμου[2]. δύναμαι καὶ γράφειν κληρονόμον τὸν πρὸς ὃν ἔχω σχέσιν ἀδελφικὴν, μετὰ τῆς κυρίας προσηγορίας ἀδελφὸν αὐτὸν ὀνομάζων. εἰ δὲ μὴ ἀπὸ τοιαύτης σχέσεως, ἀλλὰ κατὰ πλάνην ὡς ἀδελφὸν αὐτὸν ἔγραψα, [ἡ ἔνστασις ἀκυροῦται].

[a] Καὶ[3] ὁ ληφθεὶς γὰρ αἰχμάλωτος ἀδιάθετος δοκεῖ τελευτῆσαι. ἡ δὲ τούτου κληρονομία ἐκείνοις καταφέρεται διὰ τοῦ κορνελίου νόμου, οἷστισι κατεφέρετο[4], εἰ ἐν τῇ πόλει ἐτελεύτησε. καὶ ἡ διακατοχὴ[5] γὰρ [αὐτοῦ] κληρονομία[6] εἶναι πιστεύεται.

[a] Ἀνάγνωθι καὶ νεαρὰν ιβ΄. ἀνάγνωθι καὶ τὰ τεθέντα ἐν τῷ περὶ γάμων ἀθεμίτων.

---

[1] Lege ἑαυτῷ. [2] Lege τῆς κληρονομίας. [3] Haec Lips. non habet, Leuncl. tamquam partem textus edidit. Ex scholiis Basilicorum sumta sunt. [4] Leuncl. καταφέρεται. [5] Leuncl. conj. διαδοχή. [6] Sic lego. Leuncl. εἶναι κληρονόμου.

Καὶ ὅτι ἀθέμιτος γάμος οὐ βεβαιοῦται. καὶ διὰ τοῦτο ἐὰν πρὸ κατηγορίας λυθῇ, συγχωρεῖται ἡ ποινὴ αὐτοῦ.

2. Καὶ κεφ. λθ'· Τὸ συνεζευγμένον τῇ μοιχείᾳ ἀθέμιτον οὐ σβέννυται τῇ πενταετίᾳ.

3. Καὶ κεφ. μα'· Ὁ προγονὸς καὶ τῆς μητρυιᾶς ἀποθανούσης κατηγορεῖται τῷ ἀθεμίτῳ, ὥσπερ ὁ μοιχὸς ἀποθανούσης τῆς γυναικός.

XXXI.

Περὶ ἀθωώσεως ἤτοι ἐλευθερίας χρέους καὶ ἀποχῆς δι' ἀμοιβαίας ἐπερωτήσεως γενομένης, καὶ τί διαφέρει ἀθώωσις ἀποχῆς, καὶ τίνες δύνανται ποιεῖν ἀθώωσιν ἢ ἀποχήν.

1. Ἀνάγν. βι. κς' τί. ς', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἀθώωσις ἐνοχῆς ἐστιν ἐλευθερία δι' ἀμοιβαίας ἐπερωτήσεως. διαφέρει δὲ ἀθώωσις ἀποχῆς[a], ὅτι ἡ μὲν ἀθώωσις πάντως ἐλευθεροῖ, ἡ δὲ ἀποχὴ οὐκ ἄλλως, εἰ μὴ καταβληθῇ τὰ χρήματα.

2. Ἐν δὲ τῷ κβ' κεφ. Ὁ δοῦλος οὔτε κελεύοντος τοῦ δεσπότου ποιεῖν ἀθώωσιν δύναται.

XXXII.

Περὶ αἱμομικτῶν.

1. Ἀνάγν. βι. ξ' τί. λζ' κεφ. ξθ', ἐν ᾧ φησιν· Οἱ αἱμομίκται, εἴτε γονεῖς πρὸς τέκνα εἴτε τέκνα πρὸς γονεῖς ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς, ξίφει τιμωρείσθωσαν. οἱ δὲ κατὰ ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφθειρόμενοι, τουτέστι πατὴρ εἰς γυναῖκα υἱοῦ ἢ υἱὸς εἰς γυναῖκα πατρὸς ἤγουν μητρυιὰν ἢ πατρωὸς εἰς προγονὴν ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ ἢ θεῖος εἰς ἀνεψιὰν ἢ ἀνεψιὸς εἰς θείαν ἢ εἰς δύο ἀδελφὰς ἢ εἰς μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα ἐν εἰδήσει μιγνύμενοι, οἱ τοιοῦτοι τυπτόμενοι ῥινοκοπείσθωσαν αὐτοί τε καὶ αἷς αὐτοὶ συνεφθάρησαν.

---

[a] Ὅταν εἴπω σοι· ὁμολογεῖς χρεωστεῖν; καὶ κατατιθέμενος εἴπῃς· ὁμολογῶ, τοῦτο ἐπερώτησίς ἐστι, καὶ λύεται δι' ἀκεπτιλατίονος ἤτοι ἀθωώσεως, ἥτις ἐστὶν εἰκονικὴ καταβολὴ ῥήμασι τυπικοῖς γινομένη. σοῦ γὰρ τοῦ ἐπερωτηθέντος ἀντεπερωτῶντος οὕτως· ὅπερ σοι ὡμολόγησα, ἔχεις λαβών; ἀποκρίνομαι· ἔχω, καὶ τοῦτο ἐστὶν ἀθώωσις. ὅτε δὲ εἴπω, ἔλαβέ τις παρὰ σοῦ τόδε καταβολὴν ἔχων; οὐκ ἐπερώτησις, ἀλλὰ δάνειόν ἐστιν, ὅπερ λύεται δι' ἀποχῆς ἤτοι ἀποδόσεως λεγούσης· ὅτι τὸ χρεωστούμενον ἀπέχων τοῦτο ἔλαβε[1]. καὶ τούτῳ μὲν διαφέρει ἀθώωσις ἀποχῆς.

[1] Legerim: ὅτι τὸ χρ. καταβολὴν ἔχων τοῦτο ἔλαβον.

2. Ἐν δὲ τῷ ο' κεφ. Οἱ δὲ πρὸς γάμον συναπτόμενοι ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες μόνον, ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα [ἢ δύο ἀδελφοὶ πρὸς δύο ἀδελφὰς ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα] ἢ ἀνεψιὸς πρὸς τὴν γεγενημένην τοῦ θείου γυναῖκα ἢ θεῖος εἰς τὴν γεγενημένην τοῦ ἀνεψιοῦ γυναῖκα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν.

XXXIII.

Περὶ αἱρετικῶν.

1. Ἀνάγν. βι. α' τί. α' κεφ. β' καὶ γ' καὶ ιη' μέχρι τοῦ λη', ἐν ᾧ φησι περὶ τῶν σεβομένων τὸν οὐρανόν. καὶ κεφ. μη' καὶ μθ' καὶ να' καὶ νβ' καὶ βι. ε' τί. γ' κεφ. ια', ἐν ᾧ φησι περὶ ἰουδαίων καὶ σαμαρειτῶν καὶ ἑλλήνων[a].

2. Ἀνάγν. καὶ βι. ξ' τί. νδ' κεφ. ιθ', ἐν ᾧ φησιν· Μηδενὶ ἐξέστω αἱρετικῷ εὐγενεῖς ἀνθρώπους ἢ δούλους ἰδίους τῆς ὀρθοδόξου πίστεως ὄντας καὶ τῶν ὀρθοδόξων μεταλαμβάνοντας[1] μυστηρίων εἰς τὴν οἰκείαν αἵρεσιν μεταβαπτίζειν· μηδὲ οὓς ἂν ἀγοράσωσιν ἢ καθ' οἱονδήποτε τρόπον κτήσωνται μήπω τῆς αὐτῶν αἱρέσεως γενομένους, κωλυέτωσαν τῇ καθολικῇ προστρέχειν ἐκκλησίᾳ. εἰ δέ τις τοῦτο ποιήσειεν ἢ παθεῖν ἀνάσχοιτο εὐγενὴς ὤν, καὶ μὴ τὸ γενόμενον διελέγξῃ, ἐξορίᾳ καὶ δέκα λιτρῶν χρυσίου προστίμῳ καταδικασθήσεται. οὐδετέρῳ δὲ αὐτῶν ἢ διατίθεσθαι ἢ δωρεὰς ποιεῖν ἔξεστιν· ἀλλὰ δίδομεν παντὶ ἄρχοντι ἐξουσίαν ταῦτα φυλάττειν, μὴ συγχωροῦντες αὐτοῖς ἢ ἐλαττοῦν ἢ παραχωρεῖν τὴν τοιαύτην τιμωρίαν. ἐὰν γὰρ ἢ ἐλαττώσωσιν ἢ παραχωρήσωσι τὴν ὡρισμένην ἐκ τῆς διατάξεως τιμωρίαν, αὐτοὶ ταύτην ὑποστήσονται, ἣν ἑτέροις ἐπαγαγεῖν οὐκ ἠβουλήθησαν.

XXXIV.

Περὶ αἰτήσεων βασιλεῖ προσφερομένων, καὶ περὶ τῶν αἰτούντων ἄρχειν ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ.

1. Ἀνάγν. βι. β' τί. ε' κεφ. γ', ἐν ᾧ φησι· Μηδεὶς αἰτείτω [τὶ] τὸν δημόσιον ἢ τὸ δίκαιον ἀδικοῦν.

---

[a] Ἀνάγνωθι καὶ νεαρὰν μβ' καὶ με' καὶ ρθ' καὶ ρλα' κεφ. ι'.

---

[1] Leuncl. in marg. μεταλαβόντας.

2. Καὶ κεφ. ε' καὶ η' καὶ ιβ'.

3. Καὶ βι. ζ' τί. με' κεφ. ιη', ἐν ᾧ φησιν· Ἐάν τις ἐπαρχεώτης ὢν αἰτήσῃ παρὰ βασιλέως ἄρχειν ἐν τῇ [ἰδίᾳ] ἐπαρχίᾳ, ἱεροσυλίᾳ ὑπόκειται, εἰ μὴ ἄρα ἑκουσίως [αὐτὸν] ὁ βασιλεὺς ἄρχοντα ποιήσει.

XXXV.

Περὶ αἰχμαλώτων δούλων τε καὶ ἐλευθέρων, καὶ περὶ ὑποστροφῆς αὐτῶν, καὶ περὶ παίδων αὐτῶν καὶ δικαίου.

1. Ἀνάγν. βι. λδ' τί. α', οὗτινος ἐν τῷ θ' κεφ. φησίν· Οἱ ἐν πολέμῳ ληφθέντες ἔχουσι τὸ δίκαιον τῆς ὑποστροφῆς καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ.

Καὶ ὅτι, εἰ μὲν ὑποστρέψει ὁ αἰχμάλωτος, οὐδέποτε δοκοῦσιν οἱ παῖδες αὐτοῦ αὐτεξούσιοι γενέσθαι. εἰ δὲ παρ' αὐτοῖς ἀποθάνῃ, ἀφ' οὗ ἐλήφθη, καὶ αὐτοὶ[1] ἔχουσιν ἴδια τὰ ἐν μέσῳ κτηθέντα, κληρονομίαν δὲ κτᾶσθαι κατὰ τὸν καιρὸν τῆς τοῦ πατρὸς αἰχμαλωσίας οὐ δύνανται. οἱ δὲ δοῦλοι τῇ κληρονομίᾳ προσπορίζουσι.

Καὶ ὅτι ὁ τοῦ αἰχμαλώτου παῖς καλῶς γαμεῖ, καὶ ὁ παρ' αὐτοῦ τικτόμενος ὑποστρέφοντι τῷ πάππῳ γίνεται ὑπεξούσιος. τοῦτο δὲ διὰ τὸ δημόσιον χρήσιμον τῶν γάμων.

Καὶ ὅτι ὁ ἀγοράζων δοῦλον αἰχμάλωτον, κἂν οιδε τὴν αὐτοῦ κατάστασιν, γίνεται αὐτοῦ δεσπότης. διδοὺς δὲ ὁ πρώην αὐτοῦ δεσπότης τὸ ὑπὲρ αὐτοῦ δοθὲν ἀναλαμβάνει αὐτόν, κἂν ἐνόμιζεν αὐτὸν ὁ ἀγοραστὴς μὴ εἶναι ἀλλότριον, εἰ μὴ ἄρα παρῆλθεν ὁ τῆς ἐν τῷ χρᾶσθαι δεσποτείας χρόνος. εἰ δὲ ὁ ἀγοραστὴς αὐτὸν ἐλευθερώσει, ἤ τις ἕτερος καλῇ πίστει παρ' αὐτοῦ ἀγοράσας, ;οὐκέτι δύναται ὁ πρώην δεσπότης ἀναλαβεῖν αὐτόν. ἡ μέντοι παρὰ τῶν πολεμίων ἐπιτεθεῖσα αὐτῷ ἐλευθερία οὐκ ἐμποδίζει τὸν δεσπότην λαβεῖν αὐτὸν ἐρχόμενον ἐν τῇ πολιτείᾳ[a]. δοκεῖ γὰρ ὑποστρέφειν διὰ τοῦ δικαίου τῆς ὑποστροφῆς, κἂν γνώμην ἔσχεν ὑποστρέψαι πρὸς

[a] Σημείωσαι, ὅτι ὁ δοῦλος αἰχμαλωτισθεὶς ὑποστρέφων τῇ ἰδίᾳ δεσποτείᾳ δίδοται.

[1] Lips. ἀφ' οὗ. Leuncl. in margine: γεγόνασιν αὐτεξούσιοι. Malim καὶ αὐτεξούσιοί εἰσι καὶ ἔχουσι.

τοὺς πολεμίους[b]. καίτοι ἐπὶ τοῦ ὑποστρέφοντος ἐλευθέρου κεκανόνισται, μὴ ἔχειν αὐτὸν τὸ δίκαιον τῆς ὑποστροφῆς, εἰ μὴ γνώμης ἦν τοῦ παραμεῖναι.

2. Ἐν δὲ τῷ ιγ' κεφ. Ὁ ὑποστρέφων ἄνωθεν ἐν τῇ πολιτείᾳ εἶναι δοκεῖ.

3. Ἐν δὲ τῷ ιδ' κεφ. Οἱ μεθ' ὅπλων ἡττηθέντες καὶ τοῖς πολεμίοις ἑαυτοὺς ἐκδεδωκότες οὐκ ἔχουσι δίκαιον ὑποστροφῆς.

4. Ἐν δὲ τῷ ιε'[1] κεφ. Ὁ μὴ ὑποστρέφων δοκεῖ τελευτᾶν ἐξότε ἐλήφθη.

5. Ἐν δὲ τῷ ις' κεφ. Ὑποστροφῆς δίκαιόν ἐστιν ἐπανάληψις καὶ τῆς προτέρας καταστάσεως καὶ τῶν ἀφαιρεθέντων πραγμάτων αὐτοῦ.

Καὶ ὅτι ὁ αὐτόμολος ἐλεύθερος ἀνήρ τε καὶ γυνὴ τὸ δίκαιον τῆς ὑποστροφῆς οὐκ ἔχει[c].

Τὸν δὲ αὐτόμολον δοῦλον, καὶ τὸν ὑπὸ αἵρεσιν ἢ ἡμέραν ἐλευθερωθῆναι ὁρισθέντα, ὑποστρέφοντα ὁ δεσπότης ἀναλαμβάνει. εἰ δὲ ἐν ὅσῳ παρὰ τοῖς πολεμίοις ἐστὶν ὁ ὑπὸ αἵρεσιν ἐλευθερωθῆναι ὁρισθεὶς ἐξέλθῃ ἡ αἵρεσις, οὔτε αὐτὸς ἔχει τὸ δίκαιον τῆς ὑποστροφῆς, οὔτε ὁ κληρονόμος αὐτὸν[2] ὑποστρέφοντα λαμβάνει.

6. Ἐν δὲ τῷ ιη' κεφ. Ἐάν τις εὐγενῆ γυναῖκα παρὰ πολεμίων ἀγοράσῃ, καὶ συναφθῇ αὐτῇ ἐπὶ παιδοποιΐᾳ[d], παραχρῆμα τὸ ἐν αὐτῇ δίκαιον τοῦ ἐνεχύρου λύει, καὶ εὐγενεῖς τίκτει [καὶ ἡ διὰ[7] τῶν πολεμίων ἀναληφθεῖσα ὑπὲρ ἧς οὐκ ἐδόθησαν τιμαὶ, οὐ λογισθήσεται δούλη ἀλλὰ γυνή[e].]

---

b Ὁ παρὰ τῶν πολεμίων ἐλευθερούμενος[3], εἰ καὶ ἐλευθεροῦται τῆς αὐτῶν δουλείας, ὅμως[4] ἐὰν ἐπελάβετο αὐτοῦ ὁ πάλαι δεσπότης ὑπὸ τὴν ἡμετέραν φυλακὴν γεγονότος, εἰ καὶ μὴ ὡς ἀσπαζόμενος τὰ ἡμέτερα γέγονε παρ' ἡμῖν, ἀλλὰ τοιαύτῃ ἐννοίᾳ, ὡς πάλιν ὑποστρέψαι πρὸς τοὺς πολεμίους, κατέχει αὐτὸν ὁ πρὶν δεσπότης· ὅπερ ἐπὶ τῶν ἐλευθέρων ἄλλως.

c Ὁ γὰρ κακῇ βουλῇ καὶ προδότης τυχὸν τὴν ἰδίαν πατρίδα καταλιμπάνων ἐναρίθμιος τοῖς πολεμίοις ἐστίν[5].

d Τοῦτο τὸ κεφάλαιον ἀνῃρέθη παρὰ τῆς νεαρᾶς τοῦ κυροῦ λέοντος[6].

e Ἐπειδὴ μὴ καταβληθείσης τιμῆς ὑπὲρ αἰχμαλώτου δουλεῦσαι χρεωστεῖ

---

1 Lips. ν'. 2 Lips. αὐτοῦ. 3 Leuncl. ὁ περὶ τ. π. ἐλευθερωμένος. Heimb. conj. ἠλευθερωμένος. 4 Leuncl. ὃ μὲν ἐάν. Heimb. conj. εἰ μέντοι. 5 Hoc scholium apud Leuncl. textui insertum, in Lips. plane deest. 6 Videtur indicari Nov. Leonis 89. 7 Leuncl. conj. ἀπό. Malim διὰ τῶν στρα-

7. Ἐν δὲ τῷ κα′ κεφ. Ἐὰν τῷ αἰχμαλώτῳ κυοφορούμενος ἐν τῇ πολιτείᾳ τεχθῇ, ῥήγνυσι τὴν διαθήκην αὐτοῦ κατὰ τὸ τῆς ἐνστάσεως μέρος· τὰ δὲ λοιπὰ τὰ ἐν τῇ διαθήκῃ γεγραμμένα πληροῦται.

8. Ἐν δὲ τῷ κζ′ κεφ. Τὸ ἐν τῷ πολέμῳ λαμβανόμενον ἀνδράποδον ἐν πραίδᾳ ἐστὶν, οὐ μὴν τῷ δικαίῳ τῆς ὑποστροφῆς ἐπανέρχεται.

9. Ἀνάγν. καὶ τί. β′, οὗτινος ἐν τῷ α′ κεφ. φησίν· Ἡ ἀπὸ τῶν πολεμίων ἀγορασθεῖσα οὐκ ἔστι δούλη, ἀλλ᾽ ἐνεχύρου λόγῳ κρατεῖται. ὡς εἴγε λυθείη τὸ ἐπ᾽ αὐτῇ ἐνέχυρον, ἀδεῶς τις ἄγεται αὐτὴν, μηκέτι οὔσης ζητήσεως περὶ τῆς καταστάσεως αὐτῆς ἢ τῶν ἐξ αὐτῆς τικτομένων παίδων.

10. Ἐν δὲ τῷ ϛ′ κεφ. Ἐὰν ἀγοράσῃ τὶς αἰχμάλωτον καὶ προστήσῃ αὐτὴν, οὐ μόνον τὰς τιμὰς οὐ λαμβάνει, ἀλλὰ κἀκείνη ἐκδικεῖται ὑπὸ τοῦ ἄρχοντος καὶ τοῖς ἰδίοις δίδοται.

11. Ἐν δὲ τῷ ια′ [1] κεφ. Ἐάν τις ἀπὸ τῶν πολεμίων ἀπεσπάσθῃ, οὐ μὴν ἀπηγοράσθῃ, ἐλεύθερος ἔσται. εἰ δὲ δοῦλος ἦν, τῷ δεσπότῃ ἀποδοθήσεται παραχρῆμα.

12. [Ἐν δὲ τῷ ιη′ κεφ.] [Ὅτι εἰ ἀπαγορασθῇ τις, ὀφείλει τὰς τιμὰς ἀποδοῦναι, ἢ πέντε ἔτη μόνον δουλεῦσαι.]

13. Ἀνάγν. βι. ιζ′ τί. α′ κεφ. κ′.

XXXVI.

Περὶ ἁλιέων καὶ ἁλιείας.

1. Ἀνάγν. βι. νγ′ τί. ϛ′, ἐν ᾧ καὶ περὶ δικαίου θαλάσσης· οὗτινος ἐν τῷ ε′ κεφ. φησίν· Ὅτι εἰ καὶ σύνηθές ἐστι, παρανόμως τινὰς κωλύειν ἑτέρους ἁλιεύειν πρὸ τῶν ἰδίων οἴκων, ὅμως ὁ κωλύσας ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ. καλῶς δὲ κωλύω τινὰ ἐν τῇ διαφερούσῃ μοι λίμνῃ ἁλιεῦσαι.

ὁ αἰχμάλωτος τῷ ῥύστῃ. εἰ δὲ γυναῖκα εἶναι συμβῇ αἰχμαλωτισθεῖσαν διὰ στρατιώτου ἐκδικηθεῖσαν καὶ αὐτῷ συναφθεῖσαν, δοκεῖ συγχωρεῖσθαι αὐτὴν [2] τὴν δουλείαν τῆς ὡρισμένης πενταετίας.

Θεόδωρος. Δύναται ὁ θέλων ἀγαγέσθαι ἣν ἀγοράζει παρὰ τῶν πολεμίων αἰχμάλωτον, καὶ οὐ μεθοδεύει αὐτὴν ὃ ἔδωκεν ὑπὲρ αὐτῆς τίμημα.

τιωτῶν ἀπὸ τῶν κτλ. Leuncl. in fine verba δούλη ἀλλὰ γυνὴ non habet: supplevit Fabrotus. Caeterum quae uncis inclusa sunt, non tantum in Lips. sed et in aliis Codicibus desunt. Fortasse ad marginem a scholiasta adscripta perperam in textum irrepserunt. [1] Lips. ϛ′. [2] Lege αὐτῇ.

XXXVII.

Περὶ ἀλληλοκληρονομίας.

1. Ἀνάγν. βι. ια' τί. α' κεφ. ξη' καὶ βι. κθ' τί. ε' κεφ. λε' βι. μγ' τί. ς κεφ. δ' [1] ἐν ᾧ φησιν, ὅτι ἐὰν συμφωνήσωσί τινες ὥστε τὸν προτελευτῶντα τῷ ἑτέρῳ διδόναι τὴν οὐσίαν, ἄχρηστον τὸ γεγονὸς κατὰ τῶν καλῶν τρόπων ὄν. οὔτε γὰρ σύμφωνον οὔτε ἐπερώτησις οὕτω γενομένη ἰσχύει[a].

XXXVIII.

Περὶ ἀμφιβόλων καὶ ἀσαφῶν ῥημάτων τε καὶ συμφώνων καὶ ἐπερωτήσεων καὶ ἀγωγῶν.

1. Ἀνάγν. βι. ια' τί. α' κεφ. λε' [2] ἐν ᾧ φησι· Τὸ ἀσαφὲς ἢ ἀμφίβολον σύμφωνον κατὰ τοῦ πράτου καὶ τοῦ μισθώσαντός ἐστιν.

2. Ἀνάγν. καὶ βι. μγ' τί. α' [3] κεφ. λθ', ἐν ᾧ φησιν· Ἐν τοῖς ἀμφιβόλοις τὴν ἐπερώτησιν κατὰ τοῦ ἐπερωτήσαντος ἑρμηνεύομεν.

3. Καὶ κεφ. π', ἐν ᾧ φησιν, ὅτι ἐὰν ἀμφίβολος εὑρεθῇ φράσις ἐν ἐπερωτήσει, ἐκεῖνο δεχόμεθα, ὅπερ τὸ πρᾶγμα περὶ οὗ ἡ ζήτησίς ἐστιν ἀσφαλίζεται.

4. [Καὶ κεφ. ϙη'.] Τὸ συμβαλλόμενον τῇ συστάσει τῆς ἐνοχῆς, εἰ μὴ φανερῶς ἐκφωνηθῇ, παραλελεῖφθαι πιστεύεται. τὴν γὰρ ἀσάφειαν ὡς ἐπὶ τὸ πολὺ ὑπὲρ τοῦ ὁμολογήσαντος ἑρμηνεύομεν.

5. Ἐν δὲ τῷ ρκδ' κεφ. ὅτι ἡνίκα ὁμολογία μεταξὺ παρόντων γράφεται, πιστεύεται ἡγεῖσθαι ἐπερώτησις, κἂν μὴ ἔγκειται.

Καὶ ὅτε πολλοῖς συμφώνοις μία ἐπερώτησις καὶ ὁμολογία ὑποβάλλεται, δοκεῖ περὶ ἑκάστου[4] ἡ ἐπερώτησις γίνεσθαι.

6. Ἀναγ. καὶ βι. μδ' [5] τί. ιη' κεφ. ιβ. [6] καὶ κγ' καὶ κε', ἐν ᾧ φησιν, ὅτι ἡ ἀμφίβολος ἐπερώτησις κατὰ τοῦ ἐπερωτήσαντός ἐστιν.

---

[a] Θεόδωρος. Οὔτε πάκτον οὔτε ἐπερώτησις γενομένη ἐναντία τῶν χρηστῶν τρόπων ἔῤῥωται.

---

[1] Lips. λ'. [2] Leuncl. λδ'. [3] Lips. ς'. Apud Leuncl. numerus deest. [4] Fabrot. addit εἴδους. [5] Lips. addit καὶ μα'. [6] Lips. ιη'.

7. Καὶ κεφ. λϑ΄, ἐν ᾧ φησι· Τὰ ἀσαφῶς γεγραμμένα[a], ὡς μὴ νοεῖσθαι τὴν ἔννοιαν αὐτῶν, ἀντὶ μὴ γεγραμμένων ἐστί· τὰ δὲ λοιπὰ ἰσχύει.

8. Ἀνάγν. βι. β΄ τί. α΄ κεφ. ιη΄ καὶ ιϑ΄ [ἐν οἷς φησι] περὶ νομίμων ἀσαφῶν ἑρμηνείας[1].

9. Ἀνάγν. βι. ζ΄ τί. ε΄ κεφ. ξϛ΄, ἐν ᾧ φησιν· Ἡ ἀμφίβολος ἀγωγὴ καὶ ἀφήγησις ὑπὲρ τοῦ ποιήσαντος αὐτὴν ἑρμηνεύεται.

10. Ἀνάγν. βι. ιβ΄ τί. γ. κεφ. ι΄, ἐν ᾧ φησιν· Ἡ γραφὴ τῆς διαθήκης, ἡ περιέχουσα ὅτι πάντα διηρέθησαν, οὐ κωλύει γενέσθαι διαίρεσιν τῶν μὴ διαιρεθέντων ἐν τῇ διαθήκῃ πραγμάτων.

11. Ἀνάγν. καὶ βι. ιε΄ τί. α΄ κεφ. ε΄ θεμ. δ΄ καὶ βι. ιϑ΄ τί. α΄ κεφ. ιζ΄, ἐν ᾧ φησιν, ὅτι τὸ παρὰ τοῦ πράτου λεγόμενον ἀσαφῶς αὐτὸν οὐ[2] βλάπτει.

12. Καὶ κεφ. λζ΄· Δόλον ὁ πράτης ποιεῖ οὐ μόνον ἀσαφῶς ἐπὶ τῇ παραγραφῇ[3] λαλῶν, ἀλλὰ καὶ ἀμαυρῶς εἰς βλάβην ἀποπροσποιούμενος.

13. Ἀνάγν. καὶ βι. νϛ΄ τί. β΄ κεφ. ϑ΄, ἐν ᾧ φησιν, ὅτι ἐν τοῖς ἀμφιβόλοις κατὰ τοῦ δημοσίου δεῖ ἀποκρίνεσθαι.

XXXIX.

Περὶ ἀναργυρίας.

1. Ἀνάγν. βι. κγ΄. τί. α΄ κεφ. νϑ΄, ὅπερ εὑρήσεις ἐντεῦθεν ἐν τῷ περὶ χρέους.

2. Καὶ κεφ. ξ΄, οὗτινος ἐν τῷ β΄ θέμ. φησιν, ὅτι οὐ μόνον ὁ μηδὲν λαβὼν ἐξ ὧν ἐχειρογράφησεν ἀντιτίθησιν ἀναργυρίαν, ἀλλὰ καὶ ὁ πλείονα ὧν ἔλαβε χειρογραφήσας.

3. Ἐν δὲ τῷ ξβ΄[4]· Καὶ μετὰ τὸ δοθῆναι τὴν ὑποθήκην ἐὰν ὁ δανειστὴς μὴ δείκνυσι γεγονέναι τὴν ἀρίθμησιν, ἀντικειμένης δόλου παραγραφῆς ἢ τῆς τοῦ μὴ ἀπαριθμηθῆναι τὰ ἀργύρια, ἀπολύεται ὁ ἐναγόμενος.

4. Ἐν δὲ τῷ ξγ΄[5]· Ὁ ἐπιγνοὺς τὴν τοῦ γραμματείου πίστιν καὶ ἅπαξ ἀρξάμενος καταβάλλειν δοκεῖ ἐπιγινώσκειν τὴν ἀρίθμησιν, καὶ οὐκ ἔχει τὴν τῆς ἀναργυρίας παραγραφήν.

---

[a] Δηλονότι τὰ ἐν τῇ διαθήκῃ λεγάτα.

---

[1] Lips. in margine λϑ΄ scil. titulus. Ideo abhinc titulorum numeri in Lips. ampliores sunt nostris. [2] Negatio delenda est. [3] Leuncl. ἐπὶ παραγρ., et in margine conj. ἐπὶ περιγραφῇ. Recte. [4] Lips. β΄. [5] Lips. γ΄.

5. Ἐν δὲ τῷ ξζ′[1]· Ὁ ἐλάττονα λαβὼν καὶ εἰς πλείονα χειρογραφήσας ἐπὶ τῇ πλείονι ποσότητι[2] καλῶς ἀντιτίθησι τὴν ἀναργυρίαν, ἐὰν εἰσέτι ὁ χρόνος ἐνδαψιλεύηται τῆς διετίας ἢ διεμαρτύρατο.

6. Ἐν δὲ τῷ ξη′[3]· Ὁ λέγων ὅτι οὐ γέγονεν ἀρίθμησις, εἰ μὴ ἐντὸς διετίας ἢ ἐναχθῇ ἢ διαμαρτύρηται περὶ τούτου, οὐδεμίαν ἔχει δικαιολογίαν[a].

7. Ἐν δὲ τῷ ξθ′[4]· Ὁ ἀπὸ διαλύσεως ἐπερωτηθεὶς παρασχεῖν οὐκ ἀντιτίθησι τὴν τῆς ἀναργυρίας παραγραφήν.

8. Ἐν δὲ τῷ οα′[5]· Ἡ διάταξις βούλεται τὸν φανερώσαντα ἐν τῇ ὁμολογίᾳ τὰς αἰτίας ἐξ ὧν ἐχρεώστησεν αὐτὸν βαρεῖσθαι ταῖς ἀποδείξεσιν, ὅτι μὴ χρεωστῶν ἐχειρογράφησεν[b].

9. Ἐν δὲ τῷ οβ′[6]· Ἡ διάταξις κελεύει ἐν τοῖς συναλλάγμασιν, ἐν οἷς χρήματα ἢ ἄλλα πράγματα ἀριθμηθέντα συνεγράφησαν, εἴσω δύο ἐνιαυτῶν συναπτῶν τὴν τῆς ἀναργυρίας ἀντιτιθέναι διαμαρτυρίαν[c]. ὅσοι δὲ πρότερον ἐβοηθοῦντο διά τινας αἰτίας ἰδικῶς τοῖς νόμοις ἐκπεφωνημένας τῆς πενταετίας παραδραμούσης, τούτους καὶ νῦν βούλεται βοηθεῖσθαι. κελεύει δὲ κατὰ ὁμολογίας, ἐν ᾗ τις κατέθετο παρακαταθήκην εἰληφέναι, ἢ ἀποδείξεως περὶ δημοσίων γενομένης, ἢ κατὰ ὁμολογίας ἀποληπτικῆς ἐπὶ προικὶ συντελεσθείσης ἀναργυρίαν μὴ εἶναι. κατὰ δὲ πάσης ἄλλης ἀποδείξεως, ἢ μερικῆς ἢ εἰς ὁλόκληρον, εἴσω τριάκοντα ἡμερῶν μετὰ τὴν ἔκθεσιν τῆς ἀποδείξεως τὴν ἀναργυρίαν ἀντιτίθεσθαι[d]. ἐν οἷς δὲ οὐκ ἔξεστι τὴν ἀναργυρίαν ἀντιτιθέναι ἢ ἐντὸς λ′ ἡμερῶν μόνον ἀντιτιθέναι, μηδὲ ὅρκος ἐπιφερέσθω.

---

a Σημείωσαι, ὅτι ἐντὸς διετίας κινεῖται περὶ ἀναργυρίας ἀγωγή, εἰ μὴ διαμαρτυρία γένηται.

b Τὸ ὁμόλογον λέγεται χειρόγραφον καὶ γραμματεῖον.

c Τὸ περὶ ἀναργυρίας ἐὰν μὴ εἴσω ἐνιαυτοῦ κινηθῇ, οὐκ ἔχει τὴν ἀπαίτησιν διπλῆν. ὁ ἔχων ἀναργυρίας παραγραφὴν καὶ μὴ δυνάμενος ἀντιτιθέναι αὐτὴν διὰ τὸν φόβον τοῦ ἰδίου διαδίκου ποιείσθω διαμαρτυρίαν παρὰ τῷ ἄρχοντι ἢ παρὰ τῷ ἐπισκόπῳ, καὶ διακόπτει τὸν χρόνον.

d Σημείωσαι τὴν διαφορὰν τῆς τριακονθημερίας καὶ τῆς διετίας. ἡ μὲν γὰρ διετία τότε δίδοται, ὅτε ἔχει χειρόγραφόν τις ὡς μέλλων δανείσασθαι καὶ λέγει ὕστερον μηδὲν εἰληφέναι. ἡ δὲ τριακονθημερία, ὅτε ὁ χρεωστούμενος ποιήσει ἀπόδειξιν ὡς εἰληφὼς ἢ ὅλον ἢ μέρος.

---

1 Lips. ζ′ θέματι. 2 Lips. addit προικός. 3 Lips. η′ θέματι. 4 Lips. θ′. 5 Lips. ια′. 6 Lips. ιβ′.

10. *Ἐν δὲ τῷ ος'*[1]· Ἡ τῆς ἀναργυρίας παραγραφὴ χώραν ἔχει, κἂν ἐνώμοτός ἐστιν ἡ ὁμολογία, ὅρκον ἔχουσα περὶ τῆς τῶν κεχρεωστημένων ἀποδόσεως.

11. *Ἀνάγν. βι. κδ' τί. γ' κεφ. δ' καὶ βι. κθ' τί. γ'· διαλαμβάνει γὰρ περὶ ἀναργυρίας προικός*[e]. *οὗ ἐν τῷ α' κεφ. θέμ. γ' φησιν·* ὅτι εἴσω [μὲν] διετίας τοῦ γάμου διαλυθέντος, εἴτε θανάτῳ εἴτε διαζυγίῳ, καὶ αὐτῷ τῷ ἀνδρὶ τὰ τῆς ἀναργυρίας ἔξεστι μέμφεσθαι, καὶ τῷ γε αὐτοῦ κληρονόμῳ εἴσω ἑτέρου ἐνιαυτοῦ. εἰ δὲ ὑπὲρ διετίαν ἄχρι δέκα ἐνιαυτῶν ὁ γάμος ἐκταθείη, τῷ ἀνδρὶ δίδομεν τὴν μέμψιν καὶ τῷ γε αὐτοῦ κληρονόμῳ μηνῶν εἴσω τριῶν. εἰ δὲ παραδράμῃ ἡ δεκαετία, τότε οὐδὲ τῷ ἀνδρὶ οὐδὲ κληρονόμοις αὐτοῦ τὰ τῆς μέμψεως ἔσται, τοῦ χρόνου προσάπαξ ἐξαρκοῦντος τῇ γυναικί. εἰ μὲν οὖν ἀφήλιξ εἴη[2] ὁ ἀνὴρ καὶ μὴ μέμψεται, τοσοῦτον εἰς ἀποκατάστασιν αὐτῷ δίδομεν χρόνον, ὥστε μὴ ὑπερβαίνειν δωδεκαετίαν ἐκ τοῦ καιροῦ τῶν γάμων· ἴσμεν γὰρ τοὺς σφόδρα τάχιστα συναλλάσσοντας γάμους οὐκ ἐλάττους τῶν ιε' ἐνιαυτῶν πρὸς τοῦτον ἰόντας, ὥστε καὶ ὑπερβήσεται τὸν ε' καὶ κ' ἐνιαυτόν, καὶ ἔσται δυνατὸς εἴσω τῶν κζ' μέμψασθαι τῇ τῆς προικὸς ἀναργυρίᾳ. τελευτήσαντος δὲ αὐτοῦ εἴσω τοῦ ῥηθέντος χρόνου, τοὺς κληρονόμους ἔχειν τὸν ἐνιαυτὸν εἰς μέμψιν. εἰ δὲ ἀφήλικες εἶεν οἱ τοῦ μὴ μεμψαμένου κληρονόμοι, εἴτε τελείου εἴτε ἀτελοῦς, πενταετίαν ἐχέτωσαν μόνην εἰς τὸ κινῆσαι τὴν μέμψιν ἐπὶ τῇ ἀναργυρίᾳ, ἀρκοῦντος τοῦ χρόνου καὶ μὴ ἀναμένοντος τὴν διέξοδον[f] ἁπάντων τῶν ἐλαττόνων χρόνων. ἐκείνου δηλαδὴ τὴν ἀναργυρίαν ἀντιτιθέντος, ὃς ἂν γεγραμμένος εἴη τὴν προῖκα ὑποδέχεσθαι, καὶ κατὰ τοὺς οἰκείους χρόνους, εἴτε τέλειος εἴη εἴτε ἀτελής, τοῦ πράγματος κρινομένου[g].

---

[e] *Περὶ ἀναργυρίας προικὸς ἀνάγνωθι καὶ νεαρὰν ρ'.*

[f] *Παραδρομή, παρέλευσις, παρολκὴ καὶ διέξοδος, ταῦτα ἐπὶ χρόνου.*

[g] *Ἡ διαφορὰ τοῦ μηδόλως κινεῖσθαι τὴν περὶ τῆς προικὸς ἀναργυρίαν μετὰ τὴν ἀποληπτικὴν ἀπόδειξιν καὶ τοῦ ἐντὸς β' ἐνιαυτῶν κινεῖσθαι αυτη ἐστίν. ὅτε μὲν γὰρ τὸ κατ' εἶδος τῆς προικὸς ῥητῶς ἐμφέρηται τῇ ἀποδείξει, παρευθὺς ἀποκέκλεισται τῷ ἀνδρὶ καὶ τοῖς κληρονόμοις αὐτοῦ ἡ περὶ τῆς ἀναργυρίας παραγραφή ὅτε δὲ καθ' ὁμάδα δηλοῦται ἐν ταύτῃ ὡς τὴν προῖκα πᾶσαν εἴη λαβών, τὰς ι' τυχὸν ἢ κ' λίτρας, τότε ἡ δεκαετία*[3] *τούτοις εἰς παραγραφὴν τῆς ἀναργυρίας ὑφήπλωται.*

---

[1] Lips. *ις' θέματι.* [2] Leuncl. *ᾖ.* [3] Leuncl. conj. *διετία.* Recte.

XL.

Περὶ ἀναρχίας.

1. Ἀνάγν. βι. ς' τί. α' κεφ. νε', ἐν ᾧ φησιν, ὅτι ὁ τὸν μὴ κεχρεωστημένον τόπον ἱπεισελθὼν ἱεροσυλίᾳ ὑπόκειται, μὴ δυνάμενος ἄγνοιαν προβάλλεσθαι.

2. Ἀνάγν. καὶ βι. θ' τί. γ' κεφ. ς', ἐν ᾧ φησιν· Ὁ κατὰ αὐθεντίαν πρᾶγμα τοῦ κατακριθέντος πιπράσκων καὶ κλέπτης καὶ ἅρπαξ ἐστί[a].

XLI.

Περὶ ἀναφωνούντων εἰς ἐλευθερίαν εἴτε εἰς εὐγένειαν.

1. Ἀνάγν. βι. κβ' τί. α'[1] κεφ. η', ἐν ᾧ φησιν, ὅτι καὶ ὁ ἀναφωνῶν εἰς ἐλευθερίαν δεικνύει, εἰ καὶ τὰ μάλιστα ὁ παραγραφόμενος ὃ λέγει δεικνύει.

2. Ἀνάγν. καὶ κεφ. νβ' καὶ βι. μη' τί. η', οὗτινος ἐν τῷ ζ' κεφ. φησίν. Ὁ εἰς ἐλευθερίαν ἀναβοῶν ἐνάγων ἐστίν· εἰ δὲ ἐκ ταύτης δουλαγωγεῖται, ὁ λέγων αὐτὸν εἶναι δοῦλον. εἰ δὲ ἄδηλόν ἐστι, τοῦτο αὐτὸ πρῶτον δεῖ σκοπεῖν, ὥστε γνωσθῆναί τις βαρεῖται ταῖς ἀποδείξεσιν.

3. Ἀνάγν. καὶ τί. θ' καὶ κ'[2] καὶ κεφ. κα', ἐν ᾧ φησιν· Ὁ ἀπὸ δουλείας ἀναφωνῶν εἰς ἐλευθερίαν αὐτὸς βαρεῖται τῇ ἀποδείξει. ἐὰν δέ τις τὸν ἐλεύθερον εἰς δουλείαν ἕλκῃ, πάλιν αὐτὸς τοῦτο ἀποδείκνυσιν.

4. Ἀνάγν. καὶ τί. κα' καὶ κβ' καὶ τί. ι', ἐν ᾧ διαλαμβάνει περὶ τῶν εἰς εὐγένειαν ἀναφωνούντων ἀπελευθέρων, οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἀπελεύθερος εὐγενὴς εἶναι λέγων ἐντὸς ε' ἐτῶν ἀφ' οὗ ἠλευθερώθη ἀκούεται. εἰ δὲ μετὰ ταῦτα λέγει εὑρεῖν δικαιώματα ὑπὲρ τῆς εὐγενείας, δεῖ αὐτὸν βασιλεῖ προσελθεῖν ἐφ' ᾧ [δια]γνῶναι.

5. Ἀνάγν. καὶ βι. ζ' τί. ε' κεφ. πς' καὶ πζ' καὶ πη', ἐν ᾧ φησιν, ὅτι πᾶς ἀναφωνῶν εἰς ἐλευθερίαν ἀπὸ δουλείας ἐν τῷ φόρῳ τοῦ λεγομένου δεσπότου δικάζεται.

---

[a] Ἐὰν εἴσω ἐνιαυτοῦ κινηθῇ μηδαμῶς ἀναρχία, οὐκ ἔχει εἰς τὸ διπλοῦν.

---

[1] Lips. η'. [2] Lips. η'.

XLII.

Περὶ τῶν ἀναγκαζομένων μαρτυρεῖν ἢ προφέρειν [ἐν δικαστηρίῳ] δικαιώματα ἢ καὶ ἐκδιδόναι εἴτε καθ' ἑαυτῶν εἴτε κατά τινων, καὶ τίνες οὐκ ἀναγκάζονται μαρτυρεῖν ἢ προφέρειν δικαιώματα ἢ ἐκδιδόναι τοὺς λογισμούς, καὶ ὅτι οὐδεὶς ἀναγκάζεται χρηματικὴν ἢ ἐγκληματικὴν δίκην κινεῖν.

1. Ἀνάγν. βι. ζ' τί. ιη', οὗτινος ἐν τῷ ε' κεφ. φησίν· Ὄμνυσιν ὁ ἀντίδικος τοῦ ἀργυροπράτου, μὴ κατὰ συκοφαντίαν ἢ διαστροφὴν ἐπιζητεῖν τὴν ἔκδοσιν, περιττῶς τυχὸν ἢ ἔχων.

Καὶ ὅτι λογισμοί εἰσιν οἱ δοσοληψίας ἔχοντες τῆς αὐτοῦ πραγματείας. ὅσα δὲ μὴ οὕτω δέδωκεν ἢ ἐνέχυρα ἔλαβεν ἢ μανδάτον ὑπεδέξατο, οὐκ ἀναγκάζεται ἐκδοῦναι. τὴν ἀντιφώνησιν δὲ ἣν ὑπῆλθεν, ὡς μέρος οὖσαν τῆς πραγματείας, ἐκδίδωσιν.

Καὶ ὅτι ἀπὸ τοῦ παρόντος νόμου ἡ ἀγωγὴ εἰς τὸ διαφέρον ἁρμόζει. ἐκδίδοται δέ μοι, εἴτε ἐγὼ συνήλλαξα αὐτῷ εἴτε ὁ [προ]κουράτωρ μου.

2. Ἐν δὲ τῷ ϛ' κεφ. Ἐκδοῦναί ἐστι τὸ ὑπαγορεῦσαι ἢ ἐν χάρτῃ δοῦναι ἢ προκομίσαι τὴν πυκτήν.

3. Ἐν δὲ τῷ ζ' κεφ. Τῷ αὖθις αἰτοῦντι ἐκλαβεῖν, εἰ μὴ τῆς αἰτίας διαγινωσκομένης, οὐ δίδοται.

Τί γάρ; ὅτι τὸ ἐκδοθὲν ἐπὶ ξένης ἔχει, ἢ ἀτελῶς [ἐξ]έλαβεν, ἢ κατὰ μεγάλην ἀπώλεσε περίστασιν.

4. Ἐν δὲ τῷ η' κεφ. Ὁ μὴ ἐκδούς μοι ἐνέχεται εἰς ὃ διέφερέ μοι, ὅτε διελαλήθη περὶ τῆς ἐκδόσεως, εἴτε μηδὲν ὕστερον ἢ πλέον ἢ ἧττον διαφέρει μοι.

5. Ἐν δὲ τῷ ι' κεφ. Οὐ μόνον εἰ αὐτὸς ὁ ἀργυροπράτης δικάζεταί μοι, ἀναγκάζεται τοὺς λόγους προκομίζειν, ἀλλ' εἰ καὶ πρὸς ἄλλον δοκιμάζομαι. διὰ τοῦτο δὲ μόνοι οἱ ἀργυροπράται ἀναγκάζονται ἐκδοῦναι, οὐ μὴν οἱ ἄλλοι πραγματευταὶ οἱ τούτοις ἀνόμοιοι, ὅτι τὸ τῶν ἀργυροπρατῶν ὀφφίκιον δημοσίαν αἰτίαν ἔχει, καὶ ἡ σπουδὴ αὐτῶν ἐστι τὸ ἐπιμελῶς συντιθέναι τοὺς λόγους.

Ὀφείλει δὲ διδόναι εἰς μεταγραφὴν πᾶν τὸ πρὸς τὸ ζητούμενον ἀνῆκον, οὐ μὴν ὅλον τὸν κώδικα ἢ τοὺς λογισμοὺς ὅλους.

6. Ἐν δὲ τῷ ιδ' κεφ. Χρήματα λέγων τὶς παραδεδωκέναι γυναικὶ λόγῳ παρα[κατα]θήκης καὶ μὴ εὐπορῶν ἑτέρωθεν ἀποδεῖξαι τὴν παρα[κατα]θήκην, ἀπῄτει τὴν γυναῖκα τὰ ἴδια βρέβια, λέγων ἐν αὐτοῖς ἐγγεγράφθαι, ὅτι τὴν παρακαταθήκην ἔλαβεν ἡ γυνή. πρὸς τοῦτο τοίνυν ἀντιγράφει ὁ βασι-

λεὺς οὕτως· αὐτὸς διασκόπησον, κατὰ ποῖον τρόπον τὰ χρήματα, ἅτινα παρατεθεικέναι λέγεις, ἀποδείξεις χρεωστεῖσθαί σοι. καὶ γὰρ ὅπερ ἐπιζητεῖς, ἵνα τοὺς λόγους τοὺς ἰδίους ἡ ἀντίδικος παράγῃ σοι, τοῦτο κατὰ διάγνωσιν πρὸς τὸ ὀφφίκιον τοῦ δικαστοῦ ἀνήκειν εἴωθεν· τουτέστιν αὐτὸς ὁ ἄρχων διαγνώσεται, καὶ εἰ [εὕροι] εὔλογον καὶ δικαίαν αἰτίαν, δι᾽ ἣν ἐξαιτεῖς προενεχθῆναι τὰ τῆς διαδίκου[1] σου βρέβια, τοῦτο γενέσθαι παρασκευάσει.

7. Ἐν δὲ τῷ ιζ' κεφ. Οἱ κατηγορεῖν βουλόμενοι τὰς ἀποδείξεις ἔχειν ὀφείλουσιν. ὁπότε οὐδὲ ὁ τοῦ νόμου[2] οὐδὲ ὁ τῆς δικαιοσύνης λογισμὸς ἐπιτρέπει, ἵνα τῶν ἀλλοτρίων δικαιωμάτων ἐποπτευτέων[3] ἐξουσία γίνεσθαι ὀφείλῃ τινί[a]. καὶ[4] ὅτι πολλάκις τὶς ἐνῆγε κατά τινος ὡς χρεωστούμενος παρ᾽ αὐτοῦ καὶ προσέφερεν[b] αὐτοῦ[5] γραμματεῖον, ὁ δὲ ἐναγόμενος ἔλεγε πάλαι καταβεβληκέναι τὸ χρέος· καὶ ἀπαιτούμενος δεῖξαι ὅτι κατέβαλεν, ἔλεγεν ὅτι ἢ μὴ εἰληφέναι ἀπόδειξιν ἢ ἀπολωλεκέναι τὴν δοθεῖσαν αὐτῷ παρὰ τοῦ δανειστοῦ ἀκυρωσίαν. ἐζήτει δὲ προσενεχθῆναι τὰ βρέβια τοῦ δανειστοῦ λέγων, ὅτι ἐν αὐτοῖς ἐγγέγραπται ἀπολαβεῖν παρ᾽ ἐμοῦ τὸν δανειστήν. ἀνανεύοντος οὖν τοῦ δανειστοῦ πρὸς τοῦτο, καὶ ἴσως κεχρημένου τῷ κανόνι τῆς προλαβούσης διατάξεως, ὅτι οὐδεὶς ὀφείλει ἐξ ἀλλοτρίων δικαιωμάτων ἀγωνίζεσθαι, μαθὼν ὁ βασιλεὺς ἐδέξατο τοῦ χρεώστου τὴν αἴτησιν, καὶ ἀντέγραψεν οὕτως· οὐκ ἔστι καινὸν, ἐκεῖνον ἀφ᾽ οὗ ἀπαιτεῖται τὰ χρήματα ἐπιζητῆσαι τοὺς λόγους τοῦ δανειστοῦ προενεχθῆναι, ἵνα ἡ πίστις δυνηθείη συστῆναι.

8. Ἐν δὲ τῷ ιη' κεφ. Τῆς πρὸ ταύτης διατάξεως δοκούσης περὶ ἰδιωτῶν δανειστῶν διαλέγεσθαι, καὶ νομοθετησάσης προσφέρεσθαι τοὺς λόγους, ἡνίκα τοῦτο ἐπιζητοῦσιν οἱ ἐναγόμενοι, συνέβαινε πολλάκις πολιτικὸν ἢ δημόσιον χρέος ἀπαιτεῖσθαί τινα καὶ ἐπιζητεῖν προσενεχθῆναι τοὺς τῆς πόλεως λόγους· καὶ ἐκέχρητο μὲν τῇ προλαβούσῃ διατάξει [ὁ τοῦτο ἐπιζητῶν ἐναγόμενος· ἀντέλεγον δὲ οἱ τὰ δημόσια ἢ τὰ πολιτικὰ μεθοδεύοντες, φάσκοντες ἐπὶ μόνων ἰδιωτικῶν λόγων

---

[a] Ὁ κατήγορος οὐ δύναται τὸν κατηγορούμενον ἀναγκάζειν προφέρειν τὰ δικαώματα αὐτοῦ, ἀλλ᾽ ὁ ἐναγόμενος τὸν ἐνάγοντα.

[b] Προήνεγκε, προέφερε, προεκόμιζεν.

[1] Leuncl. ἀντιδίκου. [2] Leuncl. νομίμου. [3] Idem ἐποπτεύειν. [4] In Basil. novum caput incipit. [5] Sic Basil. Lips. αὐτῷ, Leuncl. αὐτούς.

χώραν εἶναι τῇ προλαβούσῃ διατάξει]. εἰκότως οὖν καὶ κατὰ τάξιν ἡ παροῦσα διάταξις νομοθετεῖ, δικαίαν εἶναι τὴν αἴτησιν καὶ τοῦ ἀπαιτουμένου τὰ δημόσια, ἵνα τῶν λόγων τῶν δημοσίων παραγενομένων ἀποδειχθείη πόσον ὀνόματι αὐτοῦ τοῦ ἐναγομένου καταβέβληται. ἐκ τῶν δύο οὖν τούτων διατάξεων τοῦτο συνάγεται, ὅτι κἂν ἰδιώτης κἂν πόλις κἂν ὁ δημόσιος λόγος ἐνάγῃ τινὶ, δύναται ὁ ἐναγόμενος καλῶς ἐπιζητεῖν τοῦ ἰδιωτικοῦ δανειστοῦ τοὺς λόγους προενεχθῆναι καὶ τοὺς πολιτικοὺς ἢ δημοσίους λόγους, ἵνα ἐκ τούτων ἀποδειχθῇ πόσον καταβέβληται.

9. Ἐν δὲ τῷ κ' κεφ. Ἐν τῇ πρώτῃ τοῦ τίτλου διατάξει πῖος ὁ καὶ ἀντωνῖνος[1] ἐνομοθέτησεν, ἄτοπον εἶναι τὸν ἐνάγοντα ἐπιζητεῖν τὰ τοῦ ἐναγομένου προενεχθῆναι συμβόλαια. ἡ δὲ πέμπτη τοῦ τίτλου διάταξις ἀλεξάνδρου οὖσα εἶπεν, ἐξεῖναι τῷ ἐναγομένῳ ἐπιζητεῖν προενεχθῆναι τοὺς τοῦ ἐνάγοντος λόγους πρὸς σύστασιν τῆς ἀληθείας. ἐδόκουν τοίνυν ἐναντίαι ἀλλήλαις εἶναι αἱ διατάξεις, καὶ μᾶλλον εἶναι ἐπικρατεστέρα ἡ ἀλεξάνδρου, τουτέστιν ἡ ε', ὡς μεταγενεστέρα τῷ χρόνῳ. ζητήσεως οὖν περὶ τοῦτο γενομένης αὐτὸς ἀλέξανδρος ὁ βασιλεὺς ἀντιγράφει οὕτως· καὶ ἅτινα παρὰ τοῦ θείου ἀντωνίνου τοῦ πατρὸς καὶ ἅτινα παρ' ἐμοῦ ἀντεγράφη, τοῖς τοῦ δικαίου καὶ τοῖς τοῦ νομίμου[2] λογισμοῖς συνᾴδουσιν[3]. οὐδὲ γὰρ ἐναντίαι εἰσὶν ἢ ἀπᾴδουσιν[4] ἀλλήλων· ὁπότε πολλή ἐστιν ἡ διαφορὰ, ἐκ τοῦ μέρους ἐκείνου ὃς τίποτε ἀπαιτεῖ καὶ ὃς τῇ τοῦ δόλου παραγραφῇ ἀπαιτεῖσθαι[5] δύναται ἐκ τῆς ἰδίας ἀπαιτήσεως, λόγοι προενεχθῆναι ἐπιζητοῦνται, δι' ὧν ὁ ἐναγόμενος φιλονεικεῖ δύνασθαι ἐπιστῆναι τῇ ἀληθείᾳ· ὅπερ δηλαδὴ καὶ γίνεσθαι αὐτὴ ἡ τοῦ πράγματος δικαιοσύνη συμβουλεύει· εἰ μήτι παρ' ἐκείνου τοῦ ἀπαιτουμένου τίποτε λόγοι προενεχθῆναι ἐπιζητοῦνται, τουτέστι παρὰ τοῦ ἐναγομένου, ὁπότε ἐν τούτῳ τῷ θέματι οὐ χρὴ τὴν ἀρχαιογονίαν τῆς ἀπαιτήσεως ἐκ τῶν δικαιωμάτων ἐκείνου τοῦ ἐναγομένου ἰσχυροποιεῖσθαι καὶ θεμελιοῦσθαι[c].

---

[c] Ἐξ ἀμφοτέρων οὖν τῶν εἰρημένων θέσεων θέσις[6] συνίσταται, ὅτι οἱ μὲν ἐνάγοντες οὐ δύνανται ἐπιζητεῖν τὰ τῶν ἐναγομένων συμβόλαια, οἱ δὲ ἐναγόμενοι δύνανται.

---

[1] Lips. ἀντώνιος. [2] Leuncl. νόμου. [3] Lips. συνᾴδοντα. [4] Leuncl. ἀπᾴδουσαι. [5] Lege ἀπωθεῖσθαι. [6] Leuncl. rectius θεμάτων.

10. Ἀνάγν. καὶ τί. ιθ' κεφ. δ', ἐν ᾧ φησιν, ὅτι οὐδεὶς οὐδὲ χρηματικὴν δίκην κινεῖν οὐδὲ ἔγκλημα γυμνάζειν κατά τινος ἀναγκάζεται μὴ βουλόμενος.

11. Ἀνάγν. καὶ βι. ιε' τί. δ' κεφ. ιθ', ἐν ᾧ φησιν· Τὸ εἰρημένον ὅτι πᾶς ᾧτινι διαφέρει κινεῖ τὴν καταστατικὴν[1] ἀγωγήν, οὐ πρὸς τὰ ῥήματα τοῦ νόμου δεῖ νοεῖν, ἀλλὰ τὴν ἔννοιαν. οὔτε γὰρ ἐκ τούτου δύναταί με ὁ ἀντίδικός μου ἀναγκάζειν προφέρειν τὰ ὠφελοῦντα αὐτὸν δικαιώματά μου, οὔτε παιδευτὴς τὰ βιβλία μου, ἐφ' ᾧ διὰ τῆς ἀναγνώσεως αὐτῶν ὠφεληθῆναι.

12. Καὶ κεφ. κδ', ἐν ᾧ φησι· Τῆς παραστατικῆς ἀγωγῆς περὶ συμβολαίων κινουμένης χώρα τῷ ἐνδίκῳ ὅρκῳ.

13. Καὶ[2] κατὰ τοῦ νεμομένου κινεῖται, καὶ κατὰ τοῦ δόλῳ παυσαμένου τῆς νομῆς. περὶ τούτου δὲ τοῦ τίτλου εὑρήσεις καὶ ἐν τῷ περὶ παραστάσεως πλατύτερον.

14. Ἀνάγν. καὶ βι. κβ' τί. α' κεφ. οζ', ἐν ᾧ φησιν· Ἐάν τις ἀπαιτούμενος ἐν δικαστηρίῳ παραγαγεῖν δικαίωμα οὐ καθ' ἑαυτοῦ, ἀλλὰ καθ' ἑτέρου τινός, συμβαλλόμενον δὲ ἑτέρῳ τινί, παραιτεῖται τοῦτο προαγαγεῖν ὡς ἐκ τούτου βλάβην εὐλαβούμενος· ὁ δὲ ἀπαιτῶν τὸν χάρτην προενεχθῆναι λέγει μηδὲν αὐτὸν ἀδικεῖσθαι, ἀλλ' ἢ χρήματα εἰληφέναι παρὰ τῶν μελλόντων ἐλέγχεσθαι ὑπὸ τοῦ προφερομένου δικαιώματος ἢ ἑτέραν τινὰ προβάλλεσθαι πρόφασιν, ἑαυτὸν δὲ μεγάλα βλάπτεσθαι μὴ προφερομένου τοῦ δικαιώματος· βούλεται μὲν ἡ διάταξις τὸν ἔχοντα τὸ δικαίωμα προφέρειν αὐτό, εἰ μηδὲν ἐκ τῆς προκομιδῆς αὐτοῦ μέλλει καταβλάπτεσθαι. εἰ δὲ τῇ ἀληθείᾳ βλάβην αὐτῷ ποιεῖ προφερόμενον τὸ δικαίωμα, μὴ ἀναγκάζεσθαι αὐτὸν προκομίζειν αὐτό· ἐπειδὴ συμφέρει αὐτῷ μᾶλλον κρύπτειν ἢ δημοσιεύειν αὐτό. εἰ δὲ ὁ τοῦ συμβολαίου δεόμενος διαβεβαιοῦται μηδὲν αὐτὸν ἀδικεῖσθαι, ὅρκον διδότω μόνον, ὡς νομίζων βλάβην περὶ τὴν οἰκείαν ὑπόστασιν[3] ὑπομένειν ἐκ τῆς τοῦ συμβολαίου προκομιδῆς, διὰ τοῦτο παραιτεῖται προκομίσαι. ἵνα δὲ μὴ αὐτὸ τοῦτο τὸ μὴ κερδάναι τὰ ἐπαγγελθέντα αὐτῷ πρὸς τὸ μὴ κομίσαι τὸν χάρτην βλάβην οἰκείαν νομίζῃ, περιεργότερον παρεχέτω τὸν ὅρκον, λέγων ὅτι οὐ διὰ τὸ λαβεῖν χρήματα ἢ ἕτερόν τι διὰ τὸ μὴ προκομίσαι τὸν χάρτην ἢ διὰ τὸ ἔχειν ἐπαγγελίαν δόσεως, οὔτε διὰ φόβον ἐκείνου καθ' οὗ ζητεῖται τὸ δικαίωμα, οὔτε διὰ τὴν φιλίαν

---

[1] Leuncl. ἀποκαταστ. et in marg. conj. παραστατικήν. [2] Inscribendum erat: Καὶ κεφ. κε'. [3] Leuncl. ἰδίαν πίστιν.

αὐτοῦ παραιτεῖται τὴν τοῦ χάρτου προκομιδήν, ἀλλ' ὡς ἐξ ὀρθοῦ[1] περὶ τὴν ἰδίαν οὐσίαν μεγάλα βλαπτόμενος[d]. ὥσπερ γὰρ ὁ νομιζόμενος εἰδέναι τὸ ἀληθὲς περί τινος ὑποθέσεως ἀναγκάζεται καὶ ἄκων πρὸς μαρτυρίαν, [καὶ οὐδὲ εἰ ἐπαγγελίαν ἔχει χρήματος ὑπὲρ τοῦ μὴ μαρτυρῆσαι, οὐδὲ εἰ κατὰ φίλων ἔρχεται μαρτυρῆσαι, παραιτεῖται μαρτυρίαν,] οὕτως οὐδὲ ὁ συμβόλαιον ἀπαιτούμενος προενεγκεῖν οὔτε διὰ τὸ εἰληφέναι τὶ ἢ ἐλπίζειν λαμβάνειν οὔτε διὰ φιλίαν τοῦ μέλλοντος ἐκ τοῦ συμβολαίου βλάπτεσθαι δύναται τὴν προκομιδὴν αὐτοῦ παραιτεῖσθαι. ἀλλ' εἰ μέν τις ἐπομόσεται μὴ ἔχειν τὸ ζητούμενον δικαίωμα, μηδὲ ὅλως ἀναγκάζεσθαι προφέρειν ὅπερ μὴ ἔχει. εἰ δὲ οὐκ ἀνέχεται τὸν τοιοῦτον ὅρκον ὑποσχεῖν, πάντως ἀναγκάζεσθαι προφέρειν τὸ ἐπιζητούμενον δικαίωμα. εἰ δὲ ἑαυτὸν ἀποκρύψει ὡς μήτε ὀμόσαι μήτε προσαγαγεῖν τὸ δικαίωμα βουλόμενος, πᾶσαν τὴν ἐκ τούτου συμβησομένην ζημίαν τῷ δεομένῳ τοῦ δικαιώματος οἴκοθεν καταβαλλέτω· τῶν αὐτῶν κρατούντων καὶ εἰς τὰ ἀργυροπρατικὰ βρέβια, ἢ τὰ παρ' ἑτέρων συνταττόμενα, ἅπερ τὶς ἐπιζητεῖ προκομισθῆναι οὐ κατὰ τῶν τὰς πυκτὰς ταύτας συντεθεικότων, ἀλλὰ καθ' ἑτέρων τινῶν. ἐκεῖνοι δὲ ἀναγκαζέσθωσαν προφέρειν πυκτὰς ἢ δικαιώματα, οἳ καὶ μαρτυρεῖν κατά τινος ἀναγκαζόμενοι[e]. καθ' ὧν γὰρ προσώπων ἄκων τὶς οὐ μαρτυρεῖ, κατὰ τούτων οὔτε προκομίζειν πυκτὰς ἢ δικαιώματα ἢ ἕτερόν τι τοιοῦτον ἀναγκάζεται. πρόδηλοι δέ εἰσιν ἐκ τῶν νόμων οἱ μὴ ἀναγκαζόμενοι [κατά τινων] μαρτυρεῖν ἄκοντες, καὶ ἐκεῖνοι καθ' ὧν [οὐκ] ἀναγκάζονταί τινες μαρτυρεῖν. οὐδενὶ δὲ ἔξεστιν ἄλλως ἀναγκάζειν προφέρεσθαι δικαιώματα, εἰ μὴ ἐν αὐτῷ τῷ δικαστηρίῳ, παρ' ᾧ κινεῖται ἡ ὑπόθεσις, καὶ τότε δὲ ἀναλώμασι τοῦ ζητοῦντος γενέσθαι τὴν προκομιδὴν τῆς πυκτῆς [ἢ] τῶν δικαιωμάτων. χρὴ δὲ γίνεσθαι τὴν ἐμφάνειαν αὐτῶν πρὸς ἅπαξ μόνον. εἰ δὲ ἅπαξ προκομισθέντος τοῦ συμβολαίου ἐπιζητεῖ καὶ δεύτερον γενέσθαι τὴν προκομιδὴν αὐτοῦ ὁ τούτου δεόμενος, εἰ εὔλογον φανείη τῷ δικαστῇ τὸ καὶ δεύτερον προσενεχθῆναι τὸν χάρτην, ὁ δὲ προκομίσας

---

d Σημ. ὅτι καθ' ἑτέρου ἀναγκάζεταί τις προκομίσαι δικαίωμα ἐν ᾧ μὴ βλάπτεται αὐτὸς ὁ προκομίζων.

e Σημείωσαι, ὅτι ἀναγκάζεταί τις μαρτυρεῖν. τίνες δὲ οὐκ ἀναγκάζονται, εὑρήσεις περὶ μαρτύρων.

---

1 Leuncl. conj. ἐξ αὐτοῦ.

αὐτὸν ἤδη παραιτεῖται ἀπαρνούμενος τὴν δευτέραν προκομιδὴν, λέγων ἀπολωλεκέναι τὸν χάρτην ἢ ἄλλως πως μὴ ἔχειν εὐχέρειαν τῆς τούτου προκομιδῆς, ὅρκῳ μόνῳ τοῦτο αὐτὸ πιστούσθω, καὶ μηκέτι ἀναγκαζέσθω προφέρειν αὐτόν. τούτων κρατούντων οὐ μόνον ἐν τῇ βασιλίδι πόλει, ἀλλὰ καὶ ἐν πάσῃ τῇ πολιτείᾳ.

15. Ἀνάγν. καὶ βι. κγ' τί. α' κεφ. λε'[1], ἐν ᾧ φησιν· Ἀπαιτείσθω τοὺς οἰκείους[2] λόγους προφέρειν ὁ δανειστὴς εἰς τὴν τῆς ἀληθείας ἀπόδειξιν.

16. Ἀνάγν. καὶ βι. νϛ' τί. β' κεφ. β', ἐν ᾧ φησι· Ὁ ἔχων δικαιώματα συμβαλλόμενα τῷ δημοσίῳ καὶ δυνάμενος προκομίσαι εἰ μὴ προκομίσει, βλάπτεται περὶ αὐτὴν μόνην τὴν ὑπόθεσιν εἰς ἣν ἐπιζητοῦνται, ἐὰν τὸ ἀληθὲς ἑτέρωθεν οὐ δύναται γνωσθῆναι. δοκεῖ γὰρ αὐτὰ κλέπτειν, ἅτινα προφερόμενα βλάπτειν αὐτὸν ἔμελλε. τότε δὲ δικαιώματά τις καθ' ἑαυτοῦ προκομίζειν ἀναγκάζεται, ὅτε χρηματικὸν καὶ μὴ ἐγκληματικόν ἐστι τὸ κινούμενον.

XLIII.

Περὶ ἀναγραφέων ἤτοι λογοθετῶν τῶν ἐν τοῖς θέμασιν ἀποστελλομένων καὶ τὰ τῷ δημοσίῳ ἀνήκοντα ἀπὸ παντοίας ὑποθέσεως ἀπαργυριζόντων καὶ ἀναψηλαφώντων καὶ εἰσπραττομένων, καὶ ὅτι ἐν ἑκάστῃ λίτρᾳ τῶν ἀπαιτουμένων παρ' αὐτῶν νομίσματα ἓξ λαμβάνουσιν.

1. Ἀνάγν. βι. νϛ' τί. ι', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἐὰν ὁ λογοθέτης μὴ ἀποδείξῃ, ὅτι μετὰ πίστεως καὶ ἀληθείας ἐλογοθέτησεν, αὐτὸς ὑποκείσθω τῷ τίτλῳ, εἰς ὃν ἕτερον ἐβάρησεν.

XLIV.

Περὶ ἀνδραποδιστῶν.

1. Ἀνάγν. βι. ξ' τί. μη', οὗτινος ἐν τῷ γ' κεφ. φησίν· Ὁ τὸν ἀλλότριον δοῦλον ὑποδεξάμενος καὶ ἀποκρύψας οὐκ ἐκφεύγει τὴν ποινὴν προφάσει τοῦ δικάζεσθαι περὶ τῆς αὐτοῦ δεσποτείας, ἀλλὰ δίδωσιν αὐτὸν μετὰ ἑτέρου ὁμοίου, εἴτε κ' νομίσματα. ὁσάκις δὲ αὐτὸν ὑποδέξεται, τοσαυτάκις αὔξεται ἡ ποινή.

2. Ἐν δὲ τῷ δ' κεφ. Ἐὰν φυγάδες εὑρεθῶσι παρ' ἐμοὶ μισθώσαντές μοι τὰς δουλείας αὐτῶν ἐπὶ τῷ τρέφεσθαι, οὐκ εἰμι ἀνδραποδιστὴς, μάλιστα εἰ καὶ παρ' ἑτέροις τοῦτο ἐποίησαν.

---

[1] Lips. ιε'. [2] Lips. ἰδίους.

3. Ἐν δὲ τῷ ιβ′ κεφ. Ὁ τὸν ἀλλότριον δοῦλον κρύπτων τῷ περὶ ἀνδραποδισμοῦ νόμῳ κατέχεται.

4. Ἐν δὲ τῷ ιγ′ κεφ. Ὁ ἀγοράσας παρὰ τοῦ ἀνδραποδίσαντος, μὴ κοινωνήσας δὲ τῷ πταίσματι, οὐδενὶ ἐγκλήματι κατέχεται. τῇ δὲ περὶ δόλου ἀγωγῇ ἐνέχεται.

5. Ἐν δὲ τῷ ιη′ κεφ. Ὁ τὸν ἐλεύθερον ἐν εἰδήσει μὴ βουλόμενον πιπράσκων ἀνδραποδιστής ἐστι. καὶ εἰ μὲν δοῦλός ἐστιν ἢ ἀπελεύθερος, τυπτόμενος καὶ κουρευόμενος χειροκοπείσθω· εἰ δὲ ἐλεύθερός ἐστι, χειροκοπείσθω μόνον. ὁμοίως χειροκοπείσθω καὶ ὁ τὸν ἐλεύθερον εἰδὼς ἀγοράσας ἢ δωρησάμενος ἢ εἰς προῖκα δοὺς ἢ καταλλάξας.

6. Ἀνάγν. καὶ βι. ζ′ τί. ε′ κεφ. οη′, ἐν ᾧ φησιν· Ὁ ἐν εἰδήσει πιπράσκων τὸν ἐλεύθερον τῷ τῶν ἀνδραποδιστῶν ὑποπίπτει ἐγκλήματι.

7. Ἀνάγνωθι καὶ τὸν περὶ ὑποφθορᾶς καὶ ὑπονοθεύσεως [τῶν δούλων].

XLV.

Περὶ ἀνήβων, καὶ ποῦ ἀνάγεσθαι καὶ διαιτᾶσθαι ὀφείλουσιν, καὶ περὶ δαπανημάτων αὐτῶν.

1. Ἀνάγν. βι. ζ′ τί. ε′ κεφ. μη′ καὶ βι. ιε′ τί. ο′ κεφ. ξ′ καὶ βι. ιζ′ τί. α′ κεφ. λδ′, ἐν ᾧ φησιν· Ἐάν τις χωρὶς αὐθεντίας τοῦ ἐπιτρόπου διοικήσῃ τὰ τοῦ ἀνήβου πράγματα, ἔνοχον ἑαυτῷ τὸν ἄνηβον ποιεῖ κατὰ τὸν καιρὸν τῆς προκατάρξεως εἰς ὅσον γέγονεν ἐκ τούτου πλουσιώτερος.

2. Ἀνάγν.[1] καὶ βι. μδ′ τί. ιδ′ κεφ. ιδ′, ἐν ᾧ φησιν· Ὅτι ἐπὶ τοῦ λεγάτου τῶν διατροφῶν τῶν μὲν ἀῤῥένων ἡ ἥβη ἕως τοῦ ιη′ ἔτους ὁρίζεται, τῶν δὲ θηλειῶν ἕως τοῦ ιδ′.

3. Ἀνάγν. καὶ βι. ιη′ τί. ε′ κεφ. γ′ θεμ. ε′ καὶ κεφ. ζ′ καὶ τί. η′ κεφ. δ′, ἐν ᾧ φησιν· Ὁ ἄνηβος κελεύων χωρὶς τῆς αὐθεντίας τοῦ ἐπιτρόπου οὐκ ἐνέχεται.

4. Ἀνάγν. καὶ βι. κϛ′ τί δ′ κεφ. ζ′ καὶ τί. ε′ κεφ. μγ′, ἐν ᾧ φησιν· Ἐὰν καταβληθῇ ἀνήβῳ χωρὶς αὐθεντίας ἐπιτρόπου, καὶ ἐστὶν ἐν καιρῷ προκατάρξεως πλουσιώτερος, ἐκβάλλεται παραγραφῇ, κἂν ἀπόληται πρὸ τῆς προκατάρξεως τὸ πρᾶγμα ὅπερ ἀναγκαίως ἠγόρασεν. καὶ ὑπεξούσιος δὲ εἰς[2] ἀναγκαίας αἰτίας δανειζόμενος ἐνέχεται, κἂν ἀπολέσῃ τὰ χρήματα.

---

[1] Cap. 2 ordinem capitum turbat, ideoque rectius hoc loco delebitur. Leuncl. in fine habet tanquam scholium. [2] Leuncl. γὰρ ἐξ.

5. Ἀνάγν. καὶ κεφ. ξβ΄[1] καὶ τί. ζ΄ κεφ. λθ΄ θεμ. θ΄ καὶ βι. λζ. τί. η΄ κεφ. ιη΄, ἐν ᾧ φησιν· Ἐὰν ἄνηβοι τὴν πατρῴαν διέλωνται κληρονομίαν συναινοῦντος τοῦ ἐπιτρόπου, ἔῤῥωται, κἂν μὴ ὑπογράψῃ τῇ διανεμήσει.

6. Ἀνάγν. καὶ βι. λη΄ τί. β΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ὁ πραίτωρ ἀπὸ τοῦ προσώπου καὶ τῆς αἱρέσεως[2] καὶ τοῦ χρόνου ὀφείλει ὁρίζειν, ποῦ χωρὶς ὑποψίας ἀνάγεσθαι δεῖ τὸν ὀρφανὸν, καὶ οὐ πάντως ἐπὶ τούτου[3] τῇ γνώμῃ τοῦ πατρὸς ἀκολουθεῖ. γίνεται δὲ ζήτησις παρόντων τῶν συγγενῶν.

Ἀναγκάζονται δὲ ἀνάγειν ἀπελεύθεροι καὶ γονεῖς καὶ ἀγχιστεῖς καὶ συγγενεῖς.

Εἰ δὲ κληρονόμος ἢ λεγατάριος ἀνάγειν ἐπιτραπέντες ἐν διαθήκῃ παραιτήσονται, ἐκπίπτουσι τῶν ἐαθέντων αὐτοῖς κατὰ μίμησιν τῶν ἐπιτρόπων· εἴγε διὰ τοῦτο κατελείφθησαν, οὐ μὴν καὶ εἰ παραιτησαμένους αὐτοὺς τὴν ἀναγωγὴν εἰδὼς παρελίμπανεν[4].

7. Ἐν δὲ τῷ ε΄ κεφ. Μετὰ διαγνώσεως ὁρίζεται, ποῦ ἀνάγεσθαι καὶ τρέφεσθαι δεῖ τὸν ἄνηβον. ὕποπτοι δέ εἰσιν οἱ τῇ σωφροσύνῃ αὐτοῦ ἐπιβουλεύειν δυνάμενοι.

8. Ἐν δὲ τῷ ζ΄ κεφ. Οὐδὲν μέν ἐστιν ἀσφαλέστερον τῇ ἀναγωγῇ τῶν ἀνήβων τῆς μητρὸς, εἰ μὴ ἐδευτερογάμησεν.

9. Ἀνάγν. καὶ βι. μ΄ τί. ε΄, οὗτινος ἐν τῷ ζ΄ κεφ. φησίν· Οὐ μόνον τὰ πρὸς ἀποτροφὴν χορηγεῖται τῷ ἀνήβῳ, ἀλλὰ καὶ τὰ πρὸς μάθησιν καὶ λοιπὰ ἀναγκαῖα πρὸς τὴν οὐσίαν[5].

10. Ἐν δὲ τῷ η΄ κεφ. Ἐὰν ὁ ἀπόκληρος ἄνηβος λέγῃ μὴ ἐῤῥῶσθαι τὴν διαθήκην, ἀλλ᾽ ἑαυτὸν ἐξ ἀδιαθέτου κληρονόμον εἶναι, καὶ ἀρνεῖταί τις αὐτὸν υἱὸν τῶν τελευτησάντων, δίδοται αὐτῷ ἡ μέχρι τῆς ἥβης διακατοχή.

11. Ἀνάγν. καὶ βι. να΄ τί. δ΄[6] κεφ. δ΄ θεμ. ε΄, ἐν ᾧ φησιν· Ἐὰν ἀνήβῳ χωρὶς αὐθεντίας ἐπιτρόπου καταβληθῇ χρέος, ἁρμόζει κατ᾽ αὐτοῦ παραγραφὴ εἰς ὃ γέγονε πλουσιώτερος. τὸ αὐτὸ κἂν δανείσηται ἢ ἄλλως πως συναλλάξῃ. καὶ ἐπὶ πάντων δὲ οἷς οὐκ ὀρθῶς καταβάλλεται τὸ αὐτὸ κρατεῖ.

12. Ἀνάγν. καὶ βι. ξ΄ τί. μα΄ κεφ. κβ΄, ἐν ᾧ φησιν· Οὐδὲ τῷ λιβονιανίῳ δόγματι[a] οὔτε τῷ ἐγκλήματι τοῦ πλαστοῦ ἄνηβος ὑποπίπτει.

---

[a] Τῷ κινουμένῳ κατὰ τῶν προσγραφόντων ἑαυτοῖς.

---

[1] Lips. βι. β΄. Idem in margine: Οἱ ἄνηβοι πάντων τῶν πολιτικῶν ὀφφικίων ἀπέχονται. [Basil. II, 3, 2. [2] Lips. διαιρέσεως. [3] Lips. τοῦτο. [4] Bas. κατελίμπανεν. [5] Labbaeus: χορηγεῖσθαι—οὐσίαν διοριζόμεθα. [6] Leuncl. et Lips. ιδ΄.

XLVI.

Περὶ ἀνθρώπων ἐλευθέρων τε καὶ δούλων καὶ εὐγενῶν καὶ ἀπελευθέρων, καὶ περὶ καταστάσεως καὶ ποιότητος καὶ διαιρέσεως αὐτῶν, καὶ ἐναλλαγῆς τῆς τούτων καταστάσεως.

1. Ἀνάγν. βι. μϛʹ [1] τί. αʹ, οὗτινος ἐν τῷ βʹ κεφ. φησίν· Ἐλευθερία ἐστὶ φυσικὴ εὐχέρεια[2] τοῦ ποιεῖν ὅπερ τὶς βούλεται, εἰ μὴ βίᾳ ἢ νόμῳ κωλύεται. δουλεία δέ ἐστι διατύπωσις τοῦ ἐθνικοῦ νόμου, καθ᾽ ἣν τις παρὰ τὴν φύσιν ἀλλοτρίᾳ δεσποτείᾳ καθυποβάλλεται.

2. Ἀπελεύθεροι[3] δέ εἰσιν οἱ ἐξ ἐννόμου δουλείας ἐλευθερούμενοι.

3. Ἐν δὲ τῷ ιϛʹ [4] κεφ. Ὁ μὲν ἐξ ἐννόμου γάμου τικτόμενος ἕπεται τῷ πατρί, ὁ δὲ πορνογέννητος τῇ μητρί.

4. Ἀνάγν. καὶ τί. βʹ, οὗτινος ἐν τῷ ζʹ κεφ. φησίν· Ἡ περὶ ὕβρεως ἀγωγὴ καὶ αἱ ἐξ ἁμαρτήματος ἐνοχαὶ τῇ κεφαλῇ ἕπονται.

5. Ἐν δὲ τῷ ιʹ κεφ. Τρεῖς εἰσι καταστάσεως ἐναλλαγαί· μεγάλη, μέση, ἐλαχίστη. τρία γάρ ἐστιν, ἅπερ ἔχομεν· ἐλευθερίαν, πολιτείαν, συγγένειαν. ἡ τοίνυν μεγάλη τὰ τρία φθείρει· ἡ δὲ μέση τὴν πολιτείαν, οὐ μὴν τὴν ἐλευθερίαν· ἡ δὲ ἐλαχίστη μόνην τὴν συγγένειαν ἐναλλάττει.

6. Ἀνάγν.[5] καὶ βι. ιϛʹ τί. ηʹ [6] κεφ. λγʹ, ἐν ᾧ φησιν· Ἡ τῆς πρώτης καταστάσεως ἐλάττωσις τριττή ἐστι· μεγίστη, μέση, ἐλαχίστη. καὶ μεγίστη μέν ἐστιν, οἷον ἡνίκα τὶς ἁμαρτήσας καταδικασθῇ θανάτῳ· μέση δέ ἐστιν, ὅταν τὶς δι᾽ ἁμάρτημα εἰς νῆσον περιορισθῇ· ἐλαχίστη δέ ἐστιν, ὅταν τὶς αὐτεξούσιος ὢν δῷ ἑαυτὸν εἰς θέσιν[7], ἢ ὑπεξούσιος ὢν γέγονεν αὐτεξούσιος. ἰδοὺ τοίνυν καὶ ἐνταῦθα τῆς πρώτης καταστάσεως ἐναλλαγὴ γέγονεν.

7. Ἀνάγν. καὶ βι. μηʹ τί. ιαʹ, ἐν ᾧ φησιν· Ὅτι οὐδενὶ ἔξεστι περὶ τύχης ζητεῖν τοῦ πρὸ εʹ ἐτῶν[a] τελευτήσαντος, ἢ τοῦ

---

[a] Ζήτει κεφ. μαʹ περὶ εʹ ἐτῶν, εἰς τὸ περὶ ἀναφωνούντων εἰς ἐλευθερίαν.

---

[1] Lips. μεʹ. [2] Lips. ἐνέργεια. [3] Inscribendum erat: Ἐν δὲ τῷ δʹ κεφ. [4] Lips. κʹ. [5] Quod hic caput libri XVI post capita libri XLVI exhibetur, id contra rationem est, qua auctor noster quasi constanter utitur. Adeoque dubitare est, id caput Basilicis an potius scholiis Basilicorum proprium sit. Cf. Supplem. edit. Heimbachianae p. 124 not. 94. [6] Lips. ιηʹ. [7] Leuncl. δέδωκεν — υἱοθεσίαν. γίνεται γὰρ τότε ὑπεξούσιος.

ἐντὸς ε΄ ἐτῶν, εἰ τῷ τελευτήσαντι πρὸ ε΄ πρόκριμα γίνεται. Εἰ δὲ εὐγενής τις κριθῇ, κἂν εὐθὺς ἀποθάνῃ κἂν ἀρξάμενος[1] τῆς ἀναψηλαφήσεως, σβέννυται ἡ ζήτησις. Ἡ δὲ τοιαύτη δίδοται παραγραφή, ὅταν περὶ τῆς χείρονος τύχης ἐστὶν ἡ ζήτησις.

8. Ἀνάγν. καὶ τί. ιβ΄· ὁμοίως γάρ φησιν καὶ αὐτὸς περὶ τῆς πενταετίας

XLVII.

Περὶ ἀννόνων διδομένων τῇ τε κωνσταντινουπόλει καὶ τοῖς σχολαρίοις.

1. Ἀνάγν. βι. νδ΄ τί. κε΄ κεφ. α΄[2], ἐν ᾧ φησι· Μηδενὶ παντελῶς ἀντὶ τῶν ἀννόνων μηδὲ τῷ θείῳ οἴκῳ σῖτος παρεχέσθω, ἀλλὰ τοῖς μαγκιπείοις διδόσθω ἐπὶ τῷ τοὺς οἴκου ἄρτους ὠπτημένους λαμβάνειν. ἐπείτοιγε συμβήσεται ἕκαστον ἀγοράζειν ἄρτους, ἐξ ὧν ὤφειλον πωλεῖν.

2. [Ἐν δὲ τῷ β΄ κεφ.] Καὶ ὅτι ἡ ποσότης τοῦ χρυσοῦ ἡ ἀφωρισμένη εἰς πρόχρειαν συνωνῆς μηδέποτε μειούσθω, μηδὲ εἰς ἑτέρας χρείας ἀναλισκέσθω. ἐπὶ ὑπομνημάτων δὲ γινέσθω, τί δίδοται τοῖς ἀρτοκόποις, καὶ τί παρ᾽ αὐτῶν ἀντιδίδοται[3]. ὁ δὲ παρὰ ταῦτα ποιῶν τὸ διπλοῦν κατατίθησιν.

XLVIII.

Περὶ ἀνταλλαγῆς, καὶ τί διαφέρει ἀνταλλαγὴ πράσεως.

1. Ἀνάγν. καὶ βι. κ΄ τί. γ΄, οὗτινος ἐν τῷ γ΄ κεφ. φησίν· Ἐάν τις πρᾶγμα λαβὼν ἕτερον πρᾶγμα ἀντ᾽ αὐτοῦ παράσχῃ, τυχὸν λαβὼν ἐσθῆτα δέδωκεν οἰκέτην, οὐ πάντως ἀνταλλαγή ἐστιν. ἀλλὰ δεῖ ἡμᾶς ζητεῖν κἀκεῖνο, ἆρα μήτι[4] ὁ τὴν ἐσθῆτα ἔχων πωλῆσαι αὐτὴν ἐβούλετο, καὶ ὁ τὸν οἰκέτην ἔχων ἀγοράσαι ταύτην ἐζήτει[5], καὶ ἐν τῷ συμφωνεῖν τὰ περὶ τοῦ τιμήματος συνέδοξεν ἀντὶ τοῦ τιμήματος δοθῆναι τὸ πρᾶγμα· ἢ μήτι αὐτοὶ ἐξ ἀρχῆς οὐδὲ εἰς ἔννοιαν πράσεως ἦλθον, ἀλλ᾽ ἐναλλάξαι τὰ πράγματα ἠβουλήθησαν. καὶ εἰ μὲν εὕρομεν, ὅτι πράτου προαίρεσιν εἶχεν ὁ τὸ ἓν πρᾶγμα δεδωκὼς καὶ ἀντὶ τοῦ τιμήματος ἔλαβεν τὸ ἕτερον πρᾶγμα, τὸ τοιοῦτον συνάλλαγμα πρᾶσίς ἐστι καὶ ἀγορασία. ὅθεν καὶ ἐκδικήσεως γενομένης, εἰ μὲν πρᾶσις ἦν, ἀνάγκη τὴν ἐπὶ τῇ πράσει ἀγωγὴν κινηθῆναι ὡς ἐκνικη-

---

[1] Leuncl. ἐὰν — ἀρξαμένης, et conj. ἢ ὡς ἀρξαμένης. [2] Lips. τί. κθ΄ καὶ κζ΄. [3] Leuncl. καταβάλλεται. [4] Lips. μήτοι Leuncl. μήτε. [5] Leuncl. ἐπεζήτει.

θέντος τοῦ πεπραμένου πράγματος· εἰ δὲ ἀνταλλαγή ἐστιν, δυνατὸν κινεῖσθαι τὸν τῆς ἀπαιτήσεως λόγον ἐπὶ τῷ ἀναδοθῆναι τὸ ἕτερον πρᾶγμα.

2. Ἐν δὲ τῷ δʹ κεφ. Ἡ ἐναλλαγὴ πίστει οὖσα ἔοικε τῇ πράσει καὶ τῇ ἀγορασίᾳ.

XLIX.

Περὶ ἀνταγοραστοῦ.

1. Ἀνάγν. βι. νʹ τί. δʹ κεφ. αʹ, ἐν ᾧ φησιν· Ὁ διδοὺς τὴν τῆς δίκης διατίμησιν ἀντὶ τοῦ ἀγοραστοῦ νέμεται.

Καὶ ὅτι ὡς ἀγοραστὴς νέμεται ὁ ἀγοράσας, οὐχ ὁ ὑπονοῶν ἀγοράσαι.

L.

Περὶ ἀντιφωνητῶν[a].

1. Ἀνάγν. βι. κϛʹ τί. γʹ καὶ δʹ [1], ἐν οἷς καὶ ἐγγυητῶν διαλαμβάνει. ἐν δὲ τῷ γʹ κεφ. τοῦ βʹ τί. φησί· Θεσπίζομεν, εἴποτέ τις ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἄλλου προσώπου ἀντιφωνήσει, λέγων τυχόν τινι, τὸ ἱκανόν σοι ποιῶ, τοῦτον ἐπὶ τῇ ποσότητι, ἣν ἂν εἴποι, τρόποις ἅπασιν ὑποκεῖσθαι, καὶ τὴν ἀντιφώνησιν τὴν ἰδίαν πληροῦν καὶ τὸ χρέος ἀναγκάζεσθαι καταβάλλειν. εἴ τις δὲ εἴποι, τὸ ἱκανόν σοι γενήσεται, τοῦτον, οἷα τοῦ τοιούτου λόγου ἀπροσώπως εἰρημένου ὡσανεὶ μηδὲν εἰπόντα, οὕτως ἐκ πάσης εἰσπράξεως ἐλεύθερον φυλάττεσθαι. εἰ δέ τις εἴποι, γενήσεταί σοι τὸ ἱκανὸν παρ᾽ ἐμοῦ καὶ παρὰ τοῦδε, ἐκείνοις μὲν οὓς ἂν ὀνομάσειεν, εἰ μὴ συναινέσουσι, μηδὲν ἐκ τῆς τοιαύτης φωνῆς γίνεσθαι πρόκριμα, ἀλλὰ μηδὲ αὐτὸν τὸν τοῦτο εἰπόντα ὑπὲρ ἐκείνων τῶν προσώπων, ἅπερ ὀνομάσει, ἀπαίτησίν τινα ὑπομένειν· ὑπὲρ ἑαυτοῦ δὲ, ὅπερ ἐκ τοῦ κατὰ νόμους ἀποδεικνυμένου χρέους ἐποφείλων φανείη, κατὰ τὸ ἐπιβάλλον αὐτῷ μέρος μόνον καταβάλλειν. εἰ δὲ εἴποι, γενήσεταί σοι τὸ ἱκανὸν παρ᾽ ἐμοῦ ἢ παρὰ τοῦδε ἢ τοῦδε, τηνικαῦτα τοῖς μὲν ὀνομασθεῖσι προσώποις κατὰ τὸν ὅμοιον τρόπον μὴ συναινοῦσι μηδὲ ἓν γίνεσθαι πρόκριμα, αὐτὸν δὲ τὸν τοῦτο ἀντιφωνήσαντα ἀκέραιον μὲν τὸ χρέος

---

[a] Ἀνάγνωθι καὶ νεαρὰν ριεʹ κεφ. ϛʹ.

---

[1] Malim βʹ καὶ γʹ.

ἀναγκάζεσθαι καταβάλλειν, εἴ τινα δὲ κατὰ τῶν ὀνομασθέντων προσώπων ἑαυτῷ ἁρμόζειν νομίζει ἀγωγὴν, ταύτην κατὰ τοὺς νόμους κατ᾽ αὐτῶν προτιθέναι καὶ τῆς τῶν νόμων βοηθείας ἀπολαύειν.

2. Ἐν δὲ τῷ α᾽ κεφ. τοῦ γ᾽ τί. φησίν· Ἐὰν ὑπὲρ ἀλλοτρίου χρέους ἑαυτὸν καταβαλεῖν ἀντεφώνησας, ἡ ἐπὶ τῇ ἀντιφωνήσει ἀγωγὴ οὐ μόνον κατὰ σοῦ, ἀλλὰ καὶ κατὰ τῶν κληρονόμων τῶν σῶν διηνεκῶς ἁρμόζει.

3. Ἀνάγν. καὶ τί. δ᾽ κεφ. λζ᾽, ἐν ᾧ φησιν· Ὅτι ὁ χρέος ἄλλου ἀναδεξάμενος, ἐὰν ὁμολογήσῃ μοι ἢ ἀντιφωνήσῃ τὸ χρέος, καλῶς ἀπαιτεῖται.

4. Ἀνάγν. καὶ τί. ζ᾽, οὗτινος ἐν τῷ α᾽ κεφ. φησίν· Ἰντερκεσίων ἐστὶ τὸ ὑπὲρ ἄλλου παρασχεῖν ἐνέχυρον, οὐ μὴν τὸ ἀναδοῦναι τῷ χρεώστῃ τὸ ἐνέχυρον αὐτοῦ.

Καὶ γυναῖκες ἀντιφωνοῦσαι ἐνέχονται, ἐν ᾧ μὴ ἰντερκεδεύουσιν[b].

5. Ἐν δὲ τῷ κβ᾽ κεφ. Ὁ ἀντιφωνῶν ἱκανοδοσίαν διδόναι ἐνέχυρον ἢ ἐγγυητὴν δίδωσιν.

6. Ἐν δὲ τῷ λγ᾽ κεφ. Αἱ ἀπατώμεναι οὐ μὴν αἱ ἀπατῶσαι βοηθοῦνται ἐν ἑκάστῃ ἐνοχῇ, καὶ ὅτε ἄλλον διεκδικοῦσιν. οὔτε γὰρ ἐπιτέτραπται γυνὴ[1] διεκδικεῖν οὔτε τὸν ἴδιον ἄνδρα οὔτε τὸν υἱὸν οὔτε τὸν πατέρα.

7. Εἰ δὲ ἐκδικεῖ ἐκεῖνον, ὅστις καταδικαζόμενος δύναται χωρεῖν κατ᾽ αὐτῆς, οὐ δοκεῖ ἀντιφωνεῖν.

8. Ἐν δὲ τῷ λθ᾽ κεφ. θέμ. θ᾽· Ἐὰν ὑπὲρ τοῦ μὴ δυναμένου ἐνέχεσθαι ἀντιφωνήσῃ γυνὴ, οἷον ἀνήβου τοῦ χωρὶς τῆς αὐθεντίας τοῦ ἐπιτρόπου μὴ ἐνεχομένου, ἀργεῖ κατ᾽ αὐτοῦ ἡ ἀποκαταστατικὴ ἀγωγὴ, εἰ μὴ γέγονεν ἐκ τοῦ συναλλάγματος εὐπορώτερος.

9. Ἐν δὲ τῷ ξα᾽ κεφ. Ἐὰν ἀπατῶσα γυνὴ ἢ γινώσκουσα μὴ ἐνέχεσθαι ἀντιφωνήσῃ, οὐ βοηθεῖται.

Καὶ ὁ κατὰ μανδάτον τῆς γυναικὸς ἀντιφωνήσας βοηθεῖται.

10. Ἐν δὲ τῷ ξη᾽[2] κεφ. Ἐὰν μὴ ᾔδει ὁ πρὸς τὸν ἄνδρα

---

b Ἔνθα μὴ ὑπὲρ ἑτέρων ἑαυτὰς παρεμβάλλουσιν, ἀλλ᾽ ὀνόματι οἰκείῳ ἀντεφώνησαν· ἐπεὶ καὶ καλῶ τις ἑαυτῷ ἀντιφωνεῖ. καὶ αὗται οἰκείῳ ὀνόματι ἢ κέρδει ἀντιφωνοῦσαι ἐνέχονται, ὑπὲρ ἀλλοτρίων δὲ ἀντιφωνοῦσαι [οὐκ] ἐνεχονται.

---

1 Leuncl. γυναικί. 2 Sic Labbaeus. Lips. ξβ᾽. Ita et Leuncl. qui tamen in marg. conj. ξζ᾽.

συναλλάξας, ἡ δὲ γυνὴ ὁρῶσα τὸν ἄνδρα τὰ ἴδια ὑποτιθέμενον ἐσιώπησεν ἐπίτηδες ὡς ἀπατῆσαι βουλομένη τὸν συναλλάσσοντα τῷ ἀνδρί, τότε οὐ βοηθεῖται. ταῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα, [*οὐ ταῖς πανούργοις.*]

11. [Ἐν δὲ τῷ οδʹ κεφ.[1]. *Καὶ συνισταμένου τοῦ γάμου δύναται ἡ γυνὴ παραχωρῆσαι τῷ ἀνδρὶ τὰς ὑποθήκας ἃς ἔχει κατ᾽ αὐτοῦ. καὶ οὐ κεκώλυται ἡ τοιαύτη δωρεὰ ὡς ἐν συνεστῶτι τῷ γάμῳ. οὐδὲ γάρ ἐστι δωρεά, ἐξ ἧς οὐδὲν γυνὴ ζημιοῦται, δυναμένη διὰ τῆς προσωπικῆς ἀγωγῆς ἀπαιτῆσαι τὸ χρέος.*]

12. Ἐν δὲ τῷ οζʹ κεφ. *Οὐ μόνον ἡ γυνὴ ἀντιφωνοῦσα βοηθεῖται, ἀλλὰ καὶ ὁ ταύτην ἐγγυησάμενος.*

13. *Κἂν ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς ἀντιφωνήσῃ γυνή, βοηθεῖται*[c].

14. [Ἐν δὲ τῷ πδʹ κεφ. *Ἡ διάταξις βούλεται δύνασθαι ἀποτάττεσθαι τὴν γυναῖκα ταῖς ἁρμοζούσαις αὐτῇ ὑποθήκαις καὶ παραχωρεῖν ἑτέρῳ δανειστῇ ταύτας, εἴτε ἐπὶ ἑνὶ συναλλάγματι εἴτε ἐπὶ πολλοῖς, εἴτε ἐπὶ ἑνὶ προσώπῳ εἴτε ἐπὶ πολλοῖς· καὶ ἰσχύειν ταύτην τὴν συγχώρησιν τῆς γυναικὸς ἐπὶ ἐκείνοις μόνοις, ἐφ᾽ οἷς καὶ γέγονε, καὶ μὴ περαιτέρω.*]

15. Ἐν δὲ τῷ πεʹ κεφ. *Ἐὰν ἀντιφωνήσασα γυνὴ μετὰ δύο ἔτη τῆς ἀντιφωνήσεως εἰς δεύτερον ἐπερωτηθῇ ἢ ἐγγυητὰς παράσχῃ, ἐκπίπτει τῆς ἀπὸ τοῦ δόγματος βοηθείας*[d]. *εἰ δὲ εἴσω τῆς διετίας τῆς ἐγγύης ἓν ἐκ τούτων ποιήσει, δοκεῖ ὡς ἀπὸ τῆς παλαιᾶς πλάνης ὑπαχθεῖσα ἔτι ἀντιφωνεῖν, καὶ βοηθεῖται*[e].

16. Ἐν δὲ τῷ πςʹ κεφ. *Ἡ διάταξις βούλεται τὴν γυναῖκα*

---

c *Εἰ δὲ ἐκληρονόμησε τὸν ἄνδρα, ἰοῦρε νερεδιταρίῳ ἀπαιτεῖται.*

d *Μὴ δόξῃ σοι ἀλόγιστος ὁ χρόνος τῆς διετίας. ἐξ ὑποδείγματος γὰρ τῆς ἀναργυρίας εἰσηνέχθη, ἵνα ὥσπερ ἐπ᾽ αὐτῆς ἡ τῆς διετίας παραδρομὴ βεβαιοῖ τὴν ἐξ ἀρχῆς ἀνυπόστατον ἀγωγήν, οὕτω καὶ ἐνταῦθα, εἰ τελείας τῆς ἡλικίας ἐστὶν ἡ γυνή. ἀφῆλιξ γὰρ οὖσα καὶ οὕτω βοηθεῖται.*

e *Κεφ. ξςʹ τοῦ αὐτοῦ ζʹ τί. Ἡ πρωτοτύπως χρεωστοῦσα γυνὴ καὶ μὴ ὑπὲρ ἄλλου τινὸς ἔνοχος γινομένη οὐκ ἔχει τὴν τοῦ βελιανείου παραγραφήν. ὁμοίως δὲ καὶ ὑπὲρ τοῦ ἰδίου δανειστοῦ ἔνοχος γινομένη πάλιν οὐκ ἔχει τὴν παραγραφήν. τότε γὰρ μόνον χώρα τῷ δόγματι, ὅτε μηδὲν χρεωστοῦσα ὑπὲρ ἀλλοτρίας ἐνοχῆς ἑαυτὴν παρενέβαλε· τουτέστιν, οὔτε κατὰ τοῦ ἰδίου δανειστοῦ τὴν παραγραφὴν ἔσχεν ὡς πρωτοτύπως αὐτῷ χρεωστήσασα, ἀλλ᾽ οὐδὲ κατ᾽ ἐκείνου ᾧ ἐδόθη, ὡς ὑπὲρ δανειστοῦ δοθεῖσα.*

---

1 Capita 11 et 14, quae nec Lips. nec Leuncl. habet, Labbaeus suppeditavit.

λαβοῦσάν τινα καὶ ἀντιφωνήσασαν μηκέτι βοηθεῖσθαι ἀπὸ τοῦ δόγματος, εἴτε ἐγγράφως εἴτε ἀγράφως ἀντεφώνησεν. ἀλλ' εἰ μὲν ἐν αὐτῷ τῷ συμβολαίῳ ὡμολόγησέ τι εἰληφέναι, καὶ εὑρεθῇ ἀγοραῖον τὸ συμβόλαιον καὶ τριῶν μαρτύρων ἔχον ὑπογραφάς, ἀναμφιβόλως πιστεύεσθαι εἰληφέναι τὰ ἀργύρια ἢ τὰ πράγματα τὰ τῷ δικαιώματι περιεχόμενα, καὶ μὴ βοηθεῖσθαι. εἰ δὲ ἀγράφως ἀντεφώνησεν, ἢ ἐγγράφως[1], οὐδὲν δὲ ὡμολόγησεν εἰληφέναι ἐν τῷ συμβολαίῳ, εἰ μὲν δύναται ὁ ἐνάγων ἀποδεῖξαι ὅτι ἔλαβεν ἐπὶ τῷ ἀντιφωνῆσαι, καὶ οὕτω μὴ βοηθείσθω, εἰ μήτιγε ἄπορος οὖσα ἡ γυνὴ ἀντεφώνησε λαβοῦσα. τότε γὰρ αὐτὴ μὲν εἰς ὅσον εὐπορεῖ, ὁ δὲ δεδωκὼς αὐτῇ τὸ λεῖπον ἀπαιτείσθω.

LI.

Περὶ ἀπαργυρισμοῦ[a].

1. Ἀνάγν. βι. νς' τί. ι' καὶ τί. ιζ' κεφ. μζ'[2], ἐν ᾧ φησιν· Ὁ ἐξαργυρισμὸς τῶν εἰδῶν παρεχομένων τῷ πριμιπιλαρίῳ κατὰ τὴν τῶν ἄλλων εἰδῶν πρᾶσιν γινέσθω, τουτέστι κατὰ τὴν τράπεζαν· ἢ μᾶλλον δεῖ τοῦτο νοεῖν, ὡς ἡ ἀγορὰ πολιτεύεται.

LII.

Περὶ ἀπελατῶν.

1. Ἀνάγν. βι. ξ' τί. κε', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Κυρίως ἀπελάτης λέγεται, ὅστις θρέμματα ἀπὸ βοσκῆς ἢ βουκολίων ὑποσύρει, ἢ ἀπὸ τῶν ἀγελῶν ἵππους. ὁ γὰρ βοῦν ἢ ἵππον πλανώμενον λαβὼν οὐκ[3] ἐστιν ἀπελάτης, ἀλλὰ κλέπτης.

Εἰ γάρ τις χοῖρον ἢ αἶγα ἀπελάσει, οὐχ οὕτω σφοδρῶς τιμωρεῖται, ὡς ὁ μέγα[4] ζῶον ἀπελαύνων.

2. Ἐν δὲ τῷ γ' κεφ. Πρὸς τὸν ἀριθμὸν τῶν ἀπελαυνομένων ἢ κλέπτης ἐστί τις ἢ ἀπελάτης. δέκα γὰρ πρόβατα ποιοῦσιν ἀγέλην[5], καὶ χοῖροι πέντε. εἷς δὲ βοῦς ἢ[6] ἵππος ἀπελαθεὶς εἰσάγει τοῦτο τὸ ἔγκλημα.

---

[a] Ἀπαργυρισμὸς, ὅ τις λαμβάνει ἀπό τινος δι' ἀργυρίων. ὁποῖον γίνεται εἰς τοὺς τὰ δημόσια ἀπαιτοῦντας ἀπὸ τῶν κατεχόντων αὐτὰ, ὡς δῆλον ἀπὸ τοῦ προλαβόντος περὶ ἀναγραφέων κεφαλαίου.

---

[1] Leuncl. addi vult μέν. [2] Leuncl. μγ'. Hoc caput in Basil. restituendum est: repraesentat l. 8 C. de cohortalibus. [3] Leuncl. καί. [4] Leuncl τέλειον. [5] Leuncl. in marg. γράφεται καὶ· ἀπελάτην. [6] Leuncl. καί.

Καὶ ὁ ἀπὸ ἀγέλης ἢ ὕλης δεδαμασμένον ἄλογον ἀπελαύνων σφοδρότερον τιμωρεῖται.

Καὶ ὁ πολλάκις ἀπελάσας εἰ καὶ ἓν ἢ [καὶ] δεύτερον θρέμμα ἀπελάτης ἐστί.

Καὶ ὅτι οἱ τοὺς ἀπελάτας ὑποδεχόμενοι ἐπὶ δέκα ἔτη τῆς ἐπαρχίας ἐξορίζονται.

3. Ἐν δὲ τῷ δ' κεφ. Οἱ ἀπελάται ἅπαξ μὲν τοῦτο πλημμελοῦντες τυπτέσθωσαν, ἐκ δευτέρου δὲ διαπραττόμενοι ἐξοριζέσθωσαν. εἰ δὲ καὶ τρίτον φωραθεῖεν, τὸ τοιοῦτον κατατολμῶντες, χειροκοπείσθωσαν· τῆς ἀπελαθείσης ἀγέλης δηλονότι τῇ ἰδίᾳ δεσποτείᾳ παρ' αὐτῶν ἀποκαθισταμένης.

4. Καὶ ὅτι δύναταί τις κινῆσαι κατὰ τοῦ ἀπελάτου καὶ ἐγγράφως καὶ χωρὶς ἐγγραφῆς.

LIII.

Περὶ ἀπαιτήσεως τῶν ἀπὸ καταδίκης ἤτοι ἀποφάσεως καὶ ψήφου δικαστικῆς, καὶ περὶ τῶν μὴ χρεωστουμένων [μέν, καταβληθέντων δὲ κατὰ ἀπάτην ἢ ἄγνοιαν ὡς κεχρεωστημένων] καὶ διὰ τοῦτο ἀπαιτουμένων.

1. Ἀνάγν. καὶ βι. θ' [1] τί. γ' κεφ. α' [2], ἐν ᾧ φησιν· Ἡ ἀπαίτησις τῆς καταδίκης κατὰ τοῦ δεσπότου δίδοται, οὐ μὴν κατὰ τοῦ ἐντολέως, εἰ μὴ προσήνεγκεν ἑαυτὸν τῇ δίκῃ, ἢ ἐν πράγματι ἰδίῳ ἐστί.

2. Καὶ κεφ. ζ', ἐν ᾧ φησιν· Ὁ κατακριθεὶς οὐκ ἀπαιτεῖται μὲν πρὸ τῆς τετραμήνου, εἰ δὲ βούλεται, καὶ πρὸ ταύτης ἐλευθεροῦται. ὑπὲρ αὐτοῦ γάρ ἐστιν ὁ χρόνος.

3. Καὶ κεφ. πα'· Ἐὰν στρατιώτης καταδικασθῇ, οὐ χρὴ τὰς ἀννόνας αὐτοῦ δοθῆναι τῷ ἐνάγοντι.

4. Καὶ κεφ. πβ'· Δύναταί τις γραμματεῖον χρεώστου τοῦ εναχθέντος λαβεῖν εἰς ἐκβιβασμὸν τῆς καταδίκης.

5. Ἀνάγν. καὶ βι. ια' τί. β' κεφ. νβ', ἐν ᾧ φησιν· Εἴ τις κατὰ πλάνην ψήφου πιστεύσας χρεωστεῖν ποσότητά τινα, ἣν ταῖς ἀληθείαις οὐκ ἐχρεώστει, ἐπερωτηθῇ ταύτην τὴν ποσότητα καταβαλεῖν, δύναται κινῶν τὸν περὶ τῶν μὴ χρεωστουμένων δίκαιον λόγον ἀπαιτεῖν γενέσθαι αὐτῷ ἐλευθερίαν τοῦ χρέους.

6. Ἀνάγν. καὶ βι. κδ' τί. α', οὗτινος ἐν τῷ ιζ' [3] κεφ. φησίν· Τοῦ μὴ χρεωστουμένου [a] κατὰ πλάνην, μὴ ὡς ἀπὸ καταδίκης, κατα-

---

[a] Ἐκεῖνο λέγει μὴ χρεωστούμενον τὸ διὰ τὴν ἄρνησιν τοῦ χρέους ἕνεκα ποινῆς προσαπαιτούμενον.

---

[1] Lips. β'. [2] Lege δ'. [3] Lips. α'.

βληθέντος, ἡ ἀνάληψις αὐτοῦ[1] δικαίῳ τοῦ τῆς ἀπαιτήσεως λόγου οὐκ ἀμφιβάλλεται.

7. Ἐν δὲ τῷ κ' κεφ. Τὰ ἐξ ἀρνήσεως διπλασιαζόμενα, κἂν μὴ χρεωστούμενα καταβληθῶσιν, οὐκ ἀναλαμβάνονται. εἰ δὲ καὶ χειρόγραφον γένηται ὑπὲρ τούτων, οὐκ ἀνατρέπεται.

8. Ἐν δὲ τῷ κα' κεφ. Ὁ μὴ ὢν κληρονόμος, καταβαλὼν [δὲ] ὡς κληρονόμος, δύναται ἀναλαμβάνειν τὸ καταβληθέν.

9. Ἐν δὲ τῷ κγ' κεφ. Τὸ μὴ ἀληθῶς χρεωστούμενον λεγάτον ἀντιστρέφεται καὶ ἀναλαμβάνεται.

10. Ἐν δὲ τῷ κε' κεφ. Ὁ ἐν εἰδήσει καταβαλὼν τὸ μὴ χρεωστούμενον οὐκ ἀναλαμβάνει αὐτό.

11. Ἀνάγν. καὶ τί. ϛ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὅτι ὁ ἐν ἀγνοίᾳ, οὐ μὴν ὁ ἐν εἰδήσει καταβαλὼν τὸ μὴ χρεωστούμενον ἀναλαμβάνει.

12. Ἐν δὲ τῷ κ' κεφ. Ἐάν τις χρεωστῶν κεφάλαιον, τόκους[b] μὴ κεχρεωστημένους καταβάλῃ, οὐκ ἀναλαμβάνει. ὁ δὲ τόκους ὑπὲρ τὸ νόμιμον καταβαλὼν οὐκ ἀναλαμβάνει μὲν, καταλογίζεται δὲ αὐτοὺς εἰς τὸ κεφάλαιον. εἰ δὲ καὶ τὸ κεφάλαιον κατέβαλεν, ὡς τὸ κεφάλαιον μὴ κεχρεωστημένον καταβαλὼν[2] ἀναλαμβάνει, εἴτε πρὸ τοῦ κεφαλαίου τοὺς τόκους κατέβαλεν, εἴτε μετὰ ταῦτα, εἴτε [ἀνὰ][3] ἑκάτερον.

13. Ἐν δὲ τῷ λζ' κεφ. Ποινὴ καταβληθεῖσα οὐκ ἀναλαμβάνεται.

14. Καὶ ὅτι ὁ ὀμόσας μὴ χρεωστεῖν, εἰ καταβάλοι, ἀναλαμβάνει.

15. Ἀνάγν. καὶ βι. να' τί. δ' κεφ. ζ', ἐν ᾧ φησιν· Ἐὰν νομίζων σοι χρεωστεῖν κατ' ἐκταγήν[4] σου ὁμολογήσω δοῦναι ἐκείνῳ, ᾧτινι ἠβούλου δωρήσασθαι, ἔχω κατ' αὐτοῦ παραγραφήν· καὶ καταβαλὼν [ἀπαιτήσεως ἔχω δίκαιον.

Καὶ ὅτι ἐὰν νομίζοντά με χρεωστεῖν σοι δῷς ὑπὲρ σοῦ τῷ νομιζομένῳ σου δανειστῇ, ἔχω κατ' αὐτοῦ παραγραφὴν, καὶ καταβαλὼν] ἀπαίτησιν.

LIV.

Περὶ ἀπογραφῆς τῶν πραγμάτων τοῦ τελευτήσαντος[a].

1. Ἀνάγν. βι. λε' τί. ιδ' κεφ. ϥ', ἐν ᾧ φησιν· Ὅτε κληρονομία πρός τινα εἴτε ἐκ διαθήκης εἴτε ἐξ ἀδιαθέτου κατενεχθῇ,

---

b Δηλονότι μὴ ὄντας ὑπὲρ τὸ νόμιμον.

a Ἀνάγν. καὶ νεαρὰν ριε' καὶ α', ἥ φησιν, ὅτι ἀνάγκην ἔχουσιν οἱ κλη-

---

1 Leuncl. legi vult: ἀνάληψιν εἶναι. 2 Ita Labbaeus. Lips. et Leuncl. μὴ χρεωστῶν εἰ κατέβαλεν. 3 Basil. ἅμα. 4 Leuncl. ἐπιταγήν.

εἴτε ἐξ ὁλοκλήρου εἴτε ἐκ μέρους, εἰ μὲν ὀρθῇ ὁδῷ καταδέξασθαι βούλεται τὴν κληρονομίαν, καὶ ἐλπίδι φανερωτάτῃ τοῦτο ποιήσει καὶ ἑαυτὸν ἐμμίξει, ἵνα μὴ ὕστερον ταύτην ἀποπέμψηται, οὐδεμιᾶς χρήζει ἀπογραφῆς, ἐπειδὴ πᾶσι τοῖς δανεισταῖς καὶ λεγαταρίοις κατέχεται ὡς τῆς κληρονομίας αὐτῷ ἐξ οἰκείας βουλήσεως ἐμπαγείσης. καὶ τὸν αὐτὸν τρόπον εἰ μὲν[1] σκαζούσῃ διανοίᾳ ἀποπτυστέαν[2] ἤτοι παραιτητέαν αὐτῷ τὴν κληρονομίαν εἶναι πιστεύσει, φανερῶς εἴσω τριῶν μηνῶν διαστήματος, ἐξ οὗ αὐτῷ γνωσθῇ γεγραμμένον αὐτὸν εἶναι ἢ κληθέντα κληρονόμον, ἀπαγορευέτω, οὐδεμιᾶς ἀπογραφῆς γινομένης οὐδὲ ἄλλης περιόδου σκοπουμένης, καὶ εἴη ἀλλότριος τῆς τοιαύτης κληρονομίας, εἴτε ἐπιβαρής ἐστιν εἴτε ἐπικερδὴς εἴη. εἰ δὲ ἀμφίβολός ἐστι, πότερον προσδεκτέα ἐστὶν ἢ οὐκ ἐστιν ἡ τοῦ τελευτήσαντος κληρονομία, μὴ νομιζέτω ἑαυτῷ εἶναι χρειώδη τὴν διάσκεψιν, ἀλλὰ καταδεξάσθω τὴν κληρονομίαν ἢ ἑαυτὸν ἐμμιξάτω· παντὶ μέντοι τρόπῳ ἀπογραφὴ παρ' αὐτοῦ γινέσθω, ἵνα εἴσω λ' ἡμερῶν, μετὰ τὸ ἀνοιγῆναι τὴν διαθήκην ἢ μεθ' ὃ γνωσθῇ αὐτῷ ἡ ἄνοιξις τῆς διαθήκης ἢ μεθ' ὃ γνῷ κατενεχθεῖσαν αὐτῷ ἐξ ἀδιαθέτου κληρονομίαν ἀριθμουμένων, προοίμιον δέξηται ἡ ἀπογραφὴ περὶ τούτων τῶν πραγμάτων, ἅπερ ὁ τελευτήσας ἐν καιρῷ τῆς τελευτῆς εἶχε. καὶ αὕτη ἡ ἀπογραφὴ εἴσω πάλιν ἄλλων ξ' ἡμερῶν πᾶσι τρόποις πληρούσθω ὑπὸ παρουσίᾳ ταβουλλαρίων καὶ τῶν λοιπῶν, οἵτινες εἰς τὴν τοιαύτην ποίησιν χρειώδεις εἰσίν. ὑπογραφὴν μέντοι τὸν κληρονόμον ὑποτάσσειν ἐπάναγκές ἐστι, σημαίνουσαν καὶ τὴν ποσότητα τῶν πραγμάτων, καὶ ὅτι οὐδεμιᾶς κακοθελείας περὶ αὐτὰ ἐξ αὐτοῦ γενομένης ἢ γενησομένης τὰ πράγματα παρ' αὐτῷ μένουσιν· ἢ ἐὰν ἄπειρός ἐστι γραμμάτων ἢ γράψαι ἐμποδίζηται, ἰδικοῦ ταβουλλαρίου εἰς τοῦτο μόνον προσλαμβανομένου, ἵνα ὑπὲρ αὐτοῦ ὑπογράψῃ, τοῦ προσκυνουμένου σημείου πρότερον χειρὶ τοῦ κληρονόμου προταγέντος· μαρτύρων δηλαδὴ προσλαμβανομένων, οἵτινες τὸν κληρονόμον ἐπιγινώσκουσιν [καὶ] κελεύοντος αὐτοῦ τὸν ταβουλλάριον ὑπὲρ αὐτοῦ ὑπογράψαι συνίσασιν[3].

ρονόμοι ἅπερ ἂν ὁ διαθέμενος διατάξηται πληροῦν, καὶ τοῦ ποιεῖν ἴμβεντον ἤτοι ἀπογραφὴν, εἰ μὴ μέλλοιεν εὐλαβεῖσθαι δανειστάς τε καὶ λεγαταρίους.

[1] Vangerow legi vult εἰ μή. [2] Leuncl. ὑποπτ. [3] Lips. συνίστησιν. Leuncl. conj. σύνεισιν.

2. Ἀνάγν. καὶ βι. λζ´ τί. ζ´ κεφ. ε´, ἐν ᾧ φησι, ὅτι ἐὰν χωρὶς εὐλόγου αἰτίας ὁ ἐπίτροπος μὴ ποιήσῃ ἰνβεντάριον[1] ἤτοι καταγραφὴν, ὡς δόλον ἁμαρτάνων ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ εἰς τὸ διαφέρον. πρὸ τῆς ποιήσεως δὲ[2] αὐτῆς διοικεῖν οὐδὲν ὀφείλει, εἰ μὴ τὰ μηδὲ μετρίας ὑπερθέσεως ἀνεχόμενα.

3. Ἀνάγν. καὶ τί. ιβ´ κεφ. α´, ἐν ᾧ φησιν, ὅτι ἄδεια ἔστω ταῖς μητρᾶσιν ἐπιτροπεύειν τῶν παίδων. σὺν ἀκριβείᾳ δὲ καὶ αὐτὰς ποιεῖν ἀπογραφὴν παρόντος καὶ τοῦ σκρίβα, ᾧ ἡ περὶ τῶν τοιούτων φροντὶς ἐπιτέτραπται[b].

4. Ἀνάγν. καὶ βι. λη´ τί. γ´ κεφ. λς´, ἐν ᾧ φησιν· Μὴ ἁπτέσθω δὲ τῶν πραγμάτων[3] ὁ ἐπίτροπος, εἰ μὴ πρότερον ἀπογραφὴ γένηται· εἰ μήτιγε ἄρα οἱ τὴν οὐσίαν παραπέμψαντες εἰς τοὺς ἀνήβους αὐτοὶ τὴν ἀπογραφὴν ἐκώλυσαν γενέσθαι. ὁ δὲ μὴ ποιήσας ἀπογραφὴν καὶ ὡς ὕποπτος ἀποκινείσθω, καὶ ἀτιμούσθω μηδὲ ἀπὸ βασιλικῆς ἀντιγραφῆς συγγνωσθῆναι δυνάμενος.

5. Ἀνάγν. καὶ τί. ιε´ κεφ. δ´, ἐν ᾧ φησιν· Ὁ ἐπίτροπος μὴ ποιήσας ἀπογραφὴν ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ.

6. Ἀνάγν. καὶ βι. μα´ τί. δ´ κεφ. γ´ καὶ κεφ. [δ´], ἐν οἷς φησιν, ὅτι εἰ μὴ ποιήσει καταγραφὴν ὁ κληρονόμος, οὐ παρακαθέξει φαλ-

---

[b] Ἰστέον ὅτι αἱ μὴ ποιοῦσαι ἀπογραφὰς ἐμπροθέσμως κινδυνεύουσι καὶ εἰς τὰ μὴ φαινόμενα τῆς προικὸς πράγματα, μὴ δυνάμεναι ταῦτα ἐπιζητεῖν ἢ προγαμιαίαν δωρεάν. νεαρὰ γὰρ τοῦ βασιλέως ἡμῶν Λέοντος τοῦ φιλοσόφου ρί τάδε φησὶ περὶ τοῦ τὴν γυναῖκα ἀπογραφὴν ποιεῖσθαι τῆς τε οἰκείας προικὸς καὶ πάσης τῆς ἀνδρῴας ὑποστάσεως, ἐπειδὰν τὸν γάμον λυθῆναι συμβαίη, καὶ τῇ προενέξει τῆς ἀπογραφῆς ἐπιζητεῖν εἴ τινα λέγει παρὰ τοῦ ἀνδρὸς ὑποστῆναι καινοτομίαν εἰς τὰ ἀνήκοντα αὐτῇ· χωρὶς δὲ ἀπογραφῆς εἴτ᾽ οὖν ἐναργοῦς ἀποδείξεως μηδὲν ζητεῖν μήτε ζητοῦσαν ἀναλαμβάνειν. ἣν δὲ ἀναγραφεῖσαν περὶ τὸ τέλος τοῦ βι.[4] ἀλλὰ ταύτην τὴν νεαρὰν, ὅσον εἰς γυναῖκας ἀργεῖ μὴ ἐχούσας τὸν ἐρωτήσαντα. νόμιμον γὰρ ἀρχαῖον παράγγελμα συγγνώμην νέμει ταῖς γυναιξὶν ἐπὶ τῇ ἀγνοίᾳ τοῦ νόμου ὃ δὴ καὶ στρικτόν ἐστι τοῖς τε πρῴην καὶ νῦν δὲ οὐχ ἥκιστα. ἰστέον δὲ, ὅτι περὶ μὲν ἰδίων πραγμάτων ἡ γυνὴ ἀγωνιζομένη τὴν τοῦ νόμου ἄγνοιαν εἰς βοήθειαν ἔχει, περὶ κέρδους δὲ οὐδαμῶς. ὥστε καὶ ἐνταῦθα λοιπὸν περὶ μὲν τῆς προικὸς ὑπὸ τοῦ ἀνδρὸς καταναλωθείσης μετὰ τὸν τῆς ἀποκρυβῆς ὅρκον δίκαιον ἕξει πάντως, περὶ δὲ προγαμιαίας δωρεᾶς οὐκέτι· κέρδος γὰρ τοῦτο.

---

[1] Lips. ἴνβεντον. [2] Leuncl. οὖν. [3] Lips. τοιούτων. [4] Legendum ἣν ἔχεις ἀναγρ. Est enim adjecta in fine Codicum Synopseos Paris. 1351 et 1357 A, ex quibus hoc scholium edidit Labbaeus. Mox legendum ἀλλὰ αὕτη ἡ νεαρὰ — τὸν ἐρωτητέον, i. e. quem consulere possint.

κίδιον, ἀλλὰ πληρώσει τοὺς λεγαταρίους, κἂν τὸ τῆς καθαρᾶς οὐσίας τοῦ τελευτήσαντος ὑπερβαίνῃ μέτρον ἡ τῶν λεγάτων δόσις.

LV.

Περὶ ἀποκαταστάσεως[a].

1. Ἀνάγν. βι. ι', οὗτινος ἐν τῷ α' τί. κεφ. α' φησίν· Εἴτε διὰ τὴν ἡλικίαν εἴτε διὰ φόβον εἴτε διὰ πανουργίαν εἴτε κατὰ ἀπουσίαν περιγραφῇ τις, βοηθεῖται, εἴτε διὰ τὴν ἐναλλαγὴν τῆς καταστάσεως ἢ δικαίαν πλάνην.

3. Ἐν δὲ τῷ ζ' κεφ. Ὁ κληθεὶς καὶ μὴ ὑπακούσας καὶ ἐκ τούτου καταδικασθεὶς, ἐὰν παραυτίκα προκαθημένῳ τῷ ἄρχοντι προσέλθῃ, ἀποκαθίσταται. δοκεῖ γὰρ μὴ κατὰ προπέτειαν ἀπολειφθῆναι, ἀλλ' ὡς μὴ ἀκούσας τοῦ κήρυκος.

4. Ἐν δὲ τῷ β'[1] τί. κεφ. α'[2] φησίν· Ἐὰν κατὰ βίαν ἐλευθερώσω ἢ καταλύσω κτίσματα, χώρα τῇ ἀποκαταστάσει. Καὶ ἐὰν κατὰ βίαν ὁμολογήσω σοι, ἔχω παραγραφὴν καὶ ἐναγωγὴν εἰς τὸ ἀναλαβεῖν τὴν ὁμολογίαν. εἰ δὲ καὶ καταβάλω μετὰ τὴν ὁμολογίαν ἢ ἀποχὴν βιαίαν ποιήσω, καὶ παραγραφὴν καὶ ἀγωγὴν[3] ἔχω, καὶ τὴν ἐπὶ τῷ πράγματι ἀγωγήν. ἔτι γὰρ τὸ πρᾶγμα ἐν τῇ οὐσίᾳ ἐστὶ τοῦ βιασθέντος.

5. Ἐν δὲ τῷ κ' κεφ. Ἐάν τις εἱρκτῇ τινα βαλὼν παρασκευάσῃ τὶ πρᾶξαι, ἀνίσχυρόν ἐστιν.

6. Ἐν δὲ τῷ κε' κεφ. Ἐάν τις κατὰ βίαν ἢ φόβον θανάτου ἢ τὰς κατὰ τοῦ σώματος βασάνους εὐλαβηθεὶς πωλήσῃ πράγματα, καὶ μηδὲ μετὰ ταῦτα τῇ συναινέσει βεβαιώσῃ τὴν πρᾶσιν, κατὰ [τὴν] δύναμιν τοῦ διηνεκοῦς διατάγματος ἐντὸς μὲν ἐνιαυτοῦ κινῶν, ἐὰν μὴ ἀποδοθῇ αὐτῷ τὸ πρᾶγμα, τὸ τετραπλάσιον ἀπολήψεται· ἀναδιδοὺς δηλονότι τὸ τίμημα, ὅπερ ἔλαβεν. μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν δοθήσεται αὐτῷ.

7. Ἐν δὲ τῷ λβ' κεφ. Ἐάν τις ἢ κατηγόρησέ μου ἤδη ἢ ἠπείλησέ μου κατηγορήσειν[4], καὶ ἵνα μὴ κατηγορηθῶ παρ'

---

[a] Ἀνάγν. περὶ ἀποκαταστάσεως καὶ εἰς τὸν περὶ προικὸς καὶ πρὸ γάμου δωρεῶν τίτλον, καὶ εὑρήσεις τὰ ἁρμόζοντα τῷ αὐτῷ τίτλῳ. ἀνάγνωθι καὶ τὸν περὶ κληρονομίας καὶ τὸν περὶ λεγάτων, καὶ εὑρήσεις καὶ ἐν αὐτοῖς περὶ ἀποκαταστάσεων τῶν τοῖς αὐτοῖς τίτλοις ἁρμοζουσῶν.

---

[1] Leuncl. ζ'. [2] Lege ι'. [3] Leuncl. addit εἰς τὸ ἀναλαβεῖν. [4] Idem: ἢ ἠπείλει κατηγορεῖν μου.

αὐτοῦ ἢ ἵνα παύσηται τῆς ἀρχθείσης κατηγορίας, ἢ ἐξεποίησα αὐτῷ τίποτε ἢ ἐπηρωτήθην αὐτῷ, οὐ δύναμαι ταῦτα ἀνατρέπειν ὡς φόβῳ γενόμενα. ἀλλὰ δοκῶ καὶ ἀναίσχυντόν τι ποιεῖν ἐπιχειρῶν ταῦτα ἀνατρέπειν[1].

8. Ἐν δὲ τῷ γ′ τί. κεφ. ζ′ φησὶ περὶ τῶν διὰ δόλον τὶ πραξαντων καὶ ἀποκαθισταμένων.

9. Ἐν δὲ τῷ ιβ′ κεφ. Ὁ ἄνηβος ὡς κληρονόμος ἐνάγεται τῇ περὶ δόλου ἀγωγῇ· ἀπὸ δὲ οἰκείου φάκτου, ὅτε πλησιάσει τῇ ἥβῃ, καὶ μάλιστα εἰ γέγονεν εὐπορώτερος.

10. Ἐν δὲ τῷ λ′ τί. κεφ. α′· Ὁ ἀποκαθιστάμενος κατά τινος πράγματος ὥσπερ ζημιοῦσθαι ἐξ αὐτοῦ οὐκ ὀφείλει, οὕτως οὐδὲ κερδαίνειν. καὶ διὰ τοῦτο εἴτι δήποτε ἐὰν εἰς αὐτὸν περιέλθῃ ἢ ἐξ ἀγορασίας ἢ ἀπὸ πράσεως ἢ ἐξ ἄλλου συναλλάγματος, καὶ ἀποκαθίσταται κατὰ τούτου τοῦ συναλλάγματος, ὀφείλει ἀποδιδόναι τὰ ἐξ αὐτοῦ κερδανθέντα[2]. εἰ δὲ καὶ παρενέβαλεν ἑαυτὸν καὶ ὑπέρ τινος χρέος ἀναδεξάμενος αἰτεῖ ἀποκατάστασιν, εἰς τὸν παλαιὸν χρεώστην τὸν ἐλευθερωθέντα τῆς[3] μεταθέσεως τοῦ χρέους ὀφείλει ἀνανεοῦσθαι ἡ ἀγωγὴ τῷ δανειστῇ, καθ᾽ οὗ τὴν ἀποκατάστασιν ζητεῖ[4] ὁ νεώτερος.

11[b]. Ἐν δὲ τῷ λγ′ τί. καὶ τῷ λε′ καὶ τῷ λς′ διαλαμβάνεται περὶ τῆς τῶν ἀπολιμπανομένων ἀποκαταστάσεως κατὰ διαφόρους αἰτίας, οἷον φόβου χάριν ἢ διὰ δημόσιον πρᾶγμα, ἢ στρατείαν, ἢ ἐν δεσμοῖς ἢ δουλείᾳ ἢ αἰχμαλωσίᾳ εἶναι, ἢ διὰ τὸ μὴ καλεῖσθαι ἄκοντα εἰς δικαστήριον τὸν ἀντίδικον αὐτῶν, καὶ διὰ τῆς ἀχρησίας ἐκπεσόντων τινός, ἢ διὰ τῆς ἑτέρου διὰ χρήσεως κυριότητος. καὶ ἐν τῷ παρελθεῖν τὸν χρόνον τῆς ἀγωγῆς δίδοται ἀποκατάστασις εἴσω ἐνιαυτοῦ, μεθ᾽ ὅ τις κινῆσαι δυνηθῇ, καὶ ἐξ ἑτέρας εὐλόγου αἰτίας, εἰ μὴ νόμος ἐναντιοῦται. ζημιωθεῖσι δὲ τοῖς τελείοις δίδοται ἀποκατάστασις, οὐ μὴν ὅτε θέλουσιν

---

b Οἱ μὲν ἀρχαῖοι πάντες μετὰ τοὺς κε′ ἐνιαυτοὺς ἕτερον ἐνιαυτὸν ὡρισμένον παρεῖχον εἰς τὸ τὰ πραχθέντα εἴσω τῶν κε′ ἐνιαυτῶν δύνασθαι ἐν ἐκείνῳ τῷ χρόνῳ ἀνατραπῆναι. αἱ δὲ διατάξεις ἐκέλευον τοῖς μὲν ῥώμῃ διάγουσι ε′ ἐνιαυτοὺς συναπτοὺς δίδοσθαι, τοῖς δὲ ἐν ἰταλίᾳ δ′, τοῖς δὲ ἐν ἐπαρχίᾳ γ′. διάταξις δὲ μεταγενεστέρα κελεύει, πάντας μὴ μόνον τοὺς ἐλάττονας ἀλλὰ καὶ τοὺς μείζονας, ὅταν διὰ πρᾶγμα δημόσιον ἢ ἄλλας αἰτίας ἃς ὁ νόμος ἀπαριθμεῖ ἐμποδίζοιντο, τετραετίαν ἔχειν ἀντὶ τοῦ ποτε ὡρισμένου ἐνιαυτοῦ[5].

---

1 Leuncl. ἀναστρέψαι. 2 Lips. κερδηθέντα. 3 Basil. ἐκ τῆς. Leuncl. conj. διὰ τῆς. 4 Leuncl. αἰτεῖ. 5 Basil. X, 34, 7.

ἐκ τῆς ἑτέρων ποινῆς ἢ ζημίας κερδάναι. καθὼς ἐν τῷ κβ′ κεφαλαίῳ τοῦ λε′ τίτλου φησίν.

12. Ἐν δὲ τῷ κη′ κεφ. τοῦ αὐτοῦ τί. φησίν· Πάντες γενικῶς οἱ ἐξ ἀνάγκης ἀπολιμπανόμενοι ἀποκαθίστανται·

13. Οὐ μόνον ἐφ᾽ οἷς ζημιοῦνται, ἀλλὰ καὶ ἐφ᾽ οἷς οὐ κερδαίνουσιν.

14. Ἐν δὲ τῷ λε′ κεφ. Ὅτι ὁ στρατιώτης μετὰ ἀπολύσεως ὢν ἐν τῷ ἰδίῳ οἴκῳ οὐκ ἄπεστιν εἰς πρᾶγμα δημόσιον, οὔτε ὁ μισθωσάμενος δημόσια τέλη.

15. Ἐν δὲ τῷ λζ′ κεφ. Οὐ λέγομεν ἀπεῖναι εἰς πρᾶγμα δημόσιον τοὺς μὴ κατ᾽ ἀνάγκην, ἀλλὰ κέρδος[1] ἴδιον ἀπόντας.

16. Ἐν δὲ τῷ γ′ κεφ. τοῦ λϛ′ τί. φησὶν, ὅτι κανόνα θαυμαστὸν ἡ διάταξις αὕτη παρεισάγει, τὸν λέγοντα ἐπὶ τῶν καλῇ πίστει συναλλαγμάτων καὶ τοὺς μείζονας βοηθεῖσθαι. ἔχε οὖν ἐκ τῆς διατάξεως τὸν ἄμαχον κανόνα, ὅτι καὶ ἐπὶ πάντων τῶν καλῇ πίστει συναλλαγμάτων καὶ οἱ μείζονες τῶν κε′ ἐνιαυτῶν βοηθοῦνται. πρόδηλον δὲ ὅτι οὐκ ἀποκατάστασιν αἰτοῦσιν, ἀλλ᾽ ὅτι αὐτὸ τὸ ὀφφίκιον τοῦ δικαστοῦ αὐτοῖς βοηθεῖ.

LVI.

Περὶ ἀποδείξεων καὶ τίς καὶ πῶς ὀφείλει ἀποδεικνύειν [a].

1. Ἀνάγν. βι. κβ′ τί. α′, οὗτινος ἐν τῷ β′ κεφ. φησίν, ὅτι ὁ λέγων οὐ μὴν ὁ ἀρνούμενος δεικνύει.

---

[a] Ἀνάγν. νεαρὰν ριθ′, ἐν ᾗ φησιν, ὡς εἴπερ τὶς ἔν τινι συμβολαίῳ ἑτέρου ποιήσεται μνήμην συμβολαίου, μηδεμίαν ἀπαίτησιν γίνεσθαι, εἰ μὴ καὶ τὸ ἕτερον συμβόλαιον προκομισθῇ. ἀνάγν. καὶ νεαρὰν ιη′, ἐν ᾗ φησι περὶ τῶν ἀγνωμονούντων καὶ ἀρνουμένων τὰ ἴδια χειρόγραφα[2].

Περὶ ἀποδείξεως καὶ προλήψεως καὶ ῥοπῆς. Ἀπόδειξίς ἐστιν ὁ προκομισθεὶς ἀπὸ κήνσου παρεκβεβλημένος χάρτης, καὶ τὸ δικαστικὸν σημείωμα, καὶ τὸ νομίμως πεπιστωμένον ἔγγραφον. πρόληψις δὲ ὡς ἐπὶ θέματος αὕτη· πέτρου τελευτήσαντος κατέσχε τούτου τὴν κληρονομίαν παῦλος ὡς υἱὸς αὐτοῦ ἐξ ἀδιαθέτου κληρονομήσας· ἐλθὼν δέ τις λέων ἔλεγεν ἀδελφὸς εἶναι παύλου καὶ ἐζήτει συμμερίσαι τὴν κληρονομίαν τοῦ πέτρου· τοῦ παύλου δὲ ἀρνουμένου καὶ λέγοντος μὴ εἶναι αὐτοῦ τὸν λέοντα ἀδελφὸν, ἠναγκάζετο ὁ λέων ἀποδεῖξαι, ὡς ἀδελφὸς αὐτοῦ ἐστιν, καὶ ἐβαρεῖτο ταῖς ἀποδείξεσι κατὰ τὸν νόμον τὸν λέγοντα, ὅτι ὁ λέγων οὐ μὴν ὁ ἀρνούμενος δει-

---

[1] Leuncl. διὰ κέρδος. [2] Hoc scholium hactenus Lips. initio tituli in textu collocatum habet.

2. Ἐν δὲ τῷ δʹ κεφ. Ὅτι ὁ ἀγοραστὴς δεικνύει τὸν δοῦλον πρὸ τῆς πράσεως πεφευγέναι.

3. Ἐν δὲ τῷ ϛʹ κεφ. Ὅτι ἐὰν μὴ δείκνυται ὡς παρὰ τῷ πράτῃ φυγὰς ἦν ὁ δοῦλος, τῇ ἐμβασάνῳ αὐτοῦ ζητήσει πιστεύομεν. καθ᾽ ἑαυτοῦ γὰρ ἐρωτᾶσθαι δοκεῖ, οὐ μὴν ὑπὲρ δεσπότου ἢ κατὰ δεσπότου.

4. Καὶ ὁ υἱὸς λέγων ἑαυτὸν αὐτεξούσιον δεικνύει.

5. Ἐν δὲ τῷ ιαʹ κεφ. θέμ. βʹ· Ἐσθ᾽ ὅτε ὁ ἐναγόμενος δείκνυσιν, ὡς ἐπὶ τοῦ συνομολογοῦντος μὲν δανείσασθαι, λέγοντος δὲ καταβεβληκέναι.

6. Ἐν δὲ τῷ ιζʹ κεφ. Ὁ ἐναγόμενος ἐν ταῖς παραγραφαῖς ἐνάγων ἐστὶ, καὶ ὑπόκειται ταῖς ἀποδείξεσιν.

7. Ἐν δὲ τῷ κβʹ κεφ. Ἐὰν χιωθῇ τὸ γραμματεῖον, ὁ χρεώστης ἠλευθέρωται κατὰ πρόληψιν, εἰ μὴ δείξῃ ὁ δανειστὴς ἔτι χρεωστεῖσθαι.

8. Ἐν δὲ τῷ κγʹ κεφ. Ζητήσεως περὶ τοῦ μὴ χρεωστουμένου γενομένης, εἰ μὲν ὅλως σύνθηται λαβεῖν ὁ ἐναγόμενος, τότε ὁ λέγων μὴν χρεωστῶν καταβαλεῖν δείκνυσι κατὰ δόλον τοῦ δεξαμένου ἢ ἑτέραν εὔλογον ἄγνοιαν καταβαλεῖν, καὶ τοῦτο μὴ ποιῶν καταδικάζεται. εἰ δὲ ἄνηβος ἢ νέος ἢ γυνὴ ἢ στρατιώτης ἢ ἄπειρος καὶ ἄκροικος πολιτικῶν πραγμάτων ἢ ἄλλως ἁπλοῦς ἐστιν ὁ δεδωκὼς, τότε ὁ λαβὼν δείκνυσι χρέος εἰληφέναι. εἰ δὲ τὴν ἀρχὴν ὁ δεξάμενος ἀρνήσεται λαβεῖν καὶ συστῇ τῇ δόσει ὁ ἐνάγων, λοιπὸν οὐχ ὁ δεδωκὼς δεί-

---

κνύει· πιττάκιον οὖν τοῦ παύλου προκομίσας ὁ λέων γράψαντος πρὸς αὐτὸν „ἠγαπημένε μοι αὐτάδελφε“, ἔδειξε τέως κατὰ πρόληψιν ψιλῶς καὶ οὐκ ἀποδεικτικῶς ὅτι ἀδελφὸς αὐτοῦ ἐστι, καὶ ἀνεκουφίσθη ὁ λέων τοῦ βάρους τῶν ἀποδείξεων, κἀντεῦθεν ἠναγκάζετο ὁ παῦλος δεικνύειν ὡς οὔκ ἐστιν αὐτοῦ ἀδελφὸς ὁ λέων, οἷον τῇ προλήψει μαχόμενος ἤτοι τῷ πιττακίῳ. καὶ ἡ μὲν πρόληψις τοιαύτη ἐστίν. ῥοπὴ δέ ἐστιν, οἷον ὅτε κινεῖ τις τὴν περὶ χρέους ἀγωγὴν κατά τινος ἔγγραφον προκομίζων πεπιστωμένον, ὁ δὲ ἐναγόμενος ἀγράφως λέγων καταβαλεῖν τὸ δάνειον καὶ τοῦτο ἀποδεῖξαι ζητῶν οὐ συγχωρεῖται παρὰ τοῦ δικαστοῦ, ῥοπὴν ζητοῦντός τινα ἤτοι ψιλὴν μαρτυρίαν, παρεισάξει δὲ μάρτυρας ἢ ταβουλλάριον λέγοντας ὡς κατέβαλε· τότε γὰρ δίδοται καιρὸς ἀποδείξεως αὐτῷ διὰ τὴν ῥοπὴν, ἣν δέδωκε τῷ δικαστηρίῳ. διαφέρει δὲ πρόληψις ῥοπῆς, ὅτι ἡ μὲν πρόληψις τὸν ἐνάγοντα τῶν ἀποδείξεων ἐλευθεροῖ, ἡ δὲ ῥοπὴ τῷ μηδόλως ἀποδεικνύειν συγχωρουμένῳ τὸν τῶν ἀποδείξεων φιλοτιμεῖται καιρόν[2].

---

[1] Sic lego. Lips. τὸ δικαστήριον. [2] In Cod. Paris. gr.1357 A hoc scholium paulo aliter habet, nam explicit: ὅτι ἠριθμήθησάν μοι.

κνυσι μὴ χρεωστῶν δεδωκέναι, ἀλλ' ὁ δεξάμενος χρέος λαβεῖν. εἰ μέντοι τὶς μὴ τὸ πᾶν λέγει καταβαλεῖν μὴ χρεωστούμενον, ἀλλὰ μέρος ἢ δεύτερον ἢ παραγραφὴν ἐσχηκέναι, αὐτὸς οἷος ἂν εἴη δείκνυσιν ὅ φησιν. ἐν πᾶσι δὲ τούτοις ἐφεῖται ὅρκον ἐπαγαγεῖν, καὶ ὁ τῆς συκοφαντίας δίδοται, καὶ ἀντεπιφέρειν. ταῦτα περὶ καταβολῆς. εἰ γὰρ λέγοι τὶς μὴ χρεωστῶν ποιῆσαι γραμματεῖον, καὶ ἐστὶν ἀσαφὲς[1], ὁ λαβὼν αὐτὸ δείκνυσι χρεωστούμενον. εἰ δὲ ῥητῶς ὁ τὸ γραμματεῖον ἐκθέμενος εἴποι τὰς αἰτίας δι' ἃς συνεγράψατο, στοιχεῖν ἀναγκάζεται, εἰ μὴ προφανῶς δι' ἐγγράφων δείξῃ μὴ χρεωστῶν ὁμολογῆσαι.

9. Ἐν δὲ τῷ κη' κεφ. Τῷ ὀνόματι τῶν δικαιωμάτων δηλοῦνται πάντα τὰ τὴν ὑπόθεσιν δεικνῦντα. διὸ καὶ τὰ ἐκμαρτύρια καὶ οἱ μάρτυρες τάξιν δικαιωμάτων ἐπέχουσιν.

10. Ἐν δὲ τῷ μα' κεφ. Ὁ ἐναγόμενος ἀποδείξεσιν οὐ βαρεῖται· εἰ μὴ μόνον ἐπὶ τῆς παραθήκης ἀναγκάζεται προφέρειν τὰ βρέβια αὐτοῦ[2].

11. Ἐν δὲ τῷ νβ' κεφ. περὶ τῶν εἰς ἐλευθερίαν ἀναφωνούντων[3].

12. [Ἐν δὲ τῷ νζ' κεφ.] Ἐάν τις προφέρῃ τινὰ γραφὴν, ὀφείλει αὐτὸς αὐτὴν ἀποδεικνύειν ἀληθῆ, ἐπεὶ εἰ μὴ τοῦτο δείξει, πλαστογραφίας δίκην ὑφέξει[b].

13. Ἐν δὲ τῷ ξα' κεφ. Ὁ ἐν ὑπομνήμασιν ὁμολογήσας μὴ κεχρῆσθαι συμβολαίῳ οὐκέτι αὐτῷ κέχρηται.

14. Ἐν δὲ τῷ ογ'[5] κεφ.[c] Ἐὰν ἐναγόμενός τις ἀρνήσηται χεῖρα ἰδίαν προφερομένην ἐν γραμματείῳ, ἐν προικὶ[6] ἢ ἐν ἑτέρῳ χάρτῃ, εἰ μὲν ἀπὸ συγκρίσεως ἐλεγχθείη, τουτέστιν αὐτοῦ ἑτέρας προφερομένης χειρὸς καὶ ἀντεξεταζομένης πρὸς τὴν ἐν τῷ γραμματείῳ κειμένην, διδόναι αὐτὸν λόγῳ προστίμου τῷ ἐνάγοντι ὑπὲρ αὐτοῦ τοῦ ψεύδους κδ' νομίσματα. ἐὰν δὲ ἢ συμβολαιογράφος πορενεχθῇ παρ' ᾧ τὸ συμβόλαιον ἐγράφη, ἢ καὶ ἕτεροί τινες μαρτυροῦντες τῇ ἀληθείᾳ, τότε αὐτὸν πρὸς τῷ ἐπιτιμίῳ τῶν κδ' νομισμάτων οὐδὲ παῤῥησίαν δύνασθαι

---

b Ἐν[4] δὲ τῷ κα' βι. τί. α' κεφ. ζ' φησίν· Οὐδεὶς ἀπαιτεῖται καθ' ἑαυτοῦ μάρτυρας παραγαγεῖν, ἀλλὰ χρὴ τὸν ἐνάγοντα ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας.

c Περὶ ἀρνουμένων τὸ ἴδιον χειρόγραφον ἀνάγνωθι καὶ βι. κγ' τί. α' κεφ. νθ' ὅπερ εὑρήσεις τεθὲν ἐν τῷ περὶ χρεῶν ἀπαιτήσεως.

---

1 Leuncl. ἀσφαλές. 2 Haec verba: εἰ μὴ μόνον — αὐτοῦ apud Leuncl. rectius desunt. 3 Lips. haec tanquam novi tituli inscriptionem exhibet. 4 Haec in textu posita habet Lips. Idem κβ' βι. Perperam. 5 Lips. ο'. 6 Basil. ἢ ἐν πυκτῇ.

ἔχειν πρὸς τὸ ἀντιτιθέναι τὴν τῆς ἀναργυρίας παραγραφὴν, λέγοντα ὅτι κἂν τὸ συμβόλαιον ἐγένετο, οὐκ ἐδόθησαν τὰ ἐν αὐτῷ γεγραμμένα· ἀλλὰ πάντως καταδικάζεσθαι, κἂν εἰ μηδὲν αὐτῷ ταῖς ἀληθείαις κατεβλήθη. ταῦτα μὲν ἐὰν ἐνάγηταί τις ἐξ οἰκείου συναλλάγματος. εἰ δὲ ἐπίτροπός ἐστιν ἢ κουράτωρ ἑνὸς τῶν κουρατορευομένων προσώπων, ἄῤῥην εἴτε θήλεια κατὰ τὰς διατάξεις ἐπιτροπεύουσα τῶν ἰδίων παίδων, καὶ χεῖρα ἰδίαν προφερομένην ἐν τῷ συναλλάγματι τῶν ἐπιτροπευομένων ἢ κουρατορευομένων ἀρνήσεται, τηνικαῦτα εἰ μὲν ἀπὸ μόνης συγκρίσεως ἐλεγχθείησαν ψευδόμενοι, παρέχειν αὐτοὺς τὰ κδ' νομίσματα· εἰ δὲ καὶ ἐκ παραγωγῆς συμβολαιογράφου ἢ μαρτύρων, τὴν μὲν τῆς ἀναργυρίας παραγραφὴν μὴ ἀναιρεῖσθαι τοῖς ἐπιτροπευομένοις ἢ κουρατορευομένοις προσώποις· οὐδὲ γὰρ ἥμαρτον ἐκεῖνοι· αὐτοὺς δὲ τοὺς ἐπιτρόπους ἢ κουράτορας ἑτέρους κδ' χρυσοῦς λόγῳ προστίμου διδόναι τῷ ἐνάγοντι, ἐχόντων τῶν ἐπιτροπευομένων καὶ κουρατορευομένων σωζομένην αὐτοῖς τὴν τῆς ἀναργυρίας παραγραφήν. οὐδὲ γὰρ δίκαιόν ἐστιν αὐτοὺς ἐξ ἀλλοτρίων ἁμαρτημάτων ζημιοῦσθαι. ταῦτα περὶ τῶν ἐναγομένων εἰποῦσα ἡ διάταξις ἔρχεται καὶ εἰς τὸ τῶν ἐναγόντων πρόσωπον, κελεύουσα, ἵνα ἐὰν ὁ ἐνάγων ἀρνήσηται χεῖρα [ἰδίαν] κειμένην ἐν χάρτῃ κατ᾽ αὐτοῦ προφερομένῳ, τυχὸν ἐν ἀποληπτικῇ ὁμολογίᾳ, καὶ αὐτὸς ὁμοίως, εἰ μὲν ἐκ μόνης συγκρίσεως ἐλεγχθείη, παράσχῃ τὰ κδ' νομίσματα· εἰ δὲ ἐκ παραγωγῆς συμβολαιογράφου ἢ μαρτύρων, τηνικαῦτα πᾶσι τρόποις ὑπολογίζεσθαι αὐτὸν τὰ ἐν ἐκείνῃ τῇ ἀποδείξει περιεχόμενα, κἂν μὴ ταῖς ἀληθείαις κατεβλήθησαν ἐπὶ αὐτοῦ[1]. ταῦτα ἐὰν οἰκείῳ ὀνόματι ἐνάγηται. ἐὰν δὲ ἐπίτροπός ἐστιν ἢ κουράτωρ, δίδωσι μὲν διπλάσιον τὸ ἐπιτίμιον τῶν κδ' νομισμάτων, ὁ δὲ ἐπιτροπευόμενος ἢ κουρατορευόμενος δύναται ἀντιτιθέναι τῇ ἀποδείξει τὴν ἀναργυρίαν. νόησον δὲ τὴν σύγκρισιν πανταχοῦ γίνεσθαι κατὰ τὴν νεαρὰν διάταξιν τὴν κελεύουσαν μεθ᾽ ὅρκων γίνεσθαι τὰς τῶν γραμμάτων συγκρίσεις[2].

15. Ἐν δὲ τῷ οθ' κεφ. Ἐν τοῖς συναλλάγμασιν ἡ τῶν πραγμάτων ἀλήθεια σκοπείσθω μᾶλλον, ἤπερ τὸ ἔγγραφον.

16. Ἀνάγν. καὶ τί. γ' τοῦ αὐτοῦ κβ' βι. καὶ τί. δ', ἐν οἷς φησι περὶ

---

[1] Lips. αὐτῶν. Basil. αὐτῷ sine praepositione. [2] Leuncl. subjicit οζ'. Ζήτει τὸν περὶ τῶν ἀναγκαζομένων μαρτυρεῖν τί.

τῆς τῶν προκομιζομένων ἐγγράφων βεβαιώσεως διὰ τῆς τῶν γραμμάτων συγκρίσεως, καὶ διὰ τῆς τῶν μαρτύρων ὑπογραφῆς καὶ ἑτέρων τινῶν σημείων. περὶ ὧν πλατύτερον ἐν τοῖς περὶ βεβαιώσεως εὑρήσεις.

17. Ἀνάγν. καὶ βι. κϛ' τί. ε' κεφ. ρκε' ἐν ᾧ φησιν· Ὅτι ὁ λέγων πεπληρωκέναι τὸ χρέος αὐτὸς ὀφείλει δεικνύειν. λοιπὸν δὲ εἰ δείξει, ἀναλήψεται κατὰ τοὺς νόμους τὸ γραμματεῖον.

18. Ἀνάγν. καὶ βι. ν' τί. ια' κεφ. ια', ἐν ᾧ φησιν· Εἴ τις ἐγκαλοῖτο πράγματα κατέχειν ἑτέρου, φάσκοι δὲ οὐκ εἶναι τὰ πράγματα ἐκείνου περὶ οὗ φησιν ὁ διώκων, ἀναγκασθῇ δὲ ὁ τὴν ἐναγωγὴν ποιούμενος ἢ συμβολαίοις ἢ μάρτυσιν ἢ ἑτέροις πόνοις χρήσασθαι πρὸς τὸ δειχθῆναι τὰ πράγματα ἐκείνου καθεστάναι, εἶτα ὕστερον ὁ μέχρι παντὸς διαρνηθεὶς ἐκείνου ταῦτα μὴ γενέσθαι χρῆσθαι βουληθείη τοῖς ἐξ ἐκείνου δικαίοις, καὶ φάσκειν ὡς ἐξ ὑποθηκῶν ἢ ἑτέρων αἰτιῶν εἰς ἐκεῖνο τὸ πρόσωπον ἀναφερομένων κυριώτερός ἐστι τοῦ τὴν δίκην κινοῦντος· αἱ μὲν οὖν ἄλλαι πᾶσαι σχολαζέτωσαν γνῶμαι αἱ τοῖς πρὸ ἡμῶν παραστᾶσαι, μετρία δέ τις καὶ φιλάνθρωπος καὶ αὐτοῦ τοῦ πράγματος ἐστοχασμένη ποινὴ τοῖς ἀρνηθεῖσιν ἐπαγέσθω. ὑπὲρ γὰρ τῆς περὶ ταῦτα ἀρνήσεως καὶ τῶν τοῦ διώκοντος πόνων καὶ λεγομένης ἔτι τῆς δίκης ἐπὶ τὸν διώκοντα μετατιθέσθω τῶν πραγμάτων περὶ ὧν ἡ ζήτησις γέγονεν ἡ νομή· ἄδειαν ἔχοντος τοῦ ταύτην ἀποδιδόντος, εἴ τινα δίκαια ἔχοι ἐξ ἐκείνου τοῦ προσώπου, περὶ οὗ πρότερον τὴν ἄρνησιν ὑπέμεινε, προσήκοντα αὐτῷ, ταῦτα προτιθέναι καὶ τοῦ νόμου καὶ τοῦ δικαίου τυγχάνειν, τῆς ποινῆς ἐν μόνῃ τῇ μεταστάσει τῆς νομῆς περιισταμένης.

19. Ἀνάγν. καὶ βι. ζ' τί. ιδ' κεφ. ιδ', ἐν ᾧ φησιν· Ἐν πάσαις ταῖς αἰτίαις, εἴτε διὰ γράμματα εἴη φιλονεικηθὲν εἴτε διὰ συμβόλαια εἴτε διά τι ἕτερον, ἐν ᾧ ἀνάγκη ἀποδείξεως ἔγκειται, θεσπίζομεν μὴ ἄλλως τὰς αὐτὰς ἀποδείξεις [παρέχειν] ἀναγκάζεσθαι, εἰ μὴ πρότερον ὅστις ταύτας ἀπαιτεῖ ὅρκον περὶ συκοφαντίας παράσχοι, ὅτι οὐκ ἐπὶ τῷ ὑπερθέσθαι τὴν δίκην τὰς τοιαύτας προσέθηκε δικαιολογίας· καὶ γὰρ τῷ φόβῳ τοῦ ὅρκου ἡ ἐμφιλόνεικος τῶν σπουδαζομένων[1] ἔνστασις κατέχεται. ἵνα δὲ μηδὲ προπετῶς εἰς βάσανον οἰκέτας[2] τινὲς χειριζόμενοι τὴν τοῦ ἰδίου λογισμοῦ ὠμότητα ἐγγυμνάζωσι, μὴ ἄλλως αὐτοῖς συγχωρεῖσθαι, οἵτινες τὴν βάσανον αἰτοῦσι τοῦ οἰκέτου, εἰς τοῦτο[3] ἐλθεῖν ἢ ἐκ τοῦ δικαστοῦ αὐτοὺς

---

[1] Leuncl. δικαζομένων. [2] Leuncl. οἰκετῶν. [3] Lips. transpositis verbis εἰς τοῦτο αἰτοῦσι τοῦ οἰκέτου.

ἀκουσθῆναι, εἰ μὴ πρότερον κατασχεθεισῶν τῶν ἁγίων γραφῶν κατάθωνται, ὅτι οὐ μίσει τῶν οἰκετῶν ἢ δι᾽ ἀγανάκτησιν τῶν συγκληρονόμων εἰς τοῦτο ἦλθον, ἀλλ᾽ ἐπειδὴ ἄλλως τῶν πραγμάτων τῶν κληρονομιαίων τὴν ἀλήθειαν ζητῆσαι ἢ ἀποδεῖξαι οὐ[1] δύνανται.

20. Ἀνάγν. βι. να΄ τί. δ΄ κεφ. κς΄. ἀνάγν. καὶ τὸν περὶ ἀναγκαζομένων μαρτυρεῖν τίτλον.

LVII.

Περὶ ἀπολέσαντος τὸ δοθὲν αὐτῷ.

1. Ἀνάγν. βι. κ΄[2] τί. δ΄ κεφ. ιε΄, ἐν ᾧ φησιν· Ἐὰν παράσχω σοι διατετιμημένον πρᾶγμα, ἐφ᾽ ᾧ ἢ αὐτὸ ἀγαγεῖν, μοι ἢ τὸ τίμημα, καὶ ἀπόληται πρὶν ἢ πραθῇ, ἔχω τὴν περὶ τῶν προγεγραμμένων συμφώνων ἀγωγήν. καὶ εἰ μὲν ἐγώ σε παρεκάλεσα λαβεῖν, ἐμός ἐστιν ὁ κίνδυνος· εἰ δὲ σὺ παρεκάλεσας, σός· εἰ δὲ μηδέτερος, δόλον καὶ ἀμέλειαν χρεωστεῖς.

2. Καὶ κεφ. ιθ΄, ἐν ᾧ φησιν· Ἐὰν βουλομένου σου σκεῦος ἀγοράσαι ὁ τεχνίτης ἀγαγὼν ἐάσῃ παρά σοι, καὶ ἀπαρεσθεὶς πέμψῃς αὐτὸ διὰ δούλου σου καὶ ἀπόληται ἄνευ δόλου σου καὶ ἀμελείας[3], ὁ τεχνίτης ζημιοῦται· καὶ αὐτοῦ γὰρ χάριν ἐπέμφθη. ἐνέχῃ δὲ καὶ ἀπὸ ἀμελείας τῶν λαβόντων αὐτὸ φυλάξαι παρά σου ἢ διακομίσαι. ἁρμόζει οὖν ἡ τῶν προγεγραμμένων συμφώνων ἀγωγή.

3. Καὶ κεφ. κβ΄, ἐν ᾧ φησι· Τὸν δακτύλιόν σου ἔλαβον ἐπὶ τῷ ἰδεῖν, καὶ ἐξέπεσεν ἐπὶ τὸν ποταμόν· ἐνέχομαι τῇ ἀγωγῇ.

LVIII.

Περὶ τῶν ἀπολλύντων ὡς ἀχαρίστων καὶ ἀναξίων τὸν ἐαθέντα αὐτοῖς κλῆρον ἢ λεγάτον ἢ καὶ τὰ παρανόμως αὐτοῖς καταλειφθέντα ἢ δωρηθέντα.

1. Ἀνάγν. βι. ξ΄ τί. μβ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ὅτι ὁ τὸν ἴδιον πάτρωνα τελευτήσαντα καταμηνύσας ὡς ἀθέμιτα πραγματευσάμενον ἐκπίπτει τοῦ λεγατευθέντος αὐτῷ, εἰ καὶ ἔπαθλον ἔλαβεν.

2. Ἐν δὲ τῷ β΄ κεφ. Δημεύεται ἡ κληρονομία, ὅταν ἀμνημόνευτος παῖς αἰτήσας τὴν ἐναντίωσιν τῆς διαθήκης ὑπεισέλθῃ τὴν τοῦ ἀδελφοῦ κληρονομίαν ἀπὸ τῆς ὀρφανικῆς ἀνήβου ὑποκαταστάσεως.

---

[1] Leuncl. μή. [2] Lips. κδ΄. [3] Lips. ζημίας.

Ἢ ὅτε χειρίζων τὶς ὀφφίκιον ἐν ἐπαρχίᾳ παρανόμως ἐξ αὐτῆς ἀγάγηται, ἢ ἐπίτροπος τὴν ἐπιτροπευθεῖσαν. δημεύεται [γὰρ] τὸ ἐκ διαθήκης αὐτῆς αὐτῷ προσπορισθέν.

Ἐκ δὲ τοῦ ἐναντίου αὗται τῶν παρ' αὐτῶν καταλειφθέντων αὐταῖς οὐκ ἐκπίπτουσιν.

3. Ἐν δὲ τῷ θ' κεφ. Ἐὰν ἔχθρα κεφαλικὴ μεταξὺ τοῦ λεγαταρίου καὶ τοῦ διατιθεμένου γένηται ἢ φανερῶς αὐτὸν ὑβρίσῃ, ὡς δῆλον εἶναι τὸν διαθέμενον μὴ θέλειν λαβεῖν αὐτὸν τὸ λεγάτον, οὐκ ἀπαιτεῖται.

Καὶ ὁ περὶ καταστάσεως κινῶν ἐκπίπτει τῶν ἐν τῇ διαθήκῃ, ἐφ' οὗ χώρα τῷ δημοσίῳ.

4. Ἐν δὲ τῷ ιγ' κεφ. Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτὴν, εἰ καὶ μὴ αὐτὴ κατεδικάσθη, οὔτε ὁ γάμος ἔῤῥωται, ἀλλ' εἰ καὶ κληρονόμον αὐτὴν γράψω ἢ αὐτὴ ἐμὲ, δημεύεται ἡ κληρονομία.

5. Ἐν δὲ τῷ κ' κεφ. Καὶ ὁ ἀνὴρ μὴ ἐκδικῶν τὸν θάνατον τῆς γυναικὸς ἀφαιρεῖται τὴν προῖκα.

Καὶ ὁ πάτρων μὴ ἐκδικῶν τὸν ἀπελεύθερον ἐκπίπτει τοῦ ἁρμόζοντος αὐτῷ πατρωνικοῦ μέρους· ἐπειδὴ πάντας τοὺς κληρονόμους καὶ τοὺς ἐν τάξει κληρονόμων καθήκοντας εἶναι δεῖ περὶ τὴν ἐκδίκησιν τοῦ τελευτήσαντος.

6. Ἀνάγν. βι. λε' [1] τί. ις' κεφ. ιε', ἐν ᾧ φησιν· Τοῦ μερικοῦ κληρονόμου λεγάτῳ τιμηθέντος καὶ μὴ ἐκδικήσαντος καὶ ἡ κληρονομία καὶ τὸ λεγάτον ἀφαιρεῖται. κατὰ πάντων δὲ τῶν ὁπωσοῦν κληρονομούντων ἐστὶν ἡ ἀφαίρεσις, κἂν ὦσι πάτρωνες.

7. Καὶ κεφ. κα' καὶ κη', ἐν ᾧ φησιν· ὅτι οἱ κληρονόμοι μὴ ἐκδικήσαντες τὸν φόνον τοῦ βιαίως τελευτήσαντος κληροδότου ἀποδιδοῦσι τὰ πράγματα καὶ τοὺς καρπούς. οἱ γὰρ καλῇ πίστει νομεῖς μόνοι τοὺς καρποὺς κερδαίνουσιν, οὗτοι δὲ οὐκ εἰσιν, ἐπειδὴ εἰδότες παρέλειψαν τὸ πρέπον τῇ εὐσεβείᾳ πρᾶγμα.

8. Ἀνάγν. καὶ κεφ. λ' μέχρι τοῦ λη' κεφαλαίου. ἐν δὲ τῷ λε' κεφ. φησίν· ὅτι ὁ τὸ πλαστὸν κινήσας καὶ ἐξ ἀποφάσεως ἡττηθεὶς ἀπόλλυσι τὸ καταλειφθὲν αὐτῷ ἐν ἐκείνῃ τῇ διαθήκῃ. ὁ δὲ ἀρξάμενος κινεῖν καὶ ἀποστὰς οὐδὲν ἀπόλλυσιν.

9. Ἀνάγν. καὶ βι. ζ' τί. ε' κεφ. ϛβ', ἐν ᾧ φησιν· Ἐὰν βιαίως

[1] Lips. λϛ' et mox κεφ. ιη'.

τινὸς τελευτήσαντος[a] ὁ κληρονόμος ὑπεισέλθῃ τῇ κληρονομίᾳ πρὶν ἢ τὸν φόνον ἐκδικήσει, δημεύεται ἡ κληρονομία.

10. Ἀνάγν. καὶ βι. μδ' τί. α' κεφ. ρι', ἐν ᾧ φησιν· Ἐάν τις παρανόμως ἀγάγηται τὴν ἐπιτροπευθεῖσαν παρ' αὐτοῦ, λαβεῖν μὲν αὐτὸς ἐκ τῆς διαθήκης αὐτῆς οὐ δύναται, αὐτὴ δὲ ἐκ τῆς αὐτοῦ λαμβάνει.

11. Ἀνάγν. καὶ βι. νς' τί. β' κεφ. κδ', ἐν ᾧ φησιν· Τοῦ ἀνδρὸς μὴ ἐκδικοῦντος τὸν φόνον τῆς γυναικὸς, ἡ προῖξ καθ' ὅσον αὐτῷ διαφέρει δημεύεται.

12. Ἀνάγν. καὶ βι. ξ' τί. να' κεφ. ις', ἐν ᾧ φησιν· Ἀντὶ μὴ γεγραμμένου ἐστὶ τὸ καταλιμπανόμενον ἐν διαθήκῃ τοῖς ὑπευθύνοις τιμωρίας.

LIX.

Περὶ ἀπόντων καὶ ἀναζητουμένων ὡς ἐπὶ ἐγκλήματι κατηγορουμένων.

1. Ἀνάγν. καὶ βι. ξ' τί. μθ', οὗτινος ἐν τῷ α' κεφ. φησίν, ὅτι ἀπὼν τις οὐ καταδικάζεται μεγάλῳ ἐγκλήματι, τυχὸν ἐπάγοντι ποινὴν κεφαλικὴν ἢ εἰς ἔργον μετάλλου·

Ἀλλὰ γίνεται ἀναζητούμενος, προγράμματος προτιθεμένου, ἵνα τοῦτο γνοὺς ἔλθῃ καὶ ἑαυτὸν καθάρῃ. γίνονται δὲ καὶ γράμματα παρὰ τοῦ ἄρχοντος πρὸς τὸν ἄρχοντα τῆς ἐπαρχίας, ἐν ᾗ διάγει ὁ ἀναζητούμενος, καὶ δι' αὐτοῦ ἐν εἰδήσει γίνεται.

Ἀφ' οὗ δὲ γνῷ, τὸν ἐνιαυτὸν ἔχει πρὸς τὸ ἑαυτὸν καθάραι. καὶ ἐὰν εἴσω τοῦ ἐνιαυτοῦ ἔλθῃ καὶ ἀσφαλίσηται, ἢ ἀποθάνῃ, οὐ δημεύεται ἡ οὐσία αὐτοῦ, ἀλλὰ τοῖς κληρονόμοις ἁρμόζει[a].

2. Ἐν δὲ τῷ ε' κεφ. Ὁ ἐπὶ βαρυτάτοις ἐγκλήμασιν ἐνεχόμενος καὶ ἀπολιμπανόμενος οὐ καταδικάζεται ἀπών, ἀλλὰ γίνεται ἀναζητούμενος. καὶ ἐὰν ἐντὸς ἐνιαυτοῦ παραγένηται καὶ ἀποδείξῃ ἑαυτὸν ἀνεύθυνον, παραλαμβάνει τὰ ἴδια πράγματα κρίσει τοῦ δικαστοῦ σφραγισθέντα. ὅθεν καὶ μετὰ

---

[a] Βιαίως τελευτᾷ τις παρ' ἑτέρου σφαττόμενος ἢ πνιγόμενος ἢ κατακρημνιζόμενος ἢ ῥοπάλοις τυπτόμενος ἢ λίθοις ἢ ἀκοντίῳ τινὶ ἀναιρούμενος ἢ φάρμακον βίᾳ δεξάμενος.

[a] Ὀφείλεις εἰδέναι[1], ὅτι ἐὰν ἐπὶ κ' ἔτη ὁ δημόσιος μὴ κατάσχῃ τὰ τοῦ ἀναζητουμένου πράγματα, ἐκβάλλεται παραγραφῇ παρ' αὐτοῦ ἢ [τῶν αὐτοῦ] διαδόχων· πᾶσα γὰρ δημοσία ζήτησις κατὰ κ' ἔτη σβέννυται, εἰ μή [τις] ἰδική ἐστι παραγραφή.

---

[1] Cf. Basil. LX, 49, 2. 3.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

ταῦτα, εἰ καὶ μηδέπω ἐκάθηρεν ἑαυτὸν τοῦ ἐπιφερομένου ἐγκλήματος, ὅμως ἐὰν τελευτήσῃ, εἰς τοὺς κληρονόμους τοὺς ἰδίους παραπέμπει τὴν ἰδίαν οὐσίαν.

3. Εἴ τις[1] δήποτε ἐξ ἐκείνης τῆς ἡμέρας, ἐξ ἧς ὑπεύθυνος γέγονεν, ἐν δικαστηρίῳ αἰτιαθεὶς εἴσω ἐνιαυτοῦ διαστήματος μὴ βουληθῇ παραγενέσθαι ἐν τῷ δικαστηρίῳ, καὶ τὰ πράγματα τῷ δημοσίῳ διεκδικηθῶσι, καὶ μετὰ ταῦτα εὑρεθεὶς ὑπεύθυνος, εἰ ἢ καταληφθεὶς, καὶ αὐστηροτέρᾳ ἀποφάσει ὑποβαλλέσθω. εἰ δὲ καὶ ἐλέγχοις φανεροῖς καὶ ἀποδείξει διαυγεῖ τὴν ἀθωότητα τὴν ἰδίαν καθάραι[2] σπουδάσει, μηδὲν ἧττον αἱ ὑποστάσεις αὐτοῦ παρὰ τῷ δημοσίῳ μενέτωσαν.

4. Ἀνάγν. καὶ βι. θ' τί. α' κεφ. ρμε', ἐν ᾧ φησιν· Ἐάν τις ἐπὶ ἐγκλήματι γενόμενος ἀναζητούμενος τελευτήσῃ, τὰ πράγματα αὐτοῦ τῷ κληρονόμῳ αὐτοῦ διαφέρουσιν.

LX.

Περὶ τοῦ ἀποσπῶντος βίᾳ ἢ δόλῳ τὸν καλούμενον εἰς δικαστήριον ἢ καὶ ἐμποδίζοντος.

1. Ἀνάγν. βι. ζ' τί. ιγ', οὗτινος ἐν τῷ ε' κεφ. φησίν· Ὁ ἀποσπάσας οὐ τὸ διαφέρον δίδωσιν, ἀλλὰ τὴν γενομένην παρὰ τοῦ ἐνάγοντος τῆς δίκης διατίμησιν διὰ τῆς ζημιούσης ἀγωγῆς, κἂν κατὰ συκοφαντίαν ἐνήγαγεν.

Ὀφείλει δὲ δεικνύναι ὁ ἐνάγων, ὡς διὰ τὸ ἀποσπασθῆναι οὐ πάρεστιν ὁ κληθείς. εἰ γὰρ πάρεστιν, ἀργεῖ ἡ ποινή. αὕτη ἡ ζημιωτικὴ ἀγωγὴ καὶ πολλῶν πλημμελησάντων καθ' ἑκάστου δίδοται εἰς ὁλόκληρον καὶ μένει ὁ ἀποσπασθεὶς ἐνεχόμενος. τότε δὲ κληρονόμοις δίδοται, ὅτε διέφερεν αὐτοῖς. οὔτε δὲ κατὰ κληρονόμων, οὔτε μετ' ἐνιαυτὸν δίδοται.

2. Ἀνάγν. καὶ τί. ιε' κεφ. ε', ἐν ᾧ φησιν, ὅτι ὁ δι' ἑαυτοῦ ἢ διὰ τῶν αὐτῷ προσηκόντων ἢ δι' ἑτέρων ἀγνοούντων ἢ γινωσκόντων δολερῶς ἐμποδίσας τινὶ ἐλθεῖν εἰς τὸ δικαστήριον ὑπόκειται τῷ νόμῳ.

Δόλον δὲ ποιεῖ καὶ ὁ τῷ ἀπερχομένῳ εἰς δίκην ἀγγείλας τὶ στυγνὸν καὶ κατὰ τοῦτο ἐμποδίσας.

---

[1] Inscribendum erat: Ἐν δὲ τῷ ς' κεφ. [2] Lips. in margine γρ. ἀποδεῖξαι.

LXI.

Περὶ ἀποστατῶν τῶν ἀφισταμένων τῆς ὀρθοδόξου πίστεως.

1. *Ἀνάγν. βι. ξ' τί. νδ' κεφ. κ'* [1], *ἐν ᾧ φησιν·* Ὁ ἀπὸ χριστιανῶν ἰουδαῖος γενόμενος δημευέσθω.

2. *Ἀνάγν. κεφ. κα' καὶ κβ', ἐν ᾧ φησιν,* ὅτι ὁ προδιδοὺς τὸ ἅγιον βάπτισμα οὐ μαρτυρεῖ, οὔτε διατίθεται οὔτε ἄλλον διαδέχεται. ἀποστάτης γὰρ νοεῖται.

3. *Ἀνάγν. καὶ κεφ. κγ', ἐν ᾧ φησιν·* Ὁ τὴν ὀρθόδοξον πίστιν κλέπτων μήτε διατιθέσθω μήτε δωρείσθω μήτε διὰ πράσεως εἰκονικῶς εἰς ἀπάτην τοῦ νόμου φερέτω. διαδεχέσθωσαν δὲ αὐτὸν ἐξ ἀδιαθέτου μόνοι χριστιανοὶ συγγενεῖς.

LXII.

Περὶ ἀργυροπρατῶν καὶ τῶν περὶ αὐτοὺς συναλλαγμάτων [a].

1. *Ἀνάγν. βι. κγ' τί. δ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν·* Ἐπειδὴ δὲ νόμον ἐθέμεθα, μὴ περαιτέρω τοὺς ἀργύρου τραπέζης προεστῶτας διμοιραίου τόκου δανείζειν, ἐδίδαξαν δὲ, ὅτι καὶ ἀγράφως δανείζουσιν, ἀγνωμονοῦνται δὲ περὶ τὸν τόκον, ὡς μὴ ἐγγράφου γενομένου τοῦ δανείσματος μηδὲ ἐπερωτήσεως παρεντεθείσης· τοῦτο δὲ τὸ δημῶδες τὸ μὴ προσήκειν ἀνεπερώτητον τρέχειν τόκον, καίτοιγε πολλῶν ὄντων θεμάτων, ἐφ' ὧν ἀνεπερώτητοι τόκοι καὶ ἐκ συμφώνου μόνου τίκτονται, ἐστὶ δὲ ὅτε οὔτε ἐκ συμφώνων ἀλλ' αὐτομάτως εἰσαγόμενοι ὅμως ἀπαιτοῦνται· διὰ τοῦτο θεσπίζομεν, μὴ μόνον τὸν ἐξ ἐπερωτήσεως αὐτοῖς δίδοσθαι τόκον, ἀλλὰ καὶ τὸν ἐξ ἀγράφων τοιοῦτον, ὁποῖον ὁ νόμος αὐτοῖς δίδωσιν ἐπερωτᾶν, τουτέστι τὸν ἐκ διμοίρου τῆς ἑκατοστῆς. τοὺς γὰρ πᾶσι σχεδὸν τοῖς δεομένοις ἑτοίμους ὄντας βοηθεῖν οὐκ ἂν εἴη δίκαιον ὑπὸ τοιαύτης ἀδικεῖσθαι λεπτότητος.

LXIII.

Περὶ ἁρπαγῆς παρθένων τε καὶ χηρῶν καὶ καθιερωμένων καὶ μεμνηστευμένων, εὐγενῶν τε καὶ ἀπελευθέρων καὶ δούλων, εἴτε μεθ' ὅπλων ἡ ἁρπαγὴ γέγονεν εἴτε χωρὶς ὅπλων, καὶ περὶ τῶν συναγωνισαμένων αὐτοῖς κατὰ οἱονδήποτε τρόπον ἐν τῇ τοιαύτῃ ἁρπαγῇ.

1. *Ἀνάγν. βι. ξ' τί. νη', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Οἱ ἁρπά-

---

[a] *Ἀνάγνωθι νεαρὰν ρλς' ἐν ῃ̄ καὶ περὶ τόκων φησίν. ἀνάγνωθι καὶ τὸν περὶ τόκων.*

[1] Lips. *η'*.

σαντες γυναῖκα ἢ μεμνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν, εἴτε εὐγενής ἐστιν εἴτε δούλη εἴτε ἀπελευθέρα, καὶ μάλιστα ἐὰν τῷ θεῷ ὦσιν αἱ γυναῖκες καθιερωμέναι, νομίμως τιμωρείσθωσαν· τουτέστιν εἰ μὲν μεθ᾽ ὅπλων ἤτοι ξιφῶν ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσαντο, οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν, οἱ δὲ συνυπουργοῦντες αὐτοῖς ἢ συνειδότες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν· εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας χειροκοπείσθω, οἱ δὲ βοηθήσαντες τοῖς τοιούτοις ἐν τῇ ἁρπαγῇ ἢ συνειδότες ἢ ὑπηρετήσαντες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν [αὐτοῖς] εἰσενεγκόντες τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν.

Ἐὰν οὖν ἐν αὐτῇ τῇ ἁρπαγῇ εἷς ἐκ τούτων καταληφθῇ ἢ παρὰ τῶν πατέρων τῶν γυναικῶν ἢ τῶν ἀδελφῶν, ἢ τῶν ἐπιτρόπων ἢ κουρατόρων ἢ πατρώνων ἢ δεσποτῶν, ἐλεγχθέντες φονευέσθωσαν αὐτοχειρί· μάλιστα ἐὰν [καὶ] γεγαμημένας γυναῖκας ἐπειράθησαν ἁρπάσαι. τὸ δὲ αὐτὸ λέγομεν, εἰ καὶ μνηστήν τις ἰδίαν ἥρπασεν. εἰ δὲ δυνηθῶσιν οἱ τοιοῦτοι φυγεῖν, καὶ οἱ ἐν κωνσταντινουπόλει καὶ οἱ ἐν πάσῃ χώρᾳ ἄρχοντες καὶ στρατηλάται ἐκδικείτωσαν τὸ γινόμενον, κατέχοντες αὐτοὺς καὶ τιμωρούμενοι, καὶ μὴ συγχωροῦντες αὐτοῖς ἐκκαλέσασθαι.

Καὶ εἰ μὲν δοῦλαί εἰσιν αἱ ἁρπαγεῖσαι ἢ ἀπελευθέραι, οἱ ἁρπάσαντες μὲν ὑποκείσθωσαν τῇ τοῦ νόμου ποινῇ, οὐ μέντοιγε καὶ οἴκοθεν ζημιούσθωσαν. εἰ δὲ καὶ εὐγενεῖς εἴησαν, τὰ πράγματα τῶν ἁρπασάντων καὶ τῶν βοηθησάντων αὐτοῖς τῆς δεσποτείας αὐτῶν γινέσθωσαν προνοίᾳ τῶν ἀρχόντων καὶ τῶν γονέων εἰς προῖκα, ἢ ἐὰν μὴ βουληθῶσι γαμῆσαι, κατέχειν ταῦτα τὰ πράγματα. μὴ ἐξέστω δὲ τῇ γυναικὶ αὐτὸν τὸν ἁρπάσαντα ἄνδρα λέγειν, μηδὲ τοῖς γονεῦσιν αὐτῆς τοῦτο αὐτῇ κελεύειν.

Αἱ δὲ τιμωρίαι τῆς διατάξεως πᾶσαι ἔστωσαν κατ᾽ αὐτῶν τῶν ἁρπασάντων καὶ τῶν βοηθησάντων αὐτοῖς ἐν τῇ ἁρπαγῇ· οἱ μέντοιγε συνειδότες καὶ ὑπηρετήσαντες [καὶ οἱ ὑποδεξάμενοι] ἢ οἱανδήποτε σπουδὴν αὐτοῖς εἰσενεγκόντες τῇ εἰρημένῃ τιμωρίᾳ ὑποκείσθωσαν, εἴτε βουλομένων τῶν γυναικῶν εἴτε μὴ βουλομένων ἡ ἁρπαγὴ γέγονεν. καὶ οἱ γονεῖς δὲ τῆς γυναικὸς κἂν ἀνεξικακήσωσι, περιοριζέσθωσαν.

Εἰ δὲ καὶ δοῦλος εὑρεθῇ ἐν τῷ πράγματι, καιέσθω, πασῶν τῶν ἄλλων τιμωριῶν σχολαζουσῶν.

2. Ἐν δὲ τῷ ε′ κεφ. Ἐὰν ἡ ἁρπαγεῖσα ἀσπάσηται τὸν τοῦ ἁρπάσαντος αὐτὴν γάμον, κἂν οἱασδήποτε αἱρέσεως ἢ ἡλικίας εἴη, μὴ συναινούντων τῶν γονέων αὐτῆς παραχρῆμα οὐ λαμβάνει τὶ τῶν τοῦ ἀνδρὸς πραγμάτων, ἀλλ' ὁ μὴ συναινέσας γονεύς, κἂν μήτηρ εἴη, λαμβάνει αὐτά· ἀθέμιτος γάρ ἐστιν ὁ τοιοῦτος γάμος. εἰ δὲ οἱ γονεῖς αὐτῆς ἐτελεύτησαν ἢ μετὰ ταῦτα συνήνεσαν, τότε εἰσκομίζεται ἡ οὐσία τοῦ ἁρπάσαντος, οὐ μὴν ἀλλὰ[1] καὶ τὰ αὐτῆς πράγματα[a].

3. Ἀνάγν. καὶ τί. ιη′ κεφ. ς′, ἐν ᾧ φησιν· Ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας, καὶ ὁ ἁρπάσας γεγαμημένην ἢ μὴ γεγαμημένην νομίμως τιμωρεῖται, καὶ ἐξωτικοῦ κατηγοροῦντος, ἐὰν ὁ τῆς κόρης πατὴρ παρακληθεὶς συνεχώρησε, καὶ οὔτε ἀντίκειται ἡ τῆς πενταετίας παραγραφή.

4. Ἀνάγν. καὶ βι. δ′ τί. α′ κεφ. ις′, ἐν ᾧ φησιν· Εἴ τις ἁρπάσει ἢ ὑπονοθεύσει ἢ διαφθείρει ἀσκήτριαν ἢ διακόνισσαν ἢ μονάστριαν ἢ ἄλλην οἱανοῦν γυναῖκα εὐλαβῆ βίον ἢ σχῆμα ἔχουσαν, τὰ τούτου πράγματα καὶ τῶν τοιούτου μύσους αὐτῷ μετασχόντων κελεύομεν τῷ εὐαγεῖ τόπῳ, ἐν ᾧ ἡ τοιαύτη γυνὴ ᾤκει, διὰ τῶν κατὰ τόπον ὁσιωτάτων ἐπισκόπων καὶ τῶν οἰκονόμων αὐτῶν, οὐ μὴν ἀλλὰ καὶ τῶν ἑκάστης ἐπαρχίας ἀρχόντων καὶ τῶν αὐτῶν τάξεων ἐκδικεῖσθαι. τοὺς δὲ τὰ τοιαῦτα πλημμελήσαντας καὶ τοὺς μεταλαχόντας[2] αὐτῶν τὸν ἐκ τοῦ νόμου κίνδυνον ὑπομένειν, τὴν δὲ τοιαύτην γυναῖκα πανταχοῦ ἀναζητεῖσθαι καὶ μετὰ τῶν ἰδίων πραγμάτων μοναστηρίῳ ἐμβάλλεσθαι, ἐν ᾧ ἀσφαλέστερον φυλάττεσθαι δύναται, ἵνα μὴ πάλιν ἐν τῷ αὐτῷ ἐγκλήματι εὑρεθῇ. εἰ μέντοι διακόνισσα εἴη καὶ παῖδας ἔχει νομίμους, τὸ νόμιμον μέρος τοῖς παισὶ διδόσθω. εἰ δὲ εἴσω ἑνὸς ἐνιαυτοῦ μετὰ τὸ γνωσθῆναι τὸ τοιοῦτον μῦσος τὰ τοιαῦτα πράγματα παρὰ τῶν εὐαγῶν οἴκων μὴ ἐκδικηθείη, κελεύομεν πᾶσι τρόποις τὸν κόμητα τῶν πριβάτων[b] τῷ ἡμετέρῳ οἴκῳ ταῦτα προσκυροῦν, τοῦ τῶν τόπων ἄρχοντος μὴ ἐκδικοῦντος αὐτὰ τῆς ζώνης ἀφαιρουμένου καὶ πρόστιμον πέντε χρυσίου λιτρῶν ὑπὸ τοῦ κόμητος τῶν πριβάτων εἰσπραττομένου[c].

---

[a] Ἀνάγ. καὶ βι. κη′ τί. ζ′ κεφ. κ′, ὅπερ εὑρήσεις τεθὲν περὶ γάμου λύσεως.

[b] Ὁ κόμης τῶν πριβάτων ὁ νῦν λογοθέτης τῶν οἰκειακῶν.

[c] Ἀνάγνωθι καὶ νεαρὰν ρμγ′, καὶ ρκα′ ἐν αἷς φησι περὶ τῶν ἁρπαζόν-

[1] Leuncl. ἀλλὰ delendum censet. [2] Labbaeus μετασχόντας.

LXIV.

Περὶ τῶν ἁρπαγὰς ἐξ ἐφόδου ποιούντων, εἴτε ἀπ' ἀγροῦ εἴτε ἐξ ἐμπρησμοῦ ἢ καταπτώσεως.

1. *Ἀνάγν. βι. ξ' τί. ς' κεφ. λβ'* [1], *ἐν ᾧ φησιν·* Ἐάν τις ἀπὸ ἐμπρησμοῦ ἢ ναυαγίου ἀφέληταί τι ἢ μειώσῃ, ἐντὸς ἐνιαυτοῦ ὡρισμένου εἰς τὸ τετραπλάσιον κατέχεται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν πρὸς τῇ ἤδη ὡρισμένῃ ποινῇ [a].

2. *Ἀνάγν. καὶ τί. ιζ', οὕτινος ἐν τῷ α' κεφ. φησίν·* Ὁ ἅρπαξ καὶ κλέπτης ἐστὶν ἀφανής. καὶ πρώτη μὲν ἡ περὶ βιαίας πραγμάτων ἁρπαγῆς [b] κινουμένη ἀναιρεῖ τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγήν· εἰ δὲ πρώτη κινηθῇ ἡ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴ, σώζεται ἡ παροῦσα ἐπὶ τῷ περιττῷ.

3. *Ἐν δὲ τῷ β' κεφ.* Οὐ μόνον ὁ ἅρπαξ [2], ἀλλὰ καὶ ὁ συνάγων ἀνθρώπους ἀρμάτους ἐπὶ τῷ ζημιῶσαι ἢ ἁρπάσαι δόλον ποιεῖ· καὶ ὁ χρώμενος τοῖς ἐξ ἄλλου συναχθεῖσιν.

Εἴτε δὲ πολλοὺς συνάξει εἴτε ἕνα, εἴτε μόνος ποιήσει τὴν βίαν, εἴτε δούλους εἴτε ἐλευθέρους, εἴτε ἐνόπλους εἴτε ἀνόπλους, χώρα τῷ παραγγέλματι [3].

Καὶ ἐπὶ ἑνὶ πράγματι ἁρπαγέντι χώρα τῷ διατάγματι.

Καὶ ὁ μὴ συναγαγὼν, ἀλλ' εὑρεθεὶς μεταξὺ τῶν συναχθέντων ζημιώσας ἢ ἁρπάσας ἐνέχεται. καὶ οὐ μόνον ἐὰν αὐτὸς ὁ ἐναγόμενος συναγαγὼν ἁρπάσῃ, ἀλλὰ καὶ ἐὰν δόλον ποιήσει ἐφ' ᾧ ἄλλον ἁρπάσαι ἢ ζημιῶσαι, κἂν ὑφ' ἑτέρου συνήχθησαν. περιέχονται δὲ καὶ οἱ συνάγοντες καὶ οἱ συναχθέντες.

Εἴσω [4] ἐνιαυτοῦ τὸ ἀληθὲς τοῦ πράγματος τίμημα τετραπλασιάζεται, οὐ μὴν τὸ διαφέρον.

4. *Ἐν δὲ τῷ γ' κεφ.* [5] Καὶ ὀνόματι φαμιλίας κινεῖται, καὶ

των ἢ ὑπονοθευόντων καὶ ὑποφθειρόντων ἀσκήτριαν ἢ μονάστριαν ἢ διακόνισσαν ἢ ἄλλην γυναῖκα εὐλαβῆ βίον ἢ σχῆμα ἔχουσαν. ἀνάγν. καὶ τὸν λθ' τί. τοῦ βι. τούτου, ὅπερ διαλαμβάνει περὶ ἀσελγῶν, καὶ εὑρήσεις τὴν ποινὴν τοῦ ἰουλίου ἀδουλτερίου.

[a] *Ὡρισμένη τιμωρία τὸ παρασχεῖν καὶ τῷ φίσκῳ ὅσον δοθῇ τῷ ἐνάγοντι, ἢ ἡ φούρτη. τουτέστιν, ἵνα καὶ τῷ δημοσίῳ τόσον παρέχῃ, ὅσον τῷ ἐνάγοντι. ὡς βι. μγ' τί. γ' κεφ. λα' καὶ μβ'.*

[b] *Ἡ βὶ βονόρουμ ῥαπτόρουμ.*

---

[1] Leuncl. *λε'*. [2] Idem *μόνος ὁ ἁρπάζων.* [3] Leuncl. *πράγματι.* [4] Hic demum Lips. inscribit: *Ἐν δὲ τῷ β' κεφ.* [5] Imo ex cap. 2.

οὐκ ἀναγκάζεται δεῖξαι, τίνες ἐκ τῆς φαμιλίας εἰσὶν οἱ ἁρπάσαντες ἢ ζημιώσαντες.

5. Ἐν δὲ τῷ ς' κεφ. Ὁ ἅρπαξ οὐκ ἀπαλλάττεται τῆς ποινῆς πρὸ τῆς δίκης προσάγων τὸ πρᾶγμα.

6. Ἀνάγν. καὶ τί. ιη', οὗτινος ἐν τῷ β' καὶ γ' κεφ. φησί· Καὶ ὁ ἁρπάζων τὶ ἐξ ἐμπρησμοῦ πλὴν ὕλης, καὶ ὁ παραγενόμενος ἔνοπλος εἰς ἐμπρησμὸν ἐπὶ τῷ ἁρπάσαι ἢ κωλῦσαι τὸν δεσπότην σῶσαι τὰ ἴδια, καὶ ὁ μετὰ ὅπλων ἐκβαλὼν τὸν νομέα ἐκ τοῦ οἴκου ἢ ἀγροῦ τῷ περὶ βίας δημοσίας νόμῳ κατέχονται· ἐστὶ δὲ καὶ ἡ καταδίκη αὐτοῖς ἡ εἰς μέταλλον διηνεκὴς ἐξορία.

7. Ἐν δὲ τῷ ιδ' κεφ. Ὅμοιόν ἐστι τὸ ἁρπάσαι καὶ τὸ ὑποδέξασθαι τὰ ἁρπαγέντα ἐν εἰδήσει.

8. Ἀνάγν. καὶ τί. κ'[1] οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὅτι ὁ ἀπὸ ἐμπρησμοῦ ἢ καταπτώσεως ἁρπάζων ἢ κατὰ δόλον ὑποδεχόμενος ἢ ζημιῶν εἴσω μὲν συναπτοῦ ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν ἐνέχεται. ἁρμόζει δὲ ἡ ἀγωγὴ καὶ κατὰ δούλου καὶ φαμιλίας.

Ἁρμόζει δὲ καὶ ἐγκληματικὴ ἐπεξέλευσις.

Καὶ ὅτι ἀπὸ ἐμπρησμοῦ δοκεῖ λαμβάνειν ὁ κατὰ πρόφασιν τοῦ ἐμπρησμοῦ λαμβάνων καὶ ἐκ τῶν παρακειμένων οἴκων. καὶ ἐν πολέμῳ γὰρ ἀπόλλυσθαι λέγομεν τὸ κατὰ πρόφασιν τοῦ πολέμου ἀπολλύμενον.

Ὁμοίως καὶ ἐπὶ καταπτώσεως.

9. Ἐν δὲ τῷ γ' κεφ.[2] Ὁ τὸ σωθὲν ἀπὸ ἐμπρησμοῦ καὶ καταπτώσεως καὶ τεθὲν ἐν ἄλλῳ τόπῳ κλέψας ἢ ἁρπάσας καὶ κλέπτης καὶ ἅρπαξ ἐστίν, μάλιστα ἐὰν μὴ ἠγνόησε πόθεν ἦσαν[c].

10. Ἀνάγν. καὶ τί. να' κεφ. κη', ἐν ᾧ φησιν· Οἱ τὰς ἐφόδους ποιοῦντες διὰ τὸ πραιδεῦσαι ἐοίκασι τοῖς λησταῖς. καὶ ἐὰν τοῦτο μετὰ σιδήρου ποιῶσι καὶ πολλάκις καὶ ἐν ταῖς ὁδοῖς, εἰς κεφαλὴν κολάζονται. οἱ δὲ λοιποὶ ἐξορίζονται ἢ περιορίζονται.

11. Ἀνάγν. καὶ βι. νγ' τί. γ', οὗτινος ἐν τῷ κε' κεφ. φησίν· Ὁ ἀπὸ ναυαγίου ἢ πλοίου πορθηθέντος ἁρπάζων ἢ κατὰ δόλον ὑποδεχόμενος ἢ ζημιῶν εἴσω μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν,

---

c Ζήτει καὶ τί. λθ' τοῦ αὐτοῦ ξ' βι. κεφ. ς' καὶ ζ' καὶ η' περὶ τῶν ποιούντων ἐμπρησμούς.

---

[1] Lips. η'. [2] Leuncl. Καὶ ε' κεφ.

μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν ἐνέχεται. ἁρμόζει δὲ ἡ ἀγωγὴ κατὰ δούλου καὶ φαμιλίας. ἁρμόζει δὲ καὶ ἐγκληματικὴ ἐπεξέλευσις. χώρα δὲ τῷ νόμῳ ἐὰν κατὰ τὸν χρόνον καὶ ἐν τόπῳ, ἐν ᾧ τὸ ναυάγιον γέγονεν, ἀφέληται. κατέχεται δὲ τῷ δὲ σικαρίῳ[d] καὶ ὁ λαβὼν ἀπὸ ναυαγίου.

12. Ἐν δὲ τῷ μγ' κεφ. Ὁ ἁρπάζων τι ἀπὸ ναυαγίου καὶ ὁ βιαζόμενος ναύτας ἢ λαβὼν ἀπὸ ναυαγίου καὶ κρύψας εἰς τὸ τρίτον τῆς οὐσίας δημεύεται, καὶ οὔτε συγκλητικὸς ἢ ἄρχων γίνεται ἢ ἄλλην μετέρχεται τιμὴν, ἀλλὰ καὶ σφοδρῶς τιμωρεῖται.

LXV.

Περὶ ἀῤῥαβώνων.

1. Ἀνάγν. βι. κβ' τί. α' κεφ. οδ', ἐν ᾧ φησι· Τοὺς ἀῤῥαβῶνας φύσιν ἔχειν σιωπηρῶς τοιαύτην, ἵνα εἴτε ὁ δεδωκὼς μὴ πληροῖ τὸ συνάλλαγμα, πᾶσι τρόποις ἐκπίπτῃ τῶν ἀῤῥαβώνων· εἴτε ὁ λαβὼν μὴ πληροῖ, πᾶσι τρόποις διπλάσιον ἀποδιδῷ.

2. Περὶ ἀῤῥαβώνων μνηστείας εὑρήσεις ἐν τῷ περὶ μνηστείας.

LXVI.

Περὶ ἀρχόντων, συγκλητικῶν τε καὶ ἀξιωματικῶν· περὶ παντοίων ὀφφικιαλίων καὶ περὶ τάξεων καὶ προνομίων αὐτῶν καὶ καθέδρων, καὶ περὶ παίδων αὐτῶν καὶ γαμετῶν, καὶ περὶ συνέδρων αὐτῶν· καὶ ὅτι οἱ ἄτιμοι καὶ αἰσχροὶ οὐ γίνονται συγκλητικοί· καὶ ὅπως ὀφείλει ἕκαστος αὐτῶν διαπρέπειν ἐν αἷς ἄρχουσιν ἐπαρχίαις.

1. Ἀνάγν. βι. ς' τί. α', οἵτινος ἐν τῷ ζ' κεφ. φησίν· Αἱ γαμεταὶ τῶν λαμπροτάτων λαμπρόταταί εἰσιν, οὐ μὴν αἱ τῶν συγκλητικῶν θυγατέρες. καὶ ὅτι τῇ τοῦ πατρὸς ἀξίᾳ κέχρηται ἡ θυγάτηρ, ἕως οὗ γαμηθῇ ἰδιώτῃ. καὶ ὅτι λαμπροτάτη ἐστὶν ἡ γυνὴ τοῦ λαμπροτάτου καὶ τοῦ ὑπάτου, καὶ αἱ διαζευχθεῖσαι τούτων, εἰ μὴ γαμηθῶσιν ἑτέροις ἥττονος οὖσιν ἀξίας.

2. Ἐν δὲ τῷ η' κεφ. Συναπτομένης θυγατρὸς ἀξιωματικοῦ ἀπελευθέρῳ, κἂν ὁ πατὴρ αὐτῆς ἀποκινηθῇ τῆς ἀξίας[1], ὁ γάμος [οὐ] βεβαιοῦται. ἡ γὰρ τοῦ πατρὸς συμφορὰ τὴν περιποιηθεῖσαν τοῖς παισὶν ἀξίαν οὐκ ἀφαιρεῖται.

3. Πάντες[2] οἱ τοῦ συγκλητικοῦ κατιόντες συγκλητικοῦ λέγονται παῖδες.

---

[d] Τοῦ δὲ σικαρίῳ ἡ ποινὴ νήσου περιορισμός ἐστι καὶ πάσης τῆς οὐσίας ἀφαίρεσις.

---

[1] Leuncl. συγκλήτου. [2] Inscribendum erat: Ἐν δὲ τῷ θ' κεφ.

4. Ἐν δὲ τῷ ια' κεφ. Ὅτι ἀπὸ πατρικίων ἕως ἰλλουστρίων εἰσὶν οἱ συγκλητικοὶ[a], καὶ οὗτοι μόνοι βουλὴν ἐν τῇ συγκλήτῳ δύνανται λέγειν.

5. Καὶ [ὅτι] ἐν τῇ ἱπποδρομίᾳ ὀφείλουσι συνάγεσθαι.

6. Ἐν δὲ τῷ ιβ' κεφ. Οἱ ἔπαρχοι προκαθεζέσθωσαν ὅλων, καὶ μετ' αὐτοὺς οἱ συγκλητικοί.

7. Ἐν δὲ τῷ ιη' κεφ. Οἱ ἄτιμοι καὶ οἱ αἰσχροὶ οὐ δύνανται γίνεσθαι συγκλητικοί.

8. Ἐν δὲ τῷ κβ' κεφ. Μηδεὶς ἔμπορος ἢ μονιτάριος ἢ τελώνης ἢ ἀπὸ εὐτελοῦς ὀφφικίου ἐπιχειρείτω γίνεσθαι ἀξιωματικός. εἰ δὲ καὶ γένηται, πάλιν ἀποδιδόσθω τῷ ἰδίῳ σωματείῳ.

9. Ἐν δὲ τῷ κδ' κεφ. Τὸ δίκαιον τῶν συγκλητικῶν καὶ τὴν αὐθεντίαν τῆς τάξεως, ἐν ᾗ καὶ ἡμεῖς συναριθμούμεθα, οὐ δεῖ ὑβρίζεσθαι. καλῶς δὲ εἶπεν ὁ βασιλεὺς συναριθμεῖσθαι τοῖς συγκλητικοῖς, ἐπειδὴ καὶ ὑπατεύειν ἀνέχεται[1].

10. Ἐν δὲ τῷ κε' κεφ. Οἱ τῶν ἀπελευθέρων παῖδες δύνανται γενέσθαι συγκλητικοί. αὐτοὶ γὰρ οἱ ἀπελεύθεροι μόνοι κεκώλυνται.

11. Ἐν δὲ τῷ λβ' κεφ. Ἡ διάταξις κελεύει τὸν συγκλητικὸν, εἴτε ἐπὶ χρηματικῇ αἰτίᾳ εἴτε ἐπὶ ἐγκλήματι ἐναγόμενον, ἐγγύας μὴ ἀπαιτεῖσθαι, ἀλλὰ μόνον ἐξωμοσίᾳ [κατα]πιστεύεσθαι.

12. Ἐν δὲ τῷ λθ'[2] κεφ. Οἱ πάσας τὰς ἐπαρχίας διοικοῦντες δίκαιον ἔχουσι ξίφους καὶ τοῦ μεταλλίζειν.

13. Ἐν δὲ τῷ μ' κεφ. Ὁ ἄρχων ἀναγκαζέτω τοὺς τῶν οἴκων δεσπότας ἀνανεοῦν αὐτούς. εἰ δὲ ὑπερτίθενται, ἁρμοδίως αὐτὸς θεραπευέτω τὴν ἀμορφίαν τῆς πόλεως[b].

14. Ἐν δὲ τῷ ν' κεφ.[3] Μὴ δεχέσθω δὲ ξένιον, [εἰ] μὴ τὸ δι' ὀλίγων ἡμερῶν δαπανώμενον βρώσιμον ἢ πόσιμον.

15. Ἐν δὲ τῷ να' κεφ. Εὐχερὴς ἔστω τοῖς προσιοῦσι καὶ ἀκαταφρόνητος, καὶ μὴ ἐξίσου συναναστρεφέτω τοῖς ἀρχομένοις, καὶ μὴ δηλούτω τῇ ὄψει ἐλεῶν ἢ ὀργιζόμενος.

16. Ἐν δὲ τῷ οα' κεφ. Μηδεὶς ἅμα [καὶ] συνηγορείτω καὶ

---

[a] Οἱ γὰρ ὑπεραναβεβηκότες λαμπρότατοι λέγονται.

[b] Τυχὸν παρασκευάζων τὸν τῶν οἰκημάτων δεσπότην, ἐν ᾧ μή ἐστιν αὐτῷ χρήματα μετὰ χεῖρας ἢ ἐν ᾧ ἀπορώτερός ἐστιν, δανείζεσθαι παρ' ἑτέρου τινὸς ἢ καὶ πιπράσκειν τὰ οἰκήματα.

---

[1] Lips. ἐνέχεται. [2] Lips. λα'. [3] Lips. hoc caput sequenti postponit.

ἑτέροις συνεδρευέτω, ἢ καὶ δύο κατὰ ταὐτὸν ἄρχουσι συμπονείτω.

17. Ἐν δὲ τῷ π′ κεφ. Μηδεὶς ἄρχων ὢν τὴν κωνσταντινούπολιν ἄνευ θείας καταλαμβανέτω κελεύσεως, τὴν ἁρμοδίαν ποινὴν εὐλαβούμενος.

18. Ἐν δὲ τῷ ριε′ κεφ. Οἱ ἄρχοντες καὶ οἱ ὑπασπισταὶ καὶ οἱ τῆς τάξεως πρῶτοι μετὰ τοῦ ἄρχοντος ἀνὰ τρεῖς λίτρας προστιμάσθωσαν χρυσοῦ, ἀξιωματικοῦ κωλυθέντος παρὰ τοῖς ἄρχουσιν εἰσελθεῖν, εἰ[1] μὴ μετὰ τιμῆς εἰσελθόντος, ἢ μὴ συγκαθεσθέντος τῷ ἄρχοντι.

19. Ἀνάγν. καὶ τί. γ′· διαλαμβάνει γὰρ περὶ τοῦ χωρὶς τῆς οἱασοῦν δόσεως γίνεσθαι τοὺς ἄρχοντας, καὶ ὅπως διαπρέπειν ὀφείλουσι. Καὶ τοῦ μήτε αὐτοὺς λαμβάνειν τὶ παρά τινος λόγῳ ξενίου μήτε ἕτερον συγχωρεῖν τοῦτο πράττειν, καὶ ὅτι οἱ λαβεῖν τολμῶντες οὐ μόνον εἰς τὸ τετραπλάσιον ἀποδώσουσιν ὃ εἰλήφασιν, ἀλλὰ καὶ ζώνης καὶ οὐσίας ἐκπεσοῦνται πρὸς τῷ καὶ τιμωρίαις ὑποβληθῆναι πρεπούσαις. καὶ περὶ τοῦ φυλάττειν τοὺς ὑπηκόους ἀνεπηρεάστους, καὶ ἴσους μὲν ἐν ταῖς δίκαις, ἴσους δὲ ἐν ταῖς δημώδεσι καταστάσεσιν εἶναι. καὶ τοὺς μὲν ἀνευθύνους πανταχόθεν φυλάττειν καθαρούς, τοῖς δὲ ὑπευθύνοις ἐπιτιθέναι πρὸς τὸν νόμον τὴν ποινήν. ἐπειδὰν δὲ κατάθοιντο τὴν ζώνην, πεντήκοντα ἡμέρας ἐν τῇ ἐπαρχίᾳ διατρίβειν τὰς παρὰ πάντων δεχόμενοι ἐναγωγάς· μὴ περατωθείσης δὲ τῆς δίκης εἴσω τῶν πεντήκοντα ἡμερῶν, χρηματικῆς μὲν οὔσης διδόναι προκουράτορα, ἐγκληματικῆς δὲ μέχρι πέρατος μένειν τῆς ὑποθέσεως. καὶ περὶ τοὺς δημοσίους φόρους ἐπιμέλειαν ἔχειν, καὶ ὅρκον δὲ ὑπέχειν τοῦ παραφυλάττειν πάντα τὰ διατεταγμένα. καὶ τοῦ μὴ συγχωρεῖν, εἰ καὶ θεῖον τύπον τὶς ἐξενέγκοι, ἀδικίας γίνεσθαι ἢ καὶ προστασίας ἀδίκους, ἢ σανίδας ἐπιτίθεσθαι χωρίοις ἢ ἐργαστηρίοις ἀλλοτρίοις παρά τινος· μήτε μὴν γεωργοὺς ἐᾶν ἀλλοτρίους εἰσδέχεσθαί τινα· ἀναγκάζειν τε τοὺς τῶν δημοσίων ἀπαιτητὰς ἀποδείξεις ποιεῖν, καὶ τοὺς ἐπικτωμένους ἀγροὺς ἢ χωρία ἀπογράφεσθαι τοῦ συντελεῖν, ὡς ἂν μὴ ἄλλοι μὲν εἶεν οἱ νεμόμενοι, ἕτεροι δὲ οἱ συντελοῦντες. καὶ περὶ τοῦ ἐπισκέπτεσθαι ἐν ταῖς κυριακαῖς τοὺς ἐν φυλακαῖς, καὶ μανθάνειν εἰ φιλανθρώπως αὐτοῖς οἱ φύλακες κέχρηνται. καὶ μηδὲ ἀγγαρείαις ἢ δαπανήμασι βαρύνειν τοὺς ὑποτελεῖς. καὶ τοῦ μὴ ἐπικτᾶσθαί τι

---

[1] Leuncl. conj. ἤ. Sic Basil.

τοὺς ἄρχοντας ἐν αἷς ἄρχουσιν ἐπαρχίαις μηδὲ τοὺς τῆς κωνσταντινουπόλεως κινητὸν ἢ ἀκίνητον δίχα θείας κελεύσεως, μηδὲ δωρεὰν εἰς αὐτοὺς ἐῤῥῶσθαι.

20. Ἐν δὲ τῷ λα' κεφ. τοῦ αὐτοῦ τί. διαλαμβάνεται ὁ ὅρκος, ὃν ὑπέχουσιν οἱ λαμβάνοντες ἀρχήν.

21. Ἀνάγν. καὶ τί. κα', ἐν ᾧ φησι περὶ τοῦ ἕκαστον τῶν ἀρχόντων κατὰ τὴν ἰδίαν ἐπαρχίαν διοικεῖν τάς τε ἐγκληματικὰς καὶ χρηματικὰς δίκας.

22. Καὶ τί. κδ', ἐν ᾧ φησι περὶ[1] τῶν τὴν ἰδίαν δικαιοδοσίαν ἑτέρῳ ἐντελλομένων.

23. Ἀνάγν. καὶ βι. κγ' τί. α' κεφ. λγ', ἐν ᾧ φησιν· Οἱ ἄρχοντες τῶν ἐπαρχιῶν καὶ οἱ περὶ αὐτοὺς κεκώλυνται πραγματεύεσθαι ἢ δανείζειν ἢ τοκίζειν.

24. Οἱ[2] δὲ ταξεῶται καὶ δανείζουσι καὶ τοκίζουσι. καὶ ὁ ἄρχων ἐκτόκως δανείζεται.

25. Καὶ κεφ. με', ἐν ᾧ φησιν· Ὁ ἀρχὴν ἢ ὀφφίκιον ἐν ἐπαρχίᾳ πράττων οὔτε δι' ἑαυτοῦ οὔτε διὰ μέσου προσώπου ἐν τῷ καιρῷ τῆς ἰδίας[3] ἀρχῆς δανείζειν δύναται.

26. Ἀνάγν. καὶ βι. ξ' τί. λθ' κεφ. α', ἐν ᾧ φησι· Ὅτι ὁ ἄρχων χρήματα λαβὼν ἐπὶ τῷ καταδικάσαι τινὰ κεφαλικῶς τῷ τῶν ἀνδροφόνων νόμῳ ὑπόκειται[c].

27. Περὶ[4] ἀνθυπάτων καὶ ὑπάτων καὶ λεγάτων ἀνάγν. βι. ϛ' τί. β', οὗτινος ἐν τῷ ϛ' κεφ. φησίν· Οὐκ ὀφείλει μιτάτοις τὴν ἐπαρχίαν βαρεῖν ὁ ἀνθύπατος.

28. Ἐν δὲ τῷ ζ' κεφ. Μετὰ τὸ εἰσελθεῖν ἐν τῇ ἐπαρχίᾳ ποιείτω τοὺς λεγάτους[d]· πρὸ τούτου γὰρ οὔτε αὐτὸς δικαιοδοσίαν ἔχει, καὶ οὐ δύναται ἣν οὐκ ἔχει ἐντέλλεσθαι ἑτέρῳ.

29. Ἐν δὲ τῷ η' κεφ. Δέχεσθαι δὲ ξένια ἢ ἀγοράζειν ὁ ἀνθύπατος ἢ ὁ ἕτερον χειρίζων ὀφφίκιον πλὴν τῆς ἐφημέρου τροφῆς οὐκ ἐπιτέτραπται.

30. Ἐν δὲ τῷ ιγ' κεφ. Οἱ λεγάτοι οὐδὲν ἔχουσιν ἴδιον, εἰ μὴ παρὰ τῶν ἀνθυπάτων αὐτοῖς ἡ δικαιοδοσία ἐνταλθῇ.

---

c Ἀνάγν. καὶ νεαρὰν η' καὶ ιγ' καὶ ιε' καὶ ιζ' καὶ κ' καὶ κδ' καὶ κε' καὶ κϛ' καὶ κζ' καὶ κη' καὶ κθ' καὶ λ' καὶ λα' καὶ μα' καὶ π', ἐν ᾗ φησι περὶ τοῦ κονεσίτορος ἤτοι ἐρευνητοῦ, καὶ νεαρὰν ϙε', ἐν ᾗ φησι περὶ τοῦ μετὰ τὴν διαδοχὴν ν' ἡμέρας διατρίβειν ἐν τῇ ἐπαρχίᾳ τοὺς ἄρχοντας, καὶ ρβ' καὶ ργ' καὶ ρε' καὶ ρκη' ἀπὸ τοῦ ιϛ' κεφ. καὶ ρλδ' καὶ ρμε'.

d Οὓς ἀντιπροσωποῦντας λέγομεν.

---

[1] Lips. novi tituli rubricam esse vult, apponens numerum ο'. [2] Inscribendum: Ἐν δὲ τῷ λδ' κεφ. [3] Leuncl. οἰκείας. [4] Lips. vocat titulum οα'.

31. Περὶ[1] ἐπάρχου πόλεως καὶ τάξεως καὶ προνομίου αὐτοῦ, καὶ ἐπάρχου πραιτωρίων ἀνάγν. βι. ϛ' τί. δ', οὗτινος ἐν τῷ ια' κεφ. φησί· Πασῶν τῶν ἐν κωνσταντινουπόλει ἀρχῶν ἡ ἐπαρχότης προεχέτω τῆς πόλεως, κατὰ μηδὲν δηλονότι τὰς λοιπὰς ἀδικοῦσα.

32. Ἐν δὲ τῷ ιβ' κεφ. Πάντα τὰ ἐν κωνσταντινουπόλει συστήματα[2] καὶ οἱ πολῖται καὶ οἱ ἀπὸ τοῦ δημοσίου[3] πάντες τῷ ἐπάρχῳ τῆς πόλεως ὑποκείσθωσαν.

33. Ἀνάγν. βι. νϛ' τί. ιζ[4] κεφ. κε' καὶ κϛ' καὶ κζ καὶ κη' καὶ βι. νζ' τί. β' κεφ. κϛ', ἐν ᾧ φησιν· Δίκαιον στρατιωτικοῦ πεκουλίου ἔχουσι καὶ οἱ σκρηνιάριοι καὶ οἱ ἐξσκέπτορες τοῦ ἐπάρχου τῶν πραιτωρίων. δοκοῦσι γὰρ τῆς πρώτης λεγεῶνος εἶναι τῆς τῷ βασιλεῖ βοηθούσης.

34. Περὶ[5] νυκτεπάρχου ἤτοι πραίτωρος δήμου ἀνάγν. βι. ϛ' τί. ε', οὗτινος ἐν τῷ α' κεφ. φησί· Διὰ τοὺς ἐμπρησμοὺς ἐπενοήθη ὁ νυκτέπαρχος [ἤτοι ὁ πραίτωρ].

35. Διαγινώσκει[6] γὰρ περὶ τῶν ποιούντων ἐμπρησμούς τε καὶ τοιχωρυχίας καὶ κλοπὰς καὶ ἁρπαγὰς, καὶ περὶ τῶν ὑποδεχομένων. τοὺς δὲ τραχεῖς καὶ περιφανεῖς διαπέμπει τῷ ἐπάρχῳ[7].

36. Περὶ[8] κοιαίστωρος καὶ τάξεως καὶ προνομίων αὐτοῦ, καὶ περὶ κοιαισίτωρος τουτέστιν ἐρευνητοῦ ἀνάγν. βι. ϛ' τί. ϛ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἀδιάφορον εἴτε ἐξ ἰδιωτῶν εἴτε ἀπὸ πατρικίων οἱ κοιαίστορες γίνονται. ἀναγινώσκουσι δὲ τῷ βασιλεῖ λιβέλλους[9], καὶ βουλεύονται ἐν τῇ συγκλήτῳ, καὶ τὰς βασιλικὰς ἀναγινώσκουσι κελεύσεις. καὶ σχεδὸν πασῶν τῶν ἀρχῶν τῶν ἄλλων αὕτη ἀρχαιοτέρα ἐστὶ, καί τινες μὲν αὐτῶν εἰς ἐπαρχίας ἐπὶ ζητήσει πόρων ἐξῄεσαν, οἱ δὲ διαλάμποντες παρὰ τῷ βασιλεῖ ἔμενον.

37. Ἐν δὲ τῷ ιε' κεφ. Θεσπίζομεν τὸν τὴν ἀρχὴν τοῦ κοιαισίτορος ἤτοι ἐρευνητοῦ ἔχοντα[10] ταύτην ἀφορῶντα πρὸς θεὸν καὶ τὸ ἡμέτερον δέος καὶ τὸν νόμον ἀναζητεῖν τοὺς ἐπὶ τῆς μεγάλης ταύτης ἐπιδημοῦντας πόλεως, ἐξ οἱασδήποτε χώρας εἶεν, εἴτε ἄνδρας εἴτε γυναῖκας, εἴτε κληρικοὺς ἢ μοναχοὺς ἢ ἀσκητρίας, εἴτε τῶν ἔξω πόλεων συνηγόρους εἴτε

---

[1] Apud eundem est tit. οβ'. [2] Leuncl. σωμάτια. Basil. σωματεῖα. [3] Basil. δήμου. [4] Leuncl. ζ'. [5] Lips. tit. ογ' facit. [6] Inscribendum: Ἐν δὲ τῷ β' κεφ. [7] Lips. τοὺς δὲ τρ. παραδιαπέμπει τῷ ἐπ. καὶ τοὺς περιφανεῖς. [8] Lips. vocat tit. οδ'. [9] Leuncl. βίβλους. [10] Leuncl. ἔχοντος.

καὶ ἄλλης οἱασοῦν τύχης [τε] καὶ ἀξίας· καὶ περιεργάζεσθαι τίνες τε εἶεν καὶ πόθεν ἥκοιεν καὶ ἐπὶ ποίᾳ προφάσει. καὶ εἰ μὲν γεωργοί, σκοπεῖν τοὺς οἷς τῶν ἡμετέρων ἀρχόντων αἱ κατ᾿ αὐτοὺς προσήκουσιν ὑποθέσεις, καὶ τούτοις ἐπικεῖσθαι, συντόμως τε αὐτοὺς ἀπαλλάττειν τῶν δυσκόλων, δι᾿ ἅπερ ἂν ἐνταυθοῖ γεγόνασι[1], καὶ ὅτι τάχιστα τούτους, ὅθεν ἥκουσιν, ἐκπέμπειν τῶν προσηκόντων ἀπολαύσαντας.

Εἰ δέ τινες εἶεν γεωργοὶ τελοῦντες ὑπὸ δεσποτείαν καὶ δεόμενοι τούτων εἰς ταύτην παραγεγόνασι τὴν βασιλίδα πόλιν, παρασκευάζειν τοὺς κεκτημένους θᾶττον αὐτοῖς[2] διακρίνειν τὰ ἐφ᾿ οἷς ἀφίκοιντο πράγματα, καὶ ἐκπέμπειν αὐτίκα τυχόντας τῶν δικαίων. εἰ δὲ ὡς εἰκὸς εἰς ἐναντίωσιν τῶν κεκτημένων παρεγένοντο καὶ πρὸς αὐτοὺς λέγοιεν δίκας, εἰ μὲν πλῆθος εἴη, τοὺς μὲν πολλοὺς ἀποπέμπειν παραχρῆμα εἰς τὴν χώραν, δύο ἢ τριῶν καταλιμπανομένων, οἵπερ κατὰ τὸ τοῦ συνδίκου σχῆμα τὴν δίκην ἀγωνιοῦνται, καὶ οὕτω δὲ αὐτοὺς ἐπικεῖσθαι τῷ τῆς δίκης ἀκροατῇ, καὶ παρασκευάζειν ὅτι τάχιστα τέμνειν τὰς ὑποθέσεις, ἵνα μὴ μῆκος αὐτοῖς ἐγγίνοιτο χρόνου, καὶ μάλιστα γεωργοῖς, ὧν ἥ τε ἐνταῦθα παρουσία περιττή, ἥ τε ἐκ τῆς γεωργίας σχολὴ βλάβος αὐτοῖς τε καὶ τοῖς κεκτημένοις ποιεῖ.

Εἰ δὲ οὔτε γεωργικὸν εἴη τὸ ἐπιδημοῦν πλῆθος, ἀλλά τινες τυχὸν ἕτεροι ἢ καὶ δικαζόμενοι πρὸς ἑτέρους, καὶ ἐνταῦθα χρονίζοιεν, μὴ ἐᾶν[3], ἀλλὰ σὺν πάσῃ συντονίᾳ τοὺς δικαστὰς ἐπάγειν[4] μετὰ σπουδῆς αὐτοὺς τῶν ἀμφισβητουμένων ἀπαλλάττειν τε καὶ τῶν δικῶν[5] ἐλευθερουμένους ἐκπέμπειν ὥστε αὐτοὺς τὰς οἰκείας χώρας τε καὶ πόλεις οἰκεῖν. εἰ δὲ πολλάκις ἐνοχλήσαντος τὸν ἀκροώμενον τῆς δίκης ἢ τοὺς τῶν γεωργῶν κυρίους τοῦ παρ᾿ ἡμῶν καταστάντος ἄρχοντος, ἐφ᾿ ᾧ τοὺς δικαζομένους ἢ προσεδρεύοντας ἐλευθερῶσαι, αὐτοὶ πρὸς τοῦτο ἀναβάλλοιντο καὶ μὴ θᾶττον αὐτοὺς ἢ τῆς δίκης ἢ τοῦ προσεδρεύειν [αὐτοῖς] ἀπαλλάξουσι, τηνικαῦτα αὐτὸν τὸν παρ᾿ ἡμῶν ἐπὶ ταύτης τῆς ἀρχῆς προβληθέντα ἄγειν εἰς ἑαυτὸν τοὺς δικαζομένους ἢ δεομένους τινὸς τῶν δικαίων παρὰ τῶν κεκτημένων, εἶτα μὴ τυγχάνοντας, καὶ ἐξετάζειν καὶ ἐν τάχει διατιθέντα[6], ἐφ᾿ οἷς ἐκεῖνοι ταύτῃ τῇ μεγάλῃ προσεδρεύουσι πόλει, πρὸς τὰς οἰκείας ἐκπέμπειν πατρίδας

---

[1] Idem conj. παραγεγ. [2] Lips. αὐτούς. [3] Leuncl. ἐνδιδόναι. [4] Idem conj. ἐπείγειν. [5] Lips. δικαστῶν. [6] Lips. et Leuncl. διατιθέντας.

ἢ ὅλως ἐξ ὧν ἥκουσι τόπων, πᾶσιν[1] ἀνῃρημένης πρὸς τοῦτο προνομίας τε καὶ φόρου παραγραφῆς.

Εἰ δὲ βίου πρόφασίν τινες ἢ δίκης αἰτίαν οὐκ ἔχοντες ἐπὶ ταύτης εἰσὶ τῆς ἡμετέρας πόλεως, ὥστε διαζῆν ἢ ἐκ τοῦ μεταιτεῖν, ἢ τούτου πρὸς τὰς αὐτῶν ἐπιθυμίας οὐκ ἀρκοῦντος ἤδη καὶ πλημμελεῖν, τὴν τῶν σωμάτων αὐτῶν κατάστασιν ὁποία τίς ἐστιν ἐποπτεύειν· καὶ εἰ μὲν ἔῤῥωται αὐτοῖς τὰ σώματα, δυνατοὶ δὲ ἀρκεῖν πρὸς πόνον εἰσὶν, εἰ μὲν οἰκέται τινῶν εἶεν, μανθάνειν τίνων εἰσὶν, καὶ τούτους καὶ ἄκοντας τοῖς κεκτημένοις ἐκπέμπειν· εἰ δὲ ἐλεύθεροι τὴν τύχην καὶ ἔκ τινων ἐπαρχιῶν ἢ πόλεων ὁρμώμενοι, τούτους ἐκπέμπειν εἰς τὰς ἐξ ὧν εἰσιν ἐπαρχίας.

Εἰ δὲ αὐτόχθονες εἶεν, καὶ σώμασι μὲν ἐῤῥωμένοις χρῶνται, βίου δὲ αὐτοῖς εὐπρεπὴς οὐκ ἔστι πρόφασις, τούτους μὴ μάταιον εἶναι τῆς γῆς ἄχθος συγχωρεῖν, ἀλλὰ παραδιδόναι θᾶττον αὐτοὺς τοῖς τε τῶν ἔργων τῶν δημοσίων [τεχνίταις] εἰς ὑπουργίαν, τοῖς τε προεστῶσιν ἀρτοποιητικῶν[2] ἐργαστηρίων καὶ τοῖς τοὺς κήπους ἐργαζομένοις, καὶ ἄλλοις διαφόροις τέχναις καὶ ἐργασίαις, ἐν αἷς ἰσχύουσιν ἅμα μὲν κάμνειν ἅμα δὲ ἀποτρέφεσθαι καὶ τὸν ἀργὸν οὕτως ἐπὶ τὰ κρείττω μεταβάλλειν βίον. εἰ δέ τινες μὴ βουλήθωσι προσεδρεύειν ταῖς ἐργασίαις αἷς παρεδόθησαν, τούτους ἀπελαύνειν ταύτης τῆς βασιλίδος πόλεως. φειδόμενοι γὰρ αὐτῶν ταῦτα νομοθετοῦμεν[3], ὅπως ἂν αὐτοὺς μὴ τῆς ἀργίας εἰς ἀτόπους πράξεις ὠθούσης οἱ νόμοι τούτους ἁρπάζοιεν πρὸς ποινὰς τοῖς ἡμετέροις παραδιδόντες ἄρχουσι. τοὺς δέ γε βεβλαμμένους ἢ βεβλαμμένας τὸ σῶμα ἢ τῇ πολιᾷ βαρεῖς, τούτους ἀνενοχλήτους εἶναι κελεύομεν ἐπὶ ταύτης τῆς ἀγαθῆς καὶ βασιλίδος πόλεως παρὰ τῶν εὐσεβεῖν βουλομένων ἀποτρεφομένους. καὶ τῶν ἄλλων ἕκαστον ὁρᾶν[4], τίνος παρεγένοντο χάριν, καὶ πυνθανόμενον τὰ εἰκότα ἐπ᾽ αὐτοῖς πράττειν, ὥστε μὴ ἀργοὺς ἐνταῦθα καθῆσθαι, ἀλλὰ τὰ προσήκοντα πράξαντας εἰς τὰς οἰκείας ἐπανελθεῖν χώρας.

Εἰ δέ τινες ἢ τῶν ἐπὶ ταύτης οἰκούντων τῆς πόλεως ἢ καὶ τῶν ἔξωθεν παραγινομένων μέμφοιντό τισιν, ὡς παρ᾽ αὐτῶν ζημιωθέντες, κατὰ πρόφασιν τυχὸν τῶν λεγομένων

---

[1] Leuncl. πάσης. [2] Leuncl. ἀρτοκοποιῶν. [3] Idem νουθετοῦμεν.
[4] Leuncl. ἐρωτᾶν, et in marg. conj. ἀνερῶντα.

συνηθειῶν[d] ἢ καὶ τῶν ἐντεῦθεν ἀδικιῶν, καὶ φάσκοιεν αὐτοὺς ἢ παραβῆναι τοὺς ὑπὲρ τούτων ἡμῶν νόμους ἢ καὶ χωρὶς ἀρχικῆς προστάξεως ὑπόμνησιν αὐτοῖς προσαγαγεῖν, ζητεῖν ἀκριβῶς τοὺς ταῦτα πλημμελήσαντας, ὁποίας ἂν εἶεν ἀξίας τε καὶ στρατείας καὶ ὑφ᾽ οἱανοῦν τελοῖεν ἀρχήν, καὶ τούτους ἅμα μὲν συλλαμβάνειν, ἅμα δὲ μετ᾽ ἐλέγχους τὰς ἠπειλημένας κατὰ τοὺς ἡμετέρους νόμους εἰσπράττειν ποινάς, οὐδενὸς τῶν προσφόρων ἀρχόντων ἀντιποιεῖσθαι δυναμένου· καὶ τοῦτο μὲν ἀζημίους φυλάττειν τοὺς ἠδικημένους ἀπολαμβάνοντας ἅπερ παρὰ τὸν νόμον ἀπήτηνται, τοῦτο δὲ τὰς ποινὰς τὰς παρὰ τῶν ἡμετέρων ὡρισμένας διατάξεων προσαπαιτεῖν, καὶ εἰς ἡμᾶς τὰ περὶ αὐτῶν ἀναφέρειν, ἔνθα ἂν συνίδοιμεν δοθησομένας.

Πρὸς τούτοις δὲ καὶ ὅσα μέμψιν λαμβάνει παραποιήσεως ἤτοι τῆς καλουμένης πλαστογραφίας ἐν οἱῳδήποτε πράγματι, ταῦτα ἀναζητεῖν, καὶ τοὺς ἐπὶ τούτοις προσαγγελλομένους συνέχειν, καὶ μετὰ γραφὴν καὶ ἐλέγχους τιμωρεῖσθαι τούτους.

Δίδομεν δὲ τῷ τὴν ἀρχὴν ἔχοντι παῤῥησίαν καὶ ἄρχουσιν ἐνοχλεῖν, καὶ εἰς ἡμᾶς ἀναφέρειν, καὶ οἴκοθεν πράττειν τὰ προσήκοντα, ἵνα μήτε ἀσθένειαν μήτε ἄλλο τὶ παντελῶς αἰτιώμενος τῆς ἡμετέρας ἐπ᾽ αὐτῷ κρίσεως ἐλάττων φανείη.

Λαμβάνειν δὲ αὐτὸν λόγῳ δαπάνης χρυσίου λίτρας δέκα· ὁ δὲ τούτου πάρεδρος νομίσματα ρ΄[1].

38. [Ἀνάγν. καὶ βι. νδ΄ τί. κη΄ κεφ. α΄, ἐν ᾧ φησιν περὶ σκρίβα.]

39. Περὶ τοῦ πραίτωρος πισιδίας ἀνάγν. βι. ς΄ τί. ζ΄.

40. Περὶ τοῦ πραίτωρος λυκαονίας ἀνάγν. βι. ς΄ τί. η΄.

41. Περὶ τοῦ κόμητος ἰσαυρίας ἀνάγν. βι. ς΄ τί. ι΄[2].

42. Περὶ τοῦ πραίτωρος ἤτοι στρατηγοῦ τῆς παφλαγονίας ἀνάγν. βι. ς΄ τί. ιβ΄.

43. Περὶ τῆς διατυπώσεως τῶν τεσσάρων ἀρχόντων ἀρμενίας ἀνάγν. βι. ς΄ τί. ιδ΄.

44. Περὶ τοῦ ἀνθυπάτου καππαδοκίας ἀνάγν. βι. ς΄ τί. ις΄.

45. Περὶ ἐκδίκων ἀνάγν. βι. ς΄ τί. ιη΄.

46. Περὶ τοῦ δουκὸς ἤτοι βιοκωλύτου λυκαονίας καὶ λυδίας ἀνάγν. βι. ς΄ τί. κ΄.

47. Περὶ τοῦ πραιποσίτου καὶ κουβικουλαρίου καὶ νοταρίου[3] ἀνάγν.

---

[d] Σπορτούλων.

---

[1] Hic Lips. intercalat titulum LXVII περὶ ἀσελγῶν. [2] Lips. θ΄.
[3] Leuncl. verba καὶ νοταρίου non habet.

βι ϛʹ τί. κεʹ, οὗτινος ἐν τῷ αʹ[1] κεφ. φησίν· Οἱ πραιπόσιτοι τὴν αὐτὴν ἔχουσιν ἐξουσίαν τοῖς γενομένοις ἐπάρχοις πραιτωρίων ἢ πόλεως ἢ στρατηλάταις καὶ ἐν ταῖς προσκυνήσεσι ταῖς βασιλικαῖς γινομέναις καὶ ἐν ταῖς ἰδιωτικαῖς ἑορταῖς καὶ ἐν πάσαις ταῖς ἄλλαις τάξεσιν, ἵνα κατὰ βαθμὸν, ὃν ὁ χρόνος δίδωσι, προτιμῶνται.

48. Περὶ τοῦ πραίτωρος θράκης ἀνάγν. βι. ϛʹ τί. θʹ.

49. Περὶ τοῦ μοδεράτορος τουτέστιν ἁρμοστοῦ ἑλενοπόντου[2] ἀνάγν. βι. ϛʹ τί. ιαʹ.

50. Περὶ τοῦ πραίτωρος σικελίας ἀνάγν. βι. ϛʹ τί. ιγʹ.

51. Περὶ τοῦ μοδεράτορος ἀραβίας ἀνάγν. βι. ϛʹ τί. ιεʹ.

52. Περὶ τοῦ ἀνθυπάτου παλαιστίνης ἀνάγν. βι. ϛʹ τί. ιζʹ.

53. Περὶ τοποτηρητῶν καὶ βιοκωλυτῶν ἀνάγν. βι. ϛʹ τί. ιθʹ.

54. Περὶ τοῦ κουράτορος[3] τοῦ βασιλέως, νῦν δὲ λογοθέτου, ἀνάγν. βι. ϛʹ τί. κζʹ.

55. Περὶ κομήτων καὶ τριβούνων καὶ ἰατρῶν τοῦ παλατίου ἀνάγν. βι. ϛʹ τί. κϛʹ[4].

56. Περὶ ἀρχιατρῶν καὶ παιδευτῶν καὶ σελεντιαρίων ἀνάγν. βι. ϛʹ τί. κζʹ.

57. Περὶ δομεστίκων καὶ προτεκτώρων[5] ἀνάγν. βι. ϛʹ τί. κηʹ.

58. Περὶ τῶν ἐν τοῖς σκρινίοις τῶν ὑπομνημάτων[6] στρατευομένων ἀνάγν. βι. ϛʹ τί. κθʹ.

59. Περὶ δεκανῶν, καὶ ὅτι προτιμῶνται οἱ ἐν τῷ παλατίῳ στρατευόμενοι τῶν ἐν ἐπαρχίαις ἀρξάντων ἀνάγν. βι. ϛʹ τί. λδʹ.

60. Περὶ ἀξιωμάτων ἱππέων καὶ περὶ ἀποεπάρχων ἀναγν. βι. ϛʹ τί. λεʹ.

61. Περὶ ταβουλλαρίων καὶ χαρτουλαρίων, βοηθῶν ἤτοι σκρινιαρίων καὶ ἐξκεπτόρων τῶν τε πολιτικῶν καὶ στρατιωτικῶν ἀρχόντων ἀνάγν. βι. ϛʹ τί. λϛʹ[7].

LXVII.

Περὶ ἀσελγῶν ἤτοι ἀρσενοκοιτῶν.

1. Ἀνάγν. βι. [ξʹ] τί. λθʹ κεφ. βʹ ἐν ᾧ φησιν· Ἀκινδύνως τὶς φονεύει τὸν βιαζόμενον αὐτὸν ἢ τοὺς αὐτοῦ πρὸς ἀσέλγειαν[8].

---

[1] Leuncl. ιαʹ. Caeterum Lips. hoc caput capiti 54 subdidit. [2] Lips. ἑλενουπόλεως. [3] Leuncl. in marg. προκουράτωρος. [4] Leuncl. καʹ. [5] Lips. προκτιτόρων. [6] Lips. ὑποδημάτων. [7] Apud Leunclavium ordo capitum paulo diversus est. Sic enim sese invicem excipiunt: 40. 48. 41. 49. 42. 50. 43. 51. 44. 52. 45. 53. 46. 54. 47. 55 rel. Praeterea apud Leuncl. inter c. 58 et 59 haec capita intercalantur: Περὶ πρίγκιπος καὶ μαγιστριανοῦ καὶ ἑτέρων τινῶν στρατευομένων τί. λʹ. — Περὶ φροντιστῶν τοῦ δρόμου τί. λαʹ. — Περὶ παλατινῶν τί. λβʹ. — Περὶ στρατώρων καὶ ἑτέρων τινῶν στρατευομένων τί. λγʹ. [8] Lips. ἢ τοὺς αὐτὸν πρὸς ἀσέλγ. βιαζομένους.

2. Ἀνάγν. καὶ βι. δ' τῶν ἰνστιτοίτων τί. ιζ' διάταξιν ζ' [1]· φησὶ γάρ, ὅτι ὁ ἰούλιος δὲ ἀδουλτέριις τοὺς μὲν μοιχοὺς καὶ ἀρσενοκοίτας ξίφει τιμωρεῖται, τοὺς δὲ χωρὶς βίας παρθένον ἢ χήραν αἰσχρουργήσαντας, εὐϋπολήπτους μὲν ὄντας εἰς τὸ ἥμισυ τῆς οὐσίας δημεύει, τοὺς εὐτελεῖς δὲ σωματικῶς σωφρονίζει καὶ ἐξορίζει.

LXVIII.

[Περὶ ἀτελείας.]

1. [Ἀνάγν. βι. νδ' τί. ς'] οὗτινος ἐν τῷ α' [2] κεφ. φησίν· Ὅτι ἡ προσώποις διδομένη ἀτέλεια οὐ διαβαίνει εἰς κληρονόμους. εἰ δὲ γένει ἢ ἀπογόνοις δοθῇ, οὐχ ἁρμόζει τοῖς ἀπὸ θηλυγονίας.

2. Ἐν δὲ τῷ ις' κεφ. Τὰ θεμιτὰ συστήματα, ἅτινα ἐξαρχῆς ἐπενοήθη διὰ τὸ διδόναι τὴν οἰκείαν χρησιμότητα τῷ δημοσίῳ, ἔχουσιν ἀτέλειαν. οὐ πάντες δὲ οἱ ἐν αὐτοῖς, ἀλλὰ μόνοι οἱ τεχνῖται ἔχουσι τὴν ἀτέλειαν.

3. Ἐν δὲ τῷ ιθ' κεφ. Ἡ διάταξις καταλέγει τινὰς ἀπηλλαγμένους προνομίων [3], τυχὸν συγκλητικοὺς καὶ τοὺς κόμητας τοὺς κονσιστοριανοὺς καὶ τοὺς νοταρίους καὶ τοὺς κουβικουλαρίους καὶ τοὺς ἀπὸ κουβικουλαρίων. καὶ τοῖς μὲν ἄλλοις τοῖς ἔχουσιν ἀπὸ παλαιῶν διατάξεων προνόμια βεβαιοῖ αὐτὰ ἡ διάταξις, ἐὰν παντὶ τῷ βαθμῷ καὶ οὐχ ἑνὶ προσώπῳ τὸ προνόμιον ἐδόθη. καὶ οἱ γραμματικοὶ δὲ καὶ οἱ ῥήτορες ἑκατέρας παιδείας, τουτέστι τῆς τε ἑλληνικῆς καὶ ῥωμαϊκῆς, τῶν ῥυπαρῶν λειτουργημάτων ἀτέλειαν ἐχέτωσαν· ἵνα μὴ ἀναγκάζωνται συνωθεῖσθαι γυρινοὶ ἀρτοκόποι γίνεσθαι, ἢ προετοιμάζειν τοῖς ἀρτοκόποις.

4. Ἀνάγν. καὶ τί. κδ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐάν τις ἀτέλειαν ἐπὶ σίτῳ [4] ἢ ἐλαίῳ ἐπορίσατο, ἀνίσχυρον ἔσται τὸ πραχθέν.

5. Τὸν [5] ἐπιτεθέντα κανόνα τοῖς κτήμασι τοῖς ῥωμαϊκοῖς οὐ βουλόμεθα ἐναλλάττεσθαι. εἰ δέ τις πειραθείη τοιούτου τυχεῖν, διπλάσιον ἀπαιτείσθω· τῶν βικαρίων καὶ τῶν ἀρχόντων [τῶν] προσδεχομένων τὰ τοιαῦτα καὶ συγκεχρημένων τῷ

---

[1] Inst. IV, 18, 4. [2] Leuncl. ια'. [3] Leuncl. in marg. conj. διὰ προν. [4] Lips. in marg. ἐπὶ σίστῳ. Leuncl. δίτῳ, quod in marg. in σίτῳ mutandum esse notat. [5] Inscribendum: Ἐν δὲ τῷ β' κεφ.

κανόνι περιοριζομένων· οἱ δὲ πρῶτοι τῆς τάξεως ἀποτμηθήσονται.

6. Ἀνάγν. καὶ βι. νς' τί. ιζ' κεφ. λθ' καὶ βι. νη' τί. ιβ' κεφ. α', ἐν ᾧ φησιν· Οἱ τυχόντες ἀτελείας δημοσίων ἔργων ἀντὶ μὴ ἐχόντων ἔστωσαν.

LXIX.

Περὶ ἀτιμουμένων, καὶ ἐξ ὧν αἰτιῶν ἀτιμοῦταί τις, καὶ δι' ὧν ἀτιμία προσγίνεται.

1. Ἀνάγν. βι. κα' τί. β', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὅτι πάντες οἱ διὰ πόρον εἰς ἀγῶνα κατιόντες ἄτιμοί εἰσιν, καὶ οἱ διὰ φιλοτιμίαν ἐπὶ σκηνῆς προϊόντες. ἐστὶ δὲ σκηνὴ, ἔνθα τὶς ἵσταται ἢ κινεῖται παιδικὴν ἐπιδεικνύμενος τέχνην.

2[1]. Οὐκ ἐστὶ δὲ παιγνικὴ τέχνη οὐδὲ ἀτιμοποιὸς ἡ τῶν ἀθλητῶν καὶ τῶν λεγόντων ἐν τοῖς ὀλυμπίοις τὰ ἐνθύρια καὶ τῶν ἐν ξυστῷ ἀγωνιζομένων καὶ τῶν ἡνιόχων καὶ τῶν ἄλλως ὑπουργούντων ἐν τοῖς ἱεροῖς ἀγῶσιν.

Ἀτιμοῦνται δὲ καὶ οἱ προαγωγοὶ, καὶ συκοφάνται.

Καὶ ἡ πρὸ τοῦ πενθίμου γαμηθεῖσα, καὶ ὁ ἐν εἰδήσει ἀ[γα]γόμενος αὐτήν.

Καὶ ἡ μνηστευομένη ἑτέρῳ καὶ ἄλλῳ γαμηθεῖσα.

Καὶ ὁ καταδικασθεὶς τῷ στελλιονάτους.

Καὶ ἡ πλασαμένη ἐγκυμονεῖν.

3. Ἀνάγν. καὶ τί. γ', οὗτινος ἐν τῷ γ' κεφ. φησίν· Ἡ κατὰ αὔξησιν ἐπιφερομένη καταδίκη ὑπὲρ τὴν ὡρισμένην ἐκ τοῦ νόμου τιμωρίαν κουφισμὸν τῆς ἀτιμίας χαρίζεται.

4. Ἐν δὲ τῷ ις' κεφ. Ἐπὶ τῇ περὶ ὕβρεως ἀγωγῇ[a] οὐ μόνον ὁ καταδικαζόμενος ἀτιμοῦται, ἀλλὰ καὶ ὁ διαλυόμενος ἀτιμοῦται, ὅταν ἐπὶ χρήμασι διαλύσηται· δοκεῖ γὰρ ἐκ τοῦ συνειδέναι ἑαυτῷ ὡς ἁμαρτήσαντι παρασχεῖν τὰ χρήματα. ἐπεὶ ἐὰν ἁπλῶς καὶ ἀπολελυμένως χωρὶς χρημάτων συμφωνήσῃ, ὁ ὑβρισθεὶς[2] οὐ κινεῖ τὴν περὶ ὕβρεως ἀγωγὴν, καὶ οὐ γίνεται ἐκ τούτου ὁ ἐναγόμενος ἄτιμος.

5. Ἐν δὲ τῷ ιη' κεφ. Οἱ ἀναισχύντως τοκίζοντες καὶ τόκους τόκων ἀπαιτοῦντες ἀτιμοῦνται.

---

a Ἰνιουριαρούμ.

---

1 Inscribendum: Ἐν δὲ τῷ δ' κεφ. Deinde capp. 11. 13. 15 alleganda fuerant. 2 Lips. ὑβριστής.

6. Ἐν δὲ τῷ κ' κεφ. Ὁ τὴν πίστιν ῥηγνὺς τῆς κοινωνίας μετὰ τοῦ τῆς ἀτιμίας κινδύνου οἰκείῳ ὀνόματι τῇ περὶ τῆς κοινωνίας ἀγωγῇ εναχθεὶς καὶ ἀτιμοῦται καὶ εἰς τὸ ποιῆσαι τὸ ἱκανὸν τῷ κοινωνῷ συνελαύνεται.

LXX.

Περὶ ἀφηλίκων.

1. Ἀνάγν. βι. ζ' τί. ιθ', οὗτινος ἐν τῷ γ'[1] κεφ. φησίν· Ὅτι ὁ νέος κατὰ συναίνεσιν τοῦ κουράτορος καλῶς ἐνάγεται.

2. Ἀνάγν. καὶ βι. ι' τί. δ', ἐν ᾧ διαλαμβάνεται περὶ τῆς τῶν ἀφηλίκων ἀποκαταστάσεως, οὗτινος ἐν τῷ γ' κεφ. φησίν· Ὅτι μόνος ὁ βασιλεὺς σπανίως, οὐ μὴν ὕπατοι ἢ ἄρχοντες, ἐπιτρέπει τοῖς ἀφήλιξι τὰ ἴδια διοικεῖν[a].

3. Ἐν δὲ τῷ δ' κεφ. θέμ. η'· Ἀφήλιξ δοῦλος οὐκ ἀποκαθίσταται, οὔτε δὲ ὁ δεσπότης αὐτοῦ τέλειος ὤν, ἐφ' οἷς ὁ δοῦλος ἔπραξεν ἔχων ἐλευθέραν[3] πεκουλίου διοίκησιν, ἢ ὁ δεσπότης δι' αὐτοῦ συνήλλαξε, κἂν ἦν [ὁ] δοῦλος ἄνηβος.

4. Ὁ[4] γὰρ τοιοῦτος γνώμῃ τοῦ δεσπότου δοκεῖ συναλλάττειν, ὡς καὶ ἐπὶ τῆς ἐργαστηρίου προστασίας, καὶ ἔνθα τέλειος ἐπιτρέψει ἀφήλικί τι πρᾶξαι.

5. Ἐν δὲ τῷ ς' κεφ. Οὐ μόνον ἐπὶ τῷ [μὴ] ζημιωθῆναι ὁ ἀφήλιξ ἀποκαθίσταται, ἀλλὰ καὶ ἐπὶ τῷ μὴ δίκαις καὶ δαπάναις σκύλλεσθαι.

6. Ἐν δὲ τῷ θ' κεφ. Ἐν τοῖς ἁμαρτήμασιν οὐ βοηθοῦνται οἱ ἀφήλικες, οἷον δόλον ποιοῦντες ἐν τῷ πραθέντι[5] ἢ χρησθέντι ἢ ἑτέρῳ συναλλάγματι, κἂν μηδὲν εἰς αὐτοὺς ἐντεῦθεν περιέλθῃ· οὔτε εἰ κλοπὴν ἢ ζημίαν ποιήσουσιν. εἰ δὲ ἐπὶ τοῦ βλαβέντος ἀρνησάμενος ὑπέπεσε τῷ διπλῷ, ἢ[6] ἐπὶ τῆς κλοπῆς δυνάμενος διαλύσασθαι καὶ μὴ ὑποπεσεῖν τῷ διπλῷ ἢ τῷ τετραπλῷ, οὐ διελύσατο, ἀποκαθίσταται εἰς τὸ δοῦναι τὸ ἁπλοῦν, ὅπερ ἠδύνατο παρασχεῖν καὶ διαλυόμενος.

7. Ἐν δὲ τῷ ια' κεφ. [θέμ. δ']· Τῆς αἰτίας διαγινωσκομένης ἡ ἀποκατάστασις δίδοται τοῖς ἐλάττοσι. τοῖς γὰρ καλῶς

---

[a] Ἀνάγνωθι[2] καὶ νεαρὰν ριθ' κεφ. β', ἐν ᾗ φησι τοῦ ἔχειν αὐτὸν ἄδειαν ἐν τῷ διατίθεσθαι τοὺς ἰδίους οἰκέτας ἐλευθεροῦν.

---

[1] Leuncl. ιγ'. [2] Haec Lips. in textu habet in fine cap. 2. [3] Lips. ἡλικίαν. [4] Haec sunt ex cap. seq. [5] Leuncl. πραχθέντι et conj. παρατεθέντι. [6] Lips. addit τῷ τετραπλῷ.

διοικοῦσιν οὐ δίδοται, κἂν ἐναντίον ἀποτέλεσμα γέγονε. τυχὸν γὰρ δοῦλον ἀναγκαῖον ἠγόρασε καὶ ἐτελεύτησεν·

Ἢ κληρονομίαν εὔπορον ἐκληρονόμησε καὶ τυχηρῶς ἐμειώθη[b].

8. Ἐν δὲ τῷ ε′ θέμ. *Ἐὰν ἀφῆλιξ ἀφήλικι παράσχῃ, καὶ ὁ λαβὼν ἀπολέσῃ, κρείττων ἐστὶν ὁ λαβών.*

Εἰ δὲ δανείσῃ ἀφῆλιξ ὑπεξουσίῳ μείζονι παρὰ τὸ δόγμα, ἀποκαθίσταται.

9. Ἐν δὲ τῷ ιβ′ κεφ. *Ἐὰν ἐγγυήσηται γυνὴ παρὰ ἀφήλικι, εἰ μὲν εὔπορός ἐστιν ὁ χρεώστης, οὐκ ἐνάγεται ἡ γυνή· εἰ δὲ ἄπορός ἐστιν, ἐνάγεται*[c].

10. *Καὶ*[1] *ὅτι ἐὰν εἰδὼς σε νέον εἶναι οὐκ ἐπίστευόν σοι, καὶ ἐλθὼν πέτρος ἐγγυήσηταί σε, οὐ βοηθεῖται*[d]*· οὔτε μὴν ἔχει κατὰ σοῦ τὴν περὶ τῆς ἐντολῆς ἀγωγήν.*

11. Ἐν δὲ τῷ κδ′ κεφ. *Οὐ πάντα τὰ παρὰ τῶν νέων γενόμενα ἀνατρέπεται, ἀλλ᾿ ὅτε δόλος ἐστὶ προφανὴς ἢ ῥᾳθυμία αὐτῶν μεγάλη.*

Καὶ ὅτι ἐὰν υἱὸς ὑπεξούσιος ἢ δοῦλος περιγράψῃ νέον, ὁ πατὴρ ἢ ὁ δεσπότης δίδωσι τὸ περιελθὸν καὶ τὸ ἐλλεῖπον ἀπὸ τοῦ πεκουλίου. εἰ δὲ μηδ᾿ οὕτω πληροῦται, ὁ μὲν δοῦλος δόλον ποιήσας ἢ μαστίζεται ἢ εἰς τὸ δι᾿ ἑαυτοῦ ἀποπληρῶσαι δίδοται· ὁ δὲ υἱὸς καταδικάζεται εἰς τὸ δοῦναι αὐτὸ μετὰ αὐτεξουσιότητα.

---

b *Οἷον ἐπὶ τῶν τῆς κληρονομίας τυχηρῶν, οἰκετῶν φυγόντων τυχὸν ἢ τελευτησάντων ἢ οἴκου πεπτωκότος ἢ καυθέντος, ἀποκατάστασις οὐ δίδοται, εἰ μόνον κατὰ τύχην καὶ οὐκ ἄλλως τοιοῦτόν τι διαγνωσθῇ συμβάν. εἰ δ᾿ ἴσως ἦν χρέος τῇ κληρονομίᾳ ἐπικείμενον, εὔφθαρτα δὲ αὐτῆς πράγματα εὑρισκόμενα οὐκ ἐπράθησαν πρὸς ἀπόφλησιν αὐτοῦ, ἀλλ᾿ ἐφθάρησαν, εὐλόγως ἀποκατάστασις δίδοται.*

c *Ἰστέον ὅτι ἐὰν ἰντερκεδεύσῃ γυνὴ, τουτέστιν ἐὰν ὑπὲρ μὴ διαφέροντος αὐτῇ προσώπου παραβάλλῃ ἑαυτὴν καὶ ἢ ἐγγυήσηται ἢ ἐντέλληται ἢ πρωτοτύπως καταστήσῃ ἔνοχον ἑαυτὴν, ἐναγομένη δύναται ἀντιθεῖναι τὴν τοῦ βελιανίου δόγματος παραγραφήν. καὶ οὔτε ζημιοῖ τὸν δανειστήν· δύναται γὰρ οὗτος τυχὸν τὸν ῥεσιτουτρόπον*[2] *κινεῖν ἤτοι τὴν παλαιὰν ἀγωγὴν κατὰ τοῦ πάλαι δεβίτορος ὑπὲρ οὗ παρενέβαλεν ἑαυτὴν ἡ γυνή· ἀπόρου δὲ ὄντος τούτου, εἰ ἀφῆλιξ ἐστὶ, καὶ παρὸ ἰντερκέδευσεν ἡ γυνὴ ἐνάγεται αὕτη μὴ βοηθουμένη ἐκ τῆς εἰρημένης παραγραφῆς.*

d *Οὐ βοηθεῖται, κατὰ τὸν κανόνα τὸν λέγοντα· ὧν οἱ πρωτότυποι φύσει μόνῃ ἐνέχονται, τούτων οἱ ἐγγυηταὶ καὶ φύσει καὶ νόμῳ.*

---

1 Inscribendum erat: Ἐν δὲ τῷ ιγ′ κεφ. 2 Lege ῥεστιτουτόριον.

12. Ἐν δὲ τῷ κζ′ κεφ. Ὁ νέος δανεισάμενος καὶ ἀπολέσας οὐκ ἐνέχεται.

13. Ἐν δὲ τῷ κθ′ [1] κεφ. Εἰ καὶ τοῦ πατρὸς ἐπιτροπεύοντος καὶ αὐθεντοῦντος ἐπὶ τοῖς μητρῴοις πράγμασι περιγραφῇ ὁ ἄνηβος, ἀποκαθίσταται μετὰ ταῦτα λαμβάνων κουράτορα.

14. Ἐν δὲ τῷ λδ′ κεφ. Ἐὰν νέος ὑπεξουσίῳ δανείσῃ, κρείττων ἐστὶν ὁ δαπανήσας· εἰ μὴ ἄρα κατὰ τὸν καιρὸν τῆς προκατάρξεως ὁ λαβὼν εὑρεθῇ γεγονὼς εὐπορώτερος.

15. Ἐν δὲ τῷ λη′ κεφ. Τότε αὐτεξούσιος νέος ἐπὶ τοῖς ἐν ὑπεξουσιότητι πραχθεῖσιν οὐκ ἀποκαθίσταται, ὅτε τὸ ἐντεῦθεν τῷ πατρὶ προσπορίζεται.

16. Ἐν δὲ τῷ μ′ κεφ. Δεδωκὼς ὁ νέος ἀγρὸν ἀντὶ χρέους πατρῴου καλῶς ἀποκαθίσταται. δίδωσι δὲ τοὺς τόκους τῶν καρπῶν συλλογιζομένων.

17. Ἐν δὲ τῷ μδ′ [2] κεφ. Οὐκ ἐν πᾶσιν οἱ νέοι ἀποκαθίστανται, ἀλλ᾽ ἐν οἷς ὑφ᾽ ἑαυτῶν ἢ ἑτέρων περιεγράφησαν, ἀπολέσαντες ἢ μὴ κτησάμενοι ἢ ἐνοχοποιηθέντες [e].

18. Ἐν δὲ τῷ μη′ κεφ. Ἐὰν ὁ ἀγοράσας παρὰ νέου δοῦλον ἐλευθερώσῃ αὐτὸν, ἀργεῖ μὲν ἡ ἀποκατάστασις, ἔχει δὲ κατὰ τοῦ ἀγοραστοῦ ὁ νέος ἀγωγὴν εἰς τὸ διαφέρον.

19. Ἐν δὲ τῷ νη′ κεφ. Παλαιός ἐστιν ὁ τῆς διατάξεως ταύτης κανὼν, λέγων μὴ δοκεῖν τὸν ἐλάττονα περιγράφεσθαι ἐν ἐκείνοις, ἐν οἷς τῷ κοινῷ νομίμῳ κέχρηται.

20. Ἐν δὲ τῷ ξβ′ κεφ. Ἐδωρήθη τινὶ πρᾶγμα τοῦ ἀφήλικος δίχα ἀποφάσεως τοῦ ἄρχοντος, καὶ ὁ λαβὼν αὐτὸ κατὰ δωρεὰν πέπρακεν [αὐτὸ] ἑτέρῳ τινί. λέγει οὖν ἡ διάταξις, ὅτι, ἐπειδὴ εὔλογον τίτλον νομῆς ἔσχεν ὁ ἀγοραστὴς, ἐὰν μετὰ τὸ γενέσθαι μείζονα τὸν νέον ἢ παρόντος αὐτοῦ δεκαετίαν

---

e Οὐ πάντα ὅσα πράττουσιν οἱ ἀφήλικες ἀνατρέπεται καὶ εἰς ἄκυρον περιΐσταται, ἀλλ᾽ ὅσα ἢ κατὰ φύσιν τοιαῦτα εὑρίσκεται (θὲς γὰρ ὅτι κατὰ δωρεᾶς χάριν συνεστήσαντο πρός τινα κοινωνίαν), ἢ κατὰ φύσιν μὲν τοιαῦτα οὐκ ἦν, παρ᾽ ἑτέρων δὲ περιγραφέντες διὰ τὸ τῆς ἡλικίας ὀλισθηρὸν ἢ ὅπερ εἶχον ἀπώλεσαν (τραδιτεύσαντες τυχὸν ἑτέρῳ τὸ οἰκεῖον ἢ ἀκκεπτιλατίονα τούτῳ ποιήσαντες) ἢ δυνάμενοι κτήσασθαι οὐκ ἐκτήσαντο (παρῃτήσαντο γὰρ τυχὸν κληρονομίαν ἢ λεγάτον), ἢ βάρει τινι ὅπερ οὐκ ἦν αὐτοῖς ἐπάναγκες ὑπελθεῖν ἐνόχους κατέστησαν ἑαυτούς. ἐφ᾽ ὧν μὲν γὰρ οὐκ ἔῤῥωται τὸ γεγονὸς, αὐτόθεν ἔχουσι τὴν βοήθειαν ἀποκαταστάσεως οὐ δεόμενοι· ἐφ᾽ ὧν δὲ τὸ περιγραφὲν διὰ τὸ νέον τῆς ἡλικίας γεγονὸς ἔῤῥωται, βοηθεῖται διὰ τῆς ἀποκαταστάσεως.

---

[1] Lips. κϛ′. [2] Lips. μα′.

ἐνεμήθη ὁ ἀγοραστὴς, ἢ ἀπόντος αὐτοῦ εἰκοσαετίαν, ἀντιτιθεμένης τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς τὸν ἐνάγοντα χρὴ ἀποκλείεσθαι.

21. Ἐν δὲ τῷ ξδ' κεφ. Ἐὰν ἡ πρᾶσις χωρὶς ἀποφάσεως γέγονε, καὶ μηδὲ μείζων γενόμενος ἐβεβαίωσε τὴν πρᾶσιν ὁ ἀφήλιξ, μηδὲ διὰ χρονίας χρήσεως κυρίως ἐκτήσατο τὸ πρᾶγμα ὁ ἀγοραστὴς καλῇ πίστει, ὁ ἀγοράσας ἀποδίδωσιν αὐτὸ μετὰ τῶν καρπῶν.

22. Ἐν δὲ τῷ ξε' κεφ. Εἴτε ἀνήβου εἴτε ἀφήλικος ἢ κουρατορευομένου ἢ αἰτήσαντος ἤδη συγγνώμην ἡλικίας[f] πρᾶγμα ἐξεποιήθη, κἀκεῖνος ἐπὶ πολὺν χρόνον ἐσιώπησε, βεβαιοῦται μὲν ἡ πρᾶσις δηλονότι, ὁρίζει δὲ χρόνον ἡ διάταξις, ὃν σιωπήσας ὁ ἀφήλιξ μετὰ τὴν τελείαν ἡλικίαν βεβαιοῖ τὴν πρᾶσιν ἤτοι τὴν ὑποθήκην. κελεύει γὰρ, ἵνα ἐὰν πέντε ἐνιαυτοὺς[g] συναπτοὺς μετὰ τοὺς εἰκοσιπέντε ἐνιαυτοὺς μὴ μέμψηται ἢ αὐτὸς ἢ ὁ κληρονόμος αὐτοῦ, ἰσχύει. ἐπειδὴ δὲ δωρεῖσθαι οὐδὲ μετὰ ἀποφάσεως τοῖς ἐλάττοσιν ἔξεστι, εἰ μὴ ἄρα προγαμιαίαν δωρεὰν, νομοθετεῖ· ἐὰν ὁ ἐλάττων συγγνώμην ἡλικίας αἰτήσας ἤδη δωρήσηταί τινι, μὴ ἐῤῥῶσθαι τὴν δωρεὰν, εἰ μὴ μετὰ τοὺς εἰκοσιπέντε ἐνιαυτοὺς δέκα ἢ εἴκοσι ἐνιαυτοὶ διαδράμωσιν. εἰ δὲ ἐν τῷ μεταξὺ ὁ ἀφήλιξ τελευτήσει, ζητοῦμεν ἵνα τὸ λεῖπον τοῦ χρόνου διάστημα δράμῃ τοῦ κληρονόμου αὐτοῦ σιωπῶντος.

23. Ἀνάγν. καὶ τί. ε'[2], ἐν ᾧ φησι περὶ ἀφηλίκων ὑπεξουσίων.

24. Ἀνάγν. καὶ τί. ϛ'[3], ἐν ᾧ φησι καὶ περὶ τῶν ἐγγυωμένων τοὺς ἀφήλικας, καὶ ὅτι ἐνέχονται αὐτοὶ τῶν ἀφηλίκων ἀποκαθισταμένων.

25. Ἀνάγν. καὶ τί. ζ', ἐν ᾧ φησι περὶ ἐπιτροπευομένων καὶ κουρατορευομένων ἀφηλίκων, ὅτι καὶ αὐτοὶ ἐν οἷς περιγραφῶσιν, εἰ καὶ παρόντων τῶν ἐπιτρόπων καὶ κουρατόρων αὐτῶν ἔπραξαν, ἀποκαθίστανται.

26. Ἀνάγν. καὶ τί. θ', ἐν ᾧ φησιν, ὅτι καταδικασθέντες ἀποκαθίστανται ἐπὶ τῷ αὖθις κινῆσαι τὴν δίκην.

---

f Ἀνάγνωθι καὶ τὸ περὶ ἐπιτρόπων· κἀκεῖσε γάρ φησι περὶ ἐκποιήσεως πραγμάτων ἀφηλίκων.

g Ἐν δὲ τῷ λδ' τίτλῳ τούτου τοῦ ι' βιβλίου δ' ἐνιαυτούς φησιν, ὅπερ εὑρήσεις ἐν τούτῳ τῷ τίτλῳ[1].

---

1 In Lips. hoc scholium sic audit: Τοῦτο ἀνῄρηται ἑτέρωθεν, καὶ ἐστὶ τετραετία μετὰ τὸν κε' ἐνιαυτόν. 2 Leuncl. ι'. 3 Leuncl. ιϛ'.

27. Ἀνάγν. καὶ τί. ι', ἐν ᾧ φησιν, ὅτι κατὰ τῆς ἰδίας πράσεως, εἰ καὶ ὅρκον ἐπαγάγωσιν, ἀποκαθίστανται.

28. Ἀνάγν. καὶ τί. ια', ἐν ᾧ φησι περὶ τῶν πραθέντων ἐνεχύρων αὐτῶν παρὰ τῶν δανειστῶν, ὅτι εἰ μεγάλως ἐζημιώθησαν, ἀποκαθίστανται.

29. [Ἀνάγν. καὶ τί. ιβ', ἐν ᾧ φησιν, ὅτι][1] ἐάν τινα πράγματα πρὸ τῶν γάμων μετὰ τῆς πρεπούσης συμμετρίας ὁ ἐλάττων τῶν κε' ἐνιαυτῶν ἐν τῷ καιρῷ τῆς μνηστείας παρόντος αὐτῷ τοῦ κουράτορος τῇ μνηστῇ ἐδωρήσατο, οὐκ ἀνακαλοῦνται[h].

30. Καὶ ὅτι τὸ δωρηθὲν παρὰ πατρὸς [τῷ] αὐτεξουσίῳ ἀφήλικι [οὐδὲ συναινοῦντος τοῦ ἀφήλικος] δύναται ὁ πατὴρ ἑτέρῳ δωρεῖσθαι.

31. Ἀνάγν. καὶ τί. ιγ', ἐν ᾧ φησιν, ὅτι κἂν περιγραφεὶς ὁ ἀφήλιξ ἐλευθερώσει δοῦλον ἐν συνεδρίῳ, οὐκ ἀποκαθίσταται· [ἀλλὰ τὸ ἀζήμιον αὐτῷ γίγνεται παρὰ τοῦ ἐλευθερωθέντος· εἰ δὲ χωρὶς συνεδρίου ἠλευθέρωσεν, ἀποκαθίσταται.]

32. Ἀνάγν. καὶ τί. ιδ', ἐν ᾧ φησιν, ὅτι καὶ διαλυόμενοι οἱ ἐλάττονες ἀποκαθίστανται.

33. Ἀνάγν. καὶ τί. ιε', ἐν ᾧ φησι περὶ χρεωστῶν καὶ περὶ τῶν λαβόντων ἐξ αὐτῶν λεγάτον μὴ χρεωστούμενον.

34. Ἀνάγν. καὶ τί. ις', ἐν ᾧ φησι περὶ ἀφήλικος[3] κατὰ περιγραφὴν καὶ ἀπάτην πᾶσαν τὴν οὐσίαν αὐτῆς ἐπιδεδωκυίας ἐν προικί.

35. Ἀνάγν. καὶ τί. ιζ', ἐν ᾧ φησιν, ὅτι καὶ ἐν τοῖς ἁμαρτήμασιν, εἰ μὴ ἐκ πονηρᾶς προαιρέσεως γένηται τὸ ἁμάρτημα, βοηθοῦνται[i].

36. Ἀνάγν. καὶ τί. ιη', ἐν ᾧ φησιν· Ἐάν τινες τὰ τῶν ἀνήβων ἢ τῶν ἀφηλίκων πράγματα κατέχοντες διὰ τῆς χρονίας νομῆς κτήσωνται τὴν ἐπ' αὐτοῖς δεσποτείαν, ἡ τῆς ἀποκαταστάσεως βοήθεια αὐτοῖς τοῖς νέοις ὀφείλει παρέχεσθαι.

37. Ἀνάγν. καὶ τί. ιθ'[4], ἐν ᾧ φησιν, ὅτι καὶ κατὰ τοῦ δημοσίου ἀποκαθίστανται οἱ ἀφήλικες.

38. Ἀνάγν. καὶ τί. κ', ἐν ᾧ φησιν· Καὶ δανειζόμενοι, ἐὰν κακῶς δαπανήσωσι τὰ δανεισθέντα, βοηθοῦνται.

---

h Τῷ προκαλύμματι τῆς ἀφηλικιότητος.

i Τῶν γὰρ κακῶν τοὺς τρόπους ἡ ἀσθένεια τοῦ λογισμοῦ οὐκ ἐξκουσσεύει[2], ἀλλ' ὅτε τὸ ἁμάρτημα μὴ ἀπὸ ψυχῆς πονηρᾶς, ἀλλ' ἀπὸ συναλλάγματος ἔρχεται, ἁμάρτημα οὐ λογίζεται.

---

1 Leuncl. ὅτι κατὰ τῆς ἰδίας — ἀποκαθίστανται. (cf. c. 27) καὶ ὅτι ἅπερ ὁ ἐλάττων κ. τ. λ. 2 Lege ἐξκουσατεύει. 3 Leuncl. γυναικός. 4 Lips. ιη'.

39. *Ἀνάγν. καὶ τί. κα' καὶ κβ', ἐν οἷς φησι περὶ τῆς καταλειφθείσης αὐτοῖς κληρονομίας·* ὅτι ἐὰν μὴ συμφερόντως ἐμμίξωσιν[k] αὐτῇ ἢ ὑπεισέλθωσιν ἢ τὸ ἐναντίον, ἀποκαθίστανται.

40. *Ἀνάγν. καὶ τί. κγ'·* Εἰ καὶ τὸν φόνον οὐκ ἐκδικήσουσιν οἱ ἀφήλικες τοῦ κληρονόμους αὐτοὺς ἐάσαντος, οὐκ ἐκπίπτουσι τῆς κληρονομίας. τοῦτο γὰρ ἐπὶ τῶν τελείων κρατεῖ.

Καὶ ὅτι τοῖς μὲν τελείοις πενταετίᾳ ἀναιρεῖται ἡ κατὰ τῆς διαθήκης μέμψις· τοῖς δὲ ἐλάττοσιν, εἰ μὴ πληρώσουσι τὸν κε' χρόνον, πενταετία οὐ τρέχει.

Καὶ ὅτι οἱ χρεῶσται τοῦ ἀφήλικος, εἰ μὴ αὐτομάτως[l] τὸ χρέος ἀποδώσουσιν, ὑπέρθεσιν ποιοῦσιν. ὡσαύτως καὶ ἐπὶ τῶν φειδικομίσσων καὶ ἐπὶ τῶν λεγάτων.

Καὶ ὅτι οὐδὲ ἡ παραγραφὴ τῆς ἀναργυρίας τοῖς ἐλάττοσιν τρέχει[1].

41. *Ἀνάγν. καὶ τί. κδ', ἐν ᾧ φησιν,* ὅτι οὐκ ἀποκαθίστανται οἱ ἀφήλικες, ἐὰν ἐπιμελεῖς οἰκοδεσπόται ἐγένοντο, καὶ μάλιστα ἐν δημοσίαις διοικήσεσιν, ἢ ἐὰν κατὰ πατρὸς ἢ πάτρωνος τὴν μέμψιν κινήσωσιν[2].

42. *Ἀνάγν. καὶ τί. κε', ἐν ᾧ φησι περὶ ἥττονος,* ἐὰν μείζονα ἑαυτὸν εἴπῃ, ἢ ἀποδείξῃ παρὰ ἄρχοντι, ἢ μεθ' ὅρκου ἐγγράφως βεβαιώσηται, ἢ καὶ σωματικῶς ὀμόσῃ, καὶ πότε μὲν ἀποκαθίσταται, καὶ πότε οὐκ ἀποκαθίσταται.

Καὶ ὅτι ἐὰν διὰ τῆς οἰκείας θέας ἠπάτησέ τινα, μείζονα ἑαυτὸν διαβεβαιωσάμενος εἶναι, οὐκ ἀποκαθίσταται.

43. *Ἐν δὲ δ' κεφ.* Ἐὰν [ἐν] συμβολαίῳ μετὰ ὅρκου μείζονα σεαυτὸν εἶναι ἐβεβαιώσω, οὐκ ὀφείλεις ἀγνοεῖν ἀποκεκλεισμένην σοι εἶναι τὴν τῆς ἀποκαταστάσεως βοήθειαν διὰ τὸν ὅρκον, εἰ μὴ φανερῶς καὶ προδήλως δι' ἐγγράφων συμβολαίων παρά σου προφερομένων, οὐ μὴν διὰ μαρτύρων καταθέσεως, σεαυτὸν ἐλάττονα εἶναι ἀποδείξεις. ταῦτα ὅπου ἐν-

---

[k] *Ἔμμιξις πρὸς τὴν ὑπεισέλευσιν διαφέρει, ὅτι ἡ μὲν ἔμμιξις ἐπὶ τῶν ἀναγκαίων κληρονόμων καταδεχομένων τὴν κληρονομίαν λέγεται, ἡ δὲ ὑπεισέλευσις ἐπὶ τῶν οὐκ ἀναγκαίων.*

[l] *Ἤγουν ὀχλήσεως καὶ ὑπομνήσεως δίχα, αὐτοκινήτῳ προαιρέσει. — Τὰ τοῖς ἀφήλιξιν ὀφειλόμενα χρέα, ἐφ' ὧν ὡμολόγηται τόκους ἢ καρποὺς ἐξ ὑπερθέσεως ἀπαιτεῖσθαι, εἰ μὴ αὐτομάτως καὶ δίχα πάσης ὑπομνήσεως ἢ ὀχλήσεως ἀποδιδῶνται, ὑπέρθεσιν ποιεῖσθαι τοὺς ὀφείλοντας τὰ χρέα παρασχεῖν ἐνταῦθα ὁ νόμος φησίν.*

---

[1] Lips. *ἀνατρέχει.* [2] Leuncl. *κινῶσιν.*

εγράφη τῷ συμβολαίῳ μόνον ὁ ὅρκος, οὐ μὴν σωματικῶς καὶ τῇ ἀληθείᾳ ὤμοσεν ὁ νεώτερος ἑαυτὸν εἶναι μείζονα. ἐὰν μέντοι, φησὶν, οὗτος ὁ ὅρκος σωματικῶς ἐδόθη παρά σου, τουτέστιν αὐτῇ τῇ ἀληθείᾳ ἐπωμόσω μείζονα σαυτὸν εἶναι, μηδεμίαν σοὶ περιλελεῖφθαι βοήθειαν, προφανεστάτου νομίμου ἐστίν.

44. Ἀνάγν. καὶ τί. κϛ', ἐν ᾧ φησιν, ὅτι κατὰ ἀποφάσεως δικαστοῦ ἀποκατάστασις τοῖς ἀφήλιξι δίδοται· ἐκ δευτέρου δὲ τὴν τῆς ἀποκαταστάσεως δίκην μὴ πράττεσθαι, εἰ μὴ καιναὶ προφέρονται δικαιολογίαι.

45. Ἀνάγν. καὶ τί. κζ', ἐν ᾧ φησι περὶ τῶν συγγνώμην ἡλικίας λαβόντων, καὶ ὅτι ὁ μὲν ἀνὴρ πληρουμένων τῶν εἴκοσι ἐτῶν, ἡ δὲ γυνὴ πληρουμένων τῶν δεκαοκτὼ ἐτῶν δύναται τὴν συγγνώμην τῆς ἡλικίας ἐξαιτεῖν παρὰ βασιλέως. κτήματα δὲ αὐτῶν ἄνευ ἐγγράφου ψηφίσματος ἐκποιεῖν οὐ δύνανται.

46. Ἀνάγν. καὶ βι. κη' τί. β' κεφ. β', ἐν ᾧ φησι· Γίνεται δὲ ἡ αἴτησις τῆς συγγνώμης τῆς ἡλικίας, τοῖς μὲν ἀνδρᾶσιν ἀπὸ εἴκοσι χρόνων ἕως κε', ταῖς δὲ θηλείαις ἀπὸ ιη' μέχρι τοῦ κε' χρόνου· αἰτούμενοι βασιλέα ἀπώσασθαι τοὺς κουράτορας αὐτῶν, ὡς αὐτοὺς μόνους δυναμένους[1] τὴν τῶν οἰκείων[2] πραγμάτων ποιεῖσθαι φροντίδα, ὑπολήψεως ἀγαθῆς δηλονότι μαρτυρούμενοι. καὶ τηνικαῦτα δὲ μετὰ τὴν αἴτησιν πράττουσι [τὰ] τῶν τελείων, οὐ μέντοιγε χωρὶς ἀποφάσεως κριτοῦ ἐκποιοῦνταί τι τῶν αὐτοῖς προσόντων.

47. Ἀνάγν. καὶ τί. κη' τοῦ ι' βι., ἐν ᾧ φησιν· Ἐὰν δεκτὰ ἡγήσωνται μετὰ τὸν κε' ἐνιαυτὸν τὰ ἐλάττονι ἡλικίᾳ πεπραγμένα, οὐκ ἀποκαθίστανται.

48. Ἀνάγν. καὶ τί. κθ', ἐν ᾧ φησι, παρὰ τίνι ἡ διάγνωσις τῆς ἀποκαταστάσεως γίνεται. καὶ ὅτι καὶ καταβαλὼν ὁ νέος τὰ ἀπὸ τῆς διαλύσεως ἀναλαμβάνει.

49. Ἀνάγν. καὶ τί. λ', ἐν ᾧ φησιν· Ὁ ἀποκαθιστάμενος κατά τινος πράγματος οὔτε ζημιοῦσθαι οὔτε κερδαίνειν ἐξ αὐτοῦ ὀφείλει.

50. Ἀνάγν. καὶ τί. λα', ἐν ᾧ φησιν, ὅτι καὶ διὰ ἐντολέως δύναται ὁ νέος ἀποκατάστασιν αἰτεῖν.

51. Ἀνάγν. καὶ τί. λβ', ἐν ᾧ φησι περὶ τοῦ κατὰ ἀποφάσεως ἐκκαλουμένου.

52. Ἀνάγν. καὶ τί. λγ' κεφ. ε'[3], ἐν ᾧ φησιν· Ὅτι ὁπηνίκα[4] ὁ

[1] Deest apud Leuncl. [2] Leuncl. ἰδίων. [3] Lips. κε'. [4] Leuncl. ἡνίκα.

δημόσιος πιπράσκῃ τὸ τοῦ ἀνήβου πρᾶγμα ἢ τὸ τοῦ διὰ πρᾶγμα δημόσιον ἀπολιμπανομένου ἢ ἑτέρου τινὸς καθ᾽ οἱονδήποτε τρόπον ἀποκαταστῆναι δυναμένου, μὴ ἀντικεῖσθαι τοῖς τοῦ πράγματος δεσπόταις τὸν τετραετῆ χρόνον τὸν βεβαιοῦντα τὰς γινομένας ὑπὸ τοῦ δημοσίου πράσεις τῶν ἀλλοτρίων πραγμάτων.

53. Ἀνάγν. καὶ τί. λδ΄, ἐν ᾧ φησι περὶ τῆς δεδομένης τετραετίας εἰς ἀποκατάστασιν τοῖς ἀφήλιξι μετὰ τὸν κε΄ ἐνιαυτόν, ὁμοίως καὶ τοῖς συγγνώμην ἡλικίας αἰτήσασι μετὰ τὸ λαβεῖν τὴν συγγνώμην τῆς ἡλικίας τρέχειν τὸν τετραετῆ χρόνον.

54. Ἀνάγν. καὶ βι. ιθ΄ τί. ζ΄ κεφ. δ΄, ἐν ᾧ φησιν· Ὁ ἥττων τῶν εἴκοσι ἐτῶν ἀνισχύρως ἐπὶ τῷ ἐλευθερωθῆναι πωλεῖ δοῦλον, κἂν συμφωνήσῃ τὴν ἐλευθερίαν ὑπερτεθῆναι ἕως οὗ πληρώσῃ τὰ κ΄ ἔτη.

55. Ἀνάγν. καὶ βι. κϛ΄ τί. δ΄ κεφ. ιζ΄ καὶ βι. να΄ τί. δ΄ κεφ. δ΄ θέμ. ι΄, ἐν ᾧ φησιν· Ἐὰν ἀφήλιξ δωρήσηταί μοι ἑπταέτην, καὶ μετὰ ταῦτα ἐκδικῇ αὐτόν, ἐκβάλλεται παραγραφῇ μὴ διδοὺς τὰς δεδοκιμασμένας δαπάνας καὶ τὰς τροφάς.

56. Ἀνάγν. καὶ βι. η΄ τί. β΄ κεφ. πη΄[1], ἐν ᾧ φησιν· Τοῖς ἐλάττοσιν ἡ ἡλικία ἐν ταῖς ζημίαις συντρέχειν, οὐ μὴν ἐν τοῖς πράγμασιν τοῖς αἰσίως διοικηθεῖσιν ἀντικεῖσθαι εἴωθεν.

LXXI.

Περὶ ἀχαρίστων παίδων τε καὶ γονέων, καὶ τῶν τῆς ἀχαριστίας αἰτιῶν, δι᾽ ἃς δύνανται ἑκάτεροι ἀποκλήρους ποιεῖν.

1. Ἀνάγν. βι. λε΄ τί. η΄ κεφ. λη΄, ἐν ᾧ φησιν· Αἰτίας δὲ δικαίας τῆς ἀχαριστίας ταύτας εἶναι ψηφιζόμεθα.

Εἴ τις τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλλει· ἢ βαρεῖαν καὶ ἀπρεπῆ ὕβριν αὐτοῖς ἐπαγάγει· ἢ ἐπὶ ἐγκληματικαῖς αἰτίαις αὐτῶν κατηγορήσει ταῖς μὴ οὔσαις ἢ κατὰ βασιλέως ἢ πολιτείας· ἐπὶ τούτων γὰρ ἀποκηρύσσονται οἱ παῖδες. ἢ εἰ μετὰ φαρμακῶν ὡς φαρμακὸς ἀναστρέφεται· εἰ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας, ἢ ἄλλῳ τρόπῳ ἐπιβουλεῦσαι πειραθείη· εἰ τῇ ἰδίᾳ μητρυιᾷ ἢ τῇ τοῦ πατρὸς παλλακῇ ἑαυτὸν μίξει[2]· εἰ συκοφάντης ὁ υἱὸς κατὰ τῶν γονέων γένηται, καὶ διὰ τῆς ἰδίας καταμηνύσεως βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσει. εἰ συμβῇ τινα τῶν ἰδίων γονέων ἐγκεκλεῖσθαι, οἱ δὲ παῖδες οἱ δυνάμενοι ἐξ ἀδιαθέτου

[1] Lips. νη΄. [2] Lips. ἐμμίξει.

εἰς τὴν τούτου διαδοχὴν ἐλθεῖν αἰτηθέντες παρ᾽ αὐτοῦ, ἤγουν ὁ εἷς ἐξ αὐτῶν, μὴ βουληθεῖεν ἐπὶ τὴν ἑαυτῶν ἐγγύην τοῦτον ἀναδέξασθαι, ἢ ὑπὲρ προσώπου ἢ τοῦ χρέους, εἰς ὅσον ἐπιτήδειος εἶναι ὁ αἰτούμενος ἀποδείκνυται. τοῦτο μέντοιγε, ὅπερ ἐπὶ τῆς ἐγγύης ἐθεσπίσαμεν, εἰς τοὺς ἄῤῥενας καὶ μόνον ἀνήκειν παῖδας βουλόμεθα. εἰ ἐλεγχθείη τὶς τῶν παίδων, ὅτι ἐκώλυσε τοὺς ἰδίους γονεῖς ποιήσασθαι διαθήκην, ὥστε εἰ μὲν μετὰ ταῦτα διαθήκην ποιήσασθαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι ὑπὲρ τῆς τοιαύτης αἰτίας τὸν παῖδα ἐξνερεδάτον ποιεῖν ἤγουν ἀπόκληρον[1] ποιεῖν. εἰ δὲ καὶ ἐν αὐτῇ τῇ κωλύσει δίχα διαθήκης τῶν γονέων τὶς τελευτήσει, καὶ ἄλλοι εἴτε ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν ἢ μετ᾽ αὐτοῦ τοῦ[2] παιδὸς τοῦ τὴν διαθήκην γενέσθαι κωλύσαντος ἢ μετ᾽ αὐτὸν καλούμενοι, εἴτε οὓς κληρονόμους ἢ λεγαταρίους ἔχειν ἠβούλετο, εἴτε οἱ βλάβην τινὰ ἐκ τῆς κωλύσεως τῆς διαθήκης ὑπομείναντες τοῦτο αὐτὸ ἀποδείξαιεν, κατὰ τοὺς ἄλλους νόμους τοὺς περὶ τούτου κειμένους τὰ τοιαῦτα πράγματα περαιούσθω[a]. εἰ παρὰ γνώμην τῶν γονέων μεταξὺ κυνηγῶν ἢ μίμων ἑαυτὸν ὁ υἱὸς ἐγκαταλέξει, καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμένοι, εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς τοιαύτης ἐπιτηδεύσεως γεγόνασιν. εἴ τινι ἐκ τῶν εἰρημένων γονέων βουλομένῳ τῇ ἰδίᾳ θυγατρὶ ἢ ἐκγόνῃ ἄνδρα δοῦναι καὶ προῖκα κατὰ τὴν δύναμιν τῆς ἰδίας περιουσίας αὐτῇ[3] παρασχεῖν, ἐκείνη μὴ συναινέσῃ, ἀλλ᾽ αἰσχρὸν βίον ἐπιλέξηται. εἰ[b] δὲ μέχρι εἴκοσι πέντε ἐνιαυτῶν ἡλικίας ἡ θυγάτηρ γένηται, καὶ οἱ γονεῖς ὑπέρθωνται ταύτην ἀνδρὶ συνάψαι, καὶ ἴσως ἐκ τούτου συμβῇ εἰς τὸ ἑαυτῆς σῶμα ταύτην ἁμαρτῆσαι[4], τοῦτο εἰς ἀχαριστίαν τῇ θυγατρὶ λογίζεσθαι οὐ βουλόμεθα· ἐπειδὴ οὐ τῇ ἑαυτῆς, ἀλλὰ τῇ τῶν γονέων αἰτίᾳ τοῦτο γινώσκεται πλημμελήσασα. εἴ τις ἐκ τῶν εἰρημένων γονέων μανῇ, καὶ οἱ παῖδες αὐτοῦ ἤ τινες ἐξ αὐτῶν, ἢ παίδων αὐτῷ μὴ ὑπόντων οἱ ἄλλοι αὐτοῦ συγγενεῖς οἱ ἐξ ἀδιαθέτου εἰς τὸν αὐτοῦ κλῆρον καλούμενοι, ὑπηρεσίαν καὶ

---

[a] Ἀτιμοῦσθαι τὸν κωλύσαντα.

[b] Σημείωσαι, ὅτι μετὰ κε΄ ἔτη δύναται ἡ θυγάτηρ καὶ παρὰ γνώμην τοῦ πατρὸς αὐτὴν πρὸς γάμον ἐκδιδόναι.

---

[1] Leuncl. ἀποκληρονόμον. [2] Idem μετὰ τοῦ. [3] Leuncl. ὑπὲρ αὐτῆς. [4] Leuncl. suppleri vult: ἢ δίχα συναινέσεως γονέων ἀνδρὶ ἑαυτὴν ἐλευθέρῳ μέντοιγε συζεῦξαι.

φροντίδα προσήκουσαν αὐτῷ μὴ παράσχοιεν· εἰ μὲν τοιαύτης ἀπαλλαγείη νόσου, ἔσται αὐτῷ ἄδεια πότερον βούλεται τὸν παῖδα ἢ τοὺς παῖδας ἢ συγγενεῖς τοὺς ἠμεληκότας ἀχάριστον ἢ ἀχαρίστους ἐν τῇ ἰδίᾳ γράψαι διαθήκῃ. εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας αὐτὸν κατεχόμενον ἐξωτικός τις ἴδοι ἀπὸ τῶν ἰδίων ἀμελούμενον παίδων ἢ συγγενῶν ἢ ἄλλων ὑπ' αὐτοῦ γεγραμμένων κληρονόμων, καὶ διὰ συμπάθειαν βουληθείη αὐτοῦ φροντίσαι, δίδομεν αὐτῷ ἄδειαν διαμαρτυρίαν τοῖς ἐξ ἀδιαθέτου ἢ ἀπὸ διαθήκης ἤδη γεγενημένης εἰς τὸν τοῦ μεμηνότος κλῆρον καλουμένοις ἐγγράφως στέλλειν, ὥστε σπουδάζειν αὐτοὺς τούτου φροντίζειν· εἰ δέ γε καὶ μετὰ τὴν τοιαύτην διαμαρτυρίαν ἀμελήσαιεν, καὶ ἐξωτικὸς ἐν τῷ αὐτοῦ οἴκῳ τὸν μεμηνότα ὑποδεξάμενος δαπανήμασιν οἰκείοις ἄχρι τῆς τελευτῆς αὐτοῦ φροντίσας δειχθείη, τὸν τὴν ὑπηρεσίαν καὶ τὴν ἐπιμέλειαν τῷ μεμηνότι παρασχόμενον, κἂν τὰ μάλιστα ἐξωτικὸς εἴη, εἰς τὴν τούτου διαδοχὴν ἔρχεσθαι κελεύομεν[1]*· ἀνατρεπομένης τῆς αὐτῶν ἐνστάσεως, ἅτε δὴ ἀναξίων ὄντων [καὶ] τῷ μεμηνότι καθάπερ εἰρήκαμεν φροντίδα παρασχεῖν ἀμελησάντων· οὕτω μέντοι ὥστε τὰ λοιπὰ τῆς διαθήκης κεφάλαια ἐν τῇ ἰδίᾳ μένειν ἰσχύϊ. εἰ ἕνα τῶν προῤῥηθέντων*[2] *γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβαίη, καὶ οἱ τούτου παῖδες, εἴτε πάντες εἴτε εἷς, μὴ σπουδάσαιεν τοῦτον ἀναῤῥύσασθαι, ὥστε εἰ μὲν δυνηθείη τὴν τῆς αἰχμαλωσίας συμφορὰν ἐκφυγεῖν, ἐν τῇ αὐτοῦ εἶναι ἐξουσίᾳ, πότερον ταύτην ἀχαριστίας αἰτίαν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ. εἰ δὲ διὰ τῆς τῶν παίδων ἀμελείας ἢ καταφρονήσεως μὴ ἐλευθερωθῇ, ἀλλ' ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσῃ, ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, οἵτινες οὐκ ἐσπούδασαν τῆς ἀναῤῥύσεως αὐτοῦ φροντίσαι, ἀλλὰ πάντων τῶν παίδων ἐπὶ τούτῳ ἀμελησάντων, πάντα τὰ πράγματα τὰ παρ' αὐτοῦ καταλιμπανόμενα τῇ ἐκκλησίᾳ τῆς πόλεως, ἐξ ἧς ὥρμηται, προσκυροῦσθαι· ἀπογραφῆς ἐπὶ δημοσίου δηλαδὴ ἐκμαρτυρίου γενομένης, ὥστε μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας παραπολέσθαι, ἐφ' ᾧ πᾶν ὅπερ ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν προέλθοι εἰς αἰχμαλώτων ἀνάῤῥυσιν προελθεῖν. ἀλλὰ ταῦτα μὲν ὅσον ἐπὶ τοῖς προσώποις εἴρηται, ἅπερ ἀπὸ κληρονόμων ποιεῖν οὐκ ἔξεστιν, εἰ μὴ τὰς τῆς ἀχαριστίας αἰτίας γραφῆναι καὶ ἀποδειχθῆναι συμβαίη. πρόφασιν δὲ ἡμῖν πρὸς*

---

[1] Leuncl. *πιστεύομεν*, et conj. *θεσπίζομεν*. [2] Id. *προλεχθέντων*.

τὸ γενικὸν ποιήσασθαι νόμον ἡ παροῦσα ὑπόθεσις δέδωκεν. καὶ διὰ τοῦτο γενικῶς κελεύομεν, ὥστε εἴπερ ἐκεῖνος ἐν αἰχμαλωσίᾳ προσληφθείη[1] καὶ παῖδας μὴ ἔχῃ, καὶ τῶν ἄλλων τῶν εἰς [τὴν] τούτου κληρονομίαν ἐξ ἀδιαθέτου καλουμένων ἀναῤῥύσασθαι αὐτὸν μὴ σπουδαζόντων ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσοι, μηδένα ἐκ τῶν ἀμελησάντων εἰς τὴν τούτου κληρονομίαν ἔρχεσθαι, εἰ καὶ πρὸ τῆς αἰχμαλωσίας διαθήκη τυχὸν παρ᾽ αὐτοῦ ἐγεγόνει, ἐν ᾗ τὰ μνημονευθέντα πρόσωπα ἔγραψε κληρονόμους. ἀλλὰ καὶ ἐνταῦθα τῆς ἐνστάσεως τῶν κληρονόμων[2] ἀκυρουμένης καὶ τῶν λοιπῶν τῆς διαθήκης κεφαλαίων ἐν τῇ ἰδίᾳ μενόντων ἰσχύϊ αἱ περιουσίαι τῶν τοιούτων προσώπων κατὰ τὸν ὅμοιον τρόπον ταῖς ἐκκλησίαις τῶν πόλεων ἐξ ὧν ὥρμηνται προσκυρούσθωσαν, καὶ μὴ ἐν ἄλλαις οἱαισοῦν αἰτίαις, ἀλλ᾽ ἐν ταῖς τῶν αἰχμαλώτων ἀναῤῥύσεσι δαπανάσθωσαν· ὥστε ὅθεν ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνεῤῥύσθησαν, τὰς ἄλλων ἀναῤῥύσεις φροντίζεσθαι καὶ τὰς ἐκείνων ψυχὰς ἐκ ταύτης τῆς εὐσεβοῦς πράξεως ἐπικουφίζεσθαι. αὐτοῦ τούτου παραφυλαττομένου, κἂν εἰ ἄλλο ἐξωτικὸν πρόσωπον πρὸ τῆς αἰχμαλωσίας γράψοι κληρονόμον, κἀκεῖνος εἰδὼς ἑαυτὸν ὑπ᾽ ἐκείνου γεγράφθαι κληρονόμον ἀναῤῥύσασθαι τοῦτον ἐκ τῆς αἰχμαλωσίας ἀμελήσει. ταύτην δὲ τὴν ποινὴν κατ᾽ ἐκείνων κρατεῖν θεσπίζομεν, οἵτινες τὸν ὀκτωκαιδέκατον τῆς ἡλικίας τῆς ἑαυτῶν ἐπλήρωσαν ἐνιαυτόν. ἐν δὲ ταῖς τοιαύταις αἰτίαις, ἡνίκα ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων ἀναγκαῖον εἴη χρήματα δοθῆναι, εἴ τις ἴδια μὴ ἔχοι χρήματα, [ἄδειαν ἐχέτω, εἴπερ τῆς εἰρημένης ὑπάρχει ἡλικίας, δανείζεσθαι χρήματα] καὶ πράγματα κινητὰ ἢ ἀκίνητα ὑποτίθεσθαι, εἴτε ἴδια ἔχοι εἴτε τὰ τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου. ἐπειδὴ ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων δίδοσθαι ἢ ἀναλίσκεσθαι δεικνυμένοις τὰ τοιαῦτα συναλλάγματα ὡς παρὰ προσώπου αὐτεξουσίου καὶ τελείας ἡλικίας οὕτω γινόμενα βέβαια εἶναι παρακελευόμεθα, μηδενὸς τοῖς μετὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις καθάπερ εἴρηται συναλλάττουσι προκρίματος γινομένου· ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ [ἐκ] τῆς αἰχμαλωσίας ἐπανερχομένου τὰ τοιαῦτα συναλλάγματα βέβαια ἡγεῖσθαι καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέχεσθαι. εἴ τις ἐκ τῶν εἰρημένων γονέων ὀρθόδοξος ὑπάρχων αἴσθηται τὸν ἴδιον

---

[1] Leuncl. βληθῇ, et in marg. ληφθείη. [2] Lips. κληρουμένων.

παῖδα ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς πίστεως, μηδὲ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν, ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθοτάτην πίστιν κηρύσσουσιν.

Εἴτε τοίνυν πάσας τὰς εἰρημένας τῆς ἀχαριστίας αἰτίας εἴτε τινὰς[1] ἐξ αὐτῶν, εἴτε μίαν οἱανδήποτε οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψαιεν διαθήκῃ, καὶ οἱ γραφόμενοι κληρονόμοι τὴν ὀνομασθεῖσαν ἢ τὰς ὀνομασθείσας αἰτίας ἢ μίαν ἐξ αὐτῶν ἀληθεῖς ἢ ἀληθῆ εἶναι δείξαιεν, τὴν διαθήκην τὴν ἰδίαν ἰσχὺν ἔχειν παρακελευόμεθα. εἰ δὲ ταῦτα μὴ παραφυλαχθῇ, μηδὲν γίνεσθαι πρόκριμα τοῖς ἀποκληρονόμων γραφεῖσι παισὶν, ἀλλ᾽ ὅσον εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἀνήκει τῆς διαθήκης ἀκυρουμένης, εἰς τὴν τῶν γονέων κληρονομίαν τοὺς παῖδας ἐξ ἀδιαθέτου ἐξ ἴσης μοίρας ἔρχεσθαι, ὥστε μὴ τοὺς παῖδας πεπλασμέναις κατηγορίαις κατακρίνεσθαι ἤ τινα περιγραφὴν ἐν ταῖς τῶν γονέων περιουσίαις ὑπομένειν[c].

Καὶ ταῦτα μὲν περὶ τῶν διαθηκῶν τῶν γονέων διετυπώσαμεν. δίκαιον δὲ εἶναι συνίδομεν καὶ ἐκ τοῦ ἐναντίου περὶ τῶν διαθηκῶν τῶν παίδων τὰ αὐτὰ μετά τινος διαστίξεως διατυπῶσαι. τὰς δὲ αἰτίας τῆς ἀχαριστίας τῶν γονέων πρὸς τοὺς παῖδας ταύτας εἶναι κελεύομεν.

Εἰ οἱ γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους παῖδας παραδοῖεν[d], δίχα μέντοιγε αἰτίας εἰς καθοσίωσιν ἀναφερομένης· ἢ φαρμακείαις ἢ γοητείαις ἢ ἄλλῳ τρόπῳ οἱ γονεῖς τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύοντες ἀποδειχθεῖεν. εἰ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ ἢ τῇ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγείη. εἰ οἱ γονεῖς τοὺς ἰδίους παῖδας διαθήκας ποιῆσαι κωλύσειαν ἐν τοῖς πράγμασιν, ἐν οἷς ἔχουσιν ἄδειαν [τοῦ διατίθεσθαι]· πάντων δηλαδὴ τῶν ἐπὶ τῇ κωλύσει τῶν τοιούτων

---

c Οἱ παρ᾽ οἱουδήποτε ἀνιόντος ἀπόκληροι γεγονότες ἢ ἀμνημόνευτοι ἐαθέντες ῥηγνύουσι τὰς ἐνστάσεις, καὶ ἐξ ἴσου κληρονομοῦσιν, εἴπερ καὶ οἱ γεγραμμένοι κληρονόμοι τῶν οἰκείων εἰσίν. εἰ γὰρ ἐξωτικοὶ εἶεν, τέλεον ἡ διαθήκη ῥήγνυται, καὶ τὸ πᾶν οἱ οἰκεῖοι λαμβάνουσιν οἱ ἐαθέντες ἀμνημόνευτοι, ἢ συμμερίζονται μετὰ ἐξωτικῶν γραφεῖσιν οἰκείοις, ὡς βι. λ′ τί. α′ κεφ. ιβ′.

d Ἐγκληματικῶς κατ᾽ αὐτῶν ἐνάγοντες.

---

1 Leuncl. φανεράς.

διαθηκῶν φυλαττομένων, ἅπερ ἐπὶ τῷ τῶν γονέων προσώπῳ διεστίξαμεν.

Εἰ συμβαίη τὸν ἄνδρα τῇ ἑαυτοῦ γαμετῇ εἰς ἀναίρεσιν ἢ ἔκστασιν τῆς διανοίας δοῦναι φάρμακον, ἢ τὴν γαμετὴν τῷ ἀνδρὶ, ἢ ἄλλῳ τρόπῳ τὸν ἕτερον τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεῦσαι, τὸ μὲν τοιοῦτον ἔγκλημα οἷα δημόσιον ὑπάρχον κατὰ τοὺς νόμους ἐξετάζεσθαι καὶ νομίμης ἐκδικήσεως ἀξιοῦσθαι θεσπίζομεν, τοῖς δὲ παισὶν ἄδειαν εἶναι ἐν ταῖς ἰδίαις διαθήκαις μηδὲν ἐκ τῶν ἰδίων περιουσιῶν ἐκείνῳ τῷ προσώπῳ καταλιμπάνειν τῷ τοιοῦτον μῦσος πεπραχέναι γινωσκομένῳ[e].

Εἰ τῶν παίδων ἢ ἑνὸς ἐξ αὐτῶν ἐν μανίᾳ τυγχάνοντος οἱ γονεῖς φροντίσαι αὐτῶν ἀμελήσειαν, πάντα καὶ ἐντεῦθεν παραφυλάττεσθαι προστάττομεν, ἅπερ περὶ τῶν μαινομένων γονέων ἀνωτέρω ἐθεσπίσαμεν.

Τούτοις τοῖς θέμασι[1] καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίθεμεν, ἐν ᾗ εἰ τοὺς παῖδας κρατεῖσθαι καὶ διὰ τῆς τῶν γονέων καταφρονήσεως ἢ ἀμελείας μὴ ἀναῤῥυσθέντας τελευτῆσαι συμβαίη, μηδαμῶς τοὺς τούτων γονεῖς εἰς τὰς περιουσίας ἔρχεσθαι τῶν παίδων, ἐφ᾽ αἷς διατίθεσθαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσθαι, ἅπερ καὶ περὶ γονέων καὶ συγγενῶν τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τούτων δίκαια καλουμένων ἢ περὶ τῶν ἐξωτικῶν γραφομένων[2] κληρονόμων ἀνωτέρω διετυπώσαμεν.

Εἴ τις ἐκ τῶν μνημονευθέντων παίδων ὀρθόδοξος τυγχάνων αἴσθηται τὸν ἴδιον γονέα ἢ γονεῖς μὴ εἶναι καθολικοὺς, ταῦτα καὶ ἐπὶ τῶν τοιούτων προσώπων κρατεῖν, ἅπερ ἀνωτέρω περὶ τῶν γονέων διετυπώσαμεν.

LXXII[3].

Περὶ ἀχαρίστων ἀδελφῶν καὶ τῶν αἰτιῶν τῆς ἀχαριστίας αὐτῶν.

1. *Ἀνάγν. βι. κη' τί. ιδ' κεφ. ιζ' θέμ. ε', ἐν ᾧ φησιν·* Ἐπειδὴ ἴσμεν πολλὰς τοῖς ἀδελφοῖς πρὸς ἀλλήλους γινομένας φιλονεικίας,

---

e Τὸ κοινὸν πρὸς τοὺς παῖδας τοῦτο. οὐ γὰρ κατὰ τῶν παίδων ἡ ἐπιβουλὴ, ἀλλὰ καὶ ἡ κατὰ τοῦ πατρὸς ἐπιβουλὴ παρὰ τῆς μητρὸς, καὶ ἡ κατὰ τῆς μητρὸς παρὰ τοῦ πατρὸς δικαίαν δίδωσιν ἀγανάκτησιν φιλοπάτορί τε

---

1 Lips. *θεσπίσμασι.* 2 Leuncl. *καλουμένων.* 3 In Lips. hic titulus numero *πδ'* insignitus est. Scilicet is codex, ut passim notavimus, *ψευδοτίτλους* numerando ampliorem titulorum numerum effecit.

ἐκεῖνον μόνον ἀχάριστον τῶν ἀδελφῶν[1] γινόμενον μετέχειν τούτου τοῦ κέρδους οὐ συγχωροῦμεν, ὃς ἂν ἢ θάνατον ἐπιβουλεύσειε τῷ ἀδελφῷ, ἢ ἐγκληματικὴν ἐπενέγκοιτο κατ᾽ αὐτοῦ γραφὴν, ἢ τῆς οὐσίας αὐτοῦ σπεύσειεν ἐπαγαγεῖν ἀφαίρεσιν. τὸ γὰρ ἐκείνου μέρος εἴς τε τοὺς λοιποὺς ἀδελφοὺς καὶ εἰς ἀδελφόπαιδας καὶ τὴν μητέρα ἔρχεσθαι.

Ἀρχὴ τοῦ Β στοιχείου.

I.

Περὶ βαθμῶν συγγενείας.

1. Ἀνάγν. βι. κη´ τί. ε´, ἐν ᾧ φησιν· Ἡ συγγένεια ὄνομά ἐστι γενικόν. διαιρεῖται δὲ [εἰς τρία], εἰς ἀνιόντας, εἰς κατιόντας καὶ [εἰς] τοὺς ἐκ πλαγίου. καὶ ἀνιόντες μέν εἰσιν οἱ ἡμᾶς γεγεννηκότες· οἷον πατὴρ μήτηρ πάππος μάμμη πρόπαππος προμάμμη καὶ οἱ ἔτι τούτων ἀνωτέρω. κατιόντες δὲ οἱ ἐξ ἡμῶν γεννώμενοι· οἷον υἱὸς θυγάτηρ ἔγγονος ἐγγόνη προέγγονος προεγγόνη καὶ οἱ ἔτι τούτων κατωτέρω. ἐκ πλαγίου δὲ οἱ μήτε ἡμᾶς γεγεννηκότες μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δὲ αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες· οἷον ἀδελφὸς ἀδελφὴ θεῖος θεία ἀνεψιὸς ἀνεψιὰ καὶ οἱ ἐκ τούτων καταγόμενοι. ἡ δὲ ἐκ πλαγίου συγγένεια διαιρεῖται εἰς δύο, εἰς τοὺς κατὰ ἀῤῥενογονίαν καὶ κατὰ θηλυγονίαν ἡμῖν συναπτομένους. ἑκάστη δὲ τάξις συγγενείας ποικίλους ἔχει καὶ διαφόρους βαθμούς. ἀλλ᾽ ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων ἁπλουστέρα τὶς καὶ εὐχερὴς ἡ κατάληψις τῶν βαθμῶν· ἕκαστον γὰρ τούτων τῶν προσώπων βαθμὸν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γεννήσεις τοσοῦτοι καὶ βαθμοί. δυσχερεστέρα δὲ καὶ οὐκ εὐκατάληπτος ἡ ἐκ πλαγίου τῶν βαθμῶν εὕρεσις. δεῖ γὰρ ἡμᾶς οὐκ εὐθέως τρέχειν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιεῖσθαι ἀνάβασιν ἐπὶ τοὺς ἀνιόντας, μέχρις οὗ ἐπιστῶμεν ἐκείνῳ τῷ αἰτίῳ τῆς γεννήσεως τοῦ ἐκ πλαγίου, εἶτα τοῦτο εὑρόντας κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τὸ ἐκ πλαγίου, καὶ οὕτω πάσας ἀριθμεῖν τὰς γεννήσεις

καὶ φιλομήτορι. καὶ ἅμα ἀναστάντων ταῦτα τῶν κακῶν, καὶ ἐναγόντων[2] παῖδας πρὸς τὴν τῶν ἀναμαρτήτων γονέων αἰδῶ καὶ τιμήν.

---

[1] Leuncl. legi vult: περὶ τὸν ἀδελφόν. [2] Heimb. conj. ἀναγόντων.

τὰς συναγομένας τοῦτο μὲν ἐπὶ τῆς ἀνόδου, τοῦτο δὲ ἐπὶ τῆς καθόδου· ἑκάστην γὰρ γέννησιν ἐν ἰδιάζοντι τάττων βαθμῷ ποιοῦ τὸν ἀριθμόν. καὶ ἐπὶ μὲν τῶν κατιόντων εὐχερὲς τοῦτο. οἷον ὁ υἱός μου πόστου ἐστὶ βαθμοῦ; ἐγὼ ἔτεκον· ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν· οὐκοῦν πρώτου μοί ἐστι βαθμοῦ. ὁ ἔγγονος πόστου; ἐγὼ ἐγέννησα τὸν υἱόν, ὁ υἱὸς τὸν ἔγγονον· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· οὐκοῦν ὁ ἔγγονός ἐστι δευτέρου βαθμοῦ. τὸ αὐτὸ ἐφεξῆς ἐπὶ προεγγόνου καὶ ἀπεγγόνου. ὁμοίως καὶ ἐπὶ τῶν ἀνιόντων. ὁ πατὴρ πόστου ἐστὶ βαθμοῦ; ἐμὲ ἐγέννησεν ὁ πατήρ· ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν, ὥστε οὖν πρώτου μοί ἐστι βαθμοῦ. ὁ πάππος πόστου; ἐμὲ ὁ πατὴρ ἐγέννησεν, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· ἐστὶν οὖν ὁ πάππος δευτέρου βαθμοῦ. τὸ αὐτὸ καὶ ἐπὶ μητρὸς καὶ μάμμης καὶ πάντων τῶν ἀνιόντων, ἀῤῥένων καὶ θηλειῶν. ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ὡς εἴρηται, δεῖ ἀνιέναι ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον τὰς γεννήσεις ἀριθμοῦντας, καὶ πάλιν κατιέναι ψηφίζοντας τὰς γεννήσεις, ἕως οὗ ἔλθωμεν εἰς τὸ πρόσωπον, περὶ οὗ ἡ ζήτησις. εἰ γάρ τίς σε ἐρωτήσει, ὁ ἀδελφός σου πόστου ἐστὶ βαθμοῦ; λέγε δευτέρου. διὰ τί; ἀνέρχῃ πρὸς τὸν πατέρα· ἰδοὺ μία γέννησις ἀπὸ τοῦ πατρὸς εἰς σὲ ἕνα βαθμὸν ἀπετέλεσεν· εἶτα ἐπειδὴ εὗρες τὸ αἴτιον τῆς γεννήσεως πρόσωπον, κάτελθε πρὸς τὸν ἀδελφὸν προστιθεὶς ἐνταῦθα ἑτέραν γέννησιν· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· οὐκοῦν καλῶς εἴρηται, ὅτι ὁ ἀδελφὸς δευτέρου βαθμοῦ ἐστι. πάλιν ἐάν τίς σε ἐρωτᾷ, ὁ θεῖος πόστου σοί ἐστι βαθμοῦ; λέγε τρίτου. ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ τὸν σὸν πατέρα καὶ λέγειν· ἐμὲ ἐγέννησεν ὁ πατήρ, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις· ὁ αὐτὸς πάππος τὸν ἐμὸν θεῖον· ἰδοὺ τρεῖς γεννήσεις τρεῖς ἀπετέλεσαν βαθμούς, ὥστε οὖν τρίτου μοι ἐστὶ βαθμοῦ ὁ θεῖος. οὕτω καὶ ἐπὶ τῶν ἑξῆς τῷ αὐτῷ προσέχων κανόνι δύναμαι καταλαβεῖν τοὺς βαθμούς.

2. Ἀνάγν. καὶ βι. με´ τί. β´ κεφ. θ´, ἐν ᾧ φησιν· Ἡ συγγενικὴ βοήθεια ἓξ βαθμοὺς συγγενείας περιλαμβάνει, καὶ ἀπὸ τοῦ ἑβδόμου βαθμοῦ πρόσωπα δύο, τὸ τικτόμενον ἀπὸ δισεξαδέλφου καὶ δισεξαδέλφης.

3. Καὶ κεφ. κβ´, ἐν ᾧ φησιν· Ὀγδόου βαθμοῦ συγγενής, κἂν μὴ ὑπεισέλθῃ τὴν κληρονομίαν, ἔχει τὴν τοῦ νόμου βοήθειαν.

4. Ἀνάγν. καὶ τί. γ' κεφ. α', ἐν ᾧ φησιν· Τῶν συγγενῶν οἱ μὲν τῶν ἀνιόντων εἰσὶν, οἱ δὲ τῶν κατιόντων, ἄλλοι δὲ τῶν ἐκ πλαγίου. καὶ οἱ μὲν ἀνιόντες καὶ οἱ κατιόντες ἀπὸ τοῦ πρώτου βαθμοῦ ἄρχονται· οἱ ἐκ πλαγίου δὲ πρῶτον οὐκ ἔχουσιν, ἀλλ' ἀπὸ δευτέρου ἄρχονται. ἡνίκα δὲ περὶ κληρονομίας ἢ διακατοχῆς ζητεῖται, οὐ συντρέχουσιν ἀλλήλοις πάντοτε οἱ τοῦ αὐτοῦ βαθμοῦ ὄντες.

5. Ἐν δὲ τῷ β' κεφ. Ἐν τῇ φυσικῇ συγγενείᾳ τὸν ἕβδομον βαθμὸν οὐ παρεξερχόμεθα. οὐ γὰρ ἡ φύσις ἀνέχεται ὑπὲρ τοῦτον τὸν βαθμὸν τὴν ζωὴν τῶν ἀνθρώπων ἐπεκτείνεσθαι.

II.

Περὶ βαλάνου.

1. Ἀνάγν. βι. νη' τί. κδ' κεφ. κγ', ἐν ᾧ φησιν· Ἐὰν βάλανος ἐκ τοῦ ἀγροῦ μου εἰς τὸν σὸν πέσῃ, λέγει ὁ πραίτωρ, ἐξεῖναί μοι ἐπὶ τρεῖς ἡμέρας ἐκλέγειν καὶ ἀφαιρεῖσθαι αὐτήν. τὸ αὐτὸ δεῖ νοεῖν καὶ ἐπὶ παντὸς καρποῦ.

III.

Περὶ βασιλέως καὶ βασιλίσσης ἤτοι αὐγούστης.

1. Ἀνάγν. βι. β' τί. ς', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ βασιλεὺς τοῖς νόμοις οὐχ ὑπόκειται. ἡ αὐγούστα δὲ ὑπόκειται. δίδωσι δὲ αὐτῇ ὁ βασιλεὺς τὰ ἑαυτοῦ προνόμια.

2. Ἐν δὲ τῷ β' κεφ. Ὅπερ ἀρέσει τῷ βασιλεῖ, νόμος ἐστὶν, εἴτε δι' ἐπιστολῆς ἐνυπογράφου[1] ὁρίσει ἢ διαγινώσκων ψηφίσεται ἢ ἐξ ἐπιπέδου[a] ὁρίσει ἢ διὰ δόγματος προαγορεύει. καὶ λέγεται ταῦτα διατάξεις. τινὰ δὲ τούτων προσωπικά ἐστι καὶ οὐχ ἕλκονται πρὸς ὑπόδειγμα, εἴτε πρὸς φιλοτιμίαν εἴτε πρὸς ποινήν τινος ἐτέθησαν.

3. Ἐν δὲ τῷ ιζ'[2] κεφ. Ἡ μεταξὺ δύο τινῶν βασιλέως ἀπόφασις καὶ ἐπὶ τῶν παραπλησίων κρατείτω[3].

---

[a] Τουτέστι χωρὶς βήματος βασιλικοῦ.

---

[1] Lips. ἀνυπογρ. [2] Leuncl. κ'. [3] Lips. in margine adscribit Epanag. II, 1—7. Similiter Paris. 1351, qui praeterea addit Dig. I, 3, 31 et I, 4, 1 ex scholiis Basil. II, 6, 1. 2. Labbaeus Epanag. II, 1—4 tamquam scholium praestat.

IV.

Περὶ βασιλικῶν ἀντιγραφῶν καὶ κελεύσεων καὶ διατάξεων καὶ τύπων.

1. Ἀνάγν. βι. β' τί. ε' κεφ. β' καὶ δ' καὶ κεφ. ζ', ἐν ᾧ φησιν· Ἐῤῥώσθω παράνομος ἀντιγραφὴ βασιλέως, ἐξ ὧν ἕτερον οὐκ ἀδικεῖ, ἢ ἐὰν[1] ἐγκλήματος χαρίζηται παραχώρησιν.

2. Ἀνάγν. καὶ κεφ. θ' καὶ ιθ', ἐν ᾧ φησιν· Ἀργείτω πᾶσα οἱαδήποτε πρὸς τὸν τυχόντα δικαστὴν ἀντιγραφὴ γενικῷ παλαιομένη νόμῳ ἢ τὸ δημόσιον καταβλάπτουσα.

3. Ἀνάγν. καὶ κεφ. κα', ἐν ᾧ φησι· Διηνεκῶς κρατείτωσαν αἱ βασιλικαὶ ἀντιγραφαὶ ῥητοῦ μὴ διορισθέντος ἐπ' αὐτοῖς ἰδικῶς χρόνου.

4. Ἀνάγν. καὶ κεφ. κβ', ἐν ᾧ φησι· Μηδεὶς τὰ ἴσα τῶν βασιλικῶν ἀντιγραφῶν, ἀλλὰ τὰ μεθ' ὑπογραφῆς βασιλικῆς τὰ αὐθεντικὰ προφερέτω[2].

5. Καὶ κεφ. κγ' καὶ κδ', ἐν ᾧ φησιν· [Ὁ] οἱαδήποτε ἐναντιωθεὶς βασιλικῇ ἀντιγραφῇ ὡς ἱερόσυλος τιμωρείσθω.

6. Καὶ κεφ. κε' καὶ κϛ', ἐν ᾧ φησιν· Ἐχέτω πάντως πᾶσα ἀντιγραφὴ τὸ εἰ ἀληθῆ ἐδίδαξε, καὶ μηδὲ ἄλλως ἐῤῥώσθω· τοῦ μὲν ὑπαγορεύσαντος ἢ δεξαμένου δικαστοῦ ὑπὸ μέμψιν ὄντος, τῶν δὲ γραψάντων ἐκπιπτόντων τῆς ζώνης.

7. Καὶ κεφ. κζ', ἐν ᾧ φησι· Πραγματικὸς δὲ θεῖος μὴ ἐκφωνείσθω τύπος πρὸς ἰδικήν τινος ἰδιωτικοῦ πράγματος δέησιν[3], ἀλλὰ μόνον πρὸς σωματεῖον ἢ ἕτερον σύστημα ἢ πόλιν ἢ ἐπαρχίαν, τῆς ἀληθείας καὶ ἐπὶ τούτων σκοπουμένης.

8. Ἀνάγν. καὶ τί. ϛ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Αἱ μεταγενέστεραι διατάξεις ἰσχυρότεραι τῶν πρὸ αὐτῶν εἰσιν.

9. Ἐν δὲ τῷ ζ' κεφ. Τὰς ἀπὸ ἀναφορᾶς ἢ μηνύσεως ἢ κινουμένης δίκης ἐξενεχθείσας βασιλικὰς ἀντιγραφάς, κυροῖ ἐπὶ μόνων τῶν προσώπων αὐτῶν ἡ διάταξις, καὶ τιμωρεῖται τοὺς ἀνατρέψαι αὐτὰς ἢ μὴ φυλάξαι πειρωμένους.

10. Ἐν δὲ τῷ θ' κεφ. Καὶ κατὰ βασιλέως οἱ γενικοὶ κρατείτωσαν νόμοι, καὶ πᾶσα παράνομος ἐκβαλλέσθω παραγραφή.

11. Ἐν δὲ τῷ κγ' κεφ. Θεσπίζομεν, ὥστε δίκης ἐξεταζομένης εἴτε ἐπὶ χρηματικαῖς ἢ ἐγκληματικαῖς ἢ ἑτέραις οἱαισοῦν ἀναφυομέναις αἰτίαις παρὰ δικασταῖς, εἴτε ἐνταῦθα εἴτε ἐν

---

[1] Leuncl. ἄνευ. [2] Leuncl. προσφ. [3] Lips. ζήτησιν.

ἐπαρχίαις, μήτε πραγματικὸν τύπον μήτε ἑτέραν ἀντιγραφὴν μήτε θείαν τινὰ ἡμῶν ἔγγραφον κέλευσιν ἢ ἄγραφον ἢ κατάθεσιν ἐν ταύτῃ τῇ βασιλίδι πόλει παρὰ τῶν περιβλέπτων ἡμῶν ῥεφερενδαρίων ἢ ἑτέρου τινὸς, διατυποῦσαν αὐτοῖς, ὅπως δέοι τὴν ἀρχθεῖσαν αὐτοῖς ἐξετάζειν ἢ κρίνειν ὑπόθεσιν, καταφανῆ γίνεσθαι τοῖς δικάζουσιν ἢ καταφανῆ γενομένην κρατεῖν, ἀλλὰ κατὰ τοὺς γενικοὺς ἡμῶν νόμους τὴν δίκην ἐξετάζεσθαι καὶ τέμνεσθαι. τὸ γὰρ ἐπὶ τῇ τῶν νόμων κρινόμενον ἐξουσίᾳ οὐκ ἂν δεηθείη τινὸς ἔξωθεν διατυπώσεως.

12. Ἀνάγν. καὶ βι. η' τί. α' κεφ. μ' καὶ βι. ια' τί. β' κεφ. κδ' καὶ [βι.] νϛ' τί. η' κεφ. ζ'[1], ἐν ᾧ φησιν· Ὁ εἰς περιγραφὴν τῶν δημοσίων βασιλέως ἀντιγραφὴν λαβὼν μὴ ὠφελείσθω. χρὴ γὰρ πάντας συντελεῖν τὰ δημόσια.

13. Ἀνάγν. καὶ τί. ιθ', ἐν ᾧ φησι περὶ βασιλικῶν κελεύσεων ἤτοι θείων τύπων, ὥστε μὴ ἐῤῥῶσθαι αὐτοὺς, εἰ μὴ γένοιντο καταφανεῖς τοῖς τῶν πραιτωρίων ἐνδόξοις ὑπάρχοις.

V.

Περὶ βεβαιώσεως τῶν προκομιζομένων ἐγγράφων δικαιωμάτων.

1. Ἀνάγν. βι. κβ' τί. γ', οὗτινος ἐν τῷ α' κεφ. φησί· Κἀκεῖνο δὲ ἡγούμεθα τῷδε χρῆναι προστεθῆναι τῷ νόμῳ. ἐπειδὴ γὰρ ἤδη γεγράφαμεν νόμον βουλόμενον ἐξ ἰδιοχείρων μηδεμίαν γίνεσθαι σύγκρισιν, εἰ μὴ ἄρα τριῶν μαρτύρων ὑπογραφὰς ἔχουσι τὰ χειρόγραφα, καὶ αὐτοὶ οἱ μάρτυρες συνομολογήσουσιν ὅτι ὑπέγραψαν ἢ ἀρνούμενοι περὶ τῆς ἰδίας χειρὸς ἀπὸ συγκρίσεως τῶν ἰδίων γραμμάτων ἐλεγχθῶσιν, ἀλλ' ἐκ μόνων τῶν ἀγοραίων, ὁρῶμεν δὲ τὴν τῶν πραγμάτων πεῖραν δεομένην προσηκούσης ἐπανορθώσεως ἐν τῷ νόμῳ καὶ τοῦτο ἐξ αὐτῆς τῆς τῶν δικαζομένων εὕρομεν πείρας, ἐπανορθῶσαι αὐτὸν κατὰ τοῦτο βουλόμεθα τὸ σχῆμα. πολλάκις γὰρ προκομίσας τὶς ἰδιόχειρον συμβόλαιον καὶ ἐξ αὐτοῦ ποιούμενος ἢ τὴν ἐναγωγὴν[2] ἢ τὴν τῶν οἰκείων δικαίων[3] ἀπόδειξιν, ἐπειδὴ τῆς αὐτῆς χειρὸς τὸ ἐναντίον μέρος προεκόμισε γράμματα, εἶτα νόμιμον σύστασιν ἐκεῖθεν ἠβουλήθη γενέσθαι ἐξ ὧν αὐτὸς ὁ ἀντιτεταγμένος αὐτῷ προκεκόμικεν, ὁ δὲ ἀπεκέχρητο τῷ νόμῳ τῷ δεῖν ἐξ ἀγοραίων συμβολαίων γενέσθαι τὰς συγκρίσεις, ἀλλ' οὐ τῶν αὐτογράφων· θεσπίζομεν, εἴποτέ τι τοιοῦτον συμβαίη καί τις βουληθείη πρὸς αὐτὰ τὰ παρὰ

---

[1] Lips. ϛ'. [2] Leuncl. ἀγωγ. [3] Lips. δικαιωμάτων.

τοῦ ἀντιδίκου προκομισθέντα γράμματα γενέσθαι τὴν ἐξέτασιν, μὴ διαβάλλεσθαι τοῦτο ὡς οὐκ ὀρθῶς γενόμενον. ᾧ γὰρ ἂν αὐτὸς πιστεύει καὶ ὃ προκεκόμικε καὶ ἐξ οὗ τὰ οἰκεῖα ἐπιῤῥώννυσι, τοῦτο οὐκ ἂν διαβάλλοι οὐδὲ κωλύσειε τὴν σύγκρισιν τῶν γραμμάτων γενέσθαι πρὸς αὐτὸ, κἂν εἰ τύχοι καθεστὸς ἰδιόχειρον. οὐ γὰρ ἂν αὐτὸς ἑαυτῷ πολεμοίη, καὶ ἅπερ ἰσχυρίζεται, ταῦτα διαβάλλοι. εἰ δὲ καὶ ἐκ δημοσίων ἀρχείων προκομισθείη χάρτης, οἷον ἀπόδειξις τῆς τραπέζης τῶν ἐνδοξοτάτων ὑπάρχων (ἴσμεν γὰρ δὴ καὶ τοῦτο ζητηθὲν), καὶ τὸ ἐκ [τῶν] δημοσίων προκομιζόμενον καὶ δημοσίαν ἔχον μαρτυρίαν καὶ τοῦτο δεκτὸν εἶναι πρὸς τὰς συγκρίσεις τίθεμεν. πανταχοῦ γὰρ τὰ τῆς παραποιήσεως μισοῦντες πλημμελήματα καὶ τὸν ὅρκον διδόναι τοὺς ἀντεξετάζοντας[a] τὰ γράμματα νενομοθετήκαμεν, καὶ τὴν ἐξ ἀγοραίων μόνον[1] συμβολαίων παράθεσιν εἰσηγησάμεθα. ὥστε κρατείτω διὰ πάντων ὁ νόμος ἐκεῖνος τῆς παρούσης ὑποδιαιρέσεως ἐπιτιθεμένης αὐτῷ, τοῦ μέντοι ὅρκου τῶν συγκρινόντων ἐκ παντὸς τρόπου διδομένου.

2. Ἀνάγν. καὶ τί. δ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Εἴ τις ἀσφαλῶς παρακαταθέσθαι[b] βούλεται, μὴ μόνοις πιστευέτω τοῖς τοῦ λαμβάνοντος γράμμασι (τοῦτο ὅπερ ἐν τῇ δίκῃ ζητηθὲν, ἐπειδήπερ οὐ συνωμολόγησεν ὁ γεγραφέναι λεγόμενος αὐτοῦ καθεστάναι τὰ γράμματα, μεγάλην ἔσχε ταραχὴν, καὶ γράψαι ἕτερα καταδικασθέντος[2] ἅπερ ἔδοξε παρόμοια μὲν, οὐ μὴν διὰ πάντων ἐοικότα, καίτοιγε ἐπὶ τοῖς γράμμασιν ἀκρίτου τοῦ πράγματος μεμενηκότος[c]), ἀλλ' ὁ τὴν παρακαταθήκην διδοὺς προσκαλείσθω καὶ μάρτυρας, ὡς οἷόν τε σεμνοὺς καὶ πίστεως ἀξίους καὶ οὐκ ἐλάττους τριῶν, ἵνα μὴ ἐπὶ μόνων ἠρτήμεθα τῶν[d] γραμμάτων[3] καὶ τῆς τούτων ἀντεξετάσεως, ἀλλ' εἴη τοῖς δικάζουσι καὶ ἡ παρὰ μαρτύρων βοήθεια. καὶ γὰρ δὴ καὶ τοιαύτας μαρτυρίας προσιέμεθα, ὥστε παριόντας[e] μάρτυρας λέγειν, ὡς αὐτῶν παρόντων ὑπέγραψεν ὁ τὸ συμβόλαιον ποιού-

---

[a] Τουτέστι τοὺς συγκρίσεις ποιουμένους ταβελλίωνας.
[b] Παρακαταθήκην δοῦναι.
[c] Ἀδιάλυτα ἔμεινε τὰ τῆς δίκης.
[d] Τοῦ λαβόντος δηλονότι, καὶ τὸ ἔγγραφον οἰκείᾳ χειρὶ πεποιηκότος.
[e] Παρισταμένους ἐν δικαστηρίοις.

---

[1] Lips. νόμων. [2] Leuncl. καταναγκ. [3] Lips. ex schol. d inserit verba: τοῦ λαβόντος οἰκειοχείρων γραμμ.

μενος καὶ τοῦτο ἐπίστανται. εἰ γὰρ εὕροιμεν καὶ τοιούτους τινὰς μάρτυρας οὐκ ἐλάττους τῶν τριῶν ἀξιοπίστους καθεστῶτας, οὐδὲ τὴν τοιαύτην ἀπαγορεύομεν πίστιν· οὐ γὰρ ἵνα συστείλωμεν τὰς ἀποδείξεις τίθεμεν τὸν νόμον, ἀλλ' ἵνα καὶ εἶναι αὐτοὺς[1] ποιήσωμεν καὶ ἀσφαλῶς εἶναι.

Ἀλλὰ κἂν εἴ τις δανείσματος συμβόλαιον ἢ ἄλλου τινὸς πράττοι καὶ μὴ βούλεται τοῦτο ἐπ' ἀγορᾶς συνθεῖναι (ὅπερ καὶ ἐπὶ τῆς παρακαταθήκης ὁρίζομεν), μὴ αὐτόθεν δοκείτω πιστὸν τὸ γραφόμενον ἐπὶ τῷ δανείσματι συμβόλαιον, πλὴν εἰ μὴ καὶ μαρτύρων ἔχει παρουσίαν ἀξιοπίστων οὐκ ἐλαττόνων τῶν τριῶν, ἵνα εἴτε αὐτοὶ παραγίνοιντο καὶ τοῖς οἰκείοις μαρτυρήσαιεν γράμμασιν, εἴτε ἕτεροί τινες μαρτυροῦντες ὡς παρόντων αὐτῶν τὸ συμβόλαιον συνετάγη, λαμβάνει τὸ πρᾶγμα τὴν πίστιν ἑκατέρωθεν, οὐκ ἀποβλήτου παντελῶς καὶ τῆς τῶν γραμμάτων[f] ἐξετάσεως οὔσης, ἀλλὰ μόνης οὐκ ἀρκούσης, τῇ δὲ προσθήκῃ τῶν μαρτύρων βεβαιουμένης.

Εἰ μέντοι τοιοῦτό τι συμβαίη, ὁποῖον ἐπ' ἀρμενίας ἐγένετο, καὶ ἕτερον μὲν ἡ παράθεσις τῶν γραμμάτων ἐποίει, ἕτερον δὲ αἱ μαρτυρίαι, τηνικαῦτα ἡμεῖς μὲν οἰόμεθα τὰ παρὰ ζώσης λεγόμενα φωνῆς καὶ μεθ' ὅρκων ἀξιοπιστότερα[2] τῆς αὐτῆς γραφῆς καθ' αὑτὴν τυγχάνειν. πλὴν ἀλλ' ἔστω τοῦτο τῆς τοῦ δικάζοντος ἀγχινοίας τε ὁμοῦ καὶ θεοφιλίας, τὸ τοῖς ἀληθέσι μᾶλλον ἀντὶ τῶν τοιούτων πιστεῦσαι. καὶ ἡμεῖς μὲν κατὰ τοῦτον τὸν τρόπον οἰόμεθα δεῖν ἀποδείκνυσθαι πιστὰ τὰ συμβόλαια.

Εἰ μέντοι τὶς ἢ παρακατατιθέμενος ἢ δανείζων ἢ ἄλλως συμβάλλων ἀρκεσθείη τοῖς γράμμασι μόνου τοῦ πρὸς αὐτὸν συμβάλλοντος, ἐπ' αὐτῷ κείσεται τὸ γινώσκειν, ὡς τῆς ἐκείνου πίστεως τὸ πᾶν αὐτὸς ἀνηρτήσατο καὶ ὅσον μὲν ἐκ τῆς γραφῆς οὐκ ἂν αὐτάρκης δόξειε[3] κατὰ τὸν ἡμέτερον νόμον τῷ συμβολαίῳ προστίθεσθαι πίστις. εἰ δὲ ἣ[4] παρουσία τῶν μαρτύρων, ἐφ' ὧν τὸ συνάλλαγμα γέγονεν, ἢ ἴσως ἡ τελευταία τοῦ πράγματος καταφυγὴ βοηθήσειεν αὐτῷ[g] (φαμὲν δὲ τὴν ἐξ ὅρκων), οὐκ ἀκυροῦμεν τὸ γινόμενον. τὰς γὰρ

---

f Τοῦ λαβόντος καὶ γράψαντος, ὅτι ἔλαβον.

g Τῷ ὅρκῳ τοῦ λεγομένου τὴν γραφὴν ἐκτελέσαι λυομένου τοῦ ἀμφιβόλου.

---

1 Leuncl. αὐτὰς legendum censet. 2 Leuncl. ταῦτα ἀξιοπιστ. 3 Lips. καὶ ὅσον μὲν αὐτὸς ἐκ γρ. οὐκ ἂν αὐτάρκεις δείξειε. 4 Leuncl. ἡ.

παραποιήσεις καὶ τὰς μιμήσεις εὐλαβούμενοι καὶ γυμναῖς[h] οὔσαις αὐταῖς οὐ πιστεύοντες τὴν τοιαύτην ἀκρίβειαν προστίθεμεν τῷ πράγματι, οὐχ ἵνα τοὺς πιστεύσαντας[1] ἀφελώμεθα τῆς ἑαυτῶν περὶ τοὺς φίλους πίστεως, ἀλλ᾽ ἵνα ὡς οἷόν τε τὴν ἀγνωμοσύνην τε καὶ ἄρνησιν πολλοῖς ἐλέγχωμεν τρόποις.

Ἀλλὰ καὶ τὰ συμβόλαια τὰ ἐπ᾽ ἀγορᾶς συντελούμενα, εἰ καὶ τὴν τῶν συμβολαιογράφων ἔχει πλήρωσιν[i], προσλαμβανέτω καὶ αὐτὰ πρὸ τοῦ τελέσματος[k] τὴν ἐν γράμμασι[l] τῶν μαρτύρων ὡς εἴρηται παρουσίαν.

Δεῖ μέντοι τοὺς δικάζοντας καὶ εἴ τινα σημεῖα εὕροιεν προσγεγραμμένα τοῖς χάρταις, καὶ ταῦτα ἀναζητεῖν καὶ ἀναγινώσκειν πειρᾶσθαι (πολλὰ γὰρ ἴσμεν καὶ ἐξ ἐκείνων διαφανέντα) καὶ μὴ προχείρως τὰς πίστεις τῶν γραμμάτων ἐκ παραθέσεως [ἑτέρων] προσίεσθαι διὰ τὰς ἔμπροσθεν ἡμῖν εἰρημένας αἰτίας.

Εἰ μέντοιγε τελευτήσαιεν ἅπαντες οἱ μάρτυρες, ἢ καὶ ἄπεισι τυχὸν ἢ καὶ ἄλλως οὐ ῥᾴδιόν ἐστι τὴν ἐκ τῶν μαρτύρων τῶν ὑπογεγραφότων πίστιν ἐπιθεῖναι, μηδὲ ὁ συμβολαιογράφος περίεστιν ὁ τελέσας, εἴγε ἀγοραῖον εἴη, ὥστε μαρτυρῆσαι τοῖς ἑαυτοῦ, ἢ μηδὲ ἐνδημοίη, ἀλλὰ πάντως ἀνάγκη τὴν ἀντεξέτασιν τῶν γραμμάτων[m] ἢ τῶν τελεσάντων ἢ τῶν ὑπογραψάντων παραλαβεῖν· τηνικαῦτα προσῆκόν ἐστιν, ἰέναι μὲν ἐπὶ τὰς συγκρίσεις (οὐδὲ γὰρ παντάπασιν αὐτὰς ἀπαγορεύομεν), διὰ δὲ πάσης ἀκριβείας χωρεῖν, καὶ πάντως εἰ νομίσειεν[2] αὐταῖς χρῆναι πιστεύειν, καὶ ὅρκον ἐπάγειν τῷ προκομίζοντι, ὅτι μηδὲν συνειδὼς πονηρὸν τῷ παρ᾽ αὐτοῦ προκομιζομένῳ οὐδέ τινα τέχνην περὶ τὴν σύγκρισιν γενέσθαι παρασκευάσας οὕτω χρῆται τούτῳ, ὥστε μηδὲ ἀναιρεθῆναί τι παντελῶς καὶ διὰ πάντων τὸ ἀσφαλὲς τοῖς πράγμασι γενέσθαι.

---

h Ἄνευ μαρτύρων δηλονότι.

i Τὴν τοῦ ταβουλλαρίου βεβαιωτικὴν ὑπογραφὴν ἢ τὴν λεγομένην κόβλαν.

k Πρὸ τῆς κομπληστῆς παρὰ τῶν ταβελλιώνων γινομένης.

l Ἐνώπιον τοῦ δεῖνος μάρτυρος καὶ τοῦ δεῖνος.

m Τῶν συγγραψαμένων ὀφειλετῶν. γραμμάτων μὲν τοῦ λαβόντος καὶ τελέσαντος ἤγουν τοῦ ταβουλλαρίου τοῦ τελειώσαντος. εἰκὸς γὰρ τὸν λαβόντα κατάρξασθαι μὲν τῆς γραφῆς, ἕτερον δὲ τελειῶσαι.

---

1 Leuncl. conj. πιστεύοντας. 2 Basil. νομίσαιεν.

ἐπὶ γὰρ δὴ τῶν ἐπ᾽ ἀγορᾶς συνταττομένων συμβολαίων, εἴπερ ὁ συμβολαιογράφος παρέλθοι καὶ μαρτυρήσειε μεθ᾽ ὅρκου, εἰ μὲν οὐ δι᾽ ἑαυτοῦ ἔγραψεν ἀλλὰ διά τινος τῶν ὑπουργούντων αὐτῷ, παρίτω κἀκεῖνος, εἴγε περίεστιν, εἰ[1] δυνατὸν [ὅλως] ἐστὶν αὐτὸν ἐλθεῖν καὶ οὐδεμία τὴν αὐτοῦ πάροδον αἰτία κωλύει, ἢ νόσος τυχὸν ἰσχυρὰ ἤ τις τῶν περιστάσεων τῶν ἄλλων ἅπερ ἀνθρώποις ἀπαντᾷ. εἰ δὲ καὶ ἀριθμητὴν ἔχει τὸ συμβόλαιον, κἀκεῖνος παραγινέσθω, ὥστε τρεῖς εἶναι τοὺς μάρτυρας, καὶ[2] οὐχ ἕνα. εἰ δὲ οὔτε ἀριθμητὴς προσελήφθη, τό τε συμβόλαιον ἅπαν δι᾽ ἑαυτοῦ γέγραφέ τε καὶ ἐτέλεσεν ὁ συμβολαιογράφος, ἢ[3] καὶ ὁ τοῦτο συγγράψας ἄπεστιν ἢ καὶ ἄλλως παρεῖναι οὐκ ἰσχύσει, αὐτὸς μέντοι μεθ᾽ ὅρκου τῷ οἰκείῳ τελέσματι μαρτυρεῖ[4], ὥστε μὴ[5] τῇ συγκρίσει γενέσθαι χώραν, ἔστω καὶ οὕτω πιστὰ τὰ συμβόλαια. ἡ γὰρ μαρτυρία καὶ παρὰ τῆς φωνῆς τοῦ τελέσαντος γινομένη καὶ τὸν ὅρκον ἔχουσα προσκείμενον ποιήσειεν ἄν τινα τῷ πράγματι ῥοπήν. εἰ δὲ ὁ συμβολαιογράφος ἐτελεύτησε, καὶ μαρτυρηθείη τὸ τέλεσμα ἐξ ἑτέρας παραθέσεως, εἰ μὲν καὶ οὕτως ἔχει τόν τε συντάξαντα τὸ συμβόλαιον περιόντα καὶ τὸν ἀριθμητὴν, παρίτωσαν κἀκεῖνοι, εἴγε ἐνδημοῖεν, [καὶ] ἐχέτω καὶ τὴν ἐκ παραθέσεως τῶν πληρώσεων τὸ γράμμα πίστιν καὶ τὴν ἐκ τῶν μαρτύρων. εἰ δὲ μηδεὶς τούτων εἴη, τηνικαῦτα γινέσθω μὲν ἡ τῶν τελεσμάτων παράθεσις, μὴ μόνα δὲ ταῦτα πρὸς τοῦτο ἀρκείτω, ἀλλὰ καὶ αἱ τῶν ἄλλων τῶν ὑπογεγραφότων ἴσως ἢ καὶ τῶν συμβαλλόντων γραφαὶ κατεξεταζέσθωσαν, ὥστε ἐκ πολλῶν παραθέσεων, τῶν τε τοῦ τελέσματος, τῶν τε ὑπογραφόντων ἴσως ἢ καὶ τῶν συμβαλλόντων, μίαν τινὰ συνάγεσθαι πανταχόθεν καὶ ἀποτελεῖσθαι πίστιν. εἰ δὲ οὐδὲν ἕτερον εὑρεθείη πλὴν τῆς παραθέσεως τῶν συμβολαίων, τὸ μέχρι νῦν κεκρατηκὸς προβαινέτω, τὸ τὸν προκομίζοντα εἰς τὴν παρ᾽ ἄλληλα κρίσιν τὸ συμβόλαιον ὀμνύναι τὰ νενομισμένα. ἵνα δέ τινα ὅλως τὸ πρᾶγμα λάβῃ προσθήκην εἰς πλείονα τοῦ πράγματος πίστιν, καὶ αὐτὸς ὁ ταῦτα αἰτῶν γενέσθαι προσομνύτω, ὡς οὐδὲ ἄλλης εὐπορῶν πίστεως ἐπὶ τὴν παρ᾽ ἄλληλα κρίσιν[6] τῶν συμβολαίων ἐλήλυθεν, οὐδέ τι περὶ αὐτὴν ἔπραξεν ἢ ἐμηχανήσατο, ὅπερ ὡς εἰκὸς δυνηθείη τὴν ἀλήθειαν κατακρύψαι. ὧν ἔξεστιν ἀπηλλάχθαι τοῖς συμβάλ-

[1] Leuncl. καὶ εἰ. [2] Leuncl. ἀλλ᾽. [3] Lips. εἰ. [4] Sic Bas. Leuncl. et Lips. μαρτυρείτω. [5] Lips. μηδέ. [6] Lips. πίστιν.

λουσιν, εἴπερ βούλοιντο καὶ ἑκάτεροι πρὸς τοῦτο συμβαῖεν, τὸ ἐμφανῆ ποιεῖσθαι τὰ συμβόλαια, καὶ κατατίθεσθαί τε ἐπὶ πράξεως ὑπομνημάτων αὐτοὺς τοὺς συμβάλλοντας, ἵνα ἀπαλλαγεῖεν ἀγνωμοσύνης τε καὶ νοθείας καὶ παραποιήσεων καὶ ὁπόσα ἄλλα κακὰ ἐπανορθοῦντες τὸν παρόντα τίθεμεν νόμον· τῶν ἤδη παρ᾽ ἡμῶν ἐπὶ ταῖς παραθέσεσι τῶν γραμμάτων ταῖς ἐξ ἰδιοχείρων γινομέναις νενομοθετημένων ἐπὶ τῆς ἰδίας μενόντων ἰσχύος δηλαδὴ, καὶ τῶν ἐπὶ τοῖς τῶν γραμμάτων ἀνεπιστήμοσιν ἤδη κρατούντων ἐν τοῖς δικαστηρίοις τοῖς ἑαυτὴν ἐχόντων ἰσχὺν, ἐπειδήπερ ἐκ δικαστικῶν τύπων τὰ τοιαῦτα τὸν προσήκοντα ἔλαβεν ἐξετασμόν.

Δεῖ δὲ ἐπὶ τῶν γράμματα οὐκ ἐπισταμένων ταβουλλαρίους δύο πάντως καὶ μάρτυρας παραλαμβάνεσθαι, ἐν οἷς εἰσὶ ταβουλλάριοι τόποις, μάλιστα δὲ μάρτυρας οὐκ ἀγνώστους τοῖς συμβάλλουσιν, ἵνα οἱ μὲν γράφωσιν ὑπὲρ τοῦ ἀγραμμάτου ἢ ὀλιγογραμμάτου καθεστῶτος, οἱ δὲ μαρτυρῶσιν, ὡς καὶ παρόντων αὐτῶν ταῦτα ἐπράχθη καὶ εἴδοιεν[1] αὐτὸν, καὶ οὕτως ἡ τῶν τοιούτων συμβολαίων εἰσδεχθείη πίστις. δῆλον ὂν ὡς οὐκ ἐλάττους πέντε μαρτύρων ἐπὶ τῶν τοιούτων παραληφθήσονται, ἐν οἷς ἔσται καὶ ὁ γράφων ὑπὲρ τοῦ συμβάλλοντος ἢ τὸ πᾶν ἢ τὸ μετὰ τὰ ὀλίγα γράμματα τὰ παρ᾽ ἐκείνου τεθέντα, ὥστε μηδὲν διαπεσεῖν τῆς εἰς ἄκρον ἀκριβείας. καὶ ταῦτά φαμεν ἐπὶ τῶν ἐγγράφων συμβολαίων. εἰ γάρ τις ἀγράφως πρᾶξαι οἱονδήποτε συνάλλαγμα βουληθείη, τοῦτο πρόδηλον, ὡς ἢ τὴν διὰ μαρτύρων ἢ τὴν δι᾽ ὅρκων δέξεται πίστιν, τοῦ μὲν ἐνάγοντος μάρτυρας παράγοντος, τοῦ φεύγοντος δὲ ὀμνύντος ἢ ἀντεπάγοντος, καθάπερ ἂν ὁ δικαστὴς τὴν ὑπόθεσιν τάξειεν[n], ἵνα μηδὲν εἴη μηδὲ τούτων ἀδιόρθωτον. κἀκεῖνο μέντοι τῷ νόμῳ προσθεῖναι καλὸν, ὥστε εἰ μέχρι μιᾶς χρυσίου λίτρας εἴη τὸ συνάλλαγμα, τὴν τοιαύτην παρατήρησιν ἐπὶ τούτῳ μὴ φυλάττεσθαι[2], ἀλλὰ κατὰ τὸ μέχρι νῦν πολιτευόμενον τὸ πρᾶγμα γίνεσθαι, ἵνα μὴ περὶ πραγμάτων σμικρῶν μεγάλας συντριβὰς ὑπομένωσιν ἄνθρωποι.

Ταῦτα δὲ πάντα κρατεῖν ἐπὶ ταῖς πόλεσι βουλόμεθα· ἐπείτοιγε ἐν χωρίοις, ἔνθα πολλὰ τὰ τῆς ἁπλότητός ἐστι καὶ οὐδὲ γραφόντων ἢ μαρτυρούντων πολλῶν εὐπορία, τὰ μέχρι

---

[n] Σημ. ὅτι ὁ φεύγων ὄμνυσιν ἢ ἀντεπάγει.

---

[1] Lips. ᾔδειεν. Bas. εἰδεῖεν. [2] Lips. συμβάλλεσθαι.

νῦν παρ᾽ αὐτοῖς κρατοῦντα καὶ νῦν ἔστω βέβαια· τοῦτο γὰρ καὶ ἐπ᾽ αὐτῶν τῶν διαθηκῶν, ἐφ᾽ αἷς μάλιστα σπεύδομεν, ἤδη παρ᾽ ἡμῶν νενομοθέτηται[o].

Καὶ τοῦτο ἐπὶ τούτοις παρακελευόμεθα, ὥστε εἴπερ τὶς ἔν τινι συμβολαίῳ ἑτέρου ποιήσεται μνήμην συμβολαίου[p], μηδεμίαν ἐκ ταύτης τῆς μνήμης ἀπαίτησιν γίνεσθαι, πλὴν εἰ μὴ καὶ τὸ ἕτερον συμβόλαιον, οὗτινος μνήμη κατὰ τὸ δεύτερον γέγονε, προκομισθείη, ἢ ἑτέρα παρασχεθείη κατὰ τοὺς νόμους ἀπόδειξις, ὅτιπερ καὶ ἡ ποσότης, ἧς μνήμη γέγονε, ταῖς ἀληθείαις ἐποφείλεται. τοῦτο γὰρ καὶ ἐν τοῖς παλαιοῖς εὑρίσκομεν νόμοις[q].

VI.

Περὶ βίας.

1. Ἀνάγν. βι. ι΄ [1] τί. β΄, οὗτινος ἐν τῷ β΄ κεφ. φησίν· Ὅτι βία ἐστὶ μεγάλου πράγματος ἐπέλευσις, ἣν οὐ δυνατὸν ἀπωθεῖσθαι.

2. Ἐν δὲ τῷ ια΄ κεφ. Ἔξεστι βίᾳ τὴν βίαν ἀπωθεῖσθαι. ὅθεν ἐὰν κατὰ φόβον ἐπερωτήσῃς τινὰ, καὶ ἀναγκάσω σε παραχρῆμα ποιῆσαι αὐτῷ ἀποχὴν, οὐκ ἐνέχομαί σοι.

3. Ἐν δὲ τῷ ιδ΄ κεφ. Καὶ ὁ καλῇ πίστει ἀγοράσας παρὰ τοῦ βιασαμένου, ἢ κατὰ δωρεὰν ἢ κατὰ λεγάτον λαβὼν, ἐνέχεται. καὶ ὅτι ὁ ποιήσας τὴν βίαν ἀναγκάζεται ἀποκαταστῆσαι, εἰ καὶ ἕτερος ἔχει τὸ πρᾶγμα· καὶ ὁ τὸ ἀφαιρεθὲν βιαίως ἔχων ἀποκαθίστησι, κἂν ἕτερος τὸν φόβον ἐπήγαγεν.

Καὶ τὸ διαφέρον τετραπλασιάζεται, τουτέστι μετὰ καρπῶν καὶ πάσης αἰτίας.

4. Ἐν δὲ τῷ ιε΄ κεφ. [2] Σύγκειται τῷ τετραπλῷ καὶ αὐτὸ τὸ πρᾶγμα.

Εἰ δὲ χωρὶς ἐπιβουλῆς καὶ δόλου τοῦ βιασαμένου μετὰ

---

o Νεαρὰ ρι϶΄.

p Οἷον ἵνα παράσχω τὸ χρυσίον ἐξ ὧν μοι ὤφειλεν ἀποδοῦναι ὁ πέτρος, ὑπὲρ ὧν ἔγγραφόν μοι ἐξέθετο ὁμολογητικήν.

q Ἀνάγνωθι καὶ νεαρὰν μθ΄ κεφ. β΄ ἐν ᾗ καὶ περὶ συγκρίσεως γραμμάτων καὶ περὶ ὅρκου διδομένου παρὰ τῶν διαδικαζομένων. καὶ νεαρὰν ογ΄, ἐν ᾗ φησι, πῶς χρὴ ἐπιτίθεσθαι τὸ πιστὸν τοῖς ἐμφανιζομένοις συμβολαίοις.

---

1 Lips. β΄. 2 Imo haec themata praecedentis cap. 14 sunt.

τὴν καταδίκην εἴσω τοῦ χρόνου τῆς καταδίκης[a] τελευτήσει ὁ ἀφαιρεθεὶς δοῦλος, τὸ τριπλοῦν μόνον δίδωσιν. εἰ δὲ ἐν φυγῇ ἐστιν, δίδωσιν ἀσφάλειαν[b], ὡς ἀναζητεῖ αὐτὸν καὶ πάντως ἀποκαθίστησι. σώζεται δὲ τῷ βιασθέντι καὶ ἡ ἐπ' αὐτῷ τῷ πράγματι[c] ἀγωγὴ, καὶ ἡ περὶ τῆς φανερώσεως αὐτοῦ ἀγωγὴ[d] καὶ πᾶσα ὑποῦσα αὐτῷ ἀγωγὴ[e] πρὸς τὸ ἀναλαβεῖν αὐτόν. καὶ ἐὰν αὐτὸν ὁπωσοῦν ἀναλάβῃ, ἐναγόμενος ὁ βιασάμενος ἐκ τῆς ἐπερωτήσεως ἔχει παραγραφήν. ἀλλὰ ταῦτα μὲν μετὰ καταδίκην. εἰ δὲ πρὸ ψήφου εἰ καὶ χωρὶς ἐπιβουλῆς ἢ δόλου τελευτήσει, ἐνέχεται. ἐὰν οὖν ἄνευ ἐπιβουλῆς καὶ δόλου τοῦ ἐναγομένου φύγῃ, ἀσφαλίζεται παρὰ[1] τοῦ δικαστοῦ, ὡς ἀναζητεῖ καὶ ἀποδίδωσιν. εἰ δὲ καὶ μὴ κατὰ ῥᾳθυμίαν τοῦ ἐναγομένου ἀπόληται τὸ πρᾶγμα, οὐκ ἂν δὲ ἀπόλλυτο εἰ μὴ γέγονεν ἡ βία, καταδικάζεται· ὥσπερ ἐπὶ τοῦ ἀπὸ βίας καὶ τοῦ βίᾳ ἢ λάθρα γίνεται. ὅθεν ἔσθ' ὅτε τὸ τίμημα λαμβάνει, ὡς ἤμελλε πιπράσκειν, εἰ μὴ τὴν βίαν ὑπέστη.

Ὁ βιασάμενος οὐκ ἐστι κλέπτης[f], εἰ καὶ τὰ μάλιστα ὁ ἅρπαξ ἀναιδής ἐστι κλέπτης.

Τὸ διαφέρον μόνον τετραπλασιάζεται· ὅθεν ἐὰν χρεωστῶν τεσσαράκοντα νομίσματα κατὰ βίαν ὁμολογήσω τριακόσια καὶ καταβάλω, τὰ σξ' μόνα τετραπλασιάζεται.

Πολλῶν βιασαμένων ἐὰν ὁ εἷς ἐναχθεὶς ἀποκαταστήσῃ πρὸ ψήφου τὸ πρᾶγμα καὶ[2] μετὰ τὴν ψῆφον δῷ τὸ τετραπλοῦν, ἐλευθεροῦνται οἱ ἄλλοι.

Εἰ[3] δὲ μὴ τὸ πᾶν παράσχοι[4], ἐνέχονται ἐπὶ τῷ ἐλλείποντι.

Τὸ αὐτὸ λέγομεν καὶ ἔνθα ἕτερος μὲν ἐβιάσατο, ἕτερος δὲ τὸ πρᾶγμα ἔχει.

---

a Τοῦ διδομένου τετραμήνου καιροῦ τοῖς καταδικασθεῖσιν.
b Καυτίονα.
c Ἰν ῥέμ.
d Ἡ ἀδ ἐξνιβένδουμ ἤτοι ἡ περὶ τῆς παραστάσεως αὐτοῦ ἀγωγή[5].
e Ἢ ἡ σέρβι κοῤῥούπτι ἤτοι ἡ περὶ ὑποφθορᾶς.
f Οὐ κατέχεται τῇ φούρτῃ.

---

[1] Leuncl. διά. [2] Basil. ἤ. [3] Quae sequuntur e capitibus 15. 16. Basil. X, 2 excepta sunt. [4] Leuncl. παρήχθῃ. [5] Haec verba textui inserta habet Lips. Sed glossema sunt, perinde ac scholia c et e. Leuncl. tam haec quam ipsa textus verba καὶ ἡ περὶ τῆς φαν. αὐτοῦ ἀγ. omittit.

Ἐὰν δὲ δοῦλοι βιάσωνται, καὶ τὸ πρᾶγμα πρὸς τὸν δεσπότην ἔλθῃ, ἐνάγεται καὶ περὶ τῶν δούλων καὶ οἰκείῳ ὀνόματι. καὶ εἰ μὲν τὸ πρᾶγμα ἢ τὸ τετραπλοῦν παράσχοι, συμβάλλεται τοῖς δούλοις· εἰ δὲ τῇ περὶ δούλων ἐναχθεὶς ἐκδώσει τοὺς δούλους, οὐδὲν ἧττον ἐνάγεται, εἰ περιῆλθεν εἰς αὐτὸν τὸ πρᾶγμα.

5. Ἀνάγν. καὶ βι. ν' τί. γ' ἀπὸ τοῦ ν' κεφ. ἐν δὲ τῷ να' κεφ. Ὁ βίᾳ ἐκβληθεὶς νομῆς διὰ τῆς περὶ βίας ἀγωγῆς ἐντὸς ἐνιαυτοῦ ἀναλαμβάνει αὐτὸ εἰς τὸ διπλοῦν, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν καὶ τοὺς καρπούς[1]. κατὰ δὲ κληρονόμων οὐ κινεῖται, εἰ μὴ μόνον εἰς τὸ περιελθὸν εἰς αὐτούς.

6. Ἐν δὲ τῷ νβ' κεφ. Οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς τὴν βιαίως ληφθεῖσαν παρ' αὐτοῦ νομὴν βεβαιοῖ τις.

7. Ἐν δὲ τῷ νζ' κεφ. Ἐάν τις ἢ τοῦ δημοσίου ἢ ἄλλου τινὸς νεμομένου πρᾶγμα δίχα δικαστικῆς κελεύσεως βίᾳ ἀφέληται αὐτό, εἰ μὲν δεσπότης ἐστὶν, ἐκπεσεῖται αὐτοῦ· εἰ δὲ ἀλλότριον ἦν, οὐ μόνον αὐτὸ δίδωσιν ἀλλὰ καὶ τὴν ἀποτίμησιν αὐτοῦ τῷ τὴν ἁρπαγὴν ὑπομείναντι.

8. Ἐν δὲ τῷ ξα' κεφ. Ἐάν τις ἀπόντος πρᾶγμα κατέσχε σχολάζον, οὐκ ἐνήγετο τὸ παλαιὸν ἢ τῷ περὶ βίας παραγγέλματι ἢ τῷ ὅπερ βίᾳ ἢ λάθρα, εἰ μὴ ἄρα τῇ τὰ ἴδια ἐκδικούσῃ ἀγωγῇ, ἐν ᾧ ὁ δεσπότης ἦν ὁ ἀπών. ἡμεῖς οὖν ὡς νομέα ὄντα βουλόμεθα κρατεῖσθαι τῷ περὶ βίας γενικῷ παραγγέλματι. γελοῖον γάρ ἐστι τὸ λέγειν, ὅτι ἐνόμιζον ἴδιον τὸ ἀλλότριον· ὥσπερ οὖν καὶ ἐπὶ τῆς [περὶ] κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῆς εἴπομεν, ὅτι ὁ παρὰ γνώμην τοῦ δεσπότου ψηλαφῶν κλοπὴν ἁμαρτάνει. ταῦτα δέ φαμεν, εἰ μὴ τριακονταετία παρῆλθεν ἐξ οὗ τῆς νομῆς ἐπελάβετο.

9. Ἀνάγν. καὶ βι. να' τί. δ' κεφ. κα', ἐν ᾧ φησιν· Μᾶλλον βοηθεῖται ὁ βιαίως ἐκβληθεὶς καὶ μετὰ ταῦτα πάλιν νεμόμενος, εἴπερ ὁ θέλων κινῆσαι τὸ τῆς βίας μὴ νεμόμενος, ἐπειδήπερ ἐντὸς ἐνιαυτοῦ μόνον κινεῖται.

10. Ἀνάγν. καὶ βι. νη' τί. κγ'[2], ἐν ᾧ καὶ περὶ τῶν λάθρα διαλέγεται, οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὅτι βία ἐστὶ τὸ πρᾶξαί τι ἐναντίον οὗπερ ἐκωλύετο, κἂν μικροῦ λίθου βολῇ κωλυθῇ κἂν ἀπὸ διαμαρτυρίας καὶ ἐπιμείνῃ ποιῶν, κἂν ὀφείλων κωλυθῆναι ἐμηχανήσατό τινα μὴ κωλυθῆναι· τὸ αὐτὸ κἂν κωλυθεὶς ἐν-

---

[1] Haec verba εἰς τὸ διπλοῦν — καὶ τοὺς καρπούς nec Leuncl. nec Basil. agnoscunt. [2] Lips. γ'.

δέδωκε, μετὰ δὲ τοῦτο τὰ αὐτὰ ποιεῖ, μὴ ἐπιτραπεὶς παρ' ἐμοῦ ἢ κατὰ ἄλλην εὔλογον αἰτίαν.

11. Ἐν δὲ τῷ ιζ' κεφ. Βίαν ποιεῖ ὁ μετὰ κώλυσιν ποιήσας, καὶ ὁ ἀπειλήσας τῷ ἀντιδίκῳ ἵνα μὴ κωλυθῇ, καὶ ὁ ἀποκλείσας τὸν πυλῶνα αὐτοῦ ἵνα μὴ παραγγελθῇ.

12. Ἀνάγν. καὶ βι. ξ' τί. ιζ', οὗτινος ἐν τῷ ζ' κεφ. φησίν· Λέγει ὁ πραίτωρ· εἰ ἐκβάλῃς[1] τινὰ βιαίως ἢ σὺ ἢ ἡ φαμιλία σου ἀπὸ τοῦ τόπου, καὶ περὶ αὐτοῦ καὶ περὶ ὧν εἶχεν ἐκεῖ ἐντὸς ἐνιαυτοῦ, μετὰ δὲ ταῦτα εἰς τὸ περιελθὸν εἰς τὸν ἐκβάλλοντα κινεῖ.

Εἰ κατ' οἰκείαν γνώμην ἡ φαμιλία μου βίαν ποιήσει, εἰ μὲν περιῆλθέ τι εἰς ἐμὲ, ἀποκαθιστῶ· εἰ δὲ μὴ, εἰς νόξαν[a] ἐκδίδωμι τοὺς δούλους μου καὶ ἀζήμιος μένω. δύναται γὰρ ὁ δοῦλος ἐν τούτῳ[b] χείρονα ποιεῖν τὴν αἵρεσιν τοῦ δεσπότου.

13. Ἐν δὲ τῷ η' κεφ.[2] Ἔξεστι βίᾳ τὴν βίαν ἐξωθεῖν καὶ ὅπλα ὅπλοις.

Ὁ βίᾳ ἐκβληθεὶς ὅ,τι ἐνέμετο λαμβάνει. δεῖ γὰρ εἰς τὸ ἀρχαῖον ἀποκαταστῆναι τὸ πρᾶγμα, ἤγουν εἰς ὃ ἦν, εἰ μὴ ἐβιάσθη.

14. Ἐν δὲ τῷ θ' κεφ. Καλῶς ὅπλοις ἐξωθῶ[c] τὸν μεθ' ὅπλων ἐπιόντα, παραχρῆμα[d] μέντοι. ὅπλα δέ εἰσι πάντα τὰ βέλη, οἷον ῥόπαλα, λίθοι, ξίφη, ῥομφαῖαι.

15. Ἐν δὲ τῷ λ' κεφ. Ἡ περὶ βιαίας ἁρπαγῆς πραγμάτων ἀγωγὴ ἐπὶ τοῖς κινητοῖς, οὐκ ἐπὶ[3] τοῖς ἀκινήτοις ἁρμόζει.

16. Ἀνάγν. καὶ τί. ιη', οὗτινος ἐν τῷ ι' κεφ. φησίν· Ἡ καταδίκη τοῦ περὶ βίας δημοσίας ἐγκλήματος ἡ εἰς μέταλλον διηνεκὴς ἐξορία ἐστίν.

Οἱ μεθ' ὅπλων ἐπιόντες καὶ πορθοῦντες ἀλλοτρίους οἴκους ἢ ἀγροὺς εἰς κεφαλὴν τιμωροῦνται.

17. Ἐν δὲ τῷ ια' κεφ. Ὁ καταδικασθεὶς τῷ περὶ βίας ἰδιωτικῆς νόμῳ καὶ εἰς τὸ τρίτον τῆς οὐσίας δημεύεται, καὶ οὔτε συγκλητικὸς ἢ ἄρχων γίνεται ἢ ἄλλην ἀρχὴν[4] μετέρχεται.

---

[a] Εἰς ποινὴν ἀπὸ βίας προβαίνοντος φόνου βλάπτουσαν αὐτὸ τὸ σῶμα τὸ βλάψαν.

[b] Τουτέστιν ἐν τῷ τιμήματι αὐτοῦ καταβλάπτειν τὸν δεσπότην.

[c] Ἐλαύνω, ἐξωθῶ, ἐκβάλλω.

[d] Τουτέστιν ἐντὸς γ' ἡμερῶν[5].

[1] Lips. ἐκβάλλεις. [2] Imo ex eodem capite, ex quo praecedentia sumta sunt. [3] Lips. ἔτι. [4] Leuncl. νομήν. Basil. τιμήν. [5] Haec in Lips. perperam textui intrusa sunt.

18. Ἐν δὲ τῷ ιβ′ [1] κεφ. Ὁ χωρὶς ἄρχοντος ἐπιβὰς προπετῶς τοῖς πράγμασι τοῦ χρεώστου ἐκπίπτει τοῦ χρέους. Καὶ δημεύεται εἰς τὸ τρίτον τῆς οὐσίας καὶ ἀτιμοῦται.

19. Ἐν δὲ τῷ ιγ′ [2] κεφ. Ἐὰν βία γένηται καὶ συμβῇ φόνον γενέσθαι, εἴτε ἐκ τῶν βιασαμένων εἴτε ἐκ τῶν βιασθέντων, ὑποκείσθω τῇ κολάσει ἐκεῖνος ὁ τὴν βίαν ἐπαγαγεῖν ζητήσας. αὐτὸς γὰρ αἴτιος γέγονε τοῦ φόνου.

20. Καὶ [3] ὅτι ὅταν οἰκέτης δειχθῇ βίαν πεποιηκὼς ἢ διὰ οἰκείας ὁμολογίας ἢ διὰ μαρτύρων, ἐὰν παρὰ γνώμην τοῦ δεσπότου τοῦτο ἐτόλμησεν, [αὐτὸς] τιμωρηθήσεται· εἰ δὲ γνώμῃ τοῦ δεσπότου, αὐτὸς μὲν μεταλλισθήσεται, ὁ δὲ δεσπότης αὐτοῦ, εἰ μὲν ἐν ἀξιώματί ἐστιν ἢ τιμῇ, ἀτιμοῦται καὶ τῆς ἀξίας ἤτοι τιμῆς ἐκπίπτει· εἰ δὲ εὐτελὴς ᾖ ἢ ἄλλως [4] ἄτιμος, ἢ εὐϋπόληπτος μέν ἐστι, φαίνεται δὲ ταύτην τὴν βίαν πολλάκις ἁμαρτήσας, τὴν διηγορευμένην κατὰ τῶν βιαίων τιμωρίαν ὑποστήσεται. εἰ δὲ ὁ ἄρχων τὴν ἐλεγχθεῖσαν παρ᾽ αὐτῷ βίαν παρίδοι ἢ μετριώτερον τιμωρήσεται, ἀτιμοῦται.

21. Ἀνάγνωθι καὶ τὸν περὶ ἁρπαγῆς τίτλον· εὑρήσεις γὰρ κἀκεῖσε περὶ βιαίας ἁρπαγῆς καὶ ἐν τῷ περὶ ἀποκαταστάσεως τίτλῳ προείρηται περὶ τῶν κατὰ βίαν δοθέντων ἢ πραχθέντων.

22. Ἀνάγν. καὶ τί. νδ′ κεφ. ιη′ τοῦ ζ̄ βι., ἐν ᾧ φησιν· Ὁ βιασάμενος ἢ περιφρονήσας τῶν ἐκκλησιαστικῶν προνομίων πέντε χρυσοῦ λίτρας ζημιούσθω.

Ἀρχὴ τοῦ Γ στοιχείου.

I.

Περὶ γάμου νομίμου [5], καὶ πότε ἀναγκάζονται οἱ γονεῖς ἐκγαμίζειν τοὺς ἰδίους παῖδας.

1. Ἀνάγν. βι. κη′ τί. α′ κεφ. ε′, ἐν ᾧ φησιν· Ὁ κόρην ἧττονα τῶν δώδεκα ἐτῶν ἀγόμενος πρὸς γάμον οὐ συνίστησι γάμον. Ἀλλ᾽ εἰ μὲν προηγήσατο μνηστεία, μένει φυλαττομένη, κἂν τὰ μάλιστα τὴν μνηστευθεῖσαν ἐν τάξει γαμετῆς εἰς τὸν οἶκον αὐτοῦ ἀνήνεγκεν. εἰ δὲ μὴ προηγήσατο μνηστεία, μηδὲ τοιαύτην ἐξ ἀρχῆς ἔσχε διάθεσιν, οὐ διὰ τοῦτο μνηστεία νῦν γενέσθαι δοκεῖ.

---

[1] Lege ιη′. [2] Lege κγ′ vel potius κε′. [3] Est ex c. 27. [4] Lips. ἄλλος. [5] Leuncl. γάμων νομίμων.

2. Ἀνάγν. καὶ τί. δ', οὗτινος ἐν τῷ α' κεφ. φησί· Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις τοῦ βίου παντὸς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία[a].

3. Ἐν δὲ τῷ β' κεφ. Οὐ γίνεται γάμος, εἰ μὴ συναινέσουσιν οἱ συναπτόμενοι καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους[b].

4. Ἐν δὲ τῷ γ' κεφ. Ἡ ἥττων τῶν δεκαδύο ἐτῶν γαμηθεῖσα τότε γίνεται νόμιμος γαμετὴ, ὅτε παρὰ τῷ ἀνδρὶ πληρώσῃ τὰ ιβ' ἔτη.

5. Ἐν δὲ τῷ θ'[1] κεφ. Ὁ δίχα τινὸς εὐλόγου καὶ δικαίας αἰτίας τοὺς ὑπεξουσίους αὐτοῦ παῖδας κωλύων, τοὺς μὲν υἱοὺς λαμβάνειν γαμετὰς, τὰς δὲ θυγατέρας ἀνδράσι συνάπτεσθαι, ἢ καὶ μὴ βουλόμενος προῖκα διδόναι, διὰ τῶν ἀρχόντων ἀναγκάζεται ἐκγαμίζειν καὶ προικίζειν. κωλύειν δὲ δοκεῖ ὁ μὴ ζητῶν μνηστείαν.

6. Ἐν δὲ τῷ ια'[2] κεφ. Ὁ πρὸς ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ.

Φανερῶς δὲ δοκεῖ πόρον ποιεῖν οὐ μόνον ἡ ἑαυτὴν ἐν χαμαιτυπείῳ προστήσασα, ἀλλὰ καὶ ἡ τῆς οἰκείας αἰδοῦς ἐν ἐργαστηρίῳ μὴ φεισαμένη. τὸ δὲ φανερῶς λέγομεν, ἐὰν χύδην ἄνευ φειδοῦς, οὐ μὴν ἐάν τις ἑαυτὴν ἐκδῷ μοιχοῖς ἢ αἰσχρουργοῖς, ἀλλ' ἡ τάξιν προεστώσης ἐπέχουσα. ἡ δὲ ἐξ ἑνὸς ἢ δευτέρου λαβοῦσα χρήματα ἐπὶ μίξει πόρον φανερῶς ἐκ τοῦ σώματος οὐ δοκεῖ ποιεῖν.

7. Ἐν δὲ τῷ λ' κεφ. Ὁ [πατὴρ ὁ] μὴ ἐναντιούμενος τοῖς γάμοις τοῦ παιδὸς συναινεῖν δοκεῖ, καὶ τὸν ἐκ τούτου τικτόμενον ἔκγονον[c] ἀναγκάζεται τρέφειν.

8. Ἐν δὲ τῷ νγ' κεφ. Ἐγνόμους γάμους μεταξὺ ἀλλήλων συνιστῶσι ῥωμαῖοι, ἡνίκα τὰ περὶ τῶν γάμων τοῖς νόμοις διηγορευμένα φυλάξουσι. δεῖ δὲ τοὺς μὲν ἄῤῥενας ἐφήβους εἶναι,

---

[a] Δεῖ γὰρ τὸν ἄνδρα καὶ τὴν γυναῖκα μὴ μόνον ὑπὸ τοὺς αὐτοὺς εἶναι νόμους, ἀλλὰ γὰρ δεῖ καὶ τῆς αὐτῆς εἶναι θρησκείας τε καὶ αἱρέσεως καὶ ἐπίσης σέβειν τὸ θεῖον.

[b] Καὶ ἐπὶ αὐτεξουσίας κόρης ἥττονος τῶν κε' ἐτῶν ὀφείλει συναινεῖν ὁ πατήρ. εἰ δὲ μετὰ τὸν γάμον συναινέσει, ἔκτοτε καὶ οὐκ ἄνωθεν ὁ γάμος βεβαιοῦται.

[c] Τὸν ὑπεξουσίου παιδός. ὁ γὰρ ὑπεξούσιος ὑπεξούσιον ἔχειν οὐ δύναται.

---

[1] Leuncl. legi vult ιθ'. [2] Idem conj. κα'.

τὰς δὲ θηλείας ἀνδρὸς δεκτικάς, τουτέστι τοὺς μὲν ὑπερβεβηκέναι τὸ τεσσαρεσκαιδέκατον ἔτος, τὰς δὲ μείζονας εἶναι τῶν δώδεκα ἐνιαυτῶν. ταῦτα δὲ λέγομεν, εἴτε αὐτεξούσιοι εἴτε ὑπεξούσιοί εἰσιν οἱ πρὸς γάμον συνιόντες. ἀλλ᾽ ἐπὶ τῶν ὑπεξουσίων καὶ ἕτερόν τι ζητοῦμεν, συναίνεσιν εἶναι τῶν γονέων, ὧν ὑπεξούσιοί εἰσιν οἱ συναπτόμενοι. τοῦτο γὰρ χρὴ[1] γίνεσθαι, καὶ ὁ πολιτικὸς καὶ ὁ φυσικὸς ἀπαιτεῖ λογισμός[d].

9. Ἐν δὲ τῷ νδ΄ κεφ. Τὸν γάμον διάθεσις ἀμοιβαία ποιεῖ, τῆς τῶν προικῴων οὐκ ἀεὶ ἐπιδεομένη προσθήκης.

Δεῖ δὲ[2] τοὺς μεγάλοις μὲν ἀξιώμασι[3] κεκοσμημένους μέχρι πρωτοσπαθαρίων μὴ ἄλλως γάμοις προσομιλεῖν, εἰ μὴ προικῷα συγγράψαιεν συμβόλαια, πλὴν εἰ μή τις πρὸ τοῦ τυχεῖν τῶν τοιούτων ἀξιωμάτων ἐκ μόνης διαθέσεως ἠγάγετο γαμετήν. τοὺς γὰρ τοιούτους γαμοὺς τοὺς πρὸ τῆς ἀξίας γενομένους καὶ μετὰ τὴν ἀξίαν νομίμους εἶναι κελεύομεν, καὶ τοὺς ἐξ αὐτῶν τεχθέντας νομίμους εἶναι παῖδας. μετὰ μέντοι τὸ τιμηθῆναι τοιαύταις τινὰς ἀξίαις μὴ ἄλλως ἄγεσθαι γαμετάς, πλὴν εἰ μὴ κατὰ προικῷα συμβόλαια. ταύτην δὲ τὴν τοῦ νόμου ἀκρίβειαν συγχωροῦμεν τοῖς ὑποτεταγμένοις τῇ ἡμετέρᾳ πολιτείᾳ βαρβάροις, εἰ καὶ ἀξιώμασι τοιούτοις[4] ὑπάρχοιεν κεκοσμημένοι, ὥστε καὶ[5] διαθέσει ψιλῇ δύνασθαι αὐτοὺς βουλομένους συναλλάσσειν γάμους. τοὺς δὲ λοιποὺς ἅπαντας παρὰ τοὺς ταῖς μεγάλαις ἀξίαις ὡς εἴρηται κεκοσμημένους, οἱασδήποτε εἶεν ἀξίας ἢ στρατείας ἢ ἐπιτηδεύσεως, εἰ μὲν βουληθεῖεν ἢ δυνηθεῖεν, οὐ κωλύομεν μετὰ προικῴων συμβολαίων ἄγεσθαι γαμετάς· εἰ δὲ καὶ τοῦτο μὴ παραφυλάξουσι, καὶ τοὺς ἐκ μόνης διαθέσεως ἀποδεικνυμένους γάμους βεβαίους εἶναι θεσπίζομεν, καὶ τοὺς ἐξ αὐτῶν τικτομένους νομίμους εἶναι παῖδας κελεύομεν[e].

10. Ἐν δὲ τῷ νε΄ κεφ. Τὸν μὲν νόμον, δι᾽ οὗ αἱ τῶν γυναικῶν συζυγίαι, ἃς ὁ αὐτὸς νόμος εὐτελεῖς[f] ἐκάλεσε, πρός

---

d Ὁ πολιτικὸς μὲν διὰ τὸ τῶν ῥωμαίων ἴδιον, τουτέστι τὴν ὑπεξουσιότητα· ὁ φυσικὸς δέ, ἐπειδὴ δίκαιον τοὺς μέχρι τοιαύτης ἡλικίας ἀναθρέψαντας ταύτης ἀξιοῦσθαι τῆς τιμῆς.

e Ἀνάγνωθι καὶ νεαρὰν οδ΄ κεφ. β΄ καὶ γ΄ καὶ ρις΄ κεφ. β΄ καὶ γ΄ καὶ δ΄· τὰ ὅμοια γάρ φησι.

f Τὰς πόρνας, τὰς ἐν ἐργαστηρίοις, καὶ τὰς σκηνικάς.

---

1 Leuncl. conj. χρῆναι. 2 Labbaeus οὖν. 3 Ita Labbaeus. Leuncl. τοῦ μεγάλου μὲν ἀξιώματος. Lips. τοὺς μεγάλους μὲν ἀξιώματι. 4 Leuncl. κἂν ἀξιώμασι τούτοις. 5 Lips. μή.

τινας ἀξιώμασι κεκοσμημένους κωλύονται, οὐδενὶ παντελῶς τρόπῳ κρατεῖν συγχωροῦμεν, ἀλλ᾽ ἄδειαν τοῖς βουλομένοις παρέχομεν, εἰ καὶ οἱοισδήποτε μεγάλοις ἀξιώμασι κοσμοῖντο, τὰς τοιαύτας γυναῖκας μετὰ προικῴων συμβολαίων ἑαυτοῖς συνάπτειν. οἱ δὲ λοιποὶ παρὰ τοὺς τοῖς μεγάλοις ἀξιώμασι κεκοσμημένους ἄδειαν ἐχέτωσαν τὰς τοιαύτας γυναῖκας λαμβάνειν, εἴτε ἐγγράφως βουληθεῖεν εἴτε μόνῃ διαθέσει γάμου, εἰ μέντοιγε ἐλεύθεραι[g] εἴησαν, καὶ μεθ᾽ ὧν ἔξεστι γάμον ἐπιτελεῖσθαι. εἴ τις δὲ προικῷα γράψειε πρὸς ἐλευθέραν τὴν ἀρχὴν ἢ καὶ ἀπελευθέραν γυναῖκα, ᾗπερ ἔξεστιν ὅλως συνοικεῖν, ἐν παλλακῆς σχήματι συνοῦσαν αὐτῷ, ἢ νομίμων παίδων ἤδη πατὴρ γεγονὼς[1] ἢ καὶ παίδων οὐ γενόμενος τοιούτων πατὴρ, γνήσιον εἶναι τὸν γάμον, καὶ τοὺς παῖδας τούς τε προειληφότας τούς τε κυοφορουμένους γνησίους αὐτῷ καθεστάναι θεσπίζομεν.

II.

Περὶ γάμων κεκωλυμένων[h].

1. Ἀνάγν. βι. κη´ τί. ε´, οὗτινος ἐν τῷ β´ κεφ. φησίν· Οἱ κεκωλυμένοι γάμοι γινώσκονται οὕτως. ἐπὶ τῶν ἀνιόντων καὶ κατιόντων εἰς ἀπέραντον ὁ γάμος κεκώλυται, κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων. οὐ δύναται γάρ τις λαμβάνειν τὴν ἰδίαν

---

g Ἐλεύθεραι εἶπε διὰ τὰς ἀπελευθέρας. ἐπεὶ δέ εἰσι καὶ ἐλεύθεραι, ὧν ὁ γάμος οὐκ ἐπιτέτραπται, οἷον τῶν ἐπὶ θρησκείᾳ ἀλλοτρίως ἐχουσῶν, ἢ ἀνήβων ἢ ἐπιτροπευομένων καὶ ἄλλων τοιούτων, προσετέθη τό· καὶ μεθ᾽ ὧν ἔξεστι γάμον ἐπιτελεῖσθαι.

h Ἰστέον ὅτι ἡ πρὸς γάμον συνάφεια τῆς συγγενείας μέχρις ὀγδόου βαθμοῦ κωλύεται, ἡ δὲ ἐξ ἀγχιστείας ἄχρις ἑβδόμου. ἐπὶ μέντοι τοῦ ζ´ συγγενείας, εἰ μὲν φθάσειε γενέσθαι ὁ γάμος, οὐ λύεται, ἐπιτιμᾶται δέ. εἰ δὲ πρὶν γενέσθαι γνωσθῇ, κωλύεται μὴ παραχωρούμενος. περὶ δὲ ϛ´ βαθμοῦ τοῦ ἐξ ἀγχιστείας ἐγένετο στάσις, καὶ ἐκωλύθη παρὰ τῆς συνόδου καὶ ἀλεξίου βασιλέως τοῦ κομνηνοῦ θεσπίσαντος, ἀπὸ δεκεμβρίου μηνὸς τοῦ η´ ἔτους τῆς βασιλείας αὐτοῦ, ἰνδικτιῶνος οὔσης ιβ´, συντηρεῖσθαι τὸν ϛ´ βαθμὸν τὸν ἐξ ἀγχιστείας, ὥστε μὴ συνάπτεσθαι κατ᾽ αὐτὸν γάμον, καὶ μὴ παρορᾶσθαι τοῦτο. καθὼς καὶ ἐπὶ τῷ γάμῳ βάρδεως ξηροῦ τοῦ κατωζοὺ, ὅστις γάμος στάσεως τοῖς μητροπολίταις γέγονεν ἀφορμή. ζήτει καὶ βι. με´ τί. γ´ κεφ. δ´. ὁ τόμος τοῦ πατριάρχου σισινίου κωλύει συνάπτεσθαι ἀδελφοὺς δύο πρωτεξαδέλφαις ἑτέρου γένους, ὡσαύτως καὶ θεῖον καὶ ἀνεψιὸν ἀδελφαῖς δύο, καὶ τὸ ἀνάπαλιν ἀδελφὰς δύο πρωτεξαδέλφοις, καὶ ἀδελφοὺς δύο θείᾳ καὶ ἀνεψιᾷ.

---

1 Leuncl. καθεστώς.

μητέρα ἢ μάμμην ἢ θυγατέρα ἢ ἐκγόνην, εἴτε φυσικαί εἰσιν εἴτε θεταὶ, εἰ καὶ τὰ μάλιστα ἡ θέσις ἐλύθη τῷ τρόπῳ τῆς αὐτεξουσιότητος· αἰσχυνέσθω γὰρ τῇ νῦν ἢ πάλαι τοῦ πατρὸς[1] ἢ μάμμης προσηγορίᾳ.

Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προσώπων ἐστί τις κώλυσις.

Τὴν γὰρ τοῦ ἀδελφοῦ μου ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις· ἀλλ᾽ οὐδὲ τὴν τούτων ἐκγόνην.

Ὁμοίως οὐδὲ τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξαδέλφην μου. ἀλλ᾽ οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι.

Ἀλλ᾽ οὐδὲ τὴν πρὸς πατρὸς ἢ μητρὸς θείαν, εἰ καί εἰσι θεταὶ, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν. καὶ πῶς συμβαίνει θετὴν εἶναι θεῖαν; οἷον ὁ πάππος μου ὁ πρὸς πατρὸς ἔχων υἱὸν τὸν ἐμὸν πατέρα ἔλαβε κόρην τινὰ εἰς θέσιν· καὶ ὁ μὲν ἐμὸς πατὴρ ἐκάλει αὐτὴν θετὴν ἀδελφὴν, ἐγὼ δὲ θεῖαν. ὡσαύτως οὐδὲ τὴν μεγάλην θεῖαν δύναμαι λαβεῖν, τουτέστι τοῦ πάππου ἀδελφὴν, εἰ καὶ θετή ἐστιν, ἐπειδὴ μάμμης τάξιν ἐπέχει.

Εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ θεσμὸν[2] συγγενείας, διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες. ἀγχιστεία δέ ἐστι οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων συγγενείας ἐκτός. οἷον οὐ δύναμαι λαμβάνειν τὴν ἐμὴν προγονὴν ἢ νύμφην. καὶ προγονὴ μέν ἐστιν ἡ ἐξ ἄλλου θυγάτηρ καὶ ἐκγόνη καὶ προεκγόνη τῆς γαμετῆς μου· νύμφη δὲ ἡ τοῦ υἱοῦ καὶ ἐκγόνου καὶ προεκγόνου γαμετή.

Οὐδὲ τὴν πενθεράν μου ἢ μητρυιάν μου, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν.

Οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μου γυναικὸς, τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός. τὴν τοῦ πατρός μου ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν οὐ δύναμαι λαμβάνειν, κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν. ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει.

Ὁ[3] θετὸς υἱὸς καὶ αὐτεξούσιος γενόμενος οὐ δύναται τὴν γενομένην τοῦ θετοῦ πατρὸς γαμετὴν λαμβάνειν πρὸς γάμον, ὥσπερ οὐδὲ τὴν αὐτοῦ τοῦ υἱοῦ γαμετὴν ὁ αὐτεξούσιον αὐτὸν

[1] Leuncl. in marg. conj. τῆς μητρός. [2] Lips. νόμου. [3] Quae capiti 2 inscribuntur „Ἐν δὲ τῷ δ΄ κεφ." rectius hic ponenda erant.

ποιήσας θετὸς πατὴρ, κἂν ἡ θέσις ἐλύθη, εἰ καὶ μὴ ἅπτεται τοῦ γένους αὐτῶν. ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει.

Καὶ ὁ φυσικὸς δὲ[1] πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα. τὸ φύσει γὰρ δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται. τὰ αὐτὰ καὶ περὶ δουλικῆς συγγενείας καὶ ἀγχιστείας φυλάττεσθαι χρή.

2. Ἐν δὲ τῷ δ΄ κεφ. Οὐ μόνον ἡ τοῦ πατρός μου, ἀλλὰ καὶ τοῦ πάππου καὶ προπάππου γαμετὴ μητρυιὰ λέγεται, καὶ κωλύομαι λαμβάνειν αὐτάς. κἂν πολλὰς ἔσχεν ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω.

Οὐδὲ τὴν μητέρα τῆς ποτέ μου μνηστῆς. γέγονε γὰρ πενθερά.

3. Οὐδὲ τήν ποτε γυναῖκα τοῦ προγονοῦ μου. οὐδὲ ἡ μητρυιὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγονῆς αὐτῆς.

4. Τὴν προεκγόνην τῆς ἀδελφῆς μου γαμεῖν οὐ δύναμαι. γονέων γὰρ ἔχω πρὸς αὐτὴν τάξιν.

5. Οὔτε τὴν θυγατέρα τῆς προγονῆς μου λαμβάνω.

6. Ἐν[2] τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ σεμνὸν ζητοῦμεν[a].

7. Ἐν δὲ τῷ θ΄ κεφ. Οὐκ ἔῤῥωται ὁ γάμος τῆς θυγατρὸς ἢ ἐκγόνης ἢ προεκγόνης τοῦ ἀξιωματικοῦ πρὸς ἀπελεύθερον ἢ σκηνικὸν ἢ υἱὸν σκηνικοῦ.

8. Ἐν δὲ τῷ ι΄ κεφ. Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει.

9. Οὔτε ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ υἱοῦ θυγατέρα, ἢ τὴν ἐκγόνην·

Οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ πατρὸς μητέρα, ἢ τὴν ἀδελφὴν αὐτῆς, ἢ τὴν ἀπὸ υἱοῦ ἐκγόνην.

10. Ἐν δὲ τῷ ιγ΄ κεφ. Ἡ ἀπελευθέρα γαμηθεῖσα τῷ ἰδίῳ πάτρωνι μετὰ θάνατον αὐτοῦ οὐ γαμεῖται ἀπελευθέρῳ αὐτοῦ, ἵνα μή τις ἔχοι λέγειν, ὡς καὶ περιόντος ἔτι τοῦ πάτρωνος μοιχείαν ἐπλημμέλησε πρὸς αὐτήν.

---

[a] Ἐν ταῖς συναφείαις τῶν γάμων οὐ μόνον τὴν ἀκρίβειαν τοῦ νόμου σκοπεῖσθαι χρεὼν, ἀλλ' εἰ καὶ σεμνόν ἐστι τὸ πραττόμενον. φησὶ γὰρ τὸ ρλθ΄ κεφ. τοῦ γ΄ τί. τοῦ β΄ βι. τῶν βασιλικῶν· οὐ πᾶν ὅπερ ἔξεστιν, ἤδη καὶ εὐπρεπές ἐστιν.

---

[1] Leuncl. γάρ. [2] Hoc et quod sequitur caput sub una eademque inscriptione ponenda erant.

Κἂν ἀποδῷ τοὺς λόγους ὁ ἐπίτροπος τῷ κουράτορι, τὴν ἐπιτροπευθεῖσαν ὑπ᾽ αὐτοῦ οὐ δύναται λαβεῖν, ἕως οὗ γένηται κε΄ ἐτῶν καὶ ὁ τῆς ἀποκαταστάσεως τετραετὴς χρόνος παραδράμῃ, κἂν τὰ μάλιστα συναφθεῖσα πρὸς γάμον ἑτέρῳ παῖδας ἔσχεν.

11. Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου οὔτε ὁ συνυπεξούσιος αὐτοῦ ἀδελφὸς δύναται γαμεῖν τὴν ὀρφανὴν, οὐδὲ ὁ υἱὸς ἢ ἔκγονος αὐτοῦ, ὡς ἐν τῷ κϛ΄ κεφ. φησίν. ὁμοίως καὶ ἐν τῷ ιγ΄ τοῦ α΄ τίτλου [1].

12. Ἐν δὲ τῷ ιζ΄ κεφ. Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι[b].

13. Ἡ τεκοῦσα[c] ἐν τῷ πενθίμῳ παραχρῆμα δύναται γαμεῖν.

Αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ κωλύονται ἐν τῷ πενθίμῳ καιρῷ [2] γαμεῖσθαι.

14. Ὁ παρθένον ἢ χήραν ἁρπάσας οὐ δύναται ταύτην γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος τὸ ἔγκλημα.

15. Ὁ ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην. οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα· ἀλλ᾽ οὐδὲ ὁ υἱὸς αὐτοῦ· ἐπειδὴ οὐδὲν ἄλλο οὕτω δύναται εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου [3] κώλυσιν, ὡς ὁ τοιοῦτος δεσμὸς, δι᾽ οὗ θεοῦ μεσάζοντος [4] αἱ ψυχαὶ αὐτῶν συνάπτονται.

---

b Ἐάν [5] τις γυνὴ τῷ ὑποπτευομένῳ μοιχῷ γαμηθῇ, οὐ κατηγορεῖται, πρὶν ἂν εἶναι μοιχὸς αὐτὸς ἐλεγχθῇ, ὡς τὸ ι΄ θέμ. τοῦ ια΄ κεφ. τοῦ λζ΄ τί. τοῦ ξ΄ βι. καὶ κεφ. αὐτοῦ ε΄· ὥστε ὁ τοιοῦτος γάμος ἔῤῥωται.

c Τοῦτο ἐπὶ τῶν γυναικῶν τῶν ἀτίμων ἀνδρῶν. ἡ μέντοι τεκοῦσα ἐν τῷ πένθει κωλύεται γαμεῖν. τὸ μὲν γὰρ πένθος ἐπὶ τῶν γυναικῶν τῶν ἐντίμων ἀνδρῶν λέγεται, ὁ δὲ πένθιμος ἐπὶ τῶν ἀτίμων. ἡ μὲν οὖν γυνὴ τοῦ ἀτίμου, ἐφ᾽ ἧς ὁ πένθιμος χρόνος λέγεται, μετὰ τὸ τεκεῖν οὐ κωλύεται γαμεῖσθαι· οὐ γὰρ διὰ τὴν τιμὴν τοῦ τετελευτηκότος πρὸ τοῦ γεννῆσαι ἐκωλύετο αὕτη γαμεῖσθαι, ἀλλὰ διὰ τὴν τῆς γονῆς σύγχυσιν. ἡ δὲ τοῦ ἐντίμου γυνὴ, ἐφ᾽ ἧς τὸ πένθος λέγεται, κἂν τέκῃ, ἀλλ᾽ οὖν τὸν χρόνον ὀφείλει φυλάξαι, ἐπεὶ οὐ διὰ μόνην τὴν σύγχυσιν τῆς γονῆς κωλύεται, ἀλλὰ καὶ διὰ τὴν τιμὴν τοῦ τετελευτηκότος.

---

[1] Haec verba: ὡς ἐν τῷ κϛ΄ — α΄ τί. non auctori, sed scholiastae tribuuntur apud Labbaeum. [2] Leuncl. χρόνῳ. [3] Lips. νόμου. [4] Leuncl. in marg. conj. μεσιτεύοντος. [5] Lips. hoc scholium textui insertum praestat.

16. Ἐν δὲ τῷ λθ' κεφ. Ἐάν τις οἱανδήποτε πράττων ἀρχὴν πειραθείη γῆμαι κόρην ἄκουσαν[1] ἢ ἀκόντων τῶν γονέων τὴν οἱανδήποτε, δέκα λιτρῶν χρυσοῦ πρόστιμον ὑπὲρ αὐτῆς τῆς ἐγχειρήσεως διδότω.

17. Ἐν δὲ τῷ μ' κεφ. Ὡς ἐν συντόμῳ βούλεται ἡ διάταξις, μηδένα πραγματεύεσθαι γάμον ἑαυτῷ διὰ βασιλικῆς ἀντιφωνήσεως[d]. ἐπεί, φησιν, καὶ δημευέσθω, καὶ μηδὲ παῖδες ἔστωσαν οἱ τικτόμενοι, κἂν συγχώρησιν πορίσηται δι' αὐτῶν.

18. Ἐν δὲ τῷ ιθ'[2] κεφ. [τοῦ δ' τί. φησίν]· Ὁ ἐν ἐπαρχίᾳ χειρίζων ὀφφίκιον οὐ δύναται γαμεῖν τὴν ἐν αὐτῇ γεννηθεῖσαν ἢ τὴν οἴκησιν ἔχουσαν ἐκεῖ, μνηστεύεσθαι δὲ οὐ κωλύεται. καὶ ἐὰν ἡ γυνὴ μετὰ τὴν ἀπόθεσιν τοῦ ὀφφικίου μὴ θελήσῃ γαμῆσαι, μόνους τοὺς ἀῤῥαβῶνας ἀποδίδωσι. τὴν δὲ προμνηστευθεῖσαν δύναται γαμεῖν[3].

Ὁ[4] ἐν ἐπαρχίᾳ χειρίζων ὀφφίκιον, εἰ καὶ αὐτὸς οὐ δύναται γαμεῖν κατὰ τὸν τοῦ ὀφφικίου καιρὸν, ἀλλ' οὖν τὰς οἰκείας θυγατέρας ἑτέροις πρὸς γάμον συνάπτειν καὶ ἐπιδιδόναι προῖκα ὑπὲρ αὐτῶν οὐ κεκώλυται.

19. Ἐν δὲ τῷ λα' κεφ. Ἐὰν παρὰ τὰς διατάξεις ὁ ἄρχων ἐκ τῆς ἐπαρχίας ἀγάγηται συναινοῦσαν γυναῖκα, τέως μὲν ἄχρηστος ὁ γάμος· ἐὰν δὲ μετὰ ταῦτα στέρξῃ τὸν πρὸς αὐτὸν γάμον ἡ γυνὴ, οἱ μετὰ ταῦτα τικτόμενοι παῖδες νόμιμοί εἰσι.

20. Ἐν δὲ τῷ μα' κεφ.[5] Ἐναπογράφῳ[6] ἀλλοτρίῳ γαμεῖν ἐλευθέραν οὐκ ἔξεστιν, οὔτε ἀγνοοῦντος οὔτε εἰδότος οὔτε συναινοῦντος τοῦ κεκτημένου. ἀλλὰ καὶ εἴ τι τοιοῦτον παρὰ τοῦ ἐναπογράφου πραχθείη, πάρεστι τῷ δεσπότῃ καὶ αὐτῷ δι' ἑαυτοῦ καὶ διὰ τοῦ τῆς χώρας ἄρχοντος σωφρονίζειν τε πληγαῖς μετρίαις τὸν ταῦτα πράξαντα ἐναπόγραφον καὶ ἀφέλκειν ἀπὸ τῆς μάτην αὐτῷ συνούσης. ὥστε οὐδὲ γάμος ἐστὶ τὸ γενόμενον, οὐδὲ ἐπίδοσις προικὸς οὐδὲ προγαμιαίας δωρεᾶς.

---

d Σημ. ὅτι οὐ δεῖ διὰ βασιλέως τινὰ γάμον ἑαυτῷ συναλλάττειν.

---

1 Lips. ἑκοῦσαν. 2 Lips. η'. 3 Leuncl. λαβεῖν. 4 Lips. inscribit: Ἐν δὲ τῷ ιβ' κεφ. τοῦ δ' τί. φησίν. Sed ex eodem capite sumta sunt, ex quo etiam illa quae praecedunt. 5 Scil. tit. 5. Apud Leuncl. hoc caput fortasse rectius deest, quippe ordinem capitum turbat. 6 Lips. Ἐὰν ἀλλ. ἀπογρ.

III.

Περὶ γάμων ἀθεμίτων.

1. [*Ἀνάγν. βι. κη' τί. δ' κεφ. κδ', ἐν ᾧ φησιν·*] Ἐπὶ τῶν ἀθεμίτων γάμων οὔτε προὶξ οὔτε[1] τὰ ἐπιδοθέντα δοκεῖ· καὶ διὰ τοῦτο πᾶν ὅπερ ἐκ τῶν ἐπιδοθέντων λόγῳ προικὸς ἔλαβεν ὁ δῆθεν ἀνὴρ, ἀφαιρεῖται παρ᾽ αὐτοῦ, κἂν τὰ μάλιστα καρποὺς ἔτυχεν εἰληφώς.

2. *Ἀνάγν. καὶ τί. ε' κεφ. λδ', ἐν ᾧ φησιν·* Ἀθέμιτος γάμος ἐστὶν ὁ μεταξὺ ἀνιόντων καὶ κατιόντων. ἐπὶ δὲ τῶν κεκωλυμένων ὁ ἐκ πλαγίου καὶ ἡ ἀγχιστεία[2].

3. *Ἀνάγν. καὶ τί. ς', οὗτινος ἐν τῷ α' κεφ. φησί·* Θεσπίζομεν, εἴ τις ἀθέμιτον καὶ ἐναντίον τῇ φύσει, ὃ ὁ νόμος ἀθέμιτόν τε καὶ παράνομον καὶ κατάκριτον καλεῖ[a], συναλλάξοι γάμον, εἴπερ οὐκ ἔχει παῖδας ἐκ προτέρων γνησίων τε καὶ ἀμέμπτων αὐτῷ γενομένους γάμων, εὐθὺς μὲν αὐτῷ τὴν τῶν οἰκείων πραγμάτων ἔκπτωσιν ἐπικεῖσθαι, ἅμα δὲ καὶ τῶν ὀνόματι προικὸς ἐπιδιδομένων αὐτῷ μηδενὸς ἀπολαύειν, ἀλλὰ πάντα τῷ ταμιείῳ προσκυροῦσθαι. ἀνθ᾽ ὅτου γὰρ ἐξὸν γαμεῖν νενομισμένα, παρανόμων ἐρᾷ, καὶ συγχεῖ μὲν γονὰς, ἀδικεῖ δὲ τὰ γένη, πράττει δὲ ἀσεβῆ τε καὶ ἀνόσια, καὶ τοιαῦτα ἐπιθυμεῖ, ὁποῖα πολλὰ καὶ τῶν ἀλόγων ἀποσείεται ζώων[3]. καὶ ἔσται γε αὐτῷ ποινὴ μὴ δήμευσις μόνον, ἀλλὰ καὶ ζώνης ἀφαίρεσις καὶ ἐξορία, καὶ εἴγε εὐτελὴς εἴη, καὶ τοῦ σώματος αἰκισμὸς, ὅπως ἂν μάθοι σωφρονεῖν τε καὶ εἴσω τῆς φύσεως μένειν, ἀλλὰ μὴ τρυφᾷν τε καὶ ἐρᾷν ὑπερόρια καὶ τῶν παραδιδομένων ἡμῖν ἐκ τῆς φύσεως καταυθαδιάζεσθαι[4] νόμων· καὶ τῆς γυναικὸς, εἰ τὸν νόμον ἐπισταμένη τούτου μὲν ἀμελήσειεν, ἀθεμίτοις δὲ ἑαυτὴν ἐπιδοίη γάμοις, ὑπὸ τὴν αὐτὴν γινομένης ποινήν.

Εἰ μέντοι τύχοιεν ἐκ προτέρων γάμων ἀμέμπτων παῖδες

---

[a] *Βλέπε πῶς τὸν ἴγκεστον ἤτοι τὸν ἀθέμιτον γάμον καὶ ἐναντίον τῇ φυσει καὶ νεφάριον καὶ δαμνάτον καλεῖ, τουτέστι παράνομον καὶ κατάκριτον. ἐστὶ δὲ ἴγκεστος ἤτοι ἀθέμιτος ὁ ἐξ αἵματος ἔχων τὴν σύστασιν γάμος, οἷον εἰς ἀνεψιὰν ἢ θεῖαν ἢ ἐξαδέλφην. δαμνάτος ὁ κεκωλυμένος, οἷον ἐπίτροπος πρὸς ἐπιτροπευομένην καὶ ἀπελεύθερος πρὸς πατρώνισσαν. νεφάριος δὲ ὁ παράνομος, οἷον πρὸς μοναχὴν καὶ ἀσκήτριαν ἢ ἐξ ἁρπαγῆς.*

---

[1] Leg. *εἶναι.* [2] Haec facile emendantur ex Basilicis. [3] Lips. *γένη.* [4] Leuncl. *κἀνταῦθα δικάζεσθαι.*

ὄντες αὐτῷ ἢ ἔκγονοι τυχὸν ἢ καὶ περαιτέρω, τὴν πατρῴαν εὐθὺς ἐκεῖνοι λήψονται διαδοχὴν, αὐτεξούσιοι μὲν τῇ τοῦ πατρὸς τιμωρίᾳ γενόμενοι, τρέφοντες δὲ ὅμως αὐτὸν καὶ τὰ ἄλλα τῶν ἀναγκαίων παρέχοντες. εἰ γὰρ καὶ τῶν νόμων ὑπερόπτης καὶ ἀσεβὴς, ἀλλὰ πατὴρ ὅμως ἐστί.

IV.

Περὶ γάμου λύσεως καὶ τῶν τῆς λύσεως αἰτιῶν[a].

1. *Ἀνάγν. βι. κη' τί. ζ'*[1], *οὗτινος ἐν τῷ α' κεφ. φησί·* Τὰς τοίνυν αἰτίας, ἐξ ὧν ὁ ἀνὴρ διαζύγιον ἀκινδύνως στέλλειν δύναται, καὶ τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν κατὰ χρῆσιν μόνην, φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, ἢ παίδων οὐκ ὄντων ἀπολαύειν αὐτὸν καὶ τῆς δεσποτείας, ταύτας εἶναι διατυποῦμεν·

Εἰ κατὰ τῆς βασιλείας βουλευομένοις τισὶ σύνοιδεν ἡ γυνὴ, καὶ τῷ ἰδίῳ ἀνδρὶ μὴ φανερώσει. εἰ δὲ ὁ ἀνὴρ παρὰ τῆς γυναικὸς τοῦτο ἀπαγγελθὲν σιωπήσει, ἐξέστω τῇ γυναικὶ δι' οἱουδήποτε προσώπου τοῦτο προσαγγέλλειν τῇ βασιλείᾳ, ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύτης τῆς αἰτίας διαζυγίου εὑρεῖν πρόφασιν.

Εἰ περὶ μοιχείας ὁ ἀνὴρ δυνηθῇ ἐλέγξαι[2] τὴν γυναῖκα[b].

Ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα τῷ ἀνδρὶ μὴ φανερώσῃ.

---

a Ἀνάγνωθι καὶ νεαρὰν ρκζ' κεφ. δ' καὶ νεαρὰν ρκδ' καὶ νεαρὰν ρδ'.

b Οὕτω[3] γὰρ γράφει ἡ καθολικὴ διάταξις· εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσει δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλεγχθῆναι, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι, καὶ εἴπερ ἡ τοιαύτη αἰτία ἀληθὴς ἀποδειχθῇ, τηνικαῦτα ῥεπουδίου πεμπομένου ἔχειν τὸν ἄνδρα πρὸς τῇ προγαμιαίᾳ δωρεᾷ καὶ τὴν προῖκα· καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχοι, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ τρίτον μέρος εἶναι γινώσκεται, ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι. εἰ γὰρ παῖδας ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, κελεύομεν καὶ τὴν προῖκα κατὰ τοὺς περὶ τούτου νόμους καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, καὶ οὕτω τὸν μοιχὸν νομίμως ἐλεγχόμενον ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι.

---

1 Leuncl. β'. 2 Leuncl. διελέγξαι. 3 Lips. haec textui subjicit. Sunt ex Nov. 117 c. 8 § 2.

Ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζῃ[c] ἢ συλλούηται.

Ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου μείνῃ, εἰ μήτιγε τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσιν.

Ἐὰν ἱππικοῖς ἢ θεάτροις ἢ κυνηγίοις[d] παραγίνηται ἐπὶ τῷ θεωρῆσαι ἀγνοοῦντος ἢ καὶ κωλύοντος τοῦ ἀνδρός.

Εἰ μέντοιγε συμβῇ τινα δίχα μιᾶς τῶν προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ οἰκείου οἴκου ἐξωθήσασθαι, ὥστε ἐκείνην μὴ ἔχουσαν γονεῖς, πρὸς οὓς δύναται μεῖναι, ἐξ ἀνάγκης ἔξω τὴν νύκτα διάγειν, κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν, διὰ ταύτην τὴν αἰτίαν διαζύγιον πέμπειν τῇ γυναικί, διότιπερ αὐτὸς τούτου αἴτιος γίνεται.

Τὰς δὲ αἰτίας, ὑπὲρ ὧν εὐλόγως δύναται τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς πέμπεσθαι διαζύγιον, καὶ ἐξ ὧν δύναται τήν τε προῖκα λαμβάνειν καὶ τὴν διὰ τοὺς γάμους ἀπαιτεῖν δωρεάν, ὁμοίως τοῖς παισὶ φυλαχθησομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ παίδων μὴ ὑπόντων[e] ἔχειν αὐτὴν καὶ τὴν ταύτης δεσποτείαν, ταύτας εἶναι μόνας διατυποῦμεν·

Ἐὰν κατὰ τῆς βασιλείας ἢ αὐτὸς βουλεύσηται ἢ τοῦτό τισι βουλευομένοις συνειδὼς μὴ φανερώσῃ τῇ βασιλείᾳ, ἢ δι᾽ ἑαυτοῦ ἢ δι᾽ οἱουδήποτε προσώπου[1].

Ἐὰν οἱῳδήποτε τρόπῳ ὁ ἀνὴρ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικὸς ἢ ἄλλων τοῦτο βουλευομένων εἰδὼς μὴ φανερώσῃ τῇ γυναικὶ καὶ σπουδάσῃ κατὰ νόμους ἐκδικῆσαι.

Ἐὰν ὁ ἀνὴρ τῆς γυναικὸς τῇ σωφροσύνῃ ἐπιβουλεύων ἄλλοις ταύτην εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι.

Ἐὰν ὁ ἀνὴρ περὶ μοιχείας ἐγγράψηται τὴν γυναῖκα ἀπελέγξαι καὶ τὴν μοιχείαν μὴ ἀποδείξῃ, [ἐξεῖναι[2] τῇ γυναικὶ βουλομένῃ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας διαζύγιον πέμπειν τῷ ἀνδρί, καὶ ἀπολαμβάνειν μὲν τὴν ἰδίαν προῖκα, κομίζεσθαι δὲ καὶ τὴν προγαμιαίαν δωρεάν, καὶ ὑπὲρ τοιαύτης συκοφαντίας, εἰ παῖδας μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, τοσοῦτον κατὰ δεσποτείαν λαμβάνειν τὴν γυναῖκα ἐκ τῆς ἄλλης τοῦ

---

c Ἐὰν συνεσθίῃ, συμπίνῃ μετὰ ἐξωτικῶν, τουτέστι τῶν μὴ κατὰ συγγένειαν αὐτῇ συνημμένων.

d Κυνήγιον λέγει τόπον, ἔνθα τὸ παλαιὸν ἐθηριομάχουν.

e Σημείωσαι, ὅτι κερδαίνει ἡ γυνὴ τὸ ὑπόβολον καὶ παίδων μὴ ὑπόντων.

---

1 Lips. τρόπου. 2 Inclusa [ἐξεῖναι — κατηγορία] Lips. omittit.

ἀνδρὸς περιουσίας, ὅσον τῆς προγαμιαίας δωρεᾶς τὸ τρίτον μέρος ἐστίν. εἰ γὰρ παῖδας ἔχοι, κελεύομεν πᾶσαν τὴν τοῦ ἀνδρὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, βεβαίων μενόντων τῶν περὶ τῆς προγαμιαίας δωρεᾶς τοῖς ἄλλοις περιεχομένων νόμοις· οὕτως μέντοιγε, ὥστε καὶ διὰ τὴν ἐπαχθεῖσαν τῆς μοιχείας κατηγορίαν καὶ μὴ ἀποδειχθεῖσαν κἀκείναις τὸν ἄνδρα ταῖς τιμωρίαις ὑποβληθῆναι, ἃς ἔμελλεν ὑπομένειν ἡ γυνή, εἴπερ ἂν ἡ τοιαύτη ἀπεδείχθη κατηγορία.]

Καὶ ἐὰν ὁ ἀνὴρ ἐν τῷ οἴκῳ[1], καθ᾽ ὃν μετὰ τῆς αὐτοῦ γυναικὸς συνοικεῖ, περιφρονῶν αὐτῆς μεθ᾽ ἑτέρας εὑρίσκηται ἐν τῷ αὐτῷ οἴκῳ μένων, ἢ κατὰ τὴν αὐτὴν πόλιν διάγων ἐν ἑτέρῳ οἴκῳ μετὰ ἄλλης γυναικὸς συνεχῶς μένων ἐλέγχηται, καὶ ἅπαξ καὶ δὶς ἐγκληθεὶς ἢ διὰ τῶν ἑαυτοῦ γονέων ἢ διὰ τῶν τῆς γυναικὸς ἢ δι᾽ ἑτέρων τινῶν ἀξιοπίστων προσώπων τῆς τοιαύτης ἀσελγείας μὴ ἀπόσχηται, ἐξεῖναι τῇ γυναικὶ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας διαλύειν τὸν γάμον, καὶ ἀναλαμβάνειν τὴν δεδομένην προῖκα καὶ τὴν προγαμιαίαν δωρεάν, καὶ ὑπὲρ τῆς τοιαύτης ὕβρεως τρίτον μέρος[f] τῆς διατιμήσεως, ἣν ἡ προγαμιαία ποιεῖ δωρεὰ[g], ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας λαμβάνειν· οὕτω μέντοιγε, ὥστε εἰ παῖδας ἔχοι, τῆς χρήσεως μόνης ἀπολαύειν τὴν[2] γυναῖκα τῶν πραγμάτων, ἅπερ ἐκ τῆς προγαμιαίας δωρεᾶς καὶ τῆς ποινῆς τοῦ τρίτου μέρους τῆς τοῦ ἀνδρὸς περιουσίας λάβοι, τῆς δεσποτείας τοῖς κοινοῖς παισὶ φυλαττομένης. εἰ γὰρ παῖδας μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, ἔχειν αὐτὴν τῶν τοιούτων πραγμάτων καὶ τὴν δεσποτείαν κελεύομεν.

2. Ἐκεῖνο δὲ παραφυλακτέον, ὡς εἴπερ εὐλόγως ὁ ἀνὴρ τὸ διαζύγιον πέμψειε, καὶ ὑπεύθυνος ἡ γυνὴ ἐκ τῶν ἔμπροσθεν εἰρημένων ἡμῖν ἔσται ποινῶν[h], καὶ εἰς πενταετίαν ὅλην

---

f Σημείωσαι, ὅτι λαμβάνει ἡ γυνὴ καὶ τὸ τρίτον τοῦ ὑποβόλου ἀπὸ ὕβρεως ἰδίας.

g Ἰστέον ὅτι πάλαι κατὰ τὸ ἥμιου τῆς προικὸς ἦν ἡ πρὸ γάμου δωρεὰ σιωπηρῶς τῇ προικὶ ἑπομένη.

h Σημείωσαι, ὅτι ἡ κατηγορηθεῖσα γυνὴ εἰ μὲν εἰς μοιχείαν καταδικασθῇ, ἐμβάλλεται ἐν μοναστηρίῳ· εἰ δὲ ἐκ τῶν ἄλλων αἰτιῶν καταδικασθῇ χωρὶς ταύτης τῆς αἰτίας, οὐκ ἀποκείρεται· ἀλλὰ λύεται μὲν ὁ γάμος, ἔσωθεν δὲ τῶν ε΄ ἐνιαυτῶν ἡ γυνὴ πρὸς β΄ γάμον ἐλθεῖν ἀγωνισαμένη ὑπὸ τῶν παρ᾽ αὐτῆς κινηθέντων κατὰ τοῦ ἀνδρὸς τὰ νικητήρια φέρει[3].

1 Leuncl. αὐτοῦ οἴκῳ. 2 Lips. καὶ τήν. 3 Fortassis legendum: οὐ δύναται. εἰ δὲ ἀγωνισαμένη ὑπὲρ τῶν παρ᾽ αὐτοῖς κινηθέντων κατὰ τοῦ

πρὸς δεύτερον ἐλθεῖν κωλυθήσεται συνοικέσιον· καὶ πρὸ τῆς πενταετίας ὁ γάμος οὐκ ἔσται ἀνεύθυνος, οὐδὲ νόμιμος γάμος κληθήσεται[i], ἀλλὰ πᾶς ὁ βουλόμενος προσίτω καὶ κατηγορείτω τοῦ γινομένου ὡς παρὰ τὸν νόμον τολμηθέντος.

Εἰ δὲ καὶ εὐλόγως ἡ γυνὴ τὸ διαζύγιον στείλειε καὶ κρατήσει τῶν ἀγώνων, κερδαινέτω μὲν τὰ κέρδη τὰ ἔμπροσθεν εἰρημένα, ἐρυθριάτω δὲ πρὶν ἐνιαυτὸν ἐξήκειν εἰς δεύτερον φοιτᾶν γάμον. ὅπερ οὐ παραφυλακτέον ἡμῖν ἐπ᾽ ἀνδρός· τῷ γὰρ εὐλόγως κεκρατηκότι τῶν τοιούτων κερδῶν[k] καὶ παραχρῆμα γαμεῖν ἔξεστιν, ἐπεὶ μηδεμία περὶ τὴν τῆς γονῆς σύγχυσιν εὔλογός ἐστιν ὑπόνοια, ὅπερ ἐπὶ τῶν γυναικῶν τὴν πρὸ τοῦ ἐνιαυτοῦ συνάφειαν εἰκότως ἀπείργει[l]. καὶ τοσοῦτόν ἐστι τὰ τῆς κολάσεως ἐντεῦθεν[1], ὅτι κἂν εἰ ἀγαθῇ χάριτι διαλυθῆναι συμβαίη τὸν γάμον, ἀλλὰ καὶ οὕτως εἰς ἐνιαυτὸν ἡ κώλυσις τῶν δευτέρων γάμων ταῖς γυναιξὶν ἐπιτέτακται.

3. Ἀλλὰ καὶ τῶν ἐν ταξειδίοις ὄντων τὰς γαμετὰς παρακελεύεται ἡ διάταξις, ὥστε εἴ τις ἀκούσει τὸν ἴδιον ἄνδρα τετελευτηκέναι, μὴ ἄλλως ἔρχεσθαι πρὸς δεύτερον γάμον, εἰ μὴ πρότερον ἢ δι᾽ ἑαυτῆς ἢ δι᾽ ἄλλου οἱουδήποτε προσώπου τοὺς πρίορας[m] τοῦ ἀριθμοῦ καὶ τοὺς χαρτουλαρίους ἤτοι τὸν τριβοῦνον (εἴγε πάρεστιν), ἐν ᾧ ὁ ταύτης ἀνὴρ ἐστρατεύετο, ἐρωτήσει· ὥστε ἐκείνους τῶν ἁγίων εὐαγγελίων προκειμένων ἐπὶ πράξεως ὑπομνημάτων καταθέσθαι, εἰ ταῖς ἀληθείαις ὁ ταύτης ἀνὴρ τετελευτήκει. καὶ μεθ᾽ ὃ λάβοι ταῦτα τὰ ὑπομνήματα ἡ γυνὴ ὑπὲρ τῆς ἰδίας μαρτυρίας, μένειν αὐτὴν ἑνὸς ἐνιαυτοῦ διάστημα, ὥστε μετὰ τὴν αὐτοῦ καταδρομὴν ἐξεῖναι ταύτην νόμιμον συναλλάττειν γάμον. εἰ δὲ παρὰ ταύτην τὴν παρατήρησιν ἡ γυνὴ τολμήσει εἰς ἕτερον ἐλθεῖν γάμον, καὶ αὐτὴ καὶ ὁ ἀγαγόμενος αὐτὴν πρὸς γάμον ὡς μοιχοὶ τιμω-

---

i Ὥστε οἱ ἐκ τοῦ αὐτοῦ γάμου τεχθέντες παῖδες, ὡς μὴ ὄντες νόμιμοι, οὐ κληρονομοῦσιν.

k Φησὶ τὸ α΄ κεφ. τὰ κέρδη τὰ περιερχόμενα τῷ ἀνδρὶ λυομένου τοῦ γάμου.

l Σημείωσαι, ὅτι καὶ μονάσαντος τοῦ ἀνδρὸς μετὰ τὸ λυθῆναι τὸν γάμον ὀφείλει φυλάττειν ἡ γυνὴ τὸν πένθιμον χρόνον.

m Τοὺς πρωτεύοντας, τοὺς προέχοντας ὀφφικίοις.

ἀνδρὸς τὰ νικητ. φέρει, ἐνιαυτὸν φυλάττειν ὀφείλει. [1] Leuncl. τὸ — ἐνταῦθα. Idem conj. κωλύσεως.

ρείσθωσαν. εἰ δὲ οἱ ἐπὶ πράξεως ὑπομνημάτων μεθ᾽ ὅρκων καταθέμενοι μετὰ ταῦτα εὑρεθεῖεν πλαστῶς καταθέμενοι, αὐτοὶ μὲν τῆς στρατείας γυμνούμενοι δέκα χρυσίου λιτρῶν ποινὴν συνελαθήσονται καταβαλεῖν ἐπ᾽ ἐκείνου ὃν ἐψεύσαντο τετελευτηκέναι, αὐτὸς δὲ ἄδειαν ἐχέτω εἰ βουληθείη τὴν ἰδίαν γαμετὴν ἀναλαμβάνειν.

4. Ταῖς δὲ εἰρημέναις αἰτίαις συνείδομεν καὶ ταύτας ὀνομαστὶ προσθεῖναι, ἐξ ὧν τοὺς γάμους δίχα ποινῆς[n] ἔξεστι διαλύειν.

Διαλύεται[o] γάμος κατὰ πρόφασιν ἄμεμπτον, ὅταν ἄσκησιν θάτερον τῶν μερῶν ἕληται, πρὸς τὴν ἐπὶ τὸ κρεῖττον μεταβαῖνον ὁδὸν καὶ τὸν ἐν ἁγνείᾳ βίον αἱρούμενον. τηνικαῦτα γὰρ κελεύομεν παῤῥησίαν εἶναι[p] καὶ ἀνδρὶ καὶ γυναικὶ πρὸς τὰ καλλίω μεθισταμένῳ, διαλύειν τὸ συνοικέσιον καὶ ἀναχωρεῖν μετά τινος βραχείας ὑπολελειμμένης τῷ καταλελειμμένῳ παραμυθίας. ὅπερ γὰρ ἂν συμφωνήσειαν οἱ συμβάλλοντες ἀπὸ τελευτῆς γενέσθαι κέρδος[q], τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου, εἴτε ἀνὴρ εἴτε γυνὴ καθεστήκοι, διότι καὶ οὗτος (τόγε ἐπὶ τῷ συνοικήσαντι) δοκεῖ τελευτᾷν ἑτέραν ἀνθ᾽ ἑτέρας βίου πορείαν ἑλόμενος. καὶ κατὰ πρόφασιν δὲ ἀναγκαίαν τε καὶ οὐκ ἄλογον διαλύεται γάμος, ὅταν τὶς οὐχ οἷός τε εἴη συνιέναι τῇ γυναικὶ καὶ τὰ παρὰ τῆς φύσεως ἀνδράσι δεδομένα πράττειν ἄχρι τριῶν τελείων ἐνιαυτῶν ἐκ τοῦ τῶν γάμων καιροῦ. πάρεστι γὰρ τῇ γυναικὶ ἢ τοῖς γε αὐτῆς πατρᾶσι διαζευγνύναι τὸ συνοικέσιον, εἰ καὶ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. κἀνταῦθα ἡ μὲν προὶξ, ἥτις ἐστὶν ὅλως ἐπιδεδομένη[1], ἀκολουθήσει τῇ γυναικὶ, καὶ ἀποδώσει ταύτην ὁ ἀνὴρ εἴγε τύχοι λαβών· ἡ δὲ διὰ τὸν

---

n Δίχα ποινῆς, μόνης τῆς προικὸς τῇ γυναικὶ ἀναδιδομένης, τῆς δὲ προγαμιαίας δωρεᾶς παρὰ τῷ ἀνδρὶ μενούσης.

o Νεαρὰ κβ′ κεφ. δ′ περὶ τῶν ἐπὶ τῷ μονάσαι τὸν γάμον λυόντων. ἀνάγνωθι τὸν ὅλον τίτλον, καὶ εὑρήσεις τὰ λοιπὰ τῆς προκειμένης ὑποθέσεως.

p Ὅτι οὐ πράττεται νῦν τὸ τοιοῦτο.

q Περὶ ὑποβόλου φησὶν, ὅτι βουλομένου[2] τοῦ ἀνδρὸς τὸν μοναχικὸν βίον καταλιμπάνει τῇ γυναικὶ πρὸς τῇ προικὶ καὶ ὅπερ ἂν ἀπὸ συμφώνου ἔχει λαβεῖν ὑπόβολον· ὅπερ ἡ μακρὰ συνήθεια ἐξέκοψε μὴ δίδοσθαι. καὶ σημείωσαι, ὅτι τὸ δ′ βιβλίον τῶν βασιλικῶν καὶ νεαρὰ γ′ διαλαμβάνουσιν, ὡς οὐκ ὀφείλει ὁ ἀνὴρ μονάζων διδόναι ὑπόβολον.

---

1 Leuncl. εἴ τις ἐστὶν ὅλ. ἐπ. προίξ. 2 Legerim ἑλομ.

γάμον ἤτοι πρὸ τῶν γάμων δωρεὰ μένει παρὰ τῷ ἀνδρὶ μηδὲν οἴκοθεν ζημιουμένῳ.

Ἀλλὰ καὶ τὸ τῆς αἰχμαλωσίας τοιοῦτόν ἐστιν, ὁποῖον ἀγαθῇ χάριτι διαλύειν τὸν γάμον[r]. εἴτε γὰρ ἀνδρὶ συμβαίη τοιοῦτόν τι ἀτύχημα τῆς γυναικὸς ἐν τῇ πολιτείᾳ μενούσης, εἴτε αὖθις γυνὴ μὲν εἰς αἰχμαλωσίαν ἀπίοι, μένοι δὲ ὁ ἀνὴρ ἐν τῇ πολιτείᾳ, ὁ μὲν ἀκριβὴς τε καὶ λεπτὸς λόγος διαλύει τὸν γάμον. δουλείας γὰρ ἅπαξ γενομένης θατέρῳ ἡ τῆς τύχης ἀνισότης τὴν ἐκ τῶν γάμων ἰσότητα μένειν οὐ συγχωρεῖ. πλὴν ἀλλὰ φιλανθρωπότερον τὰ τοιαῦτα θεωροῦντες, ἕως μέν ἐστι φανερὸν περιεῖναι ἢ τὸν ἄνδρα ἢ τὴν γαμετὴν, μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν· καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους οὔτε γυναῖκες οὔτε ἄνδρες, εἰ μὴ βούλοιντο δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι, καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ μὲν τῇ τῆς πρὸ γάμου δωρεᾶς φαμεν ἐκτίσει, ἡ δὲ τῇ τῆς προικός. εἰ δὲ ἄδηλον καθεστήκοι, πότερον περίεστιν ἢ μὴ τὸ εἰς τοὺς πολεμίους ἀφικόμενον μέρος[1], τηνικαῦτα πενταετίαν μενετέον εἴτε τῇ γυναικὶ εἴτε τῷ ἀνδρὶ, μεθ' ἣν εἴτε σαφῆ γένοιτο τὰ τῆς τελευτῆς εἴτε ἄδηλα μένοι, γαμεῖν ἔξεστιν ἀκινδύνως. καὶ τοῦτο γὰρ δὴ ταῖς καλουμέναις καλῇ χάριτι διαλύσεσι παρὰ τῶν πρὸ ἡμῶν συνηρίθμηται, καὶ ἡμεῖς δὲ εἰς τοῦτο σύμφαμεν, ὥστε ἐνταῦθα οὐδὲ διαισίῳ γίνεται καιρὸς[s] οὕτω τῶν προσώπων διεστώτων ἀλλήλων, καὶ οὐδεὶς ἐντεῦθεν κερδανεῖ, οὔτε ὁ ἀνὴρ τὴν προῖκα οὔτε ἡ γυνὴ τὴν προγαμιαίαν δωρεὰν, ἀλλ' ἕκαστος ἐπὶ τῶν οἰκείων μένει.

5. Μηδενὶ δὲ τρόπῳ παρὰ ταύτας τὰς εἰρημένας αἰτίας διαζύγιον γίνεσθαι, ἢ κατὰ συναίνεσιν τοὺς γάμους διαλύειν καὶ συγχωρεῖν ἀλλήλοις τὰ ἁμαρτήματα[t]. εἰ δέ τις τολμήσοι

---

r Σημείωσαι, ὅτι ἐάν ἐστιν ἐν αἰχμαλωσίᾳ ἀνὴρ ἢ γυνὴ, διαλύεται μὲν ὁ γάμος, πλὴν ἐν ὅσῳ ζῇν ἀκούεται τὸ αἰχμαλωτισθὲν, οὐ καλῶς τὸ ἕτερον μέρος συνάπτεται. εἰ δὲ μὴ, ὁ μὲν ἀνὴρ δίδωσιν ὑπόβολον, ἡ δὲ γυνὴ ἐκπίπτει τῆς προικός.

s Μετὰ τὸ ἄδηλον γενέσθαι τὸ εἰς αἰχμαλωσίαν ἀπιὸν πρόσωπον, εἰ πενταετία παρέλθῃ καὶ οὕτω γήμῃ τὸ ἐν πόλει περιλειφθὲν πρόσωπον, μηδὲ διαζυγίου χώραν εἶναι.

t Περὶ τῶν κατὰ συναίνεσιν λυόντων τὸν γάμον, ἀνάγνωθι καὶ τὴν ρμ' νεαρὰν, ἥτις ταῦτα ἐκίνησε[2]. φησὶ γάρ· θεσπίζομεν ἐξεῖναι κατὰ τὸ πα-

---

[1] Leuncl. πρόσωπον. [2] Lege ἐκαίνισε.

τὶ τοιοῦτον, εἰ μὲν κατιόντας ἔχοι, τὴν οὐσίαν αὐτοῦ ἐκείνοις δίδοσθαι κατὰ τὴν τῶν νόμων τάξιν, καὶ τόν τε ἄνδρα, τήν τε γυναῖκα εἰς μοναστήριον ἐμβάλλεσθαι, καὶ ἐκ τῆς ἑκάστου περιουσίας ἀνὰ δ' οὐγκίας τοῖς μοναστηρίοις ἐν οἷς ἐμβάλλονται ἀφορίζεσθαι· τοῦ ἀνδρὸς δηλονότι μηδὲ χρῆσιν ἔχοντος τοῦ διδομένου τοῖς παισὶ μέρους. εἰ δὲ κατιόντας μὴ ἔχοιεν, ἀλλ' ἀνιόντες εὑρίσκονται, τὸ τρίτον μέρος τῆς οὐσίας λαμβάνειν αὐτοὺς, εἰ μὴ τῇ ἀσεβείᾳ τῆς λύσεως τοῦ γάμου συνήνεσαν· τὰ δὲ δύο μέρη τοῖς μοναστηρίοις ἀφορίζεσθαι. εἰ δὲ μήτε ἀνιόντες μήτε κατιόντες εἶεν, ἢ καὶ οἱ ἀνιόντες συνήνεσαν τῷ γεγονότι, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις ἐν οἷς ἐνεβλήθησαν δίδοσθαι. ἀλλὰ καὶ τοὺς ὑπουργοῦντας ταῖς τοιαύταις λύσεσι τοῦ γάμου ἢ τὰ τοιαῦτα ἀθέμιτα συμβόλαια συντιθέντας ταῖς εἰς σῶμα ποιναῖς ὑποβάλλεσθαι κελεύομεν, καὶ εἰς ἐξορίαν πέμπεσθαι. εἰ δὲ οἱ τὸν γάμον λύειν ἐπεχειρήσαντες βουληθῶσι πάλιν ἑαυτοὺς συζευγνύναι πρὶν ἐμβληθῶσι μοναστηρίοις, συγχωρεῖσθαι αὐτοῖς πρὸς τὰς προειρημένας ποινὰς καὶ τὰς ἰδίας περιουσίας ἔχειν· τοῦ ἑνὸς δὲ βουλομένου τὸν γάμον ἀνακαλέσασθαι, εἰ μὴ συναινέσει τὸ ἕτερον πρόσωπον, κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς[u].

6. *Εἰ δέ* τις τὴν ἰδίαν γαμετὴν μάστιξιν ἢ ξύλοις τυπτήσει χωρίς τινος τῶν αἰτιῶν, ἃς κατὰ τῶν γυναικῶν πρὸς τὴν τοῦ γάμου διάλυσιν ἀρκεῖν παρεκελευσάμεθα, γάμου μὲν διάλυσιν ἐκ τούτου γίνεσθαι οὐ βουλόμεθα, τὸν δὲ ἄνδρα τὸν δεικνύμενον χωρὶς τοιαύτης αἰτίας μάστιξιν ἢ ξύλοις τυπτῆσαι τὴν ἑαυτοῦ γαμετὴν τοσοῦτον ὑπὲρ τῆς τοιαύτης ὕβρεως ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας διδόναι τῇ γυναικὶ καὶ συν-

---

λαιὸν τὰς ἐκ συναινέσεως διαλύσεις ἐπὶ τῶν γάμων ποιεῖσθαι, κρατεῖν δὲ μηκέτι τὰς τεταγμένας ποινὰς διὰ τοῦ ἡμετέρου πατρὸς ἐπὶ τῶν κατὰ συναίνεσιν τοὺς γάμους διαλυόντων. εἰ γὰρ ἀμοιβαδὸν ἡ διάθεσις τοὺς γάμους συνίστησιν, εἰκότως ἐναντία γνώμη τούτους κατὰ συναίνεσιν διαλύει τῶν ταύτῃ δηλονότι στελλομένων διαζύγιον[1]. ἰστέον δὲ ὅτι εἰς τὰ βασιλικὰ τοῦτο τὸ κεφάλαιον οὐ κεῖται· οὐδὲ γὰρ πράττεται νῦν, ἀλλὰ ἀνῄρηται τὸ κατὰ συναίνεσιν λύειν τοὺς γάμους.

u Ἰστέον δὲ ὅτι καὶ οἱ ῥᾳθυμήσαντες ἄρχοντες πρὸς τὸ μὴ παραφυλάττεσθαι ταῦτα, ἐξορίᾳ καὶ δημεύσει ὑπόκεινται, ὡς τὸ λεῖπον τῆς παρούσης νεαρᾶς διέξεισιν.

---

[1] Lege τῶν ταύτην δηλούντων στελλ. διαζυγίων.

εστῶτος τοῦ γάμου, ὅσον τὸ τρίτον τῆς πρὸ γάμου ποιεῖ δωρεᾶς[v].

7. Ἐν δὲ τῷ κ' κεφ.[1] Ὁ γαμετὴν ἀλλοτρίαν ἐκ τῆς ὁδοῦ εἰς τὸν ἴδιον οἶκον λαβὼν, κἀκεῖθεν στείλας διαζύγιον[w] τῷ ἀνδρὶ αὐτῆς, ἐπὶ τριετίαν ἐξορίζεται[x].

8. Ἐν δὲ τῷ κζ' κεφ. Ὅτι ἡ[2] ὕστερον ἐπιφανεῖσα δουλεία

---

v Ἀνάγν.[3] καὶ βι. κη' τί. ζ', οὗτινος ἐν τῷ α' κεφ. φησί· Διαλύεται τὸ συνοικέσιον διαζυγίου ἢ θανάτου ἢ αἰχμαλωσίας ἢ ἄλλης δουλείας συμβαινούσης ἑνὶ τῶν συνοικούντων· ὡς ὅταν ἀναδουλωθῇ ἀπελεύθερος παρὰ τοῦ πάτρωνος, οὐ μὴν ἐπὶ τοῦ περιορισμοῦ.

β'. Τὸ διαζύγιον οὕτω συντίθεται· τὰ σεαυτῆς πράττε, ἢ οὕτω· τὰ σεαυτοῦ πράττε. καὶ ἐπὶ τῇ διαλύσει τῆς μνηστείας δεῖ στέλλεσθαι διαζύγιον, καὶ οὕτω συντίθεται. ἀδιάφορον εἴτε αὐτῷ παρόντι ἀπαγορευθῇ, εἴτε ἀπόντι διὰ τοῦ ὑπεξουσίου αὐτοῦ ἢ τοῦ ἔχοντος αὐτὸν ὑπεξούσιον.

γ'. Διαζύγιον οὐκ ἔστι τὸ μὴ ὂν ἀληθὲς καὶ ἐπὶ διηνεκεῖ διαιρέσει. ὅθεν ἡ διὰ θερμότητα πέμψασα διαζύγιον καὶ συντόμως στρέψασα οὔτε διαζυγῆναι δοκεῖ.

δ'. Μαινομένης ὁ γάμος μένει ἐῤῥωμένος καὶ καλῶς αὐτῇ στέλλεται διαζύγιον. ἔοικε γὰρ ἀγνοοῦντι. αὕτη δὲ οὐ στέλλει, οὔτε ὁ κουράτωρ αὐτῆς. ὁ δὲ πατὴρ δύναται.

Ἑρμηνεία. ἐνταῦθα μαινομένην νόει τὴν πρὸ τοῦ γάμου, καὶ διὰ τοῦτο ἀγνοεῖν τὸν ἄνδρα τὸ γινόμενον. ἐζητήθη, εἰ δύναται γυνὴ μαινομένη πέμπειν ῥεπούδιον τῷ ἀνδρὶ, ἢ ὁ ἀνὴρ αὐτῆς μαινομένης κεχρῆσθαι πρὸς αὐτὴν ῥεπουδίῳ. καὶ ἔγραψεν ἰουλιανὸς, αὐτῇ μὲν καλῶς πέμπεσθαι ῥεπούδιον. οὐκ ἂν δὲ ἐτρακτάϊσεν ἰουλιανὸς περὶ ῥεπουδίου, εἰ μὴ ἠπίστατο καὶ μετὰ τὴν μανίαν τῆς γυναικὸς συνεστάναι τὸν μετ' αὐτῆς τοῦ ἀνδρὸς γάμον.

w Ὁ γὰρ μοιχὸς δοκεῖ στέλλειν τὸ διαζύγιον.

x Οὐκ[4] ἔῤῥωται διαζύγιον, εἰ μὴ προσληφθῶσιν ζ' μάρτυρες ῥωμαῖοι ἔφηβοι, ἐν οἷς οὐκ ἔστιν ἀπελεύθερος τοῦ ποιοῦντος τὸ διαζύγιον. ὁ δὲ ἀπελεύθερος ἢ τοῦ πατρός ἐστιν ἢ τοῦ πάππου ἢ τῶν ἄλλων ἀνιόντων ἢ κατιόντων ἀπελεύθερος.

Οὐ δύναται ἡ μήτηρ διαζύγιον πέμπειν τῷ ἀνδρὶ τῆς θυγατρός.

Ὁ πατὴρ ἅπαξ συναινέσας τῷ γάμῳ οὐ δύναται μὴ συναινεσάσης αὐτῷ τῆς θυγατρὸς διαλύειν αὐτὸν, εἰ μὴ ἄρα ἀπὸ μεγάλης καὶ εὐλόγου αἰτίας· οἷον ὅτε τῶν κεκωλυμένων ἐστὶν ὁ γάμος. εἰ δὲ καὶ συναινούσης αὐτῆς διαλυθῇ ὁ γάμος, οὐ δύναται ἀναγκάζειν αὐτὴν ὑποστρέψαι πρὸς τὸν ἄνδρα. ἐὰν αὐτεξουσία ἐστὶν ἡ θυγάτηρ, οὐδενὶ λόγῳ δύναται ὁ πατὴρ διαλύειν αὐτῆς τὸν γάμον.

Τοῦ ἀναδουλουμένου ἀπελευθέρου ὁ γάμος διαλύεται.

---

[1] Leuncl. η'. [2] Leuncl. omissa inscriptione: Ἡ γάρ. [3] Haec quae in scholio v posuimus, Lips. non habet, Leuncl. autem in textu praestat. [4] Haec e Basil. XXVIII, 7, 15. 18. 19. 21 excepta Leuncl. capiti 7 tamquam textus partem subjicit. In Lips. desunt.

λύει τὸν γάμον καὶ διαζεύγνυσιν αὐτοὺς ἀπ᾽ ἀλλήλων, ὡσανεὶ τελευτῆς ἀκολουθησάσης[y].

9. Ἀνάγν. καὶ βι. δ´ τί. α´ κεφ. η´, ἐν ᾧ φησιν[z]· Εἰ δὲ γυνὴ ἢ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέξηται βίον καὶ εἰσέλθῃ εἰς μοναστήριον, παίδων οὐχ ὑπόντων τῷ μοναστηρίῳ ἐν ᾧ εἰσῆλθε τὰ πράγματα αὐτοῦ διαφέρειν κελεύομεν. εἰ δὲ τὸ τοιοῦτον πρόσωπον παῖδας ἔχοι, καὶ μὴ πρὶν εἰσέλθῃ εἰς τὸ μοναστήριον περὶ τῶν τοιούτων[1] πραγμάτων ποιήσει διατύπωσιν καὶ τὸ νόμιμον μέρος τοῖς παισὶν ἀφορίσει, καὶ οὕτως ἐξέστω αὐτῷ καὶ μετὰ τὸ εἰσελθεῖν εἰς τὸ μοναστήριον τὴν ἰδίαν οὐσίαν εἰς τοὺς ἰδίους διελεῖν παῖδας· οὕτω μέντοιγε ὥστε μηδὲ ἐπὶ ἑνὶ τῶν ἑαυτοῦ παίδων ἐλαττῶσαι[2] τὸ νόμιμον μέρος· τὸ δὲ μὴ δεδομένον τοῖς παισὶ μέρος τῷ μοναστηρίῳ διαφερέτω. εἰ δὲ πᾶσαν τὴν ἰδίαν οὐσίαν μεταξὺ τῶν παίδων διελεῖν βουληθείη, τοῦ οἰκείου προσώπου αὐτοῦ τοῖς παισὶ συναριθμουμένου ἓν ἑαυτῷ μέρος πᾶσι τρόποις κρατείτω, ὀφεῖλον τῷ δικαίῳ τοῦ μοναστηρίου διαφέρειν. εἰ δὲ ἐν τῷ μοναστηρίῳ διάγων τελευτήσει πρὶν μεταξὺ τῶν οἰκείων παίδων τὰ ἴδια διανείμῃ πράγματα, τὸ νόμιμον μέρος οἱ παῖδες λήψονται, τὸ δὲ λοιπὸν τῆς οὐσίας τῷ μοναστηρίῳ διαφερέτω.

10. Καὶ κεφ. ι´[3] καὶ ια´, ἐν οἷς φησιν· Εἰ δὲ συνεστῶτος ἔτι τοῦ γάμου ὁ ἀνὴρ μόνος ἢ ἡ γυνὴ μόνη εἰς μοναστήριον εἰσέλθοι, διαλυέσθω ὁ γάμος καὶ δίχα διαζυγίου, μεθ᾽ ὃ μέντοι τὸ πρόσωπον τὸ εἰσερχόμενον εἰς μοναστήριον τὸ σχῆμα λάβῃ. καὶ εἰ μὲν ὁ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέξεται βίον, ἀποκαθίστησι[4] τῇ γυναικὶ καὶ τὴν προῖκα καὶ εἴ τι ἄλλο ἀπ᾽ αὐτῆς ἔλαβε, καὶ πρὸς τούτοις ἐκ τῆς γαμικῆς δωρεᾶς τοσοῦτον μέρος, ὅσον ἐκ τῆς τελευτῆς τοῦ ἀνδρὸς ἥρμοζε τῇ γυναικὶ

---

y Ὥστε[5] ἐντεῦθεν τὸ μὲν οἰκεῖον ἕκαστος ἀπολαμβανέτω, τὸ δὲ ἀπὸ τελευτῆς μόνον τοῖς ἐλευθέροις περιγενέσθω σύμφωνον, τοῦ λοιποῦ πρὸς τὸν καταδουλώσαντα χωροῦντος. εἰ δὲ ἀγνοίᾳ τὶς δούλῳ συναφθείη προσώπῳ, οὐ φήσομεν διαλύεσθαι τὸν γάμον, ἀλλὰ μηδὲ τὴν ἀρχὴν συνίστασθαι τὸν γάμον, εἴγε τύχης ἀδηλία τὸ πρᾶγμα συνδιοικήσειε, καὶ μὴ συναίνεσις τοῦ δεσπότου ἢ κακουργία τὶς αὐτοῦ. ὅθεν ἐπὶ τῶν τοιούτων οὐδὲ κέρδος ἐκ γάμου θεωρητέον, οὐδέ τι τοιοῦτον, ἀλλὰ ψιλὴν τῶν προσηκόντων διὰ τῶν προσφόρων ἀγωγῶν ἀνάδοσιν.

z Περὶ τῶν διὰ τὸ μονάσαι διαλυόντων τὸν γάμον νεαρὰ ρκγ´ κεφ. λθ´.

---

1 Leuncl. οἰκείων. 2 Lips. ἐλαττώσειν. 3 Lips. ις´. 4 Leuncl. ἀποκαθιστάτω. 5 Etiam haec in Lips. omissa Leuncl. textui addit.

κατὰ τὸ σύμφωνον τὸ τοῖς προικῴοις συμβολαίοις ἐμφερόμενον[1]. εἰ δὲ γυνὴ εἴη ἡ εἰς τὸ μοναστήριον εἰσελθοῦσα, τὸν ὅμοιον τρόπον παρακρατείτω ὁ ἀνὴρ τὴν γαμικὴν δωρεὰν καὶ τὸν κάσσον τῆς προικὸς τὸν ἀπὸ τελευτῆς τῆς γυναικὸς συμφωνηθέντα, καὶ τὸ λοιπὸν τῆς προικὸς τῇ γυναικὶ ἀποκαθιστᾶν παρακελευόμεθα, καὶ εἴ τι ἄλλο ἐκ τῶν πραγμάτων τῆς γυναικὸς παρ' αὐτῷ εὑρεθείη. ἀμφοτέρων δὲ τὸν μοναχικὸν βίον ἐπανῃρημένων, κελεύομεν ἀργούντων τῶν προικιμαίων συμφώνων τὸν ἄνδρα παρακρατεῖν τὴν γαμικὴν δωρεάν, καὶ τὴν γυναῖκα τὴν ἰδίαν λαμβάνειν προῖκα καὶ εἴ τι ἄλλο τῷ ἀνδρὶ δεδωκέναι δειχθῇ, ἵνα εἷς ἕκαστος δίχα ζημίας τῶν ἰδίων ἀπολαύσῃ πραγμάτων· εἰ μὴ ὡς εἰκὸς ὁ μνηστὴρ τῇ μνηστῇ [ἢ ἡ μνηστὴ τῷ μνηστῆρι] ἢ ὁ ἀνὴρ τῇ γυναικὶ ἢ ἡ γυνὴ τῷ ἀνδρὶ δωρήσασθαί τι ἢ συγχωρῆσαι βουληθείη[aa].

V.

Περὶ γαμικῶν κερδῶν καὶ περὶ τῶν γαμικῶν δωρεῶν.

1. Ἀνάγν. βι. κθ' τί. δ', οὗτινος ἐν τῷ α' κεφ. φησί[a]· Τὴν διὰ τοὺς γάμους δωρεὰν συνάλλαγμα ἰδικὸν εἶναί τε καὶ κρίνεσθαι, καὶ μὴ ταῖς ἄλλαις δωρεαῖς αὐτὴν [συν]αριθμεῖσθαι διὰ τοῦ παρόντος νόμου θεσπίζομεν, ἐπειδὴ ἀντ' αὐτῆς ἰσότης προικὸς[b] ἐπιδίδοται[c]. εἴτε τοίνυν γένηται ἐπὶ πράξεως ὑπομνημάτων[d] ἐμφανής, εἴτε καὶ μή, κελεύομεν αὐτὴν διὰ πάντων

---

aa Ἀνάγν. καὶ βι. λα' τί. ς' κεφ. ιδ', ἐν ᾧ φησι περὶ τοῦ τρέφεσθαι τοὺς παῖδας ἐκ τῆς πατρικῆς οὐσίας, ὅπερ εὑρήσεις εἰς τὸ περὶ γονέων.

a Νεαρὰ ριθ' κεφ. α'. ἀνάγνωθι νεαρὰν ϛη', ἐν ᾗ φησι περὶ τοῦ φυλάττειν τὴν δεσποτείαν τῆς γαμικῆς δωρεᾶς.

b Ἰστέον ὅτι πάλαι κατὰ τὸ ἥμισυ τῆς προικὸς ἦν ἡ πρὸ γάμου δωρεὰ σιωπηρῶς τῇ προικὶ ἑπομένη.

c Οὐκ ἐστί φησι δωρεά, ἀλλ' οἷον ἀντισήκωσις. καὶ γὰρ ἀντ' αὐτῆς ἡ προὶξ ἐπιδίδοται. εἴτε οὖν ἐγγράφως γένηται, ἢ καὶ μηδόλως περὶ ταύτης συμφωνηθῇ, ἀπαιτεῖται κατὰ τὸ ἐκ τῆς προικὸς σιωπηρόν, κἂν μὴ συμφωνηθῇ. φησὶ γὰρ ὁ κανών· τῇ προικὶ σιωπηρῶς ἡ πρὸ γάμου δωρεὰ ἕπεται.

d Σήμερον τοῦτο οὐ φυλάττεται, ἀλλ' ἄχρηστόν ἐστι. διὰ γὰρ ταβελλίονος γίνονται αἱ δωρεαί, καὶ ἀρκοῦνται τούτῳ ἅπαντες, ἀρκούντων καὶ τῶν λοιπῶν ἁπάντων, ἅπερ ἐπὶ τοῦ μαγίστρου τῶν κήνσων ἐγίνετο. πρότερον γὰρ ἐπὶ ὑπομνημάτων ὡς ἐντεῦθεν δῆλον ἐπὶ ταῖς πρὸς γάμου δωρεαῖς.

---

1 Leuncl. ἐμπεριεχόμενον.

τὴν ἰδίαν ἔχειν ἰσχὺν, ὅσον πρὸς τὴν γυναῖκα[e]· εἴτε παρ' αὐτοῦ τοῦ ἀνδρὸς εἴτε παρ' ἑτέρου τινὸς τῇ γυναικὶ ἐπιδίδοται εἴτε καταγράφεται ἤγουν εἰς τὸ τοῦ ἀνδρὸς πρόσωπον ἡ δωρεὰ γίνεται, ἐφ' ᾧ τὰ αὐτὰ πράγματα εἰς γαμικὴν καταγράψαι[1] δωρεάν.

2. Ἀνάγν. καὶ βι. κη' τί. ιβ' κεφ. β', ἐν ᾧ φησιν· Ὅτι ἡ ἄπροικος καὶ ἄπορος γυνὴ[f] τετάρτην μοῖραν τῆς τοῦ ἀνδρὸς περιουσίας λαμβάνει, ὥστε μέντοιγε μὴ ὑπερβαίνειν τὴν τῶν ἑκατὸν τοῦ χρυσίου λιτρῶν ποσότητα[g]. ἀλλ' εἰ μὲν ἄχρι τριῶν ἔχει παίδων ὁ αὐτὸς ἀνὴρ, εἴτε ἐξ αὐτῆς εἴτε καὶ ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας λαμβάνειν· εἰ δὲ πλείονες εἴησαν οἱ παῖδες, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει· ὥστε χρῆσιν μόνην ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν, τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ ἔχει. εἰ δὲ παῖδας ἐξ αὐτοῦ μὴ ἔσχεν, ἔχειν αὐτὴν τὰ πράγματα καὶ δεσποτείας δικαίῳ. εἰ μέντοι πρεσβεῖόν τι καταλίποι αὐτῇ ὁ ἀνὴρ ἔλαττον τῆς διορισθείσης μοίρας, ἀναπληροῦσθαι τοῦτο. εἰ δέ τινα ἴδια ἡ γυνὴ πράγματα κατὰ τὴν οἰκίαν τοῦ ἀνδρὸς ἢ ἀλλαχόσε ἀποκείμενα ἔχοι, τούτων τὴν εἴσπραξιν καὶ παρακατάσχεσιν ἐχέτω πᾶσι τρόποις ἀμείωτον. ταῦτα δέ φαμεν, εἴπερ ἡ γυνὴ προῖκα μὴ ποιησαμένη ἄπορός ἐστιν, ὥστε τὸν μὲν ἄνδρα τελευτῶντα εὔπορον εἶναι, τὴν δὲ περιοῦσαν πένεσθαι. ἐπείτοιγε ἴσως ἀλλαχόθεν εἰ εὐποροίη, τὴν εἰσενεγκοῦσαν[2] προῖκα οὐκ ἂν εἴη δίκαιον βαρύνειν τοὺς παῖδας τῇ διαδοχῇ τοῦ συνοικήσαντος, διότι νόμος ἄλλος ἐστὶ, τὴν προῖκα μὴ εἰσενεγκαμένην μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι διὰ τῆς προγαμιαίας δωρεᾶς· ὅπερ κἀνταῦθα βουλόμεθα κρατεῖν. τὸν δὲ ἄνδρα ἄπορον ὄντα, καὶ μὴ ἐπιδιδόντα τὴν διὰ γάμου δωρεὰν, λαμβάνειν τὶ ἐκ τῆς οὐσίας τῆς γυναικὸς πᾶσι τρόποις κωλύομεν,

---

e Περιούσης δηλονότι τῆς γυναικός. εἰ γὰρ προτελευτήσει τοῦ ἀνδρὸς, οὐκ ἀπαιτεῖται ἡ πρὸ γάμου δωρεά. τὸ γυναικὸς ὑπόβολον καὶ[3] οἶμαι αἰνίττεται.

f Περὶ ἀπόρου γυναικὸς ἀνάγνωθι καὶ νεαρὰν νγ' κεφ. ε'. φησὶ γὰρ καὶ αὐτὴ, ἵνα λαμβάνῃ τὸ δ' τῆς τοῦ ἀνδρὸς περιουσίας ἢ παιδὸς μοῖραν.

g Ὅτι ἡ ἄπροικος γυνὴ εἰ λάβῃ φιλοτιμίαν νόμιμον ἀπὸ τελευτῆς τοῦ ἀνδρὸς, ὀφείλει ταύτην καὶ μετὰ θάνατον τοῦ ἀνδρὸς, εἴπερ ἔχει παῖδας, φυλάττειν τοῖς πράγμασιν[4] αὐτῆς.

---

1 Lips. καταγράψεται. 2 Basil. οὐκ εἰσεν. Leuncl. conj. μὴ εἰσεν. 3 Malim ὡς. 4 Legerim παισίν.

εἰ μὴ ἄρα καὶ αὐτῷ ἡ συνοικοῦσα δωρήσασθαί τι ἢ καταλεῖψαι βουληθείη[h].

VI.

Περὶ γεωργῶν [ἐν]απογράφων τε καὶ παροίκων καὶ μισθωτῶν, καὶ περὶ τῶν ἐξ αὐτῶν τικτομένων, καὶ περὶ πατριμονιαλίων γεωργῶν ἤτοι ἰδιοκτήτων τοῦ βασιλέως[a].

1. Ἀνάγν. βι. νε' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ γεωργὸς ἀσχολούμενος περὶ τὴν συλλογὴν τῶν καρπῶν, ἢ περὶ λογισμοὺς μὴ ἀφελκέσθω [εἰς τὰ ἔξω] τῶν ὡρισμένων βάρη, ἐπειδὴ ἀναγκαίως ἠσχόληται.

2. Ἐν δὲ τῷ δ' κεφ. Ὑπὲρ τῶν γεωργῶν οἱ δεσπόται ἀπαιτοῦνται τὰς συντελείας.

3. Ἐν δὲ τῷ ιη' κεφ. Τῶν γεωργῶν οἱ μὲν ἐναπόγραφοί εἰσι, καὶ τὰ τούτων πεκούλια τοῖς δεσπόταις ἀνήκει· οἱ δὲ χρόνῳ τῆς τριακονταετίας μισθωτοὶ γίνονται, ἐλεύθεροι[1] μετὰ τῶν πραγμάτων αὐτῶν. καὶ οὗτοι δὲ ἀναγκάζονται καὶ τὴν γῆν γεωργεῖν καὶ τὸ τέλος παρέχειν. τοῦτο δὲ καὶ τοῖς δεσπόταις καὶ τοῖς γεωργοῖς λυσιτελεῖ.

4. Ἀνάγν. καὶ τί. β' καὶ γ' καὶ δ' καὶ η' καὶ θ' καὶ ια' καὶ ιβ' καὶ τοῦ ιδ' τί. κεφ. δ'[b].

VII.

Περὶ γοητῶν.

1. Ἀνάγν. βι. ξ' τί. λθ'[2] κεφ. κη', ἐν ᾧ φησι· Τὸν ἐπιδειξάμενον γοητείαν ἕλκουσαν εἰς ἔρωτα τοὺς σώφρονας λογισμοὺς ἢ κατὰ τῆς σωτηρίας ἀνθρώπων μηχανησάμενον δημεύσει καὶ ἐξορίᾳ τιμωρεῖσθαι.

---

h Ἀπὸ μὲν τοῦ νόμου οὐ δίδοται αὐτῷ, ἡ δὲ γυνὴ οὐ κεκώλυται καὶ δωρεῖσθαι καὶ λεγατεύειν.

a Ἀνάγν. καὶ νεαρὰν ρνϛ' καὶ ρνζ'.

b Ἀνάγν. καὶ νεαρὰν ρξβ' κεφ. β' ὅ φησιν, ὅτι γαστὴρ ἐλευθέρα ἐναπόγραφον οὐ τίκτει, κολωνικὸν δὲ καὶ ἐκείνων τῶν ἀγρῶν ἐργάτην γινόμενον ἐν οἷς ἐγεννήθη, εἰ μὴ ἰδίαν ὕπαρξιν κτήσαιτο. καὶ ὅτι οἱ ἐξ ἐναπογράφων τικτόμενοι, εἰ μὲν εἷς ἐστι, τῷ δεσπότῃ τῆς γαστρὸς δίδοται· εἰ δὲ δύο, ἀμφοτέροις, τῷ τε τῆς γαστρὸς καὶ τῷ τοῦ φύσαντος, κλήρῳ τῆς ἐπιλογῆς γινομένης· εἰ δὲ τρεῖς, τὸ πλεῖον ἡ γαστὴρ ἕξει.

---

1 Basil. addunt μένοντες. 2 Lips. λη'.

2. Ἀνάγν. καὶ κεφ. λα' [1], ἐν ᾧ φησιν· *Οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι ξίφει τιμωρείσθωσαν.*

VIII.

Περὶ γονέων, καὶ τῆς εἰς αὐτοὺς ὑποταγῆς καὶ προνοίας τῶν παίδων, καὶ τῆς πρὸς τοὺς παῖδας παρὰ τῶν γονέων ὀφειλομένης ἐπὶ τῇ [ἀν]αγωγῇ αὐτῶν προνοίας, καὶ ὅτι ἁμαρτάνοντες εἰς τοὺς γονεῖς οἱ παῖδες κολαζόνται [a].

1. Ἀνάγν. βι. λα' τί. ϛ', οὗτινος ἐν τῷ ε' κεφ. φησίν· *Ὁ δικαστὴς διαγινώσκει τοὺς παῖδας ἐκ τῶν γονέων καὶ τοὺς γονεῖς ἐκ τῶν παίδων δι' ἀπορίαν καὶ ἀσθένειαν τρέφεσθαι, εἴτε αὐτεξούσιοί εἰσιν οἱ παῖδες εἴτε ὑπεξούσιοι.*

Καὶ ὁ πορνογενὴς τρέφει τὴν μητέρα, καὶ ἡ μήτηρ αὐτόν.

Καὶ ὁ κατὰ μητέρα πάππος [b] *ἀποτρέφει.*

Καὶ ὁ πατὴρ τὴν νόμιμον θυγατέρα.

Τὸν πενόμενον παῖδα καὶ μὴ δυνάμενον κάμνειν τρέφειν ὁ πατὴρ ἀναγκάζεται.

Οὐ μόνον τρέφειν ὁ γονεὺς ἀναγκάζεται τὸν παῖδα, ἀλλὰ καὶ τὰ λοιπὰ βάρη [c] *χορηγεῖν αὐτῷ, ἐσθῆτα καὶ οἴκησιν* [d].

Καὶ ὁ αὐτεξούσιος ἄνηβος πενόμενον τὸν πατέρα ἀναγκάζεται τρέφειν. [ἄτοπον γάρ ἐστιν, ἐν εὐπορίᾳ ὄντος τοῦ παιδὸς πένεσθαι τὸν πατέρα καὶ δεῖσθαι τῶν ἀναγκαίων.]

Ἡ μήτηρ ἀναγκαίως ἀποθρέψασα τὴν θυγατέρα καὶ συμμέτρως καλῶς ἀπαιτεῖ τὸν πατέρα· οὐ μὴν ἐὰν σχέσει μητρικῇ ἐδαπάνησε, κἂν παρὰ τῷ πατρὶ [2] *ἀπετρέφετο* [e].

---

[a] Ἀνάγν. καὶ βι. μϛ' [3] τί. α' κεφ. ιϛ', ὅπερ εἴρηται ἐν τῷ περὶ ἀνθρώπων.

[b] Οὐ μὴν ὁ κατὰ τὸν πατέρα, ἐπεὶ μηδὲ τρέφεται παρ' αὐτοῦ. φησὶ γὰρ ὁ κανών, ὁ πορνογενὴς τῇ τύχῃ τῆς μητρὸς ἕπεται.

[c] Τουτέστι τὰ τοῦ ἱματισμοῦ, τὰ τῶν ἐγκοιτίων.

[d] Ταῖς διατροφαῖς καὶ ἡ ἐσθὴς καὶ ἡ οἴκησις, καὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα καὶ πρὸς φυλακὴν καὶ φροντίδα τοῦ σώματος ἐπιτήδεια περιέχεται.

[e] Ἐὰν μήτηρ ἀποθρέψασα τὸν ἴδιον υἱὸν ἀπαιτῇ τὸν ἴδιον ἄνδρα ἅπερ ἀνάλωσε, χρὴ συμμέτρως αὐτὴν ἀκούεσθαι. οὕτω γὰρ ὁ θεῖος μάρκος ἀντέγραψεν· ὅσον ὀνόματι τῶν ἀλιμέντων ἤτοι τῶν χορηγιῶν, αἷς κατὰ τὸ ἀναγκαῖον τὴν σὴν θυγατέρα ἀπέθρεψας, χρὴ παραδεχθῆναι [4] σοι παρὰ τοῦ πατρὸς αὐτῆς, οἱ δικασταὶ διαγνώσονται. καὶ οὐχ ὀφείλεις ἐπιτυχεῖν εἰς

---

[1] Lips. λγ'. [2] Leuncl. conj. παρὰ τοῦ πατρός. [3] Leuncl. μ'.
[4] Leuncl. conj. παρασχεθῆναι. Recte.

Τρέφειν οὐ μὴν καὶ χρέος ὑπὲρ τοῦ πατρὸς ὁ υἱὸς ἀναγκάζεται διδόναι. ὡσαύτως καὶ ἐπὶ πατρός.

Καὶ ὁ κληρονόμος τοῦ υἱοῦ οὐκ ἀναγκάζεται τὸν πατέρα τρέφειν, εἰ μὴ ἄκρως πένεται.

Ὡς καὶ οἱ πάτρωνες καὶ οἱ ἀπελεύθεροι τρέφουσιν ἀλλήλους.

2. *Ἐν δὲ τῷ η' κεφ. Τὰ βάρη τῶν ἐξ ἀῤῥενογονίας ὑπέχομεν ἐκγόνων, οὐ μὴν καὶ τῶν ἀπὸ θυγατέρων. αὗται γὰρ οὐχ ἡμῖν, ἀλλὰ τοῖς ἰδίοις ἀνδράσιν ὑπεξουσίους τίκτουσιν. εἰ δὲ μὴ περίεισιν οἱ πατέρες αὐτῶν ἢ πένονται, τὰ βάρη αὐτῶν ὑπέχομεν.*

3. *Ἐν δὲ τῷ ι'*[1] *κεφ. Ταῖς χρείαις τῶν πατέρων βοηθεῖν τοὺς παῖδας δίκαιόν ἐστιν*[f].

4. *Ὁ*[2] *ἁρμόδιος δὲ δικαστὴς κελεύσει τὸν πατέρα τρέφεσθαι παρὰ τοῦ παιδὸς, ἐὰν ἔχῃ ἱκανὴν οὐσίαν εἰς τὸ ἀποθρέψαι τὸν πατέρα.*

5. *Ἐν δὲ τῷ ιγ' κεφ. Κἀκεῖνο δὲ διατυπῶσαι συνείδομεν, ἵνα εἴποτε τὸν μεταξὺ ἀνδρὸς καὶ γυναικὸς γάμον λυθῆναι συμβαίη, οἱ ἐκ τούτου τοῦ γάμου γεννηθέντες παῖδες μηδενὶ τρόπῳ βλαβῶσιν ἐκ τῆς διαζεύξεως τοῦ γάμου, ἀλλὰ πρὸς τὴν τῶν γονέων κληρονομίαν καλείσθωσαν, ἐκ τῆς τοῦ πατρὸς οὐσίας [ἀναμφισβητήτως] ἀποτρεφόμενοι.*

6. *Ἐν δὲ τῷ ιζ' κεφ.*[3] *Ὅπερ δὲ περὶ τοῦ τρέφεσθαι τὸν πατέρα καὶ τοὺς παῖδας διωρίσαμεν πενομένους, τοῦτο δὴ καὶ ἐπὶ πάντων τῶν ἀνιόντων καὶ κατιόντων προσώπων ἑκατέρας φύσεως κρατεῖν κελεύομεν.*

7. *Ἀνάγν. καὶ τί. β', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Καὶ ὁ στρατιώτης υἱὸς τὴν εὐσέβειαν χρεωστεῖ τῷ πατρὶ, καὶ ἁμαρτάνων εἰς αὐτὸν κολάζεται πρὸς τὸ μέτρον τοῦ ἁμαρτήματος.*

Καὶ οἱ συνελευθερωθέντες τῇ μητρὶ τιμᾷν αὐτὴν ὀφείλουσιν.

Ὁ πατέρα ἢ μητέρα τύπτων, οὓς προσκυνεῖν ὀφείλει,

τὸ ἀπαιτεῖν ἐκεῖνα, ὅσα τῆς μητρικῆς διαθέσεως ἀναγκαζούσης ἀνάλωσας, εἰ καὶ παρὰ τοῦ πατρὸς αὐτῆς ἀπετρέφετο, ἅτε μηδεμιᾶς βλάβης ἐπιούσης αὐτῇ ἀπὸ τοῦ διαζυγίου.

f *Θεόδωρος· Ἐν ταῖς ἀνάγκαις χρὴ τοὺς παῖδας συνελθεῖν τοῖς γονεῦσιν.*

---

[1] Lips. *κ'*. [2] Inscribendum: *Ἐν δὲ τῷ ια' κεφ.* [3] Imo ex eodem capite, ex quo c. 5 haustum est.

κατὰ τὸ μέτρον τοῦ ἁμαρτήματος τιμωρεῖται. πρὸς γὰρ τὴν δημοσίαν εὐσέβειαν ἀναφέρεται τοῦτο.

Καὶ ὁ πατέρα ἢ μητέρα, ὑφ᾽ ὧν ἀνετράφη, γόητας εἰπὼν ἀνάξιός ἐστι στρατείας.

8. Ἐν δὲ τῷ β' κεφ. Οἱ γονεῖς καὶ οἱ πάτρωνες εἰ καὶ διὰ ἐντολέων ἀγωνίζονται, ὅμως οὐκ ἐνάγονται τῇ περὶ δόλου ἢ τῇ περὶ ὕβρεως ἀγωγῇ· εἰ καὶ τὰ μάλιστα οὐκ ἀτιμοῦνται διὰ ἐντολέως ἀγωνιζόμενοι. οὔτε τῷ περὶ βίας ἐνάγονται[g].

9. Ἀνάγν. καὶ βι. μθ' [τί. β'] κεφ. ζ', ἐν ᾧ φησιν· Καὶ ὁ πατὴρ τῷ υἱῷ καὶ ὁ πάτρων τῷ ἀπελευθέρῳ τίμιος εἰκότως νομίζεται.

10. Καὶ[1] ὅτι τιμὴν ὁ υἱὸς τῷ πατρὶ χρεωστεῖ, οὐ μὴν ἐργασίαν.

IX.

Περὶ γυναικῶν καὶ προνομίων αὐτῶν, καὶ πότε εὐθύνονται καὶ πότε οὐκ εὐθύνονται, καὶ περὶ τοῦ μὴ ἐγκλείεσθαι αὐτάς[a].

1. Ἀνάγν. βι. ϛ' τί. ιθ' κεφ. θ', ἐν ᾧ φησι· Μηδεμία γυνὴ περὶ οἱουδήποτε πράγματος χρηματικοῦ ἐξ οἱουδήποτε ἄρχοντος ἐγκλείηται ἢ φυλάττηται. τὸν δὲ τοιοῦτό τι τολμῶντα, εἰ μὲν ἄρχων εἴη μείζων, κ' χρυσίου λιτρῶν, [εἰ δὲ ἥττων, δεκὰ χρυσίου λιτρῶν] ποινῇ ὑποκεῖσθαι, τοὺς δὲ ὑπουργοῦντας αὐτοῖς γυμνουμένους τῆς ζώνης βασάνοις ὑποβάλλεσθαι καὶ εἰς ἐξορίαν πέμπεσθαι. εἰ δὲ ἔγκλημα εἴη τὸ ἐπαγόμενον τῇ γυναικὶ, ἐφ᾽ ᾧ ἀνάγκη ἐστὶν αὐτὴν φυλαχθῆναι, εἰ μὲν ἐγγυητὴν δυνηθείη παρασχεῖν, αὐτῷ πιστευθῇ· εἰ δὲ ὀμόσει μὴ δύνασθαι δοῦναι ἐγγυητὴν, ἐξομοσίαν ποιήσει περὶ τῆς εἰς τὸ δικαστήριον προσεδρείας. εἰ δὲ βαρύτατον εὑρεθείη τὸ ἔγκλημα, ἐφ᾽ ᾧ κατηγορεῖται, εἰς μοναστήριον ἢ ἀσκητήριον ἐμβάλλεσθαι, ἢ γυναιξὶ παραδίδοσθαι αὐτὴν, δι᾽ ὧν δυνατὸν σωφρόνως καὶ ἐλευθερίως αὐτὴν φυλαχθῆναι, ἕως οὗ τὸ πρᾶγμα φανερωθῇ. καὶ τότε ἐκεῖνα προβαίνειν ἐπ᾽ αὐτὴν τὰ τοῖς νόμοις διωρισμένα. οὐδεμίαν γὰρ γυναῖκα

---

[g] Μήτε μετὰ ἐντολέως κατὰ πατρὸς ἢ πάτρωνος κινείτω τὶς ἀτιμοποιὸν ἀγωγὴν, εἰ καὶ μὴ ἀτιμοῖ αὐτούς· μήτε τὸ οὐνδὲ βὶ ἰντέρδικτον[2].

[a] Ἀνάγν. καὶ νεαρὰν ρλδ' κεφ. ια'. φησὶ γὰρ τοῦ μὴ ἀποκλείεσθαι γυναῖκα.

---

[1] Inscribendum: καὶ κεφ. η'. [2] Leuncl. τὸν ἰν δὲμ ἰντέρδ.

ὑπὲρ χρηματικῆς αἰτίας, δημοσίας ἢ ἰδιωτικῆς, ἢ ὑπὲρ ἐγκλήματος οἱουδήποτε ἢ εἰς φρουρὰν βάλλεσθαι συγχωροῦμεν ἢ δι᾽ ἀνδρῶν φυλάττεσθαι, ἵνα μὴ διὰ τῶν τοιούτων ἀφορμῶν εὑρεθῶσι περὶ [τὴν] σωφροσύνην ὑβριζόμεναι. μονάστριαν μέντοι ἢ ἀσκήτριαν δι᾽ οὐδεμίαν ἀγωγὴν[1] ἀφέλκεσθαι συγχωροῦμεν ἐκ τῶν οἰκείων ἀσκητηρίων ἢ μοναστηρίων.

2. Ἀνάγν. καὶ βι. ζ' τί. β'[2] κεφ. λ', ἐν ᾧ φησιν· Ἐὰν γυνὴ ἀλλοτρίῳ ὀνόματι ἤτοι ὑπὲρ μὴ διαφέροντος αὐτῇ προσώπου αἱρετὸν δικαστήριον[3] ἕληται ἐπερωτηθεῖσα ποινὴν, οὐκ ἔῤῥωται τὸ αἱρετὸν δικαστήριον οὐδὲ βεβαιοῦται ἡ ποινή.

3. Ἀνάγν. καὶ βι. θ' [τί. θ'] κεφ. η' καὶ βι. ιε' τί. δ' [ιδ' καὶ κδ', ἐν οἷς φησι περὶ ἐκδικήσεως πραγμάτων αὐτῆς ὑπὸ τοῦ ἀνδρὸς ἐκποιηθέντων.]

4. [Ἀνάγν. καὶ βι. ιζ' τί. α' κεφ. λβ', ἐν ᾧ φησιν· Ὅτι ὁ κληρονόμος τοῦ ἀνδρὸς οὐ κινεῖ κατὰ τῆς γυναικὸς τὴν περὶ συλληφθέντων[4] πραγμάτων κληρονομίας ἀγωγὴν, εἰ καὶ μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν κατέχει ἅπερ καὶ ἔτι τοῦ ἀνδρὸς περιόντος κατεῖχεν, ἀλλὰ τὴν ἐκδικοῦσαν τὰ ἀποκρυβέντα πράγματα καὶ τὴν περὶ διοίκησιν ἀγωγὴν, εἴγε διῴκει τὰ τοῦ ἀνδρὸς καὶ ἔτι περιόντος αὐτοῦ. ὁμοίως φησὶ καὶ ἐν τῷ περὶ ἀγωγῆς ἀφαιρέσεως πράγματος.]

5. [Ἀνάγν. καὶ βι. κδ' τί. δ'] κεφ. α' καὶ β' καὶ γ', ἐν ᾧ φησι· Ὅτι οὐ κατέχεται ἡ γυνὴ ἐκ τῶν τοῦ ἀνδρὸς συναλλαγμάτων, κἂν ἐγγυήσηται αὐτὸν, ὡς ἐκ τοῦ βελλιανίου δόγματος βοηθουμένη.

Καὶ οὐδὲ δημευομένου τοῦ ἀνδρὸς συνυπάγονται[5] τῇ δημεύσει τὰ πράγματα τῆς γυναικός.

Οὐδὲ τὰ ἐξώπροικα ὑπόκεινται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις.

6. Ἀνάγν. καὶ βι. κε' τί. ζ' κεφ. λβ', ἐν ᾧ φησιν· Ἡ γυνὴ κἂν ὑπὲρ ἄλλου δέδωκεν ἐνέχυρα, ὅμως οὐ δύναται ταῦτα πιπράσκειν ὁ δανειστὴς, εἰ μὴ ὑποτιθεμένου αὐτὰ τοῦ ἀνδρὸς αὐτῆς προσεποιεῖτο μὴ εἶναι ἴδια καὶ περιεγράψατο τὸν δανειστὴν ἀγνοοῦντα.

7. Ἀνάγν. καὶ βι. λε' τί. κα' κεφ. λϛ'. Γυνὴ δυναμένη αἰσχρὰν ἔχειν ὑποψίαν οὐδὲ ἀπὸ στρατιωτικῆς διαθήκης δύναταί τι λαβεῖν.

8. Ἀνάγν. καὶ βι. νϛ' τί. β' κεφ. γ'[6], ἐν ᾧ φησιν· Ὅτι συγγινώ-

[1] Leuncl. ἐναγωγήν. [2] Lips. βι. β' τί. ζ'. [3] Leuncl. δικαστήν. [4] Basil. συληθέντων. [5] Leuncl. συνεπάγ. [6] Lips. ϛ'.

σκεται γυνὴ τὸ ἴδιον ἀγνοήσασα δίκαιον. ὁμοίως καὶ ἐν τῷ περὶ ἀγνοίας νόμου εἴρηται.

9. Ἀνάγν. καὶ βι. κϛ' τί. ζ' κεφ. μζ', ἐν ᾧ φησιν· Ὅτι[b] καὶ ὁ ἐγγυητὴς τῆς ἀντιφωνησάσης βοηθεῖται, κἂν μὴ ἔχῃ κατ' αὐτῆς τὴν περὶ τοῦ μανδάτου ἀγωγήν. πᾶσα γὰρ ἡ ἐνοχὴ ἀκυροῦται καὶ ἀποκαθίσταται τῷ δανειστῇ κατὰ τοῦ πρώτου χρεώστου.

10. Καὶ κεφ. ξζ', ἐν ᾧ φησιν· Ὅτι καὶ ὑπὲρ παιδὸς ἀντιφωνοῦσα γυνὴ κέχρηται τῇ παραγραφῇ.

11. Καὶ κεφ. οε' καὶ πζ', ἐν οἷς φησιν· Ὅτι ἡ γυνὴ προῖκα ἐπαγγειλαμένη οὐ βοηθεῖται.

12. Ἀνάγν. καὶ βι. ξ' τί. μδ'[1] κεφ. κδ', ἐν ᾧ φησιν· Ὅτι ἡ γυνὴ οὐ δύναται κινεῖν ἔγκλημα, εἰ μὴ ἐπὶ ἰδίᾳ αἰτίᾳ.

X.

Περὶ γυναικειαρίων.

1. Ἀνάγν. καὶ βι. νδ' [τί. ιϛ'], οὗτινος ἐν τῷ ϛ' κεφ. φησίν· Ὅτι ἐκ τοῦ γυναικείου ἀνδράποδον κρύπτων τρεῖς λίτρας χρυσίου διδότω.

2. Ἐν δὲ τῷ η' κεφ. Ὅτι ὁ ὑπονοθεύων γυναῖκα ἀφορισθεῖσαν τῷ γυναικείῳ δύο λίτρας δίδωσιν.

Ἀρχὴ τοῦ Δ στοιχείου.

I.

Περὶ δαπανημάτων ἐν πράγματι ἀλλοτρίῳ γινομένων.

1. Ἀνάγν. βι. ιε' τί. α' κεφ. κζ' θεμ. ϛ', ἐν ᾧ φησιν· Ὅτι καταλογίζεται τῷ νομεῖ τὰ παρ' αὐτοῦ δαπανηθέντα πρὸ τῆς προκατάρξεως.

2. Καὶ κεφ. κη'[2] καὶ κθ' καὶ λ' καὶ λζ', ἐν ᾧ φησιν· Εἰ καὶ καλῇ πίστει ἀγοράσω ἔδαφος καὶ μετὰ τὸ μαθεῖν ἀλλότριον [εἶναι]

---

b Περὶ τούτων εἴρηται πλατύτερον ἐν τῷ περὶ ἀντιφωνητῶν.

---

1 Leuncl. μα'. Fortasse intelligitur tit. 34 cap. 26. 2 Lips. κζ'.

κτίσω, τὰς μὲν δαπάνας οὐ λαμβάνω, δύναμαι δὲ περιελεῖν τὸ κτίσμα ἄνευ ζημίας τοῦ δεσπότου τοῦ ἐδάφους[a].

3. Καὶ κεφ. λη', ἐν ᾧ φησιν· Ὅτι[b] ἐὰν ἀγοράσας καλῇ πίστει ἀλλότριον ἀγρὸν γεωργήσω ἢ κτίσω ἐν αὐτῷ, εἰ μὲν ἤμελλεν ὁ δεσπότης τὰ αὐτὰ ποιεῖν, δίδωσιν ὅσου γέγονε τιμιώτερος· εἰ δὲ πλέον τῆς δαπάνης ὠφέλησα, μόνα τὰ δαπανηθέντα δίδωσιν[c]. εἰ δὲ πένης ἐστὶν, ἐφεῖται αὐτῷ περιελεῖν ἐκ τῶν γενομένων ὅσα δύναται, ὥστε μέντοι μὴ γενέσθαι χείρονα τὸν ἀγρὸν οὗ ἦν ἐξ ἀρχῆς· εἰ μὴ ἕτοιμός ἐστιν ὁ δεσπότης δοῦναί μοι ὅσον μέλλω σχεῖν ἐκ τῶν περιαιρουμένων. οὐ γὰρ ἀκούομαι κακοθελῶς ἀποξέσαι τὰς γραφὰς θέλων διὰ τὸ πρὸς αὐτὸν μῖσος. εἰ μέντοι μέλλει πιπράσκειν τὸν ἀγρὸν, αἱ δαπάναι πρὸς τὸ ἀνωτέρω λεχθὲν λογίζονται.

4. Καὶ κεφ. μς'. Ὁ καλῇ πίστει νεμηθεὶς περὶ ὧν ἐδαπάνησεν ἀγωγὴν οὐκ ἔχει, ἀλλὰ παρακατάσχεσιν, ἐφ' οἷς ὁ ἀγρὸς κρείττων γέγονε, συμψηφιζομένων τῶν πρὸ τῆς προκατάρξεως ληφθέντων καρπῶν.

5. Καὶ κεφ. πε', ἐν ᾧ φησιν· Ὁ τὸν ἀλλότριον οἶκον κακῇ[1] πίστει νεμηθεὶς ἀποδίδωσι μὲν αὐτὸν μετὰ τῶν στεγονομίων καὶ παντὸς ἑτέρου, τὰ δὲ δαπανήματα οὐ λαμβάνει, εἰ μὴ ἄρα ἀναγκαῖά εἰσι. τὰ δὲ ἐπωφελῆ δύναται μὴ βλάπτων τὴν ἀρχαίαν ὄψιν ἀφελέσθαι.

6. Ἀνάγν. καὶ βι. ις' τί. α' κεφ. ν' θεμ. β' καὶ βι. ιζ' τί. α' κεφ. κς' καὶ κθ' καὶ λβ' θεμ. β' καὶ κεφ. λδ'. ἀνάγν. καὶ τί. β', οὗτινος ἐν τῷ ιη' κεφ. φησίν· Τῶν γενομένων ἀναλωμάτων ἐπὶ διοικήσει πρά-

---

a Μὴ συμβάλλεσθαι τῷ ποσέσορι τὴν τοῦ δόλου παραγραφὴν, δι' ἧς ἀπαιτεῖ τὰ δαπανήματα ἔχων παρακατάσχεσιν. τοῦτο δὲ μόνον αὐτῷ ὀφείλει συγχωρεῖσθαι, ἵνα τὸ οἰκοδομηθὲν ἀφέληται δίχα ζημίας τοῦ ἐδάφους τοῦ κυρίου.

b Χρὴ τὸν ἀγαθὸν δικαστὴν μὴ ὡς ἔτυχεν ἀποφήνασθαι, διαφορὰν δὲ εἰσαγαγεῖν τῆς καταδίκης ἀπό τε τῶν προσώπων καὶ τῆς αἰτίας. πρῶτον γὰρ τὸ τοῦ πετίτωρος ἐξεταζέτω πρόσωπον. κἂν αὐτὸς γὰρ εὔπορος ὢν τὰ αὐτὰ ἔμελλε τῷ ἐναγομένῳ ποιεῖν, ἐφ' ὅσον τιμιώτερος γέγονεν ὁ ἀγρὸς, ἀπαιτεῖ. πλὴν εἰ μὴ ὑπερβαίνει [τὰ] γενόμενα δαπανήματα ἡ νῦν προστεθεῖσα διατίμησις· τότε γὰρ ὅσα ἐδαπάνησε, καὶ οὐχ ὅσον πλείονος νῦν ἄξιος γέγονεν ὁ ἀγρὸς, λήψεται ὁ ποσέσωρ.

c Τυχὸν ρ' νομίσματα ἦν ἄξιος ὁ ἀγρὸς, ἐγὼ δὲ ἐδαπάνησα ἐν αὐτῷ ρ' νομίσματα, γέγονε δὲ ὁ ἀγρὸς ἄξιος νομισμάτων σν'· μόνα τὰ ρ' λαμβάνω, ἅπερ ἐδαπάνησα.

[1] Lips. et Leuncl. καλῇ, quod tamen Leuncl. in κακῇ mutandum esse vidit.

γματος ἀλλοτρίου τόκους παρέχεσθαι ἡ καλὴ πίστις συνεβούλευσεν. ᾧτινι [νομίμῳ] δύνασαι χρήσασθαι κατ' ἐκείνων, ὧν τῇ ἀνάγκῃ συνηλάθης τὰ πράγματα αὐτῶν διοικῆσαι, κινῶν κατ' αὐτῶν τὴν περὶ τῆς διοικήσεως τῶν πραγμάτων ἀγωγὴν παρὰ τῷ ἄρχοντι τῆς ἐπαρχίας.

II.

Περὶ δαπανημάτων μὴ ἀπαιτουμένων ὡς δι' εὐσέβειαν λογιζομένων δαπανᾶσθαι.

1. Ἀνάγν. βι. ιζ' τί. α' κεφ. κϛ' θεμ. θ', ἐν ᾧ φησιν· Ὁ δι' εὐσέβειαν ἀποθρέψας τὴν οἰκείαν ἀδελφόπαιδα οὐκ ἔχει ἀπαίτησιν.

2. Καὶ κεφ. λ' θεμ. ϛ', ἐν ᾧ φησι· Τοῖς ἀπελευθέροις δῆλον ποσὸν κατελείφθη πρὸς κατασκευὴν μνημείου· δαπανήσαντες πλέον οὐκ ἔχουσιν[1] ἀπαίτησιν[a].

3. Καὶ κεφ. λε'[2] θεμ. γ', ἐν ᾧ φησιν· Ἡ δὲ μήτηρ εὐσεβῶς δαπανᾷν εἰς τὸν υἱὸν προείληπται, εἰ μὴ τὸ ἐναντίον διαμαρτύρηται. εἰ δὲ τοῦ πατρὸς ἐπὶ ξένης ἀποθανόντος ἀποθρέψει τὸν υἱὸν καὶ τὴν αὐτοῦ φαμιλίαν ὑποστρέφουσα εἰς τὴν πατρίδα, τὴν περὶ τῆς διοικήσεως ἀγωγὴν ἕξει κατὰ τοῦ ἀνήβου.

4. Ἀνάγν. καὶ τί. β' κεφ. α' καὶ κεφ. ια', ἐν ᾧ φησιν· Μήτηρ εἰς ἀποτροφὴν τῶν ἰδίων τέκνων ἀνάλωσέ τινα καὶ εἰς ἐπιμέλειαν ἄλλων πραγμάτων ἢ εἰς δίκας αὐτῶν ἐδαπάνησε, καὶ προσῆλθε βασιλεῖ βουλομένη λαβεῖν πάντα, ὅσα περὶ τοὺς υἱοὺς ἐδαπάνησε· καὶ ἀντέγραψε πρὸς αὐτὴν ὁ βασιλεὺς οὕτως· τὰ τροφεῖα μέν, ἅτινα τοῖς υἱοῖς σου παρέσχες, ἀποδοθῆναί σοι οὐκ ἐννόμῳ λογισμῷ ἀπαιτεῖς, ὁπότε τοῦτο ἀπαιτούσης σε τῆς μητρῴας εὐσεβείας ἐποίησας. εἴ τι δὲ εἰς τὰ πράγματα αὐτῶν χρησίμως ἀνάλωσας[b], τοῦτο διὰ τῆς περὶ διοικήσεως ἀγωγῆς ἀπαιτῆσαι δύνασαι.

---

[a] Μὴ ἐναντιωθῇ σοι τὸ εἰρημένον ἐν τῷ μβ' βι. τί. α' κεφ. ν', ὅτι ἐάν τις κτίσῃ μνῆμα τῷ διαθεμένῳ, ἔχει κατὰ τοῦ κληρονόμου εἰς ὅσον ἦν πρέπον ποιῆσαι αὐτοῦ τὸ δαπάνημα εἰς τὴν τοῦ μνημείου κατασκευήν. ἐνταῦθα γὰρ τοῦτο χώραν οὐκ ἔχει, ἐπειδὴ ὁ διαθέμενος μέτρον ὡρισμένον καταλέλοιπε, τυχὸν ρ' νομίσματα, πρὸς ὃ καὶ ἠβουλήθη γενέσθαι τὸ μνημεῖον.

[b] Ἐὰν ἄρα συνετῶς καὶ χρησίμως ἐδαπάνησεν. εἰ γὰρ ἄκαιρά τινα

---

[1] Leuncl. οὐχ ἕξουσιν. [2] Lips. λβ'.

5. *Καὶ κεφ. ιγ', ἐν ᾧ φησιν·* Ἅτινα εἰς τὴν γαμετήν σου νοσοῦσαν ἀνάλωσας, οὐκ ἀπὸ τοῦ πενθεροῦ τοῦ σοῦ ἀπαιτεῖν, ἀλλὰ τῇ διαθέσει τῇ σῇ ὀφείλεις καταλογίσασθαι. εἰς [τὴν] ταφὴν δὲ αὐτῆς δηλαδή[c] εἴ τι τούτου ἕκενεν ὡς μέλλων ἀναλαβεῖν ἀνάλωσας, τὸν πατέρα, πρὸς ὃν ἡ προῖξ ἐπανῆλθε, νομίμως μεθοδεύεις.

III.

Περὶ δένδρων καὶ δενδροτομιῶν.

1. *Ἀνάγν. βι. ζ' τί. ις', οὗτινος ἐν τῷ β' κεφ. φησίν·* Οἱ δένδρα καὶ μάλιστα ἀμπέλους τέμνοντες καὶ ὡς λῃσταὶ κολάζονται.

2. Δένδρον[1] γὰρ λέγεται καὶ ἡ ἄμπελος.

Καὶ ὁ κισσὸς καὶ ὁ κάλαμος καὶ ἡ ἰτέα. τὸ δὲ μήπω ῥιζωθὲν οὐκ ἔστι δένδρον, οὐδὲ οὗτινος αἱ ῥίζαι ἐξηράνθησαν καὶ ἵσταται.

Εἰ δὲ ἐξεριζώθη μέν, δύναται δὲ φυτευθῆναι, δένδρον ἐστίν.

Καὶ αἱ ῥίζαι τῆς ἐλαίας δένδρα εἰσὶν, εἴτε ῥίζας ἐξέβαλον εἴτε μή.

3. Εἰ δὲ οὕτως ἁπαλόν ἐστιν, ὡς ἐν τάξει βοτάνης εἶναι, οὐκ ἔστι δένδρον.

4. *Ἐν δὲ τῷ δ' κεφ.* Τέμνειν ἐστὶν οὐ μόνον τὸ εἰς τέλειον τεμεῖν, ἀλλὰ [καὶ] τὸ μερικῶς πλῆξαι ἐπὶ τῷ τεμεῖν· ζωννύειν τὸ περιελεῖν τὸν φλοιόν· κατατέμνειν τὸ ὑποτεμεῖν.

Ταύτης τῆς ἀγωγῆς ἡ αὐτὴ αἰτία ἐστὶ[2] τῷ ἀκουϊλίῳ.

5. *Ἐν δὲ τῷ ε' κεφ.* Ἐὰν πολλοὶ τὸ αὐτὸ τέμωσι δένδρον, ἕκαστος αὐτῶν εἰς[3] ὁλόκληρον ἐνέχεται.

Εἰ δὲ πολλῶν τινων δένδρον κοπῇ, πᾶσι μία ἀγωγὴ καὶ μία ποινὴ ἁρμόζει.

ἀναλώματα ἐποίησε περὶ τὰ πράγματα τῶν παίδων αὐτῆς, οὐδὲ δύναται ἀπαιτεῖν, ἐπειδὴ ἡ εἰρημένη ἀγωγὴ ζητεῖ χρησίμως πάντα γενέσθαι τὰ δαπανήματα.

c Καὶ ὅσα εἰς ἀγορασίαν τοῦ τόπου, ἐν ᾧ θάπτεται τὸ σῶμα, δεδαπάνηται, ἢ ἐπὶ ξένης τελευτήσαντός τινος, ὅσα δίδοται εἰς τὸ μετακομισθῆναι τὸ λείψανον. καὶ εἰ τέλη τινὰ ἐδόθη ὑπὲρ τῆς μετακομιδῆς, καὶ ταῦτα ταφῆς αἰτίᾳ δοκεῖ δαπανᾶσθαι.

---

[1] Cap. 2 et 3 ex Basil. l. l. c. 3 et 4 desumtum est. [2] Lips. ἐν. [3] Lips. τὸ εἰς.

Ἐὰν τὸ ἐμὸν δένδρον τὰς ῥίζας εἰς τὸν τοῦ γείτονος ἀγρὸν ἐκπέμψῃ, οὐκ ἔξεστιν αὐτῷ τεμεῖν αὐτὰς, ἀλλὰ κινεῖ ὡς περὶ τοῦ ξύλου ἐμβληθέντος ἢ ἐκθέτου.

Εἰ καὶ αἱ ῥίζαι τοῦ δένδρου ἐξ ἄλλου ἀγροῦ τρέφονται, ὅμως ἐκείνου ἐστὶν, ἐν ᾧ ἡ ἀρχαιογονία αὐτοῦ ἦν.

6. Ἐν δὲ τῷ ϛ' κεφ.[1] Ὁ ἀποριζώσας δένδρον οὐ κρατεῖται τῇ παρούσῃ ἀγωγῇ, ἀλλὰ τῷ ἀκουϊλίῳ.

Οὐ μόνον ὁ χερσὶν οἰκείαις κόπτων ἐνέχεται, ἀλλὰ καὶ ὁ ἐπιτρέπων δούλῳ ἢ ἐλευθέρῳ.

Εἰ μέντοι ἀφ' ἑαυτοῦ ὁ δοῦλος κόψει, νοξαλία ἁρμόζει κατὰ τοῦ δεσπότου.

Αὕτη ἡ ἀγωγὴ διηνεκής ἐστι, καὶ κληρονόμοις, οὐ μὴν κατὰ κληρονόμων ἁρμόζει, καὶ εἰς τὸ διπλοῦν ἔχει τὴν καταδίκην.

7. Ἐν δὲ τῷ ζ'[2] κεφ. Ὁ τεμὼν εἰς τὸ διαφέρον καταδικάζεται, καὶ ἐξαιρεῖται τὸ τίμημα τοῦ κοπέντος δένδρου, καὶ τὰ λοιπὰ δίδωσιν.

Ὁ ἐπὶ τῷ κερδάναι κόψας καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ καὶ τῇ τοῦ κλοπιμαίου ἐκδικήσει ἐνέχεται[a].

8. Ἐν δὲ τῷ θ' κεφ. Ἐὰν δίδυμον δένδρον ἐστὶν, εἰ μὲν ἡ ζεῦξις αὐτοῦ ὑπὲρ γῆν ἐστιν, ἕν ἐστι τὸ δένδρον· εἰ δὲ ὑπὸ γῆν, τοσαῦτά εἰσιν, ὅσα ὑπὲρ γῆν φαίνεται.

9. Ἐν δὲ τῷ ιβ' κεφ. Ἐὰν δένδρον ἐκ τοῦ οἴκου σου ἐπήρτηται τῷ οἴκῳ μου καὶ βλάπτῃ με, εἰ μὴ ἀφέλῃς αὐτό, φησιν ὁ πραίτωρ ἐκ ῥίζης ἐκτέμνειν με αὐτὸ, καὶ τὰ καύσιμα ξύλα ἀφαιρεῖσθαι.

Δένδρον δὲ νοεῖται καὶ ἡ ἄμπελος.

10. Ἐν δὲ τῷ ιγ' κεφ.[3] Τὸ ἐκ τοῦ ἀγροῦ σου δένδρον ἐπηρτημένον τῷ ἀγρῷ μου, ἐὰν ὑπὲρ ιε' πόδας εἴη ὑψηλὸν, καὶ μὴ κλαδεύσῃς αὐτὸ, φησὶν ὁ πραίτωρ ἐμὲ κλαδεύειν καὶ τὰ ξύλα ἐπαίρειν[4]. τὸ αὐτὸ καὶ ὁ δυοδεκάδελτός φησιν, ὥστε μὴ τὴν σκιὰν τοῦ δένδρου βλάπτειν τὸν γείτονα.

Δῆλον οὖν ἐστιν, ὅτι τὸ μὲν τοῦ οἴκου δένδρον ἐκ

---

[a] Σημείωσαι, ὅτι εἰς τὸ διπλοῦν ἡ ἀγωγὴ τοῦ κλοπιμαίου ἁρμόζει, κἀκεῖνο αὐτὸ ἐκδικεῖται.

---

[1] Haec inscriptio in Lips. et apud Leuncl. perperam praecedenti §o Εἰ καὶ αἱ ῥίζαι praeponitur. [2] Lips. ιζ'. [3] Imo et hoc caput Basilicorum capiti modo laudato debetur. [4] Leuncl. ἀπαίρειν.

ῥίζης τέμνεται, τὸ δὲ τοῦ ἀγροῦ κλαδεύεται, εἰ ὑπὲρ ιε΄ πόδας ὑψοῦται[b].

11. Ἐν δὲ τῷ ιδ΄ κεφ. Ἐὰν ἐπικλίνῃ τὸ δένδρον τοῦ ἀγροῦ σου εἰς τὸν ἀγρόν μου, καλῶς κινῶ ἀπὸ τοῦ δυοδεκαδέλτου, μὴ ἔχειν σε δίκαιον οὕτω κεκτῆσθαι τὸ δένδρον[c].

IV.

Περὶ δεσποτείας ἐκ διαφόρων τρόπων διὰ χρονίας νομῆς συνισταμένης, καὶ πότε ἀντίκειται ἡ τοῦ μακροῦ χρόνου παραγραφὴ καὶ πότε οὐκ ἀντίκειται, καὶ τίνα μὲν διὰ τριετίας ἢ τετραετίας, τίνα δὲ διὰ δεκαετίας ἢ εἰκοσαετίας ἢ τριακονταετίας ἢ τεσσαρακονταετίας δεσπόζεται.

1. Ἀνάγν. βι. ν΄, οὗτινος ἐν τῷ α΄ τί. διαλαμβάνεται, οἵῳ τρόπῳ τὰ πράγματα κτώμεθα, τά τε χερσαῖα καὶ τὰ θαλάσσια ζῶα, τὰ ἀγρευόμενα καὶ τὰ λάφυρα, ἔτι δὲ καὶ τὰ ἀπὸ προσχώσεως ἤτοι προσκλύσεως, καὶ τὰ ἀπὸ παντοίας ὕλης ἀλλοτρίας ἢ ἰδίας γινόμενα εἴδη· καὶ περὶ σπερμάτων καὶ φυτῶν· καὶ [περὶ] δούλων καὶ ὑπεξουσίων, δι᾽ ὧν κτώμεθά τι· καὶ περὶ λιμνῶν καὶ ὑδροστασίων καὶ αἰγιαλῶν καὶ λιμηστανέων ἀγρῶν, τουτέστι τῶν ἀπὸ τῶν πολεμίων ληφθέντων· καὶ περὶ τῶν φυομένων νήσων ἐν ποταμῷ· καὶ περὶ θησαυρῶν.

2. Ἐν δὲ τῷ α΄[1] κεφ. τοῦ α΄ τί. φησί· Τὰ πράγματα ἢ τῷ φυσικῷ νόμῳ ἤγουν ἐθνικῷ κτώμεθα ἢ τῷ πολιτικῷ.

Πάντα οὖν τὰ χερσαῖα, τὰ θαλάσσια, τὰ ἐναέρια ζῶα τῶν λαμβανόντων γίνεται.

3. Μετὰ καὶ ὧν τίκτουσι παρ᾽ ἡμῖν.

4. Τὸ γὰρ μηδενὸς ὂν τοῦ προλαμβάνοντος γίνεται.

Κἂν ἐν ἀλλοτρίῳ τὶς ἀγρῷ θηρεύσῃ· δύναται μέντοι ὁ δεσπότης τοῦ ἀγροῦ κωλύειν τὸν ἐπιβαίνοντα.

Ἕως ὅτε διεκφύγοι τὸ κρατηθὲν, ἡμέτερόν ἐστιν.

5. Εἰ μὴ ἥμερον ὂν ὑποστρέφειν εἰώθει.

6. Ὅτε δὲ ἐκφύγῃ τὴν θέαν ἡμῶν, ἢ δυσχερής ἐστιν ἡ ἐπιδίωξις ἡμῶν, παύεται εἶναι ἐμόν.

Ὅθεν οὐδὲ τὸ τρωθὲν θηρίον, εἰ μὴ ἐκρατήθη, τοῦ πλήξαντος γίνεται.

---

b Διὰ βλάβην τῶν θεμελίων, καὶ διὰ τὸ μὴ τὴν σκιὰν τοῦ δένδρου βλάπτειν τὸν γείτονα.

c Ἀνάγν.[2] καὶ τὸ περὶ καινοτομιῶν, ἐν ᾧ εὑρήσεις ὅτι ἐλαίαν καὶ συκῆν θ΄ ποδῶν ἀπὸ τοῦ ἀλλοτρίου χρὴ φυτεύειν, τὰ δὲ ἄλλα δένδρα ε΄ ποδῶν. ἀνάγν. καὶ νεαρὰν ριθ΄ κεφ. ζ΄.

---

1 Scil. et sequentibus. 2 Apud Leuncl. hoc schol. textus partem efficit.

7. Ἐν δὲ τῷ β' κεφ.[1] Τὰς μελίσσας, ὅταν ἀποκλείωμεν καὶ μόνον, κτώμεθα.

Τὰς[2] μελικηρίδας καὶ ἐκ τῶν ἀλλοτρίων δένδρων νομίμως ἀφαιρούμεθα, εἰ μὴ ὁ δεσπότης τοῦ ἀγροῦ κωλύσει εἰσελθεῖν.

Τὸ δὲ σμῆνος ἐκ τῶν μελισσίων μου ἱπτάμενον ἐμόν ἐστιν, ἕως ὅτε ὑπὸ τὴν θέαν μου πίπτει, καὶ μὴ δυσχεραίνω ἐπιδιῶξαι αὐτό· ἐπεὶ πάλιν τοῦ προκαταλαβόντος ἔσται.

8. Ἐν δὲ τῷ γ' κεφ.[1] Ταῶνες, περιστεραὶ, μέλισσαι, ἔλαφοι, κἂν συνήθειαν ἔχωσι ὑποστρέφειν, ἐν τοῖς ἀγρίοις[3] εἰσὶ, τὰ δὲ εἰωθότα ὑποστρέφειν, εἰ μὴ τὴν συνήθειαν ἣν ἔχουσι καὶ φυλάξουσι, τοῦ προκαταλαβόντος γίνονται.

Τοὺς ἡμετέρους χῆνας καὶ τὰς ὄρνεις ἐὰν ἕτερος ἀφιπταμένας κατάσχῃ πρὸς ἴδιον κέρδος, τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ ὑπόκειται.

9. Ἐν δὲ τῷ δ' κεφ.[1] Τὰ λάφυρα τῶν λαμβανόντων εἰσί,

10. Καὶ ὅσα ἐκ τῶν πραιδευθέντων ζώων ἐτέχθη.

11. Οὕτω γὰρ καὶ οἱ ἐλεύθεροι δοῦλοι γίνονται· εἰ μέντοι ἐκφύγωσι, πάλιν ἐλεύθεροι γίνονται.

12. Ἐν δὲ τῷ ε' κεφ.[4] Τὸ ἀνεπαισθήτως διὰ τοῦ ποταμοῦ προστεθὲν τῷ ἀγρῷ μου πρόσχωσις ἤτοι πρόσκλυσίς ἐστι, καὶ ἐμοὶ ἁρμόζει.

Εἰ δὲ μέρος τοῦ ἀγροῦ σου εἰς τὸν ἐμὸν μετατεθῇ καὶ προσπαγῇ, ἢ καὶ δένδρα συμμετενεχθέντα ῥιζώσει, ἐμὰ γίνεται.

Νῆσος ἐν θαλάσσῃ φυομένη τοῦ προκαταλαβόντος[5] γίνεται. νῆσος ποταμία, εἰ μὲν ἐν τῷ μέσῳ φύῃ, τοῖς ἐν ἑκατέρᾳ ὄχθῃ κεκτημένοις κατὰ τὸ μέρος τῆς πλατύτητος διοίσει· εἰ δὲ τῷ ἑνὶ πλησιάσει, αὐτοῦ ἔσται.

Εἰ δὲ ἔκ τινος πλευροῦ ἐξέῤῥηξεν ὁ ποταμὸς, καὶ εἰς τὴν παλαιὰν κοίτην πάλιν ἐλθὼν ἐν τάξει νήσου τὸν ἀγρόν μου κατέσχεν, ἐμὸς μένει.

Εἰ μέντοι δι' ἄλλης κοίτης ἤρξατο ῥεῖν, ἡ μὲν πρώτη τῶν ἐν ταῖς ὄχθαις παρακειμένων[6] γίνεται, ἡ δὲ νέα δημοσία ἔσται. εἰ δὲ εἰς τὴν παλαιὰν τελείως ὑπέστρεψεν, ἢ τοῦ

---

[1] Imo ex eodem capite, ex quo etiam c. 6 haustum est. [2] Leuncl. *Καὶ τάς*. [3] Lips. *ἀγροῖς*. [4] Cap. 11 et 12 ex uno eodemque capite Basil. sumta sunt, ut proinde inscriptio capiti 11 praeponenda sit. [5] Leuncl. semper *προκαταλαμβάνοντος*. [6] Leuncl. *παρακεκτημένων*.

παλαιοῦ δεσπότου ἔσται ἡ κοίτη, ἢ εἰ μὴ ἦν δεσπότης, τῶν παρακεκτημένων γίνεται.

Τὸ αὐτὸ κἂν ἐξ ἐπομβρίας ἐπίκλυσις γένηται.

13. Ἐν δὲ τῷ ϛ' κεφ.[1] Εἰ ἐξ ἀλλοτρίας ὕλης εἶδος ποιήσω, ὅπερ δύναται εἰς τὴν αὐτὴν ὕλην ὑποστρέψαι, ὡς χρυσὸς καὶ ἄργυρος καὶ χαλκὸς, τοῦ κυρίου τῆς ὕλης ἔσται τὸ εἶδος. εἰ δὲ μὴ δύναται ὑποστρέψαι, ὡς ἐπὶ σταφυλῶν καὶ ἐλαιῶν, τοῦ κατασκευάζοντος γίνεται. ὁ δὲ ἐξ ἀλλοτρίων ἀσταχύων τιναχθεὶς σῖτος τοῦ κυρίου τῶν ἀσταχύων ἔσται[a].

14. Ἐν δὲ τῷ θ' κεφ. Ὑπεξούσιος υἱὸς ἢ δοῦλος καλῇ πίστει δουλεύων προσπορίζει μοι. καὶ ὁ μὲν δοῦλος εἴτε λεγάτον εἴτε ἄλλο τὶ ὁθενδήποτε λαμβάνει. εἰ δὲ καὶ κληρονόμος γραφῇ, κελεύσει μου προσέρχεται, ὡσανεὶ ἐγὼ ἐγράφην.

Καὶ δεσποτείαν δὲ καὶ νομὴν διὰ τῶν ὑπεξουσίων ἡμῶν, καὶ διὰ χρήσεως δεσποτείαν κτώμεθα.

15. Ἐν δὲ τῷ ιγ' κεφ. Ὅτι οἱ αἰγιαλοὶ ἐν τῇ πάντων ἐξουσίᾳ εἰσί. διὸ καὶ δεσπόζω τῶν ἐν αὐτοῖς παρ' ἐμοῦ κτιζομένων, ὥσπερ καὶ τῶν ὑπ' ἐμοῦ θηρευομένων.

Εἰ δὲ καταπέσῃ τὸ κτισθὲν, πάλιν κοινὸς ὁ αἰγιαλὸς γίνεται.

16. [Ἐν δὲ τῷ ιδ' κεφ.] Ὁ ἐν ὄχθῃ ποταμοῦ κτίζων οὐ δεσπόζει αὐτοῦ.

17. Ἐν δὲ τῷ κε' κεφ. Τὸ προστιθέμενον ὅλον[2] σώματι εἴκει αὐτῷ, ὡς ἀνδριάντι ποὺς ἢ χεὶρ ἢ σκύφῳ πυθμὴν ἢ ὠτίον καὶ τὰ ὅμοια.

18. Ἐν δὲ τῷ κζ' κεφ. Τὸ ἐπάνω τοῦ τοίχου σου ἢ τοῦ ἐδάφους σου κτιζόμενον σόν ἐστιν.

19. Ἐν δὲ τῷ μδ' κεφ. Εἰ τὸ ποίμνιόν μου λύκος ἁρπάσει, καὶ τοῦτο ἕτεροι ποιμένες ἀποσπάσουσιν, ἐμὸν μένει, καὶ ἔχω τὴν ἀγωγὴν τὴν τὰ ἴδια ἐκδικοῦσαν καὶ τὴν περὶ ἀποκρυβῆς πραγμάτων κινουμένην καὶ τὴν περὶ κλοπῆς ἀγωγὴν, ἐὰν μὴ ἀποδῶσιν. εἰ δὲ ὄρνις ἢ θηρίον ἀπὸ γηδίων ἁρπάσει τὶ καὶ ἑτέρωθι ῥίψει, ἢ ὅπερ θηρεύσω ἐξειλήσει[3] με, τοῦ προκαταλαβόντος γίνεται.

---

[a] Ἐπειδὴ γὰρ ὅλως οἱ τῷ στάχυι κόκκοι ἀπηρτισμένοι εἶχον τὸ οἰκεῖον εἶδος, εἰκότως ὁ τινάσσων τὸν στάχυν οὐ καινὸν εἶδος ποιεῖ, ἀλλὰ τὸ ἓν εἶδος ἀπογυμνοῖ.

---

[1] Imo ex eodem loco, ex quo c. 11. 12. [2] Leuncl. ὅλῳ. [3] Lips. ἐκσυλήσει.

20. Ἐν δὲ τῷ ξθ' κεφ. Εἰ δοῦλός μου ἢ υἱός μου εὕρῃ θησαυρὸν, εἰ μὲν ἐν ἀγρῷ ἑτέρου, μέρος· εἰ δὲ ἐν τῷ ἐμῷ, τὸ πᾶν προσπορίζει μοι.

Εἰ ἐν τῷ ὑποτεθέντι μοι ἀγρῷ ἢ οἴκῳ εὕρω θησαυρὸν, μέρος δίδωμι τῷ χρεώστῃ. τὸ δὲ λοιπὸν οὐδὲ ἐὰν λάβω τὸ χρέος ἀποκαθιστῶ.

21. Οὐ δεσπόσω τῶν ἀλλοτρίων, κἂν ἐν κήνσῳ ἀπογράψωμαι αὐτά.

22. Ἐν δὲ τῷ β' τί. διαλαμβάνει περὶ τῆς διά τε νομῆς[b] καὶ διακατοχῆς καὶ προσπορισμοῦ τῶν ὑπεξουσίων γινομένης δεσποτείας· οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἡ νομὴ φυσική ἐστι κατοχή.

Καὶ ἐκ ταύτης ἀρχὴν ἔλαβεν ἡ δεσποτεία, ὡς δείκνυσι πάντα τὰ ζῶα καὶ τὰ ἐκ πολέμου λαμβανόμενα καὶ ἡ ἐν θαλάσσῃ νῆσος καὶ οἱ λίθοι καὶ οἱ μαργαρῖται οἱ ἐν αἰγιαλῷ εὑρισκόμενοι· τούτων γὰρ πάντων ὁ πρῶτος[1] δραξάμενος τῆς νομῆς δεσπόζει.

Καὶ διὰ ὑπεξουσίου κτᾶταί τις νομὴν, κἂν ἀγνοῇ κἂν ἑπταέτης ᾖ κἂν μεμηνώς[c]. καὶ διὰ τῆς χρονίας νομῆς δεσπόζει.

Καὶ διὰ δούλου κληρονομίας καὶ διὰ τοῦ καλῇ πίστει δουλεύοντος. ὃν δὲ κακῇ πίστει κατέχω, οὐ προσπορίζει νομὴν, οὐδὲ ἐμοὶ οὐδὲ ἑαυτῷ οὐδὲ τῷ ἀληθεῖ δεσπότῃ.

Τὸν φυγάδα δοῦλόν μου εἰ μηδεὶς κατέσχε, καὶ ἔχειν δοκῶ καὶ νέμομαι δι' αὐτοῦ καὶ διὰ χρονίας νομῆς δεσπόζω.

23. Νεμεταί τις τὰ σωματικά.

Δράττεται δὲ νομῆς καὶ ψυχῇ καὶ σώματι, οὐ μὴν θατέρῳ[2] μόνῳ. ἀρκεῖ δὲ πρὸς τὴν τοῦ ὅλου ἀγροῦ νομὴν καὶ τὸ εἰς μέρος αὐτοῦ ἐπιβῆναι.

Διαθέσει ἀπόλλυται νομὴ, ἅμα θελήσει τὶς ἀποστῆναι τοῦ ἀγροῦ. ψυχῇ γὰρ μόνῃ ἀπόλλυμεν, οὐ μὴν καὶ κτώμεθα νομήν.

Εἰ δὲ τὸν ἀγρὸν, ὃν ἐγὼ ψυχῇ νέμομαι, σὺ κρατήσεις, ἔτι ἐγὼ νέμομαι.

Τὰ χειμερινὰ ἢ θερινὰ δάση ἤτοι νομαδεῖα λογισμῷ νέ-

---

[b] Περὶ νομῆς ἀνάγνωθι κεφ. ξα'.

[c] Μὴ ἐναντιωθῇ σοι τὸ ζ' θέμα. ἐνταῦθα γὰρ μεμηνότα εἶπε δι ὑπεξουσίων κτᾶσθαι νομὴν, ἐκεῖ δὲ νήφοντα διὰ μεμηνότος.

---

[1] Lips. μόνος. [2] Leuncl. καὶ θατ.

μομαι, κἂν ἔν τισι καιροῖς αὐτὰ καταλίπω. ὁμοίως καὶ ἐν τῷ μϛ′ κεφ. φησίν.

24. Ἐν δὲ τῷ νε′ κεφ. Ψυχῇ κτήσασθαι νομὴν οὐ δυνάμεθα, τὴν δὲ προκτηθεῖσαν νομὴν δυνάμεθα ψυχῇ φυλάττειν.

25. Ἐν δὲ τῷ νη′ κεφ. Ἐάν τις ἀναισχύντως ἄρξηται νέμεσθαι τὸ ἀλλότριον, οὐδέποτε δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν, οὔτε δίκαιον τίτλον νομῆς ἑαυτῷ κατασκευάζει, ἐπειδὴ οὐδεὶς δύναται ἑαυτῷ τὸν τίτλον τῆς νομῆς ἐναλλάσσειν.

26. Ἐν δὲ τῷ ξα′ κεφ. Νομή ἐστι φυσικῶς ἡ τοῦ πράγματος κατοχή· κατὰ δὲ τοὺς νόμους νομή ἐστι ψυχῇ δεσπόζοντος κατοχή. τότε οὖν λέγομέν τινα νέμεσθαι καὶ ἔχειν τὰ τῆς νομῆς ἀποτελέσματα, ὅτε μηδεὶς διάδικος αὐτῷ παρενοχλήσει, ἀλλὰ πάντων σιωπώντων βεβαιωθῇ ἡ νομή. τινῶν δὲ ἀντιλεγόντων, εἰ καὶ σώματι νέμεται, ἀλλ᾽ ἀφ᾽ οὗ γένηται προκάταρξις, ὅμως κατὰ τὸν νόμον οὐ νέμεται, καὶ οὐκ ἔστιν ἀσφαλὴς ἡ νομή.

27. Ἐν δὲ τῷ γ′ τί. διαλαμβάνει, ποῖα διὰ τῆς χρονίας νομῆς δύναται δεσπόζεσθαι· οὗτινος ἐν τῷ δ′ κεφ. φησίν· Ὅτι τὸ κλοπιμαῖον οὐ δεσπόζεται διὰ τῆς χρήσεως.

28. Ἐν δὲ τῷ μγ′ κεφ. Ὁ κληρονόμος τοῦ ἐν ἀγνοίᾳ ἀγοράσαντος διὰ χρονίας νομῆς δεσπόζει, πλὴν εἰ μὴ αὐτὸς παραλάβῃ εἰδὼς τὸ ἀληθές.

29. Ἐν δὲ τῷ νβ′ κεφ. Οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς τὴν βιαίως ληφθεῖσαν παρ᾽ αὐτοῦ νομὴν βεβαιοῖ τις.

30. Ἐν δὲ τῷ δ′ τί. διαλαμβάνει περὶ τῆς ὡς ἐξ ἀγορασίας νομῆς[1] δεσποτείας. οὗτινος ἐν τῷ δ′ κεφ. φησίν· Ὁ ἀγοράσας ἀγρὸν καὶ εἰδὼς μέρος αὐτοῦ ἀλλότριον, εἰ μὲν ἀγνοεῖ ποῖον, οὐδὲν κτᾶται τοῦ[2] ἀγροῦ. εἰ δὲ οἶδε, τὰ λοιπὰ διὰ τῆς χρονίας νομῆς δεσπόζει.

31. Ἐν δὲ τῷ ιε′ κεφ. Ἐὰν ἀλλότρια ἀνδράποδα πωλήσῃ τὶς, ἐν τῷ πιπράσκειν αὐτὰ κλοπὴν ἁμαρτάνει, καὶ διὰ τοῦτο οὐ δεσπόζονται διὰ τῆς χρονίας νομῆς.

32. Ἐν δὲ τῷ κ′ κεφ. Ἐάν τις τὸ ὑποκείμενον πρᾶγμα πωλήσῃ, ὡς κλοπιμαῖον οὐ δύναται τὸ πρᾶγμα διὰ τῆς χρονίας νομῆς δεσποθῆναι.

33. Ἐν δὲ τῷ κβ′ κεφ. Ὁ ἀπὸ αἰτίας διαλύσεως πρᾶγμα

---

[1] Leuncl. legi vult γενομένης νομῆς. [2] Leuncl. παρὰ τοῦ.

λαβὼν ἀλλότριον καλῇ πίστει, ὡς ἀπὸ εὐλόγου αἰτίας ἔχων διὰ τῆς χρονίας νομῆς δεσπόζει.

34. [Ἐν δὲ τῷ κγ' κεφ.] Ἐάν τις ἀγοράσῃ παρὰ ἀνήβου πρᾶγμα[1] πιπράσκοντος αὐτοῦ χωρὶς αὐθεντίας ἐπιτρόπου, οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν. ἐὰν δὲ δείξῃ ἐκ τῶν χρημάτων αὐτοῦ ἐκεῖνον γενόμενον πλουσιώτερον, ἐναγόμενος παρ' αὐτοῦ μετὰ τὴν ἥβην ἀντιτίθησιν αὐτῷ δόλου παραγραφήν.

35. Ἐν δὲ τῷ ε' τί. διαλαμβάνει περὶ τῆς ἀπὸ τοῦ ὡς κληρονόμου νεμηθέντος διὰ τῆς χρονίας νομῆς γενομένης δεσποτείας· οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ὁ ἔχων τὴν ἀπὸ τῆς διαθήκης βοήθειαν δύναται ὡς κληρονόμος διὰ τῆς χρονίας νομῆς δεσπόζειν.

36. Ἐν δὲ τῷ ε' κεφ. Ὁ κληρονόμος τοῦ κακῇ πίστει νεμηθέντος, κἂν αὐτὸς καλῇ πίστει νεμηθῇ, οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν. τὰ γὰρ ἐλαττώματα τοῦ τελευτήσαντος διαβαίνουσιν ἐπὶ τὸν κληρονόμον.

37. Καὶ ἐπὶ κληρονομίας διὰ τοῦ χρᾶσθαι δεσποτεία οὐκ ἔστιν, οὐδὲ δύναταί τις εἰπεῖν, ὅτι ὡς τῆς κληρονομίας ὑπάρχον[2] τὸ πρᾶγμα διὰ τῆς χρήσεως ἐδέσποσα, ἐπειδὴ δοκεῖ καὶ αὐτὸς κακῇ πίστει νέμεσθαι.

38. Ἐν δὲ τῷ ϛ' τί. διαλαμβάνει περὶ τῆς ἀπὸ δωρεᾶς γινομένης διὰ χρονίας νομῆς δεσποτείας· οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ λαβών, οὐ μὴν ὁ ὑπονοῶν δωρεάν, διὰ τῆς χρονίας νομῆς δεσπόζει.

Τὸ δὲ δωρηθέν μοι παρὰ τοῦ πατρὸς οὐδὲ τελευτῶντος διὰ τῆς χρονίας νομῆς δεσπόζω. οὐδὲ γὰρ ἔῤῥωται ἡ δωρεὰ διὰ τὴν ὑπεξουσιότητα.

39. Ἐν δὲ τῷ β' κεφ.[3] Τὸ ἀπὸ ἀνδρὸς γυναικὶ δωρηθέν, ἢ τὸ ἐναντίον, οὐ διὰ τὸ χρᾶσθαι δεσπόζεται, πλὴν εἰ μὴ διαζευχθῶσι καὶ παραχωρήσει ὁ δωρησάμενος.

40. Ἐν δὲ τῷ ζ' κεφ. Καὶ ὁ παρὰ μὴ δεσπότου δεξάμενος πράγματα κατὰ δωρεὰν καὶ διὰ τῆς χρονίας νομῆς δεσπόσας οὐκέτι αὐτὰ ἀπόλλυσιν.

41. Ἐν δὲ τῷ θ' κεφ. Ὁ ἅπαξ δωρησάμενος οὐ δύναται ἀνατρέπειν τὴν δωρεάν. οὔτε δὲ νομίσας, ὅτι ἐδωρήθη αὐτῷ πρᾶγμα, ἤδη ἔχει αὐτὸ κατὰ δωρεὰν ἢ δύναται[4] διὰ τῆς χρονίας νομῆς δεσπόζειν.

42. Ἐν δὲ τῷ ζ' τί. διαλαμβάνει περὶ τῆς ἀπὸ τῶν ἐγκαταλελειμμένων

---

[1] Leuncl. πρᾶγμά τι. [2] Lips. ὑπάρχει. [3] Imo ex c. 1. [4] Leuncl. οὐδὲ ἔχει αὐτὸ κ. δ. δύναται.

διὰ τῆς χρονίας νομῆς δεσποτείας· οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὃ ἐγκατέλιπον, οὐκ ἔστιν ἐμὸν, τοῦ δὲ προκαταλαβόντος[1] γίνεται. ὡς γὰρ κτώμεθα, οὕτω καὶ ἀποκτώμεθα.

43. *Ἐν δὲ τῷ δ' κεφ.* Τὸ ἐγκαταλειφθὲν ἢ καὶ νομιζόμενον καταλειφθῆναι διὰ τῆς χρονίας νομῆς δεσπόζομεν, κἂν ἀγνοεῖται ὁ καταλείψας.

44. *Ἐν δὲ τῷ η' τί. διαλαμβάνει περὶ τῆς ὡς ἀπὸ προικὸς διὰ χρονίας νομῆς δεσποτείας· οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Τῷ χρόνῳ τοῦ ἀγοραστοῦ καὶ ὁ ὡς ἀπὸ προικὸς διὰ τῆς χρονίας νομῆς δεσπόζει.

45. *Ἐν δὲ τῷ δ' κεφ.* Ἐὰν[2] ἀπὸ προικὸς λάβῃ τὶς ἀλλότριον πρᾶγμα, δύναται[3] αὐτὸ διὰ τῆς χρήσεως δεσπόζειν. ταῦτα ἐπὶ τῶν κινητῶν δηλονότι· ἐπειδήπερ ἐπὶ τῶν ἀκινήτων οὐκ εὐχερῶς τὸ ἐλάττωμα διαβαίνει[4], διὰ τὸ μὴ γίνεσθαι ἐν αὐτοῖς κλοπήν[d].

46. *Ἐν δὲ τῷ θ' τί. διαλαμβάνει περὶ τῆς ἀπὸ τῶν ὡς ἰδίων νομιζομένων διὰ χρονίας νομῆς δεσποτείας· οὗτινος ἐν τῷ α'[5] κεφ. φησίν·* Ὁ τὸ ἀλλότριον κατὰ πλάνην οὐκ ἄλογον ὡς ἴδιον νεμόμενος διὰ χρονίας νομῆς δεσπόζει[6]. οἷον εἰ νεμηθῶ τι ὡς ἀγορασθὲν ὑπὸ δούλου μου ἢ τοῦ προσήκοντος ἐκείνῳ, οὗ κληρονομῶ. φορητὸν γάρ ἐστι τὸ πλανᾶσθαι περὶ ἀλλοτρίαν ἔννοιαν.

47. *Ἐν δὲ τῷ ι' τί. διαλαμβάνει περὶ τῆς διὰ χρήσεως γινομένης δεσποτείας καὶ περὶ τῆς ποσότητος τῶν χρόνων τῶν τὴν δεσποτείαν ἐμποιούντων· οὗτινος ἐν τῷ β' κεφ. φησί·* Τὸ τοῦ δημοσίου πρᾶγμα οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσποθῆναι[e].

48. *Ἐν δὲ τῷ γ' κεφ.* Ὁ κακῇ πίστει νεμόμενος οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν. ἀλλὰ καὶ οἱ κληρονόμοι αὐτοῦ τὸ αὐτὸ πρᾶγμα νεμηθέντες, κἂν καλῇ πίστει νέμωνται,

---

d *Ἰστέον ὅτι τὸ γ' κεφ. τοῦ να' τί. τοῦ παρόντος βι. φησὶν, ὅτι πρὸ τῆς οὐσουκαπιόνος διεκδικεῖται τὸ δοθέν τινι εἰς προῖκα ἀλλότριον πρᾶγμα.*

e *Ἀνάγν.* [*καὶ*] *τὸ α' κεφ. τοῦ ιγ' τί., ἐν ᾧ φησιν, ὅτι διὰ τετραετίας ἔχων κατὰ τοῦ δημοσίου παραγράφει τὸ νεμηθὲν δημόσιον*[7]. *ἀνάγν. καὶ βι. να' τί. γ' κεφ. η' καὶ εὑρήσεις περὶ τετραετίας.*

---

1 Leuncl. *προκαταλαμβάνοντος.* 2 Leuncl. *Κἂν.* 3 Lips. *οὐ δύν.* 4 Leuncl. *προβαίνει.* 5 Leuncl. emendat *ε'.* 6 Lips. *οὐ δεσπ.* 7 Lips. *ἔχει — παραγραφὴν τὸ νεμηθὲν πρᾶγμα δημένος.* Fortassis rectius, si *δημόσιον* pro *δημένος* legeris. Caeterum Lips. hoc scholium textui subjicit.

διὰ τὸ τῆς ἀρχῆς ἐλάττωμα διὰ χρήσεως οὐ δεσπόζουσιν αὐτό.

49. [Ἐν δὲ τῷ δ′ κεφ.] Ἡ διάταξις κελεύει πάντα τὰ πράγματα, εἰ μὲν κινητὰ ἢ αὐτοκίνητα εἴησαν, διὰ τριετίας[1] τῇ χρονίᾳ νομῇ δεσπόζεσθαι, εἰ δὲ ἀκίνητα, διὰ ι′ καὶ κ′ ἐνιαυτῶν τῇ χρονίᾳ νομῇ δεσπόζεσθαι· δέκα μὲν, ὅτε πάρεισιν οἱ δεσπόται· εἴκοσι δὲ, ὅτε ἄπεισιν[f].

50. Ἐν δὲ τῷ ιά τί. διαλαμβάνει περὶ τῆς ἀπὸ χρονίας νομῆς δεσποτείας καὶ τῆς ποσότητος τῶν χρόνων, δι᾽ ὧν δύναταί τις νεμηθεὶς δεσπόσαι· οὗτινος ἐν τῷ β′ κεφ. φησίν· Ἡ χρονία νομὴ συμβάλλεται τοῖς πίστει καλῇ νεμηθεῖσι καὶ μηδεμίαν προκάταρξιν ὑπομείνασιν[g].

51. Ἐν δὲ τῷ ς′ κεφ. Τὴν γενομένην κατὰ δόλον ἀγορασίαν χρονία νομὴ οὐ δύναται βεβαιῶσαι, ἐπειδὴ πίστει κακῇ ἄρχεταί τις τῆς νομῆς.

52. Ἐν δὲ τῷ θ′ κεφ. Ὁ πίστει καλῇ ἀγοράσας τὸ πρᾶγμα καὶ ὠχυρωμένος τῇ τοῦ μακροῦ χρόνου παραγραφῇ εὐθέως μὲν ἐναγόμενος ὀφείλει εἰπεῖν, ὅτι ἔχει τὴν παραγραφήν· μεθ᾽ ὃ δὲ ὁ ἐνάγων ἀποδείξει τὴν ἰδίαν δεσποτείαν, τότε χρὴ καὶ αὐτὸν ἀποδεικνύντα τὴν δικαίαν νομὴν ἀπολυθῆναι.

53. Ἐν δὲ τῷ ι′ κεφ. Ἐπὶ τῆς χρονίας νομῆς τοῖς ι′ ἢ κ′ ἐνιαυτοῖς καὶ ὁ χρόνος τοῦ προκτήτορος συμψηφίζεται.

54. Ἐν δὲ τῷ ιβ′ τί. [περιέχει] ἐν οἷς οὐκ ἀντίκειται ἡ τοῦ μακροῦ χρόνου παραγραφὴ, καὶ ἐν οἷς συμβάλλεται εἰς δεσποτείαν, καὶ περὶ τῆς ποσότητος τῶν χρόνων[h]· οὗτινος ἐν τῷ β′ κεφ. φησίν· Ἐπὶ τῶν κινη-

---

f Οὐχ ὅτε πάρεισι τὰ πρόσωπα, ἀλλ᾽ ὅτε τὴν οἴκησιν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ ἔχουσιν· ὥστε κἂν θάτερον ἀποδημῇ, μὴ ἀπεῖναι δοκεῖν, ὡς ιβ′ κεφ. τοῦ ιά τί. φησίν.

g Ὡς ὅταν μηδεμίαν ἔννομον ἀγωγὴν ὑπέστησαν, ἀλλ᾽ ἴσως μόνην ἁπλῶς ὄχλησιν, ἢ τυχὸν οὐδὲ ταύτην, οὐδ᾽ ἐγγράφως αὐτοῖς κατὰ νόμους ὁ χρόνος τῆς νομῆς διεκόπη[2]. εἰ γὰρ ἡττήθη, ἀποκαθίστησι τὸ πρᾶγμα καὶ τοὺς μετὰ τὴν προκάταρξιν καρποὺς ὡς κακῇ πίστει νομεύς.

h Ἐκ[3] τῶν βασιλικῶν βιβλίων. Ὥρισται χρόνος τοῦ ἐπιζητεῖν τὸ οἰκεῖον· αἱ γὰρ ἀγωγαὶ οὐκ ἀθάνατοι ἐτυπώθησαν, ἀλλ᾽ ὡρίσθη χρόνος τοῖς νομοθέταις, ἵνα ὅταν τὶς ἐκπέσῃ τοῦ οἰκείου πράγματος, ἀνακαλῆται τοῦτο διὰ δεκαετίας ἢ εἰκοσαετίας ἐὰν ἀκίνητόν ἐστιν· τουτέστι δεκαετίας μὲν, ὅταν ὁ νεμόμενος τοῦτο καλῇ πίστει νέμηται, οἷον δι᾽ ἀγορασίας ἢ δω-

---

1 Leuncl. τετραετίας. 2 Leuncl. brevius sic: Ὅταν μηδεμίαν δίκην ἤγουν προκάταρξιν ὑπέστησαν, ἀλλὰ μόνην ὄχλησιν, οὐ διαῤῥήγνυται ἡ διὰ τῆς χρήσεως δεσποτεία. 3 Lips. haec in textum recepit in fine cap. 54.

τῶν πραγμάτων τρακταϊζομένης τῆς διὰ τριῶν ἐνιαυτῶν ἐκ[1] τοῦ χρᾶσθαι δεσποτείας περιττόν ἐστι τὸ ζητεῖν περὶ χρονίας παραγραφῆς.

55. Ἐν δὲ τῷ γ' κεφ. Ἐάν τις τὸ ἐπίκοινον πρᾶγμα νεμηθῇ ἐξ ὁλοκλήρου ἐπὶ ι' ἢ κ' ἐνιαυτῶν, οὐκ ἔχει μακροῦ χρόνου παραγραφήν. οὐδὲ γὰρ τῷ ἐπὶ τῆς διαιρέσεως τῶν τῆς φαμιλίας πραγμάτων δικαστηρίῳ οὐδὲ τῇ ἐπὶ τῇ διαιρέσει τῶν ἐπικοίνων πραγμάτων ἀγωγῇ ἐκβάλλεται διὰ τῆς τῶν δέκα ἢ τῶν εἴκοσιν ἐνιαυτῶν παραγραφῆς. τῇ τριακονταετηρίδι δὲ μόνῃ ἀποκλείονται.

56. Ἐν δὲ τῷ δ' κεφ. Ἡ τῆς κληρονομίας ἀπαίτησις οὐκ ἐκβάλλεται διὰ τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς. ἐὰν δέ τις νεμηθεὶς πρᾶγμα ἐξ ἄλλου τίτλου νομῆς διὰ τῆς χρονίας νομῆς δεσπόσῃ, ἔχει τὸ ἀσφαλές. οὐδὲ γὰρ ἐνάγεται τῇ περὶ ἀπαιτήσεως κληρονομίας ἀγωγῇ.

57. Ἐν δὲ τῷ ζ' κεφ. Ἐν τῷ χρόνῳ τῶν δέκα ἢ εἴκοσι ἐνιαυτῶν οὐ ψηφίζεται ὁ χρόνος, ἐν ᾧ ἦν τις ἥττων τῶν κε' ἐτῶν[i]. αὕτη γὰρ τότε τρέχειν ἄρχεται, ὅτε εἰς μείζονα ἡλικίαν ὁ δεσπότης τοῦ πράγματος ἔλθῃ, τουτέστιν ὅτε πληρώσει τὸν κε' ἐνιαυτόν.

58. Καὶ κατὰ τῶν ἀπόντων διὰ δημόσιον πρᾶγμα ἢ κατὰ τύχην οὐκ ἀντίκειται μακροῦ χρόνου παραγραφή.

59. Οὐδὲ ἐπὶ δανείου καὶ τοῦ ἐν χρείᾳ διδομένου καὶ τῆς παραθήκης καὶ λεγάτου καὶ φιδεϊκομίσσου καὶ ἐπιτροπῆς καὶ πάσης ἄλλης προσωπικῆς ἀγωγῆς.

60. Ἐν δὲ τῷ ιγ' τί. διαλαμβάνει περὶ τῶν διὰ τετραετίας δεσποζομένων δημοσίων πραγμάτων· οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὅτι ἐάν τις νεμηθῇ πρᾶγμα δημόσιον ἐπὶ τέσσαρας ἐνιαυτούς, ἔχει κατὰ τοῦ δημοσίου τὴν τῆς τετραετίας παραγραφήν[k]. εἰ δὲ καὶ

ρεᾶς ἢ ἄλλου συναλλάγματος, ἀγνοῶν ὅτι ἐστὶν ἀλλότριον· εἰκοσαετίας δὲ ὅταν ὁ καλῇ πίστει νεμόμενος ἀποδημῇ εἰς ἑτέραν ἐπαρχίαν· τριακονταετίας δὲ ὅταν κακῇ πίστει νέμηται ὁ νεμόμενος, οἷον ὁ κατὰ βίαν ἀφελόμενος τὸ πρᾶγμα ἢ κατὰ δόλον ἢ ἐν εἰδήσει τὸ ἀλλότριον ἀγοράσας· καὶ ὑπόκειται καὶ ὁ κληρονόμος αὐτοῦ τῷ αὐτῷ νόμῳ, ἵνα ἔσωθεν τῆς τριακονταετίας καὶ αὐτὸς ἐνάγηται.

i Ὡσαύτως οὐδὲ κατὰ τῶν στρατιωτῶν τῶν ἐν στρατοπέδῳ. ταῦτα γάρ, φησι, πλὴν τῆς παραθήκης μόνῃ ἀποκλείεται τῇ τριακονταετίᾳ.

k Ὁ νόμος τῷ φύσει δίκαιον οἶδε. διὰ τοῦτο καὶ κανόνας ἡμῖν παρα-

---

[1] Lips. τῆς pro ἐκ.

ὁ βασιλεὺς δωρήσηταί τινι πρᾶγμα δημόσιον, ἔχει τὸ βέβαιον ἡ δωρεά. ἐγνωσμένον γάρ ἐστιν ἐκ τοῦ δημοσίου ζήτησιν μετὰ τετραετίαν συναπτὴν περὶ πραγμάτων σχολαζόντων μὴ εἶναι. προσθετέον δέ ἐστι καὶ ἐκείνους οἵτινες ἡμετέρᾳ φιλοτιμίᾳ ἐπερείδονται, τοῦ μηδὲ αὐτοῖς παρὰ τοῦ ἡμετέρου δημοσίου ἀμφιβολίαν κινητέαν εἶναι[1], οἵτινες οἱῳδήποτε τρόπῳ ἢ τίτλῳ τὰ αὐτὰ πράγματα νεμηθῶσιν[l].

61. Ἐν δὲ τῷ ιδ' καὶ ιε' τί. περιέχεται περὶ τῆς διὰ τῶν ι' ἢ κ' ἢ λ' ἢ μ' χρόνων παραγραφῆς· ἐν δὲ τῷ δ' κεφ. τοῦ ιδ' τί. φησίν[2]· Ὁ νεμόμενος ἑτέρων πρᾶγμα οὐκ ἔχει τὴν τῆς τριακονταετηρίδος ἢ τεσσαρακονταετηρίδος παραγραφήν. οὐδὲ γὰρ δύναται ἰδίαν νομὴν δεῖξαι. ὅθεν οἱ κατὰ μίσθωσιν[3] νεμόμενοι καὶ ὕστερον ἐναγόμενοι περὶ πράγματος οὐδεμίαν χρόνου παραγραφὴν δύνανται ἀντιθεῖναι[m].

62. Ἐν δὲ τῷ ε' κεφ. Ὥσπερ αἱ ἀγωγαὶ αἱ ἰδικαὶ[n], οὕτως αἱ περὶ ὁμάδος[o] καὶ αἱ προσωπικαὶ ἀγωγαὶ ὑπὲρ λ' ἐνιαυτῶν διάστημα μηδαμῶς[p] ἐκτεινέσθωσαν. ἀλλ' ἐὰν τίποτε πρᾶγμα ἢ τίποτε[q] δίκαιον ἀπαιτεῖται ἢ πρόσωπον οἱαδήποτε ἀγωγῇ ἢ μεθοδείᾳ συνωθεῖται, οὐδὲν ἧττον ἔσται τῷ ἐνάγοντι λ' ἐνιαυτῶν παραγραφὴ ποιητέα[4]. τούτου ἰσχύοντος καὶ εἰς τὸ ἐκείνου πρόσωπον, ὅστις ἐνέχυρον ἢ ὑποθήκην οὐκ ἀπὸ τοῦ ἰδίου χρεώστου, ἀλλ' ἀπὸ ἄλλου ἐπὶ πολὺν χρόνον νεμο-

---

δίδωσι, δι' ὧν τὸ δίκαιον ἐκζητεῖν. δίκαιον δὲ τὸ τοῦ δημοσίου πρᾶγμα μὴ δύνασθαι διὰ τῆς χρονίας νομῆς δεσποθῆναι διά τε τὴν κοινὴν ὠφέλειαν καὶ διὰ τὴν ῥαθυμίαν τῶν κατὰ καιροὺς τὰ δημόσια ἐνεργούντων[5].

l Σημείωσαι περὶ τετραετίας τῶν τῷ δημοσίῳ ἀνηκόντων, μήπω δὲ παρ' αὐτοῦ δεσποθέντων. μὴ δέξῃ ἐναντίον τὸ β' κεφ. τοῦ ι' τί. τοῦ παρόντος βιβλίου πρὸς τὸ παρὸν, ὅτι τοῦτο μὲν ἀδέσποτον θεματίζει τὸ πρᾶγμα καὶ μήπω ἐλθὸν ὑπὸ δεσποτείαν τοῦ δημοσίου, ἐκεῖνο δὲ νεμηθὲν ὑπὸ τοῦ δημοσίου.

m Οὐ ζητοῦμεν μετὰ τοὺς μ' ἐνιαυτοὺς, εἴτε καλῇ πίστει εἴτε κακῇ ἤρξατό τις νέμεσθαι. ταῦτα δὲ λέγομεν ἐπὶ τῶν ἑαυτοῖς νεμομένων· ὁ δὲ μισθωσάμενος τῷ μισθώσαντι νέμεται καὶ οὐχ ἑαυτῷ.

n Αἱ σπεκιαλίαι ἰν ῥέμ.

o Ἡ νερεδιτάτις πετιτίων καὶ φιδεϊκομισσαρία ἰν ῥέμ.

p Κἂν κακῇ πίστει δηλονότι ἤρξατό τις νέμεσθαι.

q Χρῆσις ἢ δουλεία.

---

1 Leuncl. κινητέον, omisso εἶναι. 2 Lips. οὕτινος ἐν τῷ α' κεφ. φησίν. 3 Leuncl. μισθόν. 4 Leuncl. conj. ποιητέα. 5 Paris. 1351 subscriptum habet: ἰωσὴφ ἄχρι ταῦτα. Nempe indicatur, librarium Josephum ad eum usque locum codicem exarasse.

μένου σπουδάζει διεκδικῆσαι. αἵτινες οὖν οὐκ ἐκινήθησαν πρότερον ἀγωγαὶ, λ' ἐνιαυτῶν συναπτῇ σιωπῇ, ἐξ οὗ ἁρμόσαι νομίμως ἤρξαντο[1], *τοῦ ζητεῖν περαιτέρω μὴ ἐχέτωσαν εὐχέρειαν· μηδὲ ἀρκείτω δεήσεων προσενεχθεισῶν ἰδικήν τινα ἢ καὶ κατὰ σημείωσιν ἀξιῶσαι ἀπόκρισιν, ἢ καὶ ἐν δικαστηρίοις δικαιολογήσασθαι, εἰ μὴ ἄρα δικαιολογηθείσης τῆς θείας ἀντιγραφῆς, ἢ ἐν δικαστηρίῳ μονομερὴς αἴτησις παρηκολούθησε δι' ἐκβιβαστοῦ ὀχλήσεως· οὐ φύσεως ἀσθενείας, οὐκ ἀπουσίας, οὐ στρατείας κατὰ τοῦ νόμου τούτου ἀσφαλιζομένης, ἀλλὰ τῆς ἀνήβου ἡλικίας μόνον, κἂν τὰ μάλιστα ὑπὸ τὴν τοῦ ἐπιτρόπου ἀσφάλειάν ἐστι, ταύτης ὑπεξαιρουμένης τῆς διατάξεως*[r]. *ὅτε γὰρ εἰς ἐκείνους τοὺς ἐνιαυτοὺς ἔλθωσιν, οἵτινες εἰς τὴν φροντίδα τοῦ κουράτορος ἀνήκουσιν, ἀναγκαίως αὐτοῖς, ὥσπερ καὶ τοῖς ἄλλοις, τὰ τῶν λ' ἐνιαυτῶν διαστήματα φυλακτέα ἐστίν*[s]. *αὗται δὲ λ' ἐνιαυτοῖς συναπτοῖς σβεννύσθωσαν, αἵτινες διηνεκεῖς ἐδόκουν, οὐχὶ ἐκεῖναι, αἵτινες ἐξ ἀρχαίου καιροῦ περιορίζονται. μετὰ δὲ τούτου τοῦ χρόνου τὸν προσδιορισμὸν μηδενὶ τοῦ κινεῖν περαιτέρω εὐχέρειαν ἀνεῷχθαι θεσπίζομεν, εἰ καὶ τὰ μάλιστα τῇ ἀγνοίᾳ τοῦ νόμου ἐξκουσατεύειν ἑαυτὸν πειραθείη*[t].

63. *Ἐν δὲ τῷ ϛ' κεφ. Ἡ διάταξις βεβαιοῖ μὲν πάσας τὰς [παρα]γραφὰς, κελεύει δὲ καὶ πᾶσαν ἄλλην ἀγωγὴν, μὴ σβεννυμένην τῇ τριακονταετηρίδι, ἀλλὰ παρερμηνευομένην, τεσσαρά-*

---

r *Ὦ νομοθέτα, μεγάλη σου ἡ κατάληψις· ὁ δὲ χρόνος καὶ πλείονα ἢ καὶ χείρονα τούτων ταμιεύσας παρέδωκεν. δεκαετὴς ἢ εἰκοσαετὴς χρόνος ἢ τριακονταετὴς τρέχει τοῖς ἀφήλιξιν οὕτως· εἰ μὲν καλῇ πίστει νέμεται ὁ νομεὺς, ψηφίζεται ἡ δεκαετία ἢ εἰκοσαετία τῷ ἀφήλικι, ἀφ' οὗ πληρώσει τὸν κε' χρόνον τῆς ἡλικίας αὐτοῦ· εἰ δὲ κακῇ πίστει νέμεται ὁ νομεὺς, ψηφίζεται ἡ δεκαετία, ἀφ' οὗ γένηται ἔφηβος. ἐὰν δὲ ὁ ἀφήλιξ πράξας τὶ περιγραφῇ, μετὰ τὸ γενέσθαι ἐν ἡλικίᾳ ἤτοι χρόνων κε' ἐντὸς ἑτέρων δ' χρόνων δύναται κινεῖν καὶ ζητεῖν ἀποκατάστασιν.*

s *Τῷ μὲν ἄῤῥενι ιδ' ἐνιαυτῶν γεγονότι εὐθὺς μετὰ τούτους ἄρχεται ἡ τριακονταετία· τῇ δὲ θηλείᾳ μετὰ τὸν ιβ' ἐνιαυτόν.*

t *Θεοδώρου. Ἡ θεία κέλευσις οὐκ ἀνακόπτει τὸν χρόνον, οὔτε μιμεῖται προκάταρξιν, κἂν ἐμφανισθῇ· διὸ οὔτε ἰν ῥὲμ οὔτε περσοναλίαν κινεῖ τις μετὰ λ' ἔτη, κἂν θείαν ἀντιγραφὴν ἤνυσε*[2] *πρὸ τῶν λ' ἐτῶν· εἴρηται γὰρ καὶ ἐν τῷ α' βι. τί. κ' διατ. β', ὅτι οὐ δύναται βασιλεὺς ἀντιγράφων ἐπεκτείνειν τὴν περπετούαν ἀντιπαραγραφήν. ἡ δὲ δι' ἐκβιβαστῶν γενομένη ὑπόμνησις ἰντεῤῥουπτεύει τὸν χρόνον καὶ ἡ ψιλὴ διαμαρτυρία δημοσίᾳ γενομένη, ὡς βι. γ' τί. θ' διατ. α'.*

---

1 Lips. *ἐξ οὗ ἁρμ. νομίζων ἤρξατο.* 2 Forte *ἤνεγκε.*

κοντα ἐνιαυτῶν παρατρεχόντων ἀπόλλυσθαι, μηδενὸς προσώπου ταύτης τῆς παραγραφῆς ὑπεξαιρουμένου, εἴτε ἰδικοῦ εἴτε δημοσίου. κελεύει δὲ καὶ περὶ τύχης ἐναγόμενον, ἐὰν ἔμεινεν ἐπὶ τεσσαρακονταετῆ χρόνον ἔν τινι καταστάσει, μηκέτι παρενοχλεῖσθαι[u].

64. Εὗρεν ἡ ἡμετέρα γαληνότης τινὰς τὴν ἱερὰν τῆς ἡμετέρας εὐσεβείας διάταξιν, ἥτις περὶ τῆς τῶν μ΄ ἐνιαυτῶν παραγραφῆς διαλέγεται, εἰς πρόκριμα καὶ τῶν δημοσίων συντελειῶν καταβολῆς ἕλκειν ἐπιχειρεῖν· καὶ εἰ μὲν ἐπὶ τοσούτου ἢ καὶ πλείονος χρόνου ὀλίσθησιν ἢ μηδαμῶς ἢ ἧττον παρὰ χρὴ τῶν συντελειῶν ἕνεκεν κατεβλήθη, μὴ δύνασθαι ζητεῖσθαι ἢ ἀπαιτεῖσθαι φιλονεικεῖν, ὁπότε τὸ τοιοῦτον ἐγχείρημα φανερῶς τῇ ἐννοίᾳ καὶ τῇ προθέσει τοῦ ἡμετέρου νόμου ἐναντιοῦσθαι γινώσκεται. καὶ διὰ τοῦτο κελεύομεν ἐκείνους, οἵτινες πρᾶγμα τίποτε ἐπὶ συναπτῶν ἐνιαυτῶν μ΄ δρόμον χωρίς τινος νομίμου ὀχλήσεως ἐνεμήθησαν, ἀπὸ μὲν τῆς νομῆς τοῦ πράγματος ἢ τῆς δεσποτείας μηδαμῶς μετακινεῖσθαι, τὰς δὲ συντελείας ἢ τὸν πολιτικὸν κανόνα ἢ ἄλλην τινὰ πολιτικὴν εἰσφορὰν ἐπικειμένην αὐτῷ[1] καταβάλλειν ἀναγκάζεσθαι, καὶ οὐδὲ τούτῳ τῷ μέρει οἱουδήποτε χρόνου παραγραφὴν ἀντικειμένην δέξασθαι[v].

65. Ἐν δὲ τῷ ζ΄ κεφ. Ἡ διάταξις κελεύει τὴν ὑποθηκαρίαν ἀγωγὴν μὴ μόνον σβέννυσθαι ι΄ ἢ κ΄ ἐνιαυτοῖς, ἐὰν ἐξωτικὸς νέμηται τὴν ὑποθήκην, ἀλλὰ κἂν αὐτὸς ὁ χρεώστης αὐτὴν νέμηται, σβέννυσθαι μ΄ ἐνιαυτοῖς· εἰ μὴ ἄρα ἐν τῷ μέσῳ διαῤῥαγεῖσα εἴη ἡ σιωπὴ, ὡς τῷ νόμῳ διηγορευμένον ἐστὶ, τουτέστι καὶ διὰ μόνης ὀχλήσεως, ἐὰν[2] ἄνηβος ἡλικία ὑπεξαιρετέα φανεροῦται.

Κελεύει δὲ ἵνα καὶ προγενέστερος δανειστὴς κατὰ τοῦ

---

u Μέμνησο τῆς α΄ διατ. τοῦ κδ΄ τί. τοῦ η΄ βι. εἰπούσης κ΄ ἔτη ἐν ἐλευθερίᾳ διάγοντα ἀνενοχλήτως μηκέτι καλῶς ἐνάγεσθαι· εἰ δὲ κακῇ πίστει ἐν ἐλευθερίᾳ διατρίψας, μ΄ χρόνων δεῖται.

v Ἀνάγνωθι τοῦ κώδ. βι. ζ΄ τί. λθ΄ κεφ. ε΄[3], ἐν ᾧ φησιν, ὅτι ὁ μὴ δεδωκὼς ἐπιαίτημα[4] δημόσιον οὐκ ἀπαιτεῖται τὰ τοῦ παρελθόντος χρόνου τελέσματα. πλὴν ὡς ἐν τῷ ια΄ βι. κεῖται τί. μη΄ διάτ. θ΄[5] μεθοδεύεται τὰ τοῦ μέλλοντος καιροῦ, εἰ μὴ ἐφιλοτιμήθη αὐτῷ παρὰ βασιλέως.

---

1 Leuncl. αὐτοῖς. 2 Leuncl. conj. ἢ ἐάν. 3 Fabrot. ς΄. 4 Lips. ἐπὶ τὸ αἴτημα. Forte ἐπὶ ἔτη μ΄. 5 Lips. κεῖται τῆς μη΄ διατ. Fabrot. τ ί. ξβ΄ διατ. τελευτ.

μεταγενεστέρου δανειστοῦ διακατέχοντος τὸ πρᾶγμα ὑπὸ[1] τριακονταετίαν κινῶν τὴν ὑποθηκαρίαν ἐφ᾽ ὅσον ὁ χρεώστης ζῇ μὴ ἐκβάλληται. μετὰ δὲ τὸν θάνατον τοῦ χρεώστου ἀντίκειται αὐτῷ ἡ τῆς τριακονταετίας παραγραφή. ἐὰν δὲ ὁ μεταγενέστερος δανειστὴς βούλεται μὴ μόνον ἀντιτιθέναι τὸν χρόνον, ὃν ἐνεμήθη μετὰ τὴν τελευτὴν τοῦ χρεώστου, ἀλλὰ καὶ ὃν κατέσχε ζῶντος αὐτοῦ, τότε τεσσαρακονταετίαν κελεύει ἀντικεῖσθαι τῷ προτέρῳ δανειστῇ.

Ἐπὶ δὲ τῶν αἱρετικῶν καὶ ἡμέραν[2] ἐνοχῶν κελεύει ψηφίζεσθαι τὸν χρόνον μετὰ τὸ ἐκβῆναι τὴν αἵρεσιν ἢ καταλαβεῖν τὴν ἡμέραν. ὁμοίως κελεύει καὶ ἐπὶ τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς μετὰ τὴν λύσιν τοῦ γάμου ψηφίζεσθαι τῇ γυναικὶ τὸν χρόνον τῶν αὐτῶν παραγραφῶν.

Κελεύει δὲ, ἵνα ἐφ᾽ ὅσον χρόνον χωρὶς βίας κατέχει τὶς τὰ ὑποκείμενα αὐτῷ πράγματα, μὴ ἀντίκειται αὐτῷ χρόνου παραγραφή. εἰ δὲ καὶ ὁ χρεώστης ποιήσει δευτέραν γνωσιμαχικὴν ἀσφάλειαν, πάλιν διαῤῥήγνυσι τὸν χρόνον τούτων τῶν παραγραφῶν.

Κελεύει δὲ καὶ ἐπὶ τῶν ἐτησίων λεγάτων ψηφίζεσθαι τὸν χρόνον οὐχὶ ἐξ οὗ κατελείφθησαν, ἀλλ᾽ ἐξ ὅτου ἐτέχθη ἡ ἀγωγή· τίκτεται δὲ καθ᾽ ἕκαστον ἐνιαυτόν. βούλεται δὲ τὸν ἐμφυτευτὴν μὴ ἀντιτιθέναι τὴν χρονίαν παραγραφὴν, μηδὲ τὸν μισθωτὴν[3] ἢ τὸν διοικητὴν τῶν ἀλλοτρίων πραγμάτων, ἀλλὰ ὁτεδήποτε πληρουμένου τοῦ χρόνου τῆς ἐμφυτεύσεως ἢ τῆς μισθώσεως ἀποδίδοσθαι τὸ πρᾶγμα.

66. Ἐν δὲ τῷ η΄ κεφ. Εἴ τις ἀγορασίας ἢ δωρεᾶς ἢ ἄλλου οἱουδήποτε συναλλάγματος τίτλῳ πρᾶγμα τίποτε πίστει καλῇ ἐπὶ δέκα ἢ εἴκοσι ἐνιαυτοὺς κατέσχε, καὶ τὴν τοῦ μακροῦ χρόνου παραγραφὴν κατὰ τῶν δεσποτῶν αὐτοῦ τοῦ πράγματος ἢ τῶν δανειστῶν τῶν τὴν ὑποθήκην αὐτοῦ προτεινομένων ἑαυτῷ ἐκτήσατο, καὶ μετὰ ταῦτα κατὰ τύχην[w] τὴν νομὴν ἐκείνου τοῦ πράγματος ἀπώλεσε, δύνασθαι αὐτὸν καὶ ἀγωγὴν εἰς ἐκδικητέον τὸ αὐτὸ πρᾶγμα ἔχειν θεσπίζομεν. τοῦτο γὰρ καὶ οἱ παλαιοὶ, εἴ τις αὐτοὺς ὀρθῶς θεωρήσει, ἐθέσπιζον.

---

[w] Εἰ γὰρ ἑκουσίως αὐτὸ ἀπεκτήσατο τὸ πρᾶγμα, οὐκέτι εἶχε παραγραφήν.

---

[1] Leuncl. conj. ὑπέρ. Basil. ἐπί. [2] Sic Lips. et Leuncl. Forte ἡμέρᾳ. Leuncl. conj. ὑπὸ ἡμ. [3] Leuncl. μισθωτόν.

Εἰ δέ τις τὸ πρᾶγμα παύσεται νέμεσθαι, οὗτινος ὁ δεσπότης ἢ ὅστις ὑποκείμενον αὐτὸ εἶχε[1] τῇ παραγραφῇ τῶν λ' ἢ μ' ἐνιαυτῶν ἐξεβλήθη, τὴν εἰρημένην βοήθειαν οὐκ ἀδιαστίκτως, ἀλλὰ μετὰ μεμεριμνημένης[2] διαιρέσεως αὐτῷ παρέχειν θεσπίζομεν· ἵνα εἰ μὲν[3] πίστει καλῇ ἐξ ἀρχῆς τοῦτο τὸ πρᾶγμα διακατέσχεν, ὁμοίᾳ δυνηθείη χρήσασθαι βοηθείᾳ· ἐὰν δὲ πίστει κακῇ τούτου ἐπελάβετο[4], ἀνάξιος ταύτης δόξῃ. οὕτω μέντοι ἵνα καὶ ὁ καινὸς νομεύς, εἰ μὲν αὐτὸς τοῦ πράγματος δεσπότης ἐξ ἀρχῆς ἦν ἢ ὑποκείμενον αὐτὸ εἶχεν καὶ τῇ τῆς μνημονευθείσης παραγραφῆς ἀνάγκῃ ἐξωθηθείς ἐστι, τὸ κέρδος τῆς διακατοχῆς ἑαυτῷ προσπορίσῃ· ἐὰν δὲ μηδὲν δίκαιον ἐν τῷ αὐτῷ πράγματι καθ' οἱονδήποτε καιρὸν ἔσχε, τότε ἐξουσία εἴη τῷ πρώτῳ δεσπότῃ ἢ τῷ δανειστῇ, ὅστις ὀνόματι ὑποθήκης τὸ πρᾶγμα ἐνεχόμενον ἔσχε, καὶ τοῖς κληρονόμοις αὐτῶν ἐκ τοῦ ἀδίκως διακρατήσαντος τοῦτο διεκδικῆσαι, μὴ ἀντικειμένου αὐτῷ, ὅτι ὁ πρῶτος νομεὺς τριάκοντα ἢ μ' ἐνιαυτῶν [παραγραφῇ αὐτὸν ἀπεκίνησεν· εἰ μὴ ἄρα αὐτὸς ὁ ἄδικος νομεύς, λ' ἢ μ' ἐνιαυτῶν], ἐξ ἐκείνου τοῦ καιροῦ ψηφιζομένων, ἐξ οὗ ὁ πρῶτος νομεὺς ὅστις καὶ ἐκίνησε[5] ταύτης τῆς νομῆς ἐξέπεσε, παραγραφῇ ὠχυρωμένος ἐστίν.

Ἀλλὰ ταῦτα μὲν περὶ ἐκείνων τῶν νομέων [κρίνομεν], οἵτινες χωρὶς βίας τοῦ αὐτοῦ πράγματος ἐπελάβοντο. καὶ γὰρ εἴ τις κατὰ βίαν αὐτὸ ἀφείλετο, [παντὶ τρόπῳ] ἔξεστι τῷ προτέρῳ νομεῖ χωρίς τινος διαστίξεως τοῦτο ἐκδικῆσαι.

Εἰ δὲ καί τις μὴ κατὰ βίαν, ἀλλ' ἐξ ἀποφάσεως δικαστοῦ τοῦτο κατέσχε, πλὴν ἐκ ταύτης τῆς προφάσεως, ὅτι ἀπὼν ὁ πρῶτος νομεὺς καὶ εἰς τὴν δίκην κληθεὶς οὐδαμῶς ἀπεκρίνατο, ἐξέσται αὐτῷ κατὰ μίμησιν τῶν λοιπῶν, οἵτινες τὴν τοῦ πράγματος δεσποτείαν ἔχουσιν, εἴσω τοῦ ἐνιαυτοῦ ἑαυτὸν προφέροντι καὶ ἀσφάλειαν τοῦ ὑποδέξασθαι τὴν δίκην διδόντι τὸ αὐτὸ πρᾶγμα ἐπαναλαβεῖν, καὶ περὶ τούτου διαγνωστικοὺς ὑπελθεῖν[6] ἀγῶνας.

67. Ἐν δὲ τῷ θ' κεφ.[7] Τὴν παραγραφὴν τῶν λ' ἢ μ' ἐνιαυτῶν ἐν ἐκείνοις τοῖς συναλλάγμασιν, ἐν οἷς τόκοι ὁμολογηθέντες εἰσὶν[x], ἐξ ἐκείνου τοῦ χρόνου λαμβάνειν ἀρχὴν θεσπίζομεν, ἐξ οὗ ὁ χρεώστης τόκους κατέβαλλεν οὐδαμῶς.

---

[x] Τὸ μὲν ῥητὸν αἰνίττεται ἐξ ἐπερωτήσεως τόκους. σὺ δὲ τὸ αὐτὸ

---

[1] Lips. ἔχων. [2] Leuncl. μεμετρημένης. [3] Lips. μή. [4] Leuncl. τοῦτο ἀπελάβ. [5] Basil. ἐνίκ. [6] Leuncl. ὑπεισελθεῖν. [7] Imo ex eodem

68. Ἐν δὲ τῷ ι' κεφ. Πολλάκις τινὲς τοὺς ἰδίους ὑπευθύνους εἰς δικαστήριον καλοῦντες καὶ δικαστικῶν ἀγώνων κινηθέντων οὐχὶ εἰς ῥητὸν τέλος τὰς δίκας προάγουσιν, ἀλλὰ σιωπῆς ἐν τῷ μέσῳ χρόνῳ γενομένης διὰ τὴν δυναστείαν τῶν ἴσως ἐναγομένων ἢ τὴν ἰδίαν ἀσθένειαν ἢ ἄλλας τινὰς οἱασδήποτε περιστάσεις, ὁπότε τοῦ ἀνθρωπίνου κλήρου πολλαί εἰσιν, αἵτινες οὔτε λέγεσθαι οὔτε ἀπαριθμεῖσθαι δύνανται· ἔπειτα τοῦ ἰδίου δικαίου ὀλισθήσαντες ἐδόκουν διὰ τοῦτο, ὅτι μετὰ τὴν ἐσχάτην διάγνωσιν τριάκοντα ἐνιαυτῶν διάστημα ἔῤῥευσε[1], καὶ τῆς τοιαύτης παραγραφῆς ἀντιτεθείσης τὰς ἰδίας ὑποστάσεις εἰς ἄλλους μετενεχθείσας ὁρῶντες ἀξίως μέν, πλὴν χωρὶς θεραπείας ἐπένθουν. ὅπερ ἡμεῖς ἐπανορθοῦντες τὴν αὐτὴν παραγραφήν, ἥτις ἐκ τῶν λ' ἐνιαυτῶν τίκτεται, ἐν τῷ τοιούτῳ θέματι ἀντικεῖσθαι οὐδαμῶς ἀνεχόμεθα, ἀλλ' εἰ καὶ προσωπικὴ ἀγωγὴ ἔτυχεν ἐξ ἀρχῆς κινηθεῖσα, ὅμως αὐτὴν εἰς τεσσαρακοστὸν ἐνιαυτὸν ἐκτείνομεν· ὁπότε οὐκ ἔστιν ὅμοιος ὅστις παντελῶς ἐξ ἀρχῆς ἐσιώπησεν ἐκείνῳ, ὅστις καὶ αἰτίασιν ἀπέθετο καὶ εἰς δικαστήριον ἀπῆλθε καὶ ὑπεισῆλθεν ἀγῶνας, τὴν δὲ δίκην πληρῶσαι διά τινας τύχας ἐμποδισθείς ἐστιν. ἀλλ' εἰ καὶ αὐτὸς ὁ ἐνάγων ἀτονήσει, τῇ ἰδίᾳ ἀπογονῇ τῆς τοιαύτης αἰτίας τὸν δρόμον αὐτὸν καταλιμπάνειν δύνασθαι ὁρίζομεν, ἵνα τοῖς κληρονόμοις αὐτοῦ ἢ τοῖς διαδόχοις ἐξείη ταύτην πληρῶσαι, μηδενὶ τρόπῳ τῇ τῶν τριάκοντα ἐνιαυτῶν παραγραφῇ ἀναιρεθεῖσαν. ὅντινα χρόνον (τουτέστι τὸ τῶν μ' ἐνιαυτῶν διάστημα) ἐξ ἐκείνου ἀριθμεῖσθαι κελεύομεν, ἐξ οὗ ἡ ἐσχάτη προῆλθε διάγνωσις, μεθ' ἣν ἑκάτερον μέρος ἐῤῥαθύμησεν.

69. Ἐν δὲ τῷ ια' κεφ. Θεσπίζομεν, εἴ τις κακῇ πίστει πράγματα νεμόμενος ἢ κατὰ πρᾶσιν ἢ κατὰ δωρεὰν ἢ ἄλλως ταῦτα ἐκποιήσει, ὁ δὲ νομίζων τὰ αὐτὰ [πράγματα] προσήκειν ἑαυτῷ τοῦτο γινώσκων ἐντὸς ι' ἐνιαυτῶν μεταξὺ παρόντων καὶ κ' μεταξὺ τῶν ἀπόντων μὴ διαμαρτύρηται κατὰ τὸν νόμον τὸν ἀγοραστὴν ἢ τὸν τὴν δωρεὰν δεχόμενον ἢ ἐκεῖνον, εἰς ὃν τὰ πράγματα ἄλλῳ οἱῳδήποτε τρόπῳ μετενεχθείη, τὸν τὰ τοιαῦτα πράγματα κομιζόμενον βεβαίως ταῦτα ἔχειν μετὰ τὴν τῆς δεκαετίας δηλονότι ἐπὶ τῶν παρόντων καὶ τῆς

νοήσον καὶ ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν τῶν ἐχουσῶν τόκον ἀνεπερώτητον.

capite, ex quo etiam superiora. [1] Lips. ἔῤῥειψε.

εἰκοσαετίας ἐπὶ τῶν ἀπόντων παραδρομήν. εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς τῶν ἐκποιηθέντων πραγμάτων δεσπότης, καὶ ὅτι τὰ πράγματα αὐτῷ προσήκει, καὶ ὅτι γέγονεν ἐκποίησις, κελεύομεν τοῦτον μὴ ἀποκλείεσθαι πλὴν εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς τριακονταετίας, μὴ δυναμένου λέγειν τοῦ τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμομένου, ὅτι αὐτὸς καλῇ πίστει νέμεται, ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέντος ταῦτα ἐκομίσατο.

Περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας ταῦτα διατυπῶσαι συνείδομεν, ὥστε εἴ τις ἐν τῇ εἰρημένῃ τῆς δεκαετίας χρονικῇ παραγραφῇ ἐπί τινας μὲν ἐνιαυτοὺς παρὼν εἴη, ἐπί τινας δὲ ἀπών, ἄλλους τοσούτους αὐτῷ ἐνιαυτοὺς πρὸς τῇ δεκαετίᾳ προστεθῆναι, ὅσους ἐξ αὐτῆς τῆς δεκαετίας ἀπὼν γέγονεν.

70. Ἐν δὲ τῷ α' κεφ. τοῦ ιε' [1] τί. φησίν· Ἡ διάταξις κελεύει, ἵνα καὶ πᾶσαι αἱ πρόσκαιροι [2] παραγραφαὶ [y], ἃς ἑρμηνεύοντές τινες ἔλεγον μετὰ τριάκοντα ἐνιαυτοὺς ταύτας κινεῖσθαι, λ' ἐνιαυτοῖς περαιοῦνται, εἰ μὴ ἄρα ἐν τῷ μεταξὺ κατηνέχθησαν εἰς δικαστήριον καὶ ἀγῶνας ἔτυχον [3] καὶ ἐσιωπήθησαν· ζητοῦμεν γὰρ μεταξὺ δικαστηρίου οὐκέτι λ', ἀλλὰ μ' ἐνιαυτοὺς παραδραμεῖν.

Αἱ δὲ ἀγωγαὶ αἱ ἁρμόζουσαι τοῖς ὑπεξουσίοις προφάσει τῶν πραγμάτων τῶν μὴ προσποριζομένων τοῖς πατράσι, μὴ ἀντικείσθωσαν, εἰ μὴ ἐξ οὗ ἐγένοντο [4] αὐτεξούσιοι ἠδύναντο κινεῖν τὰς ἀγωγάς.

71. Ἡ [5] διάταξις κελεύει, ἵνα ὁσάκις ἂν τις μὴ δύνηται ἐναγαγεῖν ἢ διὰ τὴν ἀπουσίαν τοῦ νεμομένου ἢ διὰ τὴν ἡλικίαν ἢ διὰ τὴν μανίαν ἢ διὰ τὴν δυναστείαν, προσέλθῃ τῷ ἄρχοντι καὶ μέμψηται αὐτὸ τοῦτο εἴσω τῶν χρόνων τῆς παραγραφῆς καὶ διαῤῥήγνυσι τὸν χρόνον· εἰ δὲ μὴ δύνηται προσελθεῖν τῷ ἄρχοντι, προσέλθῃ τῷ ἐπισκόπῳ ἢ τῷ ἐκδίκῳ τῆς πόλεως. εἰ δὲ ἀπολιμπάνονται, δημοσίᾳ προθήσει τὸν λί-

---

y Ὥσπερ ἡ περὶ διαιρέσεως πραγμάτων φαμιλίας, ἡ περὶ διαιρέσεως πραγμάτων ἐπικοίνων, ἡ περὶ ὁροθεσιῶν, ἡ περὶ κοινωνίας, ἡ περὶ κλοπῆς, ἡ περὶ βίας ἀφαιρεθέντων πραγμάτων καὶ αἱ λοιπαί, πλὴν τῆς ὑποθηκαρίας ὡς τῇ μ'ετίᾳ κεχρημένης.

---

[1] Lips. ια' κεφ. τοῦ ε' τί. [2] Leuncl. conj. προσωπικαί. [3] Leuncl. τυχὸν, et conj. ἀγῶνος ἔτ. Basil. ἀγῶνας ἔσχον. [4] Leuncl. γενόμενοι. [5] Inscribendum: Ἐν δὲ τῷ β' κεφ.

βελλον ἔνθα οἰκεῖ ὁ νεμόμενος, εἰ μὲν ἔχει ἡ πόλις ταβουλλαρίους, ὑπογεγραμμένον χειρὶ τῶν ταβουλλαρίων· εἰ δὲ μὴ ἔχει, ὑποτάξει αὐτῷ τριῶν μαρτύρων ὑπογραφάς· καὶ διαῤῥήγνυσι τὸν χρόνον τῆς τριετίας ἢ δεκαετίας ἢ εἰκοσαετίας ἢ λ′ ἢ μ′ ἐνιαυτῶν, πάντων τῶν ἄλλων τῶν εἰρημένων ἐπὶ ταύτης τῆς παραγραφῆς ἰσχυόντων.

72. Ἐάν[1] τις πολλὰς ἔχων ἀγωγὰς περί τινων ἐπιδῷ λίβελλον, πάσας διηνεκεῖς ἀποτελεῖ. καὶ τὸ πλέον λέγει ἡ διάταξις, ὅτι κἂν ἔχων προσωπικὰς καὶ περὶ δεσποτείας καὶ ὑποθηκαρίας ἐπιδῷ λίβελλον ἔχοντα ὅτι τὰς προσωπικὰς κινεῖ ἢ ὅτι τὰς περὶ δεσποτείας κινεῖ ἢ ὅτι τὰς ὑποθηκαρίας, οὐδὲ αὐτὴ ἡ ὑπεξαίρεσις ἀδικεῖ αὐτόν.

73. Ἐν δὲ τῷ ις′ τί. διαλαμβάνεται περὶ τῆς ἐκ προσχώσεως ἤτοι προσκλύσεως γενομένης δεσποτείας· οὗτινος ἐν τῷ β′ κεφ. φησίν· Ἐάν τινες ὁπουδήποτε διὰ προσχώσεως προσλάβωνται[2] γῆν, δεσπόται αὐτῆς γίνονται, καὶ οὔτε δημόσια[3] ὑπὲρ αὐτῆς συντελοῦσιν. εἰ δὲ καὶ πρότερον ἦν τόπος ὑπὸ λίμνης κατεχόμενος ἢ εἰς βοσκὴν ἀπεγράφη, δαπανήμασι δὲ τῶν κεκτημένων νῦν κάλλιστος ἐγένετο, οὐδὲ ὑπὲρ τούτου χρὴ συντελείας ἀπαιτεῖσθαι. οὔτε γὰρ πωλεῖσθαι παρὰ τοῦ δημοσίου οὔτε ἀπαιτεῖσθαι δύνανται. ἐστὶ δὲ πρόστιμον κατὰ τοῦ παραβαίνοντος τὸν νόμον πεντήκοντα λιτρῶν χρυσίου.

74. Ἀνάγν. καὶ βι. να′ τί. γ′, ἐν ᾧ φησι περὶ τῶν ὡς ἀπὸ χρονίας νομῆς παραγραφομένων[4], οὗτινος ἐν τῷ η′ κεφ. φησίν· Ἐάν[z] τις εἴσω τῆς τετραετίας προσαγγείλῃ κατὰ τοῦ νεμομένου πρᾶγμα τὸ ἁρμόζον[5] μὲν τῷ δημοσίῳ, μήπω δὲ ἐλθὸν ὑπὸ τὴν δεσποτείαν αὐτοῦ καὶ ἀποστῇ, καὶ μετὰ τετραετίαν ἕτερος ἔλθῃ προσαγγέλλων, ἐκβάλλεται τῇ τῆς τετραετίας παραγραφῇ, εἰ μὴ συμπαιγνία τοῦ πρώτου ἐλέγχεται.

---

[z] Περὶ τῆς τῷ δημοσίῳ ἀντικειμένης χρονίας παραγραφῆς. Οἷον ἡ τοῦ τελευτήσαντος ἀδιαδόχου καὶ ἀδιαθέτου περιουσία, ἥτις διὰ τετραετίας δεσπόζεται, ὡς βι. ζ′ τί. λζ′ διατ. α′. περὶ τῆς τοιαύτης τοίνυν περιουσίας ἤτοι πράγματος ἐάν τις εἴσω τετραετίας εἰσαγγείλῃ τῷ δημοσίῳ καὶ ἀποστῇ, εἶτα μετὰ τὴν τῆς τετραετίας παραδρομὴν ἕτερος ἔλθῃ τὰ αὐτὰ προσαγγέλλων, ὁ νεμόμενος ἀποπαύει τὸν δημόσιον διὰ τὴν τῆς τετραετίας παραδρομὴν, εἰ μὴ συμπαιγνία τοῦ πρώτου ἐλέγχετο. τί γάρ; ὅτι διὰ δωροληψίαν τυχὸν ἢ χάριν τοῦ νεμομένου οὐκ ἐκρατήθη τὸ πρᾶγμα τῷ δημοσίῳ.

---

[1] Inscribendum: Ἐν δὲ τῷ γ′ κεφ. [2] Leuncl. προσκτήσονται. [3] Idem δημοσίᾳ. [4] Lips. adscribit numerum tituli V. [5] Lips. ἁρμόζειν, omisso τό.

Ἀριθμεῖται δὲ ἡ τετραετία οὐκ ἐξ ὑπονοίας, ἀλλ᾽ ἀφ᾽ οὗ γέγονεν ἄκυρος ἡ διαθήκη, καὶ παρῃτήθησαν κατὰ βαθμὸν αἱ ἐξ ἀδιαθέτου διαδοχαὶ, ἢ παρῆλθεν ὁ ἐπ᾽ αὐτῆς ὡρισμένος χρόνος[aa].

75[1]. Ἐν δὲ τῷ ιβ′ κεφ. Ἐν πάσαις ταῖς δημοσίαις δίκαις κ′ ἐτῶν ἀντίκειται παραγραφὴ, ἐξῃρημένων τινῶν, ἐφ᾽ ὧν ἥττονα χρόνον ὁ νόμος ὁρίζει.

76. Ἐν δὲ τῷ ιδ′ κεφ. Οὐ μόνον τοῦ πωλήσαντός μοι ἡ νομὴ, ἀλλὰ καὶ ἡ τοῦ πωλήσαντος αὐτῷ προσγίνεταί[2] μοι, ἐὰν ἀδιακόπως πάντες νεμηθῶμεν. ἐὰν γὰρ ὁ πωλήσας μοι μὴ νεμηθῇ, οὐ συμβάλλεταί μοι ἡ τοῦ πωλήσαντος αὐτῷ νομὴ, ὥσπερ τῷ μὴ παντελῶς νεμηθέντι οὐ συμβάλλεται ἡ νομὴ τοῦ προκτήτορος.

77. Ἀνάγν. καὶ βι. νς′ τί. ιδ′ κεφ. λα′, ἐν ᾧ φησιν· Πᾶς ὁστισοῦν ἐν οἱαδήποτε διοικήσει ἢ ἐπαρχίᾳ εἴτε ἰδιόκτητον τοῦ βασιλέως ἀγρὸν ἢ ἱερατικὸν ἢ ἀγωνοθετικὸν ἐπὶ τεσσαράκοντα ἔτη συναπτὰ ἐὰν νεμηθῇ, εἴτε ἐκ δικαίου τίτλου εἴτε μὴ, βεβαίως αὐτὸν ἐχέτω. τὸ αὐτό φαμεν, κἂν σωζομένου τοῦ κανόνος κἄν τε μὴ ἐνεμήθη ἐπὶ μ′ ἔτη. ἀσφαλῶς γὰρ αὐτὸν ἕξει.

78. Ἀνάγν. καὶ βι. ε′ τί. β′ κεφ. κγ′, ἐν ᾧ φησι· Πᾶσα[bb] ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ εἴτε προσωπικὴ εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ μ′ ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ εὐαγεῖ προσκαίρων παραγραφῶν φυλαττουσῶν μέντοιγε τοὺς οἰκείους χρόνους.

79. Ἀνάγν. καὶ βι. ε′[3] κεφ. γ′, ἐν ᾧ φησιν· Ἀντὶ[cc] δὲ τῶν χρονίων παραγραφῶν τῶν ι′ καὶ κ′ καὶ λ′ ἐνιαυτῶν ταῖς ἁγίαις ἐκκλησίαις καὶ τοῖς ἄλλοις σεβασμίοις τόποις μόνην τὴν τῶν μ′ ἐνιαυτῶν παραγραφὴν ἀντιτίθεσθαι προστάττομεν.

80. Ἀνάγν. καὶ βι. θ′ τί. ς′ κεφ ι′, ἐν ᾧ φησιν· Ὅμοιός ἐστιν ἀγοραστῇ[4] καὶ ὁ ἐξ ἐναλλαγῆς λαβὼν, καὶ ὁ εἰς καταβολὴν, καὶ ὁ παρακρατήσας τῆς δίκης διατιμηθείσης, καὶ ὁ λαβὼν ἐξ ἐπερωτήσεως, οὐ κατὰ φιλοτιμίαν.

---

aa Αἱ ρ′ ἡμέραι τῶν ἐξωτικῶν καὶ ὁ ἐνιαυτὸς τῶν ἀνιόντων καὶ κατιόντων.

bb Περὶ ἐκκλησιαστικῶν νεαρὰ ρια′.

cc Νεαρὰ ρλα′ διάταξις δ′.

---

[1] Hoc caput sequenti postponit Lips. [2] Leuncl. προστίθεται. [3] Lips. et Leuncl. γ′. [4] Leuncl. ὁ ἀγοραστής.

81. Ἀνάγν. καὶ βι. μϛ' τί. γ', οὗτινος ἐν τῷ β' καὶ γ' καὶ δ' κεφ. φησίν· Ὅτι τινὰ πάντων ἐστὶ, τινὰ τῆς ὁμάδος[dd], τινὰ οὐδενὸς[ee], τινὰ τῶν καθέκαστον. πάντων ἐστὶν ὁ ἀὴρ, τὸ ῥέον ὕδωρ, ἡ θάλασσα.
Καὶ οἱ ποταμοὶ σχεδὸν καὶ οἱ λιμένες δημόσιοί εἰσιν.
Ἡ χρῆσις τῆς ὄχθης τοῦ ποταμοῦ δημοσία ἐστὶ, καὶ ἔξεστι τῷ θέλοντι προσορμίζειν πλοῖον, καὶ φορτία ἐν τῇ ὄχθῃ ἀποτίθεσθαι, καὶ τὰ δίκτυα ψύγειν, καὶ πλεῖν ἐν τοῖς ποταμοῖς, καὶ σχοινία[1] δεσμεῖν ἐν τοῖς δένδροις τοῖς ἐν τῇ ὄχθῃ γινομένοις. ἡ μέντοι δεσποτεία τῆς ὄχθης καὶ τῶν ἐν αὐτῇ δένδρων τῶν κυρίων ἐστὶ τῶν ἀγρῶν ἐν οἷς κεῖται[ff].

V.

Περὶ δεσποτῶν ἐπαχθῶς καὶ οὐ προσηκόντως κεχρημένων τοῖς ἑαυτῶν δούλοις.

1. Ἀνάγν. βι. λα' τί. α' κεφ. α', ἐν ᾧ φησιν· Ἐν πᾶσι μὲν τοῖς ἔθνεσιν οἱ δεσπόται τῆς ζωῆς καὶ τοῦ θανάτου τῶν δούλων κατεξουσιάζουσι· καὶ ὅσα κτήσονται, τοῖς δεσπόταις προσπορίζουσι. ῥωμαίοις δὲ χαλεπαίνειν τοῖς ἑαυτῶν δούλοις ὑπὲρ μέτρον ἢ ἄνευ αἰτίαις τοῖς νόμοις ἐγνωσμένης οὐκ ἔξεστι. καὶ ὁ ἀλόγως φονεύων ἴδιον δοῦλον ὡς ἀλλότριον φονεύων τιμωρεῖται.

2. Καὶ κεφ. β', ἐν ᾧ φησιν· Εἰ δὲ καὶ σφοδρῶς αὐτοῖς χαλεπαίνει, ἢ ἀδίκως λιμῷ αὐτοὺς δαπανᾷ, ἢ πρὸς αἰσχρότητα συνωθεῖ, προσφεύγουσι βασιλικαῖς στήλαις, καὶ πιπράσκειν αὐτοὺς ἀναγκάζεται καλῇ αἱρέσει, ἐφ' ᾧ μηδέποτε πρὸς αὐτὸν ὑποστρέψαι. τινὲς δὲ ἐξ ἐλαφρᾶς αἰτίας πικρῶς τοὺς δούλους αὐτῶν τιμωρησάμενοι ἐπὶ πενταετίαν ἐξωρίσθησαν[a].

3. Ἀνάγν. καὶ βι. ξ' τί. νθ', οὗτινος ἐν τῷ α' καὶ β' κεφ. φησίν· Ἐὰν ὁ δεσπότης λώροις ἢ ῥάβδοις τυπτήσῃ τὸν ἴδιον οἰκέτην,

---

dd Τὰ θέατρα, τὰ στάδια, τὰ δημόσια λουτρὰ καὶ αἱ στοαί. αἱ ἐκκλησίαι, τὰ εὐκτήρια καὶ τὰ ἐν αὐτοῖς κειμήλια.

ee Παρ' ἑνὸς ἑκάστου ἐκ διαφόρων προφάσεων δεσπόζεται.

ff Ἀνάγν.[2] καὶ βι. νη' τί. ιϛ', ὅπερ εὑρήσεις ἐν τῷ περὶ ποταμοῦ. φησὶ γὰρ καὶ περὶ ὄχθης καὶ περὶ τῆς φυομένης νήσου ἐν ποταμῷ.

a Ὅπερ ἐπὶ οὐμβρικίας τινὸς οἰκοδεσποίνης γέγονεν ἀποτεμούσης τοὺς μασθοὺς τῆς δούλης αὐτῆς.

---

1 Leuncl. σχοῖνα. 2 Haec Lips. in textu intercalat inter c. 80 et 81.

ἢ ἕνεκεν τοῦ φυλάξαι αὐτὸν δέσμα περιβάλῃ αὐτῷ, κἀκεῖνος ὁτεδήποτε ἀποθάνῃ, οὐδὲν ἐντεῦθεν κινδυνεύει ὁ δεσπότης. εἰ μέντοιγε τὴν δεσποτικὴν ἐξελθὼν συμμετρίαν βασάνους αὐτῷ ἐπαγάγει, ἢ πῦρ αὐτῷ προσάψει, ἢ λίθοις ἢ ξίφει ἢ ξύλοις αὐτὸν φονεύσει θανατηφόρον αὐτῷ πληγὴν ἐπαγαγὼν, ἢ προσέταξεν αὐτὸν ἀγχόνῃ χρήσασθαι ἢ κρημνίσαι αὑτὸν ἢ φάρμακον ἑαυτῷ θανάσιμον μετὰ βίας ἐπενεγκεῖν, ἢ οὕτως αὐτὸν πικρῶς ἐβασάνισεν, ὥστε καὶ ἐν ταῖς βασάνοις ἀποθανεῖν, φόνου δίκας ὑφέξει τὸ τηνικαῦτα.

VI.

Περὶ δευτερογαμούντων ἢ μὴ δευτερογαμούντων, καὶ περὶ διαδοχῆς τῶν παίδων αὐτῶν, καὶ περὶ [τῶν πρὸ] τοῦ τὸν πένθιμον χρόνον τελειωθῆναι εἰς δεύτερον γάμον ἐρχομένων.

1. Ἀνάγν. βι. κη' τί. ιβ' κεφ. α' καὶ β', ἐν ᾧ φησι· Λυθέντος τοίνυν τοῦ γάμου κατὰ τὰς ἔμπροσθεν ἁπάσας διαζεύξεις[a] εὔδαιμον μὲν καὶ μακάριον ἑκατέρῳ τῶν συμβαλλόντων, μένειν ἐπὶ τῆς προτέρας εὐνῆς καὶ μὴ τὴν γενομένην γονὴν τοῖς ἐφεξῆς συνοικεσίοις ἴσως λυπεῖν. καὶ εἴγε τοῦτο πράξαιεν καὶ ἐπὶ τῶν προτέρων σταῖεν γάμων, ἕξουσι μὲν τὰ οἰκεῖα, τουτέστι προῖκα μὲν ἡ γυνὴ, προγαμιαίαν δὲ δωρεὰν ὁ ἀνὴρ, οὐδὲν πολυπραγμονούντων ἡμῶν τοῦτο, ὅπερ ἐπὶ τῶν δευτέρων ἐστὶ γάμων· λήψονται δὲ τὰ κέρδη[b], ὁ μὲν ἀνὴρ τὰ ἐκ τῆς προικὸς, ἡ γαμετὴ δὲ τὰ ἐκ τῆς προγαμιαίας δωρεᾶς.

Ἐπεὶ δὲ καὶ τὰς γυναῖκας τὰς εἰς δεύτερον γάμον οὐκ ἐρχομένας προτιμήσεώς τινος ἀξίας παρὰ τὰς δευτερογαμούσας εἶναι νομίζομεν, θεσπίζομεν, εἴ τις ἀποβαλλομένη τὸν ἄνδρα ἑτέρων ἀπόσχοιτο γάμων, ἔχειν μὲν αὐτὴν τὴν χρῆσιν τῆς πρὸ γάμου δωρεᾶς, καθὰ καὶ πρότερον ἐθεσπίσαμεν· ἔχειν δὲ αὐτὴν καὶ δεσποτείας τοσοῦτον, ὅσον ἡ πρὸς τοὺς παῖδας ἀναλογία ποιεῖ, ἵνα κατὰ τὸν τῆς δεσποτείας λόγον ἑνὸς καὶ αὐτὴ παιδὸς πρόσωπον ἔχειν δοκῇ. ταῦτα δὲ κρατεῖν οὐκ ἐπὶ μητέρων μόνον κελεύομεν, ἀλλὰ καὶ ἐπὶ πατέρων

---

[a] Τὰς ἀζημίως δηλονότι λυούσας τὸν γάμον, ὅταν δηλονότι ἀγαθῇ χάριτι ὁ γάμος λυθῇ.

[b] Τυχὸν γὰρ συνεφώνησεν ἡ γυνὴ διαζυγίου γενομένου λαμβάνειν ἐκ τοῦ ὑποβόλου τόσον μέρος, ὡσαύτως καὶ ὁ ἀνὴρ ἐκ τῆς προικὸς, ἢ ἀπὸ τελευτῆς κάσσον, οἷον τὸ γ' τοῦ ὑποβόλου ἢ τὸ ἥμισυ τῆς προικός.

καὶ τῶν ἄλλων ἀνιόντων βουλόμεθα τῶν εἰς δευτέρους γάμους οὐκ ἐρχομένων[c].

Καὶ ἔσονται ταῦτα αὐτοῖς οἰκεῖα οὐδὲν σχεδὸν τῆς ἄλλης αὐτῶν διαφέροντα κτήσεως, καὶ πᾶσαν ἄδειαν ἕξουσιν εἰς τὸ ἐκποιεῖν ταῦτα καὶ ἔτι περιόντες καὶ τελευτῶντες, καθ᾽ ὃν [ἂν] βουληθεῖεν τρόπον. εἰ μέντοιγε ἀνεκποίητα αὐτὰ καταλίποιέν τελευτῶντες, καὶ μὴ ῥητῶς ἢ πάντα ἤ τινα τούτων πρός τινας παραπέμψοιεν, λαμβάνειν αὐτὰ τοὺς παῖδας ἐπίσης[1] κἂν εἰ μὴ[2] κληρονομοῖεν τοῦ πατρὸς ἢ τῆς μητρὸς[d], κἂν εἴ τινες μὲν αὐτῶν κληρονομοῖεν, τινὲς δὲ οὐχί· εἰ μή τις ἐξ αὐτῶν ἀχάριστος φανεὶς[3] τῆς τοιαύτης φιλοτιμίας ἐκπέσοι.

Εἰ δὲ τῶν παίδων οἱ μὲν ζῶσιν, οἱ δὲ ἀπέλθοιεν μὲν, παῖδας δὲ καταλίποιεν, τὸ τοῦ τελευτήσαντος μέρος τοῖς ἐκείνου δίδομεν παισὶν, εἰ κληρονομοῖεν τοῦ πατρός· ἐπείτοιγε ἐπὶ τοὺς ἀδελφοὺς ἄγομεν αὐτό.

2. Ἀνάγν. καὶ τί. ιδ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Εἰ μὲν οὖν ἄπαιδες διαμείνοιεν ἐκ τῶν προτέρων ἢ καὶ ἐξ ἀμφοτέρων τῶν γάμων, οὐδεμία πολυπραγμοσύνη περὶ[4] τὰ δεύτερα, ἀλλ᾽ ἄνδρες μὲν ἀπελεύσονται παντοίως πάσης παρατηρήσεως ἐλεύθεροι, γυναιξὶ δὲ μόνον ἐπικείσεται δέος τὸ μὴ πρὸ τοῦ ἐνιαυσιαίου χρόνου πρὸς δεύτερον ἐλθεῖν συνοικέσιον, ἢ γινώσκειν, ὡς εἴ τι τοιοῦτον πράξαιεν καὶ ἀώρους συναλλάξαιεν

---

c Ὥσπερ ἡ μήτηρ ἔχει τὴν χρῆσιν τῆς πρὸ γάμου δωρεᾶς καὶ ἑνὸς παιδὸς μοῖραν κατὰ δεσποτείαν, εἴγε μὴ δευτερογαμήσει μετὰ τὴν τελευτὴν τοῦ ἀνδρὸς, οὕτω καὶ ὁ πατὴρ τελευτησάσης τῆς γυναικὸς, εἰ μὴ λάβῃ, τὸν ἀπὸ τελευτῆς κάσσον ἕξει· οὐ μόνον δὲ εἰ πατὴρ εἴη τὶς τῶν παίδων ἢ μήτηρ ταῦτα κρατήσει, ἀλλὰ καὶ εἰ πάππος εἴη ἢ μάμμη, οἷα τῶν παίδων αὐτῶν ἐπὶ παισὶ τεθνεώτων· καὶ ἀποθανούσης τῆς μάμμης ἢ τοῦ πάππου τὸ καταλειφθὲν μέρος λαβὸν τὰ ἀπὸ τελευτῆς κάσσα τὴν μὲν χρῆσιν αὐτῶν νεμηθήσεται, τὴν δὲ δεσποτείαν τοῖς ἐκγόνοις αὐτοῦ φυλάξει, ὡς εἰ καὶ παῖδας εἶχε ποιεῖν ἤμελλε· παρακρατήσει δὲ καὶ δεσποτείαν μέρους ἑνὸς παιδὸς, εἰ μὴ δευτερογαμήσει. εἰ δὲ μὴ ὕπεισι παῖδες ἢ ἔκγονοι, ἁπάντων δεσπόσει τῶν ἀπὸ τελευτῆς κάσσων.

d Ὅτι καὶ παραιτούμενος ὁ παῖς τὴν γονικὴν κληρονομίαν εἰς τὸ μεῖναν ἀνεκποίητον γαμικὸν κέρδος συγκληρονομεῖ τοῖς ἀδελφοῖς. τοῦτο δὲ περὶ τοῦ κατὰ δεσποτείαν διαφέροντος τῷ γονεῖ νόει· εἰς γὰρ τὸ λοιπὸν οὐδὲ ζήτησίς ἐστιν. εἰ δέ τις τῶν παίδων φανείη ἀχάριστος, ἐκπίπτει τοῦ ἐπιβάλλοντος αὐτῷ μέρους ἀπὸ τοῦ τῶν γαμικῶν κερδῶν ἁρμόζοντος κατὰ δεσποτείαν τῷ γονεῖ.

---

[1] Leuncl. ἐξίσης. [2] Leuncl. μέν. [3] Idem φανῇ καί. [4] Lips. ἐπί.

γάμους, ὑφέξουσι ποινάς, ἄλλας μὲν εἴπερ ἄπαιδες ἐκ τῶν προτέρων εἰσὶ συνοικεσίων, μείζους δὲ εἰ καὶ παῖδες ὑπεῖεν. εἰ μὲν γὰρ οὐχ ὕπεστι γονή, τὸ τῆς ἀτιμίας εὐθὺς ἐπακολουθήσει καὶ ἔσται παντοίως ἡ γυνὴ διὰ τὴν τῶν γάμων σπουδὴν ἠτιμασμένη, καὶ οὐδὲ λήψεταί τι τῶν παρὰ τοῦ προτέρου καταλελειμμένων αὐτῇ συνοικεσίου, οὔτε ἀπολαύσει τῆς προγαμιαίας δωρεᾶς, οὐδὲ τῷ συνοικοῦντι κατὰ τὸν δεύτερον γάμον περαιτέρω τῆς τρίτης τῆς οἰκείας περιουσίας ἐπιδώσει μοίρας[e]. οὐ μὴν οὐδὲ τῆς ἔξωθεν αἰσθήσεται φιλοτιμίας, οὐδὲ λήψεται παντελῶς παρ' οὐδενὸς τῶν ἔξωθεν, οὐ κλῆρον, οὐ λεγάτον, οὐ θανάτου αἰτίᾳ δωρεάν, ἀλλὰ ταῦτα ἐλεύσεται, εἰ μὲν εἶεν[1], παρὰ τοῖς κληρονόμοις τοῦ τελευτήσαντος καὶ συγκληρονόμοις αὐτῆς, εἴγε ἠδύνατο κληρονομεῖν ὅλως, οἷα ταύτης οὐδοτιοῦν ὄφελος ἐχούσης. ἀλλ' εἰ γεγραμμένοι καὶ ἕτεροι τύχοιεν κληρονόμοι εἴτε ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς ἐκείνους ἐλεύσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα· οὐ γὰρ τὸ δημόσιον αὐτὰ οἰκειώσεται, μήποτε δόξωμεν τὰ τοιαῦτα σωφρονίζοντες τῆς τοῦ δημοσίου προνοεῖν ὠφελείας. ἀλλ' οὕτω μὲν τὰ παρὰ τῶν ἔξωθεν αὐτῇ καταλελειμμένα πρὸς ἑτέρους χωρήσει, τὰ δέ γε παρὰ τοῦ προτέρου συνοικήσαντος ἀφίξεται παρ' αὐτῆς ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καταλιπόντος ἀνδρὸς συγγενείας τὰ τῷ νόμῳ περιεχόμενα[f], τουτέστιν ἀνιόντας καὶ κατιόντας καὶ τοὺς ἐκ πλαγίου μέχρι δευτέρου βαθμοῦ, τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας

---

e Μὴ νοήσῃς ἐντεῦθεν ὅτι ἀφαιρεῖται ἐξ αὐτῆς τὸ δίμοιρον τῆς οὐσίας αὐτῆς, ἀλλὰ μένει καὶ τούτου δεσπόζουσα· πλὴν κωλύεται καὶ τοῦτο διδόναι εἰς προῖκα, ἵνα μὴ καὶ περισσοτέραν προγαμιαίαν δωρεὰν λάβῃ ἢ καὶ ἀνδρὶ συζευχθῇ πλουσίῳ καὶ λαμπρῷ τὴν ἀξίαν. ὅτι δὲ καὶ δευτερογαμοῦσαι γυναῖκες προγαμιαίαν λαμβάνειν νενομοθέτηνται δωρεὰν ἐκ τῆς περιουσίας τοῦ δευτέρου ἀνδρὸς μετὰ τὴν αὐτοῦ τελευτήν, δῆλον ἐκ τῆς κβ' νεαρᾶς, ἥτις ἐν τῷ κδ' αὐτῆς κεφ. φησί, ὅτι γυναικὸς μετὰ τὸ δευτερογαμῆσαι τελευτησάσης ἀδιαθέτου τὰ μὲν αὐτῆς πράγματα οἱ ἐξ ἀμφοτέρων τῶν γάμων παῖδες παραλήψονται κατ' ἰσότητα, τὴν μέντοι προγαμιαίαν δωρεὰν ἑκάστη γονὴ τὴν τοῦ οἰκείου πατρὸς ἀπολήψεται, κἂν εἰ μὴ τρίτος γέγονε γάμος. τὸ αὐτὸ καὶ ἐπὶ πατέρων δευτερογαμούντων. καὶ ὅτι φυλάττεται τοῦτο, κἂν ἀγαθῇ χάριτι ῥεπούδιον γένηται.

f Τουτέστιν υἱός, θυγάτηρ, ἔγγονος, ἐγγόνη, πατήρ, μήτηρ, πάππος, μάμμη, ἀδελφὸς καὶ ἀδελφή.

---

1 Leuncl. conj. ἢ μενεῖ. Sed illud εἰ μὲν εἶεν commode referri potest ad v. κληρονόμοις.

φυλαττομένων τάξεως. ὧν οὐχ ὑφεστώτων, ἐπὶ τὸ ταμιεῖον ἐλεύσεται.

Ἀλλ' οὐδὲ ποῤῥωτέρω κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ὑπεισελεύσεται συγγενῶν, ἀλλὰ μέχρι τρίτου[1] *βαθμοῦ· οἱ ποῤῥωτέρω δὲ ἑτέρους ἕξουσι κληρονόμους. καὶ ἥ γε πρὸ τῶν ἄλλων αὐτῇ ποινῶν ἐπαχθεῖσα, φαμὲν δὴ τὴν ἀτιμίαν, εἰ μὲν ἄπαις ἐκ τῶν προτέρων εἴη γάμων, λελύσεται*[2] *βασιλέως γράμμασι κελεύοντος· εἰ δὲ παῖδες ὑπεῖεν οἱασδήποτε γονῆς, ἔξεστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δεῖσθαι, οὐ μὴν ὄφελός τι τῶν ἀντιγραφομένων ἔχειν. πλὴν εἰ βούλεται τὴν ἐκ τῆς βασιλείας ἔχειν ὠφέλειαν καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ποινῶν, τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶν τὴν ἡμίσειαν τῆς οἰκείας περιουσίας παρέξει μοῖραν καθαρῶς*[g]*, αἱρέσεως πάσης χωρὶς, μηδὲ τὴν χρῆσιν παρακατέχουσα· καὶ διαιρήσονται ταύτην οἱ παῖδες πάντες ἐπίσης. καὶ παῖδας μὲν ἔχοντες εἰς τοὺς ἑαυτῶν παραπέμπουσι παῖδας· εἰ δὲ οὐκ ἔχοιεν*[h]*, τὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων μέρη λήψονται πάντες ἀναλόγως οἱ τούτων ἀδελφοὶ, οὐ προτιμώμενοι τῆς μητρὸς εἰς τὴν ἄλλην οὐσίαν τοῦ τελευτήσαντος παιδὸς ἢ τῶν τελευτησάντων*[i]*. εἰ δὲ πάντες ἀπέλθοιεν ἀδιάθετοι, ἐχέτω παραψυχὴν τῆς ἑαυτῆς δυσκληρίας ἡ μήτηρ τὸ ταῦτα πάλιν ἀναλαβεῖν, ἅπερ τοῖς παισὶν ἐδωρήσατο.*

Εἰ δὲ ἀναμείνειε μὲν τὸν χρόνον ἡ γυνὴ καὶ διαφύγοι τὰς εἰρημένας ποινὰς, ἐπὶ δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον, εἰ μὲν οὐκ ἔχοι παῖδας (εἰρήσθω δὲ καὶ αὖθις), ἀκίνδυνον ἅπαν τὸ ἐντεῦθεν· εἰ δὲ ὑπείη γονὴ, καὶ παῖδας ὁ νόμος ἐντεῦθεν ἀτιμασθέντας ἴδοι, τηνικαῦτα πάσης φιλοτιμίας τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης κατὰ τὸ τῆς δεσποτείας ἀφαιρεῖται μέρος, μόνην αὐτῇ καταλιπὼν τὴν χρῆσίν [τε] *καὶ ἐπικαρπίαν. καὶ ταῦτα νενομοθετείσθω καὶ ἐπὶ τῆς προγα-*

---

g *Ὁμοίως φησὶ καὶ ἐν τῷ μα' βι. τί. α' κεφ. γ'.*

h *Ἀδιάθετος δηλονότι. εἰ γὰρ ἐπὶ διαθήκῃ τελευτήσει, ὅπερ ἂν ἐπὶ τῷ ἀνήκοντι αὐτῷ ἐντεῦθεν μέρει διατάξηται, τοῦτο δὴ καὶ γενήσεται. ἀλλὰ καὶ περιὼν τὸ βουλητὸν αὐτῷ ἐπὶ τούτῳ ἀδεῶς ἔχει διαπράξασθαι, ὡς τὸ πλάτος τοῦ κεφ. τοῦ λγ' φησίν.*

i *Ἐντεῦθεν ὅτι συγκληρονομεῖ τοῖς υἱοῖς ἡ μήτηρ εἰς τὴν περιουσίαν τοῦ τελευτήσαντος ἀδιαθέτου υἱοῦ. καὶ ἀνάγν. βι. β' κεφ. α' καὶ βι. με' τί. γ' κεφ. θ' περὶ τὰ μέσα. ζήτει καὶ τούτου τοῦ τί. κεφ. ιη'.*

---

1 Lips. *δευτέρου.* 2 Idem *λελύηται.*

μιαίας δωρεᾶς καὶ ἐπὶ πάσης ἑτέρας φιλοτιμίας[k], εἴτε ἐν ζωῇ παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης[1] ἢ ἐκ διαθήκης ἢ θανάτου αἰτίᾳ δωρεᾶς, εἴτε ἐνστάσεως εἴη μέρος εἴτε πρεσβεῖον[l]. καὶ γενικῶς εἰπεῖν, ἅπας αὐτὴν ἐπιλείψει δεσποτείας τρόπος ἐπὶ τοῖς παρὰ τοῦ προτέρου ἀνδρὸς εἰς αὐτὴν ἀφιγμένοις, καὶ οἱ παῖδες αὐτὰ λήψονται καὶ τῆς δεσποτείας ἔσονται κύριοι κατὰ τὸν καιρὸν εὐθὺς, καθ᾽ ὃν [ἡ μήτηρ] συνῴκησεν ἄλλῳ[m]. καὶ ταῦτα γυναικὸς καὶ ἀνδρὸς ἐπιτίμια κείσθω. εἰ γὰρ δὴ κἀκεῖνος [παῖδας ἔχων] δευτέραν αὐτοῖς ἐπεισαγάγῃ γαμετὴν, οὐ τῶν ἐκ τῆς προικὸς ἀπολαύσει κερδῶν κατὰ δεσποτείας λόγον, οὐ φιλοτιμίαν ἄλλην παρὰ τῆς γυναικὸς λαβὼν ταύτην ἕξει βεβαίως, πλὴν ὅσον χρῆσθαι καὶ καρποῦσθαι μέχρι παρείη μόνον. κἀνταῦθα γὰρ οἱ παῖδες, εἰ καὶ ὑπεξούσιοι καθεστήκοιεν, ἀλλ᾽ οὖν κύριοι τῶν τοιούτων κατὰ δεσποτείαν ἔσονται, παραγινομένων εὐθὺς εἰς αὐτοὺς μόνον ἅμα τῇ τῆς δευτέρας γυναικὸς συναφείᾳ.

Ἀλλὰ καὶ ἐάν τι ἐκ τῶν τοιούτων πραγμάτων ἐκποιηθῇ ἢ ὑποτεθῇ παρὰ τῶν δευτερογαμούντων γονέων, ἐκδικηθήσεται παρὰ τῶν παίδων καὶ τῶν κληρονόμων αὐτῶν καὶ διαδόχων· οὐκ ἄλλως ἀποκλειομένων, πλὴν εἰ μὴ τριακονταετὴς παρῆλθε χρόνος καὶ ἡ κατοχὴ κυρίους τοὺς λαβόντας καταστήσει, ἀρχομένου τοῖς παισὶ τοῦ χρόνου τρέχειν, ἐξ οὗπερ αὐτεξούσιοι φανεῖεν ὄντες ἢ γενόμενοι, πλὴν εἰ μή τις ἄνηβος ἡλικία προσβοηθήσειεν ἔτι.

Καὶ ὅτι εἰ πλειόνων ὄντων παίδων τελευτήσειεν εἷς, εἰ μὲν ἔχοι παῖδας, ἐπ᾽ ἐκείνους φέρεσθαι τὸν κλῆρον τοῦτον· εἰ δὲ οὐκ ἔχοι παῖδας, μὴ πάντως εἰς τοὺς ἀδελφοὺς τὸ πᾶν

---

k Φησὶ καὶ Θαλέλαιος ἐν τῇ αὐτῇ γ´ διατ. τοῦ αὐτοῦ θ´ τί. καὶ ε´ βι. τοῦ κώδ. ὡς ἔθος ἐστὶν ἐπιπολὺ ξένια τῇ ἰδίᾳ πέμπειν μνηστῇ καὶ ταῦτα αὐτῇ φυλάττειν. δύνασαι δὲ τοῦτο νοῆσαι καὶ περὶ ὧν ἐν τῷ γάμῳ ἐκέρδανεν ἱματίων ἢ κόσμων. κεφ. ε´ τοῦ κδ´ τί. τῆς πείρας τοῦ ῥωμαίου λέγει τὸν νόμον, τὴν γυναῖκα δευτερογαμοῦσαν πάσης φιλοτιμίας ἐκπίπτειν.

l Πρεσβεῖον τὸ κατὰ χάριν διδόμενον εἴτε ὡς εὐσεβέσιν εἴτε ὡς θεραπεύσασι τὸν διδόντα.

m Ἰστέον, ὅτι τὸ θεώρετρον ὥς φασι καὶ δευτερογαμήσας[2] λαμβάνει κατὰ δεσποτείαν. φησὶ γὰρ καὶ ἐν τῷ κ´ κεφ. τοῦ α´ τί. τοῦ λ´ βι., ὅτι αἱ πρὸ τοῦ γάμου δωρεαὶ ἰσχύουσι, κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμηθῶσιν.

---

1 Leuncl. γενομένης. 2 Legendum videtur δευτερογαμήσασα.

ἔρχεσθαι, ἀλλ᾽ ὅσον ἐκ τοῦ συμφώνου τοῦ ἐξ ἀπαιδίας[n] ἐγένετο τῷ γεγεννηκότι, τοῦτο αὐτὸν κερδαίνειν· τὸ δὲ λοιπὸν συγχωρεῖν ἔρχεσθαι ἐπὶ τοὺς τοῦ παιδὸς διαδόχους, εἴτε ἀδελφοὶ καθεστήκοιεν εἴτε ἐξωτικοὶ τυχὸν, ὅπερ μάλιστα ἐπὶ μητρὸς συμβαίνει, εἴτε καὶ ἀδιάθετοι τελευτήσαιεν εἴτε διάθοιντο[o].

Καὶ ὅτι ἐπὶ τούτων τῶν κερδῶν, ὅσα πρὸς τοὺς δευτέρους ἐρχομένων τῶν γονέων γάμους λαμβάνουσιν οἱ παῖδες, οὐ περιεργαζόμεθα, πότερον κληρονομοῦσι τοῦ προτελευτῶντος γονέως ἢ οὐχί· ἀλλὰ καθάπερ ἔμπροσθεν εἴπομεν, γέρας αὐτοῖς δίδομεν τοῦτο, καὶ ἐξίσου λήψονται αὐτοὶ μὲν περιόντες, σὺν αὐτοῖς δὲ καὶ οἱ τοῦ τελευτήσαντος παῖδες τὸ τοῦ γεγεννηκότος λαμβάνοντες μέρος· πανταχοῦ μέντοι τῆς ἀχαριστίας ἐμποδὼν πρὸς τὸ τοιοῦτον κέρδος ἱσταμένης τῷ τοιούτῳ παιδί. τοὺς γὰρ κατὰ τῶν ἀχαρίστων κειμένους οὐχ ὑπερβαίνομεν νόμους, ταύτῃ καὶ τοὺς γονεῖς τιμῶντες καὶ τοὺς παῖδας εἰς εὐσέβειαν ἄγοντες.

3. Ἐν δὲ τῷ δ′ κεφ. Ὅτι οὐ δύνανται οὔτε εἰς μητρυιὰν οἱ πατέρες οὔτε εἰς τὸν πατρωὸν αἱ μητέρες κατὰ τὸν τῆς ζωῆς χρόνον τὴν οἱανοῦν ποιεῖσθαι φιλοτιμίαν, ἢ ἐν τελευτῇ καταλιμπάνειν πλείω ἑνὸς παιδὸς τοῦ τὸ ἔλαττον ἔχοντος ἐκ τῆς ἐκείνων περιουσίας· δηλαδὴ τῆς πρῴην τετάρτης, νυνὶ δὲ τρίτης ἢ ἡμισείας κατὰ τὸν ἡμέτερον νόμον, πάντως τοῖς παισὶ καταλιμπανομένης ἢ διδομένης μοίρας, εἰ μὴ πάλιν ὁ τῆς ἀχαριστίας λόγος ἐναντιοῦται. ταὐτοῦ τούτου φυλαττομένου καὶ ἐπὶ πάππου καὶ μάμμης καὶ προπάππου καὶ προμάμμης καὶ ἐκγόνων ἀῤῥένων τε καὶ θηλειῶν καὶ προεκγόνων ὁμοίως, εἴτε ὑπεξούσιοι τυχὸν εἴτε αὐτεξούσιοι καθ-

---

[n] Τὸ ἐξ ἀπαιδίας μέρος τοιοῦτόν ἐστιν ἐπὶ τῶν γαμικῶν κερδῶν εἰρημένον. συνεφωνήθη, ἄπαιδος τελευτῶντος τοῦ ἀνδρὸς κερδάναι τὴν γυναῖκα τὸ ἥμισυ τῆς προγάμου δωρεᾶς. εὑρέθη. . . τὰ γαμικὰ κέρδη ͵α νομισμάτων ποσότητος. εἰσὶ παῖδες ε′. ἑκάστῳ τούτων ἁρμόζει νομίσματα σ′. ἐστὶν οὖν τὸ ἐξ ἀπαιδίας ἐφ᾽ ἑκάστου αὐτῶν νομίσματα ρ′. τὸ γὰρ ἥμισυ τῶν σ′, ρ′· ὑπεθέμεθα δὲ συμφωνηθῆναι κερδάναι ἐξ ἀπαιδίας τὴν μητέρα τὸ ἥμισυ. ταὐτόν ἐστι κἂν γ′ ἢ δ′ ἢ ἄλλο τὶ συνεφωνήθη. καὶ ζήτει τοῦ κ′ κεφ. θέμ. β′ περὶ τὸ τέλος. ὁμοίως δὲ ταῦτα νόει καὶ τῷ ἀνδρὶ ἐπὶ τῆς γυναικείας προικὸς συμφωνεῖσθαι καὶ γίνεσθαι.

[o] Διὰ τὸ μὴ εἶναι τοὺς παῖδας ὑπεξουσίους τῇ μητρὶ, δυνατὸν αὐτοὺς διατίθεσθαι καὶ περιούσης αὐτῆς καὶ καταλιμπάνειν ἐξωτικοὺς κληρονόμους. διατίθενται δὲ καὶ τοῦ πατρὸς ἔχοντος αὐτοὺς ὑπεξουσίους, ἀλλ᾽ ἐπὶ μόνοις τοῖς κανστρεσίοις καὶ ὡσανεὶ κανστρεσίοις.

εστήκοιεν ἐκ τῆς πατρῴας ἢ μητρῴας κατιόντες σειρᾶς. εἰ δέ τι πλέον καταλειφθῇ τῷ πατρωῷ ἢ τῇ μητρυιᾷ, τοῦτο ἐπίσης[1] διαιρεθήσεται τοῖς ἐκ τοῦ προτέρου γάμου παισίν.

4. Ἐν δὲ τῷ ζ' κεφ. Εἰ δὲ μόνον χρῆσιν πραγμάτων ἢ ὁ ἀνὴρ τῇ γυναικὶ[2] ἢ ἡ συνοικοῦσα τῷ γήμαντι κατὰ τελευταίαν δοίη βούλησιν, μένειν ταῦτα παρ᾽ αὐτοῖς βουλόμεθα μέχρι περίεισιν, εἰ μὴ ῥητῶς ὁ τὴν δωρεὰν πεποιημένος ἢ ὁ ταύτην καταλιπών, εἴτε ἄῤῥην εἴτε θήλεια, φήσοι βούλεσθαι πρὸς δευτέρους ἀφικνουμένου γάμους τοῦ τὴν χρῆσιν λαβόντος λύεσθαί τε αὐτὴν καὶ πρὸς τὴν οἰκείαν ἀναστρέφειν δεσποτείαν. ἀλλὰ ταῦτα μὲν περὶ τῶν κατὰ φιλοτιμίαν διδομένων φαμέν.

Εἰ μέντοι ἐν προικὶ ἢ προγαμιαίᾳ δωρεᾷ πραγμάτων χρῆσις δοθῇ, οὐδὲν παντελῶς καινίζομεν, ἀλλὰ τὰ ἤδη νενομοθετημένα κρατείτω.

5. Ἐν δὲ τῷ η' κεφ. Ὅτι ὁ πατὴρ πάντων τῶν εἰς τοὺς παῖδας ἀφικνουμένων εἴτε ἐκ μητρῴας σειρᾶς[p] εἴτε ἐκ γαμικῆς τῶν παίδων αἰτίας εἴτε ἀλλαχόθεν τὴν χρῆσιν ἔχει, κἂν εἰ πρὸς δευτέρους ἔλθῃ γάμους, ἄχρις οὗ περίεστιν ἀδιάπτωτον. ὁ δὲ τῶν ἰδιοκτήτων πεκουλίων ἐξῃρήσθω[3] λόγος.

6. Ἐν δὲ τῷ ιγ' κεφ. Εἰ δὲ ἐπιτροπεύοι γυνὴ τῶν παίδων, πρόδηλον ὡς ἀνήβων καθεστώτων διεπαγγειλαμένη μὴ πρὸς δεύτερον ἔρχεσθαι γάμον, εἶτα καταφρονήσασα καὶ τῆς προτέρας εὐνῆς καὶ τῶν ἐπαγγελιῶν δευτερογαμήσει, μὴ πρότερον ἐπίτροπόν τε αἰτήσασα καὶ τοὺς λογισμοὺς παρασχομένη καὶ καταβαλοῦσα πᾶν ὅσον ἔμπροσθεν ὀφείλει, οὐ μόνον τὰ αὐτῆς ὑποθήκην ἔχειν ὁ νόμος συγχωρεῖ τοῖς παισὶν, ἀλλὰ καὶ τὴν τοῦ γήμαντος οὐσίαν συνυπάγει ταῖς ὑποθήκαις[q], αὐτῇ τε ἀπαγορεύει τὴν τοῦ παιδὸς διαδοχὴν ἀνήβου τελευτῶντος, εἰ καὶ ἐξ ὑποκαταστάσεως ὁ πατὴρ αὐτὴν ἐλθεῖν πρὸς τὴν τοῦ παιδὸς εἴποι διαδοχήν. ἀλλὰ ταῦτα μὲν οἱ πρὸ ἡμῶν. ἡμεῖς δὲ νομοθετοῦμεν τὰς οὕτω τοῦ λοιποῦ διαψεύδεσθαι

---

p Περὶ τούτου εὑρήσεις ἀκριβέστερον ἐν τῷ περὶ κληρονομίας, ἔνθα φησὶ περὶ μητρικῶν ὑπάρξεων.

q Τοῦτο καὶ ἐν τῷ με' βι. τί. α' κεφ. λε' φησί. καὶ εὑρήσεις αὐτὸ[4] περὶ κληρονομίας.

---

[1] Leuncl. ἐξίσης. [2] Leuncl. γαμετῇ. [3] Leuncl. ἐξαιρείσθω. [4] Malim ἐν τῷ.

τολμώσας γυναῖκας πρὸς ταῖς ἤδη προειληφυίαις ποιναῖς καὶ ταύτας ὑφίστασθαι πάσας, ἃς πρότερον εἴπομεν ἐπὶ τῶν πρὸ τοῦ πενθίμου χρόνου γαμουμένων γυναικῶν, τήν τε ἀτιμίαν καὶ τὰ ἄλλα πάντα πρὸς ταύταις ἐπάγοντες, καὶ λύσιν αὐταῖς τῶν ποινῶν διδόντες τὴν αὐτὴν ἥνπερ κἀκείναις, τὸ δεῖσθαι βασιλέως καὶ τὴν ἡμίσειαν μοῖραν διδόναι τοῖς παισὶ τῶν οἰκείων οὐδὲ τῆς χρήσεως παρ᾽ αὐταῖς μενούσης, καὶ ἁπλῶς ἴσην αὐτὴν τίθεμεν διὰ τὴν τῶν γάμων ἀωρίαν τῇ πρὸ τοῦ πενθίμου χρόνου γημαμένῃ· ταῖς αὐταῖς ὑποκειμένῃ ποιναῖς, εἰ καὶ τῶν φυσικῶν ἐπιτροπεύοι παίδων. εὑρήσεις δὲ περὶ ἐπιτροπευούσης μητρὸς πλατύτερον ἐν τῷ περὶ ἐπιτρόπων τίτλῳ.

7. Ἐν δὲ τῷ ιε΄ κεφ. Ἀλλὰ κἂν εἴ τις ἐν τοῖς εὐλαβεστάτοις τελῶν κληρικοῖς (τοῖς ὑπὲρ τὸν ἀναγνώστην ἢ ψάλτην φαμὲν) ὅλως ὁμιλήσειε γάμοις, τοῦτον ἐκ τῆς ἡμετέρας διατάξεως ἐκπίπτειν τῆς ἱερωσύνης[1]. εἰ μέντοι ἀναγνώστης ὢν δευτερογαμήσει, οὐκέτι πρὸς ἱερωσύνην ἀναβήσεται.

8. Ἐν δὲ τῷ ιζ΄ κεφ. Ὅτι ἤδη μὲν ἐθεσπίσαμεν, τὰς μητέρας ἐπὶ τὸν τοῦ παιδὸς τοῦ μὴ καταλιπόντος παῖδας μετὰ τῶν αὐτοῦ τοῦ τελευτήσαντος ἀδελφῶν ἀπραγμόνως καλεῖσθαι κλῆρον, καὶ τούτου μετὰ τῆς χρήσεως καὶ τὴν δεσποτείαν ἔχειν βεβαίως, εἴτε πρὸ τοῦ κλήρου εἴτε μετὰ ταῦτα δευτέροις ὁμιλήσαιεν γάμοις. ταύτην ἡμῶν τὴν νομοθεσίαν κυρίαν μένειν ἐπὶ ταῖς ἤδη πρὸς δεύτερον ἐλθούσαις γάμον βουλόμεθα· ταῖς δὲ μετὰ ταῦτα οὕτως ἡμῖν ὁ παρὼν νόμος[r] τυπούτω τε καὶ διαθεσμοθετείτω.

Εἰ τοίνυν νομίμως ὁ παῖς διαθέμενος καταλείψειε τῇ μητρὶ τὴν οὐσίαν ἢ καὶ μοῖραν ταύτης τινὰ, ταύτην ἐκείνη λαμβανέτω διὰ τὴν γραφὴν (ἐπειδὴ πανταχοῦ φυλάττεσθαι τὰς τῶν τελευτώντων βουλόμεθα γνώμας) καὶ ἐχέτω τὸ καταλελειμμένον καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν.

Εἰ δὲ ἀδιάθετος ὁ παῖς τελευτήσειεν ἤδη πρὸς δευτέρους τῆς μητρὸς ἐλθούσης γάμους ἢ καὶ ὕστερον ἐρχομένης, καλείσθω μὲν καὶ αὐτὴ μετὰ τῶν τοῦ παιδὸς ἀδελφῶν ἢ καὶ ἀδελφοπαίδων προσωπικῶς δηλονότι κατὰ τὴν ἡμετέραν διάταξιν ἐξ ἀδιαθέτου πρὸς τὴν ἐκείνου διαδοχήν· ἀλλ᾽ ὅσα μὲν ἐκ πατρῴας οὐσίας εἰς τὸν παῖδα περιῆλθον, τούτων μό-

---

[r] Σημ. ὅτι αὕτη ἡ νεαρὰ ὡς μεταγενεστέρα κρατεῖ.

---

[1] Leuncl. addit διεταξάμεθα.

νην ἐχέτω τὴν χρῆσιν εἰς δευτέρους ὅλως ἢ πρότερον ἢ ὕστερον ἀφικομένη[1] γάμους. εἰς δὲ τὰ λοιπὰ πάντα πράγματα, ὁπόσα ἔξωθεν ἦν τῷ παιδὶ παρὰ τὴν τοῦ πατρὸς διαδοχὴν, ἐρχέσθω κατὰ τὴν κλῆσιν τὴν ἡμετέραν, ἣν αὐτίκα ἐροῦμέν τινος ἐπανορθώσεως καὶ αὐτὴν δεομένην. καὶ ταῦτά φαμεν ἐπὶ τοῖς πράγμασι τοῖς ἔξω τῆς προγαμιαίας δωρεᾶς. τὰ γὰρ ἐπ᾽ ἐκείνοις νενομοθετημένα ἀκέραια φυλάττομεν, ἐφ᾽ οἷς μόνην τὴν χρῆσιν ἡ μήτηρ ἕξει καὶ ἐπικαρπίαν.

Ἀλλ᾽ ἐπὶ τοῖς ἄλλοις πράγμασι ταῦτα νομοθετοῦμεν καὶ τῷ ἑξῆς παραδίδομεν χρόνῳ, ὅσα μετὰ τὴν προγαμιαίαν δωρεάν ἐστιν ἐκ πατρὸς ἀφικόμενα τῷ παιδὶ ἢ ἐξ ἄλλων αἰτιῶν, ἐπί τε τῶν ἐκ διαθήκης ἐπί τε τῶν ἐξ ἀδιαθέτου κλήσεων, τοῦ κατὰ τῶν ἀχαρίστων παίδων λόγου πανταχόθεν καὶ ἐπὶ τούτοις τοῖς πράγμασι φυλαττομένου.

Τὴν δὲ ἀχαριστίαν [ἐνταῦθα] σκοποῦμεν [οὐ μόνον πρὸς τὴν μητέρα], ἀλλὰ καὶ πρὸς τὸν τελευτήσαντα ἀδελφόν.

9. Ἀνάγν. καὶ βι. μέ τί. α κεφ. λδ', ἐν ᾧ φησιν· Ὁσάκις μήτηρ υἱὸν κληρονομήσει ἴδιον ἢ θυγατέρα ἐξ ἀδιαθέτου, εἰ μὲν μὴ δευτερογαμήσει μετὰ τὴν τοῦ παιδὸς τελευτὴν, μενέτω τέλειον ἔχουσα τὸ εἰς αὐτὴν περιελθὸν κέρδος. ἐὰν δὲ δευτερογαμήσει, τὰ μὲν ἔξωθεν εἰς τὸν υἱὸν περιελθόντα πράγματα ἐχέτω· ὅσα δὲ ἐκ τῆς τοῦ πατρὸς οὐσίας εἰς τὸν υἱὸν ἦλθον, τούτων τὴν χρῆσιν ἐχέτω, τὴν δὲ δεσποτείαν φυλαττέτω τοῖς ἀδελφοῖς καὶ ταῖς ἀδελφαῖς τοῦ τελευτήσαντος παιδός. τοῦτο γὰρ κρατείτω καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων ἅπερ ἐκέρδανε παρὰ τοῦ πρώτου ἀνδρὸς ἡ δευτερογαμήσασα γυνή[s].

VII.

Περὶ δημευομένων[a].

1. Ἀνάγν. βι. ξ' τί. νβ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὅτε ζωὴ ἢ πολιτεία διὰ ψήφου ἀφαιρεῖται, παρακολουθεῖ δήμευσις.

---

[s] Ἀνάγνωθι καὶ νεαρὰν β' ἐν ῃ̄ φησὶ περὶ δευτερογαμούντων καὶ τῆς κληρονομίας τῶν παίδων αὐτῶν· καὶ νεαρὰν κβ' ἐν ῃ̄ καὶ περὶ τοῦ πενθίμου διαλαμβάνει· καὶ νεαρὰν λθ' κεφ. β'· φησὶν γὰρ περὶ τῆς τεκούσης τῷ ια' μηνί· καὶ νεαρὰν ξη' ἐν ῃ̄ φησὶ περὶ διαδοχῆς τῶν παίδων· καὶ νεαρὰν ρκζ' κεφ. γ'.

[a] Ἀνάγνωθι καὶ τὸν περὶ ἀπολλύντων ὡς ἀναξίων τὰ ἐαθέντα αὐτοῖς.

---

[1] Lips. in margine: γρ. ἐρχομένη.

2. [Ἐν δὲ τῷ ιδ' κεφ.] Ἐὰν ὁ ἀνὴρ δημευθῇ, τὰ πράγματα τῆς γυναικὸς οὐ συναποφέρονται· ὁμοίως δὲ καὶ ἡ προίξ. εἰ δὲ ἔλαβέ τι παρὰ τοῦ ἀνδρὸς, ἢ πρὸ τῶν γάμων δωρεὰν ἢ ἐν τοῖς γάμοις, ἑαυτῇ κατεχέτω. ἐὰν δὲ ὡς χρεωστῶν ὁ ἀνὴρ ἐδημεύθη, εἴ τι εὑρεθῇ ἡ γυνὴ παρ' αὐτοῦ λαβοῦσα πρὶν ἄρξεται διοικεῖν, τοῦτο ἔχειν αὐτήν· εἴ τι δὲ μετὰ ταῦτα ἢ αὐτὴ ἔλαβεν ἢ οἱ παῖδες οἱ αὐτεξούσιοι, τοῦτο παρεχέσθω τῷ δημοσίῳ.

3. Ἐν δὲ τῷ ιε' κεφ. Ἐάν τις ὡς ἐπὶ τυραννίδι ἐλεγχθεὶς δήμευσιν ὑπομείνῃ, οἱ μὲν ἔχοντες αὐτοῦ πράγματα καὶ διάγοντες ἐν τῇ βασιλίδι πόλει εἴσω δύο μηνῶν ὀφείλουσιν αὐτὰ προσαγγεῖλαι· οἱ δὲ μὴ διάγοντες ἐν τῇ βασιλίδι πόλει εἴσω ὀκτὼ μηνῶν. εἰ δὲ μὴ τοῦτο ποιήσουσι, μετὰ τῶν πραγμάτων τὸ τετραπλάσιον παρέχουσιν.

4. Ἀνάγν. καὶ τί. νδ' κεφ. ιζ' θεμ. β' καὶ τί. ξζ'[1], ἐν ᾧ φησι· Μηδενὶ τῶν δικαστῶν ἐξέστω (ὑπεξῃρημένων ἐκείνων οἵτινες ἐν τῇ ἄκρᾳ τῆς διοικήσεώς εἰσι κείμενοι ἐξουσίᾳ) τῆς δημεύσεως τῷ χειμῶνι πάσης τῆς ὑποστάσεως τύπτειν, εἰ μὴ εἰς τὰς ἡμετέρας ἀκοὰς τοῦτο αὐτὸ ἀνενεχθῇ.

5. Ἀνάγν. καὶ βι. ς' τί. ιθ' κεφ. ιβ', ἐν ᾧ φησιν, ὅτι[2] θεσπίζομεν[b], τοὺς ἐπὶ ἐγκλήμασι κατηγορουμένους, ἐφ' ὧν οἱ νόμοι δήμευσιν ἢ θάνατον ὁρίζουσιν, ἐὰν ἐλεγχθῶσιν ἢ κατακριθῶσιν, τὰς αὐτῶν περιουσίας μὴ γίνεσθαι κέρδος τοῖς ἄρχουσιν ἢ ταῖς αὐτῶν τάξεσιν, ἀλλὰ μηδὲ κατὰ τοὺς παλαιοὺς νόμους τῷ δημοσίῳ αὐτὰς προσκυροῦσθαι, ἀλλ' εἰ μὲν ἔχοιεν κατιόντας, αὐτοὺς ἔχειν τὴν οὐσίαν χωρὶς τῶν διὰ τοῦ τοιούτου ἁμαρτήματος αὐτῷ προσγινομένων. εἰ δὲ μὴ ὕπεισι κατιόντες, ἀλλ' ἀνιόντες, ἄχρι τρίτου βαθμοῦ αὐτοὺς ἔχειν. εἰ δὲ γαμετὰς ἔχουσιν οἱ οὕτω[3] κατακριθέντες, πᾶσι τρόποις κελεύομεν ταύτας καὶ τὴν προῖκα καὶ τὴν γαμικὴν δωρεὰν λαβεῖν. εἰ δὲ καὶ δίχα προικὸς τοῖς τοιούτοις προσώποις συνῴκησαν, τὴν ἀπὸ τῶν ἡμετέρων νόμων ὁρισθεῖσαν μοῖραν[c] ἐκ τῆς ὅλης οὐσίας τοῦ κατακριθέντος λαμβάνειν,

---

b Σημείωσαι, ὅτι αὕτη ἡ νεαρὰ ὡς μεταγενεστέρα κρατεῖ.

c Διὰ τὸν κανόνα τὸν λέγοντα, ταῖς ἀπόροις γυναιξὶ τὸ δ' δίδομεν της τοῦ ἀνδρὸς περιουσίας. διὸ καὶ ὁρισθεῖσαν εἶπε, τουτέστιν τὴν δ' μοῖραν ἄχρι παίδων γ', εἰ δὲ πλείονες εἴησαν οἱ παῖδες, ἑνὸς καὶ αὐτὴ παιδὸς μοῖραν λαμβάνειν, πλὴν μὴ ὑπερβαίνουσαν ρ' λιτρῶν τοῦ χρυσίου ποσότητα.

---

[1] Lips. ξβ'. [2] Leuncl. ἔτι. [3] Lips. τοῦτο.

εἴτε τέκνα ἔχουσιν εἴτε μή. εἰ δὲ μηδένα τῶν προειρημένων ἔχει ὁ πλημμελήσας, τῷ δημοσίῳ προσκυροῦσθαι τὴν ἐκείνου περιουσίαν βουλόμεθα. ἐπὶ μέντοι τοῖς καθοσιώσει κατακρινομένοις τοὺς παλαιοὺς νόμους φυλάττεσθαι κελεύομεν.

6. Ἀνάγν. καὶ βι. ζ' τί. ε' κεφ. ϛβ' καὶ βι. ιδ' τί. α' κεφ. κβ' θεμ. ε', ἐν ᾧ φησιν· Ὁ δημευθεὶς ἐντελλόμενός τινι ἀγοράσαι τὰ αὐτοῦ παρὰ τοῦ δημοσίου ἔχει κατ' αὐτοῦ τὴν περὶ ἐντολῆς ἀγωγήν. τὰ γὰρ ἐπικτώμενα τῷ δημευθέντι οὐ λαμβάνει ὁ δημόσιος.

7. Ἀνάγν. καὶ βι. λ'[1] τί. α' κεφ. οζ', ἐν ᾧ φησιν· Ἐάν τις ἁλοὺς ἐπὶ ἐγκλήματι τιμωρηθῇ καὶ δημευθῇ, μὴ ἐνοχλείσθω τῆς ἐκείνου γαμετῆς ἡ οὐσία, ἀλλ' ἐχέτω πάντα τὰ πράγματα τὰ ἴδια, καὶ πατρῷα καὶ μητρῷα, καὶ ὅσα ἀπὸ δωρεᾶς τοῦ ἀνδρὸς εἰς αὐτὴν περιῆλθε. ταῦτα μὲν, ἐὰν θάνατον ἐπήγαγεν αὐτῷ ἡ τιμωρία· τῇ γὰρ προτελευτῇ τοῦ δωρησαμένου ἡ δωρεὰ βεβαιοῦται. εἰ μέντοιγε περιορισθῇ μόνον ὁ ἀνὴρ, περίεστι δὲ ὁ γάμος, μενέτω ἐν ἠρτημένῳ[2] ἡ δωρεὰ, ἐπειδὴ οὐδὲ [ὁ] γάμος λέλυται τῷ τοῦ ἀνδρὸς περιορισμῷ. καὶ ἐὰν τελευτήσῃ ὁ ἀνὴρ ἐφησυχάσας τῇ δωρεᾷ, τότε τὸ δίκαιον ἐχέτω ἡ γυνὴ μὴ ἐπικοινωνοῦντος τοῦ δημοσίου.

VIII.

Περὶ τοῦ δημοσίου δρόμου καὶ τῶν τοῖς κοντούροις χρωμένων.

1. Ἀνάγν. βι. νϛ' τί. ιζ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Οἱ ἵπποι οἱ ἀφωρισμένοι τῷ δημοσίῳ δρόμῳ οὐδὲ ξύλοις οὐδὲ ῥοπάλοις τύπτονται, ἀλλὰ μόνον φραγγελίοις ἐλαύνονται. οὐδὲ γὰρ ἐλλείπει τιμωρία κατὰ τοῦ παρὰ ταῦτα ποιοῦντος.

2. Ἐν δὲ τῷ β' κεφ. Τοῖς ἄρχουσι καὶ τοῖς καθολικοῖς καὶ τοῖς λοιποῖς, καὶ παντὶ ἄλλῳ ἄρχοντι καὶ τοῖς ζώοις αὐτῶν διὰ τοῦτο καὶ διατροφὴ ἐκ τοῦ δημοσίου λόγου ἀφωρίσθη, ὥστε μὴ ἐνοχλεῖν αὐτοὺς τῷ δημοσίῳ δρόμῳ.

3. Ἐν δὲ τῷ γ' κεφ. Πᾶς ὁδεύων[3] ἀπαιτείσθω συνθήματα παρὰ τῶν προεστηκότων τοῦ δημοσίου δρόμου, εἰ καὶ μεγίστῳ περιβέβληται ἀξιώματι. εἰ δὲ ἀντιστῇ, ἀναφερέσθω περὶ αὐτοῦ τῇ ἐπαρχότητι[4] καὶ τῷ μαγίστρῳ. οἱ δὲ λοιποὶ παραχρῆμα τιμωρείσθωσαν.

---

[1] Lips. α'. [2] Leuncl. ἐνηρτημένη. [3] Lips. ὁ παιδεύων. [4] Leuncl. in margine: τῷ ὑπάρχῳ καὶ κόμητι καί.

4. Ἐν δὲ τῷ ιβ' κεφ. Ἐπεὶ δὲ[1] καὶ τῶν ἵππων χρὴ φροντίζειν, ἑξήκοντα λίτρας ἐχέτω ἡ σέλλα καὶ ὁ χαλινός. ἡ δὲ βέρτα[2] τουτέστι τὸ ὑπομάσχαλον, ὅπερ ἐπιφέρονται κατὰ τοῦ νώτου, (καλεῖται δὲ βέρτα ἐκ τοῦ ἀπεστράφθαι,) ἔστω δὴ καὶ αὐτὸ ξ' λιτρῶν. εἰ δέ τις ὑπὲρ τοῦτο ποιήσει τὸ ὡρισμένον μέτρον, ἡ σέλλα αὐτοῦ κατακλασθήσεται καὶ ἡ βέρτα δημευθήσεται. ὑπεξηρήσθω δὲ τὰ τοῦ χρυσοῦ κεντηνάρια.

5. Ἐν δὲ τῷ ιε' κεφ. Ἐάν τις παρελάσῃ μίαν γοῦν ἀλλαγὴν, τὸ τετραπλάσιον τῆς τοῦ ζώου τιμῆς διδότω.

6. Ἐν δὲ τῷ κ' κεφ. Οἱ δοῦκες καὶ οἱ τῶν ἐπαρχιῶν ἄρχοντες καὶ αἱ τούτοις ὑπηρετούμεναι τάξεις κατὰ τὴν ἐπαρχίαν τὴν ἰδίαν εἰς χρείας ἰδίας μὴ κεχρήσθωσαν τῷ δημοσίῳ δρόμῳ. εἰ δὲ μὴ, καθ' ἕκαστον ζῶον μία λίτρα χρυσίου παρασχέσθω[3] παρ' αὐτῶν.

IX.

Περὶ δημοσίων ἵππων καὶ ἀγώνων καὶ ἡνιόχων καὶ θυμελικῶν.

1. Ἀνάγν. βι. νδ' τί. λζ', οὗτινος ἐν τῷ ε' κεφ. φησί· Μηδεὶς τῶν ἀρχόντων ἀπὸ πόλεως εἰς πόλιν ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν μετακομιζέτω ἵππους ἢ ἡνιόχους ἢ ὀρχηστὰς ἢ θηρία. δεῖ γὰρ ἑκάστην πόλιν τὴν ἰδίαν τέρψιν ἔχειν. ἐπεὶ ἱεροσυλίας κρίνεται.

X.

Περὶ δημοσίων οἰκοδομημάτων καὶ τῆς εἰς αὐτὰ γινομένης συνεισφορᾶς καὶ ὑπηρεσίας ἤτοι λειτουργίας.

1. Ἀνάγν. βι. νδ' τί. ιβ', οὗτινος ἐν τῷ ε' κεφ. φησί· Περὶ τῶν γινομένων ἔργων ἐν τοῖς τείχεσιν ἢ ταῖς πόρταις ἢ τῷ δημοσίῳ, καὶ περὶ τῆς τῶν τειχῶν ἀνανεώσεως ἐρωτᾶσθαι δεῖ τὸν βασιλέα παρὰ τοῦ ἄρχοντος.

2. Ἀνάγν. καὶ τί. ιγ', ἐν ᾧ φησι περὶ τῶν ἐπαγγελλομένων δημόσιόν τι ἔργον ποιεῖν.

3. Ἀνάγν. καὶ τί. λη' κεφ. α', ἐν ᾧ φησιν· Ἐὰν ὁ ἄρχων τὰ ἀφιερωμένα θέαις ἀνάλωσεν εἰς τειχῶν ἐπισκευὴν, ἐπαινετὸς ἔσται, παρεσχηκὼς ἀσφαλῶς τὰς θέας τοῦ λοιποῦ γίνεσθαι.

4. Ἀνάγν. βι. νη' τί. ιβ', οὗτινος ἐν τῷ β' κεφ. φησί· Τὰ δαπανηθέντα εἰς δημόσιον ἔργον ἀληθὲς[4] λογιζέσθωσαν τοῖς ἐργοεπιστάταις.

---

[1] Leuncl. ἐπειδή. [2] Leuncl. hic et infra in margine ἀβέρτα. [3] Sic Lips. et Leuncl. Lege παρεχέσθω. [4] Leuncl. ἀληθῆ.

5. Ἐν δὲ τῷ ζ' κεφ. Πᾶς εἰς τὸν λιμένα καὶ τὸν ἀγωγὸν καὶ τὴν κατασκευὴν τῶν τειχῶν συνεισφερέτω ὑπηρεσίας, ἐκ μηδεμιᾶς ἐξκουσσατευόμενος.

6. Ἐν δὲ τῷ η' κεφ. Ὁ δημοσίῳ ἔργῳ ἐπιστὰς ἤτοι χρήματα λαβὼν ἐπὶ τῷ κτίσαι κρατείσθω μετὰ τῶν κληρονόμων αὐτοῦ ἐπὶ ἔτη δεκαπέντε, ἵνα ἐὰν[1] διὰ τὴν σαθρότητα τοῦ ἔργου τίποτε συμβῇ (οὐ μὴν τυχηρῶς), ἐκ τῆς οὐσίας αὐτοῦ τοῦτο γένηται.

7. Ἐν δὲ τῷ ια' κεφ. Εἰς τὰ δημόσια ἔργα καὶ τὰς ἐκκαύσεις[2] τῶν δημοσίων βαλανείων τὸ τρίτον μέρος τῶν πολιτικῶν χρημάτων ἀναλισκέσθω.

XI.

Περὶ τοῦ δημοσίου καὶ τῶν προνομίων καὶ ἀγωγῶν αὐτοῦ.

1. Ἀναγν. βι. νς' τί. β', οὗτινος ἐν τῷ κ' κεφ. φησί· Τὸ φιλονεικούμενον πρᾶγμα ὁ δημόσιος πιπράσκειν οὐκ ὀφείλει· οὔτε τὰ διενεγκόντα τῷ περὶ καθοσιώσεως κατηγορουμένῳ καὶ τελευτήσαντι, ἑτοίμου ὄντος τοῦ κληρονόμου αὐτοῦ δεῖξαι, ὡς οὐχ ἥμαρτεν.

2. Ἐν δὲ τῷ ν' κεφ. Καὶ αἱ τῷ δημοσίῳ διαφέρουσαι ἀγωγαὶ ἀναιρείσθωσαν τῇ τοῦ χρόνου παραγραφῇ[a], καὶ μηδεὶς ὀνόματι τοῦ δημοσίου συκοφαντείτω.

3. Ἀνάγν. καὶ τί. α' κεφ. ι', ἐν ᾧ φησιν· Οἱ μεγάλα κερδαίνοντες ἐκ τῆς μισθώσεως τῶν τελῶν, μὴ εὑρισκομένων τῶν ὀφειλόντων αὐτὰ ἐπὶ τῷ αὐτῷ ποσῷ μισθώσασθαι ἀναγκάζονται αὐτοὶ καταδέχεσθαι.

4. Ἀνάγν. καὶ τί. ς', οὗτινος ἐν τῷ δ'[3] κεφ. φησίν· Ἐὰν οἱ ὡρισμένοι ταῖς δημοσίαις πράσεσι χρόνοι[b] ἐνδαψιλεύωνται, ἔξεστί σοι αὔξοντι τὸ τίμημα τῆς γενομένης ὑπὸ τοῦ δημοσίου πράσεως προτιμηθῆναι τοῦ πρῴην ἠγορακότος.

5. Ἐν δὲ τῷ ι' κεφ. Τῶν ἀδιαθέτων καὶ ἀκληρονομήτων αἱ οὐσίαι τῷ δημοσίῳ διαφέρουσιν. οὐδὲ γὰρ ἔξεστι ταῖς πόλεσι τὰς τούτων οὐσίας διεκδικεῖν, ἀλλὰ καὶ εἴ τινες πόλεις ὡς δίκαιον ἔχουσαι ἔλαβον αὐτάς, διεκδικείσθωσαν παρ' αὐτῶν.

---

[a] Ἀνάγν. καὶ βι. να' τί. γ' κεφ. ιβ', ὅπερ εἴρηται περὶ δεσποτείας.

[b] Περὶ τούτων τῶν χρόνων εἴρηται ἐν τῷ περὶ ἀγορασίας καὶ πράσεως.

---

[1] Leuncl. εἰ. [2] Leuncl. ἐκβάσεις. Heimb. ἐγκαύσεις. [3] Leuncl. α'.

6. Ἀνάγν. καὶ βι. ιθ' τί. α' κεφ. κε', ἐν ᾧ φησι· Τὰ ἐν δημοσίῳ ἐδάφει ὄντα ἀργυροπρατικὰ ἐργαστήρια καὶ ἕτερα τοῦ δημοσίου εἰσὶ, [εἰ] καὶ ἡ χρῆσις αὐτῶν ἰδιωτική. ὁ οὖν πιπράσκων αὐτὰ οὐ τὸ ἔδαφος, ἀλλὰ τὸ δίκαιον πιπράσκει.

7. Ἀνάγν. καὶ βι. ξ' τί. μθ' κεφ. β', ἐν ᾧ φησιν· Ἐὰν ἐπὶ εἴκοσι ἔτη μὴ κατάσχῃ ὁ δημόσιος τὰ τοῦ ἀναζητουμένου πράγματα, ἐκβάλλεται παραγραφῇ παρ' αὐτοῦ καὶ τῶν αὐτοῦ διαδόχων.

XII.

Περὶ τῶν δημόσια χρήματα ὑφελομένων ἢ εἰς ἰδίας χρείας τρεψάντων ἢ ὅλως νοσφισαμένων ἢ δόλον ἐν αὐτοῖς ποιησάντων ἢ ἐν τῷ ἄρχειν κλοπήν τινα πεπραχότων.

1. Ἀνάγν. βι. ξ' τί. με', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἡ ποινὴ τοῦ δὲ πεκουλάτους περιορισμός ἐστι, καὶ ἐπεισάγει πάσης τῆς προτέρας καταστάσεως ἐναλλαγὴν καὶ ἀπώλειαν τῆς οὐσίας.

Κινεῖται[1] δὲ κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν ἢ μνημείων ἢ δημοσίων χρημάτων, ἢ τρέψαντος[2] πρὸς ἰδίας χρείας πλὴν τῶν ἀπὸ νόμου ἐπιτετραμμένων, καὶ τοῦ μίξαντος τῷ δημοσίῳ χρυσῷ ἢ ἀργύρῳ χαλκὸν ἢ ἕτερόν τι βλάπτον αὐτόν.

2. Ἐν δὲ τῷ γ' κεφ. Τῷ δὲ ῥεσιδούοις[a] κατέχεται ὁ δημόσια χρήματα λαβὼν εἴς τινα χρείαν καὶ μὴ περὶ αὐτὴν δαπανήσας, ἀλλ' εἰς ἑτέραν παρακρατήσας.

3. Ἐν δὲ τῷ η' κεφ. Ἡ κατὰ τῶν ὑφελομένων δημόσια ἢ ἱερὰ χρήματα καταδίκη, τουτέστιν ὁ περιορισμὸς, μετὰ πενταετίαν τοῦ ἁμαρτηθῆναι οὐ κινεῖται.

4. Ἐν δὲ τῷ ις' κεφ. Ἐὰν ἄρχοντες ἐν καιρῷ τῆς ἀρχῆς δημόσια χρήματα κλέψωσι, καὶ αὐτοὶ κατεχέσθωσαν κεφαλικῇ τιμωρίᾳ, καὶ οἱ ὑπουργήσαντες αὐτοῖς ἐν τῷ πράγματι καὶ ὑποδεξάμενοι τὰ παρ' αὐτῶν ὑποκλαπέντα.

XIII.

Περὶ διαθηκῶν καὶ διατιθεμένων, καὶ τίνες οὐ δύνανται διατίθεσθαι ἢ κεκώλυνται μαρτυρεῖν ἐν διαθήκῃ[a].

1. Ἀνάγν. βι. λε' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησί· Διαθήκη

---

[a] Ἤτοι τῷ περὶ ὑποκρατήσεως χρημάτων. ῥεδεσίδους γὰρ ἡ ἔλλειψις.

[a] Ἀνάγν. καὶ νεαρὰν ρζ', ἐν ᾗ φησι καὶ περὶ βουλήσεων καὶ νεμήσεων τῶν εἰς τοὺς παῖδας γινομένων. ἐτέθη δὲ εἰς τὸ περὶ κληρονόμων.

[1] Inscribendum erat: Ἐν δὲ τῷ β' κεφ. [2] Leuncl. στρέψαντος, quod praetulerim.

ἐστὶ δικαία βούλησις ὧν τις θέλει μετὰ θάνατον αὐτοῦ γενέσθαι.

2. Ἐν δὲ τῷ β'[1] κεφ. Ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, οὐ μὴν τὸ σῶμα ἐῤῥῶσθαι.

3. Ἐν δὲ τῷ ς'[2] κεφ. Οὐδεὶς ἐν διαθήκῃ δύναται λέγειν μὴ κρατεῖν ἐν αὐτῇ τοὺς νόμους.

4. Ἐν δὲ τῷ ζ' κεφ. Ὁ ἄῤῥην πληρώσας τὰ ιδ' ἔτη διατίθεται, ἡ δὲ θήλεια τὰ ιβ'.

5. Ἐν δὲ τῷ η' κεφ. Ὁ ὑπεξούσιος οὔτε κελεύσει τοῦ πατρὸς εἰς τὰ παγανικὰ[b] πεκούλια διατίθεται[c].

6. Ἐν δὲ τῷ θ' κεφ.[3] Ὁ κωφὸς καὶ ἄλαλος οὐ διατίθεται. ἡ δὲ[4] προγενομένη ἔῤῥωται[d].

Δύναται δὲ καὶ ἐν τῇ νόσῳ διατίθεσθαι βασιλέως ἐπιτρέποντος.

7. Ἡ[5] ἐν αἰχμαλωσίᾳ γενομένη διαθήκη οὐκ ἔῤῥωται, κἂν ὑποστρέψῃ ὁ αἰχμάλωτος[e].

Ὁ περιορισθεὶς οὐ διατίθεται, οὔτε ἡ προγενομένη ἰσχύει. δίδοται γὰρ κατιοῦσιν ἢ ἀνιοῦσιν, ἢ δημεύεται ἡ οὐσία αὐτοῦ· ἢ ἄπορος οὖσα παραχωρεῖται τοῖς δανεισταῖς.

Τὰ αὐτὰ καὶ ἐπὶ τῶν μεταλλιζομένων καὶ τῶν ξίφει ἢ θηρίοις ὑποβληθῆναι καταδικαζομένων. ἀπολλύουσι γὰρ καὶ τὴν παῤῥησίαν[6] καὶ τὴν περιουσίαν.

8. Τοῦ[7] δὲ ἐξορίστου καὶ τοῦ ἐν φυλακῇ πρὸ καταδίκης τελευτήσαντος καὶ τοῦ χειροκοπηθέντος ἔῤῥωται ἡ διαθήκη.

9. Ἐν δὲ τῷ ιβ' κεφ. Ἡ τοῦ αἰχμαλώτου διαθήκη[f], ὡσανεὶ μὴ γέγονεν αἰχμάλωτος, ἔῤῥωται.

---

b Παγανικὰ τὰ παρὰ τοῦ πατρὸς δεδομένα λέγει. εἰς γὰρ τὰ ἰδιόκτητα καλῶς διατίθεται, εἰ ἄπαις ὢν τοῖς ἀνιοῦσι τὸ τρίτον διαφυλάξει.

c Εἰς μέντοι τὰ ἰδιόκτητα καὶ ὡσανεὶ ἰδιόκτητα καλῶς διατίθεται.

d Διότι τὰ ἐξ ἀρχῆς ἤτοι ἐν τῇ ποιήσει τῆς διαθήκης κύρια ὀφείλουσιν εἶναι, ὡσαύτως καὶ τὰ ἐν τῇ τελευτῇ τοῦ διαθεμένου. τὰ γὰρ ἐν μέσῳ συμβαίνοντα οὔτε τὸν διαθέμενον οὔτε τὸν κληρονόμον βλάπτει.

e Ὁ μέντοι ἐν αἰχμαλωσίᾳ γενόμενος κωδίκελλος ἔῤῥωται, ἐὰν ἔτυχε βεβαιωθῆναι ἐν διαθήκῃ καλῶς παρ' ἡμῖν γενομένῃ καὶ ὁ αἰχμάλωτος ὑποστρέψῃ.

f Τουτέστιν ἡ πρὸ τῆς αἰχμαλωσίας γενομένη.

---

1 Lips. γ'. 2 Idem ζ'. 3 Haec inscriptio potius sequenti themati praeponenda erat. 4 Leuncl. hic vult addi: τοῦ πάθους. 5 Inscribendum erat: Ἐν δὲ τῷ ι' κεφ. 6 Lips. παρουσίαν. 7 Inscribendum: Ἐν δὲ τῷ ια' κεφ.

10. Ἐν δὲ τῷ ις' κεφ. Οἱ πλανώμενοι ἢ ἀμφιβάλλοντες περὶ τὴν ἑαυτῶν κατάστασιν οὐ διατίθενται[g].

11. Ἐν δὲ τῷ ιη' κεφ. Ὁ ἐν ἀσθενείᾳ σώματος παραφρονήσας οὐ διατίθεται ἐν τῇ παραφροσύνῃ.

12. Ἐν δὲ τῷ ιθ' κεφ. Ὁ ἄσωτος[h] οὔτε διατίθεται οὔτε μαρτυρεῖν ἐν διαθήκῃ δύναται· οὔτε ὁ διὰ φάμουσον[i] καταδικασθείς.

13. Ἐν δὲ τῷ κα' κεφ. Ὁ κληρονόμος οὐ δύναται μαρτυρεῖν ἐν διαθήκῃ. ὁ δὲ λεγατάριος καὶ ὁ ἐπίτροπος διδόμενος δύναται.

14. Ἐν δὲ τῷ ις' κεφ.[1] Ἐὰν ἀλλάξαι τὶ θέλῃ μετὰ τὸ πληρῶσαι τὴν διαθήκην, πᾶσαν ἐναλλαττέτω. εἰ δέ τι ἀσαφὲς ἐλέχθη ἢ ἐγράφη, δύναται διὰ προσθήκης αὐτὸ[2] σαφηνίζειν.

15. Ἐν δὲ τῷ κβ' κεφ. Καὶ πατὴρ καὶ πολλοὶ αὐτοῦ ὑπεξούσιοι ἅμα μαρτυρεῖν ἐν διαθήκῃ δύνανται.

Καλῶς σφραγίζει ὁ μάρτυς καὶ δακτυλίῳ τοῦ διαθεμένου καὶ ἀλλοτρίῳ.

Ὁ μάρτυς σφραγίσας καὶ μὴ ὑπογράψας, ἢ ὑπογράψας καὶ μὴ σφραγίσας, δοκεῖ μὴ παρεῖναι.

16. Ἐν δὲ τῷ κγ' κεφ.[3] Καὶ ἐν νυκτὶ σφραγίζεται καὶ ὑπογράφεται διαθήκη.

Σφραγισθῆναι διαθήκη λέγεται, εἰ καὶ τὸ παννίον, ἐν ᾧ ἐμβάλλεται, σφραγισθῇ.

17. Ἐν δὲ τῷ κδ' κεφ. Ἔῤῥωται ἡ διαθήκη, ἣν ὁ διαθέμενος ἀποσφραγίσας παρεσκεύασεν ὑπὸ ἑπτὰ ἢ πέντε μαρτύρων ἀνασφραγισθῆναι.

18. Ἐν δὲ τῷ κς' κεφ. Ὁ κωλυόμενος διατίθεσθαι οὔτε μαρτυρεῖ ἐν διαθήκῃ.

19. Ἐν δὲ τῷ κζ' κεφ. Ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ.

Καὶ ἀλλότριος δοῦλος καλῶς γράφει τὴν διαθήκην.

---

g Οἷον δοῦλος ἐλευθερωθεὶς καὶ τὴν ἐλευθερίαν ἀγνοῶν. ἐλεύθερος μέν ἐστιν, οὐ δύναται δὲ διαθέσθαι ἀγνοῶν τὴν οἰκείαν κατάστασιν.

h Ἄσωτός ἐστιν ὁ μήτε μέτρον μήτε καιρὸν δαπάνης εἰδὼς, ὡς βι. κζ' τί. ι' διγ. α'.

i Χάρτην φλυαρίας.

---

1 Leuncl. Ἐν δὲ τῷ ς' θέμ. Utrumque male. Est enim ex cap. 22.

2 Leuncl. αὐτός. 3 Imo ex eodem capite, ex quo etiam praecedentia.

20. Ἐν δὲ τῷ λα' κεφ. Ἕκαστος τῶν μαρτύρων ἰδιοχείρως δηλούτω, τίς ἐστι καὶ τίνος ἐν τῇ διαθήκῃ ὑπέγραψεν.

21. Ἀνάγν. καὶ τί. β', ἐν ᾧ διαλαμβάνεται περὶ διαθήκης μυστικῆς, καὶ περὶ ἀτελοῦς, καὶ περὶ ἀγράφου, καὶ περὶ δευτέρας· καὶ ποίῳ τρόπῳ αἱ διαθῆκαι συνίστανται· οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἀπὸ ἀτελοῦς διαθήκης μήτε βασιλεὺς κληρονομείτω.

22. Ἐν δὲ τῷ γ' κεφ. Ἐὰν εἰς[1] τὸ κύριον ὄνομα [ἢ] περὶ τὸν χρηματισμὸν καὶ τὴν πατρωνυμίαν ἢ τὴν προσηγορίαν[k] τοῦ κληρονόμου γένηται πλάνη, δῆλον δέ ἐστι περὶ τίνος ὁ διαθέμενος ἐνενόησεν, ἔῤῥωται ἡ διαθήκη.

23. Ἐν δὲ τῷ ζ' κεφ. Δεδιότες οἱ μάρτυρες πλησιάσαι τῷ διατιθεμένῳ διὰ τὸ μὴ τῆς νόσου[l] μεταλαβεῖν, συγχωρείσθωσαν κεχωρισμένως ἐξ αὐτοῦ σφραγίσαι τὴν διαθήκην.

24. Ἐν δὲ τῷ η' κεφ. Ἐὰν οἱ μάρτυρες μὴ ἐπ' ὄψεσι τοῦ διατιθεμένου σφραγίσωσι τὴν διαθήκην, ἄχρηστός ἐστιν, εἰ μὴ ἄρα προνόμιον ἰδικόν ἐστιν ἐν ἐκείνῃ τῇ πόλει, ὥστε μὴ ἐπ' ὄψεσι τοῦ διατιθεμένου τὰς σφραγίδας ἐπιτίθεσθαι[m].

25. Ἐν δὲ τῷ ις' κεφ. Ἡ διάταξις κελεύει μὴ πάντως ἀνάγκην εἶναι τῷ διατιθεμένῳ παρόντων τῶν μαρτύρων ὑπαγορεύειν τὴν διαθήκην, ἀλλ' ἐξεῖναι αὐτῷ καὶ ἀπόντων αὐτῶν ὑπαγορεῦσαι καὶ γράψαι, ἵνα μέντοι παραγενομένων αὐτῶν ἐφ' ᾧ σφραγίσαι προσομολογήσῃ τὴν διαθήκην ἰδίαν εἶναι, καὶ ἐν ἑνὶ καὶ αὐτῷ καιρῷ σφραγίσωσιν οἱ μάρτυρες καὶ ὑπογράψωσιν. ἡ γὰρ μὴ οὕτω περαιωθεῖσα διαθήκη ἀτελής ἐστιν.

Ἐξ ἀτελοῦς δὲ διαθήκης οὐδεὶς δύναται κληρονομεῖν, εἰ μὴ ἄρα οἱ κατιόντες τοὺς ἑκατέρας φύσεως ἀνιόντας. εἰ δὲ τοῖς παισὶν ἐξωτικὸν συμμέμικται πρόσωπον, ὅσον μὲν εἰς τοὺς παῖδας ἔῤῥωται ἡ διαθήκη, ὅσον δὲ εἰς τὸν ἐξωτικὸν ἀνυπόστατός ἐστιν.

---

k Χρηματισμὸς μὲν τὸ κύριον ὄνομα, πατρωνυμία δὲ τὸ τοῦ προγόνου τοῦ ἰδίου, προσηγορία δὲ τὸ ἐπώνυμον.

l Τυχὸν γὰρ λοιμικὸν ἦν.

m Ἀγράφως συνίσταται διαθήκη, ὅταν ὑπὸ ζ' μάρτυσιν ὁ διατιθέμενος ποιεῖται τὴν αὐτοῦ βούλησιν. εἰ δέ τις διατίθεται ἐν τόπῳ ἐν ᾧ μάρτυρες οὐκ εἰσὶν, ὑπὸ ε' ἢ καὶ γ' μαρτύρων διατιθέσθω τὰ καθ' ἑαυτὸν καὶ ἐγγράφως. εἰ δὲ πέρα τῶν γ' οὐχ εὑρεθῶσιν, ἄκυρον τοῦ διατιθεμένου ὑπάρχειν τὴν βούλησιν[2].

---

1 Leuncl. περί. 2 Ecloga V, 3. 4.

26. Ἐν δὲ τῷ ιζ' κεφ.[1] Εἰ δὲ ἀγράφως τὶς διάθηται, πάντως ἐπὶ τῶν αὐτῶν μαρτύρων ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ τὴν διαθήκην ἀγράφως ποιείτω, ἀκουόντων δηλαδὴ τῶν μαρτύρων.

Εἰ δέ τις ποιήσας πρώτην διαθήκην δευτέραν ποιῆσαι βουληθῇ, μὴ ἄλλως ἀφανιζέσθω ἡ προτέρα, εἰ μήγε πρότερον νομίμως ἡ δευτέρα γένηται διαθήκη· εἰ μὴ ἄρα ἐν τῇ προτέρᾳ διαθήκῃ γραφέντων τούτων, οἵτινες ἐξ ἀδιαθέτου πρὸς τὴν τοῦ διαθεμένου κληρονομίαν[2] ἤτοι διαδοχὴν ἐλθεῖν οὐκ ἠδύναντο, ἐν τῇ δευτέρᾳ βουλήσει ὁ διαθέμενος τούτους γράψαι ὥρισεν, οἵτινες ἐξ ἀδιαθέτου πρὸς τὴν αὐτοῦ κληρονομίαν καλοῦνται. ἐν τούτῳ γὰρ τῷ θέματι, εἰ καὶ ἀτελὴς δοκεῖ ἡ δευτέρα γραφὴ, ἀσθενούσης τῆς πρώτης διαθήκης τὴν δευτέραν αὐτοῦ βούλησιν οὐχ ὡς διαθήκην, ἀλλ' ὡς βούλησιν ἀδιαθέτου ἰσχύειν θεσπίζομεν· ἐν ᾗ βουλήσει ε' μαρτύρων ἐπομνυμένων καταθέσεις ἀρκοῦσιν. οὗτινος μὴ γενομένου, ἰσχύειν τὴν πρώτην διαθήκην, εἰ καὶ οἱ ἐν αὐτῇ γεγραμμένοι δοκοῦσιν ἐξωτικοί.

Ἐξέστω δὲ παντὶ ἀνθρώπῳ καὶ ἑλληνικοῖς ῥήμασι διατίθεσθαι.

27. Ἐν δὲ τῷ κ' κεφ. Ἐὰν παραγένωνται οἱ μάρτυρες, καὶ τὴν ἰδίαν βούλησιν ὁ διαθέμενος εἴπῃ, ἔῤῥωται ἡ ἄγραφος διαθήκη καὶ χωρὶς τοῦ εἰπεῖν αὐτὸν, ὅτι ἐπὶ τούτῳ μετεκαλέσατο τοὺς μάρτυρας, ἐπὶ τῷ ἀγράφως διαθέσθαι.

28. Ἐν δὲ τῷ κα' κεφ. Μὴ ἀναιρείσθω τῇ τῆς δεκαετίας παραγραφῇ ἡ διαθήκη, εἰ μὴ ἄρα τελείας γενομένης ἑτέρας ἐγγράφου ἢ ἀγράφου ἐναντίαν γνώμην τοῦ διατιθεμένου δηλούσης ἐπὶ ἑπτὰ ἢ πέντε μαρτύρων.

29. Ἐν δὲ τῷ κγ' κεφ. Ἔνθα δέ τις δι' ἑαυτοῦ γράφῃ τὴν διαθήκην, μὴ χρεία ἔστω τὸν αὐτὸν ὑπογράφειν μηδὲ ἕτερον ὑπὲρ αὐτοῦ· ἀλλὰ μόνων τῶν ἐφεξῆς πληρουμένων ἐῤῥώσθω ἡ διαθήκη.

30. Ἐν δὲ τῷ κε' κεφ. Αἱ διαθῆκαι ἐν πάσῃ μὲν πόλει καὶ πᾶσι τοῖς κάστροις τοῖς ῥωμαϊκοῖς, ἔνθα καὶ γραμμάτων ἐστὶν εἴδησις καὶ νόμων[4], κατὰ τὴν εἰρημένην παρατήρησιν ὀφείλουσι γίνεσθαι. ἐν δὲ τοῖς τόποις, ἐν οἷς σπανίως ἔμπειροι γραμμάτων ἄνδρες εὑρίσκονται, τὴν τοῦ τόπου συνήθειαν ἀντὶ νόμων δεχόμεθα. ἀλλ' εἰ μὲν ἐστὶν ἐν τοῖς

---

[1] Imo ex eodem capite. [2] Lips. αὐτοῦ κληρ. τοῦ διαθεμένου. [3] Leuncl. ἐπὶ τοῦτο — ἐπὶ τό. [4] Lips. νομίμων.

τόποις ἐκείνοις εὐπορία μαρτύρων γράμματα ἐπισταμένων, ὑπογραφέτωσαν οἱ μάρτυρες· ἔνθα δὲ μὴ εὐπορία μαρτύρων γράμματα ἐπισταμένων, τότε καὶ ἀγράφως δεχόμεθα τὰς μαρτυρίας. ἐὰν δὲ ὅλως πλείονες μάρτυρες οὐχ εὑρίσκονται, ε΄ μάρτυρες ἀρκοῦσιν· ἐλάττονες δὲ οὐδαμῶς. εἰ δέ τινες ἐκ τῶν μαρτύρων ἴσασι γράμματα, οἱ εἰδότες ὑπὲρ τῶν ἀγνοούντων παρόντων αὐτῶν ὑπογραφέτωσαν· ἵνα μέντοι ἴσασιν οἱ μάρτυρες τὴν βούλησιν τοῦ τελευτήσαντος[1] καὶ μετὰ θάνατον αὐτοῦ ἐνωμότως κατάθωνται τὰ παρ᾽ αὐτοῦ διατυπωθέντα. οὐ γάρ ἐστιν εὔλογον, καὶ ἀγράφους αὐτοὺς μαρτυρεῖν καὶ μὴ[2] εἰδέναι τὴν τοῦ τελευτήσαντος βούλησιν.

31. Ἀνάγν. καὶ τί. γ΄ ἐν ᾧ διαλαμβάνεται περὶ τῶν δυναμένων ποιεῖν διαθήκην καὶ τῶν μὴ δυναμένων· οὗτινος ἐν τῷ β΄ κεφ. φησίν· Ἐάν τις ἐν ὑγείᾳ διέθετο, ὕστερον δὲ ἀπεχρήσατο ἑαυτῷ, οὐ συνειδήσει πταίσματός τινος, ἀλλὰ ἢ ὡς τὴν ζωὴν ἀποστρεφόμενος ἢ ὑπὸ μανίας ἢ λύσσης ἢ πολυημέρου νόσου κατεχόμενος, ἔῤῥωται ἡ διαθήκη αὐτοῦ. εἰ δὲ τῷ τῆς μελλούσης τιμωρίας φόβῳ τῷ ἑκουσίῳ θανάτῳ τὴν κόλασιν προανέτρεψε, βεβαίαν τὴν βούλησιν αὐτοῦ φυλάττεσθαι οἱ νόμοι κωλύουσιν.

32. Ἐν δὲ τῷ η΄ κεφ. Ἐὰν τυφλὸς ἀγράφως διατίθεται παρόντων ζ΄ ἢ ε΄ μαρτύρων καὶ ταβουλλαρίου, προλεγέτω ὅτι ἐφ᾽ ᾧ διαθέσθαι προσεκαλέσατο[3] αὐτοὺς, καὶ οὕτως ἐκφωνείτω τὸ ὄνομα καὶ τὰ σημεῖα καὶ τὰ ἀξιώματα τῶν κληρονόμων, καὶ ἐκ πόσου μέρος αὐτοὺς γράφει, καὶ τί βούλεται ἕκαστον αὐτῶν λαβεῖν λεγατάριον ἢ φιδεϊκομισσάριον. καὶ ἐὰν πάντα ταῦτα ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ λεχθῶσι καὶ συγγραφῶσιν ὑπὸ τοῦ ταβουλλαρίου ἐπ᾽ ὄψει τῶν ἑπτὰ ἢ πέντε μαρτύρων, ὑπογραφόντων καὶ αὐτῶν τῶν μαρτύρων καὶ σφραγιζόντων, καὶ αὐτοῦ τοῦ ταβουλλαρίου σὺν ἐκείνοις, ἐχέτω τὸ βέβαιον ἡ διαθήκη. τὸ δὲ αὐτὸ ἔστω, κἂν μὴ διαθήκην, ἀλλὰ κωδίκελλον βούληται ποιῆσαι. εἰ δὲ ἐγγράφως[4] βούλεται διαθέσθαι, γραφέτω μὲν δι᾽ οὗ βούλεται τὴν διαθήκην, παρόντων δὲ τῶν ζ΄ ἢ ε΄ μαρτύρων καὶ αὐτοῦ λέγοντος ὅτι ἐπὶ τῷ διαθέσθαι συνεκαλέσατο αὐτοὺς, ἀφαιρείσθω ὁ χάρτης καὶ ἀναγινωσκέσθω διὰ τοῦ ταβουλλαρίου, καὶ εἰ ὁμολογήσῃ αὐτὸς, ὅτι αὐτοῦ ἐστιν ἡ διαθήκη καὶ τὰ ἀναγνωσθέντα πάντα

---

[1] Leuncl. conj. τελευτῶντος. [2] Leuncl. μηδέ. [3] Leuncl. συνεκαλ.
[4] Lips. ἀγράφως. Sequentia Leuncl. non habet, sed addit: καὶ τὰ ἑξῆς ἀνάγνωθι εἰς τὸ πλάτος τῶν βασιλικῶν.

κατὰ γνώμην αὐτοῦ συνεγράφησαν, καὶ οὕτως οἱ μάρτυρες καὶ ὁ ταβουλλάριος ὑπογράψουσι καὶ σφραγίσουσιν. εἰ δὲ μή ἐστιν ἐν τοῖς τόποις ταβουλλάριος, ἕτερος μάρτυς προσκαλείσθω, ὃς πράξει τὰ διατεταγμένα τῷ ταβουλλαρίῳ. ἐξουσίαν ἔχοντος τοῦ τυφλοῦ μετὰ τὸ πληρωθῆναι τὴν διαθήκην, ᾧ ἂν βούληται τῶν μαρτύρων αὐτὴν παραθέσθαι. οὕτω γὰρ ἀσφαλῶς γίνεται ἡ διαθήκη τοσούτων ὀφθαλμῶν ἀντὶ τοῦ τυφλοῦ φυλαττόντων, τουτέστι τῶν μαρτύρων καὶ τοῦ ταβουλλαρίου.

33. Ἀνάγν. καὶ κεφ. θ'. Ἐῤῥώσθω ἡ μεταξὺ τῆς μανίας ἐν τοῖς διαλείμμασι διαθήκη, εἰ μὴ ἄρα τὶς ἐν αὐτῷ τῷ δια[τί]θεσθαι κατεσχέθη.

34. Ἐν δὲ τῷ ι' κεφ. Ὁ κατὰ ταὐτὸν καὶ κωφὸς καὶ ἄλαλος ὢν φύσει[1] μηδὲ ἐν τελευταίᾳ διατυπούτω βουλήσει, μηδὲ θανάτου αἰτίᾳ δωρείσθω· οὔτε δὲ ἐλευθερίαν καθ᾽ οἱονδήποτε τρόπον ἐπιτίθησιν. ὁ δὲ ἐκ πάθους τοιοῦτος γενόμενος, γράμματα εἰδώς, δι᾽ αὐτῶν διατυπούτω ὅσα καὶ βούλεται. εἰ μέντοι μόνον ἐστὶ κωφὸς κατὰ φύσιν, μηδὲ ἓν κωλυέσθω τῶν τελευταίων διατυποῦν· καὶ πολλῷ πλείω ὁ μὴ κατὰ φύσιν, ἀλλ᾽ ἀπὸ πάθους κωφός. ὁ δὲ μὴ κωφὸς μέν, ἄλαλος δὲ μόνον ὢν κατὰ φύσιν, εἰ καὶ ἀπὸ πάθους, ἐὰν γράμματα εἰδὼς διαθήκην γράψῃ ἢ ἕτερόν τι διατυπώσῃ, ἐῤῥώσθω τὸ γινόμενον. τὰ αὐτὰ καὶ ἐπὶ θηλειῶν κρατείτω.

35. Ἐν δὲ τῷ ια' κεφ. Ὁ ὑπεξούσιος ἢ ἡ ὑπεξουσία, οἱουδήποτε ὄντες βαθμοῦ, μηδὲ ἐν τοῖς ἀπροσπορίστοις[n] διατυπούσθωσαν.

36. Ὅσοι[2] δὲ ἰδιόκτητον ἔχουσι πεκούλιον, διατιθέσθωσαν εἰς αὐτὸ κατὰ τὴν ἡμετέραν διάταξιν, μήτε τὴν μέμψιν τῆς διαθήκης εὐλαβούμενοι.

37. Ἀνάγν. καὶ τί. η'[3] κεφ. β' [θεμ. β'] καὶ τί. ιζ' κεφ. α' θεμ. γ'

---

[n] Τούτων γὰρ ἡ μὲν δεσποτεία τοῖς παισίν, ἡ δὲ χρῆσις τῷ πατρὶ ἁρμόζει. τελευτώντων δὲ τῶν παίδων λαμβάνει ὁ πατὴρ καὶ τὴν δεσποτείαν, καὶ διὰ τοῦτο οὐ διατίθενται ἐπὶ τοῖς τοιούτοις. σημείωσαι ὅτι παρὲξ τῶν παγανικῶν τριττά ἐστι τὰ ἀπροσπόριστα, ἤτοι τὰ ἀπὸ διαθήκης ἐπερχόμενα, τὰ ἀπὸ στρατείας, καὶ τὰ ἀπὸ ἐπιστήμης, τὰ λεγόμενα ἰδιόκτητα ἐφ᾽ οἷς καὶ μόνοις διατίθεται· εἰς δὲ τὰ ἄλλα ἀπροσπόριστα κωλύεται ὁ ὑπεξούσιος διατίθεσθαι.

---

[1] Leuncl. κατ᾽ αὐτὸν — κατὰ φύσιν. [2] Inscribendum: Ἐν δὲ τῷ ιβ' κεφ. [3] Lips. κ'.

καὶ τί. κ' κεφ. β', ἐν ᾧ φησιν· Εἰ μὴ τελείαν τὶς ποιήσει βούλησιν, οὐκ ἀκυροῖ τὴν πρώτην, ᾧ γε ἐξῆν διαῤῥῆξαι τὸ γινόμενον καὶ ἑτέραν ποιήσασθαι βούλησιν δηλοῦσαν τὴν τελευταίαν αὐτοῦ γνώμην.

38. Ἀνάγν. καὶ τί. κα' ἐν ᾧ διαλαμβάνεται περὶ διαθήκης στρατιωτῶν· οὗτινος ἐν τῷ γ' κεφ. φησίν· Ἐὰν στρατιώτης ἀρξάμενος παγανικῶς διατίθεσθαι μὴ πληρώσῃ, στρατιωτικῶς ἔῤῥωται. καὶ ὁ παγανικῶς γὰρ διατιθέμενος, εἰ εἴποι τὴν διαθήκην αὐτοῦ τάξιν ἔχειν κωδικέλλου, ἔῤῥωται καὶ ἀτελὴς εὑρισκομένη ἡ διαθήκη. ἰσχύει γὰρ ὡς κωδίκελλος.

39. Ἐν δὲ τῷ ιζ' κεφ. Τὸ εἰρημένον, ὡς ἡ στρατιωτικὴ διαθήκη καὶ μετὰ ἄφεσιν εἴσω ἐνιαυτοῦ κρατεῖ, περὶ τῶν εἰωθότων πληροῦν εἴρηται, οὐ μὴν περὶ τῶν διαδεχομένων, οἷον στρατηλατῶν, τριβούνων[o] καὶ τῶν ὁμοίων[p].

40. Ἐν δὲ τῷ κα' κεφ. Τῶν ἀτίμως ἀφεθέντων αἱ στρατιωτικαὶ διαθῆκαι καὶ παραχρῆμα ἀκυροῦνται· καὶ οὔτε οἱ ὑπεξούσιοι ὄντες ἐν τοῖς ἰδιοκτήτοις διατίθενται. τῶν μέντοι ἐντίμως καὶ τῶν δι' αἰτίαν ἀφιεμένων αἱ διαθῆκαι εἴσω ἐνιαυτοῦ ἰσχύουσιν.

41. Ἐν δὲ τῷ κζ' κεφ. Τοῦ διὰ νόσον ἢ διὰ μῖσος ζωῆς ἑαυτὸν ἀνελόντος στρατιώτου ἡ κληρονομία ἢ τοῖς γραπτοῖς κληρονόμοις ἢ τῷ ἐξ ἀδιαθέτου ἁρμόζει. καὶ εἰ εἴσω ἐνιαυτοῦ τοῦ ἀφεθῆναι ἤρξατο ποιεῖν [καὶ] οὐκ ἐπλήρωσε, τὴν προγενομένην στρατιωτικὴν ῥήσσει, οὐ μὴν τὴν κοινῷ νόμῳ γενομένην. ἐῤῥήγνυτο δὲ καὶ αὐτὴ, εἴπερ ἔτι στρατευόμενος ἐποίησε τὴν ἀτελῆ.

42. Ἐν δὲ τῷ κη' κεφ. Καὶ ἡ ἀτελὴς τοῦ στρατιώτου διαθήκη ἔῤῥωται. καὶ ἐὰν πολλὰς ἐν διαφόροις ἡμέραις γράψῃ, πολλάκις ποιῆσαι διαθήκην δοκεῖ εἰς πᾶσαν τὴν οὐσίαν.

43. Ἐν δὲ τῷ λγ' κεφ. Ἐὰν ὑπαγορεύσῃ στρατιώτης διαθήκην καὶ μὴ φθάσῃ γραφῆναι, δεχόμεθα τὰ σημεῖα εἰς διαθήκην, ἐὰν μέντοι νομίμως ἀποδειχθῇ οὕτω ταῦτα γεγενῆσθαι.

44. Ἐν δὲ τῷ λθ' κεφ. Καὶ οἱ μὴ δυνάμενοι στρατιωτικῶς

---

o Τριβοῦνος ὁ τῆς κονέτρας ἤγουν τῆς τραπεζικῆς ἀρχῆς.

p Τὸ προνόμιόν, φησι, τοῦ ἰσχύειν τὴν στρατιωτικὴν διαθήκην εἴσω ἐνιαυτοῦ μετὰ τὴν ἄφεσιν, ἐκείνοις μόνοις ἁρμόζει, οἵτινες ῥητῷ χρόνῳ ἀπολύονται τῆς στρατείας, εἰς δὲ τοὺς στρατηλάτας καὶ ἐπάρχους καὶ τριβούνους καὶ τοὺς τοιούτους οὐ χώραν ἔχει. οὐδὲ γὰρ ἀπολύονται τῆς στρατείας, ἀλλὰ διαδοχὴν λαμβάνουσι· ἅμα οὖν τῷ διαδεχθῆναι παύονται αἱ τοιούτων διαθῆκαι στρατιωτικῶς ἰσχύειν.

διατίθεσθαι, εἴτε ἄρχοντες ἐπαρχιῶν εἰσιν εἴτε τινὲς ἕτεροι, ἐὰν ἐν τῷ πολέμῳ καταληφθέντες ἀποθάνωσι, διατίθενται καὶ ὡς ἂν θέλωσιν καὶ[1] ὡς ἂν δύνανται.

45. Ἐν δὲ τῷ μ' κεφ. Καὶ οἱ μὴ ὄντες στρατιῶται μήτε[2] στρατιωτικῶς διατίθεσθαι δυνάμενοι, ἐὰν ἐν πολεμουμένῳ τόπῳ καταληφθῶσι κἀκεῖ τελευτήσωσιν, ᾧ βούλονται ἢ δύνανται τρόπῳ διατίθενται· εἴτε ἄρχοντές εἰσιν ἐπαρχίας ἢ πρεσβευταὶ ἤ τις ἕτερος μὴ δυνάμενος στρατιωτικῶς διατίθεσθαι.

46. Ἐν δὲ τῷ να' κεφ. Οἱ στρατιῶται ἐν στρατοπέδῳ διάγοντες, ἐὰν τὰς γυναῖκας ἢ τοὺς παῖδας ἢ τοὺς φίλους ἢ τοὺς συστρατιώτας ἢ ὡς ἐν κεφαλαίῳ οἱουδήποτε γένους ἀνθρώπους ἀγαπῆσαι βουληθείησαν, τὰς τῆς τελευταίας βουλήσεως διαθέσεις οἱῳδήποτε τρόπῳ δύνανται καὶ βούλονται διατιθέσθωσαν. καὶ μηδὲ τῶν γαμετῶν ἢ τῶν παίδων αὐτῶν, ἡνίκα τὴν βούλησιν τοῦ πατρὸς ἀποφέρονται, τὸ ἀξίωμα ἢ ἡ ἐλευθερία ζητείσθω. ὅθεν (ὥσπερ τοῖς τοῦ νόμου λογισμοῖς ἔξεστι καὶ ἀεὶ ἔξεστιν) εἴτε[3] ἐν τῇ ξιφοθήκῃ ἢ τῇ ἀσπίδι γράμμασι τῷ ἰδίῳ αἵματι ἐρυθραινομένοις σημειώσεται, εἴτε εἰς τὸν κονιορτὸν τουτέστιν εἰς τὴν γῆν ἐγγράψει τῷ ξίφει, ἐν αὐτῷ τῷ καιρῷ ἐν ᾧ ἐν τῷ πολέμῳ τῆς ζωῆς τὸν κλῆρον καταλιμπάνει, τὴν τοιαύτην βούλησιν ἰσχυρὰν εἶναι προσήκει.

47. Ἐν δὲ τῷ νη'[4] κεφ. Θεσπίζομεν τούτοις μόνοις, οἵτινες ἐν στρατοπέδοις εἰσὶν ἀπησχολημένοι, τὴν μνημονευθεῖσαν φιλοτιμηθῆναι περὶ τὰς τελευταίας βουλήσεις εὐεργεσίαν.

48. Ἀνάγν. καὶ βι. λθ' τί. α' κεφ. νδ' καὶ τί. β' κεφ. ι' θεμ. β'.

49. Ἀνάγν. καὶ βι. λε' τί. ια' κεφ. κγ', ἐν ᾧ φησι περὶ δευτέρας διαθήκης· Ἡ δευτέρα διαθήκη, κἂν ἐπὶ δήλοις πράγμασι σχῇ τὴν ἔνστασιν, ἔρρωται καὶ τὴν πρώτην ἀνατρέπει. εἰ δὲ εἶπεν ὁ διαθέμενος ἐν τῇ β' τὴν πρώτην ἐρρῶσθαι, οἱ ἐν τῇ δευτέρᾳ κληρονόμοι τοῖς ἐν τῇ πρώτῃ κατέχονται, ἵνα τὴν κληρονομίαν ἀποκαταστήσωσιν αὐτοῖς· παρακρατοῦντες τὰ πράγματα ἐξ ὧν ἐγράφησαν κληρονόμοι, καὶ εἰ ἐλλείπει τὶ πρὸς τὸ φαλκίδιον. ταῦτα ἐν ᾧ μηδὲν ἰδικῶς ἐναντίον ἐν τῇ δευτέρᾳ γέγραπται διαθήκῃ.

---

[1] Leuncl. ἤ. [2] Lips. ἤ. [3] Leuncl. legi vult εἴ τι. [4] Leuncl. νβ'.

XIV.

Περὶ τῶν κωλυόντων διαθήκην γενέσθαι.

1. *Ἀνάγν. βι. λε' τί. δ', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Ὁ κωλύσας γενέσθαι ἢ ἀλλαγῆναι διαθήκην, ὡς ἐξ ἀδιαθέτου καλούμενος ἢ ἐν προτέρᾳ γεγραμμένος, ἐκπίπτει τοῦ κλήρου καὶ δημεύεται[a].

2. *Ἐν δὲ τῷ β'*[1] *κεφ.* Ὁ κατὰ δόλον κωλύσας τοὺς μάρτυρας εἰσελθεῖν ἐκπίπτει τοῦ κλήρου, οὐ μὴν ἐὰν μὴ αὐτός, ἀλλ' ἀδελφὸς αὐτοῦ κωλύσῃ.

3. *Ἐν δὲ τῷ δ' κεφ.* Ὁ ἀναγκάσας τινὰ ἢ ἑαυτὸν ἢ ἕτερόν τινα γράψαι κληρονόμον ἐνάγεται χρηματικῶς καὶ ἐγκληματικῶς[b].

4. *Ἐν δὲ τῷ ζ' κεφ.* Ἐάν τις κωλύσῃ τινὰ διαθέσθαι, ἢ ἀρξάμενον αὐτὸν διατίθεσθαι κωλύσῃ πληρῶσαι τὴν διαθήκην, κατέχεται μὲν καὶ τῷ ζημιωθέντι προφάσει τῆς κωλύσεως, καὶ εἴ τι δὲ ἄλλο περισσεύει, δημεύεται, καὶ ἐξορίζεται καὶ αὐτός[2].

XV.

Περὶ διαθηκῶν, ποίῳ τρόπῳ ἀνοίγονται καὶ μεταγράφονται.

1. *Ἀνάγν. βι. λε' τί. ϛ', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Ἕκαστος βουλόμενος εὐχέρειαν λαμβάνει θεωρῆσαι καὶ μεταγράψαι οἰκείῳ ὀνόματι καὶ ἀλλοτρίῳ τὴν διαθήκην.

Χωρὶς γὰρ τοῦ προενεχθῆναι αὐτὴν οὔτε ἔξω δικαστηρίου διαλύεσθαι περὶ τῶν ἐν αὐτῇ, οὔτε ἐν δικαστηρίῳ ζητεῖσθαι τὸ ἀληθὲς δύναται.

2. *Ἐν δὲ τῷ β' κεφ.*[3] Ἐάν τις ἀρνῆται τὴν ἰδίαν σφραγίδα, ὕποπτος μέν ἐστιν ἡ διαθήκη, ἀνοίγεται δέ.

3. *Ἐν δὲ τῷ δ' κεφ.* Ὅτε διαθήκη ἐν πρώτοις ἀνοίγεται,

---

[a] Ἡ κληρονομία[4], οὐ μὴν ὁ κληρονόμος.

[b] Θεοδώρου. Οὐ μόνον χρηματικῶς, ἀλλὰ καὶ ἐγκληματικῶς ἐνάγεται ὁ ἀναγκάζων τινὰ γράψαι ἑαυτὸν κληρονόμον, ἢ ἐμποδίζων ἄλλον μὴ γράψαι κληρονόμον. ὡς γάρ φησι ἡ [δ'] διάταξις τοῦ παρόντος τίτλου, ὁ τοῦτο ποιῶν ἐξορίζεται καὶ τὸ ἀζήμιον ποιεῖ τῷ μέλλοντι γραφῆναι κληρονόμῳ.

Ἐν δὲ τῷ ϛ' κεφ. Ἐάν τις ἀνὴρ ὢν διαλεχθῇ τῇ γυναικὶ καὶ πείσῃ αὐτὴν γράψαι αὐτὸν κληρονόμον, οὐ δοκεῖ ἀνάγκην αὐτῇ ἐπιτιθέναι.

---

[1] Lips. κβ'. [2] Leuncl. καὶ αὐτὸς ἐξορ. [3] Imo ex cap. 1 laudato.
[4] Lips. ὁ κλῆρος δηλονότι.

παρὰ[1] τοῦ δικαστοῦ ἀναγκάζονται παρεῖναι οἱ μάρτυρες, καὶ τὰς οἰκείας ἐπιγινώσκειν σφραγίδας ἢ ἀρνεῖσθαι αὐτάς.

4. Ἐν δὲ τῷ ς' κεφ. Τοῦ πλείονος μέρους τῶν μαρτύρων εὑρισκομένου ἀποσφραγίζεται καὶ ἀναγινώσκεται.

5. Ἐν δὲ τῷ ζ'[2] κεφ. Καὶ μὴ παρόντων μαρτύρων ἐπιτρεπέτω ὁ ἄρχων ἐπὶ ἐντίμων ἀνδρῶν ἐμφανισθῆναι αὐτὴν, καὶ πάλιν ἐξ αὐτοῦ[3] σφραγισθῆναι.

XVI.

Περὶ τῶν ἐν διαθήκῃ χαραγέντων ἢ περικλουβισθέντων ἢ ἀπαλειφθέντων.

1. Ἀνάγν. βι. λέ τί. ζ', οὗτινος ἐν τῷ α' κεφ. φησί· Τὰ περιχαραγέντα ἢ περισφραγισθέντα ἢ ἀπαλειφθέντα, εἰ μὲν κατὰ πρόνοιαν ἢ εἴδησιν τοῦ διατιθεμένου, ἄκυρά ἐστιν· εἰ δὲ ἄλλως, ἔῤῥωται, κἂν ἔν τινι μέρει τῆς διαθήκης εἶπεν αὐτὸς ταῦτα πεποιηκέναι. τότε δὲ ἀπαιτοῦνται, ὅτε θεωρεῖσθαι καὶ ἀναγινώσκεσθαι δύνανται· ἢ ἀποδειχθῆναι δύνανται, κἂν μὴ ἀναγινώσκωνται. ἐπειδὴ καὶ ἡ διαθήκη εἰ καὶ μὴ φαίνεται, ἔῤῥωται τὰ ἐν αὐτῇ ἑτέρωθι δεικνύμενα. ἀλλὰ τοῦτο τὸ εἰπεῖν ὅτι αὐτὸς ταῦτα πεποίηκα χώραν ἔχει, ὅτε πρὸ τοῦ πληρωθῆναι τὴν διαθήκην τὰ λεχθέντα γέγονε.

XVII.

Περὶ διαθήκης ῥηγνυμένης ἀπὸ ἀμνημονεύτων παίδων.

1. Ἀνάγν. βι. λέ τί. η' κεφ. ζ', ἐν ᾧ φησιν· Ἐὰν υἱὸς ἀμνημόνευτος[a] ἐαθῇ, οὐκ ἔῤῥωται ἡ διαθήκη, κἂν πρὸ τοῦ πατρὸς ἀποθάνῃ, οὔτε ῥήγνυται ἡ προγενομένη ἔχουσα τὸν υἱὸν κληρονόμον.

2. Καὶ κεφ. ια', ἐν ᾧ φησιν· Ὅτι [ὁ τικτόμενος ὑπεξούσιος, εἰ καὶ ἀτελὴς ᾖ, ἀναπνέων μέντοι,] καὶ ὁ ἐξ ἀνατομῆς ῥήσσει[b] τὴν διαθήκην.

3. Καὶ κεφ. κβ'[4] καὶ λ', ἐν οἷς φησι· Τοὺς ὑπεξουσίους δεῖ γράφειν κληρονόμους ἢ ἀποκλήρους. ἐπεὶ ἀμνημόνευτοι γενόμενοι ῥήσσουσι τὴν διαθήκην, εἰ μὴ ἐν αἰχμαλωσίᾳ εἰσίν.

4. Καὶ κεφ. λς', ἐν ᾧ φησιν· Ἐὰν ὑπεξούσιος κυοφορούμενος

---

a Πραετέριτος.
b Ῥοῦπταν ποιεῖ.

---

1 Leuncl. διά. 2 Lips. ιβ'. 3 Leuncl. conj. αὐτῶν. 4 Malim κθ'.

ἀμνημόνευτος ἐαθεὶς ἐν διαθήκῃ τεχθῇ μὲν, φωνὴν δὲ μὴ ἀφήσῃ, ἢ ὅλως τέλειος γεννηθῇ ζῶν[c], κἂν ἅμα τῷ πεσεῖν ἐν τῷ ἐδάφει ἐτελεύτησεν ἢ ἐν ταῖς χερσὶ τῆς ἰατρίνης, ῥήγνυσι τὴν διαθήκην.

XVIII.

Περὶ διαθήκης παρανόμου καὶ ἀκύρου καὶ ῥηγνυμένης.

1. Ἀνάγν. βι. λθ' τί. β', οὗτινος ἐν τῷ α' κεφ. φησί· Παράνομος λέγεται διαθήκη, ὅτε μὴ κατὰ νόμον γένηται[a]. ἀντὶ μηδενὸς, ὅταν ἀμνημόνευτος γένηται ὁ ὑπεξούσιος. ῥηγνυμένη, ὅτε δευτέρα γένηται, ἐξ ἧς ἠδύνατό τις κληρονομῆσαι, ἢ ὑπεξούσιος ἐπιτεχθῇ. ἄκυρος δέ ἐστιν, ὅτε μὴ κληρονομεῖται ἡ κληρονομία[b].

2. Ἐν δὲ τῷ β' κεφ. Ἡ ἀτελὴς δευτέρα τὴν πρώτην οὐ ῥήσσει, εἰ μὴ στρατιωτική ἐστιν ἤ τις ἐν αὐτῇ τῶν ἐξ ἀδιαθέτου γέγραπται.

3. Ἐν δὲ τῷ γ' κεφ. Τοὺς κυοφορουμένους δεῖ ἐν οἱῳδή-

---

c Τοῦ ἀνωνύμου. ὁ γὰρ τικτόμενος νεκρὸς οὔτε τεχθῆναι δοκεῖ, οὔτε υἱὸς λέγεται, ὡς βι. ν' τί. ιϛ' διγ. ρκδ'.

a Οἷον ὅτε ἢ ὁ ἀριθμὸς τῶν μαρτύρων ἐλλείπει, ἢ οὐχ οἱ αὐτοὶ ἐσφράγισαν, ἢ οὐκ ἐν τῷ αὐτῷ καιρῷ καὶ ἐσφράγισαν καὶ ὑπέγραψαν.

b Πάθη διαθήκης· ἰνιοῦστον, τὸ παράνομον, ὅταν τὶ τῶν ἐκ τοῦ νόμου παραλειφθῇ. ἀνυπόστατον, ὅτε σοῦος πραετεριτευθῇ. ῥοῦπτον, ὅτε δευτέρα γένηται διαθήκη ἢ σοῦος ἐπιτεχθῇ. ἴῤῥητον, ὅτε μὴ ἀδιτευθῇ ἡ κληρονομία.

Χρὴ εἰδέναι, ὅτι ἑπτά εἰσι τὰ τῆς διαθήκης ἐλαττώματα· ἄχρηστος, ἄκυρος, πλαστὴ, ῥηγνυμένη, μεμπτὴ, ἀκαθήκουσα καὶ παράνομος. καὶ ἄχρηστος μέν ἐστιν, ὅταν ἑτέρα διαθήκη δευτέρα γένηται· ἄκυρος, ὅταν μὴ νομίμως βεβαιωθῇ, ὡς ὅταν μὴ ὑπογραφῇ ἐν ταὐτῷ παρὰ τῶν μαρτύρων ἢ ἐν μιᾷ ὑφῇ γραφῇ ἢ καὶ μὴ σφραγισθῇ ἢ εἰ μήτε προσκεκλημένοι εἶεν οἱ μάρτυρες· πλαστὴ δὲ, ὅταν παρὰ γνώμην τοῦ τεστάτορος γένηται· ῥηγνυμένη δὲ, ὅταν υἱὸς ἀμνημόνευτος ἐαθῇ ἢ ἔκγονος ἐπαναβῇ· μεμπτὴ δὲ, ὅταν ἔλαττον τοῦ νομίμου μέρους τῷ υἱῷ καταλειφθῇ· ἀκαθήκουσα δὲ, ὅταν ἀσέμνῳ προσώπῳ ἢ ἀσώτῳ ἔνστασις ἐαθῇ· παράνομος δὲ, ὅταν ἐνδεής ἐστι τῶν νομικῶν παρατηρήσεων, μᾶλλον δὲ ὅταν ὑπὸ γ' μόνον μαρτύρων ὑπογραφῇ ἢ δ'.

Ἀκαθήκουσαν ποιεῖ διαθήκην ἡ μέμψις τῆς διαθήκης. χρῶμα γὰρ εἰσάγει τὸ ὡσανεὶ μεμηνέναι τὸν διατιθέμενον καὶ μὴ καθηκόντως διαθέσθαι. ῥηγνυμένην δὲ παῖς ἀμνημόνευτος ποιεῖ. παράνομον δὲ τὸ παραλειφθῆναί τι τῶν εἰσενεχθέντων παρὰ τῶν πολιτικῶν νόμων ἢ τοῦ πραίτορος ἢ τῆς διατάξεως. ἄκυρον δὲ τὸ μὴ δύνασθαι τῷ κλήρῳ προσελθεῖν.

ποτε τόπῳ ἢ βαθμῷ ἀποκλήρους ποιεῖν, ἵνα μὴ ἐπαναβαίνοντες ῥήξωσι τὴν διαθήκην.

Κυοφορούμενος δέ ἐστιν ὁ μετὰ θάνατον τοῦ πατρὸς τικτόμενος, ἢ ἐν ζωῇ αὐτοῦ μετὰ τὸ γενέσθαι τὴν διαθήκην. Καὶ ὁ μὲν ἐν φύσει ἀμνημόνευτος γινόμενος οὐ δικαίαν ποιεῖ τὴν διαθήκην· ὁ δὲ κυοφορούμενος ῥηγνυμένην, ὅτε τεχθῇ.

4. Ἐν δὲ τῷ ϛ' κεφ. Ἄκυρος γίνεται διαθήκη, ὅταν τὴν ἐλευθερίαν ὁ διαθέμενος ἀπολέσῃ, αἰχμάλωτος τυχὸν[1] γενόμενος ἢ κεφαλικῶς κατακριθείς. ἅμα γὰρ τῇ ψήφῳ ἄκυρος αὐτοῦ ἡ διαθήκη γίνεται. τοῖς δὲ στρατιώταις καταδικαζομένοις ἀπὸ στρατιωτικοῦ ἐγκλήματος ἐπιτρέπεται στρατιωτικῶς διατίθεσθαι, καὶ ἐὰν βουληθῶσιν, ἔῤῥωται ἡ προγενομένη.

Τοῦ περιοριζομένου οὐ παραχρῆμα γίνεται ἄκυρος, ἀλλ' ὅταν ὁ βασιλεὺς τὸ γεγονὸς ἀποδέξηται. τότε γὰρ καὶ ὑφίσταται τὴν τῆς καταστάσεως ἐναλλαγήν.

Τῶν αἰχμαλώτων αἱ διαθῆκαι, εἰ καὶ γίνονται ἄκυροι, ὅμως εἴτε ὑποστρέψουσι, βεβαιοῦνται διὰ τοῦ δικαίου τῆς ὑποστροφῆς, εἴτε τελευτήσουσιν ἐκεῖ, διὰ τοῦ νόμου βεβαιοῦνται.

5. Ἐν δὲ τῷ ζ' κεφ. Καὶ ὁ διὰ υἱοθεσίας ἐπιγινόμενος ὑπεξούσιος ῥήσσει τὴν διαθήκην.

XIX.

Περὶ ἀκαθηκούσης διαθήκης, καὶ παρὰ τίνι ὀφείλει ἡ διαθήκη παρατίθεσθαι.

1. Ἀνάγν. βι. κβ' τί. α' κεφ. λδ'[2], ἐν ᾧ φησιν· Ἐὰν ζητῆται, τίνι ὀφείλει ἡ διαθήκη παρατεθῆναι, ὁ γέρων τοῦ νεωτέρου προκρίνεται, καὶ ὁ μείζονος τιμῆς τοῦ ἥττονος, καὶ ὁ ἀνὴρ τῆς γυναικὸς, καὶ ὁ εὐγενὴς τοῦ ἀπελευθέρου.

2. Ἀνάγν. καὶ βι. λθ' τί. α' κεφ. γ', ἐν ᾧ φησιν· Ἀκαθήκουσάν τις λέγει διαθήκην ἐν τῷ λέγειν μὴ ὀφείλειν ἀπόκληρον ποιῆσαι[3] ἢ ἀμνημόνευτον.

3. Οὔτε[4] γὰρ δεῖ τοῖς γονεῦσι συναινεῖν ζημιοῦσι τοὺς παῖδας ἐν ταῖς διαθήκαις.

4. Ἀνάγν. καὶ κεφ.[5] λ' καὶ κεφ. μθ'.

---

[1] Leuncl. εἰκός. [2] Leuncl. λβ'. [3] Leuncl. γενέσθαι. [4] Inscribendum: Ἐν δὲ τῷ δ' κεφ. [5] Leuncl. βιβλίον.

XX.

Περὶ τῶν διαθήκην ἀνοιγόντων ἢ μεταγραφόντων ἢ ἀναγινωσκόντων παρὰ τὸν νόμον, ἢ ἀπαλειφόντων ἢ κρυψάντων ἢ κλεψάντων, ἢ γραψάντων ἐν αὐτῇ λεγάτον εἴτε ἑαυτοῖς εἴτε ἑτέρῳ, ἢ ἄλλο τὶ περὶ αὐτὴν ἁμαρτησάντων.

1. Ἀνάγν. βι. λε΄ τί. ις΄ κεφ. ζ΄ καὶ κεφ. ιγ΄, ἐν ᾧ φησιν· Ἡ παράνομος τῆς διαθήκης ἄνοιξις καὶ ἡ ἐξέτασις πενταετίᾳ περικλείεται, ὅτε ἐξωτικὸς λέγεται φονεῦσαι. εἰ γάρ τις τῶν κατιόντων, διηνεκής ἐστιν ἡ κατηγορία.

2. Καὶ κεφ. κζ΄, ἐν ᾧ φησιν· Ἐὰν πολλῶν ὄντων κληρονόμων ἀκόντων ἢ ἀγνοούντων τινῶν ἀνοιγῇ διαθήκη, τῶν ἰδίων μερῶν οὐκ ἐκπίπτουσιν.

3. Ἀνάγν. καὶ βι. ξ΄ τί. μα΄ κεφ. β΄, ἐν ᾧ φησι· Ὁ κλέψας διαθήκην ἢ κρύψας ἢ ἁρπάσας ἢ ἀπαλείψας ἢ ὑποβαλὼν ἢ ἀποσφραγίσας ἢ πλαστεύσας ἢ κατὰ δόλον ἀναγινώσκων, ἢ δολερῶς παρασκευάσας ταῦτα γενέσθαι, τῷ τῆς πλαστογραφίας ἐγκλήματι ὑπόκειται[a].

4. Καὶ κεφ. κϛ΄, ἐν ᾧ φησιν· Ἐὰν υἱὸς ἀπαλείψῃ τὴν πατρῴαν διαθήκην καὶ ὡς ἐξ ἀδιαθέτου κληρονομήσῃ, κἂν τελευτήσῃ, ἀφαιρεῖται τοῦ κληρονόμου αὐτοῦ πᾶσα ἡ τοῦ πατρὸς κληρονομία.

5. Ἀνάγν. καὶ κεφ. μθ΄ καὶ κεφ. ξ΄, ἐν οἷς φησιν· Οὐδεὶς δύναται γράψας διαθήκην ἑαυτῷ προσγράψαι λεγάτον. ὁ δὲ ἀνομολογῶν ἀγνοεῖν τὸν νόμον, καὶ ἐπαγγελλόμενος μὴ λαμβάνειν τὸ καταλελειμμένον ἑαυτῷ, οὐχ ὑποπίπτει τῇ ἀπὸ τοῦ περὶ πλαστογραφίας νόμου τιμωρίᾳ.

6. Καὶ κεφ. ξα΄ καὶ ξβ΄, ἐν οἷς φησι· Ἐὰν στρατιώτης ἐν διαθήκῃ συστρατιώτου γράψῃ ἑαυτῷ λεγάτον, ἰσχυρὸν μὲν οὐκ ἔστι τὸ γράψαι, πλὴν οὐν ἀργεῖ ὁ νόμος ὁ περὶ πλαστογραφίας.

7. Ἐάν τις ὑπαγορεύοντος τοῦ διαθεμένου ἐλευθερίαν ἑαυτῷ προσέγραψεν, ἄρχηστος μὲν ἡ ἐλευθερία, πλὴν ἡ τοῦ πλαστοῦ τιμωρία συγκεχώρηται.

---

[a] Ἡ δὲ ποινὴ τοῦ πλαστοῦ, εἰ μὲν μέγιστόν τι ἐκ τούτου ἁμαρτάνεται, ἀποκεφαλισμός ἐστιν· εἰ δὲ μή, περιορισμός. βι. ξ΄ τί. μα΄ κεφ. νϛ΄ περὶ τὸ τέλος.

XXI.

Περὶ διατιθεμένων τῶν ἐν εὐσεβέσιν αἰτίαις καταλιμπανόντων τὶ, τυχὸν ἐπὶ τῷ κτισθῆναι ἐκκλησίαν ἢ καλλωπισθῆναι, εἴτε ἐπὶ αἰχμαλώτων ἀναῤῥύσει, εἴτε ἐπὶ ἀποτροφῇ πενήτων, ἢ γενέσθαι ξενῶνα ἢ ὀρφανοτροφεῖον ἢ πτωχεῖον.

1. Ἀνάγν. βι. ε' τί. γ'[1] κεφ. α' καὶ κεφ. ζ', ἐν οἷς φησιν· Εἴ τις κατασκευὴν σεβασμίου εὐκτηρίου ἢ ξενῶνος ἢ πτωχείου ἢ ὀρφανοτροφείου ἢ νοσοκομείου ἢ ἄλλου σεβασμίου οἴκου ἐν τελευταίᾳ βουλήσει [γενέσθαι] διατυπώσει, τὸ εὐκτήριον μὲν εἴσω ε' ἐνιαυτῶν πληροῦσθαι κελεύομεν, προνοίᾳ τοῦ τῶν τόπων ἐπισκόπου καὶ τοῦ πολιτικοῦ ἄρχοντος· τὸν δὲ ξενῶνα καὶ τὸ πτωχεῖον ἢ ἄλλον σεβάσμιον οἶκον εἴσω ἑνὸς ἐνιαυτοῦ γενέσθαι[2]. εἰ δὲ ἐντὸς ἐνιαυτοῦ μὴ ποιήσουσιν οἱ κληρονόμοι τὸν ξενῶνα ἢ οἱονδήποτε σεβάσμιον οἶκον ὑπὸ τοῦ διατιθεμένου τυπωθέντα γενέσθαι, κελεύομεν τούτους οἶκον ἢ ἀγοράζειν ἢ μισθοῦσθαι, ὅπου δύνανται τὰ κελευσθέντα πληρῶσαι, ἕως ἂν ὁ τοιοῦτος σεβάσμιος οἶκος πληρωθῇ.

2. Ἐν δὲ τῷ η' καὶ θ' κεφ. Εἰ δὲ καί τινες ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων ἢ ἀποτροφῆς πενήτων τὶ καταλίποιεν, τοῦτο τρόποις ἅπασι κατὰ τὴν τοῦ διαθεμένου γνώμην πληροῦσθαι. εἰ δὲ μὴ ἰδικῶς εἴποι, ποίου τόπου πένησι ταῦτα καταλέλοιπε καὶ διὰ τίνος χρὴ γενέσθαι τὴν τῶν αἰχμαλώτων ἀνάῤῥυσιν, παραλαμβάνειν τὰ πράγματα τὸν ὁσιώτατον ἐπίσκοπον τῆς πόλεως, ἐν ᾗ τὴν οἴκησιν ὁ διαθέμενος εἶχε, καὶ τοῖς τῆς αὐτῆς πόλεως διανέμειν, ὁμοίως δὲ καὶ τὸ εἰς τοὺς αἰχμαλώτους ἔργον ἀποπληροῦν. εἰ δὲ οἱ ταῦτα ποιῆσαι κελευσθέντες [ἅπαξ καὶ δὶς παρὰ τῶν ἐπισκόπων ὑπομνησθέντες] ὑπέρθωνται τὰ διατυπωθέντα πληρῶσαι, κελεύομεν τούτους ἅπαν κέρδος καταλειφθὲν αὐτοῖς παρὰ τοῦ ταῦτα κελεύσαντος ἀπολλύναι. εἰ δὲ ὁ κληρονόμος τὰ εἰς εὐσεβεῖς αἰτίας καταλελειμμένα μὴ πληρώσει, λέγων τὴν καταλειφθεῖσαν αὐτῷ οὐσίαν[3] μὴ ἀρκεῖν πρὸς ταύτας, κελευόμεν παντὸς τοῦ ἐκ τοῦ φαλκιδίου κέρδους σχολάζοντος[a], ὅσον δήποτε εὑρεθῇ ἐν τῇ τοιαύτῃ οὐσίᾳ, προχωρεῖν προνοίᾳ τοῦ ἐπισκόπου εἰς

[a] Σημ. ὅτι ἐν τούτοις τοῖς θέμασι σχολάζει ὁ φαλκίδιος. φησὶ γὰρ ὅτι τὰς εὐσεβεῖς αἰτίας ἐξ ὑπερθέσεως ὁ φαλκίδιος οὐ μειοῖ.

[1] Lips. α'. [2] Leuncl. γίνεσθαι. [3] Idem περιουσίαν.

τὰς αἰτίας εἰς ἃς καταλέλειπται. εἰ δὲ λεγάτον εἰς εὐσεβεῖς αἰτίας καταλειφθῇ παρά τινος, εἴσω μηνῶν ἓξ ἀπὸ τῆς ἐμφανίσεως τῆς διαθήκης ἀριθμουμένων παρέχεσθαι. εἰ δὲ ὑπέρθωνται οἱ τοῦτο βεβαρημένοι παρασχεῖν, καὶ καρποὺς καὶ τόκους καὶ πᾶσαν νόμιμον ἐπαύξησιν ἀπαιτηθήσονται ἀπὸ τοῦ καιροῦ τῆς τελευτῆς τοῦ καταλιπόντος[b].

XXII.

Περὶ τῆς κατὰ τῆς διαθήκης μέμψεως, καὶ πότε καὶ παρὰ τίνων δύναται κινεῖσθαι ἢ μὴ δύναται, καὶ περὶ προευτρεπισμοῦ διαθήκης[1].

1. Ἀνάγν. βι. λθʹ τί. αʹ, οὗτινος ἐν τῷ αʹ κεφ. φησί· Γονεῖς καὶ παῖδες καὶ ἀδελφοὶ κινοῦσι τὴν κατὰ τῆς διαθήκης μέμψιν[a], οὐ μὴν καὶ οἱ λοιποὶ συγγενεῖς.

2. Ἐν δὲ τῷ βʹ κεφ. Ἡ κατὰ τῆς διαθήκης μέμψις χρῶμα[b] εἰσάγει τὸ ὡσανεὶ μὴ φρονεῖν τὸν διαθέμενον· οὐχ ὅτι ταῖς ἀληθείαις παρεφρόνει ἢ ἐμεμήνει· ἢ γὰρ ἂν οὐκ ἔῤῥωτο ἡ διαθήκη.

3. Ἐν δὲ τῷ δʹ κεφ. Καὶ τοῖς ἐκ θηλυγονίας ἁρμόζει ἡ κατὰ τῆς διαθήκης μέμψις.

4. Καὶ τοῖς ἐγκυμονουμένοις ὑπεξουσίοις ἐν τῷ τελευτᾷν τὸν διαθέμενον, καὶ συγγενέσιν ἁρμόζει ἡ κατὰ τῆς διαθήκης μέμψις, καὶ τοῖς μετὰ τελευτὴν τῆς μητρὸς ἐξ ἀνατομῆς ἐξενεχθεῖσιν[2].

5. Ἐν δὲ τῷ εʹ κεφ. Προευτρεπίσαι τὴν διαθήκην[3] ἐστὶν ἐπὶ μὲν τῶν ὑπεξουσίων τὸ μόνον ἀπειλῆσαι τὴν κίνησιν, ἢ τὸ πλέον τὸ διαμαρτύρασθαι ἢ λίβελλον ἐπιδοῦναι. ἐπὶ γὰρ τοῦ ὑπεξουσίου οὐκ ἀναγκαία ἡ διακατοχὴ, καὶ ἡ ὑπεισέλευσις τῆς κληρονομίας περιττή. περὶ[4] δὲ τῶν μὴ ὑπεξουσίων εὐτρεπίσαι τὴν διαθήκην[3] ἐστὶ τὸ πρᾶξαί τι τῶν εἰρημένων, καὶ ἁρμόζει τοῖς αὐτοῖς[5] κληρονόμοις ἡ μέμψις.

---

b Ἀνάγν. καὶ νεαρὰν ριθʹ κεφ. κʹ καὶ νεαρὰν ρλαʹ ἀπὸ τοῦ ϛʹ κεφ. ἐν ᾗ φησὶ περὶ τῶν εἰς εὐσεβεῖς αἰτίας καταλιμπανόντων τί. καὶ νεαρὰν ξζʹ, ἐν ᾗ φησὶ περὶ εὐκτηρίων κτιζομένων.

a Δε ἰνοφφικιόσσο.

b Πρόφασιν, εἰκόνα.

---

1 Leuncl. conj. δίκης. 2 Leuncl. τῷ — ἐξενεχθέντι. 3 Leuncl. emendat δίκην. 4 Lege ἐπί. 5 Leuncl. conj. αὐτῶν.

6. Ἐν δὲ τῷ ζ′ κεφ. Ὁ κινήσας τὴν κατὰ τῆς διαθήκης μέμψιν καὶ ἡττηθεὶς ἐκπίπτει τοῦ ἐκ τῆς διαθήκης καταλειφθέντος αὐτῷ· δημεύεται γάρ. εἰ δὲ τελευτήσει ἢ ἀποστῇ πρὸ ψήφου ἢ κατὰ ἀπουσίαν ἡττηθῇ ἢ κελευσθῇ ἑτέρῳ ἀποκαταστῆσαι τὸ καταλειφθὲν, οὐκ ἐκπίπτει· μόνον γὰρ τοῦ ἰδίου κέρδους ἐκπίπτει. ὅθεν ἐὰν ὁ γραφεὶς κληρονόμος καὶ ἀξιωθεὶς ἀποκαταστῆσαι κινήσει τὴν κατὰ τῆς διαθήκης μέμψιν καὶ ἡττηθῇ, τὸ δυνάμενον αὐτῷ διὰ τοῦ φαλκιδίου περιγίνεσθαι ἀπόλλυσιν.

7. Ἐν δὲ τῷ ιη′ κεφ. Κατὰ στρατιωτικῆς διαθήκης οὔτε στρατιώτης κινεῖ τὴν κατὰ τῆς διαθήκης μέμψιν.

8. Ἐν δὲ τῷ κ′ κεφ. Καὶ οἱ σπούριοι κατὰ τῆς μητρῴας διαθήκης κινοῦσι τὴν μέμψιν.

Εἰ καὶ μετὰ προκάταρξιν τῆς κατὰ τῆς διαθήκης μέμψεως γένηται διάλυσις, μένει ἐῤῥωμένη ἡ διαθήκη.

9. Ἐν δὲ τῷ δ′ [1] θέμ. Ὁ παρὰ γυναικὸς υἱοθετηθεὶς καὶ παραμεληθεὶς οὐ κινεῖ κατὰ τῆς διαθήκης αὐτῆς μέμψιν. γυνὴ γὰρ παρὰ κέλευσιν βασιλέως οὐχ υἱοθετεῖ.

10. Ἐν δὲ τῷ λζ′ κεφ. Ὁ κινήσας τὴν κατὰ τῆς διαθήκης μέμψιν καὶ ἡττηθεὶς καλῶς μετὰ ταῦτα κατηγορεῖ τῆς διαθήκης ὡς πλαστῆς· καὶ τὸ ἐναντίον δὲ ὁ τὸ πλαστὸν πρότερον κινήσας καλῶς μετὰ ταῦτα τὴν κατὰ τῆς διαθήκης μέμψιν κινεῖ.

11. Ἐν δὲ τῷ λη′ κεφ. Θυγάτηρ παρὰ τῆς μητρὸς ἀμνημόνευτος γενομένη καλῶς κινεῖ τὴν μέμψιν κατὰ τῆς διαθήκης.

12. Ἐν δὲ τῷ μ′ κεφ. Ἡ μήτηρ κατὰ τῆς τοῦ παιδὸς διαθήκης καλῶς κινεῖ τὴν μέμψιν, κἂν ἀδελφὴν ἰδίαν ἔγραψεν ἐκεῖνος κληρονόμον.

13. Ἐν δὲ τῷ μγ′ κεφ. Οἱ ἀδελφόπαιδες οὐ κινοῦσι κατὰ τῆς τῶν θείων διαθήκης μέμψιν. οὐδεὶς γὰρ τῶν ἐκ πλαγίου συγγενῶν, ὑπεξῃρημένου ἀδελφοῦ καὶ ἀδελφῆς, τὴν κατὰ τῆς διαθήκης μέμψιν κινεῖ. ὡς πλαστὴν δὲ καὶ οὗτοι δύνανται διαβάλλειν τὴν διαθήκην.

14. Ἐν δὲ τῷ μζ′ κεφ. Οἱ ἀδελφοὶ καὶ αἱ ἀδελφαὶ κατὰ διαθήκης ἀδελφοῦ ἢ ἀδελφῆς κινείτωσαν τὴν μέμψιν, ἐὰν οἱ γεγραμμένοι κληρονόμοι ἄτιμοι ὦσιν ἢ αἰσχροὶ καθ᾽ οἱανδήποτε κουφοτάτην ἀτιμίαν, ἢ ἀπελεύθεροι μὴ μεγάλαις

---

[1] Lips. ιδ′.

εὐεργεσίαις τὸν ἴδιον ἀμειψάμενοι πάτρωνα[c]. κατὰ δὲ δούλου ἀναγκαίου γενομένου κληρονόμου μὴ ἐναγέτωσαν.

15. Ἐν δὲ τῷ νγ' κεφ. θεμ. δ'· Ὅτι ὁ χρόνος τῆς κατὰ τῆς διαθήκης μέμψεως οὐκ ἐκ τῆς τελευτῆς τοῦ διαθεμένου τρέχει, ἀλλ' ἐξ οὗ ὁ κληρονόμος ὑπεισῆλθε τῇ κληρονομίᾳ[d]. εἰ μὲν γὰρ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ, εἴσω ἓξ μηνῶν ὑπεισέρχεσθαι ὀφείλει· εἰ δ' ἐν ἄλλῃ μὲν ἐπαρχίᾳ διάγουσιν οἱ μέλλοντες τὴν κατὰ τῆς διαθήκης μέμψιν κινῆσαι, ἐν ἄλλῃ δὲ ὁ κληρονόμος, ἐντὸς ἐνιαυτοῦ συναπτοῦ ἀπὸ τῆς τελευτῆς τοῦ διαθεμένου ψηφιζομένου ὑπεισέρχεσθαι αὐτὸν ἢ ἀποτάττεσθαι τῇ κληρονομίᾳ. ἐὰν δὲ εἴσω τῶν εἰρημένων μὴ ὑπεισέλθῃ τῇ κληρονομίᾳ, τὸν ἄρχοντα διὰ τῆς τάξεως ἀναγκάζειν αὐτὸν ὑπεισελθεῖν.

XXIII.

Περὶ τῆς κατὰ διαθήκης ἐναντιώσεως καὶ περὶ διακατοχῶν.

1. Ἀνάγν. βι. λε' τί. ιζ', οὗτινος ἐν τῷ β' κεφ. φησί· Πρώτη ἐστὶ διακατοχὴ ἡ κατὰ τῆς διαθήκης ἐναντίωσις. καὶ ὅτε πληρωθῇ ὁ χρόνος αὐτῆς, ἢ προτελευτήσουσιν οἱ παῖδες ἢ ἀπείπωσιν ἢ ἀπολέσωσι τὸ δίκαιον τοῦ αἰτῆσαι, δίδοται ἡ ἐκ τῆς διαθήκης βοήθεια.

2. Ἐν δὲ τῷ γ' κεφ. Ἕκαστος ἐγκυμονούμενος ἐν τῇ τελευτῇ τοῦ διαθεμένου αἰτεῖ διακατοχὴν τικτόμενος.

3. Ἀνάγν. καὶ τί. ιθ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν διαμάχωνται πρὸς ἀλλήλους ἔνστατος καὶ ὑποκατάστατος, τέως ὁ ἔνστατος ὀφείλει εἶναι ἐν τῇ νομῇ.

4. Ἀνάγν. καὶ τί. κα' κεφ. ιβ' θεμ. γ', ἐν ᾧ φησιν· Ἡ διακατοχὴ περαιτέρω τοῦ ὡρισμένου χρόνου οὔτε ἐπὶ στρατιωτικῆς διαδοχῆς αἰτεῖται.

5. Ἀνάγν. καὶ βι. μ', οὗτινος ἐν τῷ α' τί. διαλαμβάνεται περὶ κυρίας διακατοχῆς. ἐν δὲ τῷ γ' κεφ. τοῦ αὐτοῦ τί. φησί· Διακατοχή ἐστι δίκαιον τοῦ ἐξεῖναι κρατεῖν τὴν οὐσίαν ἢ τὰ πράγματα τοῦ τελευτήσαντος.

---

c Θαλέλαιος. τότε κινείτωσαν οἱ ὁμομήτριοι καὶ ὁμοπάτριοι τὴν de inofficioso, ὅτε οἱ σκρίπτοι ἀτιμίας ἢ αἰσχρότητος ἢ εὐτελεστάτης ἀτιμίας σπίλῳ ῥαντίζονται.

d Σημείωσαι, πότε ἄρχεται τρέχειν ὁ χρόνος τῆς πενταετίας. ἀνάγν. καὶ τοῦ ι' βι. τί. κγ', ἐν ᾧ φησιν, ὅτι πενταετίᾳ ἀναιρεῖται ἡ κατὰ τῆς διαθήκης μέμψις· προείρηται δὲ ἐν τῷ περὶ ἀφηλίκων.

6. *Κινεῖται δὲ* (καθὼς ἐν τῷ ιζ' καὶ ιθ' κεφ. φησὶ) *παρὰ μὲν τῶν πλαγίου συγγενῶν ἐντὸς ρ' ἡμερῶν, παρὰ δὲ τῶν κατιόντων ἐντὸς ἐνιαυτοῦ.*

7. Ἐν δὲ τῷ κα' κεφ. *Ἐὰν γυνὴ ὀφείλουσα ἐμπροθέσμως αἰτεῖν διακατοχὴν μὴ αἰτήσῃ κατὰ νόμου ἄγνοιαν, ἡ τοῦ νόμου ἄγνοια οὐ συμβάλλεται αὐτῇ.*

8. Ἐν δὲ τῷ β' τί. διαλαμβάνεται περὶ ἀγαθῆς διακατοχῆς μαινομένου, νέου, ἀλάλου, κωφοῦ καὶ τυφλοῦ.

9. Ἐν δὲ τῷ γ'[1] τί. περὶ ἀγαθῆς διακατοχῆς ἐναντιώσεως[2] διαθήκης, οὗτινος ἐν τῷ α' κεφ. φησίν· *Ἐπὶ τῆς κατὰ τῆς διαθήκης ἐναντιώσεως παῖδας νοοῦμεν καὶ φυσικοὺς καὶ θετούς, εἰ μήτε κληρονόμοι μήτε ἀπόκληροι γεγόνασι.*

Καλοῦνται δὲ πρὸς τὸ νόμιμον[a] *καὶ τὴν τάξιν τοῦ πολιτικοῦ νόμου*[b].

Ἁρμόζει δὲ διακατοχὴ καὶ κυοφορουμένοις, καὶ τοῖς ἀπὸ τῶν πολεμίων ὑποστρέψασι παισίν[c].

10. Ἐν δὲ τῷ β' κεφ. *Οἱ παῖδες γραφόμενοι κληρονόμοι τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν οὐκ αἰτοῦσιν. ἔχουσι γὰρ τὴν ἐκ τῆς διαθήκης βοήθειαν.*

Εἰ δὲ ὑπὸ αἵρεσιν αἰτιατὴν ἐγράφη ὁ αὐτεξούσιος καὶ ἀτονήσει, ἀντ' αὐτῆς αἰτεῖ τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν.

Ὁ δὲ γεγραμμένος ὑπὸ αἵρεσιν ἠρτημένης αὐτῆς αἰτεῖ τὴν ἐκ τῆς διαθήκης βοήθειαν. ἐὰν γὰρ ἀτονήσῃ, ἔχει πάλιν τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν, εἰς ὅσον ἔμελλεν ἔχειν, εἰ ἐξ ἀρχῆς αὐτὴν ᾐτήσατο.

Τὸ αὐτό ἐστι καὶ ὅτε ἔκγονος ὑπὸ τὰς αὐτὰς αἱρέσεις γράφεται κληρονόμος.

11. Ἐν δὲ τῷ γ' κεφ.[3] *Ἐὰν ἀμνημόνευτον ἐάσας τὸν υἱόν μου λεγατεύσω αὐτῷ ἢ τῷ δούλῳ αὐτοῦ, ἢ καὶ κληρονόμον*

---

[a] Ὁ γὰρ πολιτικὸς νόμος διατάττεται, πότε οἱ φυσικοὶ καλοῦνται καὶ πότε οἱ θετοὶ καὶ ποῖοι, καὶ ὥσπερ καὶ περὶ ἐκγόνων. κατὰ μίμησιν οὖν ἐκείνου καὶ ἡ κοντραβούλλας ποιουμένη τὴν ἀκολουθίαν κινεῖται.

[b] Ἤτοι κατὰ τὸ δίκαιον καὶ τὴν τάξιν τοῦ πολιτικοῦ νόμου, κατὰ πρῶτον μὲν υἱοί, εἶτα ἔκγονοι, εἶτα οἱ ἑξῆς.

[c] Ἀριθμεῖται δὲ ὁ ἐνιαυτὸς τοῖς ὑποστρέψασιν ἀφ' οὗ ὑποστρέψουσιν. ἐπὶ πάσης δὲ διακατοχῆς καὶ τῆς κόντρα ἐνιαυτὸς ὥρισται ἀνιοῦσι καὶ κατιοῦσιν.

---

[1] Lips. η'. [2] Lips. καὶ ἐναντ. [3] Imo ex eodem capite.

τὸν δοῦλον αὐτοῦ γράψω, καὶ καταδέξηται τὸ λεγάτον ἢ κελεύσῃ τῷ δούλῳ τὴν κληρονομίαν ὑπεισελθεῖν, ἀπόλλυσι τὴν διακατοχήν.

Καὶ ὅτι ἡ τοῖς παισὶν ἁρμόζουσα κατὰ τῆς διαθήκης ἐναντίωσις ἔχει χώραν, εἴτε κληρονόμος ἐφάνη τὶς εἴτε μή. κατὰ γὰρ τῆς διαθήκης δίδοται. ὅπερ ἐπὶ τοῦ πάτρωνος ἐναντίως ἔχει.

12. Ἐν δὲ τῷ δ' κεφ.[1] Ἐὰν κληρονόμον ἢ ἀπόκληρον ποιήσας τὸν ὑπεξούσιόν μου υἱὸν ἀμελήσω τοῦ ἐξ αὐτοῦ ἐκγόνου, χώραν οὐκ ἔχει ἡ διακατοχή· οὐκ ἐστι γὰρ ὑπεξούσιος. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν ἑξῆς βαθμῶν.

13. Ἐν δὲ τῷ ζ' κεφ. θεμ. β'. Οἱ ἀπόκληροι τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν οὐ κινοῦσιν, οὔτε μετὰ τῶν κινούντων καλοῦνται.

14. Ἐν δὲ τῷ θ' κεφ. Τοῦ αὐτεξουσίου αἰτοῦντος τὴν κατὰ της διαθήκης ἐναντίωσιν ἀναγκάζεται ὁ γεγραμμένος καὶ τὰ χωρία καὶ τοὺς δούλους καὶ πάντα τὰ προφάσει τῆς κληρονομίας αὐτῷ κτηθέντα δοῦναι.

15. Ἐν δὲ τῷ ιγ' κεφ. Ἐὰν εἰς θέσιν δώσω ἐμαυτὸν, οὐκ ἀκολουθεῖ μοι ὁ αὐτεξούσιός μου υἱός. ἔχει δὲ κατὰ τῆς διαθήκης μου ἐναντίωσιν.

16. [Ὁ] αἰτῶν τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν ἐκπίπτει τῶν λεγατευθέντων αὐτῷ καὶ τῶν θανάτου αἰτίᾳ δωρηθέντων, εἴτε αὐτῷ ταῦτα κατελείφθη εἴτε τινὶ τῶν προσποριζόντων αὐτῷ.

17. Ἐν δὲ τῷ δ' τί. διαλαμβάνεται περὶ γαστρὸς[2] εἰς διακατοχὴν στελλομένης· ὅπερ εὑρήσεις ἐν τῷ περὶ ἐγκυμονούσης.

18. Ἐν δὲ τῷ ε' τί. διαλαμβάνεται καὶ περὶ ἀμφιβαλλομένου ἀνήβου υἱοῦ· οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἀμφιβαλλομένου εἰ ἔστιν ὁ ἄνηβος υἱὸς τοῦ τελευτήσαντος, δίδοται αὐτῷ ἡ διακατοχὴ, καὶ τὸ δικαστήριον εἰς τὸν τῆς ἥβης καιρὸν ὑπερτίθεται.

Εἰ δὲ μὴ παρέχεται τῷ ἀντιδίκῳ αὐτοῦ ἱκανοδοσία, πέμπεται σὺν αὐτῷ εἰς νομήν.

19. Ἐν δὲ τῷ β' κεφ.[3] Οὐ μόνον οἱ ἄῤῥενες, ἀλλὰ καὶ θήλειαι ἐξ ἀῤῥένων ἔχουσι τὴν μέχρι τῆς ἥβης διακατοχὴν, καὶ γενικῶς ὅσοι τὴν [κατὰ] τῆς διαθήκης ἐναντίωσιν [ἔχουσιν].

20. Ἐν δὲ τῷ γ' κεφ. Ἐὰν ἡ μήτηρ περὶ τοῦ ὑποβολιμαίου

---

[1] Haec inscriptio praecedenti themati praeponenda erat. [2] Leuncl. θυγατρός. [3] Imo ex eodem capite.

κατηγορηθεῖσα νικήσει, μένει ἡ περὶ τῆς διακαταστάσεως τοῦ παιδὸς ζήτησις. τί γάρ, ὅτι λέγεται καὶ μὴ εἶναι υἱὸς τοῦ τελευτήσαντος ἢ ἀπὸ νομίμου μὴ τεχθῆναι γάμου;

21. Ἐν δὲ τῷ δ' κεφ.[1] Ἡ διὰ τὴν ἀνηβότητα διακατοχὴ[d], ὥσπερ καὶ αἱ λοιπαὶ τῶν παίδων ὀρδινάριαι διακατοχαί, εἴσω ἐνιαυτοῦ παρέχονται. ὁ δὲ προνοῶν τοῦ παιδὸς οὐ μόνον τὴν μέχρι τῆς ἥβης διακατοχὴν αἰτεῖν ὀφείλει, ἀλλὰ καὶ τὴν ὀρδιναρίαν. ἄρχεται δὲ τρέχειν ὁ χρόνος τῆς μὲν ὀρδιναρίας ἀφ' οὗ γνῷ τελευτῆσαι τὸν πατέρα καὶ εὐχέρειαν ἔσχεν αἰτῆσαι διακατοχήν, τῆς δὲ μέχρι τῆς ἥβης ἀφ' οὗ γνῷ ζήτησιν ὑφίστασθαι.

22. Ὅθεν εἰ μὲν ἅμα γνῷ τὴν τελευτὴν τοῦ πατρός, καὶ ἡ περὶ καταστάσεως αὐτῷ γένηται ζήτησις, παρερχομένου τοῦ ἐνιαυτοῦ ἑκατέρας διακατοχῆς ἀποκλείεται.

23. Ἐν δὲ τῷ ε' κεφ. Ἐὰν παῖς ἐστιν ἐπιφέρων τῷ ἀνήβῳ τὴν ζήτησιν, εἴτε ἀσφάλεια δίδοται παρὰ τῷ ἀνήβῳ[2] εἴτε μή, οἱ δύο εἰς νομὴν πέμπονται.

24. Ἐν δὲ τῷ ς' τί. διαλαμβάνεται περὶ τῆς κινουμένης παρὰ τῶν αὐτεξουσίους ποιησάντων τοὺς παῖδας. οὗτινος ἐν τῷ α' κεφ. φησί· Κατὰ μίμησιν τοῦ πάτρωνος καὶ ὁ αὐτεξούσιον ποιῶν τινα ἔχει τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν, εἴτε πατήρ ἐστιν εἴτε πάππος ἢ πρόπαππος.

Ἔοικε γὰρ ὁ αὐτεξούσιος γενόμενος ἀπελευθέρῳ· ἀπελεύθερος δὲ εἰς θέσιν οὐ δίδοται, ἢ ἐὰν δοθῇ κατὰ συναρπαγήν, οὐ βλάπτονται τὰ τοῦ πάτρωνος δίκαια οὔτε ἐῤῥωται ἡ θέσις.

Εἴτε λάβῃ ὑπὲρ τῆς αὐτεξουσιότητος ὁ γονεὺς χρήματα, εἴτε μετὰ ταῦτα ὑπὲρ τοῦ μὴ παρενοχλῆσαι τὴν διαθήκην αὐτοῖ τὸ ἱκανὸν ὑποστῇ παρὰ τοῦ ζῶντος, κινῶν ἐκβάλλεται δόλου παραγραφῇ.

Μόνοι δὲ οἱ αὐτεξουσίους ποιήσαντες ἔχουσι τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν, οὐ μὴν καὶ οἱ παῖδες αὐτῶν, εἰ καὶ τὰ μάλιστα οἱ τῶν πατρώνων παῖδες ἔχουσι κατὰ τῶν ἀπελευθέρων.

Ὁ αὐτεξούσιον ποιήσας, πρὸς τῇ κατὰ τῆς διαθήκης ἐναντιώσει, ἔχει καὶ τὰ ἁρμόζοντα αὐτῷ ὡς πατρὶ ἀρχαῖα δίκαια.

---

d Καρβωνιανὴ ἡ ἕως τῆς ἥβης διδομένη τῷ νέῳ διακατοχή, ἵνα μετὰ τὴν ἥβην ἀγωνίσηται περὶ τῆς κληρονομίας.

---

1 Imo ex eodem capite. 2 Leuncl. emendat παρὰ τοῦ ἀνήβου.

25. Ἐν δὲ τῷ ζ' τί. διαλαμβάνεται πότε τῶν μὴ ἀπαιτούντων τὴν διακατοχὴν τὰ μέρη τοῖς αἰτοῦσιν ἁρμόζει, καὶ περὶ τῆς τῶν ὑπαρχόντων ἀπελευθέρων διακατοχῆς. οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν πολλοῖς παισὶν ἁρμόσῃ διακατοχὴ, κἂν τινες παραιτήσωνται, οἱ δὲ ἄλλοι βουληθῶσι καταδέξασθαι, δύνανται λαμβάνειν εἰς τέλειον τὴν διακατοχὴν οἱ καταδεχόμενοι.

26. Ἐν δὲ τῷ η' τί. διαλαμβάνεται περὶ τῶν παραιτουμένων τὴν τῶν ὑπαρχόντων διακατοχήν· οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν αὐτεξούσιος παραιτήσηται τὴν ἁρμόζουσαν αὐτῷ διακατοχὴν, οὐκέτι δύναται αἰτεῖν λέγων, ὅτι ἀπόντος τοῦ συνηγόρου μου παρῃτησάμην τὴν διακατοχήν.

27. Ἐν δὲ τῷ θ' τί. διαλαμβάνεται ὁμοίως περὶ διακατοχῆς· οὗτινος ἐν τῷ γ' κεφ. θέμ. β' φησίν· Ἐὰν πρὸς τοὺς ἀδελφοὺς τῆς ἀδιαθέτου τελευτησάσης ὁ ἀνὴρ διαμάχηται, τέως διὰ τοῦ νόμου ἐπὶ νομῇ γινέσθωσαν τῶν πραγμάτων[e], τελευταίου φυλαττομένου αὐτοῖς τοῦ ἐπὶ τῆς δεσποτείας λόγου.

28. Εὑρήσεις δὲ περὶ διακατοχῶν καὶ ἐν τῷ περὶ κληρονομιῶν τίτλῳ.

XXIV.

Περὶ διαγνώσεων καὶ τάξεως αὐτῶν.

1. Ἀνάγν. βι. μη' τί. κβ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ λέγων ἑαυτὸν χρεωστεῖσθαι καὶ ἐναγόμενος περὶ τύχης ὀφείλει πρότερον ἐλεύθερος ἀποδειχθῆναι, καὶ τότε τὰ κεχρεωστημένα αὐτῷ ἀπαιτῆσαι.

2. Ἐν δὲ τῷ γ' κεφ. Ὁσάκις ἐνάγεταί τις περὶ ἐγκλήματος, παρὰ δὲ ἑτέρου περὶ τύχης, δεῖ ζητηθῆναι πρῶτον τὰ περὶ τύχης, ἵνα γνῶμεν πότερον τὸ ἔγκλημα ὡς κατὰ δούλης ἢ ὡς κατὰ ἐλευθέρας ὀφείλει ζητηθῆναι.

3. Ἀνάγν. καὶ βι. ζ' τί. ε' κεφ. λα'[1] θεμ. γ', ἐν ᾧ φησιν· Ἔσθ' ὅτε εὐλόγως ἡ διάγνωσις ὑπερτίθεται, οἷον ἐὰν τὰ δικαιώματα τῆς τύχης[2] ἔχει τὶς ἀπὼν διὰ πρᾶγμα δημόσιον, ἢ ὁ

---

[e] Καὶ γὰρ καὶ ὁ νόμος καὶ ἡ φυσικὴ δικαιοσύνη δυνατωτέρους τῆς γυναικὸς τίθεται τοὺς ἀδελφούς. τότε γὰρ μόνον ἀνὴρ ἢ γυνὴ κληρονομοῦσιν ἀλλήλους, ὅταν πᾶσα ἡ συγγενῶν ἀπορία τυγχάνῃ.
Ὁ γὰρ ἀδελφὸς ἐν διαθήκῃ ὃν θέλει ἀφίησι κληρονόμον, εἰ μὴ μόνον εἶναι τύχῃ αἰσχρὸν πρόσωπον.

[1] Leuncl. in marg. λε'. [2] Idem emendat δίκης.

δικαζόμενος υἱὸν ἢ πατέρα ἢ ἄνδρα ἀπεβάλετο, καὶ ἐπὶ τῶν ὁμοίων.

4. Καὶ κεφ. λϛ', ἐν ᾧ φησιν· Ἐὰν περὶ βίας καὶ νομῆς σκοπῆται[1], ἡ βία πρὸ τῆς δεσποτείας ζητεῖται.

5. Καὶ κεφ. νδ', ἐν ᾧ φησιν· Ἡ μικρὰ αἰτία τῇ μείζονι οὐ προκρίνει. ἡ γὰρ μείζων ζήτησις εἰς ἑαυτὴν ἕλκει τὰ ἥττονα.

XXV.

Περὶ διαγνωμόνων.

1. Ἀνάγν. βι. ζ' τί. β' κεφ. θ' θέμ. ε' καὶ κεφ. ιζ' θέμ. ε' καὶ κεφ. λβ' καὶ κεφ. νε', ἐν ᾧ φησιν· Ὁ πρὸς χάριν τοῦ ἰδίου ἀντιδίκου ἢ διὰ ῥυπαρίαν τοῦ διαγνώμονος καταδικασθεὶς μὴ μόνον περὶ τῆς ποινῆς ἐναγόμενος ἐχέτω δόλου παραγραφὴν, ἀλλὰ καὶ τὴν ἀγωγὴν κινείτω ἀπὸ τοῦ ἐγκειμένου περὶ δόλου κεφαλαίου τοῖς διαγνώμοσι.

XXVI.

Περὶ διαδικαζομένων ἤτοι ἐναγόντων καὶ ἐναγομένων, αὐτεξουσίων τε καὶ ὑπεξουσίων, καὶ τίνες δύνανται ἐνάγειν ἢ ἐνάγεσθαι καὶ τίνες οὐ δύνανται, καὶ πότε, παρὰ τίνι καὶ ἐν ποίῳ φόρῳ τὶς ἐνάγειν ὀφείλει, καὶ περὶ λανθανόντων ἢ ἀποκρυπτομένων.

1. Ἀνάγν. βι. ζ' τί. γ' κεφ. κγ', ἐν ᾧ φησιν· Ὅπερ δίκαιόν τις ἔχει ἢ εἴποι κατά τινος ἢ λεχθῆναι παρασκευάσει, τούτῳ[2] καὶ αὐτὸς ὑπόκειται.

2. Καὶ κεφ. κε'[3], οὗτινος ἐν τῷ γ' θέμ. φησιν· Ἐὰν ἄδικόν τι κατὰ τοῦ ἀντιδίκου μου αἰτήσω, τούτῳ καὶ αὐτὸς[4] ὑπόκειμαι, κἂν μὴ χρήσωμαι αὐτῷ[a]. εἰ δὲ μὴ ἀπαιτοῦντός μου ψηφισθῇ τὸ ἄδικον, οὐχ ὑπόκειμαι.

---

[a] Οἷον τῆς περὶ χρέους ἀγωγῆς σβεννυμένης τῇ τριακονταετίᾳ, εἰ παρεγράφετό τις χρεώστης τὸν αὐτοῦ δανειστὴν ἀπαιτοῦντα τὸ χρέος μετὰ λ'ετίαν, ὁ δὲ παρεσκεύασεν αἰτησάμενος τὸν δικαστὴν μὴ ὑπακοῦσαι τῷ χρεώστῃ χρωμένῳ τῇ τοιαύτῃ παραγραφῇ, ἀλλὰ καταδικάσαι αὐτὸν ὥστε τὸ χρέος καταβαλεῖν· κἂν ὕστερον μεταμεληθεὶς οὐ χρήσεται τῇ τοιαύτῃ καταδίκῃ τοῦ χρεώστου, ὅμως, ἐπεὶ ὅλως ἐξήτησέ τι παράνομον κατὰ τοῦ ἀντιδίκου, τῷ αὐτῷ καὶ αὐτὸς ὑποπεσεῖται, εἴπερ ἐν ἑτέρῳ δικαστηρίῳ ἢ παρὰ τοῦ ἀντιδίκου αὐτοῦ ἢ παρ' ἑτέρου τινὸς τὰ ὅμοια ἐγκαλούμενος γένηται.

---

[1] Leuncl. ζητῆται. [2] Leuncl. τῷ αὐτῷ. [3] Lips. κγ'. [4] Leuncl. τῷ αὐτῷ.

3. *Ἐν δὲ τῷ ε' θέμ.* Οὐ μόνον τοῦ ἀδικηθέντος αἰτοῦντος ὑπόκειται ὁ τῷ παρόντι δόγματι ὑποπεσὼν, ἀλλὰ καὶ ἑκάστου δικαζομένου πρὸς αὐτὸν καὶ κεχρημένου τῇ παραγραφῇ.

4. *Καὶ κεφ. κϛ' καὶ κζ' καὶ λη', ἐν ᾧ φησιν·* Ὁ ἐνάγων ἀκολουθεῖ τῷ φόρῳ τοῦ ἐναγομένου[b]. φόρος δέ ἐστιν, ἔνθα νῦν ἔχει τὴν κατοίκησιν, ἢ ὅπου εἶχεν ἐν καιρῷ τοῦ συναλλάγματος.

5. *Ἀνάγν. καὶ τί. δ', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Θεσπίζομεν[c], εἴ τις ὑπεύθυνον οἴεται ἔχειν τὸν κατ' αὐτοῦ τὴν αἰτίασιν ἀποθέμενον, μὴ παρ' ἑτέρῳ δικαστῇ, ἀλλὰ παρ' αὐτῷ εὐθὺς αἰτιάσασθαι, καὶ τὸν αὐτὸν εἶναι δικαστὴν ἐφ' ἑκατέρας ὑποθέσεως. εἰ δέ τι τυχὸν ἀπαρέσειεν αὐτῷ ὁ παρ' ᾧ τὴν δίκην ἀπεκληρώσατο δικαστὴς, ἔξεστιν αὐτῷ καὶ τοῦτο ἐπανορθοῦσθαι. εἴκοσι γὰρ ἡμερῶν προθεσμίαν[d] ἐνδόντων ἡμῶν μετὰ τὴν τοῦ βιβλίου πομπὴν, μεθ' ἣν δεῖ προκατάρξασθαι[1], ἔξεστιν εἴσω τῆς εἰρημένης ἀνακωχῆς παραιτήσασθαι μὲν ἐκεῖνον, ἑτέρου δὲ τυχεῖν, παρ' ᾧ πάλιν ὁμοίως ἑ[κα]τέραν ἀγωνίζεσθαι προσήκει δίκην, καὶ τὰς τοιαύτας τέχνας κατὰ μηδὲν γίνεσθαι, ἀλλ' ἕκαστον τοῖς ἰδίοις χρῆσθαι δικαίοις. εἰ μέντοι σιγήσειεν, εἶτα ὕστερον βουληθείη τὴν δίκην παρ' ἑτέρῳ δικαστῇ κινεῖν, ἀνάγκην ἔχειν ἀναμένειν τὸ πέρας τῆς δίκης τῆς ἐπαγομένης αὐτῷ παρὰ τοῦ εἰς δικαστήριον αὐτὸν ἑλκύσαντος· καὶ ἐπειδὰν πέρας ἡ δίκη λάβοι, τηνικαῦτα αὐτὸν τὴν οἰκείαν δίκην παρ' ἑτέρῳ δικαστῇ προτιθέναι, ἵνα οὕτω τὰς τοιαύτας αὐτῶν ἀνέλωμεν τέχνας τε καὶ κατ' ἀλλήλων ἐπηρείας.

6. *Ἐν δὲ τῷ β'[2] κεφ.* Θεσπίζομεν[e], πάντας τοὺς δικαστὰς, εἴποτέ τινα συσχεθῆναι[f] ἤγουν ὑπομνησθῆναι[g] βουληθεῖεν

---

b *Εἴγε ἀπὸ τῆς αὐτῆς ἐπαρχίας εἰσὶ τὰ δικαζόμενα μέρη. εἰ δὲ ὁ ἐναχθεὶς ἀφ' ἑτέρας εἱλκύσθη ἐπαρχίας, λαμβάνει ὅ τι ματαιάζων φανῇ ὁ ἑλκύσας αὐτὸν καὶ τὰ τῆς δίκης δαπανήματα, ὥς φησι τὸ [οβ'] κεφ. τοῦ ε' τί. τοῦ ζ' βι οὗ ἡ ἀρχή· ὁ προτετῶς εἰς δίκην τινὰ ἕλκων.*

c *Νεαρὰ ϥϛ'.*

d *Περὶ τῶν εἴκοσι ἡμερῶν προθεσμίας ὁμοίως φησὶ καὶ ἐν τῷ α' τί. κεφ. ζ' τοῦ αὐτοῦ ζ' βι.*

e *Περὶ τῆς προκατάρξεως νεαρὰ ριβ' διάτ. δ'.*

f *Ἐπὶ τῶν ἀπόντων.*

g *Ἐπὶ τῶν παρόντων.*

---

1 Leuncl. *προκατάρχεσθαι.* 2 Lips. *θ'.*

ταύτην τὴν αἵρεσιν ταῖς ἑαυτῶν διαλαλιαῖς προστιθέναι, ὥστε μὴ ἄλλως τὰ τῶν αἰτιάσεων βιβλία τοῖς ἐναγομένοις ἐπιδίδοσθαι ἢ συνηθείας τοῖς ἐκβιβασταῖς παρέχεσθαι, εἰ μὴ πρότερον καὶ ἐν τῷ βιβλίῳ ὁ ἐνάγων ἢ δι᾿ ἑαυτοῦ ἢ διὰ ταβουλλαρίου ὑπογράψοι, καὶ πράξεως ὑπομνημάτων συνισταμένης ἐγγυητὴν ἀξιόπιστον παράσχοι κινδύνῳ τῆς ἁρμοδίου τάξεως ὁμολογοῦντα, ὅτιπερ καὶ μέχρι πέρατος τῆς δίκης προσεδρεύει καὶ τὰς ἰδίας ἐναγωγὰς ἢ δι᾿ ἑαυτοῦ ἢ διὰ νομίμου ἐντολέως ἐγγυμνάζει. καὶ εἰ μετὰ ταῦτα δειχθείη ἀδίκως τὴν δίκην κινήσας, ὀνόματι ἀναλωμάτων καὶ δαπανημάτων δέκατον μέρος τῆς περιεχομένης τῷ βιβλίῳ ποσότητος ἀποκαταστήσει τῷ αἰτιαθέντι. εἰ δὲ εἴποι μὴ εὐπορεῖν ἐγγυητὴν δοῦναι, τηνικαῦτα παρὰ τῷ δικαστῇ, παρ᾿ ᾧπερ[1] μέλλει ἐξετάζεσθαι ἡ ὑπόθεσις, τῶν ἁγίων εὐαγγελίων προκειμένων δι᾿ ὅρκου τοῦτο αὐτὸ διαβεβαιώσασθαι, καὶ οὕτως ἐνώμοτον αὐτὸν ἐκτίθεσθαι ὁμολογίαν, καὶ δι᾿ αὐτῆς ἅπερ ἀνωτέρω εἴρηται ὁμολογῆσαι. εἰ δὲ μὴ ταῦτα ἅπαντα κατὰ τὸν εἰρημένον πραχθείη τρόπον, οὐδεμίαν τὸν ἐναγόμενον[h] ἀπόκρισιν τῷ ἐκβιβαστῇ ποιήσασθαι συγχωροῦμεν.

7. Ἐν δὲ τῷ γ΄ κεφ. Θεσπίζομεν, τὸν ἐνάγοντα τὸ ἀρχθὲν πρᾶγμα μέχρι πέρατος τῆς δίκης ἐγγυμνάζειν. εἰ δὲ ὑπεξελθεῖν τῷ πράγματι ὑπερτίθεται, δίδομεν ἄδειαν τῷ εναχθέντι τὸν δικαστὴν αἰτεῖν, παρ᾿ ᾧ ἡ δίκη προκατήρχθη, ὥστε δι᾿ αὐτοῦ τὸν ἐνάγοντα ὑπομιμνήσκεσθαι εἰς τὸ δικαστήριον ἢ δι᾿ ἑαυτοῦ ἢ διὰ νομίμου ἐντολέως παραγίνεσθαι. καὶ εἰ τοῦτο μηδαμῶς ποιήσει, προτιθεμένων τριῶν προγραμμάτων αὐτὸν καλεῖσθαι, μιᾶς ἑκάστης κλήσεως οὐκ ἔλαττον ἢ τριάκοντα ἡμερῶν διαστήματι περικλειομένης. κελεύομεν γὰρ τοὺς ἐμβάθμους δικαστὰς μὴ μόνον ταῖς τῶν κηρύκων φωναῖς, ἀλλ᾿ ἔτι μὴν καὶ προγραμμάτων προτιθεμένων οἱονδήποτε τῶν δικαζομένων μέρος ἀπολιμπανόμενον καλεῖν εἰς τὸ δικαστήριον.

8. Ἐν δὲ τῷ δ΄ κεφ. Εἰ δὲ προτιθεμένων τῶν προγραμμάτων κληθεὶς εἰς τὸ δικαστήριον ἐλθεῖν καὶ τὰς ἰδίας ἐναγωγὰς ἢ δι᾿ ἑαυτοῦ ἢ διὰ νομίμου (καθάπερ εἴρηται) ἐντολέως προθεῖναι μὴ βουληθείη, τηνικαῦτα ἑτέραν αὐτῷ προθεσμίαν

---

h Ῥέον.

---

[1] Lips. ἐν ᾧ.

ἑνὸς ἐνιαυτοῦ συγχωροῦμεν, ἧς ἐντὸς εἰ μὴ τῇ ἰδίᾳ ὑπεξέλθοι ἐναγωγῇ[1], δίδομεν ἄδειαν τῷ δικαστῇ, καὶ ἀπόντος τοῦ ἀντιδίκου τὰς τοῦ προσεδρεύσαντος μέρους δικαιολογίας κατὰ τοὺς ἡμετέρους νόμους ἐξετάζειν, καὶ τῆς ἀληθείας ἀκριβῶς ζητουμένης νόμιμον προφέρειν ψῆφον. εἰ δὲ ἐντὸς τῆς εἰρημένης τοῦ ἑνὸς ἐνιαυτοῦ προθεσμίας παραγένηται καὶ τὰς ἰδίας ἐναγωγὰς ἐγγυμνάσαι βουληθείη, κελεύομεν τὸν δικαστὴν πᾶσι τρόποις τὰ ἀναλώματα ἤγουν δαπανήματα, ἅπερ διὰ τὴν δίκην ὁ ἐναχθεὶς προσεδρεύων τῷ δικαστηρίῳ ὑπέμεινε, πρὸ πάντων εἰσπρᾶξαι τὸν ἐνάγοντα καὶ τῷ αἰτιαθέντι παρασχεῖν, καὶ οὕτω τὸν ἐνάγοντα προσεδρεῦσαι μέχρις ὅτου τὸ πρᾶγμα πέρας δέξεται κατὰ τοὺς νόμους. εἰ γὰρ μόνον παραγένηται καὶ τῶν δαπανημάτων ἢ ζημιωμάτων διδομένων μόνον τὸν ἐνιαυσιαῖον χρόνον διακόψαι βουληθείη, καὶ πάλιν ἀναχωρῶν τοῦ δικαστηρίου μέχρι πέρατος τῆς ὑποθέσεως μὴ παραμείνοι, κελεύομεν αὐτὸν μετὰ τὰς εἰρημένας τῶν προγραμμάτων καὶ τοῦ ἐνιαυσιαίου χρόνου διαστήματος παρατηρήσεις πάσης ἀγωγῆς ἐκπίπτειν, ἣν ἁρμόζειν αὐτῷ κατὰ τοῦ ἐναχθέντος ὑπελάμβανε. τῷ δὲ τοῦ νόμου προνομίῳ, τοῦ μὴ ἐπιτιθέντος ἀνάγκην τοῖς μὴ βουλομένοις τὰς οἰκείας ἐναγωγὰς κινεῖν, ἐκείνοις καὶ μόνοις συγχωροῦμεν κεχρῆσθαι τοῖς οὐδεμίαν ζήτησιν κατὰ τοὺς εἰρημένους τρόπους κατὰ τῶν ἀντιδίκων κινοῦσιν.

9. Ἐν δὲ τῷ ϛ' κεφ. Κελεύομεν[i] ὁσάκις παρ' οἱοισδήποτε δικασταῖς ἄρχονται δίκαι ἢ ἐξετάζονται ἔκκλητοι, πρὸ πάντων τὰ πρωτότυπα τῶν δικαζομένων πρόσωπα ἢ ἐκείνους, [εἰς οὓς] ὡς εἰκὸς ἐν μέσῳ ἡ ὑπόθεσις μετενεχθῇ, παρουσίᾳ τῶν δικαστῶν ἁπτομένους τῶν ἁγίων εὐαγγελίων ὀμνύναι, ὅτι οὐδὲν παντελῶς τοῖς δικασταῖς προστασίας χάριν ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ ὑπὲρ ταύτης τῆς αἰτίας καθ' οἱονδήποτε τρόπον δεδώκασιν ἢ ὑπέσχοντο ἢ μετὰ ταῦτα δώσουσιν, ἢ δι' ἑαυτῶν ἢ δι' ἄλλου οἱουδήποτε μέσου προσώπου, ἐξῃρημένων τούτων, ἅτινα τοῖς ἰδίοις συνηγόροις ὑπὲρ τῆς συνηγορίας παρέχουσιν ἢ τοῖς ἄλλοις προσώποις, ἅπερ[2] οἱ ἡμέτεροι νόμοι δίδοσθαι διετύπωσαν. εἰ δέ τις ἐκ τῶν δικαζομένων εἴποι δεδωκέναι τὶ ἢ ὑποσχέσθαι, καὶ τὸ πρόσωπον ἐξείποι καὶ

---

i Νεαρὰ ρκδ' κεφ. α'.

---

1 Leuncl. ἐπεξ. διαγωγῇ. 2 Leuncl. conj. οἷσπερ.

τοῦτο ἀποδείξοι, αὐτὸς μὲν ἐπὶ τῇ τῆς δίκης ἐκβάσει συγγνώμης ἀξιούσθω, ὁ δὲ ἢ δόσιν ἢ ὑπόσχεσιν καταδέξασθαι δεικνύμενος, εἰ μὲν χρηματικὴ εἴη ἡ ὑπόθεσις, τὸ μὲν δεδομένον τριπλοῦν, τὸ δὲ ὑποσχεθὲν διπλοῦν ὑπὸ τοῦ κόμητος τῆς ἰδικῆς περιουσίας εἰσπραττέσθω, καὶ τὴν ἀξίαν ἤτοι ἀρχὴν ἣν ἔχει ἐφ᾽ ἑκατέρου θέματος ἀπολλύτω· εἰ δὲ ἐγκληματικὴ εἴη ἡ κατηγορία, δήμευσιν τῆς ἰδίας περιουσίας ὑπομενέτω καὶ εἰς ἐξορίαν πεμπέσθω, ὅστις διὰ λῆψιν ἀλλότριον ἔγκλημα εἰς ἑαυτὸν ἐσπούδασε μετενεγκεῖν. εἰ δὲ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν ὁ διάδικος μὴ δυνηθῇ δεῖξαι, ὀμνύτω τὸ πρόσωπον τὸ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν λεγόμενον καταδέξασθαι, ὅτι οὐδὲ δι᾽ ἑαυτοῦ οὐδὲ δι᾽ ἄλλου προσώπου ἔλαβέ τι ἢ ὑπόσχεσιν ἔσχε· καὶ τοῦ τοιούτου ὅρκου παρεχομένου αὐτὸς μὲν ἐλεύθερος ἔσται, ὁ δὲ διάδικος ὁ μὴ δυνηθεὶς δεῖξαι ἐπὶ μὲν ταῖς χρηματικαῖς αἰτίαις τὴν ἀποτίμησιν τῆς δίκης ὑπὸ τοῦ κόμητος τῆς ἰδικῆς περιουσίας εἰσπραττέσθω, τῆς δίκης δηλονότι τὴν ἰδίαν ἔκβασιν ἀναμενούσης· ἐπὶ δὲ ταῖς ἐγκληματικαῖς δήμευσιν τῶν οἰκείων πραγμάτων ὑπομενέτω, καὶ τὸ πρᾶγμα παρὰ τοῖς ἁρμοδίοις δικασταῖς κατὰ τὴν τῶν νόμων τάξιν περαιούσθω.

10. Ἀνάγν. καὶ τί. ε΄, οὗτινος ἐν τῷ γ΄ κεφ. Οὐ δοκεῖ λανθάνειν, ὃς εἰ καὶ παρῆν οὐκ ἠναγκάζετο εἰσάγεσθαι.

11. Ἐν δὲ τῷ δ΄ κεφ. Πρὸς τοὺς ὑπεξουσίους ἡμῶν οὐ δυνάμεθα δικάζεσθαι[k], εἰ μὴ ἐπὶ τῷ ἰδιοκτήτῳ πεκουλίῳ.

12. Ἐν δὲ τῷ ε΄ κεφ. Ὁ καλούμενος εἰς δικαστήριον, λέγων ἕτερον ἔχειν φόρον, ὀφείλει ἀπιέναι πρὸς τὸν καλοῦντα, ἵνα τὰ περὶ τούτου παρ᾽ αὐτῷ γνωσθῇ· καὶ μὴ καταφρονείτω αὐτοῦ.

13. Ἐν δὲ τῷ ζ΄ κεφ. Ὁ κληθεὶς εἰς δικαστήριον καὶ μετὰ ταῦτα στρατευσάμενος ἢ ἄλλου φόρου γεγονώς, οὐ δύναται περὶ τῆς αὐτῆς δίκης ἐπικαλεῖσθαι τὸν ἴδιον φόρον.

14. Ἐν δὲ τῷ κα΄ κεφ. Ὁ μέλλων ἐνάγεσθαι καλῶς ἐπιζητεῖ ἐνδοθῆναι αὐτῷ, ἀξιοπίστως ἀσφαλιζομένῳ, ὅτι μετὰ τετράμηνον δίδωσιν.

15. Ἐν δὲ τῷ κβ΄ κεφ. Ὁ μὴ ἀναγκαζόμενος ἔν τινι τόπῳ

---

[k] Θεμάτισον, ὅτι παῖδας ὑπεξουσίους λέγει καὶ ὅτι τὰ αὐτῶν πάντα τοῦ πατρὸς εἰσίν.

ἐνάγεσθαι, ἐὰν ἐκεῖνος ἐνάγῃ, ἀναγκάζεται παρὰ τῷ αὐτῷ δικαστῇ ἐνάγεσθαι[l].

16. Ἐν δὲ τῷ λα' κεφ. Ὁ ἐκκαλεσάμενος ἐνάγων ἐστί.

17. Καὶ, ὅτι ἔνθα ἡ προκάταρξις, ἐκεῖ καὶ τὸ πέρας.

18. Ἐν δὲ τῷ λδ' κεφ. Καὶ πρὸ τῆς ἐνοχῆς τοῦ ἐναγομένου δίδοται ἐγγυητὴς[m], καὶ ἤρτηται ἡ ἐνοχὴ αὐτοῦ· δικαστήριον δὲ περὶ μελλούσης ἀγωγῆς οὐ συνίσταται.

19. Ἐν δὲ τῷ μη'· Ὁ πράτης καλούμενος εἰς τὸ διεκδικῆσαι τὸν ἀγοραστὴν ἐκνικωμένου τοῦ πράγματος οὐ δύναται τὸν ἴδιον ἐπικαλεῖσθαι φόρον.

20. Ἐν δὲ τῷ ογ' κεφ. Ὁ προπετῶς εἰς δίκην τινὰ καλῶν καὶ τὰ τῆς ὁδοῦ καὶ τὰ τῆς δίκης δίδωσιν αὐτῷ δαπανήματα.

21. Ἐν δὲ τῷ πζ' κεφ. Καὶ ὅτε περὶ τύχης ἐστὶν ἡ δίκη, χώρα τῷ κανόνι τῷ λέγοντι, ὁ ἐνάγων τὸν τοῦ ἐνάγοντος φόρον μεταδιώκει· κἀκεῖ τέμνεται τὸ δικαστήριον, ἔνθα διάγει ἡ δουλαγωγουμένη, κἂν τὰ μάλιστα συγκλητικός ἐστιν ὁ ἐνάγων.

22. Ἐν δὲ τῷ ϙ' κεφ. Οἱ συγκλητικοὶ ἐν ταῖς χρηματικαῖς ὑποθέσεσιν, ἐν μὲν κωνσταντινουπόλει ὄντες ἢ ἐν τοῖς προαστείοις, παρὰ μόνῳ τῷ ἐπάρχῳ τῶν πραιτωρίων καὶ τῷ τῆς πόλεως ἐπάρχῳ καὶ τῷ ἐνδοξοτάτῳ μαγίστρῳ κατὰ θείαν κέλευσιν ἐνάγονται· εἰ δὲ ἐν ταῖς ἐπαρχίαις εἰσὶν, ἐναγέσθωσαν ἢ ὅπου διάγουσιν, ἢ ὅπου τὸ μεῖζον μέρος ἔχουσι τῆς ἰδίας οὐσίας.

23. Ἐν δὲ τῷ ϙα' κεφ. Ἐάν τις πατρίκιος ὢν, ἢ ἀπὸ πατρικίων, ἢ ἀπὸ ἐπάρχων πραιτωρίων, ἢ ἀπὸ ἐπάρχων πόλεως, ἢ ὑπατικὸς ἔμπρακτος[1], ἢ στρατηλάτης, ἢ μάγιστρος τῶν θείων ὀφφικίων γεγονὼς, ἢ κοιαίστωρ τοῦ θείου παλατίου, ἢ πραιπόσιτος, ἢ ἄρξας τῆς τῶν δομεστίκων σχολῆς, ἢ κόμης

---

l Ὅτι προκατήρξατο παρ' ἐκείνῳ. ἔνθα δὲ ἡ προκάταρξις, ἐκεῖ καὶ ἡ τομὴ γίνεσθαι ὀφείλει.

m Θεμάτισον, ὅτι μέλλων τὶς παρά τινος δανείσασθαι, παρεστήσατο τῷ δανειστῇ ἕτερόν τινα ἐγγυώμενον καὶ ὑποβάλλοντα ἑαυτὸν τῇ καταβολῇ τοῦ χρέους, [εἰ] μὴ κατα[βάλλῃ] ὁ πρωτό[τυ]πος αὐτό. ὁ . . ἐγγυητὴς . . . ς ἔνοχος [ἐπὶ] τῇ ἀποδόσει τοῦ χρέους γέγονε καὶ πρὸ τοῦ γενέσθαι ἔνοχον τὸν ἐγγυηθέντα.

---

1 Leuncl. addi vult: ἢ μόνον τῇ ἀξίᾳ τετιμημένος.

παροχῶν, ἢ κόμης τῶν ἰδικῶν γενόμενος μέρος[1] δεσπότου ἢ δεσποίνης[n] χρηματικῶς ἢ ἐγκληματικῶς ἐνάγηται, διάγων ἐν τῇ βασιλίδι πόλει, παρὰ μόνῳ βασιλεῖ ἐναγέσθω ἢ κατὰ κέλευσιν βασιλέως παρὰ τῷ ἀφοριζομένῳ δικαστῇ. καὶ μήτε πρὸ ἀποδείξεως τοῦ ἁμαρτήματος ὁ κατηγορούμενος ἐγκληματικῶς ὑβριζέσθω, ἀλλὰ καὶ καθεζέσθω ἔν τινι μέρει τοῦ δικαστηρίου, ὥστε τοῦ μὲν δικάζοντος εἶναι αὐτὸν κατώτερον, τῶν δὲ δικαζομένων ἀνώτερον εἶναι δοκεῖν.

24. Ἀνάγν. καὶ τί. ϛ', οὗτινος ἐν τῷ β'[2] κεφ. φησίν· Περὶ τοῦ δύνασθαι παραιτεῖσθαι τὸν δικαστὴν εὐλόγως πρὸ τῆς προκατάρξεως· εἰ δὲ ἀλόγως, τουτέστι μετὰ προκάταρξιν, ὠθηθήσεται.

25. Ἐν δὲ τῷ ιζ' κεφ. Ὁ παραστάσιμος γενόμενος ὑπὸ τὸν αὐτὸν ταξεώτην πραττέτω, ᾧτινι πρότερον παρεδόθη, μέχρι πέρατος τῆς ὑποθέσεως.

26. Ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Οὐ μόνον[3] ὁ ἐναγόμενος, ἀλλὰ καὶ ὁ ἐνάγων ὑπόκειται μὴ πειθαρχήσας. [Καὶ ἡ ποινὴ οὐκ εἰς τὸ διαφέρον, ἀλλ᾽ εἰς τὸ ἀληθὲς ποσὸν ἁρμόζει.] ἡ δὲ ἀγωγὴ οὔτε κληρονόμοις οὔτε κατὰ κληρονόμων οὔτε μετ᾽ ἐνιαυτὸν δίδοται. μόνον γάρ ἐστι ποιναλία.

27. Ἀνάγν. περὶ τῶν μὴ πειθαρχούντων καὶ βι. θ' τί. γ' κεφ. νγ' καὶ βι. ιε' τί. α' κεφ. ξη' καὶ τί. δ' κεφ. γ', ἐν ᾧ φησιν· Ὁ μὴ πειθαρχῶν ἐναγόμενος ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ μετὰ προθεσμίας[o].

---

[n] Τρεῖς εἰσὶ τάξεις τῶν βασιλικῶν κτήσεων. μία μὲν αἱ λαργιτίονες, τουτέστιν ὅταν αἱ δημόσιαι εἴσοδοι εἰς δημοσίας ἀναλίσκονται χρείας καὶ τοῦ κοινοῦ, αἵπερ δαψίλεια λέγονται καὶ παροχαί. αἱ δὲ λέγονται πριβάτα, ὅταν αἱ δημόσιαι εἰσφοραὶ εἰς ἰδικὰς τοῦ βασιλέως παρέχονται χρείας, οἷα εἰσὶ τὰ διδόμενα τρίμηνα τῷ βασιλεῖ, ἅτινα εἰς ἕτερον οὐ μεταφέρονται. αἱ δὲ λέγονται πατριμόνισσαι, αἵτινες μεταφέρονται, οἷον τὰ ἴδια κτήματα καὶ προάστεια τοῦ βασιλέως.

[o] Ἀνάγν. καὶ νεαρὰν νγ', ἐν ᾗ φησι καὶ περὶ προκατάρξεως τῆς δίκης, καὶ περὶ τῶν κ' ἡμερῶν, καὶ τοῦ ὅρκου ὃν ὑπέχουσιν οἱ διαδικαζόμενοι. καὶ νεαρὰν ξθ', ἐν ᾗ φησι περὶ ἐπαρχεωτῶν. καὶ νεαρὰν οα'· φησὶ γὰρ ὥστε τὰς χρηματικὰς δίκας δι᾽ ἐντόλεως ἀγωνίζεσθαι τοὺς λαμπροτάτους ἄχρι τῶν ἰλλουστρίων. καὶ νεαρὰν πγ', ἐν ᾗ φησι περὶ κληρικῶν. καὶ πϛ', ὥστε ὑπερτιθεμένους τοὺς ἄρχοντας ἀκούειν τῶν προσιόντων δικαίων συν-

---

[1] Leuncl. μέρος delendum esse censet. Cod. Basil. Coislin. μέρους habet.
[2] Lege ιβ'. [3] Leuncl. μόνος.

28. Ἐν δὲ τῷ η' τί. τοῦ ζ' βι. διαλαμβάνεται περὶ τῶν δυναμένων καλεῖσθαι εἰς δικαστήριον ἢ μὴ δυναμένων, οὗτινος ἐν τῷ κεφ. φησίν· Οὐ χρὴ καλεῖν εἰς δίκην ὕπαρχον ἢ πραίτωρα ἢ ἀνθύπατον, ἢ τοὺς ἄλλους ἄρχοντας τοὺς ἐξουσίαν ἔχοντας καὶ δυναμένους σωφρονίζειν καὶ ἐμβάλλειν εἱρκτῇ, οὔτε ἱερέα ἐν ὅσῳ ἱερατεύει, οὔτε τοὺς μὴ δυναμένους διὰ τὴν τοῦ τόπου θρησκείαν[p] ἐξ αὐτοῦ ἀναχωρῆσαι[q], οὔτε τὸν διὰ δημοσίαν χρείαν ὁδεύοντα τῷ δημοσίῳ δρόμῳ, οὔτε τὸν γαμοῦντα ἢ τὴν γαμουμένην, οὔτε δικαστὴν ἐν ὅσῳ διαγινώσκει, οὔτε τὸν ἀλλαχοῦ διαγινωσκόμενον, οὔτε τὸν θάπτοντα τὸν ἴδιον ἢ τὰ συνήθη ποιοῦντα τῷ τελευτήσαντι,

29. Οὔτε τὸν ἀκολουθοῦντα τῷ λειψάνῳ,

30. Οὔτε τὸν ἀναγκαζόμενον παραστῆναι διὰ δίκην[1] δικαστηρίῳ ἢ δήλῳ τόπῳ· οὔτε μαινομένους ἢ ἑπταετεῖς ἢ γονεῖς ἡμῶν, οὔτε πάτρωνας ἢ παῖδας πατρώνων ἄνευ τοῦ αἰτῆσαι συγγνώμην παρὰ τοῦ πραίτωρος εἰς δίκην δυνάμεθα καλεῖν. γονεῖς δὲ λέγομεν πάντας τοὺς ἀνιόντας ἑκατέρας φύσεως.

31. Τοὺς γονεῖς τοῦ θετοῦ πατρὸς ἀζημίως καλῶ. οὐκ εἰσὶ γάρ μου γονεῖς.

32. Ἐν δὲ τῷ ιη' κεφ. Οὐδεὶς ἐκ τοῦ ἰδίου οἴκου καλεῖται εἰς δίκην. ἑκάστῳ γὰρ ὁ ἴδιος οἶκος ἀσφαλές ἐστι καταφύγιον. καὶ ὁ καλῶν αὐτὸν βίαν ἐπιφέρει.

33. Εἰ δὲ πρὸς ἑαυτὸν δίδωσιν εἴσοδον, ἢ θεωρεῖται ἐκ τῆς ἀγορᾶς, καλεῖται, ὅσον πρὸς τὸ ὑπόμνησιν δέξασθαι παρὰ τῶν ταξεωτῶν, οὐ μὴν βίᾳ τοῦ οἴκου ἑλκυσθῆναι[2].

34. Ἐν δὲ τῷ κα' κεφ. Εἰ καὶ τὰ μάλιστα ἔσθ' ὅτε τὶς ἀπὸ τοῦ οἴκου καλεῖται, ὅμως οὐδεὶς ἀπὸ τοῦ οἴκου ἕλκεται.

ελαύνεσθαι παρὰ τῶν ἐπισκόπων τοῦτο πράττειν· ἀλλὰ δὲ ἡνίκα τὶς ἐν ὑπονοίᾳ ἔχει τὸν ἄρχοντα, συνακροατὴν τῆς δίκης λαβεῖν τὸν ἐπίσκοπον· καὶ τοῦ προσιέναι τοὺς ἐπηρεαζομένους τῷ ἐπισκόπῳ. ἀνάγν. καὶ νεαρὰν ϙς', ἐν ᾗ φησι περὶ αἰτιαθέντων καὶ ἀνταιτιαθέντων. καὶ νεαρὰν ριβ'· φησὶ γὰρ περὶ δικαζομένων καὶ τῆς διδομένης παρ' αὐτῶν ἀσφαλείας. καὶ νεαρὰν ρκδ'.

p Λειτουργίαν ἤτοι θεραπείαν ἐκκλησίας.

q Ὁποῖοι εἰσὶν οἱ τόποι, οἵστισιν ἑαυτοὺς περικλείουσιν οἱ λεγόμενοι στηλῖται.

---

1 Leuncl. ἐπὶ δίκῃ. 2 Haec verba ὅσον — ἑλκυσθῆναι apud Leuncl. desunt, et scholium continere videntur.

35. Ἐν δὲ τῷ κβ΄ κεφ. Οὔτε τὰς ἀνήβους κόρας ὑπεξουσίας ἔτι τυγχανούσας καλεῖν εἰς δικαστήριον ἐπιτρέπεται.

36. Ἐν δὲ τῷ κδ΄ κεφ. Ὁ παρὰ τὸν νόμον ποιήσας πεντήκοντα νομίσματα δίδωσιν. ἡ ἀγωγὴ δὲ οὔτε κληρονόμοις, οὔτε κατὰ κληρονόμων, οὔτε μετ᾽ ἐνιαυτὸν δίδοται.

37. Ὁ[1] δὲ ἀπελεύθερος δίχα συγγνώμης τὸν πάτρωνα καλέσας, μὴ δυνάμενος δοῦναι τὰ ν΄ νομίσματα, μαστιζέσθω[2].

38. Ἐν δὲ τῷ κη΄ κεφ. Ὁ ἅπαξ αἰτιασάμενός τινα, ἐὰν μετὰ τὸ προσενεχθῆναι τῷ αἰτιαθέντι τὴν ὑπόμνησιν εἰς ἕτερον καλέσῃ δικαστήριον ἐπὶ ταῖς αὐταῖς αἰτίαις, καὶ τὸ ἀζήμιον ποιείτω τῷ αἰτιαθέντι καὶ τῆς δίκης ἐκπιπτέτω, εἰ καὶ δικαίαν εἶχεν ἀγωγήν.

39. Ἐν δὲ τῷ κθ΄ κεφ. Θεσπίζομεν[r] ἄχρι τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων πάντως μὴ δι᾽ ἑαυτῶν αὐτοὺς τὰς χρηματικὰς ἀγωνίζεσθαι δίκας, ἀλλὰ δι᾽ ἐντολέως, καὶ μὴν καὶ τὴν περὶ ὕβρεως δι᾽ ἐντολέως κατὰ τὸν ἐγκληματικὸν τρόπον κινεῖν, κατὰ τὸ δεδομένον αὐτοῖς ἐπὶ ταύτης προνόμιον· ὥστε μὴ ἀναγκάζεσθαι ἢ συγκαθῆσθαι τοῖς ἄρχουσιν ἐν ᾧ δικάζουσιν, ἢ παρεστάναι πάλιν οἷα δικαζομένους. ἑκατέρωθεν γὰρ τὸ πρᾶγμα ἐστὶν ἐπισφαλές, ἢ τῶν ἀξιωμάτων ὑβριζομένων, ἢ τοῦ δικαστοῦ[3] σχήματος ἀναξίως προϊόντος. ἐπείτοιγε μετὰ τοὺς μεγαλοπρεπεστάτους ἰλλουστρίους ἅπασιν ἄδεια ἔστω βουλομένοις καὶ ἐντολεῖς προβάλλεσθαι καὶ δι᾽ ἑαυτῶν ἀγωνίζεσθαι, οὐδεμιᾶς ἐντεῦθεν οὐδὲ κωλύσεως οὐδὲ ζημίας οὐδὲ ποινῆς παρὰ τοῦτο ἐπαγομένης αὐτοῖς.

40. Ἐν δὲ τῷ θ΄ τί. καὶ ι΄ καὶ ια΄ διαλαμβάνεται περὶ τῶν ἐπίτηδες ἐπὶ βλάβῃ τῶν ἀντιδίκων ἕτερον δυνατὸν ἀντικαθιστάντων ἢ ἐξ ἑτέρας ἐπαρχίας· περὶ ὧν εὑρήσεις ἐν τῷ περὶ προσφευγόντων εἰς δυνατὰ πρόσωπα καὶ περὶ ἐκδόσεως.

41. Ἀνάγν. καὶ τί. ιβ΄, οὗτινος ἐν τῷ β΄ κεφ. φησί· Καλούμενός τις ἐπὶ οἱαδήποτε αἰτίᾳ πρὸς οἱονδήποτε ἄρχοντα ὀφείλει ἀπιέναι, ἵνα γνωσθῇ εἰ ὑπόκειται τῇ δικαιοδοσίᾳ αὐτοῦ.

42. Ἐν δὲ τῷ ι΄ κεφ. Κἀκεῖνο θεσπίζομεν, ἐπειδὰν ὑπόμνησις προσενεχθείη τινὶ, πάντως ἐπιδίδοσθαι βιβλίον, καὶ μὴ κατὰ τὸ παλαιὸν δέκα μόνον ἡμερῶν ἔχειν τὸν ὑπομνησθέντα προθεσμίαν, ἀλλὰ διπλασίαν τουτέστιν κ΄, ὥστε εἴτε

---

[r] Περὶ ἰλλουστρίων νεαρὰ οα΄.

---

[1] Inscribendum: Ἐν δὲ τῷ κε΄ κεφ. [2] Leuncl. μαστίζεται. [3] Leuncl. conj. δικαστικοῦ.

παραιτήσασθαι βουληθείη εἴτε καὶ συνδικαστὴν αἰτῆσαι, ἄδειαν ἔχειν τοῦτο ποιεῖν, ἢ καὶ ἴσως ἐπιγνῶναι τὸ ὄφλημα καὶ ἀπαλλαγῆναι πρὸς τὸν ἀντίδικον τὸν αὐτοῦ φιλικῶς· καὶ μὴ κατ' ἐπήρειαν καὶ ἐπιδρομὴν γίνεσθαι ὑπὸ δικαστῇ ἴσως ὑπόπτῳ, ἴσως ἀκαταθυμίῳ, πολλάκις δέ τι καὶ οἰκεῖον ἐπὶ τῷ φεύγοντι διοικουμένῳ, καὶ τοῦ τὴν δίκην ὑπομένοντος οὐδένα καιρὸν ἔχοντος πρὸς τὸ μαθεῖν εὐθὺς ἐφ' οἷς ἐναγόμενος ἀπαντήσει. εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη, κἂν δόξειέ τις γίνεσθαι προκάταρξις, ἀντὶ μηδενὸς αὐτὴν εἶναι, ἀλλ' ἄδειαν εἶναι καὶ μετὰ τὴν τοιαύτην προκάταρξιν εἴσω τῶν τεταγμένων εἴκοσι ἡμερῶν οὕτως ἅπαντα πράττειν, ὡσανεὶ μηδὲ τὴν ἀρχὴν ἐγεγόνει τὶς προκάταρξις.

Εἰ δὲ ἅπαξ τὶς παραιτησάμενος τὸν δικαστὴν ἕτερον λάβοι, οὐ δίδομεν αὐτῷ καὶ τὸν ᾐτημένον αὖθις παραιτεῖσθαι. ὥσπερ γὰρ αὐτοῦ κηδόμεθα, οὕτω καὶ τὸ δι' ἀναβολήν τινα πράττεσθαί τι κατὰ τῶν ἐναγόντων παντελῶς ἀποστρεφόμεθα.

43. Ἀνάγν. καὶ τί. ιδ', οὗτινος ἐν τῷ ε' κεφ. φησίν· Ὁ τὸν ὁμολογουμένως εὐποροῦντα πρὸς τὴν ὑπόθεσιν, καὶ ὁ τὸν δοκιμασθέντα εὐπορεῖν μὴ δεχόμενος ἐγγυητὴν ἐπὶ παραστάσει, καὶ αὐτῷ καὶ τῷ ἐναγομένῳ ὑπόκειται τῇ περὶ ὕβρεως ἀγωγῇ.

44. Ὁσάκις[1] ἐπιλήψιμος δοθῇ ἀσφάλεια ἢ ἐγγύη, οὐ δοκεῖ δεδόσθαι.

45. Ἐν δὲ τῷ ιβ' κεφ. θέμ. ς'. Ὁ ὀμόσας παρίστασθαι καὶ εὐλόγως ἀπολειφθεὶς οὐκ ἐπιορκεῖ.

46. Ἐν δὲ τῷ ις' κεφ. Ὁπότε καὶ τοὺς δικαστὰς οὐκ ἄλλως τὰς δίκας διαιρεῖν συνεχωρήσαμεν εἰ μὴ τῶν ἁγίων εὐαγγελίων προκειμένων, καὶ τοὺς συνηγόρους τῶν δικῶν ἐν παντὶ τῷ κύκλῳ τῆς γῆς, ὅστις κύκλος τῇ ῥωμαϊκῇ βασιλείᾳ ὑπόκειται, πρῶτον ὀμνύειν καὶ οὕτω διανοεῖν τὰς δίκας διετυπώσαμεν, ἀναγκαῖον ἡγησάμεθα καὶ τὸν παρόντα νόμον προθεῖναι, δι' οὗ θεσπίζομεν ἐν πάσαις ταῖς δίκαις, αἵτινες εἴησαν μετὰ τὸν παρόντα νόμον ἀρχθεῖσαι, μὴ ἄλλως μηδὲ τὰ τοῦ ἐνάγοντος μηδὲ τὰ τοῦ φεύγοντος ἐν τῷ προοιμίῳ τῆς δίκης ἐγγυμνάζειν ἀμφίβολα, εἰ μὴ μετὰ τὴν διήγησιν καὶ τὴν ἀπόκρισιν οἱ ἑκατέρου μέρους συνήγοροι τὸν ὅρκον τὸν νόμιμον παράσχωσιν, ἢ αὐτὰ τὰ πρωτότυπα πρόσωπα ὑπεισέλθωσιν ὅρκον, καὶ ὁ μὲν ἐνάγων ὀμόσῃ μὴ ψυχῇ τοῦ συκοφαντῆσαι

---

[1] Inscribendum: Ἐν δὲ τῷ ς' κεφ.

τὴν δίκην κεκινηκέναι, ἀλλ᾽ ἐν τῷ νομίζειν καλὴν ἑαυτῷ δίκην ἔχειν, ὁ δὲ ἐναγόμενος ὅτι νομίζων ἑαυτὸν καλῇ ἐνστάσει κεχρῆσθαι εἰς τὸ ἐναντιωθῆναι ἦλθε. καὶ μετὰ ταῦτα τοὺς ἑκατέρου μέρους συνηγόρους, ὅστις ἤδη διατυπωθείς ἐστι παρ᾽ ἡμῶν ὅρκος, τοῦτον παρέχειν, τῶν εὐαγγελίων πρὸ τοῦ δικαστοῦ κειμένων. ἐὰν δὲ ἢ ἀξία ἢ φύσις προσώπου μὴ συγχωρήσῃ αὐτὸ τὸ πρόσωπον πρὸς τὸν δικαστὴν παραγενέσθαι, ἐν τῷ οἴκῳ τοῦ δικαζομένου τὸν ὅρκον προβαίνειν, τοῦ ἑτέρου δηλαδὴ μέρους ἢ τοῦ ἐντολέως αὐτοῦ παρόντος.

47. Ἀνάγν. καὶ τί. ιε΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ὁ ὁμολογήσας παριστᾶν τὸν ἐφ᾽ ᾧ ἐνοχὴν ἢ ἀγωγὴν ἔχω, οἷος ἦν, ὀφείλει καὶ ἐν τῇ προκατάρξει παριστᾶν, ἵνα μὴ χείρων ἡ ἀγωγή μου γένηται.

48. Ἀνάγν. καὶ τί. ις΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Εἴκοσι μίλια καθ᾽ ἡμέραν λογίζεται τῷ ὀφείλοντι παραστῆναι, ὑπεξῃρημένης τῆς ἡμέρας, καθ᾽ ἣν ὡμολόγησε καὶ καθ᾽ ἣν αὐτὸν δεῖ παραστῆναι.

49. Ἐν δὲ τῷ ς΄ κεφ. Τοῦ ἀπολειφθέντος πράγματος δημοσίου αἰτίᾳ καὶ οἱ ἐγγυηταὶ βοηθοῦνται.

50. Ἐν δὲ τῷ η΄. Καὶ μετὰ τρεῖς καὶ πέντε καὶ πλείους ἡμέρας τοῦ ἐκπροθεσμίσαι τὸ δικαστήριον ὑποδεχόμενος ὁ ἐναγόμενος βοηθεῖται διὰ παραγραφῆς, εἰ μὴ ἐκ τῆς ὑπερθέσεως ὁ ἐνάγων ἐβλάβη[8].

51. Ἐν δὲ τῷ θ΄ κεφ. Ἐὰν ὁμολογήσω πολλοὺς δούλους παριστᾶν, καὶ τὸν ἕνα μὴ παραστήσω, βεβαιοῦται μὲν εἰς ὁλόκληρον ἡ ποινὴ, διὰ δὲ παραγραφῆς μόνην τὴν ἀναλογίαν τοῦ μὴ παραστάντος δίδωμι.

52. Ἐν δὲ τῷ ιη΄ τί. διαλαμβάνεται περὶ ἐκδόσεων· οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ὁ ἐνάγων τινὶ ὀφείλει τὴν ἀγωγὴν αὐτῷ προεκδοῦναι, ὥστε χώραν αὐτὸν σχεῖν ἢ διαλύσασθαι ἢ ἕτοιμον ὑπαντῆσαι. προεκδοῦναι δέ ἐστι καὶ τὸ παρασχεῖν αὐτῷ εὐχέρειαν μεταγράψασθαι, καὶ τὸ συντάξαι ἐν χάρτῃ καὶ παρασχεῖν, καὶ τὸ ὑπαγορεῦσαι, καὶ τὸ ἐπιδεῖξαι ἀπὸ τοῦ χάρτου τὴν ἀγωγὴν, ἢ προκομίσαι τὴν πυκτὴν, ὡς ἐν τῷ ς΄ κεφ. φησίν.

53. Ἐν δὲ τῷ η΄ κεφ. Ὁ μὴ ἐκδούς μοι ἐνέχεται εἰς ὃ διέφερέ μοι, ὅτε διελαλήθη περὶ τῆς ἐκδόσεως, εἴτε μηδὲν ὕστερον ἢ πλέον ἢ ἧττον διέφερέ μοι.

---

[8] Τυχὸν ἐν τῷ ἐκποιηθῆναι αὐτὸν δυνατῷ προσώπῳ ἢ φόρον ἕτερον ἔχοντι.

54. *Ἀνάγν. καὶ βι. θ' τί. α' κεφ. οη', ἐν ᾧ φησι·* Μηδὲ μετὰ προκάταρξιν ἐξέστω τινὶ παραιτήσασθαι τὸν δικαστὴν, μηδὲ πρὸ ἀποφάσεως ἐξέστω τινὶ ἐκκαλέσασθαι.

55. *Ἀνάγν. καὶ βι. να'*[1] *τί. δ' κεφ. κζ', ἐν ᾧ φησιν·* Ὁ ἐνάγων τὴν ἀγωγὴν ἑαυτοῦ[2] οὐ παραγραφῇ, ἀλλ' ἀντιπαραγραφῇ δύναται ἰσχυροποιεῖν.

56. *Ἀνάγν. καὶ βι. μβ' τί. δ', ἐν ᾧ διαλαμβάνεται περὶ τῶν ἐνδικάστως*[3] *ἐρωτωμένων καὶ ἀποκρινομένων, οὗτινος ἐν τῷ β' κεφ. φησί·* Πρὸς μόνην ἀπόδειξιν ἀρκεῖ ἡ τοῦ ἐρωτωμένου ἀπόκρισις, ἔν τε ταῖς κληρονομίαις, ἔν τε τοῖς ἄλλοις πράγμασιν.

57. *Ἐν δὲ τῷ ια' κεφ.* Ἐὰν ὁ μὴ ὢν κληρονόμος ἐρωτηθεὶς εἴπῃ κληρονομεῖν εἰς τόσον, ἐνάγεται πρὸς αὐτό· πιστεύεται γὰρ καθ' ἑαυτοῦ. εἰ δὲ καὶ μερικὸς ὢν ἢ μηδ' ὅλως εἴπῃ κληρονομεῖν, εἰς ὁλόκληρον ἐνάγεται.

Καὶ ὁ εἰπὼν εἰς ἧττον μέρος κληρονομεῖν, εἴπερ[4] ἐστὶν, εἰ μὴ εὐλόγως ἐπλανήθη. ἴσως γὰρ αὐτῷ προσηύξησεν ἀγνοοῦντι, ἢ εἰς ἄδηλον μέρος ἐγράφη κληρονόμος.

58. *Ἐν δὲ τῷ ιβ' κεφ.* Ἔξεστι τῷ ἀποκρινομένῳ μεταμέλεσθαι, εἰ μὴ ἐντεῦθεν ὁ ἐνάγων ζημιοῦται, καὶ μάλιστα εἰ μετὰ ταῦτά τις ἔγνω ἐκ δικαιωμάτων ἢ ἐπιστολῶν περὶ τοῦ ἰδίου δικαίου.

59. *Ἐν δὲ τῷ ιγ' κεφ.* Τότε πλαστῶς καταθέμενός τις ἐνέχεται, ὅταν ἀπὸ τῆς αἰτίας, ἐξ ἧς ἠρωτήθη, ἀγωγὴ κατά τινος ἁρμόζῃ. τὴν γὰρ καθ' ἑτέρου εἰς ἑαυτὸν μεταφέρει.

60. *Ἀνάγν. καὶ βι. μζ' τί. α' κεφ. λ', ἐν ᾧ φησιν·* Ὁ ἐν δικαστηρίῳ ἀποκρινόμενος μηδὲν ὀφείλεσθαι[5], τὴν ἰδίαν ἀγωγὴν ἀπόλλει. οὐδεὶς γὰρ δύναται ἀνατρέπειν ἣν ἐν δικαστηρίῳ ἐποιήσατο κατάθεσιν.

XXVII.

Περὶ διαλύσεων, καὶ πότε ἔξεστι διαλύεσθαι καὶ πότε οὐκ ἔξεστι, καὶ ποῖαι τῶν διαλύσεων οὐ κρατοῦσιν.

1. *Ἀνάγν. βι. ια' τί. β', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Ὁ διαλυόμενος ὡσανεὶ περὶ πράγματος ἀμφιβόλου καὶ δίκης ἀδήλου καὶ ἀπληρώτου διαλύεται· ὁ δὲ συμφωνῶν κατὰ δωρεὰν [πρᾶγμα] δῆλον καὶ ἀναμφίβολον φιλοτίμως συγχωρεῖ.

---

[1] Lips. et Leuncl. *νδ'*. [2] Leuncl. *τὴν ἐναγωγὴν τὴν ἑαυτοῦ.* [3] Leuncl. *ἐν δικαστηρίῳ.* [4] Leuncl. conj. *ἤπερ.* [5] Leuncl. *ἐποφ.*

2. Ἐν δὲ τῷ γ' κεφ. Ἐκ τῶν ἰδιωτικῶν συμφώνων ἕτερος οὐ βλάπτεται[a]. ὅθεν ἐὰν διαλύσηται ὁ γεγραμμένος κληρονόμος πρὸς τὴν μητέρα τοῦ διαθεμένου, οὐ δοκεῖ ἀκυροῦσθαι ἡ διαθήκη· ἀλλ' ἐνάγουσιν αὐτῷ οἱ λεγατάριοι καὶ οἱ ἐλευθερωθέντες.

3. Ἐὰν[1] ὁ λέγων ἑαυτὸν κληρονόμον διαλυσάμενος λάβη χρήματα, ὁ μετὰ ταῦτα φαινόμενος κληρονόμος οὐ λαμβάνει αὐτὰ παρ' αὐτοῦ, οὔτε κέχρηται τῇ παραγραφῇ τῆς διαλύσεως.

4. Ἐν δὲ τῷ ς' κεφ. Περὶ τῶν ἐκ διαθήκης φιλονεικίαν ἐχόντων[b] οὔτε διαλύεσθαι δυνατὸν οὔτε τὸ ἀληθὲς ζητεῖσθαι, μὴ προκομιζομένων τῶν τῆς διαθήκης ῥημάτων.

5. Ὁ[2] ἐκκαλεσάμενος ἢ δυνάμενος ἐκκαλέσασθαι [καλῶς] διαλύεται.

6. Ἐν δὲ τῷ η' κεφ. θέμ. ις' φησίν· Ἐὰν διαλύσωμαι πρὸς τοὺς ἐπιτρόπους μου περὶ τοῦ ἐμοῦ μέρους, οὐ κωλύομαι κινεῖν αὐτοὺς ἐκ τοῦ προσώπου τοῦ ἀδελφοῦ κληρονομῶν αὐτοῦ.

7. Ἐν δὲ τῷ ιζ' θέμ. Πᾶσα διάλυσις ἐπὶ μόνοις κρατεῖ τοῖς συναρέσασιν.

8. Ἐν δὲ τῷ ιη' θέμ. Ὁ κατὰ ἀπάτην τῶν συγκληρονόμων αὐτοῦ τὸ ἀληθὲς ἀγνοῶν, διαλυσάμενος [οὐκ] ἀκουιλιανῶς, ἀπατᾶσθαι, οὐ μὴν συμφωνεῖν δοκεῖ.

9. Ἐν δὲ τῷ ιθ' θέμ. Ὁ ἀγνοῶν κατενεχθῆναι αὐτῷ τὴν περὶ τῆς διαθήκης μέμψιν, ἐὰν περί τινων ἑτέρων πρὸς τὸν ἀντίδικον διαλύσηται, ἐν αὐτοῖς μόνοις βλάπτεται.

10. Ἐν δὲ τῷ κ'[3] θέμ.[4] Οὐδὲ τοὺς τελείους βλάπτει διάλυσις, εἰ μὴ ἐφ' οἷς γέγονεν, οὐ μὴν τοῖς ὕστερον ἁρμόσασιν αὐτῷ, περὶ ὧν μὴ ἀποδείκνυται ἐνθυμηθείς.

11. Ἐν δὲ τῷ κα' θέμ. Ἡ παρὰ τοῦ πατρὸς γενομένη διάλυσις ἐπὶ πράγματι τοῦ αὐτεξουσίου παιδὸς οὐκ ἀντίκειται τῷ παιδί.

---

[a] Ἀνάγν. βι. ζ' τοῦ κώδ. τί. ξ' κεφ. α', ἐν ᾧ φησι, τὰ[5] μεταξὺ ἄλλων γενόμενα ἄλλους οὐ βλάπτει. καὶ ἡ μετ' ἄλλου γενομένη διάλυσις ἕτερον οὐ προκριματίζει. οὐδὲ ὠφελεῖ ἄλλον ἡ μεταξὺ ἑτέρου προβᾶσα διάλυσις.

[b] Ζήτει εἰς τὸ περὶ διαθήκης κεφ. ιζ'.

---

[1] Hoc caput ordinem turbat et fortassis ex margine in textum irrepsit. Neque enim est ex titulo de transactionibus. [2] Inscribendum: Ἐν δὲ τῷ ζ' κεφ. [3] Lips. η'. [4] Lips. et Leuncl. κεφ. [5] Haec verba: τὰ μεταξὺ κτλ. Lips. in textu collocat in fine c. 3.

12. Ἐν δὲ τῷ κβ' κεφ. Μετὰ ψῆφον, κἂν μὴ ἐκκληθῇ, δυνατὸν δυαλύεσθαι, ὅτε ἀρνεῖται ψηφισθῆναι, ἢ δύναται ἀγνοεῖσθαι ὅτι ἐψηφίσθη. ἔτι γὰρ τὰ μέρη δύνανται δικάζεσθαι[c].

13. Ἐν δὲ τῷ κζ' κεφ. Ὁ νομίμως διαλυόμενος καὶ ποινὴν ἐκ παραβασίας πρὸς τῷ ἐῤῥῶσθαι τὴν διάλυσιν ὁμολογῶν ἀπαιτεῖται[d].

14. Ἐν δὲ τῷ κδ' κεφ. Τὰς ὑποθέσεις αὐτὰς ἤτοι τὰς δίκας τὰς διαλύσεσι νομίμοις περαιωθείσας οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς ἀνατρέπεσθαι χρή.

15. Ἐν δὲ τῷ κϛ' κεφ. Ἐπὶ μὲν τῶν δι' αἵματος ἐχόντων τὴν τιμωρίαν ἐγκλημάτων ἔξεστι διαλύεσθαι χωρὶς τοῦ τῆς μοιχείας ἐγκλήματος· ἐπὶ δὲ τῶν ἄλλων τῶν μὴ ἐχόντων ἐν αἵματι τὴν τιμωρίαν οὐκ ἔξεστι διαλύεσθαι χωρὶς τοῦ τῆς πλαστογραφίας ἐγκλήματος. τὸ γὰρ τῆς πλαστογραφίας ἔγκλημα, εἰ καὶ μὴ ἔχει δι' αἵματος τὴν τιμωρίαν, ὅμως ἔξεστιν ἐπ' αὐτῷ διαλύεσθαι. ἁπλῶς οὖν κανόνισον σεαυτὸν κατὰ τὴν διάταξιν· ὅτι εἰς μὲν τὰ δι' αἵματος ἐπιφέροντα τὴν τιμωρίαν καλῶς διαλυόμεθα, ὑπεξῃρημένου τοῦ τῆς μοιχείας ἐγκλήματος· ὅσα δὲ μὴ ἔχει δι' αἵματος τὴν τιμωρίαν, ἐπὶ τούτοις οὐκ ἔῤῥωται ἡ διάλυσις, χωρὶς τοῦ τῆς πλαστογραφίας ἐγκλήματος[e].

16. Ἐν δὲ τῷ κζ' κεφ. Διαλυσάμενός τις καὶ βουλόμενος ἀνατρέψαι τὴν διάλυσιν ἔλεγεν, ὅτι μὴ ἔχων μου τὰ δικαιώματα ὅτε διελυσάμην συνηρπάγην ὑπὸ τοῦ ἐμοῦ ἀντιδίκου· νῦν δὲ εὗρον τὰ ἐμὰ δικαιώματα, καὶ παρακαλῶ τὴν διάλυσιν ἀνατρέψαι. ἀλλὰ ὁ βασιλεὺς ταύτην αὐτοῦ τὴν δικαιολογίαν οὐ προσεδέξατο, λέγει δὲ ὡς ἐὰν ἀποδείξῃς, ὅτι ὁ διάδικός σου ἢ δι' ἑαυτοῦ ἢ δι' ἑτέρου ὑφείλετο τὰ δικαιώματά σου,

---

c Ζήτει βι. με' τί. α κεφ. κϛ' θέμ. γ' τὰ κριθέντα παρὰ δικαστοῦ ἁρμοδίου ἢ καλῇ πίστει διαλυθέντα συναινέσει ἢ σιωπῇ τῶν ἡμερῶν κυρία ἐστί.

d Ὁμοίως φησὶ καὶ νεαρὰ με'.

e Ἐν [1] τοῖς ἔχουσι θάνατον τὴν καταδικὴν ἔξεστι τῷ ἐναγομένῳ ὑποφθείρειν τὸν ἀντίδικον, καθὼς καὶ ἐν τῷ περὶ ὑποφθορᾶς εὑρήσεις σαφέστερον. ἀνάγν. καὶ τὸ ζ' κεφ. τοῦ β' τί. τοῦ ι' βι., ὅπερ εὑρήσεις κείμενον πρῶτον ἐν τῷ περὶ τῶν ἐπὶ αἰσχρᾷ αἰτίᾳ δεδομένων. ἀνάγν. καὶ τοῦ ξ' βι. τί. λζ' κεφ. μθ', ἐν ᾧ φησιν, ὅτι περὶ τοῦ ἐγκλήματος τῆς μοιχείας συμφωνεῖν οὐκ ἔξεστι.

---

[1] Haec usque ad v. *σαφέστερον* in textu collocat Lips. post c. 16.

δι' ὧν ἡ ἀλήθεια ἀπεδείκνυτο, καὶ οὕτω τὴν πρὸς σὲ διάλυσιν ἐποιήσατο, εἰ μὲν ἔτι σώζεταί σοι ἡ ἀγωγὴ (μέχρι γὰρ ψιλῶν συμφώνων διελύσατο), ἐπιτρέπω σοι κινῆσαι καὶ μετὰ τὴν διάλυσιν τὴν σὴν ἀγωγήν. καὶ ἐὰν ἐκεῖνος ἀντιθήσει σοι τὴν τοῦ συμφώνου παραγραφὴν, δίδωμί σοι δόλου ἀντιπαραγραφήν. εἰ δὲ τελείως ἀνηρέθη σου ἡ ἀγωγὴ διὰ τῆς διαλύσεως, δίδωμί σοι κατ' αὐτοῦ τὴν περὶ δόλου ἀγωγὴν εἴσω τῶν ὡρισμένων αὐτῇ χρόνων[f].

17. Ἐν δὲ τῷ λ' κεφ. Διαλυσάμενός τις ἐν μείζονι ἡλικίᾳ τῶν κε' ἐνιαυτῶν ἅμα τῷ γενέσθαι τὴν διάλυσιν διεμαρτύρατο τὸν διαλυσάμενον ὡς δόλον αὐτῷ πεποιηκότα, καὶ μετὰ τοῦτο προσῆλθε βασιλεῖ θέλων ἀνατρέψαι τὴν διάλυσιν. καὶ ἀντέγραψε πρὸς αὐτὸν ὁ βασιλεὺς οὕτως· εἰ μείζων ὑπάρχων διελύσω, εἰς ἀνατροπὴν τῆς διαλύσεως ἡ περὶ δόλου μαρτυρία[1] οὐκ ἐξαρκεῖ.

18. Ἐν δὲ τῷ λϛ' κεφ. Ἡ διάταξις ἐν ἀρχῇ κανόνα θαυμάσιον ἐκτίθεται τὸν λέγοντα, ὅτι καὶ ἡ ἐν ὑπομνήμασι καὶ ἡ χωρὶς ὑπομνημάτων καὶ ἡ ἐγγράφως καὶ ἡ ἀγράφως γενομένη διάλυσις βεβαία ἐστί. λοιπὸν ἕτερον νόμιμον ἐπιφέρει τοιοῦτον· ἐπειδὴ ῥητά τινά σε λαβεῖν συνεφωνήθη ἐκ τῶν ἀγράφων, καὶ οὐδὲ ἐπερώτησις ἐπηνέχθη, εἰ καὶ τὰ μάλιστα ἀπὸ συμφώνων οὐκ ἠδύνατο τίκτεσθαι ἀγωγὴ, ὅμως ἐὰν ἐκδικήσῃς τὰ πράγματα περὶ ὧν διελύσω, εἰ ὁ πρὸς σὲ διαλυσάμενος συμφώνου παραγραφὴν ἀντιθήσει σοι, διὰ ἀντιπαραγραφῆς δόλου ἢ ἳν φακτοὺμ[g], δύνασαι αὐτὸν συνελάσαι πληρῶσαί σε[2] τὰ ἐπαγγελθέντα.

19. Ἐν δὲ τῷ λζ' κεφ. Περὶ πραγμάτων τινῶν δύο τινὲς πρὸς ἀλλήλους ἐφιλονείκουν, καὶ ὁ περὶ τούτων τῶν πραγμάτων ἐναγόμενος διελύσατο. ἀλλὰ μετὰ τὴν διάλυσιν ἀπεδείχθη, ὅτι παρ' ἑτέρῳ ἦν ταῦτα τὰ πράγματα, καὶ ἐβούλετο ὁ περὶ αὐτῶν διαλυσάμενος ἀνατρέψαι τὴν διάλυσιν, λέγων· ἐπειδὴ περὶ τούτων τῶν πραγμάτων ὡς νεμόμενος αὐτὰ διελυσάμην, ἰδοὺ δὲ ἐφάνη παρ' ἑτέρῳ εἶναι ταῦτα τὰ πράγματα, παρακαλῶ τὴν διάλυσιν ἀνατραπῆναι, καὶ λαβεῖν

f Τουτέστιν ἐνιαυτῶν β'.

g Ἳν φακτοὺμ ἀγωγὴ ἀπαιτοῦσα ἐντὸς μὲν ἐνιαυτοῦ τὸ διπλοῦν, μετὰ δὲ ἐνιαυτὸν τὸ ἁπλοῦν.

1 Leuncl. ἡ περὶ τοῦ δ. διαμαρτυρία. 2 Leuncl. κυρῶσαί σοι.

ἅτινα δέδωκα λόγῳ διαλύσεως. ταύτην τοίνυν ἀποδοκιμάζουσα τὴν αἴτησιν ἡ διάταξις ἀντιγράφει οὕτως· προφάσει τῶν εἰδῶν τῶν μετὰ ταῦτα εὑρεθέντων τὰ τῇ διαλύσει περαιωθέντα ἀνατρέπεσθαι κωλύουσιν οἱ νόμοι.

20. Ἐν δὲ τῷ λθ' κεφ. Ὁ περὶ μιᾶς αἰτίας ἐνάγων καὶ διαλυσάμενος, εἰ καὶ ῥητῶς ἐπαγάγῃ μηδὲν πλέον ἀπαιτεῖν, καὶ μηδὲ προσθήσει τὸ ταύτης ἕνεκεν τῆς αἰτίας, ὅμως ἐῤῥωμένας ἔχει τὰς ἐξ ἄλλων αἰτιῶν ἁρμοζούσας αὐτῷ κατ' ἐκείνου πρὸς ὃν διελύσατο ἀγωγάς.

21. Ἐν δὲ τῷ μ' κεφ. Ἡ κατὰ διάγνωσιν ἐξενεχθεῖσα ἀπόφασις κατὰ τὴν τῶν νόμων παράδοσιν εἰ μήτε δι' ἐκκλήτου μήτε δι' ἀποκαταστάσεως ἀνηρτήθη, περὶ τῆς τοιαύτης ἀποφάσεως μάτην γίνεσθαι διάλυσιν οὐκ ἔστιν ἀμφίβολον. τοιγαροῦν εἰ μὴ ἀκουιλιανῆς ἐπερωτήσεως καὶ[1] ἀμεριμνίας ἐπακολουθησάσης τὴν ἁρμόζουσάν σοι ἀνεῖλες ἀγωγὴν, ὁ ἄρχων τῆς ἐπαρχίας τῷ εἰωθότι τρόπῳ τῶν νόμων τοῖς κεκριμένοις πράγμασι πέρας ἐπιθεῖναι καὶ ἀποτέλεσμα σπουδάσει.

22. Ἐν δὲ τῷ μδ' κεφ. Εἰ μετὰ ἐλευθέρων διαλύσεταί τις ἐν τῷ εἶναι μείζων τῶν κε' ἐνιαυτῶν ἐπὶ τῷ τινα λαβεῖν παρ' αὐτῶν, εἰ καὶ τὰ μάλιστα μήπω δεδώκασιν οἱ διαλυσάμενοι τὰ ἐπαγγελθέντα, ἀλλ' οὐδὲ νῦν ἐναγόμενοι παρ' αὐτοῦ προσφέρουσιν αὐτῷ τὰ ἐπαγγελθέντα, ὅμως καλῶς κέχρηνται τῇ τοῦ συμφώνου παραγραφῇ τῇ ἀπὸ τῆς διαλύσεως αὐτοῖς ἁρμοσάσῃ.

23. Ἐν δὲ τῷ με' κεφ. Διελύσατό τις ἐπαγγειλάμενος ῥητά τινα δώσειν[2] ὑπὲρ τῆς διαλύσεως, ἐπερωτήθη δὲ, εἰ ἐναντίον τίποτε τῇ διαλύσει ποιήσει, φανερὸν διδόναι πρόστιμον. ἀλλ' οὐ κατέβαλεν ἅπερ συνεφώνησε. λέγει τοίνυν ἡ διάταξις· τῶν ἐπαγγελθέντων ἕνεκεν διαλύσεως μὴ καταβληθέντων τὸ πρόστιμον τὸ εἰς ἐπερώτησιν κατενεχθὲν, εἰ ἐναντίον τίποτε γένηται, ἀπαιτεῖσθαι δύνασθαι ὡμολόγηται.

24. Οἶδας[3] τὴν κυριότητα τοῦ συμφώνου καὶ τῆς διαλύσεως, ὅτι σύμφωνον μέν ἐστιν ὁμολογουμένου χρέους συγχώρησις, διάλυσις δὲ ἀμφιβαλλομένου χρέους συμβιβασμός. τούτων οὖν μεμνημένος ἐλθὲ ἐπὶ τὸ προκείμενον. πολλάκις φιλονεικίαν ἔχων πρός τινα καὶ μὴ δυνάμενος αὐτὸν συμπεῖ-

---

[1] Leuncl. καὶ ἀποχῆς καὶ ἀμερ. [2] Leuncl. καταβαλεῖν. [3] In Lips. haec uno tenore praecedenti capiti subjiciuntur. Inscribendum erat: Ἐν δὲ τῷ μς' κεφ.

σαι εἰπεῖν μοι τὸ ἀληθὲς ἢ ἀπραγμόνως ἀπαλλαγῆναί μου, ἦλθον ἐξ ἀπορίας εἰς τὸ εἰπεῖν αὐτῷ, ἄπελθε ἑταῖρε, οὐ δύναμαί σοι, διαλέλυμαι[1] πρὸς σέ· ἢ καὶ φίλοι μου πολλάκις παρεκάλεσάν με διαλύσασθαι πρὸς τὸν ἐμὸν διάδικον, καὶ εἶπον ὅτι διαλύομαι· ἆρα διάλυσις τοῦτό ἐστι; λέγει τοίνυν ἡ διάταξις, ὅτι πᾶσα διάλυσις ἢ δοθῆναι τίποτε ζητεῖ τῷ διαλυσαμένῳ, ἢ παρακατασχεθῆναι τίποτε παρ᾽ αὐτοῦ, ἢ ἐπαγγελθῆναι τίποτε αὐτῷ. καὶ εἰ μηδὲν τούτων γένηται, οὐκ ἔστι διάλυσις. διάλυσις γὰρ οὐδενὸς δοθέντος ἢ παρακατασχεθέντος ἢ ὁμολογηθέντος ἤτοι ἐπαγγελθέντος οὐδαμῶς προβαίνει.

25. Ἐν δὲ τῷ μζ΄ κεφ. Διαλυσάμενός τις εὐθέως μετεμελήθη, καὶ προσῆλθε βασιλεῖ λέγων· ὅτι ἔμαθον παρά τινων ὡς ἔξεστι τῷ διαλυσαμένῳ εἴσω φανεροῦ χρόνου ἀνατρέπειν τὴν διάλυσιν ἣν ἐποιήσατο. μὴ προσδεχόμενος οὖν τὴν αἴτησιν αὐτοῦ ὁ βασιλεὺς ἀντέγραψε πρὸς αὐτὸν οὕτως· εἰ καὶ τὰ μάλιστα ἐκεῖνον τὸν συμφωνήσαντα παραχρῆμα μετάμελος εἰσέλθοι, ὅμως ἡ διάλυσις ἀνασχεθῆναι[2] καὶ ἡ δίκη ἀνανεωθῆναι οὐ δύναται. καὶ εἴ τίς σοι συνεβούλευσεν, ὡς ἐντὸς ῥητοῦ ἔξεστι τῆς διαλύσεως ἀναχωρεῖν τὸν ἅπαξ διαλυσάμενον, πλαστόν τίποτε καὶ ψευδές σοι διεβεβαιώσατο.

26. Ἐν δὲ τῷ μη΄ κεφ. Ἡ διάταξις αὕτη παρακελεύεται τὸν συμφωνήσαντα ἤτοι διαλυσάμενον ἐγγράφως, καὶ ἐπαγαγόντα καὶ ἀκουιλιανὴν ἐπερώτησιν καὶ ἀποχὴν καὶ ἀμεριμνίαν, ἢ φυλάττειν βεβαίαν τὴν διάλυσιν, ἢ παραβαίνοντα καὶ τὸ πρόστιμον ἀπαιτεῖσθαι ὅπερ ἐπερώτηται[3] καὶ διδόναι ἐκεῖνα, ὅσα λόγῳ διαλύσεως ἔλαβεν.

27. Ἐν δὲ τῷ μθ΄ κεφ. Ἐάν τις μείζων τῶν κε΄ ἐτῶν ὑπὸ μηδενὸς ἀναγκαζόμενος κατὰ δοκιμασίαν οἰκείαν ἑκουσίως σύμφωνα ποιησάμενος ἢ διαλύσεις βουληθείη ἀνατρέψαι τὰ παρ᾽ αὐτοῦ γεγονότα, ἢ ἄρχοντι προσιὼν ἢ δεήσεις ἐπιδιδοὺς βασιλεῖ ἢ μὴ πληρῶν τὰ ἐπαγγελθέντα, ταύτας δὲ τὰς διαλύσεις ἐβεβαίωσε τῇ ἐπικλήσει τοῦ πάντα δυναμένου θεοῦ, μὴ μόνον ἀτιμούσθω, ἀλλὰ καὶ πάσης ἀγωγῆς ἁρμοζούσης αὐτῷ ἀποστερείσθω, διδότω δὲ καὶ τὸ πρόστιμον ὅπερ ἐν τοῖς συμφώνοις ἢ ταῖς διαλύσεσιν ἔγκειται, καὶ ἐκπιπτέτω τῆς δεσποτείας τῶν πραγμάτων ἐκείνων, ἅτινα προφάσει τοῦ

---

[1] Leuncl. οὐ δύν. διαλύσασθαι πρὸς σέ. [2] Basil. ἀνασχισθῆναι.
[3] Leuncl. ἐπηρωτήθη.

συμφώνου ἢ τῆς διαλύσεως ἐκέρδησε. ταῦτα δὲ πάντα ὅσα οὗτος ὁ παραβαίνων τὴν διάλυσιν ζημιοῦται, κερδαινέτω τὸ ἕτερον μέρος τὸ σπουδάσαν φυλάξαι βεβαίαν τὴν διάλυσιν. καὶ ἐκείνους δέ, φησι, τῆς αὐτῆς ζημίας ἀξίους εἶναι κελεύομεν, οἵτινες τὴν ἡμετέραν θειότητα τοῖς συμφώνοις ἢ ταῖς διαλύσεσιν ἐντιθέντες κατὰ τῆς σωτηρίας τῶν βασιλέων ἐπωμόσαντο φυλάττειν τὰ σύμφωνα ἤτοι τὰς διαλύσεις ἃς παρέβησαν.

28. Ἐν δὲ τῷ ν΄[1] κεφ. Ἐάν τις πλαστὸν λόγου χάριν γραμματεῖον προσενεγκὼν κατ᾽ ἐμοῦ ὡς χρεώστην με μεθώδευεν, ἢ πλαστὴν διαθήκην ἢ κωδίκελλον προσενεγκὼν ἀπῄτει με δῆθεν λεγάτον ἐν τούτοις τοῖς συμβολαίοις αὐτῷ καταλειφθέν, ἐγὼ δὲ πρὸς τὴν τοιαύτην ἐναγωγὴν διελυσάμην, ἔξεστί μοι εἰ καὶ ἐνωμότως γέγονεν ἡ διάλυσις, ἀνατρέπειν αὐτὴν ὡς προφάσει πλαστῶν δικαιωμάτων γενομένην. ἐπειδὴ δὲ εἰκὸς ἦν ἐμοῦ τὴν διάλυσιν ἀνατρέπειν ἐπιχειροῦντος τὸν ἐμὸν διάδικον λέγειν, ὅτι εἰ θαῤῥεῖς πλαστὴν εἶναι τὴν διαθήκην, ἔγγραψαι κατ᾽ ἐμοῦ τὸ τῆς πλαστογραφίας ἔγκλημα, καὶ τῷ φόβῳ τῶν ἐγγραφῶν διαταράττομαι, ἐπήγαγε καὶ τοῦτο καλῶς ἡ διάταξις, ὥστε καὶ χωρὶς ἐγγραφῶν ἐξεῖναι τοῦτο αὐτὸ ζητεῖν τὸ εἰ πλαστὸν ἦν τὸ συμβόλαιον ἐξ οὗ διελυσάμην. εἰ δὲ περὶ πολλῶν κεφαλαίων γέγονε μεταξὺ ἡμῶν ἡ διάλυσις, ἐκ δὲ τούτων τῶν πολλῶν κεφαλαίων ἓν μόνον κεφάλαιον ἐκ τῶν πλαστῶν συμβολαίων ἐκινεῖτό μοι, νομοθετεῖ ἡ διάταξις, αὐτὸ μόνον τὸ ἓν κεφάλαιον τὸ ἐκ τῶν πλαστῶν συμβολαίων εἰς διάλυσιν ἐνεχθὲν ἀναψηλαφᾶσθαι, τὰ δὲ ἄλλα κεφάλαια μένειν βέβαια. ἐπιτρέπει δὲ καὶ ἔνθα περὶ αὐτοῦ τούτου ζητεῖται, εἰ ἀπὸ πλαστῶν συμβολαίων ἡ διάλυσις γέγονε, διαλύεσθαι τοὺς πρὸς ἀλλήλους περὶ τούτου φιλονεικοῦντας.

29. Ἐν δὲ τῷ νβ΄ κεφ. Εἰ καί τις κατὰ πλάνην ψήφου πιστεύσας χρεωστεῖν ποσότητά τινα, ἣν ταῖς ἀληθείαις οὐκ ἐχρεώστει, ἐπερωτηθῇ ταύτην τὴν ποσότητα καταβαλεῖν, δύναται κινῶν τὸν περὶ τῶν μὴ χρεωστουμένων δίκαιον λόγον ἀπαιτεῖν γενέσθαι αὐτῷ ἐλευθερίαν τοῦ χρέους.

30. Ἀνάγν. καὶ τί. α΄[2] τοῦ αὐτοῦ ια΄ βι. κεφ. κη΄, ἐν ᾧ φησιν· Ἐὰν διέλωμαι μετὰ τοῦ ἀδελφοῦ [μου] τὸν μητρῷον κλῆρον ἐγγράφως, καὶ ὑπογράψω μὲν μηδὲν μεμενηκέναι κοινόν, εὕρω δέ

[1] Lips. et Leuncl. η΄. [2] Lips. ια΄.

τινα τὸν ἀδελφὸν ἀποκρυψάμενον, ὧν οὐ γέγονεν ἐν τῷ ἐγγράφῳ μνήμη, καλῶς κινῶ. καὶ εἰ χρήσεται τῇ τοῦ συμφώνου παραγραφῇ, ἀντιπαραγράφομαι τῇ τοῦ δόλου, περὶ ὧν διελυσάμην ἀγνοῶν τὸ πλημμέλημα.

31. Καὶ κεφ. λβ' καὶ κεφ. η'.

32. Ἀνάγν. καὶ βι. ιζ' [1] τί. ις' κεφ. α' θεμ. β' καὶ βι. κδ' [τί. ς' [2]] κεφ. ιη', ἐν ᾧ φησιν· Μετὰ ψῆφον ἐῤῥωμένην [h] οὐκ ἰσχυρῶς [i] τις διαλύσεται. ἐὰν οὖν τις ἐπὶ τῇ τοιαύτῃ διαλύσει τὶ δῷ, ἀναλαμβάνει, μᾶλλον δὲ τὸ δοθὲν καταλογίζεται εἰς ἱκανοδοσίαν. εἰ δὲ μετὰ τὴν ψῆφον παρηκολούθησεν ἔκκλητος, ἢ ἀμφιβάλλεται εἰ ὅλως ἐψηφίσθη, ἢ ἐὰν μὴ ἔῤῥωται ἡ ψῆφος, ἰσχύει ἡ διάλυσις.

33. Ἀνάγν. καὶ βι. ξ' τί. μα' κεφ. μβ', ἐν ᾧ φησιν· Ὁ διαβαλὼν χάρτην ὡς πλαστὸν, καὶ ὅμως μετὰ ταῦτα διαλυσάμενος, οὐ δύναται μετὰ ταῦτα τὴν διάλυσιν ἀνατρέπειν.

XXVIII.

Περὶ διασεισμῶν.

1. Ἀνάγν. βι. ξ' τί. κδ', ἐν ᾧ φησιν· Ὅτι ἐὰν πλασάμενός τις κέλευσιν ἄρχοντος διασείσῃ τινὰ, καὶ ἀναδίδωσιν ὅπερ ἔλαβε [a], καὶ σωφρονίζεται.

2. Τὸ [3] περὶ τοῦ διασεισμοῦ δικαστήριον οὐκ ἔστι ποινάλιον. εἰ μέντοι τὶς ἀπειλήσας ἔγκλημα λάβῃ χρήματα, ὑπόκειται τῷ κορνελίῳ ἐκ τοῦ κεφαλαίου τοῦ διαλαμβάνοντος [4] περὶ τῶν συνιόντων εἰς κατηγορίαν τινὸς ἀναιτίου, ἢ λαβόντων χρήματα ἐπὶ τῷ κατηγορῆσαι [ἢ μὴ κατηγορῆσαι] ἢ διὰ τὸ μαρτυρῆσαι ἢ μὴ καταμαρτυρῆσαι.

3. Ἀνάγν. καὶ τί. μγ' κεφ. ιβ' θέμ. β'.

---

h Ἐῤῥωμένην φησὶ τὴν ἐκκλήτῳ δοκιμασθεῖσαν ἢ τὴν μὴ ἐκκλητευομένην διὰ τὸ παρελθεῖν τὸν χρόνον τῆς ἐκκλήτου ἤγουν τὴν διετίαν. ἡ γὰρ ἔκκλητος ἐντὸς διετίας ὀφείλει δίδοσθαι καὶ ἐντὸς ταύτης τελεῖσθαι.

i Μὴ ἀκολουθησάσης δηλονότι ἀκουιλιανῆς ἐπερωτήσεως καὶ ἀποχῆς καὶ ἀμεριμνίας· ὡς ἐν τῷ μ' κεφ. τοῦ β' τί. τοῦ ια' βι. φησίν.

a Χώρα δὲ τῇ ἰμφακτοὺμ εἰς τὸ ἀναλαβεῖν εἴσω ἐνιαυτοῦ τετραπλάσιον τὸ διὰ τοιαύτην αἰτίαν δοθέν.

---

1 Lips. ζ'. 2 Leuncl. ις'. 3 Inscribendum: Ἐν δὲ τῷ β' κεφ.
4 Leuncl. et Basil. διαγορεύοντος.

XXIX.

Περὶ διαφθειρόντων τὸ προτεθὲν ἢ μέλλον προτίθεσθαι ἐπὶ διηνεκεῖ αἰτίᾳ πρόσταγμα.

1. *Ἀνάγν. βι. ζ' τί. γ' κεφ. ζ', ἐν ᾧ φησιν·* Ὁ τὸ προτεθὲν πρόσταγμα ἢ μέλλον προτίθεσθαι ἐπὶ διηνεκεῖ οὐ μὴν προσκαίρῳ αἰτίᾳ δόλῳ διαφθείρας πεντακόσια νομίσματα δίδωσι διὰ διηνεκοῦς ἀγωγῆς, εἴτε δοῦλός ἐστιν εἴτε ὑπεξούσιος ἢ ἀνὴρ ἢ γυνή[a]. δοῦλοι δὲ οἱ μὴ [δι]εκδικούμενοι παρὰ τῶν δεσποτῶν καὶ οἱ ἄποροι σωματικῶς τιμωροῦνται. ὁ δὲ κατὰ ἀπειρίαν ἢ ἀγροικότητα ἢ κατὰ τύχην ἢ κελεύσει τοῦ πραίτωρος διαφθείρας οὐχ ὑπόκειται. ἐνέχεται καὶ ὁ μὴ διαφθείρας, ἀλλὰ περιελών, καὶ ὁ δι' ἑαυτοῦ ποιῶν καὶ ὁ ἄλλῳ ἐντελλόμενος. οὐκ ἐνέχεται δὲ ὁ ἐνταλθείς, εἰ μὴ κατὰ δόλον ἐποίησε. καὶ πολλοὶ γὰρ διαφθείραντες ἢ ἐντειλάμενοι ἐνέχονται.

2. Καὶ[1] οὐκ ἀρκεῖ τὸν ἕνα δοῦναι τὴν ποινήν.

3. *Καὶ κεφ. θ'.*

XXX.

Περὶ τῶν διδομένων ἢ δρωμένων ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἢ ἐπὶ ἄλλῃ τινὶ οἱᾳδήποτε ὑποθέσει, καὶ περὶ τῶν ταῦτα διδόντων καὶ τῶν δεχομένων, καὶ πότε ἀπαιτοῦνται τὰ δοθέντα καὶ πότε οὐκ ἀπαιτοῦνται.

1. *Ἀνάγν. βι. ι' τί. β' κεφ. ζ', ἐν ᾧ φησιν·* Ὁ κατασχεθεὶς ἐπὶ μοιχείᾳ ἢ κλοπῇ ἤ τινι ἁμαρτήματι ἐὰν δῷ τι ἢ ὁμολογήσῃ ὥστε μὴ παραδοθῆναι ἢ φονευθῆναι ἢ δεθῆναι, ἔχει τὴν τῆς δόσεως αἰτίασιν[a], εἰ καὶ τὰ μάλιστα οὐ πάντα μοιχὸν ἢ κλέπτην ἔξεστι φονεύειν, ἀλλὰ τὸν ἀκοντίῳ ἑαυτὸν διεκδικοῦντα.

Ὁ δὲ λαβὼν ὑπὲρ προφανοῦς μοιχικοῦ καὶ τῷ περὶ μοιχείας ἐνέχεται.

2. *Καὶ κεφ. η', ἐν ᾧ φησιν·* Ὁ λαβὼν ἐπὶ τῷ μὴ ἀφανίσαι τὰ δικαιώματα τῆς καταστάσεώς μου ὑπόκειται τῇ τῆς δόσεως αἰτιάσει, ἐὰν ἐνήχθην καὶ χωρὶς αὐτῶν οὐκ ἠδυνάμην νικῆσαι[2].

---

[a] *Οὗτοι δὲ καὶ τῷ τῆς πλαστογραφίας ἐγκλήματι ὑπόκεινται.*

[a] *Τουτέστιν εἰς τὸ ἀναλαβεῖν ὃ δέδωκεν.*

---

[1] Inscribendum: *Ἐν δὲ τῷ η' κεφ.* [2] Lips. *κινῆσαι.*

3. *Καὶ κεφ. θ', ἐν ᾧ φησιν·* Ἐὰν ἀνὴρ ἢ γυνὴ δῷ, ἵνα μηδὲν αἰσχρὸν ἢ αὐτὸς ἢ τέκνον αὐτοῦ ὑποστῇ, ἔχει τὴν τῆς δόσεως αἰτίασιν. οὗτος γὰρ ὁ φόβος μείζων ἐστὶ τοῦ θανάτου.

Ὁ δὲ λαβὼν ἢ ὁμολογηθεὶς[1] ἐπὶ τῷ φυλάξαι ἢ ἐλευθερῶσαί τινα λῃστῶν ἢ πολεμίων οὐκ ἐνέχεται, εἰ μὴ μετέσχε τῆς βίας· ὑπουργίας γὰρ μισθὸν ἔλαβεν.

4. *Ἀνάγν. καὶ βι. κ' τί. γ' κεφ. ζ', ἐν ᾧ φησιν·* Ὁ πρᾶγμα λαβὼν ἐπὶ αἰτίᾳ ἢ τὴν αἰτίαν ὀφείλει πληροῦν ἢ ὅπερ ἔλαβεν ἀναδιδόναι.

5. *Καὶ κεφ. η' καὶ κεφ. θ' θέμ. β' καὶ τί. δ', οὗτινος ἐν τῷ κεφ. φησίν·* Ἐὰν παράσχῃς μοί τι ὑπὲρ τοῦ μηνῦσαί με τὸν φυγάδα σου, οὐκ ἀναλαμβάνεις ὅπερ παρέσχες μοι. εἰ δὲ συνέδοξε δοθῆναι, χώρα τῇ περὶ τῶν προγεγραμμένων συμφώνων ἀγωγῇ, καὶ τῇ περὶ δόλου, εἰ παρηκολούθησε δόλος.

6. *Ἀνάγν. καὶ βι. κδ' τί. α', οὗτινος ἐν τῷ γ' κεφ. θέμ. δ' φησίν·* Εἰ καὶ ἐλπίζων γενέσθαι μοι φίλον ἢ ἀντιδωρεῖσθαί μοι τὸν λαμβάνοντα ἐξ ἐμοῦ δώσω καὶ ψευσθῶ τῆς ἐλπίδος μου, [ὅμως] οὐκ ἀναλαμβάνω.

7. *Ἐν δὲ τῷ λδ' κεφ.* Τὸ δοθὲν ἐπὶ αἰτίᾳ μὴ ἀδυνάτῳ τῆς αἰτίας μὴ προβαινούσης ἀντιστρέφεται. ὅθεν καὶ τὸ τῇ μνηστῇ δοθὲν ἐπὶ ἐλπίδι τῶν γάμων, ἐὰν ἐκείνη δυνηθεῖσα ὑπερτίθηται, ἀντιστρέφεται.

8. *Ἐν δὲ τῷ λς' κεφ.* Τὰ δοθέντα χρήματα, εἰ καὶ ἡ αἰτία, ὑπὲρ ἧς ἐδόθησαν, μὴ παρ᾽ αἰτίαν τοῦ λαβόντος ἀλλὰ κατὰ τύχην ἐνεποδίσθη, οὐκ ἀναλαμβάνονται.

9. *Ἀνάγν. καὶ τί. β', οὗτινος ἐν τῷ β' κεφ. φησίν·* Τὸ διδόμενον πόρνῃ οὐκ ἀναδίδοται. ἐπειδὴ γάρ ἐστι πόρνη, οὐκ ἔστιν αἰσχρὸν τὸ λαβεῖν αὐτήν, εἰ καὶ αἰσχρόν ἐστι τὸ εἶναι αὐτὴν πόρνην.

Οὔτε τὸ διδόμενόν τινι ἐπὶ τῷ καταμηνῦσαι τὸν κλέπτην ἢ τὸν φυγάδα, εἰ μὴ αὐτὸς ὁ κλέπτης ἢ ὁ κοινωνήσας αὐτῷ ἢ τῷ φυγάδι ἔλαβε τὸ μήνυτρον. εἰ δὲ ἀπὸ τοῦ φυγάδος μου λάβῃς, ἵνα μὴ καταμηνύσῃς αὐτόν, ἐνέχῃ μοι ὡς κλέπτης.

Εἰ δὲ καὶ λάβῃς παρὰ τοῦ δούλου μου, ἵνα μὴ μηνύσῃς τὴν παρ᾽ αὐτοῦ γενομένην κλοπήν, εἴτε μηνύσῃς εἴτε μή, ἀναδίδως ὅπερ ἔλαβες.

10. *Ἐν δὲ τῷ ε' κεφ.* Ἐὰν ἑκατέρωθεν τῆς αἰτίας αἰσχρᾶς

---

[1] Leuncl. ὁμολογήσας.

οὔσης ὁμολογήσω τὶ δοῦναι, ἐναγόμενος μὲν ἔχω παραγραφὴν, καταβαλὼν δὲ οὐκ ἀναλαμβάνω.

11. Ἐν δὲ τῷ η' κεφ. Τὸ ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἑκατέρων διδόμενον, τοῦ τε λαμβάνοντος καὶ τοῦ παρέχοντος, οὐκ ἀναστρέφεται.

12. Ἐν δὲ τῷ ι' κεφ. Ὁσάκις τοῦ λαμβάνοντος οὐχὶ καὶ τοῦ διδόντος ἐστὶν αἰσχρότης, εἰ καὶ παρακολουθήσει ἡ αἰτία, τὸ δοθὲν ἀναστρέφεται μόνον, οὐ μὴν καὶ τόκοι δίδονται. ὡς ἐπὶ τοῦ λαβόντος χρήματα κλέπτου, ἐφ' ᾧ ἀποκαταστῆσαι ἅπερ ἔκλεψεν, ἢ ἐπὶ τοῦ ἀπελάσαντος πρόβατα.

13. Ἐν δὲ τῷ ια' κεφ. Ὁ εἰδὼς πορνεύεσθαι τὴν γυναῖκα, καὶ σιωπῶν, πορνοβοσκίαν ποιεῖ. τὰ δὲ ἐπὶ αἰσχρᾷ αἰτίᾳ τοῦ διδόντος ἐπερωτηθέντα[1], εἰ καὶ μετὰ καταβολὴν οὐκ ἀναστρέφονται, ὅμως ἀπαίτησιν οὐκ ἔχουσιν.

14. Ἐν δὲ τῷ ιβ' κεφ. Ὁ λαβὼν χρήματα ἐπὶ τῷ ἀποκαταστῆσαι ἅπερ ἔκλεψεν, ἐπειδὴ αὐτοῦ μόνου αἰσχρότης εὑρίσκεται, μεθοδευόμενος[2] ὀφείλει ταῦτα ἀποκαταστῆσαι.

15. Ἀνάγν. καὶ τί. ς'[3], οὗτινος ἐν τῷ μη'[4] κεφ. φησί· Τὸ δι' αἰτίαν προλαβοῦσαν δοθὲν, κἂν διέψευσται, οὐκ ἀπαιτεῖται· τὸ δὲ διὰ μέλλουσαν ἀπαιτεῖται μὴ γινομένης τῆς αἰτίας.

16. Ἐν δὲ τῷ μθ' κεφ. Τὸ καταβαλλόμενον ἐξ αἰτίας μὴ ἐῤῥωμένης, ἢ μὴ ἐχούσης ἀποτέλεσμα, ἀναλαμβάνεται.

17. Ἐν δὲ τῷ ξδ' κεφ. θέμ. δ'· Τὸ διὰ πρᾶγμα διδόμενον, οἷον ἵνα τόδε ποιήσῃς, εἰ οὐ ποιήσεις, ἀναλαμβάνεται.

18. Ἀνάγν. καὶ βι. ξ' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ λαβὼν χρήματα πρὸς τὸ συκοφαντῆσαι ἢ μὴ συκοφαντῆσαί τινα ἐνέχεται εἴσω μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν, μετὰ δὲ ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν.

Χώρα δὲ τῇ ἀγωγῇ ἐπὶ χρηματικῶν καὶ ἐγκληματικῶν αἰτιῶν.

19. Ἐν δὲ τῷ β' κεφ. Λαμβάνειν χρήματα λέγεται καὶ ὁ ἀντὶ χρημάτων ἄλλο τὶ λαμβάνων, καὶ ὁ ἀγωγῆς ἐλευθερούμενος, ἢ δῶρον ἐν χρήσει λαμβάνων χρήματα, ἢ μισθούμενος, ἢ ἀγοράζων ἧττονος, καὶ ὁ ἑτέρῳ δοθῆναι κελεύων, καὶ ὁ τὸ ἑτέρῳ δοθὲν ὀνόματι αὐτοῦ δεκτὸν ἡγούμενος.

20. Ἐν δὲ τῷ δ' κεφ.[5] Ἐάν τις δῷ ἵνα συκοφαντηθῶ, οὐκ

---

[1] Lips. καταδικασθέντα. [2] Lips. παιδευόμενος. [3] Lips. et Leuncl. α'. [4] Leuncl. μζ'. [5] Haec inscriptio sequenti themati praeponenda fuerat.

αὐτὸς ἀλλ᾽ ἐγὼ τὴν ἀνάληψιν ἔχω. εἰ δὲ κἀγὼ δέδωκα ἵνα μὴ συκοφαντηθῶ, τὰς δύο ἀγωγάς[b] ἔχω.

Αὕτη ἡ ἀγωγὴ κληρονόμῳ οὐ δίδοται. ἀρκεῖ γὰρ αὐτῷ ἀναλαβεῖν, εἴ τι δέδωκεν ὁ τελευτήσας.

21. Ὁ[1] δὲ κληρονόμος τοῦ λαβόντος[2] εἰς τὸ περιελθὸν ἐνέχεται. τὰ γὰρ αἰσχρὰ κέρδη μεθοδεύονται οἱ κληρονόμοι, εἰ καὶ τὰ ἐγκλήματα σβέννυται· ὡς ἐπὶ τοῦ πλαστοῦ, καὶ τοῦ δοθέντος δικαστῇ ἐπὶ τῷ κεχαρισμένως ψηφίσασθαι, καὶ ἐπὶ τῶν ἄλλων αἰσχρῶν κερδῶν.

Ἔξωθεν τῆς παρούσης ἀγωγῆς τῆς τὸ διπλοῦν ἀπαιτούσης ἁρμόζει ἀπαίτησις, ἐὰν μόνου τοῦ λαμβάνοντός ἐστιν αἰσχρότης. εἰ γὰρ καὶ τοῦ δεδωκότος, κρείττων ἐστὶν ὁ νεμόμενος.

22. Ἐν δὲ τῷ ϛ' κεφ. Εἰ μὲν ἐγὼ δέδωκα ἐπὶ τῷ [μὴ] συκοφαντηθῆναι, ὁ ἐνιαυτὸς ἀριθμεῖται ἀφ᾽ οὗ δέδωκα, [εἴπερ εὐχέρειαν ἔσχον ἐνάγειν]. εἰ δὲ ἄλλος δέδωκεν ἐπὶ τῷ [μὴ] συκοφαντηθῆναί με, ἀφ᾽ οὗ τὴν δόσιν ἐγὼ γνῶ.

23. Ἐὰν[3] ἄλλος δῷ ἵνα μὴ συκοφαντηθῶ, εἰ μὲν κατὰ ἐντολήν μου δέδωκεν, ἢ ὁ γενικός μου φροντιστὴς ἤ τις ἄλλος πραγμάτων φροντίδα πράττων καὶ δεκτὸν ἡγήσομαι, ἐγὼ δοκῶ δεδωκέναι. εἰ δὲ[4] κατὰ συμπάθειαν δέδωκέ τις καὶ μὴ δεκτὸν ἡγήσομαι, καὶ αὐτὸς ἀναλαμβάνει κἀγὼ εἰς τὸ τετραπλοῦν ἐνάγω[c].

24. Ἐν δὲ τῷ η' κεφ. Ὁ λαβὼν ἐν προσχήματι ἐγκλήματος, μὴ ἀποδειχθέντος, ἐντὸς μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν ἀπαιτεῖται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν ὑπόκειται, καὶ πρὸς τὸ ἁμάρτημα τιμωρεῖται.

25. Ἀνάγν. καὶ τί. λθ' κεφ. α' καὶ τί. μγ', ἐν ᾧ διαλαμβάνεται περὶ δωροδοκούντων τε καὶ δωροδοκουμένων· οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ῥεπετοῦνδις ἁρμόζει κατὰ τῶν λαβόντων ἐν ἀρχῇ χρήματα.

26. Ἁρμόζει[5] δὲ ἡ ἀγωγὴ καὶ κατὰ κληρονόμων ἐντὸς ἐνιαυτοῦ μετὰ θάνατον τοῦ κατηγορουμένου.

---

b Καὶ ἔχω τὸν κονδικτίκιον καὶ τὴν ἴμφακτον· θατέρας τῶν ἀγωγῶν ὑπὸ τῆς ἑτέρας ἀναιρουμένης.

c Καὶ οὐκ ἀναιρεῖται ἑτέρα ὑπὸ τῆς ἑτέρας, ἐπεὶ μὴ τῷ αὐτῷ προσώπῳ ὥρμησαν[6] αἱ δύο ἀγωγαὶ, ἀλλὰ τῷ μὲν δεδωκότι ὁ κόνδικτος, ἐμοὶ δὲ ἡ περὶ καλουμνίας ἴμφακτος.

[1] Inscribendum: Ἐν δὲ τῷ ε' κεφ. [2] Verba τοῦ λαβ. Leuncl. non habet. [3] Inscribendum: Ἐν δὲ τῷ ζ' κεφ. [4] Leuncl. μέν. Basil. μέντοι [5] Inscribendum: Ἐν δὲ τῷ β' κεφ. [6] Lege ἥρμοσαν.

27. Ἐν δὲ τῷ δ' κεφ. Ὁ τῷ νόμῳ τούτῳ καταδικαζόμενος οὔτε μαρτυρεῖν[1] οὔτε δικάζειν οὔτε συνηγορεῖν δύναται.

28. Ἐν δὲ τῷ ς' κεφ.[2] Καὶ οἱ πολιτικοὶ ἄρχοντες πάσης ἀπεχέσθωσαν ῥυπαρίας, καὶ προφάσει δώρων μηδὲν λαμβανέτωσαν.

29. Ἐν δὲ τῷ ζ' κεφ. Ἡ ποινὴ τοῦ νόμου ἐξτραορδιναρία ἐστὶ, καὶ ὡς ἐπίπαν ἐξορίαν καταδικάζει· ἔσθ' ὅτε δὲ καὶ σφοδρότερον. ἐὰν γὰρ ἐπὶ χρήμασιν ἢ κατὰ θερμότητα φονεύσῃ τὶς τὸν ἀναίτιον, κεφαλικῶς τιμωρεῖται ἢ περιορίζεται.

30. Ἐν δὲ τῷ η' κεφ. Ἐὰν παρὰ τὸν νόμον δωρηθῇ τι ἄρχοντι, ἢ πραθῇ πλείονος ἢ ἧττονος, οὔτε ἡ πρᾶσις ἔῤῥωται, οὔτε τὸ δοθὲν διὰ χρήσεως δεσπόζεται, ἕως ἂν ὑποστρέψῃ πρὸς τὸν δόντα ἢ τὸν κληρονόμον αὐτοῦ.

XXXI.

Περὶ διεκδικητῶν καὶ συνδίκων ὁμάδος ἢ πόλεως. (διεκδικηταὶ δὲ λέγονται πάντες οἱ διεκδικοῦντες καὶ φροντίζοντες, εἴτε διοικηταὶ εἴτε ἐπίτροποι εἴτε κουράτορες εἴτε προκουράτορες εἴτε ἐντολεῖς εἰσι. διεκδικεῖν γάρ ἐστι τὸ τὰ αὐτὰ ποιεῖν, ἅπερ καὶ ὁ πρωτότυπος ἐποίει παρών. καὶ δίδωσιν ὁ τοιοῦτος καὶ τὴν ἐπὶ τῇ ὑποθέσει ἱκανοδοσίαν καὶ ἀσφάλειαν. οὐδεὶς γὰρ ἀλλοτρίαν δίκην ἄνευ ἱκανοδοσίας διεκδικεῖν δοκεῖ, εἰ καί ἐστιν ὑπατικός. ουτε δὲ γυνὴ οὔτε στρατιώτης ἀξιόχρεώς ἐστιν εἰς τὸ διεκδικεῖν, οὔτε ὁ κατηγορηθεὶς ἐπὶ ἐγκλήματι πρὸ ἀθωώσεως.)

1. Ἀνάγν. βι. η' τί. β', οὗτινος ἐν τῷ οδ'[3] κεφ. φησίν· Ὁ ἐνάγων ἤτοι σύνδικος τῆς πόλεως οὐ δύναται πρᾶγμα πολιτικὸν κινεῖν διὰ διοικητοῦ.

2. Ἐν δὲ τῷ οβ'[4] κεφ. Διεκδικῶν τις τὸν ἀγοραστὴν εναγόμενον περὶ τοῦ πράγματος προέτρεπε τὸν πράτην διεκδικεῖν. καλῶς ἐπιζητεῖ παρ' αὐτοῦ τὴν ἱκανοδοσίαν ὁ πράτης, μήποτε δοθῇ μὲν τὸ πρᾶγμα τῷ ἐνάγοντι, ἐλθὼν δὲ ὁ ἀγοραστὴς ἀποσπάσῃ αὐτὸ, καὶ ἀναγκασθῇ πάλιν ὁ πράτης διεκδικεῖν.

3. Ἐν δὲ τῷ οθ' κεφ. Ὁ κατηγορηθεὶς ἐπὶ ἐγκλήματι οὐ δύναται δίκην ἀλλοτρίαν καταδέχεσθαι, πρὶν καθάρῃ ἑαυτὸν καὶ φανῇ μηδὲν ἡμαρτηκώς.

4. Ἐν δὲ τῷ ρβ' κεφ. Ὁ δοθεὶς σύνδικος ἀπὸ πόλεως ἢ

---

[1] Leuncl. in marg. γράφεται καί· δημοσίᾳ μαρτυρεῖν. [2] Imo ejusdem capitis est, cujus et thema quod praecedit. [3] Legerim οα'. [4] Leuncl. οε'.

ὁμάδος οὐ δοκεῖ δεδόσθαι παρὰ πολλῶν. οὐ γὰρ τὸ καθ' ἕκαστον πράττει, ἀλλὰ τῇ κοινότητι.

5. Ἐν δὲ τῷ ρε' κεφ. Ὁ τῆς ὁμάδος[a] σύνδικος οὐ δίδωσιν ἐνάγων τὴν ἱκανοδοσίαν, εἰ μὴ ἀμφιβάλλεται ἡ ἐπ' αὐτῷ ψῆφος. διεκδικεῖν δὲ ἀναγκάζεται· τάξιν γὰρ ἐπέχει προκουράτορος. καὶ οὐ δίδοται αὐτῷ ἱκανοδοσία, εἰ μὴ ἐναγωγὴ ἰδία ἐστί. καὶ καλῶς ἀντιφωνεῖται.

6. Ἀνάγν. καὶ βι. θ' τί. ι' καὶ ια', ἐν οἷς φησι περὶ τῆς παρὰ τῶν διεκδικητῶν διδομένης ἱκανοδοσίας, καὶ ἧς αὐτοὶ λαμβάνουσιν.

7. Ἀνάγν. καὶ βι. ι' τί. δ' κεφ. μς', ἐν ᾧ φησιν· Ἐάν τις ἑκουσίως διεκδικήσῃ νέον καὶ καταδικασθῇ, ἐνέχεται τῇ καταδίκῃ, καὶ οὔτε αὐτὸς βοηθεῖται, οὔτε ὁ νέος ἀποκαθίσταται.

8. Ἀνάγν. καὶ βι. ιε' τί. δ' κεφ. ιβ'.

XXXII.

Περὶ δικαιοσύνης.

1. Ἀνάγν. βι. β' τί. α' κεφ. ι', ἐν ᾧ φησι· Δικαιοσύνη ἐστὶ σταθηρὰ καὶ διηνεκὴς βούλησις ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον.

2. Καὶ κεφ. ια', ἐν ᾧ φησι· Δίκαιον λέγεται καὶ τὸ ἀεὶ καλὸν καὶ δίκαιον, ὡς τὸ φυσικὸν νόμιμον[a]. λέγεται δίκαιον καὶ τὸ πᾶσι τοῖς ἐν πόλει ἢ τοῖς πλείοσι χρήσιμον ὂν[b], ὡς τὸ δίκαιον πολιτικόν. λέγεται δίκαιον καὶ ἡ τοῦ ἄρχοντος ψῆφος, κἂν παράνομος εἴη. καὶ ὁ τόπος, ἐν ᾧ δικαιοδοτεῖ, σωζομένης τῆς μεγαλειότητος τῆς ἀρχῆς καὶ τοῦ ἔθους τῶν πατέρων[c].

XXXIII.

Περὶ δικαστῶν καὶ δικαιοδοσίας αὐτῶν, καὶ τάξεως καὶ παρέδρων αὐτῶν, καὶ περὶ αἱρετῶν δικαστῶν.

1. Ἀνάγν. βι. ζ' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησί· Μηδέποτε χωρὶς τῶν ἀρχόντων οἱ σύμπονοι δικαζέτωσαν τὰ ἐκείνων τιθέντες ὀνόματα.

---

a Τῆς ὁλότητος τῆς κοινῆς.

a Οἷον ὁ γάμος καὶ ἡ τῶν παίδων ἀνατροφή, ἃ καὶ παρὰ ἀλόγων ζώων φυσικῶς γινώσκονται.

b Πρὸς κοινὴν αὐτοῖς ἀποβλέπον ὠφέλειαν.

c Ἢ [1] μήπου ἐστὶ χαμαιτυπεῖον ἢ καπηλεῖον.

---

1 Legerim Εἰ.

2. Ἐν δὲ τῷ β′ κεφ. Μηδεὶς ἅμα καὶ συνηγορείτω καὶ ἑτέροις συνεδρευέτω, ἢ καὶ δυσὶ κατὰ ταὐτὸν ἄρχουσι συμπονείτω, μηδὲ εἰ μετά τινος αὐτὸς πρᾶγμα μετέρχεται μηχανῆς, ἀλλ᾽ ἐκβαλλέσθω τῶν συνηγόρων· προσέτι καὶ ταῖς λαργιτίωσι[a] λίτραν καταβαλλέτω χρυσοῦ καὶ βασιλικῆς πειρώμενος κινήσεως[1].

3. Ἐν δὲ τῷ γ′ κεφ. θέμ. β′. Θεσπίζομεν, τὰς μὲν προκατάρξεις ἐκ τρόπου παντὸς παρ᾽ αὐτοῖς γίνεσθαι τοῖς ἄρχουσιν, εἴτε μείζους εἴτε ἐλάττους εἶεν· ἀλλὰ καὶ ἐν μέσαις ταῖς δίκαις εἰσάγεσθαι πάλιν παρ᾽ αὐτοῖς πρὸς ἅπαξ γοῦν τὴν ὑπόθεσιν, ὥστε αὐτοὺς τὰ προηγωνισμένα μαθεῖν. ἐπειδὰν δὲ αὐτοτελὴς ἀπόφασις ἐκφέρεσθαι μέλλοι, κατὰ μηδένα τρόπον τολμᾶν τοὺς παρέδρους χωρὶς τῶν ἀρχόντων ἀκούειν· ἀλλὰ μετὰ τῆς προσηκούσης σεμνότητος, ἣν ἤδη διετάξαμεν, τῶν θείων προκειμένων λογίων αὐτοὺς τοὺς ἄρχοντας καὶ ἀκούειν τῶν ἠγωνισμένων ἁπάντων ἐφεξῆς, καὶ κρίνειν τὰς ὑποθέσεις αὐτοὺς, καὶ δέχεσθαι τὰς ἐφέσεις[b] (εἴπερ τὶς ἐφίει) χωρὶς ἁπάσης ὑπερθέσεως, ἔνθα ὁ νόμος τοῦτο γίνεσθαι συγχωρεῖ. καὶ αὖθις τοὺς ἐφέτας ἐκ τρόπου παντὸς δι᾽ ἑαυτῶν ἀκροᾶσθαι τῶν ὑποθέσεων, οὐδενὸς ἑτέρως πράττειν τολμῶντος.

4. Ἐν δὲ τῷ ζ′ κεφ. Περὶ τοῦ μὴ προχείρως καὶ σὺν ἀνάγκῃ γίνεσθαι τὰς προκατάρξεις, ἀλλ᾽ ἔχειν τὴν τῶν κ′ ἡμερῶν προθεσμίαν.

5. Ἐν δὲ τῷ ια′ καὶ ιβ′ καὶ ιγ′ κεφ. φησί· Περὶ τοῦ τέμνεσθαι τὰς δίκας κατὰ τοὺς γενικοὺς νόμους, καὶ μήτε πραγματικὸν τύπον μήτε βασιλικὸν ἔγγραφον ἢ ἄγραφον κέλευσιν, τυποῦσαν ὅπως δέοι τὴν ἀρχθεῖσαν δίκην ἐξετάζειν, κρατεῖν.

6. Ἐν δὲ τῷ η′[2] κεφ. φησὶ περὶ αἱρετῶν δικαστῶν.

7. Ἀνάγν. καὶ τί. β′, οὗτινος ἐν τῷ α′ κεφ. φησί· Τὸ αἱρετὸν δικαστήριον ἔοικε προσφόρῳ δικαστηρίῳ, καὶ ἀνήκει πρὸς τὶ περατοῦσθαι τὰς δίκας.

8. Ἐν δὲ τῷ ιγ′ κεφ. Αἱρετὸς δικαστής ἐστιν ὁ δικαστοῦ τάξιν ἀναδεξάμενος, καὶ ἐπαγγειλάμενος ψήφῳ τεμεῖν τὸ

---

a Τοῖς θησαυροῖς.

b Ἔφεσίς ἐστιν ἡ ἀπὸ δικαστηρίου οἱουδήτινος ἐφ᾽ ἕτερον δικαστήριον μεταγωγή.

---

1 Leuncl. in margine: γράφεται καί· ἀγανακτήσεως. 2 Leuncl. ιη′.

φιλονεικούμενον, οὐ μὴν ὁ παρεμβαλὼν ἐφ᾿ ᾧ συμβουλῇ τὴν δίκην ἀπαλλάξαι.

9. Ἐν δὲ τῷ κ' κεφ. Κἂν[1] πλανηθῇ ἐν τῷ ψηφίζεσθαι, οὐ διορθοῦται. ψηφισάμενος γὰρ πέπαυται εἶναι δικαστής.

10. Ἐν δὲ τῷ κβ' κεφ. θέμ. ζ'[2]. Οὐκ ὤφειλον πειθαρχεῖν τῷ αἱρετῷ δικαστηρίῳ οἱ δικαζόμενοι ἄσχημόν[3] τι προστάσσοντι.

11. Ἐν δὲ τῷ κζ' κεφ. Εἴτε δικαία εἴτε ἄδικός ἐστιν ἡ τοῦ αἱρετοῦ ψῆφος, ἐμμένειν αὐτῇ δεῖ.

12. Ἐν δὲ τῷ λα' κεφ. Κωλύεται ὁ αἱρετὸς δικαστὴς ψηφίζεσθαι ἐπὶ ἀτιμοποιῷ ἐξ ἁμαρτήματος ἀγωγῇ ἢ δημοσίῳ ἐγκλήματι· κἂν ψηφίσηται, οὐχ ἁρμόζει ἀπαίτησις. οὔτε περὶ καταστάσεως ἐλευθερίας ἢ εὐγενείας, οὔτε εἰ λέγεται ἀπὸ φειδικομίσσου ἐλευθερία χρεωστεῖσθαι, οὔτε περὶ ὀρφανικῆς ἀγωγῆς.

13. Ἐν δὲ τῷ να' κεφ. Ἐὰν ἐμπροθέσμως μὴ δυνάμενος ψηφίσασθαι ὁ αἱρετὸς δικαστὴς ἐπεκτείνῃ τὴν προθεσμίαν, ἄδειαν τούτου μὴ λαβὼν, ὁ μὴ πειθαρχῶν οὐχ ὑποπίπτει τῇ ποινῇ.

14. Ἀνάγν. καὶ τί. γ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ἔχων δικαιοδοσίαν καὶ διακατοχὴν δίδωσι, καὶ εἰς νομὴν πέμπει, καὶ ἐπιτρόπους καὶ δικαστὰς δίδωσιν.

15. Ἐν δὲ τῷ ε' κεφ. Ὁ οἰκείῳ δικαίῳ καὶ οὐκ ἀλλοτρίῳ ἔχων δικαιοδοσίαν δύναται αὐτὴν ἐντέλλεσθαι.

16. Ἐν δὲ τῷ ιη' κεφ. Κἂν[4] συμφωνήσω συνελθεῖν παρὰ δικαστῇ ἀπροσφόρῳ, δύναμαι πρὸ τῆς εἰσόδου μεταμέλεσθαι[5].

17. Ἐν δὲ τῷ λβ' κεφ. Μηδεὶς ἑαυτῷ δικαζέτω ἢ δικαιοδοτείτω. τοῦτο γὰρ ἄδικόν ἐστιν.

18. Ἀνάγν. καὶ τί. ε', οὗτινος ἐν τῷ ιδ' κεφ. φησίν· Ὑπεξούσιος ποιῶν παράνομον κρίσιν ἐνέχεται εἰς ὅσον εἶχε πεκούλιον, ὅτε ἐψηφίζετο.

19. Ἐν δὲ τῷ ιε' κεφ.[6] Παράνομον κρίσιν ποιεῖ ὁ ἀπατηλῶς εἰς περιγραφὴν τοῦ νόμου ψηφιζόμενος ἐπὶ προφανεῖ ἔχθρᾳ ἢ χάριτι ἢ κέρδει· καὶ δίδωσι τὴν ἀληθῆ τῆς δίκης διατίμησιν.

20. Ἐν δὲ τῷ οβ' κεφ. Ἐπὶ τῶν ἰδιωτικῶν πραγμάτων ἤτοι

---

[1] Lips. Ἐάν. [2] Lips. β'. [3] Leuncl. in margine: γράφεται καί· ἄσεμνον. [4] Lips. Ἐάν. [5] Leuncl. μεταμελεῖσθαι. [6] Imo ex eodem capite, ex quo th. 18 sumtum est.

χρηματικῶν δικαστηρίων πατὴρ καὶ υἱὸς ἀλλήλοις καλῶς δικάζουσι.

Τὸ γὰρ δικάζειν δημόσιόν ἐστι λειτούργημα.

21. Ἐν δὲ τῷ ος′ κεφ. Οὐ δύναται δικαστὴς εἶναι ὁ μήτε δικαιοδοσίαν ἔχων, μήτε ἀπὸ βασιλέως ἐξουσίαν λαβὼν, μήτε δοθεὶς ἀπὸ τοῦ δυναμένου δοῦναι δικαστὴν, μήτε ἀπὸ νόμου βεβαιούμενος, μήτε αἱρετὸς ὤν.

22. Ἀνάγν. καὶ τί. ϛ′, οὗτινος ἐν τῷ η′ κεφ. φησίν· Ἐπὶ παντὸς πράγματος προτιμάσθω τῆς ἀκριβείας τὸ δίκαιον.

23. Ἐν δὲ τῷ ια′ κεφ. Τῆς ἀκριβείας τῶν νόμων ὁ δικαστὴς φροντιζέτω, μηδὲ τοῖς παρανόμως ῥηθεῖσι παρὰ βασιλέως προσέχων.

24. Ἐν δὲ τῷ ιβ′ κεφ. Πάντες οἱ ἄρχοντες καὶ οἱ θεῖοι δικασταὶ συντόμως τὰς δίκας τεμνέτωσαν, κἂν τις τῶν δικαζομένων πολλάκις τῷ προσφόρῳ δικαστῇ προσελθὼν μὴ δι᾿ ἀναγκαίαν αἰτίαν ὑπερτεθείη, προσίτω τῷ βασιλεῖ, τὴν ἐκεῖθεν ἀναμένων βοήθειαν.

25. Ἐν δὲ τῷ ιδ′ κεφ. Πάντες οἱ οἱοιδήποτε δικασταὶ ἐκ προοιμίων τῆς δίκης μέχρι τῆς ἀποφάσεως καὶ κατ᾿ αὐτὴν δὲ τῆς ἀποφάσεως τὴν ἀνάγνωσιν προκειμένων τῶν ἁγίων εὐαγγελίων δικαζέτωσαν, τῶν ἑκατέρου μέρους συνηγόρων ἐν αὐτῇ τῇ προκατάρξει ὀμνύντων κατὰ τῶν ἁγίων εὐαγγελίων, ὡς οὔτε παραλείψει σπουδὴν ὑπὲρ τοῦ οἰκείου πρόσφυγος, καὶ ὅτι καλὸν ἡγεῖται τὸ πρᾶγμα καὶ οὐ σύνοιδεν αὐτῷ δικαιολογίαν ψευδῆ. εἰ δὲ καὶ μεταξὺ τῆς διαγνώσεως καταγνῷ τοῦ πράγματος, ἀφιστάσθω, μὴ ἔχοντος ἄδειαν τοῦ δικαζομένου ἕτερον δικολόγον προτρέπεσθαι.

26. Ἀνάγν. καὶ βι. η′ τί. α′ κεφ. μη′, ἐν ᾧ φησιν· Ὅσα παρὰ των δικαζομένων ἢ τῶν συνηγόρων παραλιμπάνεται, ταῦτα παρὰ τῶν δικαζόντων ἀναπληρούσθωσαν.

27. Ἀνάγν. καὶ βι. νδ′ τί. ιδ′ κεφ. ε′, ἐν ᾧ φησιν· Ὁ δικαστὴς κἂν ἐν ἀγνοίᾳ ποιήσῃ κρίσιν ἰδίαν, ἐνέχεται ὡσανεὶ ἀπὸ πλημμελήματος κρατεῖσθαι τῇ ἰν φακτοὺμ ἀγωγῇ, καὶ εἰς ὃ συνίδοι ὁ δικαστὴς κατακρίνεται.

28. Ἀνάγν. καὶ βι. ζ′ τί. γ′ κεφ. κθ′ καὶ λ′, ἐν οἷς φησι περὶ χαμαιδικαστῶν[c].

---

[c] Ἀνάγν. περὶ δικαστῶν καὶ νεαρὰν πβ′ καὶ ργ′· φησὶ γὰρ, ὥστε κατὰ τοὺς γενικοὺς νόμους ἐξετάζειν, καὶ μηδὲ θεῖον τύπον ἢ κέλευσιν δεχομένους παρὰ τὸν νόμον τὶ ποιεῖν. καὶ νεαρὰν ριε′ κεφ. α′ καὶ β′ καὶ νεαρὰν κε′.

XXXIV.

Περὶ δικαστηρίων δημοσίων τε καὶ ἐγκληματικῶν, καὶ ποῖα μέν εἰσι κεφαλικὰ, ποῖα δὲ οὐ κεφαλικὰ, καὶ ποῖα ἀτιμοποιά.

1. *Ἀνάγν. βι. ζ′*[1] *τί. ς′ κεφ. ιγ′*[2], *ἐν οἷς φησι·* Διὰ διετίας τὰ ἐγκληματικὰ περατούσθωσαν δικαστήρια. ἐπὶ δὲ τῶν χρηματικῶν ὅσης ἂν ποσότητος ἐξ οἱουδήποτε προσώπου ἐφ' οἱασδήποτε αἰτίας (ὑπεξηρημένης μόνον τοῦ δημοσίου ἢ τῶν δημοσίων λειτουργιῶν) μόνῃ τριετίᾳ τὰ τῆς καταδίκης τεμνέσθω ἐπὶ παντὸς οἱουδήποτε δικαστοῦ.

2. *Ἀνάγν. βι. ξ′ τί. λγ′, οὗτινος ἐν τῷ α′ κεφ. φησίν·* Οὐ πάντα τὰ ἐγκληματικὰ δικαστήρια δημόσιά εἰσιν, ἀλλὰ μόνα τὰ ἀπὸ νόμων δημοσίων καταγόμενα, ὡς τὸ περὶ καθοσιώσεως, τὸ περὶ μοιχείας, τὸ περὶ ἀνδροφόνων καὶ φαρμακῶν, τὸ περὶ πατροκτόνων, τὸ περὶ κλοπῆς ἱερῶν καὶ δημοσίων, τὸ περὶ πλαστογραφίας, τὸ περὶ βίας ἰδιωτικῆς καὶ δημοσίας, τὸ περὶ δωροδοκίας, τὸ περὶ ἀρχόντων ἢ δικαστῶν ἢ καὶ συνέδρων ἐν δίκῃ κεκλοφότων τὸ περὶ ἀννόνας.

3. *Ἐν δὲ τῷ β′ κεφ.* Τῶν ἐγκληματικῶν δικαστηρίων τὰ μὲν κεφαλικὰ, ὡς τὰ θάνατον ἐπιφέροντα ἢ περιορισμὸν, δι' ὧν ἡ κεφαλὴ ἀπὸ τῆς πολιτείας ἐξαιρεῖται· τὰ γὰρ ἄλλα οὐ περιορισμοὶ, ἀλλ' ἐξορίαι κυρίως λέγονται· τὰ δὲ οὐ κεφαλικὰ, ὡς τὰ ἔχοντα χρηματικὴν ποινὴν ἢ σωματικὸν σωφρονισμόν.

4. *Ἐν δὲ τῷ ιζ′ κεφ.* Ἐν τοῖς ἐγκληματικοῖς δικαστηρίοις οὔτε κατηγορεῖν οὔτε κατηγορεῖσθαι διὰ ἐντολέως δυνατόν. ἀλλ' οὔτε ἐκκαλεῖσθαι· μετὰ δὲ προκάταρξιν δυνατὸν διδόναι ἐντολέα[3].

XXXV.

Περὶ δικαζόντων διαιτητῶν, καὶ περὶ τῶν διδομένων αὐτοῖς συνηθειῶν ἐν ταῖς ὑπερβαινούσαις τὰ ρ′ νομίσματα δίκαις.

1. *Ἀνάγν. βι. ζ′ τί. α′ κεφ. ς′ καὶ η′ καὶ τί. β′ κεφ. ϙη′ καὶ ϙθ′ καὶ ρ′. ἀνάγν. καὶ βι. θ′ τί. α′ κεφ. κθ′, ἐν ᾧ φησι·* Κατὰ τοῦ δοθέντος

ἀνάγν. καὶ νεαραν ξ′ κεφ. β′ ἐν ᾧ φησι τοῦ μὴ γίνεσθαι τὰς τῶν δικῶν προκατάρξεις παρὰ τοῖς παρέδροις.

---

[1] Lips. ξ′. [2] Leuncl. γ′. [3] Haec verba: *ἀλλ' οὔτε ἐκκαλεῖσθαι* — *ἐντολέα* apud Leuncl. desunt et a Basil. aliena sunt. Proinde pro scholio habenda esse videntur.

διαιτητοῦ πρὸς τὸ δοκιμάσαι τοὺς ἐγγυητὰς καλῶς ἐκκαλούμεθα, εἰ καὶ τὰ μάλιστα χωρὶς ἐκκλήτου ὁ δεδωκὼς αὐτὸν διορθοῦται τὴν ψῆφον αὐτοῦ.

2. Καὶ κεφ. ρκβ΄ θέμ. β΄ καὶ κεφ. ρκς΄ θέμ. ε΄ καὶ βι. μθ΄ τί. α.

XXXVI.

Περὶ διοικητῶν, καὶ ὅτι ὁ διοικητὴς τῶν ὄντων παρ' αὐτῷ χρημάτων τόκους δίδωσιν ἀπὸ ὑπερθέσεως, καὶ οὓς ἔλαβε δανείσας, κἂν μὴ ἐνετάλθη δανεῖσαι. (ἐστὶ δὲ διοικητὴς ὁ ἐνταλθεὶς διοικεῖν τὰ τοῦ ἀπόντος πράγματα, καὶ ἐνάγων καὶ ἐναγόμενος ὑπὲρ τῶν τοῦ ἀπόντος πραγμάτων, ὧν τὴν διοίκησιν ποιεῖται. λέγεται δὲ ὁ τοιοῦτος καὶ διεκδικητὴς καὶ ἐντολεὺς καὶ συνήγορος.)

1. Ἀνάγν. βι. η΄ τί. β΄ [1], οὗτινος ἐν τῷ λς΄ κεφ. Ὅτι, ὅτε διὰ ἐντολέως ἤτοι διοικητοῦ κινεῖται καταστατικὸν δικαστήριον, εἴτε ἐνάγει εἴτε ἐνάγεται, δίδωσι τὴν ἱκανοδοσίαν.

2. Ἐν δὲ τῷ λη΄ κεφ. Μετὰ προκάταρξιν οὐκ ἀπαιτεῖται τὴν ἱκανοδοσίαν ὁ διοικητής.

3. Ἐν δὲ τῷ μα΄ κεφ. Ἐπὶ τῶν δημοσίων ἀγωγῶν οὐ δίδοται διοικητὴς, εἰ μὴ ἐπὶ τῆς τυμβωρυχίας, καὶ ὅτε τὶς κινεῖ τὸ περὶ βίας [2] δημοσίας ζημιούμενος ἰδιωτικῶς.

Καὶ ἡ ἀπὸ τοῦ νόμου περὶ ὕβρεως κινεῖται διὰ διοικητοῦ.

4. Καὶ [3] ὁ κωφὸς καὶ ὁ ἄλαλος κατὰ τὸν ἐνδεχόμενον τρόπον διδοῦσι διοικητὴν ἤτοι συνήγορον.

5. Ἐν δὲ τῷ νβ΄ κεφ. φησίν· Ἔξεστι τῷ ἐναγομένῳ μετὰ προκάταρξιν δοῦναι διοικητὴν, καὶ δοῦναι ὑπὲρ αὐτοῦ τὴν ἀσφάλειαν τῆς ἐκπληρώσεως τῶν κριθέντων.

6. Ἐν δὲ τῷ νγ΄ κεφ. [4] Οὐδεὶς ἀλλοτρίαν δίκην χωρὶς ἱκανοδοσίας διεκδικεῖν θέλων ἀξιόχρεώς ἐστιν.

7. Ἐν δὲ τῷ ϛς΄ κεφ. Μετὰ τὴν προκάταρξιν τοῦ δεσπότου τῆς δίκης τελευτήσαντος ὁ διοικητὴς, κἂν ἐνάγων ἐστὶ κἂν ἐναγόμενος, πληρούτω τὴν δίκην, καὶ διδότω ἕτερον αὐτὸς, εἰ βούλεται, ἐντολέα.

8. Ἀνάγν. καὶ βι. ιζ΄ τί. α΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Τὸ παρὸν ἔδικτον ἐπενοήθη, ἵνα μὴ τῶν ἀπόντων ὡς ἀδιεκδικήτων

---

[1] Lips. θ΄. [2] Lips. ὁδοῦ, quasi de via, non de vi publica agatur.
[3] Inscribendum erat: Ἐν δὲ τῷ μγ΄ κεφ. [4] Imo ex eodem capite, ex quo thema 5.

τὰ πράγματα νέμωνται ἢ πιπράσκωνται, ἢ ποινὴ βεβαιοῦται κατ' αὐτῶν, ἢ τὰ πράγματα αὐτῶν ἀδίκως ἀπολλύωσιν.

9. Ἐν δὲ τῷ β' κεφ. Εἰ καὶ ἀγνοοῦντος τοῦ δεσπότου τὰ πράγματα αὐτοῦ διῴκησέ τις, ἑκατέρωθεν ἁρμόζει ἡ ἀγωγή. καὶ ὁ μὲν διοικήσας χρησίμως ἀπαιτεῖ, ὅσα ἐδαπάνησεν ἢ μέλλει τισὶ διδόναι. δίδωσι δὲ ὅσα ἐκ τῶν πραγμάτων ἔσχεν, ἢ μὴ κατὰ τὸ δέον διῴκησεν[1].

10. Ἐν δὲ τῷ η' κεφ. Τὸ χρησίμως διοικηθὲν ἀναγκάζεται δεκτὸν ἡγεῖσθαι ὁ δεσπότης. καὶ ὅπερ δεκτὸν ἡγήσεται, ἔῤῥωται, κἂν κακῶς διῳκήθη.

11. Ἐν δὲ τῷ θ' κεφ. Ἐὰν χρησίμως διοικήσω, κἂν ἀποτέλεσμα χρηστὸν οὐκ ἔσχε τὸ γεγονὸς, ἔχω τὴν περὶ διοικήσεως ἀγωγήν. τυχὸν γὰρ δοῦλος ἐπιμεληθεὶς ἀπέθανεν, ἢ οἶκος ἀνανεωθεὶς ἐκαύθη.

12. Ἐν δὲ τῷ ι' κεφ. Ὁ τὰ τοῦ ἀπόντος καὶ ἀγνοοῦντος διοικῶν[2] δόλον καὶ ἀμέλειαν χρεωστεῖ. ἔσθ' ὅτε δὲ καὶ τὸν τυχηρὸν ἐπιγινώσκειν ἀναγκάζεται κίνδυνον[3].

13. Ἐν δὲ τῷ ιη' κεφ. Καὶ τόκους, οὓς ἔλαβεν ἢ λαβεῖν ὁ διοικητὴς ἠδύνατο, δίδωσι, καὶ λαμβάνει οὓς δέδωκεν ἢ οὓς ἠδύνατο λαβεῖν ὑπὲρ ὧν αὐτὸς οἴκοθεν ἐδαπάνησεν.

14. Ἐν δὲ τῷ κβ' κεφ. Ἀπαιτήσας τὸ μὴ κεχρεωστημένον ὁ διοικητὴς τῷ δεσπότῃ δίδωσιν. αὐτὸς δὲ διδοὺς[4] τὸ μὴ κεχρεωστημένον ζημιοῦται.

15. Ἐν δὲ τῷ κδ' κεφ. Ὁ πλέον τοῦ δέοντος δαπανήσας τὸ δεδοκιμασμένον λαμβάνει.

16. Ἐν δὲ τῷ λ' κεφ. θέμ. ε'[5]· Ὁ διοικητὴς τῶν περιττευόντων χρημάτων μετὰ τὴν ἀναγκαίαν δαπάνην δίδωσι τόκον.

17. Ἐν δὲ τῷ λε' κεφ. Ὁ χειρίζων τινὸς χρήματα καὶ τόκους δίδωσι καὶ τὸν κίνδυνον ὑπέχει ὧν ἐδάνεισεν, εἰ μὴ οἱ δανεισάμενοι τυχηρῶς ἠπόρησαν πρὸ τῆς προκατάρξεως.

18. Ἐν δὲ τῷ λς' κεφ.[6] Ὁ πατὴρ διοικῶν, ἅπερ ἐδωρήσατο τῷ αὐτεξουσίῳ υἱῷ, ἐνέχεται τῇ περὶ διοικήσεως ἀγωγῇ.

19. Ἀνάγν. καὶ τί. β', ἐν ᾧ φησι περὶ τῶν χρησίμως παρ' αὐτῶν δαπανηθέντων· περὶ ὧν προείρηται ἐν τῷ περὶ δαπανῶν τίτλῳ.

---

[1] Lips. διῳκήθη. [2] Leuncl. διεκδικῶν. [3] Leuncl. δίκαιον. [4] Lips. μὴ δούς. [5] Leuncl. γ'. [6] Imo ex eodem capite, ex quo thema 17.

XXXVII.

Περὶ δόλου.

1. Ἀνάγν. βι. ζ' τί. ε' κεφ. ξδ', ἐν ᾧ φησιν· Ἐπὶ τοῦ δόλου τὸ διαφέρον οὐχὶ ὁ δικαστὴς ἀποτιμᾶται, ἀλλ' ὁ ἔνδικος ὅρκος.

2. Καὶ τί. ιε' κεφ. ε'.

3. Καὶ βι. ι' τί. γ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐξ εὐλόγου αἰτίας, ἑτέρας οὐχ ὑπούσης ἀγωγῆς, ἡ περὶ δόλου δίδοται.

Δόλος κακός ἐστι πανουργία καὶ ἀπάτη καὶ μηχανὴ πρὸς περιγραφὴν ἑτέρου γινομένη.

Ἔστι καὶ καλὸς δόλος, ὁ κατὰ τῶν πολεμίων καὶ λῃστῶν.

4. Ἐν δὲ τῷ η' κεφ. Εἰ γινώσκων ἄπορόν τινα διὰ κέρδος ἴδιον εὔπορον ἐβεβαιωσάμην, χώρα τῇ περὶ δόλου ἀγωγῇ.

5. Ἐν δὲ τῷ ι' κεφ. Ἐπὶ μικρᾷ ποσότητι, τουτέστι μέχρι δύο νομισμάτων, οὐ δίδοται ἡ περὶ δόλου ἀγωγή.

Οὔτε παισὶν ἢ ἀπελευθέροις κατὰ πατέρων ἢ πατρώνων, διὰ τὸ ἀτιμοποιὸν αὐτὴν εἶναι· οὔτε ἰδιώτῃ κατὰ ὑπατικοῦ· οὔτε ἀκολάστῳ καὶ ἀσώτῳ ἢ ἄλλως εὐτελεῖ κατὰ εὐσχήμονος. ἐπὶ τούτων οὖν ἡ ἰμφακτοὺμ[a] ἁρμόζει,

Ἵνα[1] μὴ διὰ τοῦ οἰκείου δόλου κερδάνωσιν.

Οἱ δὲ κληρονόμοι τούτων ἐνάγουσι καὶ ἐνάγονται τῇ περὶ δόλου ἀγωγῇ.

6. Ἐν δὲ τῷ ιβ' κεφ. Ὁ ἄνηβος ὡς κληρονόμος ἐνάγεται τῇ περὶ δόλου ἀγωγῇ· ἀπὸ δὲ οἰκείου φάκτου, ὅτε πλησιάζει τῇ ἥβῃ[b], καὶ μάλιστα εἰ γέγονεν εὐπορώτερος.

7. Ἐν δὲ τῷ ιζ' κεφ. Ἐὰν πολλοὶ ποιήσωσι δόλον, καὶ ὁ εἷς ἀποκαταστήσῃ ἢ δῷ τὸ διαφέρον, οἱ λοιποὶ[2] ἐλευθεροῦνται.

8. Ἐν δὲ τῷ κϛ' κεφ. Ἡ περὶ δόλου δίδοται κατὰ κληρονόμων εἰς τὸ περιελθόν, τουτέστιν εἰς ὅσον ἐκ τοῦ δόλου τῇ κληρονομίᾳ περιῆλθεν.

9. Ἐν δὲ τῷ κθ' κεφ.[3] Καὶ ὁ τὸν δόλον ποιήσας εἰς ὅπερ ἐκέρδανε διηνεκῶς ἐνάγεται τῇ ἰμφακτούμ.

---

a Ἀγωγὴ εἰς τὸ διπλοῦν.
b Ὅτε πληρώσει τὰ ιγ' ἔτη.

---

1 Hoc et quod sequitur thema sunt ex Basil. l. l. c. 12. 13 pr. 2 Lips. πολλοί. 3 Et sequentibus capp.

Ἐπεὶ δὲ μή ἐστιν ἀτιμοποιὸς εἰς τὸν κληρονόμον, διηνεκῶς ἐνάγεται κατ᾽ αὐτοῦ,

Καὶ χωρὶς αἰτίας διαγνώσεως.

10. Ἐν δὲ τῷ λε΄ κεφ. Ἐὰν ὁ λαβὼν διαθήκην ἐν παρακαταθήκῃ ἀπαλείψῃ αὐτὴν ἢ ἄλλως διαφθείρῃ μετὰ θάνατον τοῦ διαθεμένου, τῷ κληρονόμῳ καὶ τοῖς λεγαταρίοις ἁρμόζει ἡ περὶ δόλου ἀγωγή.

11. Ἐν δὲ τῷ μγ΄ κεφ. Ὅτι εἴσω δύο ἐνιαυτῶν ἡ περὶ δόλου ἀγωγὴ κινεῖται[c].

12. Ἐν δὲ τῷ μϛ΄ κεφ. Τὸν δόλον ἀπὸ ἐπιβουλῶν προφανεστάτων ἀποδείκνυσθαι χρή. οὐ δεῖ γὰρ ἀπὸ ψιλῆς οἱασδήποτε ὑπονοίας ὁρίζεσθαι τὴν περὶ δόλου.

13. Ἐν δὲ τῷ μζ΄ κεφ. Ἡ προκειμένη διάταξις πάσης ἡμᾶς ἀπαλλάττουσα φιλονεικίας νομοθετεῖ· μὴ ἐξότου τὶς λέγει πεπονθέναι τὸν δόλον ἐνιαυτὸν ὁριζόμενον αὐτῷ ψηφίζεσθαι πρὸς τὸ αἰτεῖν τὴν περὶ δόλου ἀγωγὴν, ἀλλ᾽ ἐξότου γέγονεν ὁ δόλος, εἴσω δύο ἐνιαυτῶν συναπτῶν τὴν περὶ δόλου ἀγωγὴν κινεῖσθαι· εἴτε πάρεστιν ὁ τὸν δόλον ὑπομείνας, εἴτε ἄπεστι. πάντες οὖν γινωσκέτωσάν, φησιν, ὡς οὐδὲ τὴν ἀρχὴν δύναταί τις κινῆσαι τὴν περὶ δόλου ἀγωγὴν μετὰ δύο ἔτη τοῦ γενέσθαι τὸν δόλον, οὐδὲ ὁ ἀρξάμενος εἴσω τῶν δύο ἐνιαυτῶν κινεῖν δύναται μετὰ ἔτη[1] περαιοῦν τὴν ταύτης ἀγωγήν. πάντως οὖν καὶ ἄρχεσθαι καὶ περαιοῦσθαι τὸ περὶ δόλου δικαστήριον εἴσω δύο ἐνιαυτῶν συναπτῶν αὕτη ἡ διάταξις νομοθετεῖ.

14. Ἀνάγν. καὶ βι. ια΄ τί. α΄ κεφ. ζ΄ θέμ. δ΄, ἐν ᾧ φησι· Κατὰ δόλον τὶς συμφωνεῖ, ὁσάκις ἐπὶ περιγραφῇ τινος ἄλλο τὶ πράττει καὶ ἄλλο τὶ προσποιεῖται. εἴτε δὲ κατὰ τὴν ἀρχὴν εἴτε μετὰ τὸ σύμφωνον γένηται ὁ δόλος, ἁρμόζει ἀντιπαραγραφή.

15. Καὶ κεφ. ι΄ θέμ. γ΄, ἐν ᾧ φησιν· Ἐν ἀτονίᾳ τῆς τοῦ συμφώνου παραγραφῆς ἁρμόζει ἡ τοῦ δόλου ὡς ἐπίπαν.

16. Ἀνάγν. καὶ βι. να΄ τί. δ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Τὸ γενέσθαι τὶ δολερῶς ἐκ τοῦ ἀποτελέσματος καταλαμβάνεται.

Γίνεται δὲ δόλος ἐν συναλλάγμασιν, ἐν διαθήκαις, ἐν νόμοις.

---

[c] Σημείωσαι ὅτι ἐντὸς ἐνιαυτῶν β΄ ἡ περὶ δόλου ἀγωγὴ κινεῖται. ἡ δὲ παραγραφὴ αὕτη διηνεκής ἐστι.

---

[1] Basil. μετὰ δύο ἔτη.

17. Ἐν δὲ τῷ β' κεφ. Ἐξ ὧν ἁρμόζει ἡ τοῦ δόλου ἀγωγὴ, ἐκ τῶν αὐτῶν ἁρμόζει καὶ ἡ τοῦ δόλου παραγραφή.

Ὁ ἀντιτιθεὶς τὴν τοῦ δόλου παραγραφὴν ὀφείλει δεῖξαι δόλον γενέσθαι παρὰ τοῦ ἐνάγοντος, ἢ ἑτέρου, οὗτινος ὁ δόλος δύναται βλάψαι τὸν ἐνάγοντα[1]· καὶ οὐκ ἀρκεῖ τὸ λέγειν αὐτὸν ἐν τῷ πράγματι γενέσθαι δόλον.

Οὐ διαφερόμεθα δὲ τίνι γέγονεν ὁ δόλος, ἀλλ' ἀρκεῖ αὐτὸν ἐκ τοῦ μέρους γενέσθαι τοῦ διώκοντος.

18. Ἐν δὲ τῷ ε' κεφ. Κατὰ τῆς δόλου παραγραφῆς οὐκ ἀντιτίθεται δόλου ἀνάλυσις ἢ ἀναπλοκή. οὐ δεῖ γὰρ ἀπὸ τοῦ κοινοῦ δόλου κερδάναι μὲν τὸν ἐνάγοντα, ζημιωθῆναι δὲ τὸν ἐναγόμενον.

19. Ἐν δὲ τῷ μϛ'[2] κεφ. Ἡ τοῦ δόλου παραγραφὴ διηνεκής ἐστι, καὶ οὐχ ὡς ἐπὶ τῆς περὶ δόλου ἀγωγῆς χρόνῳ περικλείεται.

XXXVIII.

Περὶ δούλων[a].

1. Ἀνάγν. βι. ζ' τί. ϛ' κεφ. ϛ', ἐν ᾧ φησιν· Ὁ οἰκέτης μὴ δικαζέσθω, μηδὲ ἐῤῥώσθω κατ' αὐτοῦ δίκη.

2. Καὶ τί. ιϛ' κεφ. ιγ', ἐν ᾧ φησι· Δοῦλος εἴτε ἐπερωτήσει, εἴτε ἐπερωτηθῇ παράστασιν ἐπὶ τῷ αὐτὸν δικάσασθαι, οὐ βεβαιοῦται, οὔτε οἱ ἐγγυηταὶ ἐνέχονται. δοῦλος γὰρ οὔτε ἐνάγει, οὔτε ἐνάγεται.

3. Ἀνάγν. καὶ βι. η' τί. β' κεφ. ϙγ', ἐν ᾧ φησι· Δοῦλος διοικῶν τὰ τοῦ δεσπότου πράγματα οὐδὲ κινητὸν οὐδὲ ἀκίνητον πρᾶγμα τῆς τοῦ δεσπότου δύναται περιουσίας ἐκποιεῖν παρὰ γνώμην τοῦ δεσπότου. εἰ δὲ εἰς πρᾶγμα τοῦ δεσπότου τὸ τίμημα παρεχώρησεν, ἀποκαθίσταται τὸ τίμημα τῷ ἀγοραστῇ.

4. Ἀνάγν. καὶ βι. ια' τί. α' κεφ. με' καὶ κεφ. νβ', ἐν ᾧ φησιν· Ὁ δοῦλος τοῦ δανειστοῦ βελτίονα τὴν τύχην τοῦ δεσπότου ποιῆσαι δύναται, εἰς τὸ χεῖρον δὲ μεταμορφῶσαι διὰ καινοῦ συμφώνου οὐ δύναται τὴν ἐνοχὴν τὴν ὀρθῶς συστᾶσαν[3].

5. Ἀνάγν. καὶ βι. ιη' τί. β' κεφ. ιε', ἐν ᾧ φησιν· Ὁ οἰκέτης ἔχων

---

[a] Ὅρον τῆς δουλείας εὑρήσεις ἐν τῷ περὶ ἀνθρώπων.

---

[1] Leuncl. conjicit: ἐναγόμενον. [2] Lege ϛ'. [3] Leuncl. συνεστῶσαν.

ἐλευθέραν πεκουλίου διοίκησιν δύναται πωλῆσαι πρᾶγμα τοῦ πεκουλίου· οὐκέτι δὲ καὶ ὁ μὴ ἔχων. ἀλλ᾽ οὐδὲ δικαίαν ἀρχὴν νομῆς ποιεῖ τῷ ἐν δημοσίῳ ἀγοράσαντι. εἰ δὲ κινητὸν ἦν τὸ πρᾶγμα, καὶ ἡ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴ ἁρμόζει κατὰ τοῦ ἀγοραστοῦ.

6. Ἀνάγν. καὶ βι. ζ τί. ε' κεφ. ξ' καὶ ιζ', ἐν οἷς φησιν· Ὁ ἰδίοις ἀργυρίοις ἀγορασθεὶς, ἐξότου ἠγοράσθη, δοκεῖ ἠλευθερῶσθαι, καὶ ἀναγκάζεται ὁ ἀγοράσας ἐλευθερῶσαι. εἰ δὲ λανθάνει, γίνεται τὰ ἐπὶ τῇ φειδικομισσαρίᾳ[b] [ἐλευθερίᾳ] νενομοθετημένα.

7. Ἀνάγν. καὶ βι. ιγ' τί. β' κεφ. γ' [1], ἐν ᾧ φησι· Δοῦλός σου παρέθετό μοι χρήματα ἐπὶ τῷ δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθερῶσαι αὐτόν. εἰ μὲν διδοὺς ἐποίησά σε τῶν παρακολουθησάντων ἐν εἰδήσει, οὐκ ἐνέχομαι. εἰ δὲ ὡς ἴδια δέδωκα, ὑπόκειμαι τῇ περὶ παρα[κατα]θήκης ἀγωγῇ. ὁ γὰρ ὡς ἴδια διδοὺς οὔτε ἀποδοῦναι δοκεῖ.

8. Ἀνάγν. καὶ βι. ιδ' τί. α' κεφ. νδ' καὶ κεφ. πδ', ἐν ᾧ φησι· Τοῦ δούλου ἐντειλαμένου τινὶ ἀγοράσαι αὐτὸν παρὰ τοῦ δεσπότου καὶ ἐλευθερῶσαι τῇ μὲν ἀκριβείᾳ οὐκ ἔχει ὁ δεσπότης ἀγωγήν· πλὴν ἐπειδὴ διὰ τῆς ἐντολῆς ἄλλο συνάλλαγμα πράττεται, τὸ τῆς ἀγορασίας. ὁ τοίνυν ἀγοραστὴς καταβαλὼν τῷ δεσπότῃ τὸ τίμημα ἐκ τοῦ πεκουλίου τοῦ οἰκέτου οὐκ ἠλευθέρωται τῆς ἐπὶ τῇ ἀγορασίᾳ ἀγωγῆς· τὰ γὰρ ἴδια κατέβαλεν. ἀλλ᾽ ἐξουσίαν ἔχει ὁ δεσπότης, εἴτε βούλεται τὸ ἀνδράποδον ἀναλαβεῖν, εἴτε βούλεται τὸ τίμημα ἀπαιτῆσαι.

9. Ἀνάγν. καὶ βι. ιη' τί. ζ' κεφ. β', ἐν ᾧ φησιν· Ὁ λαβὼν ἐκ τοῦ δούλου νομίσματα καὶ ἐλευθερώσας αὐτὸν, οὐκ ἐνάγεται τῇ περὶ τῶν δαπανηθέντων ἀγωγῇ[2]· οὐ γὰρ γέγονεν εὐπορώτερος.

Εἰ μὴ ἄρα πλέον τῆς τοῦ δούλου τιμῆς ἐδόθη· ἐπ᾽ αὐτῷ γὰρ ἁρμόζει τὸ δαπανηθέν.

10. Ἀνάγν. καὶ βι. ιθ' τί. ζ' κεφ. ιδ', ἐν ᾧ φησι· Τοὺς δούλους τοὺς τὸν ἴδιον διαπράσαντας δεσπότην κεφαλικῶς τιμωρηθῆναι.

---

b Φιδεϊκόμισσον τὸ πίστει ἑτέρου προκαταπιστευθὲν ἢ τὸ σιωπηρᾷ πίστει καταλιμπανόμενον λεγάτον.

---

[1] Leuncl. ι'. Sed est ex cap. I th. 28. [2] Leuncl. in margine: γράφεται καί· τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ.

11. Ἀνάγν. καὶ βι. γ' τί. α' κεφ. λγ', ἐν ᾧ φησιν· Ἐὰν δοῦλος εἰδότος καὶ οὐκ ἀντιλέγοντος[c] τοῦ δεσπότου ἐν κλήρῳ καταλεγῇ, ἐξ αὐτοῦ τοῦ καταλεγῆναι ἐλεύθερος καὶ εὐγενὴς ἔστω. εἰ γὰρ ἀγνοοῦντος τοῦ δεσπότου ἡ χειροτονία γένηται, ἐξέστω τῷ δεσπότῃ εἴσω προθεσμίας ἐνιαυτοῦ καὶ μόνου τὴν τύχην ἀποδεικνύναι, καὶ τὸν ἴδιον δοῦλον ἀναλαμβάνειν.

12. Ἐν δὲ τῷ γ' κεφ. τοῦ α' τί. τοῦ δ' βι. φησίν· Ὅτι μετὰ τὸ προσκαρτερῆσαι τὸν δοῦλον ἔν τινι μοναστηρίῳ ἐφ' ᾧ γενέσθαι μοναχὸς ἐπὶ τριετίαν, καὶ λαβεῖν τὸ ἅγιον σχῆμα, μηκέτι δύνασθαι τὸν δεσπότην αὐτοῦ πρὸς δουλείαν αὐτὸν ἕλκειν· εἰ μήτοιγε πειραθείη ὁ ἅπαξ μονάσας τὸ μοναστήριον καταλιπεῖν καὶ ἑτέρου βίου σχῆμα μεταδιώκειν. εὑρήσεις δὲ τοῦτο σαφέστερον ἐν τῇ ε' νεαρᾷ.

13. Ἀνάγν. καὶ βι. νζ' τί. α' κεφ. μγ' καὶ μδ', ἐν οἷς φησιν· Ὅτι ἐὰν εἰδήσει δεσπότου στρατεύσηται δοῦλος, ἀπόλλυσιν ὁ δεσπότης καὶ τὴν ἐπὶ τῷ δούλῳ δεσποτείαν καὶ τὸ πατρωνικὸν δίκαιον[d]. εἰ δὲ καὶ ἀξίας ἐπέβη ὁ δοῦλος, τὰ αὐτὰ προβαίνει. ὁρίζει δὲ ἡ διάταξις αὕτη τριάκοντα ἡμερῶν ἀριθμὸν ἐπὶ τῶν προσελθόντων ἀξιώματι οἰκετῶν. εἰ δὲ ἀγνοοῦντος αὐτοῦ, ἔξεστιν αὐτῷ προσελθεῖν τῷ ἁρμοδίῳ δικαστῇ καὶ τοῦτον εἰς τὴν ἰδίαν δεσποτείαν ἕλκειν.

14. Ἀνάγν. καὶ βι. λε' τί. ιδ' κεφ. νς', ἐν ᾧ φησιν· Ἐὰν ἀλλότριον δοῦλον ἀγοράσω παρὰ τῶν πολεμίων καὶ σὺν ἐλευθερίᾳ κληρονόμον αὐτὸν γράψω, ἀναγκαῖός μου κληρονόμος γίνεται. καὶ ἐπὶ τούτου τοῦ θέματος οὐκ ἀποδίδοται τῷ πρῴην δεσπότῃ. ὑπόκειται μέντοι αὐτῷ, ἕως οὗ παράσχοι τὸ ἴδιον τίμημα.

15. Ἀνάγν. καὶ βι. ξ' τί. μα' κεφ. ζ', ἐν ᾧ φησιν· Ὁ δοῦλος οὐ δύναται τῷ δεσπότῃ δικάζεσθαι· οὔτε γὰρ τῷ νόμῳ γνωρίζεται. καλῶς δὲ λόγῳ τῆς ἐλευθερίας αὐτοῦ κατηγορεῖ, λέγων αὐτὸν ἀποκρύψαι τὴν διαθήκην, ἐν ᾗ ἐλευθερία αὐτῷ κατελείφθη.

16. Ἀνάγν. καὶ τί. να' [κεφ. ια'] καὶ κεφ. λδ' θέμ. δ', ἐν ᾧ φησι· Δοῦλος, ὁ λέγων ἐξ ἰδίων ἀγορασθῆναι νούμμων καὶ μὴ

---

c Ἐπὶ μὲν τῶν ἄλλων ἐπερωτώμενός τις καὶ σιωπῶν, εἰ μὲν κερδαίνει, [συναινεῖν] ὥς φησιν ὁ νόμος δοκεῖ· εἰ δὲ ζημιοῦται, ἀρνεῖσθαι. ἐπὶ δὲ τοῦ κληρωθέντος δούλου εἰδὼς ὁ δεσπότης καὶ μὴ ἀντιλέγων, εἰ καὶ ζημιοῦται, ὅμως ἀντὶ συναινοῦντος λογίζεται, ὅτι, ὥς φησιν ὁ νόμος, πλέον παντὸς πράγματος θάλπομεν τὴν ἐλευθερίαν.

d Περὶ τούτου εἴρηται ἐν τῷ περὶ στρατιωτῶν.

δεικνὺς, ἀποδίδοται τῷ δεσπότῃ ἐπὶ τῷ εἶναι ἐν δεσμοῖς, ἢ μεταλλίζεται βουλομένου τοῦ δεσπότου.

17. Καὶ κεφ. κθ', ἐν ᾧ φησιν· Οἱ δοῦλοι τῇ σωτηρίᾳ τῶν δεσποτῶν ἐπιβουλεύοντες καίονται.

18. Ἀνάγν. καὶ τί. α' κεφ. ε', ἐν ᾧ φησι· Δούλου κατηγορηθέντος καὶ βασανισθέντος, εἶτα ἀπολυθέντος, τὸ διπλοῦν τῆς αὐτοῦ τιμῆς ὁ κατήγορος ἀποδίδωσι τῷ δεσπότῃ καὶ ὑπόκειται τῷ ἐγκλήματι τῆς συκοφαντίας.

19. Καὶ κεφ. λγ', ἐν ᾧ φησιν· Ὁ νόμος κελεύει τὸν δεσπότην τοῦ δούλου τοῦ βασανισθέντος λαμβάνειν παρ' αὐτοῦ τοῦ κατὰ συκοφαντίαν ἐνάγοντος τὸ διπλάσιον τῆς διατιμήσεως.

20. Ἀνάγν. καὶ τί. ν', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Οὐ δεῖ τῆς ζητήσεως ἀπὸ βασάνων ἄρχεσθαι.

Τότε γὰρ οἱ δοῦλοι βασανίζονται, ὅτε καὶ ὕποπτός ἐστιν ὁ κατηγορούμενος, καὶ ὕπεισι τεκμήρια ὥστε μόνην τὴν τῶν δούλων ἐλλείπειν κατάθεσιν.

Πρῶτοι δὲ βασανίζονται οἱ ὕποπτοι, καὶ δι' ὧν δυνατὸν γνωσθῆναι τὸ ἀληθές.

21. Ἐν δὲ τῷ γ' κεφ.[1] Οὐ δεῖ τοὺς δούλους λεγομένους συγκλέψαι τῷ δεσπότῃ βασανίζεσθαι κατ' αὐτοῦ, οὔτε λέγοντας ἑκουσίως βλάπτειν αὐτόν.

Ὁ καλῇ πίστει τινὶ δουλεύων οὐκ ἐρωτᾶται κατ' αὐτοῦ, εἴτε δοῦλός ἐστιν εἴτε ἐλεύθερος. οὔτε ἀπελεύθερος κατὰ τῆς κεφαλῆς τοῦ πάτρωνος, οὐδὲ ἀδελφὸς κατὰ ἀδελφοῦ, οὔτε οἱ μὴ ἀναγκαζόμενοι κατά τινων μαρτυρεῖν βασανίζονται κατ' αὐτῶν.

Ὁ δὲ τοῦ ἀνδρὸς δοῦλος βασανίζεται κατὰ τῆς γυναικός.

Καὶ οἱ δοῦλοι τοῦ καταδικασθέντος βασανίζονται κατ' αὐτοῦ. ἐπαύσαντο γὰρ αὐτοῦ εἶναι.

22. Ἐν δὲ τῷ δ' κεφ. θέμ. γ'[2]. Ἐὰν δοῦλοι ὡς ἁμαρτήματος μετέχοντες εἴπωσί τι κατὰ τοῦ δεσπότου κρινόμενοι, οὐκ εἰσι δεκτοί.

23. Ἐν δὲ τῷ ς' κεφ. θέμ. ε'· Ὅτε περὶ πλαστῆς διαθήκης κινεῖται[3], καὶ οἱ κληρονομιαῖοι δοῦλοι βασανίζονται.

24. Ἐν δὲ τῷ ζ' κεφ. Ὁ ὑπὸ ὅρον ἐλευθερωθησόμενος ἐν τῷ περὶ μοιχείας ἐγκλήματι καλῶς βασανίζεται, ὡς ἔτι δοῦλος ὢν τοῦ κληρονόμου.

---

[1] Imo ex eodem capite. [2] Etiam hoc est ex eodem capite. [3] Leuncl. ζητεῖται.

25. Ἐν δὲ τῷ η' κεφ. *Καὶ ἐπὶ χρηματικῶν αἰτιῶν ἐν ἀπορίᾳ ἀποδείξεων βασανίζονται οἱ δοῦλοι καὶ οἱ[1] ἀλλότριοι ὄντες.*

Ἐξ ὧν αἰτιῶν οὐ βασανίζονται οἱ δοῦλοι κατὰ τῶν δεσποτῶν, ἐκ τῶν αὐτῶν οὐκ ἐρωτῶνται κατ' αὐτῶν, οὐδὲ τὰ μηνύματα αὐτῶν βλάπτει αὐτούς.

26. Ἐν δὲ τῷ ις' κεφ. θέμ. γ'· *Καὶ ἐξωτικοῦ κινοῦντος τὸ μοιχικὸν βασανίζονται δοῦλοι κατὰ τῶν δεσποτῶν.*

Καὶ ἐν τῷ περὶ φθορᾶς παρθένου ἢ χήρας, καὶ ἐν τῇ περὶ τοῦ ὑποβολιμαίου τοκετοῦ ζητήσει, καὶ ὅταν τὶς ἐκδικῇ κληρονομίαν παρὰ τῶν ἀδελφῶν αὐτοῦ, λέγων καὶ ἑαυτὸν υἱὸν τοῦ τελευτήσαντος, βασανίζονται οἱ κληρονομιαῖοι δοῦλοι. καὶ ὁ κοινὸς δοῦλος, ὅταν ὁ εἷς τῶν δεσποτῶν κατηγορεῖται ὡς φονεύσας τὸν ἄλλον.

27. Ἐν δὲ τῷ κβ' κεφ. *Δοῦλος κατὰ δεσπότου οὐ βασανίζεται, εἰ μὴ μόνον ὅτε περὶ μοιχείας ἐστὶν ἡ ζήτησις ἢ περὶ καθοσιώσεως. ἐὰν δὲ πρὸς οἷς δοῦλος κατέθετο κατὰ τοῦ δεσπότου εἰσὶ καὶ ἕτεραι ἀποδείξεις, οὐ δυνάμεθα τὰς ἄλλας ἀποδείξεις διαβάλλειν, ἐξ ὧν ὁ δοῦλος κατέθετο. ἐν δὲ ταῖς χρηματικαῖς δίκαις οὐδὲ ἐν ἀπορίᾳ τῶν ἀποδείξεων χρὴ τοὺς δούλους κατὰ τῶν δεσποτῶν ἐρωτᾶσθαι.*

Οὔτε[2] κατὰ τοῦ ἐπιτρόπου τῶν δεσποτῶν, οὔτε κατὰ μητρός· εἰ μὴ ἄρα ἡ περὶ ἐπιτροπῆς ἀγωγὴ κινεῖται.

28. Ἐν δὲ τῷ κδ' κεφ. *Ἐὰν γυνὴ ἐγκαλῆται ὡς φαρμάκοις φονεύσασα τὸν ἄνδρα τὸν ἴδιον, καὶ δοῦλοι κατ' αὐτῆς, οὐ μόνον ἴδιοι, ἀλλὰ καὶ ἀλλότριοι ἐξετάζονται. πρῶτον δὲ οἱ ἀλλότριοι. καὶ ἐὰν δεῖγμα δειχθῇ ἀληθείας, καὶ αὐτὴ ἡ γυνὴ βασανίζεται.*

29. Ἐν δὲ τῷ λα' κεφ. *Τῆς διαθήκης πλαστῆς εἶναι λεγομένης βασανίζονται οἱ κληρονομιαῖοι δοῦλοι.*

30. Ἐν δὲ τῷ λβ' κεφ. *Ὁσάκις περὶ δεσποτείας ἀνδραπόδων ζητεῖται, ἐὰν ἄλλαις ἀποδείξεσιν ἡ ἀλήθεια φωτισθῆναι μὴ δύνηται, περὶ ἑαυτῶν εἶναι μετὰ βασάνων ἐρωτητέα αὐτὰ τὰ ἀνδράποδα.*

31. Ἐν δὲ τῷ λγ' κεφ. *Τοὺς δούλους οὐ μόνον ὑπὲρ τῶν δεσποτῶν ὧν ἐν τῇ δεσποτείᾳ ὑπῆρχον, ἀλλ' οὐδὲ ὑπὲρ ἐκείνων, ὧν πρότερον ἦσαν, δύνασθαι ἐρωτᾶσθαι ὡμολόγηται.*

32. Ἀνάγν. καὶ βι. κ' τί. δ' κεφ. η', ἐν ᾧ φησιν· *Ἐὰν ὡς κλέ-*

---

[1] Articulus deest apud Leuncl. [2] Haec sunt e cap. 23.

πτην διατετιμημένον παράσχω σοὶ δοῦλόν μου εἰς ἐμβάσανον ζήτησιν, καὶ εὑρεθῇ ἀναίτιος, ἐπιλογὴν ἔχω, ἢ αὐτὸν ἢ τὴν συμφωνηθεῖσαν διατίμησιν αὐτοῦ λαβεῖν διὰ τῆς τῶν προγεγραμμένων συμφώνων ἀγωγῆς, ἔνθα μὴ ἐπηρώτησα. εἰ δὲ ἔνοχος εὑρεθῇ, κρατεῖς αὐτὸν καὶ ἀποδίδωμι τὸ τίμημα, εἴγε λαβὼν ἔτυχον.

33. Ἀνάγν. καὶ βι. μη΄ τί. ιδ΄ κεφ. δ΄, ἐν ᾧ φησιν· Ἔστω δὲ τὸ τίμημα τοῦ δούλου, εἴτε ἄῤῥενος εἴτε θηλείας, εἰ μὲν ἀτεχνής ἐστιν, εἴκοσι νομίσματων, ἐάν ἐστιν ὑπὲρ τοὺς δέκα ἐνιαυτούς· εἰ δὲ ἐλάττων ἐστὶ, δέκα νομισμάτων. εἰ δὲ τέχνην ἐπίσταται, χωρὶς νοταρίου καὶ ἰατροῦ, τριάκοντα νομισμάτων. ἐὰν δὲ νοτάριός ἐστιν ἢ ἰατρὸς, ὁ μὲν νοτάριος ἕως πεντήκοντα νομισμάτων, ὁ δὲ ἰατρὸς ἕως ἑξήκοντα. ἐὰν δὲ εὐνοῦχοι ὦσιν οἱ δοῦλοι μείζονες τῶν δέκα ἐνιαυτῶν χωρὶς τέχνης, νομισμάτων πεντήκοντα· ἐὰν δὲ τέχνην ἴσασιν ο΄ νομισμάτων· ἐὰν δὲ τῶν δέκα ἐνιαυτῶν ἥττονες ὦσι, λ΄ νομισμάτων.

34. Ἀνάγν. καὶ βι. μδ΄ τί. κζ΄ κεφ. γ΄. ὁμοίως γὰρ καὶ αὐτὸ περὶ τῆς τῶν δούλων ἀποτιμήσεώς φησιν.

35. Ἀνάγν. καὶ βι. κϛ΄[1] τί. ε΄ κεφ. ιε΄, ἐν ᾧ φησιν· Ἐὰν ὁ δοῦλός μου κλέψας νομίσματα φύγῃ, καὶ ὡς ἐλεύθερος διάγων δανείσῃ αὐτὰ, ποιεῖ μοι ἔνοχον τὸν λαβόντα. εἰ μέντοι νομίζων αὐτὸν ἐλεύθερον καταβάλῃ αὐτῷ, ἐλευθεροῦται· οὐ μὴν ἐὰν κατὰ κέλευσιν αὐτοῦ ἑτέρῳ καταβάλῃ.

36. Ἀνάγν. καὶ βι. ξ΄ τί. ζ΄, οὗτινος ἐν τῷ ϛ΄ κεφ. φησίν· Ὁ φυγὰς οἰκέτης αὐτὸς ἑαυτὸν κλέπτειν πιστεύεται. ὡς οὖν ἐπὶ κλοπιμαίῳ οὐδὲ ἡ διὰ τῆς χρήσεως κυριότης χώραν ἔχει, οὐδὲ μακροῦ χρόνου παραγραφή.

37. Ἐν δὲ τῷ η΄ κεφ. Ἐὰν φυγὼν οἰκέτης συλληφθῇ ἐπὶ τὸ βαρβαρικὸν ἀπιὼν, ἢ ὁ ποῦς αὐτοῦ κοπτέσθω, ἢ εἰς μέταλλον παραδιδόσθω, ἢ ἄλλῃ οἱᾳδήποτε τιμωρίᾳ ὑποπιπτέτω.

38. Ἀνάγν. καὶ τί. μη΄ κεφ. α΄, ἐν ᾧ φησι· Δύναται τὸν ἀπόντα δοῦλον πωλεῖν ὁ δεσπότης, οὐ μὴν τὸν φυγάδα.

Καλῶς δὲ ἐντέλλεταί τινι ζητῆσαι τὸν φυγάδα καὶ ἔχειν ἠγορασμένον καὶ ἑτέρῳ πωλῆσαι.

Οἱ γὰρ τὴν φυγὴν τῶν ἰδίων δούλων πωλοῦντες ὑπόκεινται τῷ νόμῳ.

39. Καὶ κεφ. ι΄, ἐν ᾧ φησι· Τὸν μὲν ἐν φυγῇ δοῦλον οὔτε πωλεῖν δύναταί τις οὔτε δωρεῖσθαι οὔτε ἀγοράζειν. ἀλλ᾽ ὁ

[1] Lips. et Leuncl. κζ΄.

ἓν ἐκ τούτων ποιήσας ὑπόκειται τῷ νόμῳ τῷ περὶ ἀνδραποδισμοῦ· ὑπεξηρημένου συγκληρονόμου. οὗτοι γὰρ ἐν τῷ διαιρεῖσθαι τὰ ἐπίκοινα πράγματα ἀνάγκην ἔχουσι καὶ περὶ τοῦ ὄντος ἐν φυγῇ οἰκέτου συμφωνεῖν, ὥστε τοῦδε αὐτὸν εἶναι. δυνατὸν δὲ οὕτω πρᾶσιν συμφωνηθῆναι ὑπὸ αἵρεσιν τυχὸν, ὅτι ἐὰν εὑρεθῇ, πιπράσκω σοι αὐτὸν τόσων νομισμάτων.

40. *Ἀνάγν. καὶ τί. ϛ' κεφ. ιδ', ἐν ᾧ φησιν·* Ἐὰν τοῦ εἰωθότος δούλου διοικεῖν ἢ δανείζειν τὰ δεσποτικὰ χρήματα λογοποιοῦντος μετὰ τὸ ἐλευθερωθῆναι εὑρεθῇ χρήματα δαπανήσας μετὰ γυναικὸς, ἁρμόζει κατ' αὐτῆς ἡ περὶ ὑποφθορᾶς δούλου ἀγωγὴ, καὶ ἡ περὶ κλοπῆς, περὶ ὧν πρὸς αὐτὴν ὁ δοῦλος ἀπηγάγετο.

XXXIX.

Περὶ δουλογραφίου.

1. *Ἀνάγν. βι. μη' τί. κ' κεφ. λδ', ἐν ᾧ φησιν·* Οὐδὲ ἡ συμφωνήσασα ἐλευθέρα εἶναι, οὖσα δὲ δούλη, ἀπὸ τοῦ συμφώνου γίνεται ἐλευθέρα, οὐδὲ ἡ οὖσα ἐλευθέρα μετὰ τῶν τέκνων αὐτῆς, συμφωνοῦσα δὲ εἶναι δούλη, βλάπτεται ἀπὸ τοῦ συμφώνου.

2. *Ἀνάγν. καὶ τί. κε' κεφ. α', ἐν ᾧ φησι·* Τὸ παλαιὸν ἐὰν γυνὴ δούλου ἀλλοτρίου ἐρασθεῖσα καὶ τὰς τρεῖς δεξαμένη μαρτυρίας[1] μὴ ἀνεχώρησεν, αὐτὴ κατεδουλοῦτο, καὶ τὰ πράγματα αὐτῆς πάντα τῷ γινομένῳ αὐτῆς δεσπότῃ διέφερε. σήμερον δὲ τοῦτο ἀνῃρέθη ὑπὸ τῆς διατάξεως λεγούσης οὕτως· ἐπειδὴ ἐν τοῖς ἡμετέροις καιροῖς, ἐν οἷς πολλοὺς καμάτους ὑπὲρ τῆς ἐλευθερίας τῶν ὑποκειμένων ὑπέστημεν, πάνυ εἶναι ἀσεβὲς ἐπιστεύσαμεν, τινὰς γυναῖκας τῆς ἐλευθερίας τῆς ἰδίας ζημιοῦσθαι, καὶ ὅπερ ἐκ τῆς τῶν πολεμίων ἀγριότητος παρὰ τὴν φυσικὴν ἐλευθερίαν εἰσηνέχθη, τοῦτο ἐκ τῆς ἡδονῆς τῶν ἀγριωτάτων ἀνθρώπων εἰσφέρεσθαι· τὸ κλαυδιάνειον δόγμα καὶ πᾶσαν αὐτοῦ τὴν παραφυλακὴν τὴν περὶ τὰς παραγγελίας καὶ τὰς τῶν δικαστῶν ἀποφάσεις ἡσυχάζειν τοῦ λοιποῦ βουλόμεθα, ἵνα μὴ εἴ τις ἐλευθέρα καθεστηκυῖά ἐστιν, ἢ ἅπαξ ἀπατηθεῖσα ἢ ἀτυχεῖ ἐπιθυμίᾳ ληφθεῖσα ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ παρὰ τὴν τῶν ἰδίων γενεθλίων εὐγένειαν κατενεχθῇ εἰς δουλείαν· καὶ εἴη αἰσχίστη ἀκοσμία τῇ τῆς ἰδίας συγ-

---

[1] Leuncl. legi vult: *διαμαρτυρίας*.

γενείας λαμπρότητι· ἵνα εἴ τις τυχὸν κεκοσμημένους τοῖς ἀξιώμασιν ἔχει συγγενεῖς, αὕτη εἰς ἀλλοτρίαν πέσῃ δεσποτείαν, καὶ δεσπότην φοβῆται ἴσως[1] τῶν συγγενῶν τῶν ἰδίων κατώτερον. ὅπερ καὶ ἐν τοῖς ἀπελευθέροις φυλάττεσθαι χρή. ἅπαξ γὰρ τῆς ἐλευθερίας ἀπολαύσασαν διὰ τῆς τοιαύτης ἀκοσμίας εἰς δουλείαν ἄγεσθαι ἡ θρησκεία τῶν ἡμετέρων καιρῶν οὐδενὶ ἀνέχεται τρόπῳ. ἀλλὰ μήτε δοῦλοι ἢ[2] ἐναπόγραφοι νομιζέτωσαν ἑαυτοῖς ἀτιμώρητον εἶναι τὸ τοιοῦτον ἐγχείρημα· ὅπερ μάλιστα ἐν ταῖς τῶν ἐναπογράφων συναφείαις εὐλαβητέον ἐστὶν, ἵνα μὴ γάμων[3] ἐλευθέρων γυναικῶν ἐξ αὐτῶν τῶν ἐναπογράφων ἐννοηθέντων, κατ᾽ ὀλίγον τῶν τοιούτων ἀνθρώπων ἡ αἵρεσις ἀπομειωθῇ· θεσπίζομεν εἴ τι τοιοῦτον εἴη παρὰ δούλου ἢ ἐναπογράφου πλημμεληθὲν, ἐξουσίαν ἔχειν τὸν δεσπότην αὐτοῦ εἴτε δι᾽ ἑαυτοῦ εἴτε διὰ τοῦ ἄρχοντος τῆς ἐπαρχίας καὶ τὸν δοῦλον ἢ ἐναπόγραφον τῷ ἁρμόζοντι σωφρονισμῷ διορθώσασθαι, καὶ ἀφελέσθαι τῆς τοιαύτης γυναικός. ὅπερ ἐὰν παρίδῃ, γινωσκέτω εἰς ἰδίαν ζημίαν τὴν τοιαύτην ῥᾳθυμίαν ὑποστρέψουσαν.

XL.

Περὶ δουλειῶν[a].

1. Ἀνάγν. βι. νη΄ τί. α΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Τῶν δουλειῶν αἱ μέν εἰσι προσώπων, ὡς χρῆσις μόνη καὶ χρῆσις καρπῶν· αἱ δὲ πραγμάτων, ὡς αἱ τῶν πολιτικῶν καὶ ἀγροικικῶν τόπων καὶ οἴκων.

2. Ἐν δὲ τῷ ιδ΄ κεφ. Αἱ δουλεῖαι[4] ἀσώματοί εἰσι, καὶ διὰ τοῦτο οὐ δεσπόζονται διὰ χρήσεως. καὶ ὅτι οὐδεὶς αὐτὰς ἀδιακόπως δύναται νέμεσθαι.

3. Ἐν δὲ τῷ ις΄ κεφ. Οὐ συνίσταται δουλεία ἐπὶ τῷ ποιῆ-

---

[a] Ἡ δουλεία ἢ ἐν ἐδάφει γίνεται ἢ ἐν κτίσμασιν. ὅταν γὰρ ἔχῃ τὶς ὁδὸν πλατεῖαν ἢ μονοπάτιον διέρχεσθαι δι᾽ ἀγροῦ ἀλλοτρίου ἢ ὕδωρ διαβιβάζειν, δουλεία λέγεται ἐδαφική. ὅταν δὲ εἰς τὴν οἰκίαν τοῦ γείτονος ἐπιθήσῃ ξύλον ἢ ὕδατα κεράμων ἀπολύσῃ ἢ ἀλλοῖόν τι ἐπιβαρὲς ἐργάσηται, δουλεία ἐν κτίσματι λέγεται. βεβαιοῦνται δὲ αἱ δουλεῖαι ἢ διὰ συμφώνου ἢ διὰ χρονίας παρατάσεως ἤγουν δεκαετίας.

---

[1] Lips. εἴσω. [2] Lips. οἱ. [3] Lips. et Leuncl. γάμου. Emendavit Leunclavius. [4] Leuncl. addit ἀγροικικαί.

σαί τι· οἷον ἵνα δένδρα ἐκκόψῃς, ἢ τόπον ἐπιτερπῆ ποιήσῃς· ἀλλ' ἵνα μὴ ποιήσῃς τὶ, ἢ ἵνα ἀνάσχῃ γενέσθαι.

4. Ἐν δὲ τῷ ιζ' κεφ. Τῷ πωλοῦντι ἀγρὸν ἐφεῖται δουλείαν αὐτῷ ἐπιθεῖναι, κἂν μὴ χρησιμεύῃ αὐτῷ, ὥστε[1] ἕλκειν ὕδωρ. δυνάμεθα γὰρ ἔχειν τινὰ καὶ μὴ ὄντα ἡμῖν χρειώδη.

5. Ἀνάγν. καὶ τί. β', ἐν ᾧ διαλαμβάνεται περὶ δουλειῶν πολιτικῶν κτημάτων· οὗτινος ἐν τῷ β' κεφ. φησίν· Αἱ πολιτικαὶ δουλεῖαι εἰσὶ τὸ ὑψῶσαι ἢ μὴ ὑψῶσαι, ἐπιπέμψαι σταλαγμὸν κεράμων τῷ γείτονι ἢ μὴ ἐπιπέμψαι, καὶ τὸ ἐμβαλεῖν ξύλα τῷ τοίχῳ τοῦ γείτονος, καὶ τὸ ποιῆσαι σωληνάριον ἢ βαστέρνιον καὶ τὰ ὅμοια.

Καὶ τὸ μὴ ἐμποδίσαι τῇ ἀπόψει.

6. Ἐν δὲ τῷ ϛ' κεφ. Αὗται αἱ δουλεῖαι, ὡς ἀγροικικαὶ, δήλῳ χρόνῳ φθείρονται. διαφέρει δὲ, ὅτι αἱ πολιτικαὶ τῇ ἀχρησίᾳ ἄλλως οὐκ ἀπόλλυνται, εἰ μὴ καὶ ὁ δουλεύων κτήσεται ἐλευθερίαν. οἷον ἐὰν χρεωστῇς μοι δουλείαν μὴ ὑψοῦν καὶ ἐμποδίζειν τῷ φωτί μου, κἀγὼ φράξω ἢ καταλύσω[2] τὰς θυρίδας μου, οὐκ ἀπόλλω τὸ δίκαιόν μου, [εἰ μὴ καὶ σὺ κατὰ τὸν αὐτὸν χρόνον ἔσχες ὑψωθέντα τὸν οἶκόν σου. καὶ ἐὰν ἔχω δίκαιον ἐμβαλεῖν τὴν δοκὸν εἰς τὸν σὸν τοῖχον, ἐὰν ἐμβάλω[3] τὴν δοκὸν, οὐκ ἀπόλλω τὸ δίκαιον], εἰ μὴ φράξεις τὴν ὀπὴν καὶ σχῇς αὐτὴν οὕτως ἐπὶ τὸν ὡρισμένον χρόνον.

7. Οὐχ[4] ὥσπερ δὲ τὸ κτίσαι με περιποιεῖ μοι ἐλευθερίαν, οὕτω καὶ ἐὰν δένδρον ἐν τῷ αὐτῷ τόπῳ διὰ παντὸς ἔσχον ἱστάμενον· οὐ γάρ ἐστιν, ὡς τοῖχος, ἀκίνητος.

8. Ἐν δὲ τῷ κ' κεφ. Αἱ τῶν οἴκων δουλεῖαι διὰ τῆς νομῆς κατέχονται, καὶ ἡ συνήθεια τῷ χρωμένῳ φυλάττεται.

9. Ἐν δὲ τῷ κε' κεφ. Τριῶν οὐσῶν οἰκιῶν ἡ μέση τῇ ἀνωτέρᾳ ἐδούλευσε. δύναται ὁ δεσπότης τῆς κατωτέρας τὸν κοινὸν αὐτῆς καὶ τῆς μέσης τοῖχον ὑψοῦν.

10. Ἀνάγν. καὶ τί. γ', ἐν ᾧ διαλαμβάνεται περὶ δουλειῶν ἀγροικικῶν κτηματων· οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἀγροικικαὶ δουλεῖαί εἰσι μονοπάτιον, πάροδος, ὁδὸς πλατεῖα, ὑδραγώγιον.

11. Ἐν δὲ τῷ ε' κεφ. Δουλεία ἐστὶ καὶ τὸ ποιῆσαι ἐν τῷ ἀγρῷ σου καλύβην τὸν ἔχοντα δίκαιον τοῦ βόσκειν ἢ τοῦ ἐλαύνειν θρέμματα, ὥστε χειμῶνος συμβαίνοντος ἐκεῖ καταφεύγειν.

---

[1] Leuncl. emendat ὡς τό. [2] Leuncl. emendat κατακλείσω. [3] Leuncl. conjicit ἐκβαλῶ. Recte. [4] Est ex cap. 7.

12. Ἐν δὲ τῷ ιε' κεφ. Ὁ ἔχων ὑδραγώγιον οὗς θέλει σωλῆνας κατασκευάζει ἐν τῷ ὀχετῷ, ἐφ' ᾧ δέχεσθαι τὸ ὕδωρ πλατύτερον, καὶ ὅπερ θέλει ποιεῖ ἐν τῷ ὀχετῷ· μὴ ποιῶν μέντοι χείρονα τὸν ὀχετὸν τοῦ δεσπότου τοῦ ἀγροῦ.

13. Ἐν δὲ τῷ κα' κεφ. Ἐὰν παραχωρήσῃς μοι ἕλκειν ὕδωρ καὶ μὴ ὁρίσῃς τὸν τόπον, ὅλος ὁ ἀγρὸς δουλεύει· μᾶλλον δὲ οἱ τόποι οἱ μὴ ἔχοντες κτίσματα ἢ ἄμπελον ἢ δένδρα, ὅτε τὴν ἀρχὴν ἡ δουλεία συνίστατο.

14. Ἀνάγν. καὶ τί. δ', ἐν ᾧ διαλαμβάνεται περὶ κοινῶν κτημάτων, τουτέστι πολιτικῶν τε καὶ ἀγροικικῶν, οὗτινος ἐν τῷ α' κεφ. φησίν· Πολιτικὰ κτήματα τὰ οἰκήματα λέγεται, κἂν ἐν ἀγρῷ ὦσιν.

15. Ἐν δὲ τῷ ε' κεφ. Ἐὰν πωλῶν ἔδαφος εἴπω ὥστε δουλεύειν αὐτὸ ἐμοὶ καὶ τῷ γείτονι, μόνῳ[1] μοὶ δουλεύει. εἰ δὲ κοινὸν πωλῶν εἴπω δουλεύειν ἐμοὶ καὶ τῷ κοινωνῷ μου, οὐκ ἔῤῥωται. διὰ γὰρ ἑνὸς τῶν κοινωνῶν οὐ προσπορίζεται δουλεία τῷ κοινῷ πράγματι.

16. Ἐν δὲ τῷ ια' κεφ. Τῷ ἔχοντι ῥεῖθρον σιωπηρῶς παραχωρεῖται τὸ ἀνανεοῦν αὐτὸ καὶ ἐπιβαίνειν ἑκατέρωθεν μετὰ τῶν τεχνιτῶν, καὶ τὴν πρὸς τὸ ἔργον ὕλην ἀποτίθεσθαι.

17. Ἀνάγν. καὶ τί. ε', οὗτινος ἐν τῷ γ' κεφ. φησίν· Ὁ δουλεύων τόπος οὐκ ἔστι τῆς δεσποτείας τοῦ δουλευομένου, ἀλλὰ δίκαιον ἔχει παρόδου.

18. Ἐν δὲ τῷ ϛ' κεφ. Ἐπὶ πασῶν τῶν δουλειῶν οὐ τῷ δουλεύοντι, ἀλλὰ τῷ[2] δουλευομένῳ ἡ φιλοκαλία ἐπίκειται, πλὴν τῆς περὶ τοῦ φέρειν τὰ βάρη τοῦ γείτονος. ἐκεῖ γὰρ ὁ δουλεύων ἀναγκάζεται τὸν ἴδιον τοῖχον[3] κτίσαι εἰς τὸ βαστάζειν τὰ βάρη μου. ἔξεστι δὲ αὐτῷ καταλιμπάνοντι τὸν οἶκον μὴ κτίσαι.

19. Ἐν δὲ τῷ ζ'[4] κεφ. Ὁ δὲ ἄνω χρεωστεῖ ὑπορθοῦν ἢ καταλύειν τὰ ἴδια, ἐφ' ὅσον ὁ κάτω[5] κτίζει τὸν ἴδιον τοῖχον. ἁρμόζει δὲ τῷ κάτω καὶ ἀντιθετικὴ ἀρνήσεως εἰς τὸ μὴ ἀναγκασθῆναι.

20. Ἐν δὲ τῷ η' κεφ. Δουλεία ἐστὶ καὶ τὸ παραχωρηθῆναί με ξύλα ἐμβαλεῖν τῷ τοίχῳ τοῦ γείτονος, ἐφ' ᾧ ἐπάνω τῶν ξύλων ποιῆσαι διακινητήριον σκεπαστόν.

21. Ἀνάγν. καὶ τί. ϛ', ἐν ᾧ διαλαμβάνεται ποίῳ τρόπῳ αἱ δουλεῖαι ἀπόλλυνται· οὗτινος ἐν τῷ ιη' κεφ. φησίν· Ὁ ἔχων δίκαιον ἐμβαλεῖν

---

[1] Leuncl. μόνον. [2] Lips. καὶ τῷ. [3] Leuncl. οἶκον. [4] Lips. β'.
[5] Leuncl. ἑκάστῳ.

τῷ τοίχῳ τοῦ γείτονος δοκὸν, ἐὰν ἐπὶ τὸν ὡρισμένον χρόνον μὴ δυνηθῇ ἐμβαλεῖν διὰ τὸ μὴ κτίσαι τὸν γείτονα, τὴν δουλείαν οὐκ ἀπόλλυσιν. οὐ γὰρ κτᾶται ὁ γείτων ἐλευθερίαν μὴ διακόπτων τὴν δουλείαν.

22. Ἐν δὲ τῷ ιθ' κεφ. Ἐὰν πιπράσκων ἀγροῦ μέρους συμφωνήσω δι' αὐτοῦ ἕλκειν ὕδωρ, καὶ μήπω ποιήσαντός μου τὸν ὀχετὸν ὁ νόμιμος παρέλθῃ χρόνος, σώζεταί μοι τὸ δίκαιον. εἰ δὲ ἐποίησα μὲν, μὴ ἐχρησάμην δὲ, φθείρεται.

23. Ἐν δὲ τῷ κ' κεφ. Φυλάττεται ἡ δουλεία οὐ μόνον διὰ τῆς χρήσεως τοῦ δουλευομένου καὶ διὰ τοῦ νεμομένου, ἀλλὰ καὶ διὰ μισθωτοῦ, καὶ διὰ τοῦ ἐπιξενομένου καὶ ἰατροῦ καὶ τοῦ πρὸς ἐπίσκεψιν αὐτοῦ ἐρχομένου.

24. Ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ β' κεφ. φησίν[b]· Ἐὰν[1] μὴ εἶχέ τις δουλείαν τοῦ ἕλκειν ὕδωρ, εἵλκυσε δὲ ἀνεχομένου τοῦ δεσπότου τοῦ ἀγροῦ ἐπὶ τριετῇ χρόνον, δύναται κτᾶσθαι τὴν δουλείαν. εἰ δὲ μὴ ἐχρήσατο τριετίᾳ[2], κωλύεται· μὴ δυναμένου μηδὲ τὰ δαπανήματα τοῦ ὁλκοῦ λαμβάνειν παρὰ τοῦ δεσπότου τοῦ ἀγροῦ.

25. Ἐν δὲ τῷ δ' κεφ. Οὐδεὶς δύναται ἕλκειν ὕδωρ ἐκ τῆς ἀλλοτρίας πηγῆς παρὰ γνώμην τοῦ δεσπότου τοῦ ἀγροῦ.

26. Ἐν δὲ τῷ ε' κεφ. Οὐδὲ ὁ δημόσιος δύναται τὴν ἅπαξ κρατήσασαν δουλείαν ἀνατρέπειν.

27. Ἐν δὲ τῷ ι' κεφ.[c] Οὐκ ὀφείλει πλέον μέρος τοῦ ὕδατος λαβεῖν, ἀλλὰ πρὸς τὴν γενομένην παραχώρησιν οὕτως ὀφείλομεν ἕλκειν τὸ ὕδωρ.

28. Ἡ[3] δουλεία φθείρεται τῇ ἀχρησίᾳ ἐπὶ δέκα ἢ εἴκοσι ἐνιαυτούς.

---

b Ἐν τῷ α' κεφ. τοῦ αὐτοῦ τί.[4] φησί· Θυρίδας τὶς ἔσχεν ἐπὶ πολὺν χρόνον καὶ ὁ γείτων ἀνυψῶν τὸν ἴδιον τοῖχον ἐπισκοτεῖ ταῖς θυρίσι, καὶ ἡ διάταξις ἀντιγράφει πρὸς τὸν ἐσχηκότα τὰς θυρίδας οὕτως· εἰ καὶ τὰ μάλιστα δουλείαν οὐ παρεχώρησεν ὁ γείτων κωλύουσαν αὐτὸν ὑψῶσαι, ἀλλ' οὖν ὁ πολὺς ἐν τῷ μέσῳ διαδραμὼν χρόνος ταύτην συνέστησε κατ' αὐτοῦ τὴν δουλείαν, μὴ συγχωρῶν τὸ ἀρχαῖον σχῆμα τῶν οἰκημάτων παραχαράττεσθαι, μόνον εἰ ὁ ἐναγόμενος μὴ βίᾳ μὴ λάθρα μὴ παρακλήσει [νέμεται].

c Οὐ τὸ μέτρον τῶν κτημάτων, ἀλλ' ἡ δουλεία τὸ τοῦ ὕδατος μέτρον ὁρίζει· τυχὸν γὰρ δύο τινὲς ἐλάβομεν παρά τινος δίκαιον ὕδατος, κἀγὼ μὲν εἶχον ἀγρὸν μείζονα, ὁ δὲ ἕτερος ἐλάττω[5].

---

[1] Leuncl. Κἂν. [2] Leuncl. τριετίαν. Mox δυνάμενος legerim. [3] Inscribendum videtur: Ἐν δὲ τῷ ια' κεφ. [4] Intelligitur l. 3 Cod. III, 34 ex Basil. LVIII, 7, 1, ibique hic locus restituendus. [5] Cf. l. 12 Cod. III, 34. Basil. LVIII, 7, 10. Locus restituendus.

29. Ἐν δὲ τῷ ια'[1] κεφ. Ὁ συμφωνήσας μετὰ τοῦ ἀγρογείτονος, ὥστε ἐξεῖναι αὐτῷ παριέναι διὰ τοῦ ἀγροῦ αὐτοῦ ἐπὶ τὴν οἰκείαν ὕλην ἅπαξ κατὰ πέντε ἐνιαυτοὺς, καὶ μήτε δι᾿ ἑαυτοῦ μήτε [διὰ] τῶν διαφερόντων αὐτῷ τῇ δουλείᾳ ἐχρήσατο ἐπὶ κ' ἐφεξῆς ἔτη, ἀπολλύσθω πάντως τὸ παραχωρηθὲν αὐτῷ δίκαιον.

30. Ἀνάγν. καὶ τί. ιθ' καὶ τί. κ'. διαλαμβάνεται γὰρ ἐν μὲν τῷ ιθ' τί. περὶ τοῦ μεγάλου ἀγωγοῦ καὶ τῶν ἐξ αὐτοῦ ἑλκόντων ὕδωρ· καὶ προείρηται ἐν τῷ περὶ ἀγωγοῦ. ἐν δὲ τῷ ια' κεφ. τοῦ κ' τί. φησὶν, ὅτι φησὶν ὁ πραίτωρ, μηδὲν κωλύεσθαί με ἕλκειν ὕδωρ, εἴπερ εἵλκυσα αὐτὸ παρὰ σοῦ ἐν τῷ ἐνιαυτῷ τούτῳ οὐ βίᾳ οὐ λάθρα οὐ παρακλήσει.

Εἰς οἷα θέλω μέρη τοῦ ἀγροῦ μου ἕλκω τὸ ὕδωρ. κἂν τὸν ἐγγὺς ἀγρὸν ἀγοράσω, καὶ εἰς αὐτὸν ὀρθῶς ἕλκω, εἰ μὴ βλάπτω τὸν κρατοῦντα τὸ ὕδωρ. ὥσπερ καὶ ὁ μὴ[2] ἔχων πάροδον ἢ ἐλασίαν, ἐὰν ἅπαξ εἰς τὸ ἴδιον εἰσέλθῃ, ὅθεν βούλεται ἐξέρχεται.

Εἰ βουληθῶ μίξαι τῷ ἑλκομένῳ ὕδατι ἕτερον, ὀρθῶς κατὰ παντὸς τοῦ ἑλκυσμοῦ κωλύομαι.

Ὥσπερ καὶ εἰ πλείονα θρέμματα ποτίσαι[3], ὧν ἐξῆν μοι ποτίζειν.

31. Ἐν δὲ τῷ β' κεφ. Καλῶς σε κωλύω ἐν τῷ ἀγρῷ, ὅθεν ἕλκω τὸ ὕδωρ, ὀρύττειν, σπείρειν, ἐκτέμνειν, κλαδεύειν, κτίζειν, δι᾿ ὧν τὸ ὕδωρ μολύνεται ἢ ἐλαττοῦται ἢ φθείρεται ἢ χεῖρον γίνεται.

32. Ἐν δὲ τῷ γ' κεφ. Ὁ ἡμερινὸν ἢ νυκτερινὸν ἑλκυσμὸν ἔχων οὐ δύναται ἐν ἄλλῃ ὥρᾳ ἕλκειν.

33. Ἐν δὲ τῷ δ' κεφ. Τὸ ἐξ ἀμνημονεύτων χρόνων ἑλκόμενον ὕδωρ ἐννόμως δοκεῖ συστῆναι. καὶ σωλῆνας θῆναι, καὶ ἄλλο τὶ ποιεῖν ἐν τῷ ἀγωγῷ δύναμαι, μὴ βλάπτων τὸν ἀγρὸν ἢ τοὺς ὁμορείθρους.

34. Ἐν δὲ τῷ ια' κεφ. Δύναταί [τις] τὸ πρότερον κατὰ διόπτραν ἑλκόμενον συνανακεκαλυμμένον ποιῆσαι, εἰ μὴ πλέον ὠφελεῖτο ὁ ἀντίδικος.

35. Ἀνάγν. καὶ τί. κα' κεφ. α', ἐν ᾧ φησι· Λέγει ὁ πραίτωρ, μὴ κωλύεσθαι τὸν ἄνευ αἰτίας χρησάμενον ἐν τούτῳ τῷ ἔτει τῷ ὕδατι τῆς πηγῆς, ἢ τοῦ ὑδροστασίου ἢ τοῦ φρέατος ἢ τῆς πισκίνης, ὡσαύτως κεχρῆσθαι.

---

[1] Malim ιδ'. [2] Negationem Leuncl. non habet. [3] Leuncl. emendat ποτίσω.

Αἱ γὰρ δουλεῖαι οὐ μόνον εἰς τὸ ἕλκειν ὕδωρ, ἀλλὰ καὶ εἰς τὸ ἀντλεῖν εἰσί. καὶ διὰ τοῦτο καὶ τὰ περὶ αὐτῶν νόμιμα παραγγέλματι[1] προτίθεται.

Δίδοται δὲ τὸ νόμιμον καὶ τῷ ἀντλῆσαι κωλυομένῳ, καὶ τῷ ποτίσαι οἰκεῖα θρέμματα.

Εἰ δὲ καὶ προσώπῳ ἁρμόζει, τὰ αὐτὰ κρατεῖ ἅπερ καὶ ἐν τοῖς πρώτοις νομίμοις παραγγέλμασι.

XLI.

Περὶ δωρεῶν[a].

1. Ἀνάγν. βι. μζ΄, οὗτινος ἐν τῷ α΄ τί. διαλαμβάνεται περὶ τῶν ἐν ζωῇ δωρεῶν, καὶ τίνες δύνανται δωρεῖσθαι, καὶ τίνες οὐ δύνανται. ἐν δὲ τῷ δ΄ κεφ. τοῦ αὐτοῦ τί. φησί· Καὶ ἡ ἄσεμνος δωρεὰ ἔῤῥωται, οἷον εἰς πόρνην[b].

2. Ἐν δὲ τῷ ζ΄ κεφ. Ὑπεξούσιος κἂν ἐπιτραπῇ τὸ πεκούλιον διοικεῖν, οὐ καλῶς δωρεῖται ἄνευ εὐλόγου αἰτίας, εἰ μὴ καὶ τοῦτο ἐπετράπη, ἢ ἀξιωματικὸς ὢν οὐκ ἐκωλύθη δωρεῖσθαι.

Θανάτου δὲ αἰτίᾳ μὴ δωρείσθω ἄνευ γνώμης πατρὸς[c], κἂν ἐπετράπη δωρεῖσθαι γενικῶς· εἰ μὴ ἰδιόκτητον ἔχει πεκούλιον ἢ ὡσανεὶ ἰδιόκτητον.

3. Ἐν δὲ τῷ ι΄ κεφ. Ἡ δωρεὰ δεσπότην ὀφείλει ποιεῖν τὸν λαμβάνοντα.

Οὐ καλῶς δέ τις δωρεῖταί τινι, ὅπερ οὐ δύναται κτήσασθαι.

4. Ἐν δὲ τῷ ιβ΄ κεφ. Ὁ ἀπὸ δωρεᾶς ἐνεχόμενος μέχρις εὐπορίας καταδικάζεται· καὶ ὑπεξαιρεῖ ὅσα χρεωστεῖ δανεισταῖς, εἰ μὴ καὶ αὐτοῖς[2] ἀπὸ δωρεᾶς χρεωστεῖ.

5. Ἐν δὲ τῷ κ΄ κεφ. Τὸ ὑπὲρ αἰτίας προλαβούσης δοῦναι

---

[a] Ἀνάγν. καὶ νεαρὰν νβ΄ κεφ. β΄, ἐν ᾧ φησι περὶ τῆς πρὸς βασιλέα γινομένης δωρεᾶς, ἢ παρ᾽ αὐτοῦ πρὸς ἰδιώτας. ἀνάγν. καὶ νεαρὰν ρξβ΄, ἐν ᾗ φησι περὶ τῶν εἰς γυναῖκα γινομένων παρὰ τῶν συνοικούντων, ἥτις κεῖται ἐν τῷ αὐτῷ μζ΄ βι. τί. α΄ εἰς τὸ τέλος.

[b] Προφάσει διαθέσεως καὶ σεμνῆς καὶ ἀσέμνου ἔῤῥωται ἡ δωρεά.

[c] Τῷ ὀνόματι τῆς δωρεᾶς καὶ αἱ θανάτου αἰτίᾳ καὶ αἱ ἄλλαι ἤτοι αἱ ἐν ζωῇ γινόμεναι περιέχονται.

---

[1] Heimb. emendat παραγγέλματα. [2] Leuncl. αὐτά.

οὔκ ἐστι δωρεά[d]. οἷον ὅτι συνηγόρησά σοι, ἢ ὅτι τῇ σπουδῇ μου ἐχρήσω.

6. Ἐν δὲ τῷ κβ' κεφ. Ὁ δωρούμενος οὐ δίδωσι τόκους ἀπὸ ὑπερθέσεως. οὐ γάρ ἐστιν ἡ δωρεὰ τῶν καλῇ πίστει.

7. Ἐν δὲ τῷ λα'[1] κεφ. Ὅπερ δωρήσομαι τῇ παλλακῇ μου, οὐκ ἀνατρέπω, κἂν ὕστερον αὐτὴν νομίμως ἀγάγωμαι.

Ἐὰν δωρήσομαι τῷ ὑπεξουσίῳ μου, καὶ ποιῶν αὐτὸν αὐτεξούσιον μὴ ἀφέλωμαι τὸ πεκούλιον, βεβαιοῦται ἡ δωρεά.

8. Ἐν δὲ τῷ λς' κεφ. Ἐάν τινα ῥύσομαι ἀπὸ λῃστῶν ἢ πολεμίων, καὶ ὑπὲρ τούτου δωρήσηταί μοί τι, ἔῤῥωται, κἂν ὑπερβαίνῃ τὸ νόμιμον μέτρον.

9. Ἐν δὲ τῷ με' κεφ. Οὐδεὶς ἀγνοῶν ἢ ἄκων δωρεῖται. ὥστε οὖν κἂν περιέχῃ τὸ ἔγγραφον ὅτι συνήνεσα, οὐδὲν βλάπτομαι, ἐπειδὴ ἡ ἀλήθεια ἄλλως ἔχει.

10. Ἐν δὲ τῷ μς' κεφ. Δύναται κοινωνὸς ἐξ ἀδιαιρέτου τὸ μέρος αὐτοῦ δωρεῖσθαί τινι.

11. Ἐν δὲ τῷ ν' κεφ. Ἅπερ ἐδωρήσω τοῖς αὐτεξουσίοις ἤγουν ὑπεξουσίοις οὖσι πρότερον, οὐ δύνασαι λαμβάνειν αὐτά. εἰ δὲ οὕτως αὐτοὺς ἐλευθέρωσας, ὥστε ἀφαιρῆσαι τὰ δοθέντα, σά ἐστι λοιπὸν, καὶ οὐδὲ[2] ἄκοντός σου δύνανται κατασχεῖν.

12. Ἐν δὲ τῷ νε' κεφ. Τῆς προικὸς ἐν τῷ γάμῳ ὁ ἀνὴρ κύριος. οὐκοῦν ἡ γυνὴ οὐ δύναται αὐτὴν δωρεῖσθαι.

13. Ἐν δὲ τῷ ξα' κεφ. Ὁ δωρούμενος πρᾶγμα ἢ εἰς προῖκα διδοὺς ἢ πιπράσκων, καὶ τὴν χρῆσιν τῶν καρπῶν παρακατέχων, κἂν μὴ ἐπερωτήσῃ, οὐδὲν ἧττον παραδεδωκέναι αὐτὸ δοκεῖ.

14. Ἐν δὲ τῷ ξγ' κεφ. Πᾶσα δωρεὰ ἁπλὴ ἕως φ' νομισμάτων οὖσα ἰσχυέτω καὶ ἀνεμφάνιστος οὖσα. εἰ δὲ πλεῖον εἴη, τὸ ὑπέρπλεον μὴ ἰσχυέτω· ἐξῃρημένων τῶν βασιλικῶν δωρεῶν, καὶ τῶν εὐσεβείας λόγῳ γινομένων, καὶ τῶν εἰς μνηστὴν διδομένων. εἰ δὲ μὴ εἴη ἐν χρήμασιν, ἀλλ' ἐν πράγμασι κινητοῖς ἢ ἀκινήτοις, διατιμάσθω. καὶ εἰ μὲν μὴ ὑπερβαίνει τὸ ποσὸν, ἐῤῥώσθω· εἰ δὲ ὑπερβαίνει, τὸ περιττὸν ἀνίσχυρον ἔστω. ὁ δὲ τὸ πλεῖον ἔχων, δότω τῷ ἄλλῳ τὸν ἀπαργυρισμὸν[e] τοῦ ὑπερβαίνοντος. εἰ δέ τις ἐν διαφόροις χρόνοις

---

[d] Τυχὸν γὰρ προεδωρήσατό τις αὐτῷ, καὶ τοῦτον ἀμείψασθαι ἠθέλησεν, ἢ ἄλλως ὡς εὐεργέτην αὐτοῦ.

[e] Τὴν διατίμησιν.

---

[1] Leuncl. λβ'. [2] Leuncl. οὐδὲν.

δωρεὰς ἐποιήσατο πολλὰς εἰς τὸ αὐτὸ πρόσωπον, πολλὰς δεῖ νοεῖν αὐτάς, οὐ μὴν συλλαμβάνειν πάσας καὶ λέγειν ὅτι ἀνεμφάνιστος οὐκ ἰσχύει ὡς μία οὖσα.

15. Ἐν δὲ τῷ β' τί. διαλαμβάνεται περὶ δωρεῶν ἀνατρεπομένων καὶ μὴ ἀνατρεπομένων· οὗτινος ἐν τῷ δ' κεφ. φησί· Τὴν καλῶς γενομένην δωρεὰν οὐδὲ ἀπὸ θείας[1] ἀντιγραφῆς ἀνατρέπει τίς.

16. Ἐν δὲ τῷ ε' κεφ. Ἡ μήτηρ τότε ἀνατρέπει τὰς τοῦ παιδὸς δωρεάς, ὅτε μὴ δευτερογαμήσει καὶ ἀχάριστον αὐτὸν δείξει.

17. Ἐν δὲ τῷ η' κεφ. Ἐὰν πάτρων τῷ ἀπελευθέρῳ χαρίσηται πάντα τὰ πράγματα ἢ μέρος αὐτῶν, εἶτα τελευταῖον παῖδας σχοίη, πάντα πάλιν εἰς αὐτὸν ὑποστρέφει τὰ πράγματα καὶ ἐν τῇ αὐτοῦ ἐξουσίᾳ μένει.

18. Ἐν δὲ τῷ θ' κεφ. Αἱ δωρεαὶ αἱ γινόμεναι παρὰ τῶν ἀνιόντων εἰς κατιόντας αὐτεξουσίους οὐκ ἀνατρέπονται, εἰ μὴ ἀχάριστοι περὶ αὐτοὺς γένωνται οἱ λαμβάνοντες.

19. Ἐν δὲ τῷ ι' κεφ. Πᾶσα δωρεὰ τελεία γενομένη οὐκ ἀνατρέπεται, εἰ μὴ ἐξ ἀχαριστίας· οἷον ἐὰν σφοδρῶς ὑβρίσῃ, ἢ χεῖρας ἐπιβάλῃ, ἢ ζημίαν μεγίστην ἐπενέγκῃ, ἢ εἰς τὴν ζωὴν ἐπιβουλεύσῃ, ἤ τινα σύνθηται ποιῆσαι καὶ μὴ ποιήσῃ. ἐκ τούτων τῶν αἰτιῶν ἀνατρέπονται· μέχρι δὲ τῶν πρώτων προσώπων τοῦτο κρατεῖ, οὐ μὴν εἰς κληρονόμους διαβαίνει.

20. Ἐν δὲ τῷ γ' τί. διαλαμβάνεται περὶ τῶν θανάτου αἰτίᾳ δωρεῶν ἤτοι μετὰ θάνατον· οὗτινος ἐν τῷ α' κεφ. φησί· Θανάτου αἰτίᾳ[f] δωρεά ἐστιν, ὅτε τὶς ἑαυτὸν θέλει μᾶλλον ἔχειν ἢ τὸν λαβόντα, τὸν δὲ λαβόντα πλέον τοῦ ἰδίου κληρονόμου[2].

21. Ἐν δὲ τῷ κ' κεφ. Ἐὰν ὑπεξουσίῳ δωρήσωμαι καὶ ζῶντός μου τελευτήσῃ, ἁρμόζει μοι ἡ ἀνάληψις, εἰ μὴ ἄρα τῷ πατρὶ αὐτοῦ θέλων δωρήσασθαι μόνῃ τῇ ὑπηρεσίᾳ τοῦ υἱοῦ προσεχρησάμην. τὰ αὐτὰ καὶ ἐπὶ δούλου.

22. Ἐν δὲ τῷ κβ' κεφ. Ὁ ὑπεξούσιος οὔτε βουλομένου τοῦ πατρὸς διατίθεται[g]. ἐπιτρέποντος δὲ αὐτοῦ δωρεῖται θανάτου αἰτίᾳ.

23. Ἐν δὲ τῷ κδ' κεφ. Ἐὰν θανάτου αἰτίᾳ δωρήσωμαι, ἵνα κατὰ μηδένα τρόπον ἀναλάβω, οὐ δοκεῖ θανάτου αἰτίᾳ, ἀλλ'

---

[f] Μόρτις καῦσα.

[g] Δηλονότι εἰς τὰ μὴ ὄντα αὐτῷ ἰδιόκτητα.

---

[1] Leuncl. βασιλέως. [2] Lips. συγκληρ.

ἐν ζωῇ εἶναι. ὅθεν οὐδὲ μεταξὺ τῶν συνοικούντων ἔῤῥωται, οὐδὲ τῷ φαλκιδίῳ ὑπόκειται.

24. Ἐάν[1] τελευτῶν χωρὶς αἱρέσεως δωρήσωμαί σοι, οὐ καλῶς ἐπιζητοῦσιν οἱ κληρονόμοι μου παρακρατῆσαι φαλκίδιον. ὁ γὰρ φαλκίδιος οὐκ ἐπὶ τῶν ἁπλῶς δωρεῶν, ἀλλ᾽ ἐπὶ τῶν θανάτου αἰτίᾳ χώραν ἔχει.

25. Ἐν δὲ τῷ λβ′ κεφ. Διαφέρει θανάτου αἰτίᾳ δωρεὰ τῆς ἁπλῆς, ὅτι ἁπλῆ ἐπὶ τῷ μηδέποτε ἀναδοθῆναι δίδοται· τὸν γὰρ λαβόντα πλέον ἑαυτοῦ θέλει ὁ δωρούμενος· ἡ δὲ θανάτου αἰτίᾳ ἑαυτὸν πλέον, τὸν δὲ λαβόντα πλέον τοῦ ἰδίου κληρονόμου. διὸ καὶ ἀναλαβεῖν δύναται ὑγιάνας, ὡς τῆς αἰτίας, ἐφ᾽ ᾗ δέδωκε, μὴ παρακολουθησάσης.

Δωρεῖταί τις θανάτου αἰτίᾳ καὶ ὑγιαίνων καὶ κίνδυνον ἐπηρτημένον εὐλαβούμενος. καὶ δύνανται συμφωνεῖν, ἵνα μὴ ἄλλως δοθῇ, εἰ μὴ ὁ δοὺς προτελευτήσει· καὶ ἵνα ἐξῇ αὐτῷ μεταμελεῖσθαι, ἢ ἵνα μὴ ἄλλως ἀναδοθῇ, εἰ μὴ προαποθάνῃ ὁ λαβών, καὶ ἵνα μὴ καθόλου ἀναδοθῇ, κἂν ὑγιάνῃ ὁ δωρούμενος.

26. Ἐν δὲ τῷ λζ′ κεφ. Θανάτου παρακολουθοῦντος ἡ μεταξὺ ἀνδρὸς καὶ γυναικὸς γενομένη θανάτου αἰτίᾳ δωρεὰ εἰς τὸν καιρὸν ἀνατρέχει, καθ᾽ ὃν ἐγένετο.

27. Ἐν δὲ τῷ λθ′ κεφ. θέμ. β′· Ἐὰν καλῇ πίστει ἐστὶ τὸ δικαστήριον, οὐκ ἀπαιτοῦσί[2] με ἀσφάλειαν. ἐπειδὴ θανάτου αἰτίᾳ ἐστὶ δωρεά, ἥτις ἀνετράπη προτελευτήσαντός σου[h].

28. Ἐν δὲ τῷ μ′ κεφ. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς θανάτου αἰτίᾳ δωρεὰ ἔῤῥωται, εἴτε δικαίως ὑπονοεῖ τὸν θάνατον, εἴτε καὶ μή.

29. Ἀνάγν. καὶ βι. κδ′ τί. α′ κεφ. ιβ′, ἐν ᾧ φησιν· Ὁ δωρησάμενος θανάτου αἰτίᾳ ὑγιάνας ἀναλαμβάνει τὸ δωρηθὲν μετὰ καρπῶν καὶ τοκετοῦ καὶ πάσης ἐπαυξήσεως.

30. Ἀνάγν. καὶ βι. ι′ τί. δ′ κεφ. ξα′, ἐν ᾧ φησιν· Ἐπειδὴ δὲ δωρεῖσθαι οὐδὲ μετὰ ἀποφάσεως ἔξεστι τοῖς ἐλάττοσιν, (εἰ μὴ ἄρα προγαμιαίαν δωρεάν,) νομοθετεῖ· ἐὰν ὁ ἐλάττων συγ-

---

h Ἥτις ἀνετράπη προτελευτήσαντός σου. ἐὰν δὲ ἑκὼν ἠσφαλισάμην αὐτοῖς, ἵνα μετὰ θάνατόν μου ἀποκαταστήσω αὐτοῖς, ὑπόκεινται ἐξ ἰδίου προσώπου τῷ φαλκιδίῳ.

---

[1] Hunc locum, qui est Basil. h. t. c. 42 th. 2, Leunclaviana editio non habet: et sane ordinem capitum turbat. [2] Lips. ἀπαιτεῖ.

γνώμην ἡλικίας αἰτήσας ἤδη δωρήσηταί τινι, μὴ ἐῤῥῶσθαι τὴν δωρεὰν, εἰ μὴ μετὰ τοὺς κε΄ ἐνιαυτοὺς ι΄ ἢ κ΄ ἐνιαυτοὶ διαδράμωσιν. εἰ δὲ ἐν τῷ μεταξὺ ὁ ἀφῆλιξ τελευτήσοι, ζητοῦμεν ἵνα τὸ λεῖπον τοῦ χρόνου διάστημα δράμῃ τοῦ κληρονόμου αὐτοῦ σιωπῶντος.

31. *Ἀνάγν.* [1] *καὶ τί. ιβ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν·* Ἐάν τινα πράγματα πρὸ τῶν γάμων μετὰ τῆς πρεπούσης συμμετρίας ὁ ἐλάττων τῶν κε΄ ἐτῶν ἐν τῷ καιρῷ τῆς μνηστείας ἀνὴρ, παρόντος αὐτῷ τοῦ κουράτορος, τῇ μνηστῇ ἐδωρήσατο, τῷ προκαλύμματι τῆς ἡλικίας αἱ τοιαῦται δωρεαὶ οὐκ ἀνακαλοῦνται.

32. *Ἀνάγν. βι. ια΄ τί. α΄ κεφ. οε΄ θέμ. γ΄, ἐν ᾧ φησι·* Κινούμενός τις ἐκ φιλοτιμίας ἐπηγγείλατό τινι χωρὶς ἐπερωτήσεως, καθ᾿ ἕκαστον ἐνιαυτὸν παρέχειν αὐτῷ λόγου χάριν νομίσματα ν΄, καὶ δὴ φυλάττων ταύτην τὴν ψιλὴν ἐπαγγελίαν αὐτοῦ ἐπί τινας ἐνιαυτοὺς παρέσχε τὰ ἐτήσια ν΄ νομίσματα. ἀλλὰ μετὰ ταῦτα μεταμεληθεὶς οὐκέτι ἠνέσχετο παρασχεῖν τὰ ἐπαγγελθέντα. λέγει τοίνυν ἡ διάταξις, μὴ ἀναγκάζεσθαι αὐτὸν ταῦτα παρέχειν εἰς τὸν ἐφεξῆς χρόνον, εἰ μὴ παρηκολούθησεν ἐπερώτησις.

33. *Καὶ τί. β΄* [2] *κεφ. λγ΄ καὶ μβ΄.* [3]

34. *Καὶ βι. ιε΄ τί. α΄ κεφ. οζ΄ καὶ βι. κε΄ τί. δ΄ κεφ. ι΄.*

35. *Ἀνάγν. καὶ βι. ε΄ τί. α΄ κεφ. η΄ καὶ θ΄, ἐν οἷς φησιν·* Ὁ συστησάμενος δωρεαστικὸν ἐπὶ τῷ εὐκτήριον οἶκον κτισθῆναι ἢ ξενῶνα ἢ νοσοκομεῖον ἀπαιτείσθω παρὰ τῶν ἐπισκόπων καὶ οἰκονόμων καὶ αὐτὸς καὶ οἱ κληρονόμοι αὐτοῦ τὰ ὑποσχεθέντα, διοικούμενα μέντοι κατὰ τὸ δοκοῦν αὐτῷ.

36. Μὴ χρεία ἔστω πράξεως ὑπομνημάτων ἐπὶ τῆς ἄχρι φ΄ νομισμάτων δωρεᾶς γενομένης εἰς ἐκκλησίαν ἢ εἰς εὐσεβῆ οἶκον ἢ εἰς πτωχοὺς ἢ εἰς πόλιν. ἐπὶ δὲ πλείονος ποσότητος πρᾶξις γινέσθω, εἰ μὴ βασιλέως ἐστὶν ἡ δωρεά[i].

---

i *Ζήτει εἰς τὸ ν΄ βι. τῶν βασιλικῶν τὸν ιγ΄ τί. ἔνθα γράφει περὶ δωρεῶν τοῦ βασιλέως καὶ τῆς δεσποτείας* [4] *τῆς πρὸς ἀλλήλους· ἔχουσι γάρ, ὡς λέγει, παραχρῆμα τὸ βέβαιον.*

---

[1] Hunc locum Lips. inferius collocat inter § 36 et 37. [2] Leuncl. emendat α΄. Temere. [3] Leunclaviana editio subjicit: *φησὶ γὰρ ὅτι ὁ πρῶτος λαβὼν δωρεὰν νικᾷ τὸν δεύτερον· ὅπερ συμβαίνει ὅτε δύο τινὲς τὸ αὐτὸ πρᾶγμα ἀγοράζουσι. νικᾷ γὰρ ὁ πρῶτος.* Quae tamen ad ll. ll. non pertinent. [4] Lege *δεσποίνης*.

37. Ἀνάγν. καὶ βι. λ' τί. α' κεφ. οθ', καὶ βι. νς' τί. ς' κεφ. ιθ', ἐν ᾧ φησιν· Ὅτε ὁ βασιλεὺς δωρούμενος πρᾶγμα εἴπῃ ὁλοκλήρως δωρεῖσθαι, πάντα τὰ ἀνδράποδα καὶ τὰ θρέμματα καὶ τὸν καρπὸν καὶ παντὸς ἰδίου δικαίου[1] καὶ τὰ πρὸς ἐξοπλισμὸν τοῦ ἀγροῦ ἢ τοῦ οἴκου περιεχόμενα δωρεῖσθαι δοκεῖ.

38. Καὶ τί. ζ' κεφ. ιε', ἐν ᾧ φησιν· Ἐὰν δυσί τισιν ὁ βασιλεὺς δωρήσηται πράγματα, ὁ δὲ εἷς ἐξ αὐτῶν ἀκληρονόμητος τελευτήσῃ, τὸ μέρος αὐτοῦ τῷ ἑτέρῳ προστίθεται.

39. Ἀνάγν. καὶ τί. ιδ' κεφ. κγ'.

XLII.

Περὶ δωρεῶν μεταξὺ ἀνδρῶν καὶ γυναικῶν καὶ κηδεστῶν καὶ ὑπεξουσίων.

1. Ἀνάγν. καὶ βι. κβ' τί. α' κεφ. η'[2], ἐν ᾧ φησιν· Ἐὰν ὁ ἀνὴρ βουλόμενος δωρήσασθαι τῇ γυναικὶ τοιαύτην εὗρε μέθοδον, ἵνα ἀγοράσῃ πρᾶγμα, καὶ γένηται τὸ ἔγγραφον ὡς δῆθεν τῆς γυναικὸς ἀγορασάσης, οὐ πιστεύομεν τῷ ἐγγράφῳ, ἀλλὰ τῇ ἀληθείᾳ. καὶ δύναται ὁ ἀνὴρ ὡς ἀπὸ δωρεᾶς ἀνυποστάτου τὸν ἀγρὸν ἐκδικῆσαι παρὰ τῆς γυναικός.

2. Ἀνάγν. καὶ βι. κθ'[3] τί. ε' κεφ. μβ', ἐν ᾧ φησιν· Ἐὰν ἐν συνισταμένοις τοῖς γάμοις ὁ ἀνὴρ ὡς δωρούμενος τῇ γυναικί τινα προσέθηκε τῇ προικὶ, καὶ ἐτελεύτησεν ἐφησυχάσας τῇ δωρεᾷ, ἐνάγονται οἱ κληρονόμοι ἀναγκαζόμενοι παρασχεῖν ἅπερ ὁ ἀνὴρ ἐδωρήσατο. ἴσχυσε γὰρ τῷ θανάτῳ τοῦ ἀνδρὸς ἡ δωρεά.

3. Ἀνάγν. καὶ βι. λ' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησί· Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὐκ ἔῤῥωται ἡ δωρεὰ διὰ τὸν ἔρωτα·

Καὶ τοῦ μὴ ἔχειν αὐτοὺς διαζυγίου πρόφασιν, ἐκ τοῦ μὴ δωρεῖσθαι·

Καὶ διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον, καὶ τὸν ἄπορον εὔπορον.

4. Ἐν δὲ τῷ β' κεφ. Οὐ μόνον ἐπὶ τῶν συνεστώτων γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων ἀνίσχυροί εἰσι αἱ δωρεαί· ἔνθα τυχὸν συγκλητικοῦ θυγάτηρ ἀπελευθέρῳ γαμηθῇ, ἢ ἐπαρχεῶτις γυνὴ τῷ διοικοῦντι τὴν ἐπαρχίαν. παλλακῇ δὲ δωρεῖσθαι οὐ κεκώλυται.

Καὶ οἱ συνυπεξούσιοι τῶν γεγαμημένων, ἐλεύθεροί τε καὶ

---

[1] Leuncl. emendat πᾶν ἴδιον δίκαιον. [2] Legerim π'. Est enim apud Heimbach. c. 82. [3] Lips. et Leuncl. κε'.

δοῦλοι, κωλύονται δωρεῖσθαι, καὶ ὑπεξούσιοι τοῖς ὑπεξουσίοις. ὅθεν ἡ γυνή μου τῷ ὑπεξουσίῳ μου υἱῷ οὐκ ἐῤῥωμένως δωρεῖται, εἰ μὴ ἐπὶ στρατόπεδα ἀπιόντι· στρατιωτικὸν γὰρ αὐτοῦ γίνεται. καὶ ὁ ὑπεξούσιός μου υἱὸς ἐκ τοῦ στρατιωτικοῦ πεκουλίου καλῶς δωρεῖται τῇ γυναικί μου. ὁ οὖν ἔχων υἱὸν ὑπεξούσιον καὶ τῇ ἰδίᾳ γαμετῇ καὶ τῇ νύμφῃ δωρεῖσθαι κεκώλυται.

Οὔτε ἡ γυνὴ δωρεῖται τῷ ἀνδρὶ, οὔτε ὁ πενθερὸς τῷ γαμβρῷ, οὔτε τοῖς ὑπεξουσίοις αὐτῶν, ἢ τοῖς ἔχουσιν αὐτοὺς ὑπεξουσίους. εἰ δὲ μή ἐστιν ὁ πενθερὸς συνυπεξούσιος τῷ ἀνδρὶ ἢ μὴ ἔχει αὐτὸν ὑπεξούσιον, οὐ κωλύεται δωρεῖσθαι τῷ πενθερῷ καὶ τοῖς ὑπεξουσίοις αὐτοῦ καὶ τῷ ὑπεξούσιον αὐτὸν ἔχοντι.

Ἡ πενθερὰ τῇ νύμφῃ καὶ ἡ νύμφη τῇ πενθερᾷ δωρεῖται. οὐ γὰρ ὕπεστι λόγος ὑπεξουσιότητος.

5. Ἐν δὲ τῷ ϛ' κεφ. Ἐὰν ἡ γυνὴ τὰ δωρηθέντα αὐτῇ παρὰ τοῦ ἀνδρὸς δαπανήσῃ περὶ συνηθείας προκοπῆς συγγενοῦς αὐτῆς, ἔῤῥωται ἡ δωρεά. πλουσιωτέρα γὰρ οὐ γέγονεν, εἰ καὶ ἤμελλε δανείζεσθαι.

6. Ἐν δὲ τῷ η' κεφ. Καλῶς ἀλλήλοις θανάτου αἰτίᾳ δωροῦνται·

Εἰς καιρὸν γὰρ ἀναφέρεται, ἐν ᾧ ὁ γάμος παύεται·

Καὶ τῷ θανάτῳ τοῦ δωρησαμένου γίνεται τοῦ λαβόντος. ἐν δὲ τῷ μεταξὺ τοῦ δωρησαμένου ἐστί.

Πᾶσα δὲ δωρεὰ θανάτου αἰτίᾳ μεταξὺ τῶν συνοικούντων ἔῤῥωται, κἂν μὴ τοιαύτῃ διαθέσει γένηται, ὥστε μετὰ τὸ τελευτῆσαι τὸν δωρησάμενον γενέσθαι τὸ πρᾶγμα τοῦ ἄλλου.

7. Ἐν δὲ τῷ ιθ' κεφ. Εἴτε θανάτου αἰτίᾳ εἴτε ἁπλῶς δωρήσομαι τῇ γαμετῇ μου ἀλλότριον πρᾶγμα, διὰ χρήσεως κυριεύει αὐτοῦ. τότε γὰρ ἡ δωρεὰ ἐμποδίζεται, ὅτε καὶ ὁ λαμβάνων κερδαίνει, καὶ ὁ δωρούμενος[1] οἴκοθεν ζημιοῦται.

8. Αἱ μεταξὺ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐῤῥωμέναι δωρεαὶ, τυχὸν αἱ θανάτου καὶ διαζυγίου αἰτίᾳ, προβαίνουσι καὶ μεταξὺ πενθεροῦ καὶ νύμφης.

9. Ἐν δὲ τῷ κ' κεφ. Αἱ πρὸ τοῦ γάμου δωρεαὶ ἰσχύουσι, κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμηθῶσιν.

10. Ἐν δὲ τῷ λα'[2] κεφ. Τὰ τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς

---

[1] Leuncl. δωρησάμενος. [2] Leuncl. λ'.

δωρούμενα διὰ τὸ τυχεῖν αὐτὸν ἀξίας ἔῤῥωται μέχρι τοῦ προχωροῦντος ποσοῦ[a].

11. Ἐν δὲ τῷ μδ' κεφ. Οὐ καλῶς ὁ πενθερὸς δωρεῖται τῇ νύμφῃ ἢ τῷ γαμβρῷ θανάτου αἰτίᾳ. κἂν γὰρ ὁ πενθερὸς ἀποθάνῃ, μένει τὸ συνοικέσιον, καὶ ἀδιάφορον εἴτε τὸν υἱὸν εἴτε τὴν θυγατέρα ἀπόκληρον ἐποίησε. διαζυγίου δὲ χάριν καλῶς δωρεῖται.

12. Ἐν δὲ τῷ να' κεφ. Ὁ πατρωὸς καὶ ὁ προγονὸς καλῶς ἀλλήλοις δωροῦνται.

13. Ἐν δὲ τῷ νς' κεφ. Ἐὰν ὁ ἀνὴρ δωρησάμενος τῇ γυναικὶ τελευτήσῃ ἐφησυχάσας τῇ δωρεᾷ, βεβαιοῦται ἡ δωρεά. ὅθεν εἰ ὁ δημόσιος ὡς ἀκληρονόμητον διαδέξεται τὸν ἄνδρα, οὐ δύναται τὰς δωρεὰς ἀνατρέπειν.

14. Ἐν δὲ τῷ νθ' κεφ. Οὐδὲ οἱ ἔχοντες ὑπεξουσίους τὸν ἄνδρα καὶ τὴν γυναῖκα, οὐδὲ οἱ ὑπεξούσιοι τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς δύνανται[1] ἀλλήλοις δωρήσασθαι· τουτέστιν οὐδὲ ὁ πενθερὸς τῷ συμπενθέρῳ, οὐδὲ ὁ υἱὸς τοῦ ἀνδρὸς δούλῳ τῆς γυναικὸς δωρήσασθαι δύναται.

15. Ἐν δὲ τῷ ογ' κεφ. Ἐὰν γυνὴ ἐν συνισταμένῳ τῷ γάμῳ δωρήσηται τῇ ἰδίᾳ θυγατρὶ, ἔῤῥωται [ἡ δωρεά][b].

16. Ἐν δὲ τῷ οε' κεφ. Δύναται ὁ ἀνὴρ δωρήσασθαι τῇ γυναικὶ δοῦλον, ἵνα λαβοῦσα αὐτὸν ἐλευθερώσῃ.

17. Ἐν δὲ τῷ ος' κεφ. Ἡ πενθερὰ καλῶς δύναται δωρήσασθαι τῷ γαμβρῷ.

18. Ἀνάγν. καὶ βι. να' τί. δ'[2] κεφ. ι'. ἀνάγν. καὶ τὸν περὶ γαμικῶν δωρεῶν τί., ὅστις προείρηται. περὶ δωρεῶν μνηστείας εὑρήσεις ἐν τῷ περὶ μνηστείας.

---

a Τοῦ καταβαλλομένου δηλαδὴ εἰς ἔξοδον τοῦ ἀξιώματος· τὸ δὲ περιττεῦον ἄκυρον.

b Αὐτεξουσίαν νόησον ἢ ἐξ ἄλλων γάμων τὴν θυγατέρα. εἰ γὰρ ὑπεξουσία ἐστὶ τοῦ ἰδίου πατρὸς, κεκώλυται ἡ δωρεά. οὐδὲ γὰρ μόνον ἀλλήλοις κεκώλυνται οἱ ὁμόζυγες δωρεῖσθαι, ἀλλὰ καὶ τοῖς ἀλλήλων ὑπεξουσίοις.

---

1 Leuncl. οὐ δύνανται. Mox idem corrupte: τοῦ συμπενθέρου — δοῦλον.
2 Lips. α'.

Ἀρχὴ τοῦ Ε στοιχείου.

I.

Περὶ ἐγγυητῶν[a].

1. Ἀνάγν. βι. ζ' τί. β' κεφ. λε' καὶ τί. ιδ', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἐπὶ τῆς παραστάσεως εὔπορος νοεῖται ἐγγυητὴς οὐ μόνον ἐκ τῆς οὐσίας, ἀλλὰ καὶ ἐκ τῆς εὐχερείας τοῦ ἐνάγεσθαι.

2. Ἀνάγν. καὶ τί. ις', οὗτινος ἐν τῷ θ' κεφ. φησίν· Ἐὰν ὁμολογήσω πολλοὺς δούλους παριστᾶν, καὶ τὸν ἕνα μὴ παραστήσω, βεβαιοῦται μὲν εἰς ὁλόκληρον ἡ ποινή· διὰ δὲ παραγραφῆς μόνην τὴν ἀναλογίαν τοῦ μὴ παραστάντος δίδωμι.

3. Ἀνάγν. καὶ βι. θ' τί. ι'[1], οὗτινος ἐν τῷ β' κεφ. φησί· Φθαρείσης τῆς δίκης καὶ οἱ ἐγγυηταὶ τῆς ἐπὶ τῇ ἀποπληρώσει τῆς καταδίκης ἱκανοδοσίας ἐλευθεροῦνται.

4. Ἀνάγν. καὶ τί. ια' κεφ. ιγ', ἐν ᾧ φησιν· Ἡ ἐγγύη τῆς ἱκανοδοσίας εἰς τὸ διαφέρον τῷ ἐπερωτήσαντι ἁρμόζει, τουτέστιν εἰς εἴ τι ἐζημιώθη καὶ εἰς εἴ τι ἠδύνατο κερδάναι.

5. Ἀνάγν. καὶ βι. ι' τί. δ'[2] κεφ. ιβ', ἐν ᾧ φησιν· Ἐὰν ἐγγυήσηται γυνὴ παρὰ ἀφήλικι, εἰ μὲν εὔπορός ἐστιν ὁ χρεώστης, οὐκ ἐνάγεται ἡ γυνή. εἰ δὲ ἄπορός ἐστιν, ἐνάγεται.

6. Ἀνάγν. καὶ τί. ς', ἐν ᾧ φησι περὶ ἐγγυωμένων ἀφήλικας.

7. Ἀνάγν. καὶ βι. ιζ'[3] τί. α' κεφ. λα' θέμ. β' καὶ βι. ιη' τί. ε' κεφ. γ' καὶ κεφ. θ' θέμ. ε' καὶ κεφ. λζ' θέμ. β', ἐν ᾧ φησιν· Ἀπὸ τῆς ἐγγύης τοῦ δούλου οὐκ ἐνάγεται ὁ δεσπότης, εἰ μὴ εἰς πρᾶγμα τοῦ δεσπότου ἢ τοῦ πεκουλίου ἐγγυήσατο.

8. Καὶ κεφ. μ' θέμ. β' καὶ δ'.

9. Ἀνάγν. καὶ βι. κ' τί. α' κεφ. να' καὶ βι. κε' τί. δ' κεφ. β', ἐν ᾧ φησιν· Ὁ ὑποτιθέμενος ἢ ἐγγυώμενος ὑπὲρ γυναικὸς ἄλλον ἐγγυωμένης βοηθεῖται.

10. Ἀνάγν. καὶ βι. κς' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησί· Πάσῃ ἐνοχῇ δύναται προστίθεσθαι ἐγγυητής·

---

[a] Ἀνάγν. καὶ νεαρὰν δ' κεφ. δ' καὶ νεαρὰν θ', ἐν ᾗ φησι περὶ ἀλληλεγγυῶν.

---

[1] Lips. et Leuncl. γ'. [2] Lips. α'. [3] Leuncl. ιδ'.

Καὶ τῇ περὶ τῶν χρησθέντων καὶ τῇ περὶ τῶν παρατεθέντων ἐνοχῇ, εἰ καὶ δούλῳ ἢ ἀνήβῳ χρησθῇ ἢ παρατεθῇ, καὶ δόλον ἢ ῥαθυμίαν εἰς αὐτὸ ποιήσουσιν.

11. Ἐν δὲ τῷ γ' κεφ. *Καὶ ἐπὶ μελλούσῃ ἀγωγῇ δύναται προσλαμβάνεσθαι ἐγγυητής.*

12. Ἐν δὲ τῷ ζ' κεφ. θέμ. θ'· *Ὁ ὑπὲρ ἑτέρου ἑαυτὸν παρεμβάλλων, ἐὰν σκληρότερον ὁμολογήσῃ τοῦ πρωτοτύπου, οὐδ' ὅλως ἐνέχεται. ἐλαφροτέρως δὲ δύναται παραλαμβάνεσθαι, ὡς ἐπὶ ἥττονι ποσότητι, ἢ ὑπὸ ἡμέραν, ἢ ὑπὸ αἵρεσιν, τοῦ ἐναγομένου χωρὶς αἱρέσεως ἐπερωτηθέντος· οὐ μὴν τὸ ἐναντίον.*

13. Ἐν δὲ τῷ θ' κεφ. θέμ. γ'· *Ὁ ὑπεξούσιος*[b] *καλῶς ὑπὲρ πατρὸς ἐγγυᾶται. καὶ γινόμενος γὰρ αὐτεξούσιος εἰς ὅσον ποιήσει ὑπεξούσιος, ἐνέχεται, καὶ ὑπεξούσιος ὢν καταδικάζεται*[c]. ὁμοίως καὶ ἐν τῷ οε' κεφ. φησίν.

14. Ἐν δὲ τῷ λζ' κεφ. *Ἐὰν εἷς τῶν ἐγγυητῶν καταβάλῃ καὶ μὴ ἐκχωρηθῇ τὰς ἀγωγάς, ὁ ἄλλος οὔτε παρ' αὐτοῦ οὔτε παρὰ τοῦ δανειστοῦ ἐνάγεται.*

15. Ἐν δὲ τῷ μ' κεφ. *Ἐὰν νομίσματα δανείσω, οὐ δύναμαι λαβεῖν ἐγγυητὴν ἐφ' ᾧ δοῦναί μοι ὑπὲρ αὐτῶν σῖτον. εἰ μὴ γὰρ εἰς αὐτὸ τὸ δανεισθὲν οὐ προσλαμβάνεται ἐγγυητής. τὰ μὲν γὰρ φορτία καλῶς εἰς νομίσματα ἀποτιμῶνται· τὰ δὲ νομίσματα οὐκ ἀποτιμῶνται εἰς φορτία.*

16. Ἐν δὲ τῷ μδ' κεφ. *Ὅτε νόμος ἀνατρέπει τὴν γενομένην πρᾶσιν, καὶ ὁ δοθεὶς ἐπ' αὐτῇ ἐγγυητὴς ἐλευθεροῦται.*

17. *Ἐὰν*[1] *ἐγὼ καὶ γυνὴ ἐγγυησώμεθα, εἰς ὁλόκληρον ἐγὼ μόνος ἐνέχομαι. εἰ δὲ μετὰ ἀφήλικος ἐγγυήσομαι καὶ ἀποκαταστῇ, τότε εἰς ὁλόκληρον ἐνέχομαι, ὅτε πρῶτος ἐνεγγυησάμην καὶ ὕστερον ὁ ἀφῆλιξ προσελήφθη. εἰ μὴ ἄρα κατὰ δόλον τοῦ δανειστοῦ προσελήφθη· τότε γὰρ οὐ βοηθεῖται ὁ δανειστὴς, ὥσπερ οὔτε ἡνίκα κατὰ δόλον μεταγάγῃ εἰς ἀφήλικα, καὶ ζητεῖ ἀγωγὴν αὐτῷ δοθῆναι κατὰ τοῦ πρώτου χρεώστου.*

---

b Ὁ μείζων δηλονότι.

c Καὶ εἰ μὲν ᾔδει ὁ πατὴρ ὅτι ἐνεγγυήσατο, ἐνέχεται ὡς ἐν γνώσει αὐτοῦ ἐγγυησαμένου. εἰ δὲ ἠγνόει, ἐνέχεται ὡς δῆθεν ὑπὲρ αὐτοῦ δαπανήσῃ. καταβάλλων δὲ ὁ παῖς ἢ ἐν αὐτεξουσιότητι ἢ ἐν ὑπεξουσιότητι ἀπὸ ἰδιοκτήτου πεκουλίου, ἔχει κατὰ τοῦ πατρὸς ἀγωγήν.

1 Inscribendum: Ἐν δὲ τῷ με' κεφ.

18. Ἐν δὲ τῷ μς′ κεφ. Ἐκ πολλῶν ἐγγυητῶν ἐὰν ὁ εἷς ὑπὲρ τὸ ἀναλογοῦν αὐτῷ μέρος καταβάλῃ, οὐκ ἀναλαμβάνει. οὐ γάρ ἐστι μὴ χρεωστούμενον.

19. Ἐν δὲ τῷ νζ′ κεφ. Ὁ ὑπὲρ τοῦ μισθωτοῦ ἐγγυώμενος ὑπὲρ ὅλων τῶν καταβολῶν ἐνέχεται. μία γάρ ἐστιν ἐπερώτησις.

20. Ἐν δὲ τῷ νθ′ κεφ. Εἰ καὶ διαμαρτύρηται τῷ δανειστῇ ὁ ἐγγυητὴς ὀχλῆσαι τῷ χρεώστῃ[1] περὶ τοῦ χρέους ἢ περὶ τοῦ πωλῆσαι τὰ ἐνέχυρα, οὐκ ἔχει ἐναγόμενος παραγραφήν.

21. Ἐν δὲ τῷ ξε′ κεφ. Οἱ ἐγγυηταὶ εἰ μὴ εἰς πᾶσαν τὴν ἐνοχὴν ὑπεισέλθωσιν, οὐχ ὑπόκεινται ἐπὶ τόκοις. εἴ τι δὲ καταβάλῃ ὁ ὑπεύθυνος, εἰς τόκους πρῶτον λογίζεται, ὡς ἐπὶ τῶν πιπρασκομένων παρὰ τοῦ δανειστοῦ ἐνεχύρων.

22. Καὶ ἐν τῷ οβ′ κεφ. Ἐὰν τὸ χρέος μετατεθῇ ἤτοι ἀνακαινισθῇ[d], ἐλευθεροῦνται καὶ οἱ ἐγγυηταὶ καὶ οἱ μανδάτορες.

23. Ἐν δὲ τῷ πζ′ κεφ. Ἐὰν ἐγγυήσηταί τις ὅτι παρίστησιν ἐντὸς τοῦδε τοῦ χρόνου τόνδε, ἐπείτοιγε δίδωσι πρόστιμον, φαμὲν, ὅτι κἂν μὴ παραστήσῃ ἐντὸς τῶν ἓξ μηνῶν, δίδοται αὐτῷ ἕτερος τοσοῦτος χρόνος. εἰ δὲ πλείων εἴη ὁ ἐξ ἀρχῆς, ἑξάμηνον μόνον εἰς ὑπέρθεσιν αὐτῷ δίδοται, οὗ ἐντὸς εἰ παραστήσει τὸν πρωτότυπον, οὐκ ἀπαιτεῖ[ται] τὸ πρόστιμον.

24. Ἀνάγν. καὶ τί. β′, ἐν ᾧ διαλαμβάνεται περὶ τοῦ πρότερον τοὺς δανειστὰς κατὰ τῶν πρωτοτύπων χρεωστῶν χωρεῖν, καὶ ἀπορούντων αὐτῶν κατὰ τῶν ἐγγυητῶν ἀντιφωνητῶν ἢ μανδατόρων· οὗτινος ἐν τῷ β′ κεφ. φησίν· Εἴ τις ἀλληλεγγύως ὑπευθύνους λάβῃ τινὰς, εἰ μὲν μὴ προσθείη τὸ δεῖν καὶ ἕνα τούτων εἰς ὁλόκληρον ἐνέχεσθαι, πάντας ἐξίσου τὴν ἀγωγὴν ὑφίστασθαι. εἰ δὲ καί τι τοιοῦτον προστεθείη, φυλάττεσθαι μὲν τὸ σύμφωνον, οὐκ εὐθὺς μέντοι τὴν ἀρχὴν ὁλόκληρον ἕκαστον ἀπαιτεῖσθαι, ἀλλὰ τέως μὲν κατὰ τὴν μοῖραν, καθ᾽ ἣν ἕκαστος ἐνέχεται, χωρεῖν δὲ αὐτὸν καὶ κατὰ τῶν λοιπῶν, εἴγε καὶ εὔποροι καθεστῶσι καὶ ἐνδημοῦσι. καὶ εἰ τοῦτο οὕτως ἔχον φανείη, εἰ μὲν εὐπόρως ἔχουσι καὶ παρόντες τύχοιεν, ἐκείνους κινδυνεύειν ἐκπληρῶσαι ἕκαστον εἰς τὸ οἰκεῖον μέρος τὸ ἀλληλεγγύως δανεισθὲν, ἐξ οὗπερ ὅλως ἔνοχοι γεγόνασι, καὶ μὴ τὸ κοινὸν χρέος ἴδιόν

---

d Τί δέ ἐστιν ἀνακαινισμὸς καὶ μετάθεσις χρέους, φησὶν ἐν τῷ λη′ κεφ. τοῦ δ′ τί. τοῦ κς′ βι., ὅπερ εὑρήσεις ἐν τῷ περὶ χρέους.

1 Leuncl. τὸν χρεώστην.

τινος γενέσθαι βάρος. εἰ δὲ ἀπόρως ἔχοντες οἱ λοιποὶ φανεῖεν, εἴτε πάντες εἴτε τινὲς, εἴτε εἰς μέρος εἴτε εἰς ὁλόκληρον, ἢ καὶ ἀπόντες τύχοιεν, καὶ εἰς ἐκείνους[1] ἐνέχεσθαι, ὅπερ λαβεῖν παρὰ τῶν ἄλλων οὐκ ἠδυνήθη[e].

25. Ἀνάγν. καὶ τί. ε' κεφ. λδ' θέμ. ε'.

26. Ἀνάγν. καὶ βι. λε' τί. ιδ' κεφ. ξη', ἐν ᾧ φησιν· Οἱ ἐγγυησάμενοι τὸν ἄνηβον ἐπὶ συναλλάγματι κληρονομιαίῳ βοηθοῦνται ἀφισταμένου αὐτοῦ.

27. Ἀνάγν. καὶ βι. νδ' τί. ι' κεφ. β' θέμ. ζ' καὶ η', ἐν ᾧ φησιν· Ὁ εἰς ὁλόκληρον ἐγγυησάμενος τὸν μισθωσάμενον πολιτικὰ τέλη καὶ εἰς τόκους ἐνέχεται, εἰ μήτι ῥητῶς ἕτερον συνεφωνήθη. εἰ δὲ καὶ περὶ τῆς ἀφορίας τὶ συμφωνηθῇ, ἀκολουθοῦμεν τῇ ἀγαθῇ πίστει.

II.

Περὶ ἐγκαταλελειμμένων.

1. Ἀνάγν. βι. ν' τί. ζ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὃ ἐγκατέλιπον οὐκέτι ἐστὶν ἐμὸν, τοῦ δὲ προκαταλαμβάνοντος γίνεται. ὡς γὰρ κτώμεθα, οὕτω καὶ ἀποκτώμεθα.

2. Ἐν δὲ τῷ β' κεφ. Ὁ εἰδὼς ἐγκαταλελεῖφθαί τι κτᾶται αὐτό. παύεται γὰρ εἶναι τοῦ καταλιπόντος, καὶ γίνεται τοῦ καταλαβόντος[2].

3. Ἀνάγν. βι. να' τί. γ' κεφ. ιβ', ὅπερ εἴρηται ἐν τῷ περὶ δεσποτείας.

III.

Περὶ ἐγκληματικῶν[a].

1. Ἀνάγν. καὶ βι. ξ' τί. λς' κεφ. ιβ', ἐν ᾧ φησι· Σβέννυνται τὰ ἐγκλήματα τῇ τελευτῇ τοῦ κατηγορουμένου, χωρὶς τοῦ περὶ καθοσιώσεως ἀπὸ τοῦ κεφαλαίου τῆς προδοσίας καὶ τῆς κατὰ βασιλέως ἐπιβουλῆς. ἐπὶ τούτων γὰρ ἐὰν μὴ καθαρισθῇ ἀπὸ τῶν κληρονόμων, δημεύεται ἡ κληρονομία. ἀπὸ δὲ

---

[e] Οὕτω γὰρ κἀκείνῳ φυλαχθήσεται ὁ τοῦ συμφώνου τρόπος καὶ οὐδεμίαν ὑποστήσεται ζημίαν ὁ ἐνάγων.

[a] Ἀνάγν. καὶ τὸ περὶ κατηγορούντων ἐγκλήματα καὶ τὸ περὶ καταδίκων.

---

[1] Leuncl. conjicit: ἐκεῖνο ἐκείνους. [2] Leuncl. κρατοῦντος.

τῶν λοιπῶν τοῦ νόμου κεφαλαίων τῇ τελευτῇ σβέννυται τὸ ἔγκλημα[b].

2. Ἀνάγν. καὶ τί. νς', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὥσπερ ὁ τελευτήσας ἀπαλλάσσεται τοῦ ἐγκλήματος, οὕτω καὶ ὁ ἐνάγων αὐτῷ[1] μετὰ τὴν τελευτὴν αὐτοῦ μὴ δυνάμενος ἐπεξελθεῖν[2] τῷ ἐγκλήματι οὐκ ἐνάγεται[3].

IV.

Περὶ ἐγγραφῶν.

1. Ἀνάγν. βι. ξ' τί. ια' κεφ. γ', ἐν ᾧ φησιν· Ὁ κινῶν ἐξ ἁμαρτήματος ἀγωγὴν, εἰ μὲν χρηματικῶς, ἐγγραφὰς οὐκ ἀπαιτεῖται· εἰ δὲ ἐγκληματικῶς, ἀπαιτεῖται.

V.

Περὶ ἐγκύου, ὅτι οὐ τιμωρεῖται οὐδὲ βασανίζεται, πρὶν ἢ τέκῃ.

1. Ἀνάγν. βι. ξ' τί. να' κεφ. γ', ἐν ᾧ φησιν· Ἔγκυος, πρὶν ἢ τέκῃ, οὐ τιμωρεῖται οὐδὲ βασανίζεται.

2. Καὶ βι. μς' [τί. α'] κεφ. ιε', ἐν ᾧ φησιν· Ἐὰν ἔγκυος κεφαλικῶς καταδικασθῇ, ἐλεύθερον τίκτει, καὶ οὐ τιμωρεῖται, ἕως ἂν τέκῃ.

VI.

Περὶ ἐγκυμονούσης καὶ ἐγκυμονουμένων, καὶ περὶ φυλακῆς αὐτῶν, καὶ πότε καὶ ὅπως εἰς νομὴν πέμπονται, καὶ περὶ τῆς εἰς νομὴν πεμφθείσης καὶ ταύτην δόλῳ πρὸς ἄλλον μεταγαγούσης, καὶ περὶ τῆς κατὰ συκοφαντίαν εἰς τὴν νομὴν πεμφθείσης, ὡς τῇ ἀληθείᾳ μὲν μὴ ἐγκυμονούσης, λεγούσης δὲ ἐγκυμονεῖν.

1. Ἀνάγν. βι. λα' τί. ς' κεφ. α', ἐν ᾧ φησι· Τὸ περὶ παίδων δόγμα δύο αἰτίας ἔχει· μίαν μὲν τὴν περὶ τοῦ ἐπιγνῶναι[4], ἄλλην δὲ περὶ τῶν ὑποβολιμαίους ποιούντων.

Ἐπιτέτραπται τοίνυν τῇ γυναικὶ νομιζούσῃ ἔγκυον ἑαυτὴν, καὶ τῷ ἔχοντι αὐτὴν ὑπεξουσίαν καὶ τῷ παρ' αὐτῶν ἐνταλθέντι, παραγγέλλειν εἴσω λ' ἡμερῶν, ἀριθμουμένων ἀπὸ τοῦ

b Ἰστέον ὅτι τὰ ἐγκλήματα εἰκοσαετίᾳ σβέννυνται.

1 Leuncl. αὐτό. 2 Lips. ὑπεξ. 3 Leuncl. emendat ἐνέχεται. 4 Lips. μὴ ἐπιγν.

διαζυγίου, αὐτῷ τῷ ἀνδρὶ ἢ τῷ ἔχοντι αὐτὸν ὑπεξούσιον, ἢ τῷ οἴκῳ, ἐκ τοῦ μὴ σχεῖν τινος αὐτῶν εὐχέρειαν.

Οἶκον λέγομεν τὸν ἐν πόλει· εἰ γὰρ ἐν κώμῃ ἢ πολίχνῃ[1] *οἰκεῖ, ἐκεῖ παραγγέλλει ὅπου γέγονεν ὁ γάμος.*

Οὐδὲν ἕτερον ἡ γυνὴ παραγγέλλει, ἢ ὅτι ἔγκυός ἐστιν ἐξ αὐτοῦ. λοιπὸν ἐν αὐτῷ ἐστιν, ἢ πέμψαι φύλακας[a]*, ἢ ἀντιπαραγγεῖλαι, ὡς οὔκ ἐστιν [ἐξ αὐτοῦ] ἔγκυος. τοῦτο δὲ καὶ ἄλλος ὀνόματι αὐτοῦ δύναται ποιεῖν.*

Ταῦτα δὲ μὴ ποιῶν ἀναγκάζεται τὸ τεχθὲν ἐπιγινώσκειν, καὶ μὴ ἐπιγινώσκων ἐξτραορδίνως[b] *σωφρονίζεται τῷ δόγματι.*

Συναπτὰς τὰς λ΄ ἡμέρας μετὰ τὸ διαζύγιον ψηφίζομεν.

Εἰ δὲ μὴ παραγγείλασα τέκῃ ἐντὸς τῶν λ΄ ἡμερῶν, οὐχ ὑπόκειται. πρόκριμα δὲ τῷ τοκετῷ οὐ γίνεται· ὥσπερ οὔτε τῷ πατρὶ πέμψαντι φύλακας. εἴτε γὰρ ἀρνεῖται γαμετὴν αὐτὴν εἶναι, εἴτε λέγει αὐτὴν [μὴ] ἐγκυμονεῖν, εἴτε πέμψει φύλακας εἴτε μή, ἀκώλυτος γίνεται ἡ περὶ τοῦ τοκετοῦ ζήτησις.

Εἰς πρόκριμα δὲ βλάπτει τὸ παραλιπεῖν τι τῶν νομίμων. εἰ μὲν γὰρ παραγγειλάσης τῆς γυναικὸς ὁ ἀνὴρ μὴ πέμψῃ φύλακας, μήτε διαμαρτύρηται μὴ ἐγκυμονεῖν ἐξ αὐτοῦ, ἀναγκάζεται ἐπιγνῶναι τὸ τικτόμενον, ὡς[2] *τρέφειν αὐτό. οὐ μὴν ἐκ τούτου καὶ ὑπεξούσιος γίνεται ὁ ἐξ ἄλλου συλληφθείς· ἀλλ᾽ ἡ πρόληψις ὑπὲρ τοῦ υἱοῦ ἐστι καὶ βαρεῖται ὁ ἀνὴρ ταῖς ἀποδείξεσι.*

Γίνεται δὲ ἡ ζήτησις. τί γὰρ ὅτι πολὺν ἀποδημήσας χρόνον εὗρεν ἔγκυον τὴν γαμετήν;

Εἰ δὲ καὶ ἡ γυνὴ παραλείπει[3] *τὶ τῶν εἰρημένων τῷ νόμῳ, οὐκ ἀναγκάζεται ὁ πατὴρ τρέφειν τὸ τικτόμενον, εἰ μὴ δειχθῇ υἱὸς αὐτοῦ, καὶ τῷ τικτομένῳ πρόκριμα οὐ γίνεται, οὔτε περὶ τὰ δίκαια τοῦ υἱοῦ οὔτε περὶ τὴν ἀποτροφήν.*

Εἰ δὲ διαγινώσκων ὁ δικαστὴς περὶ τοῦ, εἰ ἐξ αὐτοῦ ἐγκυμονεῖ, ἀποφήνηται ἐξ αὐτοῦ ἐγκυμονεῖν, γίνεται γνήσιος ἤτοι ὑπεξούσιος ἐν πάσαις ταῖς αἰτίαις.

2. *᾽Ανάγν. καὶ κεφ. γ΄ καὶ δ΄, ἐν οἷς φησι·* *Τὸ νόμιμον δόγμα περὶ τῶν μετὰ διαζύγιον τικτομένων εἰσηγήσατο τὰ εἰρημένα.*

---

a *Τοὺς πεμφθέντας ἀντὶ δοκιμασίας δικαστικῆς.*

b *῎Ηγουν σκληρῶς ἔξω τοῦ ὀρδίνου ἤτοι τοῦ ἀριθμοῦ τῶν δικαστῶν ἢ τῆς φιλανθρωπίας τῶν ἐλλογίμων· οὐ γὰρ ὥρισται ποινὴ ἀπὸ τοῦ νόμου.*

---

1 Lips. *πολίχνους.* 2 Leuncl. *καί.* 3 Leuncl. *παραλίπῃ.*

εἰ δὲ τεχθῇ ἐν τῷ γάμῳ, ἢ μετὰ θάνατον μὲν τοῦ πατρὸς, περιόντος δὲ τοῦ πάππου τοῦ μέλλοντος αὐτὸν ἔχειν ὑπεξούσιον, εἰ ἐκ τοῦ υἱοῦ αὐτοῦ ἐτέχθη, ἢ καὶ ἀμφιβάλλεται πότερον ἐν τῷ γάμῳ ἢ μετὰ ταῦτα ἐτέχθη, ἢ καὶ [εἰ] γέγονεν ἡ τεκοῦσα γαμετὴ, ἐξ ἑτέρων δογμάτων κινεῖται πρόκριμα.

3. Ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν μετὰ διαζύγιον ὁ μὲν ἀνὴρ λέγῃ τὴν γαμετὴν ἐγκυμονεῖν, αὐτὴ δὲ διαρνῆται, ἐπιλέγεται ὁ ἄρχων τρεῖς μαίας δοκίμους τὴν τέχνην καὶ τὴν πίστιν, καὶ θεωροῦσι. καὶ ἐὰν αἱ τρεῖς εἴτε [καὶ] αἱ δύο εἴπωσιν αὐτὴν ἐγκυμονεῖν, δέχεται φύλακα, ὡσὰν εἰ αὐτὴ τοῦτο ᾔτησεν. εἰ δὲ αἱ τρεῖς εἴτε αἱ δύο εἴπωσιν αὐτὴν μὴ ἐγκυμονεῖν, οὐ δέχεται φύλακα. καὶ ὁ ἀνὴρ εἰς ὕβριν αὐτῆς καὶ ἀτιμίαν δοκεῖ τοῦτο πεποιηκέναι.

4. Ἐν δὲ τῷ β' κεφ. Ἐὰν τοῦ ἀνδρὸς τελευτήσαντος ἡ γυνή φησιν ἐγκυμονεῖν, ὀφείλει δεύτερον τοῦ μηνὸς παραγγέλλειν οἷς διαφέρει ἢ προκουράτορσιν αὐτῶν, ἵνα εἰ βούλονται πέμψωσι τὰς ὀφειλούσας ἐπιδεῖν τὴν γαστέρα. πέμπονται δὲ πέντε γυναῖκες ἐλεύθεραι, καὶ ἅμα πᾶσαι ἐφορῶσι, καὶ οὔτε μία τούτων ἀκούσης τῆς γυναικὸς ἅπτεται τῆς γαστρὸς αὐτῆς. τίκτει δὲ ἐν οἴκῳ σεμνῆς γυναικὸς ἐπιλεγομένῳ παρὰ τοῦ ἄρχοντος. πρὸ λ' δὲ ἡμερῶν τοῦ νομίζειν τίκτειν στελλέτω τὴν παραγγελίαν ἡ γυνή. μὴ ἐχέτω δὲ τὸ κουβούκλειον, ἐν ᾧ τίκτει, πολλὰς εἰσόδους, ἀλλὰ μίαν· τὰς δὲ λοιπὰς σανίσιν ἑκάτερον ἀποφράττειν μέρος· καὶ πρὸ τοῦ κουβουκλείου τρεῖς ἐλεύθεροι καὶ τρεῖς ἐλεύθεραι καὶ δύο στρατιῶται φυλάττουσιν.

5. Ἀνάγν. καὶ τί. η', ἐν ᾧ φησιν· Ἐὰν γαστρὸς ὀνόματι γυνὴ πεμφθεῖσα μεταγάγῃ τὴν νομὴν κατὰ δόλον εἰς ἕτερον, ἐνάγεται, καὶ ὁ ἔχων αὐτὴν ὑπεξουσίαν, ἐὰν κατὰ δόλον αὐτοῦ γέγονεν, εἰς τὸ διαφέρον τῷ ἐνάγοντι.

Καὶ ὁ κατὰ δόλον εἰς τὴν νομὴν ἐλθὼν ἀναγκάζεται διὰ τοῦ νόμου ἀναχωρεῖν αὐτῆς.

Καὶ μετὰ ἐνιαυτὸν ἡ ἀγωγὴ δίδοται. πράγματος γὰρ ἔχει ἀπαίτησιν.

6. Ἀνάγν. καὶ τί. θ', οὗτινος ἐν τῷ α' κεφ. θέμ. β' φησίν· Ἡ κατὰ συκοφαντίαν πεμφθεῖσα ἐνέχεται.

Συκοφαντεῖ δὲ ἡ ἐν εἰδήσει τοῦ μὴ ἐγκυμονεῖν εἰς νομὴν ἐλθοῦσα.

Ἡ ἀγωγὴ ποιναλία οὖσα εἴσω ἐνιαυτοῦ δίδοται εἰς τὸ διαφέρον.

Καὶ ὁ πατὴρ τῆς γυναικὸς ἐνάγεται, ἐὰν δι' αὐτοῦ γέγονε κατὰ συκοφαντίαν δοθῆναι τὴν νομήν.

7. *Ἀνάγν. καὶ βι. μ' τί. δ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ἡ γαστρὸς ὀνόματι νομὴ ἐν τάξει τῆς κατὰ*[1] *τῆς διαθήκης ἐναντιώσεως δίδοται.*

Δεῖ δὲ τὴν γυναῖκα ταῖς ἀληθείας ἔγκυον εἶναι καὶ καθ' ὃν ἐτελεύτα καιρὸν ὁ ἀνὴρ αὐτῆς καὶ καθ' ὃν εἰς νομὴν πέμπεται· ἐπεὶ οὐκ ἔῤῥωται ἡ δόσις τῆς διακατοχῆς.

Τότε δὲ πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς, ὅτε ἦδ' ἂν ἐτέχθη τὸ ἐγκυμονούμενον, ἔμελλεν εἶναι ὑπεξούσιον[c]. *εἰ δὲ καὶ ἄδηλόν ἐστι τοῦτο, κατὰ δέ τινα θεματισμὸν ἠδύνατο εἶναι ὑπεξούσιον, πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς. κάλλιον γάρ ἐστιν ἀκαίρως ὡς εἰκὸς γενέσθαι δαπάνην, ἢ ἀπαρνήσασθαι τροφὰς τῷ ἔσθ' ὅτε γινομένῳ κυρίῳ τῶν πραγμάτων.*

Ἐὰν τὴν αἰτοῦσαν εἰς νομὴν πεμφθῆναι ἀρνῆταί τις γαμετὴν ἢ νύμφην γενέσθαι τοῦ τελευτήσαντος ἢ ἐγκυμονεῖν, ἢ ζήτησιν αὐτῇ περὶ τύχης ἐπάγῃ, ἀκροθιγῶς ὁ πραίτωρ σκοπεῖ. καὶ εἰ μὲν ἀποδειχθῇ φανερῶς ἡ γυνὴ συκοφαντοῦσα, οὐ πέμπεται. εἰ δὲ ἀμφιβάλλεται τοῦτο, πέμπεται. γενικῶς γὰρ ἐξ ὧν αἰτιῶν δίδοται τοῖς νηπίοις ἡ βοήθεια, ἐκ τῶν αὐτῶν καὶ ἡ γαστὴρ βοηθεῖται. πλέον δὲ τοῖς ἐγκυμονουμένοις ἤπερ τοῖς ἐν φύσει ὁ πραίτωρ βοηθεῖ.

Ἐὰν δὲ διαζευχθεὶς τῆς πρώτης γαμετῆς δευτέραν ἀγάγωμαι, καὶ καταλίπω τὰς δύο ἐγκύους, αἱ δύο εἰς νομὴν πέμπονται.

Ἐκεῖνα δαπανᾷ ἡ πεμφθεῖσα γυνή, ὧν ἐκτὸς τὸ ἐγκυμονούμενον οὐ δύναται σωθῆναι. καὶ χορηγεῖ ὁ κουράτωρ τὰ εἰς τροφήν, καὶ πόμα καὶ ἔνδυσιν καὶ στεγονόμια, πρὸς τὴν οὐσίαν καὶ τὴν ἀξίαν τοῦ τελευτήσαντος καὶ τῆς γυναικός.

8. *Ἐν δὲ τῷ ια' κεφ. Γαστρὸς εἰς νομὴν πεμπομένης ὑπερτίθεται τὸ κατ' αὐτῆς περὶ μοιχείας ἔγκλημα, διὰ τὸ μὴ γενέσθαι τῷ παιδὶ πρόκριμα*[d].

---

c *Θεμάτισον υἱὸν θετὸν ὄντα ἐν τῇ φαμιλίᾳ τοῦ θετοῦ πατρὸς ἐγκύμονα ἔχειν γαμετήν, καὶ πρὸ τοῦ τεκεῖν αὐτὴν αὐτεξούσιον αὐτὸν γενέσθαι. τότε οὖν ὁ ἔγγονος, ἐπειδὴ μετὰ τὴν αὐτεξουσιότητα ἐγεννήθη, οὐκ ἔχει δίκαιον ἐπὶ νομῆς πεμφθῆναι, εἰ μὴ ἄρα*[2] *μετὰ τὴν αὐτεξουσιότητα ἔλαβεν αὐτὸν εἰς θέσιν.*

d *Τοῦ ψελλοῦ. Ἡ συμφορὰ δὲ τῆς μητρὸς τουτέστιν ἡ πορνεία οὐ βλάπτει τὸν ἐν τῇ γαστρὶ στεροῦσα τῶν πατρῴων.*

---

[1] Lips. et Leuncl. *καταδίκης*. E Ms. regio emendavit Labbaeus. [2] Labbaeus: *πάλιν*.

9. *Ἀνάγν. καὶ τί. ε' κεφ. ι' καὶ κεφ. ιγ' καὶ ις', ἐν ᾧ φησιν·* Ὁσάκις τὶς τελευτήσει γυναῖκα ἐγκυμονοῦσαν καταλείψας, χρὴ καὶ αὐτὴν τὴν γυναῖκα εἰπεῖν ὅτι ἐγκυμονεῖ, καὶ τοὺς συγγενεῖς τοῦ τελευτήσαντος φυλάξαι αὐτὴν ἕως τοῦ τοκετοῦ, ἵνα μὴ ἀμφιβάλληται υἱὸς εἶναι τοῦ τελευτήσαντος. καὶ τότε, ἐπειδὰν τοῦτο ὡμολόγηται, ζήτησις δὲ περὶ τύχης ἐστὶ, λεγόντων τινῶν τὴν μητέρα αὐτοῦ δούλην εἶναι, δίδοται μέχρι τῆς ἥβης διακατοχὴ, ὥστε ἐκεῖνον τέως κατασχεῖν τὰ πράγματα, καὶ μετὰ τὴν ἥβην ἐναχθῆναι. εἰκὸς οὖν μετὰ τὴν ἥβην ἐναγόμενον αὐτὸν ἡττηθῆναι, ὥστε ἐκ τούτου δείκνυσθαι, ὅτι ἀλλοτρίοις πράγμασιν ἐχρήσατο. *τὰ δὲ λοιπὰ τοῦ τίτλου προείρηται ἐν τῷ περὶ διακατοχῶν.*

VII.

Περὶ ἐκβιβαστῶν τῶν ἀποστελλομένων ἐπὶ τῷ ἀπαιτεῖν δημόσιον πρᾶγμα, καὶ περὶ τῶν διδομένων αὐτοῖς συνηθειῶν.

1. *Ἀνάγν. βι. ζ' τί. δ' κεφ. ς' θέμ. δ', ἐν ᾧ φησι·* Καὶ τοῦτο δὲ κελεύομεν παρὰ πάντων τῶν δικαστῶν, τοῦτο μὲν στρατιωτικῶν τοῦτο δὲ πολιτικῶν, ἐν παντὶ τόπῳ τῆς ἡμετέρας πολιτείας παραφυλάττεσθαι, ἵνα μηδὲ τοῖς μαγιστριανοῖς μηδὲ τοῖς ἐπαρχικοῖς μηδὲ ἄλλῳ οἱῳδήποτε ἐκβιβαστῇ συγχωρῶσι πλέον τὶ παρ' οἱουδήποτε προσώπου συνηθειῶν ὀνόματι λαμβάνειν τῶν τοῖς ἡμετέροις διηγορευμένων νόμοις[a], οὐδὲ εἰ θείαν τοῦ ἡμετέρου κράτους προφέροιεν κέλευσιν. ἀλλ' εἴ τινα εὕροιεν πλέον τὶ ἀπαιτοῦντα, ἄδειαν ἐχέτωσαν καὶ συνέχειν καὶ ἐγκλείειν τοῦτον, καὶ τετραπλάσιον ἀπαιτεῖν, ὅπερ πλέον λάβῃ, ἵνα τὸ μὲν ἁπλοῦν τῷ τὴν ζημίαν ὑπομείναντι ἀποδιδῶται, τὸ δὲ τριπλοῦν τῷ δημοσίῳ εἰσφέρηται.

2. *Ἀνάγν. καὶ τί. ς' κεφ. ιθ' καὶ βι. θ' τί. α' κεφ. δ', ἐν ᾧ φησι·* Κατὰ τῆς ψήφου τοῦ ἐκβιβαστοῦ οὐκ ἔξεστιν ἐκκαλεῖσθαι, εἰ μὴ ἄρα παρερμηνεύοι τὴν ψῆφον, εἴγε δίκαιον εἶχε τοῦ ἑρμηνεύειν, οἷον ἄρχων ἢ φροντιστὴς τοῦ βασιλέως. καὶ οὐδὲν ἕτερον ἐν τῇ ἐκκλήτῳ σκοπεῖται, πλὴν εἰ μὴ ἄρα παρερμήνευσεν.

---

[a] *Ἐν γὰρ τῷ α' τί. τοῦ ζ' βι. θέμ. ε' τοῦ ς' κεφ. φησὶ περὶ ὧν ἐνταῦθα ὑπεμφαίνει συνηθειῶν. διαλαμβάνει γὰρ περὶ τοῦ λαμβάνειν τοὺς διαιτητὰς ἐν τῇ προκατάρξει ἀνὰ δύο χρυσοῦς παρ' ἑκατέρου μέρους· ἀνὰ β' δὲ ἐν τῷ πέρατι ἐπὶ τῶν ὑπερβαινουσῶν τὰ ρ' νομίσματα δικῶν. εἰ δὲ μέχρι τῶν ρ' νομισμάτων ἐστὶ, μηδὲν αὐτοὺς λαμβάνειν.*

3. *Ἀνάγν. καὶ τί. γ' κεφ. πε', ἐν ᾧ φησιν·* Ἐκβιβαστής ἐστιν ὁ μετὰ τὴν ἀπόφασιν παρεχόμενος ἐπὶ τῷ ἐκβιβάσαι τὰ ἀποφανθέντα.

4. *Ἀνάγν. καὶ βί. ιζ' τί. α' κεφ. γ' θέμ. ε'.*

5. *Ἀνάγν. καὶ βι. νϛ' τί. ιζ' ἀπὸ τοῦ νβ' κεφ. ἕως τέλους· ἐν δὲ τῷ νγ' κεφ.* Μήτε μαγιστριανὸς μήτε παλατῖνος ἤ τις ἄλλος τῶν ἐκ τῆς τάξεως τῶν ἰλλουστρίων ἀρχόντων, εἰς ἀπαίτησιν τίτλων κατελθὼν, ἢ πρόσταγμα ἐπιφερόμενος καὶ τοῦτο ἐκβιβάζων, πέρα τῶν ἰδικῶς ἐνταλθέντων αὐτῷ ποιείτω· μήτε μὴν τὰ ἄλλῳ ἐνταλθέντα ἄλλος ἐγχειριζέσθω.

6. *Ἐν δὲ τῷ νδ' κεφ.* Καὶ οἱ ἐπαρχικοὶ καὶ οἱ παλατῖνοι καὶ οἱοιδήποτε ταξεῶται εἰς ἐκβιβασμὸν ἀποστελλόμενοι εἴσω ἐνιαυτοῦ πρὸς τὸν ἴδιον ἐπειγέσθωσαν ἄρχοντα, καὶ λεγέτωσαν αὐτῷ, τί μὲν ἀπήτηται, τί δὲ ἐν λοιπάσιν ἐστὶ, καὶ παρὰ τίσι λοιπάζεται.

VIII.

Περὶ ἐκδικουμένων πραγμάτων, καὶ τῶν ταῦτα ἐκδικούντων, καὶ [περὶ] τῶν νεμομένων αὐτὰ, καὶ πότε μὲν αὐτὰ τὰ εἴδη ἐκδικοῦνται, πότε δὲ αἱ τιμαὶ αὐτῶν δίδονται, καὶ πότε μετὰ τῶν καρπῶν ἐκδικοῦνται, καὶ πότε οὐδὲ αἱ τιμαὶ δίδονται[a].

1. *Ἀνάγν. βι. ιε' τί. α', οὗτινος ἐν τῷ ια' κεφ. φησίν·* Ὅθεν δήποτε νέμεται ὁ ἐναγόμενος, ὅπερ ἀποδείξω ἐμὸν εἶναι, καταδικάζεται, εἰ μή τινα παραγραφὴν ἀντιθήσει.

2. *Ἐν δὲ τῷ ιε' κεφ.* Ἐὰν τὸ ἐκνικώμενον ἀποθάνῃ χωρὶς ἀμελείας τοῦ νομέως, οὐ δίδωσι τὸ τίμημα, εἰ μὴ ὑπέρθεσιν ἐποίησε καὶ πράσιμον[b] ἦν.

3. *Ἐν δὲ τῷ κα' κεφ.* Ὁ καλῇ πίστει νομεὺς τοῦ δούλου φυγόντος ἀπολύεται, εἰ μὴ τοιοῦτος ἦν ὁ δοῦλος, ὃς ὀφείλει φυλαχθῆναι.

4. *Ἐν δὲ τῷ λγ' κεφ.* Οὐ μόνον οἱ ληφθέντες καρποὶ, ἀλλὰ καὶ οἱ δυνάμενοι ληφθῆναι εὐπρεπῶς ἀποκαθίστανται. κἂν[1] φθαρῇ τὸ ἐκνικώμενον δόλῳ τοῦ νομέως, δίδονται μέχρι καταδίκης. εἰ δὲ καὶ ψιλὴν ἐξεδίκουν δεσποτείαν, καὶ ἐν τῷ

---

a *Ἀνάγν. καὶ τὸ περὶ νεμομένων.*
b *Βενάλιον.*

---

1 Leuncl. *καὶ κἂν.*

μεταξὺ ἐφθάρη ἡ χρῆσις, καὶ αὐτὴ ἀποκαθίσταταί μοι, καὶ ἐξ οὗ ἐφθάρη δίδωσι τοὺς καρπούς.

[Ὅμοιον] καὶ εἴ τι διὰ προσχώσεως τῷ ἀγρῷ προσετέθη.

5. Ἐν δὲ τῷ λϛ′ κεφ. Ὁ θέλων ἐκδικῆσαι περιεργαζέσθω, εἰ νέμεται ὁ μέλλων ἐνάγεσθαι ἢ δόλῳ ἐπαύσατο.

Καὶ ἀπὸ ἀμελείας ὁ ἐναγόμενος καταδικάζεται. ἀμέλεια δέ ἐστι τὸ πέμψαι τὸν ἐκδικούμενον δοῦλον δι' ἐπικινδύνων τόπων, ἢ τὸν φυγάδα μὴ φυλάξαι, ἢ ἀνέχεσθαι ἐν κυνηγίῳ εἶναι, ἢ πλοῖον ἐν ἀνεπιτηδείῳ καιρῷ πλωΐσαι.

6. Ἐν δὲ τῷ λζ′ κεφ. Εἰ καὶ καλῇ πίστει ἀγοράσω ἔδαφος, μετὰ δὲ τὸ μαθεῖν ἀλλότριον εἶναι κτίσω, τὰς μὲν δαπάνας οὐ λαμβάνω, δύναμαι δὲ περιελεῖν τὸ κτίσμα ἄνευ ζημίας τοῦ δεσπότου τοῦ ἐδάφους.

7. Ἐν δὲ τῷ με′ κεφ. Ἀποκαθιστῶν ὁ καλῇ πίστει καὶ περὶ δόλου ἀσφαλίζεται. οἱ δὲ λοιποὶ καὶ περὶ ἀμελείας, καὶ αὐτοὶ μετὰ προκάταρξιν[c].

8. Ἐν δὲ τῷ μζ′ κεφ. Ὁ καλῇ πίστει περὶ ὧν ἐδαπάνησεν ἀγωγὴν οὐκ ἔχει, ἀλλὰ παρακατάσχεσιν ἐφ' οἷς ὁ ἀγρὸς κρείττων γέγονε· συμψηφιζομένων τῶν πρὸ τῆς προκατάρξεως ληφθέντων καρπῶν.

9. Ἐν δὲ τῷ ν′ κεφ. Ὁ ἀγοραστὴς πρὸ παραδόσεως οὐκ ἔχει τὴν ἐπ' αὐτῷ τῷ πράγματι ἀγωγήν.

Ὁ δὲ κληρονόμος ἔχει ἐπὶ τοῖς κληρονομιαίοις καὶ πρὶν ἢ νεμηθῇ.

10. Ἐν δὲ τῷ νγ′ κεφ. Οὐ δύναται ὁ νομεὺς ἐκδικουμένου τοῦ ἀγροῦ, ὃν ἐγεώργησε καὶ ἔσπειρε, τὸν σπόρον ἐπάραι[d].

11. Ἐν δὲ τῷ ξα′ κεφ. Ὁ κακῇ πίστει τοὺς καρπούς, οὓς ἠδύνατο λαβεῖν ὁ ἐνάγων, δίδωσι τοῦ πλοίου καὶ τοῦ ἐργαστηρίου καὶ τοῦ μεσαύλου τῶν εἰωθότων μισθοῦσθαι.

12. Ἐν δὲ τῷ πδ′[1] κεφ. Ἐάν τις ἐπικτίσῃ τοῖς ἐμοῖς οἰκήμασιν ἀνώγεα, ἐγὼ τούτων γίνομαι κύριος διὰ τὸν κανόνα τὸν λέγοντα εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις. εἰ δὲ καὶ ἐν τῷ ἐμῷ ἐδάφει κτίσει τὶς, δεσπότης γίνομαι τοῦ οἰκήματος, ἐφ' ὅσον ἐν τῇ αὐτῇ καταστάσει μένει τὸ οἴκημα.

---

c Οἱ καλῇ πίστει νομεῖς δηλονότι μετὰ προκάταρξιν καὶ περὶ ἀμελείας ἀσφαλίζονται.

d Τὰ γὰρ ἅπαξ πεπηγότα καὶ ῥιζωθέντα τῇ γῇ οὐ δύναται οὐδὲ ὁ καλῇ πίστει νομεὺς ἀφαιρεῖσθαι.

---

1 Leuncl. emendat πβ′.

ἐὰν γὰρ καταλυθῇ, δύναται ὁ οἰκοδομήσας ἐκδικῆσαι τὰς ὕλας, εἴτε καλῇ πίστει εἴτε κακῇ ᾠκοδόμησε[e].

13. Ἐν δὲ τῷ πε' κεφ. Ὁ τὸν ἀλλότριον οἶκον κακῇ πίστει νεμηθεὶς ἀποδίδωσι μὲν αὐτὸν μετὰ τῶν στεγονομίων καὶ παντὸς ἑτέρου, τὰ δὲ δαπανήματα οὐ λαμβάνει, εἰ μὴ ἄρα ἀναγκαῖά ἐστι. τὰ δὲ ἐπωφελῆ δύναται μὴ βλάπτων τὴν ἀρχαίαν ὄψιν ἀφελέσθαι.

14. Ἐν δὲ τῷ πζ' κεφ. Ὁ ἀπὸ δούλης τεχθεὶς τῇ αἱρέσει ἀκολουθεῖ τῆς μητρὸς, οὐχὶ τῇ τύχῃ τοῦ πατρός. σημείωσαι τὸν κανόνα τῆς διατάξεως.

15. Ἐν δὲ τῷ ϟ' κεφ. Ἡ περὶ τῆς δεσποτείας τῶν δούλων ἀπόδειξις, εἰ μὴ δύναται διὰ συμβολαίων ἀποδειχθῆναι, καλῶς δι' ἑτέρων τινῶν ἀποδείκνυται, ἢ καὶ αὐτῶν τῶν οἰκετῶν ἐρωτωμένων.

16. Ἐν δὲ τῷ ϟα' κεφ. Ὁ κακῇ πίστει σπείρας ἢ φυτεύσας τὸν ἀλλότριον ἀγρὸν ἀπόλλυσι καὶ τὰ φυτὰ καὶ τὸν σπόρον. δεσπότης γὰρ τοῦ ἐδάφους οὐ γίνεται. ὁ δὲ καλῇ πίστει τοῦτο ποιήσας διὰ δόλου παραγραφῆς λαμβάνει τὰ δαπανήματα.

17. Ἐν δὲ τῷ ρ'[1] κεφ. Ὁ λέγων τὸν ἀλλότριον οἰκέτην πράγματα αὐτοῦ διακατέχειν οὐ κατ' αὐτοῦ τοῦ δούλου ὀφείλει κινεῖν, ἀλλὰ κατὰ τοῦ δεσπότου.

18. Ἐν δὲ τῷ ργ'[2] κεφ. Ἐάν τινες κλέψαντες ἢ ἄλλως ἀφελόμενοι πωλήσωσι τὸ ἀλλότριον, ὁ δεσπότης κινῶν τὴν ἐπ' αὐτῷ ἀγωγὴν οὐκ ἀναγκάζεται δοῦναι τὸ τοῦ πράγματος τίμημα.

19. Ἐν δὲ τῷ ρε' κεφ. Ὁ ὑπὲρ ἀλλοτρίου πράγματος τιμήματα δημόσια διδοὺς ἢ ἄλλα τινὰ ἐξ ἔθους καταβάλλων, μὴ γενομένης [τῆς] πράσεως, οὐ κτᾶται τὴν δεσποτείαν.

20. Ἀνάγν. καὶ τὰ εἰρημένα εἰς τὸν περὶ ἀγωγῆς τῆς τὰ ἴδια ἐκδικούσης τίτλον.

---

e Εἰ δὲ μὴ καταλυθῇ, νέμεται δὲ αὐτὸ ἔτι ὁ ἐναγόμενος, ἡττηθεὶς ζητεῖ τὰς δαπάνας καλῇ πίστει ὤν.

---

1 Lips. ργ'. 2 Lips. ρδ'.

IX.

Περὶ ἐκκλήτου, καὶ τίνες δύνανται ἐκκαλεῖσθαι, καὶ ποῖαι τῶν ἀποφάσεων οὐχ ὑπόκεινται ἐκκλήτῳ, καὶ περὶ διαφόρων προθεσμιῶν τῆς ἐκκλήτου, καὶ ὅτι τρίτον τὶς οὐκ ἐκκαλεῖται[a].

1. *Ἀνάγν. βι. θ' τί. α', οὕτινος ἐν τῷ α' κεφ. φησί·* Τὴν ἀδικίαν καὶ τὴν ἀπειρίαν τοῦ δικάσαντος ἐπανορθοῦται ἡ ἔκκλητος, κἂν εἰ τὰ μάλιστα συμβαίνῃ μὴ πάντοτε τὸν ὕστερον ὀρθῶς ψηφίζεσθαι.

2. *Ἐν δὲ τῷ β' κεφ.* Εἰ καὶ βασιλεὺς δι' ἀναφορᾶς ἄρχοντος ὁρίσει τὴν τομὴν, ἔξεστιν ἐκκαλεῖσθαι. εἰ δὲ καὶ διαλαλήσει ὁ ἄρχων ὅτι μέλλει ἀναφέρειν βασιλεῖ, οὐ κατὰ τῆς ἀναφορᾶς[1] ἐκκαλεῖσθαι δεῖ, ἀλλὰ μετὰ τὴν ἀντιγραφήν.

Ὁ λίβελλος τῆς ἐκκλήτου ὀφείλει ἔχειν τὸ ὄνομα τοῦ ἐκκαλουμένου, καὶ τοῦ δικαστοῦ, καθ' οὗ ἐκκαλεῖται, καὶ ἐκ ποίας ἀποφάσεως.

3. *Ἐν δὲ τῷ γ' κεφ.* Ἀρκεῖ τὸ ἐν τοῖς πεπραγμένοις εἰπεῖν· ἐκκαλοῦμαι.

Οὐδὲν δὲ βλάπτει τὸ μὴ ἐξειπεῖν τὸ ὄνομα τοῦ ἀντιδίκου.

4. *Ἐν δὲ τῷ δ' κεφ.* Ἑτέρου δικασαμένου ἕτερος ἐκκαλεῖσθαι δύναται, ἐὰν αὐτῷ διαφέρῃ, ὡς ἐπὶ ἀγοραστοῦ καὶ πράτου. ὁπότερος[2] γὰρ αὐτῶν δικασάμενος μὴ[3] ἐκκαλέσεται, δύναται ὁ ἄλλος ἐκκαλεῖσθαι. εἰ δὲ καὶ ἐκκαλέσεται μὲν ὁ πράτης δικασάμενος, ὕποπτος δέ ἐστιν, ὁ ἀγοραστὴς δύναται διεκδικεῖν τὴν ὑπόθεσιν, ὡσανεὶ αὐτὸς ἐξεκαλέσατο. τὰ αὐτὰ καὶ περὶ δανειστοῦ καὶ χρεώστου δικασαμένου πρὸς ἄλλον ἐπὶ τῷ ἐνεχύρῳ.

5. *Ἐν δὲ τῷ η' κεφ.* Ὁ ἐκκαλεσάμενος ἐὰν ὑβρίσῃ τὸν ψηφισάμενον, τύπτεται.

6. *Ἐν δὲ τῷ ια' κεφ.* Ἐὰν ὁ ἐκκαλεσάμενος ἀνάγκῃ τοῦ δικαστοῦ καταβάλῃ τὰ τῆς ψήφου, νικῶν τὴν ἔκκλητον ἀναλαμβάνει τὰ δοθέντα.

7. *Ἐν δὲ τῷ κγ' κεφ.* Ἐπίτροπος ἢ κουράτωρ ἢ ἀλλοτρίου

---

a *Ἀνάγν. καὶ νεα. μβ'*[4] *καὶ ϙγ' καὶ ρθ' κεφ. δ' καὶ ε' καὶ ρκϛ'.*

---

[1] Verba *ὁ ἄρχων — ἀναφορᾶς* apud Leuncl. exciderunt. [2] Leuncl. *ὁ πρότερος,* quibus ex conjectura *αὐτῶν* addi vult. [3] Leuncl. *εἰ μή.* [4] Lege *μα'.*

πράγματος διοικητὴς ἐὰν ἐκκαλεσάμενος παρελκύσῃ τὴν δίκην, καὶ τοῦ μέσου καιροῦ δίδωσι τόκους.

8. Ἐν δὲ τῷ κη' κεφ. *Κατὰ ψήφου βασιλέως ἢ συγκλήτου οὐ δίδοται ἔκκλητος. οὔτε ὁ πρὸ ψήφου καταθέμενος μὴ ἐκκαλεῖσθαι δύναται ἐκκαλεῖσθαι.*

9. Ἐν δὲ τῷ λβ' κεφ. θέμ. γ'· *Ἀπὸ τῆς ἀναγνώσεως τῆς ψήφου αἱ δέκα ἡμέραι τῆς ἐκκλήτου ἀριθμοῦνται.*

Τὸ δὲ τῶν δέκα ἡμερῶν παραφυλάττεται καὶ ἔνθα ψῆφος μὲν οὐκ ἐκφωνεῖται, χρεία δέ ἐστιν ἐκκλήτου.

10. Ἐν δὲ τῷ λδ' [1] κεφ. *Ὁ κινήσας ὡς ὕποπτος κατηγορηθεὶς καὶ ἡττηθεὶς εἴσω δέκα ἡμερῶν ἐκκαλεῖται.*

11. Ἐν δὲ τῷ να' κεφ. *Ὁ ἐκκαλεσάμενος δικαστὴν οὐ δύναται ἐφ' ἑτέραις [2] δίκαις αὐτὸν ὡς ἐχθρὸν διὰ τοῦτο παραιτεῖσθαι. πάλιν γὰρ αὐτὸν ἐκκαλεῖσθαι δύναται.*

12. Ἐν δὲ τῷ νγ' κεφ. *Ἡ διάταξίς φησι τὸ νόμιμον [τὸ] κείμενον καὶ ἐν τοῖς πρώτοις, ὅτι κατὰ [3] ἐπάρχου πραιτωρίων ἔκκλητον οὐδεὶς ἐπιδίδωσι. δύναται δὲ βασιλέως ἐπιδεηθῆναι καὶ μέμψασθαι τῇ ἀποφάσει· κἂν [4] τὰ μάλιστα ὑπὲρ πόλεως ἡ ἀπόφασις γέγονε. μόνον δὲ ἐντὸς διετίας δύναταί τις περὶ τῆς ἀποφάσεως δεηθῆναι βασιλέως, οὐχὶ περαιτέρω.*

13. Ἐν δὲ τῷ οη' κεφ. *Μηδὲ μετὰ προκάταρξιν ἐξέστω τινὶ παραιτήσασθαι τὸν δικαστὴν, μηδὲ πρὸ ἀποφάσεως ἐξέστω τινὶ ἐκκαλεῖσθαι.*

14. Ἐν δὲ τῷ λε' κεφ. τοῦ αὐτοῦ α' τί. φησὶν, ὅτι *καὶ πρὸ ψήφου δυνατὸν ἐκκαλεῖσθαι, ἐὰν ἐν χρηματικῇ δίκῃ διαλαλήσῃ ζήτησιν γενέσθαι ἐμβάσανον, ἢ ἐν ἐγκληματικῇ τοῦτο δοκιμάσῃ παρανόμως [5].*

15. Ἐν δὲ τῷ ρκγ' κεφ. *Ἡ διάταξις κελεύει, ἐὰν ἡ δίκη, ἐφ' ᾗ δεῖ πραχθῆναι τὴν κατὰ συνέλευσιν ἔκκλητον, μὴ ὑπερβαίνῃ τὰς δέκα λίτρας, μὴ ὡς πρότερον δύο δικασταὶ τὸ πρᾶγμα κρίνωσιν, ἀλλὰ μόνον εἷς. εἰ δὲ ὑπερβαίνει τὰς δέκα λίτρας ἡ δίκη, τότε ἵνα δύο ὦσι δικασταὶ τῶν ἐπιστουλαρίων [a] ὑπηρετούντων. εἰ μέντοι διαφωνήσουσιν οἱ δύο δικασταὶ πρὸς ἀλλήλους, τρίτον αὐτοῖς συνεῖναι τὸν κοιαίστωρα.*

---

a *Νοταρίων.*

---

1 Lips. λε'. 2 Lips. *ἑκατέραις.* 3 Leuncl. addit *ἀπόφασιν.* Basil. *ἀποφάσεως.* 4 Leuncl. *εἰ καί.* 5 Leuncl. hoc caput supra collocavit inter c. 10 et 12.

ἐὰν δὲ ὑπερβαίνῃ τὰς κ' λίτρας ἡ δίκη, τότε κινεῖσθαι αὐτὴν ἐπὶ κοινῆς ἀκροάσεως πάντων τῶν συγκλητικῶν, ἵνα ἔξεστι καὶ τῷ νενικηκότι ἐν τῷ προτέρῳ δικαστηρίῳ εἰσιέναι παρὰ τῷ ἑνὶ ἢ τοῖς δυσὶ δικασταῖς ἢ[1] πᾶσι τοῖς συγκλητικοῖς τὴν ἔκκλητον ἐντὸς διετίας. καὶ μηδεμιᾷ ἐκκλήτῳ ἀναρτᾶσθαι τὰ παρ' αὐτοῖς κρινόμενα, ὥσπερ οὐδὲ αἱ παρὰ βασιλεῖ πραττόμεναι ἐξετάσεις ἀναψηλαφῶνται.

16. Ἐν δὲ τῷ ρκϛ' κεφ. Ἐάν τις ἐπιδῷ ἔκκλητον ἢ ἄρχοντι ἤ τινι περιβλέπτῳ δικαστῇ, ἓξ μηνῶν ἐχέτω προθεσμίαν. ἐὰν δὲ μὴ καταβάλλῃ[2] ἐντὸς τῶν ἓξ μηνῶν, ἐχέτω καὶ ἄλλας λα' ἡμέρας. εἰ δὲ ἐκπέσοι καὶ τούτου τοῦ χρόνου, ἐχέτω καὶ ἄλλας λα' ἡμέρας. καὶ πάλιν ἐκπεσών, ἐχέτω καὶ ἄλλας λα' ἡμέρας. ἐὰν δὲ ἐκπέσῃ καὶ τούτων τῶν χρόνων, τότε πάλιν εἴσω ἄλλων τριῶν μηνῶν προσερχέσθω ἡμῖν, καὶ αἰτείτω ἀνανέωσιν[3] τῆς ἐκκλήτου. καὶ δοθέντος αὐτῷ τοῦ[4] προευτρεπισμοῦ, κελεύομεν αὐτῷ μὴ δίδοσθαι ἕτερον ἑξαμηνιαῖον χρόνον, ἀλλὰ μόνον τριῶν μηνῶν διάστημα, ἀριθμουμένων ἐξ οὗ παρῆλθεν ὁ τέταρτος χρόνος. ἐὰν δὲ ἐδόθη δικαστὴς ἢ παρὰ τῶν ἐπάρχων ἢ παρὰ τοῦ μαγίστρου ἢ παρ' ἑτέρου τινὸς τῶν ἰλλουστρίων ἀρχόντων ἐν ταύτῃ τῇ ἐνδόξῳ πόλει, καὶ γένηται ἔκκλητος κατὰ τῆς ἀποφάσεως αὐτοῦ, ἡ μὲν πρώτη κυρία ἔστω δύο μηνῶν, αἱ δὲ ἄλλαι τρεῖς κατὰ μίμησιν τῶν προειρημένων κυρίων ἀριθμείσθωσαν. ὁμοίως καὶ ἐπὶ τοῦ δοθέντος διαιτητοῦ.

17. Ἐν δὲ τῷ ρκζ' κεφ. Ἡ διάταξις κελεύει, μηδέποτε ὑπὲρ τὸν χρόνον τὸν ὡρισμένον τὰς κατὰ συνέλευσιν ἐκκλήτους γίνεσθαι, μήτε εἴ τις δεήσεις ἐπιδώσει ἢ θεῖον πορίσεται παρὰ βασιλέως γράμμα, μηδὲ ἑτέρῳ προσχήματι· ἀλλὰ παντὶ τρόπῳ σπουδάζειν ἕκαστον ἐμφανίσαι τὴν ἰδίαν ἔκκλητον καὶ τὰ πεπραγμένα ἐν τῷ δικαστηρίῳ ἐκείνῳ, καθ' ὃ ἐξεκαλέσατο, διδόναι ἢ παραχρῆμα ἢ συντομώτερον πάντως τοῦ ἡμίσεως χρόνου τῆς ἐκκλήτου· ἐπείτοιγε ὁ παρελθὼν τὸν χρόνον τοῦτον ζημιωθήσεται.

18. Ἐν δὲ τῷ ρκη' κεφ. Τῆς ἐκκλήτου γυμναζομένης, ἐξουσία ἠνέῳκται πρὸς τῷ ἑκατέρῳ μέρει καιναῖς[5] χρήσασθαι δικαιολογίαις, αἷς οὐκ ἐχρήσαντο ἐν τῷ προτέρῳ δικαστηρίῳ, καὶ παραγραφαῖς, ἐὰν μόνον εἰς κεφάλαιον ὦσιν ἤδη κινηθεῖσαι ἐν τῷ προτέρῳ δικαστηρίῳ.

---

[1] Lips. καί. [2] Basil. καταλάβῃ. [3] Lips. ἐναντίωσιν. [4] Leuncl. τῆς ἀνανεώσεως ἤτοι τοῦ πρ. [5] Lips. κοιναῖς.

19. Ἡ[1] διάταξις κελεύει, ἵνα εἰ μὲν ἐξ αἰγύπτου ἢ λιβύης ἢ ἀνατολῆς ἕως τῶν δύο κιλικιῶν ἀριθμουμένης ἢ ἀπὸ ἀρμενίας ἢ τοῦ ἰλλυρικοῦ ἔκκλητος προσενεχθῇ, ἔχωσιν οἱ ἐκκαλεσάμενοι τὴν ἀρχαίαν ἑξάμηνον· ἐὰν δὲ ἀπὸ ἀσίας ἢ τῆς ποντικῆς ἢ τῆς θρᾴκης ἀνάγηται ἔκκλητος, τριῶν μηνῶν προθεσμίαν δίδωσι τοῖς ἐκκαλεσαμένοις· ἀκολουθουσῶν καὶ τῶν ἄλλων ἐννενήκοντα τριῶν ἡμερῶν, εἴτε τοῖς τρισὶ μησὶν εἴτε τῇ ἑξαμήνῳ, ὁμοίως δὲ καὶ τῶν τριῶν μηνῶν τῆς προευτρεπίσεως. βούλεται δὲ καὶ τὰς κυρίας εἶναι μὴ πάντως αὐτὰς τὰς ἡμέρας, ἐν αἷς ὁ χρόνος συμπληροῦται, ἀλλὰ δέκα ἡμέρας αὐτὰς πρὸ τῆς κυρίας[2] καὶ αὐτὴν καὶ ἄλλας ε΄· ἴσως γὰρ πλανᾶται περὶ τὴν ψῆφον τῶν ἡμερῶν. καὶ ἔνθα ἂν εὕρωμεν μνήμην περὶ κυρίας ἡμέρας, ι΄ ἡμέρας παρέχομεν. καὶ τὴν αἰτίαν[3] τῆς ἐκκλήτου ἐνιαυτῷ κελεύομεν στενοχωρεῖσθαι· δυναμένου εἰ βούλεται τοῦ ἑνὸς μέρους τοῦ νικήσαντος ἐν τῷ κατὰ χώραν δικαστηρίῳ καὶ συντομώτερον τὴν δίκην εἰσαγαγεῖν καὶ λοιπὸν παρεκτείνεσθαι τὴν δίκην, τεμνομένης τῆς δίκης καὶ τοῦ ἑνὸς μέρους τοῦ τὴν ἔκκλητον δεδωκότος ἀπολιμπανομένου. [ἐὰν δὲ τὰ μέρη συμφωνήσωσι μὴ φυλάττειν τὰς κυρίας, ἰσχύειν βούλεται τοῦτο τὸ σύμφωνον ἡ διάταξις.][4]

[20. Καὶ[5] ὅτι ἐὰν δικαστὴς ἐναντιοῦται τῇ πρότερον ἀποφάσει, οὐ χρεία ἐκκλήτου εἰς τὸ ἀνατραπῆναι αὐτήν.]

21. Ἐν δὲ τῷ ρμη΄ κεφ. Ἐὰν τελευτήσῃ ὁ εἷς τῶν ἐκκαλεσαμένων, οἱ κληρονόμοι αὐτοῦ ἑτέρους μῆνας τέσσαρας ἔχουσιν. βούλονται γὰρ διασκέψασθαι περὶ τῆς κληρονομίας, καὶ τότε ἢ καταδέξασθαι καὶ[6] γυμνάσαι τὴν ἔκκλητον, ἢ μὴ καταδέξασθαι.

22. Ἀνάγν. καὶ τί. β΄ κεφ. γ΄, ἐν ᾧ φησιν· Οὐ μόνον ὁ πρωτότυπος, ἀλλὰ καὶ ὁ ἐντολεὺς καὶ ὁ διεκδικητὴς αὐτοῦ καὶ ὁ κουράτωρ καὶ ὁ πάτρων εἴσω δέκα ἡμερῶν τῆς ἐκφωνηθείσης ψήφου δύναται ἔκκλητον ἐπιδιδόναι.

23. Καὶ κεφ. ια΄, ἐν ᾧ φησι· Θεσπίζομεν ὁσάκις ψῆφος τῶν ἐνδοξοτάτων ἐπάρχων[7] οἱουδήποτε κλίματος προενεχθείη, κἂν εἷς (ὡς εἰκὸς) τῶν δικαζομένων νομίσῃ ἑαυτὸν βαρεῖσθαι[8], ἔχειν τὸν τοιοῦτον ἄδειαν διδασκαλικὸν προφέρειν τοῖς ἐν-

---

[1] Inscribendum: Ἐν δὲ τῷ ρκθ΄ κεφ. [2] Lips. πρὸς τῆς κυριακῆς. [3] Basil. διετίαν. [4] Uncis inclusa Lips. non praestat. [5] In Lips. hoc caput deest. Caeterum inscribendum erat: Ἐν δὲ τῷ ρλ΄ κεφ. [6] Lips. ἤ. [7] Lips. ἀρχόντων. [8] Leuncl. βεβαρῆσθαι.

δοξοτάτοις ἐπάρχοις τοῖς τὴν ψῆφον προάγουσιν ἢ τοῖς τούτων συμπόνοις ἢ τοῖς τὰς δίκας εἰσάγουσιν, ἐντὸς δέκα ἡμερῶν προθεσμίας μετὰ τὸ προσενεχθῆναι τὴν ψῆφον. ὥστε τούτου παρακολουθοῦντος μὴ ἄλλως ἐκβιβασμῷ παραδίδοσθαι τὴν ψῆφον, εἰ μὴ πρότερον ἐγγύας ἀξιοπίστους παράσχοι τὸ νικῆσαν μέρος τοσαύτης ποσότητος, ὅσης ἂν εἴη ἡ καταδίκη, ὡς εἰ μετὰ ταῦτα ἀναψηλαφήσεως νομίμῳ τρόπῳ προϊούσης ἡ ψῆφος ἀνατραπείη, τὰ πράγματα αὐτῶν μετὰ [τῶν] νομίμων ἐπαυξήσεων ἀποκαθίστασθαι. εἰ δὲ ἐντὸς τῆς μνημονευθείσης τῶν δέκα ἡμερῶν προθεσμίας μετὰ τὸ τὴν ψῆφον προενεχθῆναι μὴ ἐπιδοίη τὸν λίβελλον ὁ νόμιζων βεβλάφθαι, κελεύομεν τὸν τοῦ πράγματος ἐκβιβασμὸν δίχα ἐγγύης προϊέναι, τοῦ τῆς ἀναψηλαφήσεως δικαίου ἐκείνῳ φυλαττομένου, ὅστις ἑαυτὸν βεβαρῆσθαι νομίσοι.

24. Ἐν[1] πάσαις δὲ ταῖς ἐκκλήτοις τοῦτο κρατεῖν κελεύομεν, ἵνα ὁσάκις ἐκκλήτου γινομένης ἐντὸς τοῦ ὡρισμένου χρόνου ἑκάτερον μέρος τὴν κυρίαν ἡμέραν παραφυλάττοι, ἀνυπερθέτως οἱ δικασταὶ τοῦτο μὲν τὰ πεπραγμένα τοῦτο δὲ τὰ κεκριμένα ἐξετάζειν σπουδάσωσι, καὶ μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ψῆφον διδόναι. εἰ δὲ μόνος ὁ ἐκκαλεσάμενος εἰσέλθῃ, κελεύομεν τοὺς δικαστὰς ἀναμένειν μέχρι τῆς τελευταίας κυρίας, καὶ εἰ ἀναζητηθεὶς ὁ νικήσας μὴ εὑρεθείη, ἐξεταζομένων τῶν πεπραγμένων νόμιμον δοῦναι πέρας. εἰ δὲ μόνος ὁ τὴν νικητικὴν ψῆφον λαβὼν εἰσέλθοι καὶ ἐπιζητηθεὶς ὁ ἐκκαλούμενος μὴ εὑρεθείη, ἀναμένειν τοὺς δικαστὰς μὴ μόνον τὴν τελευταίαν κυρίαν, ἀλλὰ καὶ τὸν τοῦ εὐτρεπισμοῦ χρόνον, τουτέστι τοὺς τρεῖς μῆνας. καὶ εἰ μὴ[2] τηνικαῦτα ὁ ἐκκαλούμενος εὑρεθείη, μηκέτι τῇ τοῦ χρόνου παραδρομῇ κυροῦσθαι τὴν ψῆφον, ἀλλὰ καὶ ἐκ μιᾶς μοίρας τοὺς δικαστὰς ἐξετάζειν τοῦτο μὲν τὰ πεπραγμένα τοῦτο δὲ τὰ κεκριμένα. καὶ εἰ μὲν ὀρθῶς τὴν ψῆφον δεδομένην εὕροιεν, [ταύτην] βεβαιοῦν· εἰ δέ τι παρῶπται, τοῦτο διορθοῦσθαι καὶ νόμιμον διδόναι ψῆφον.

25. Ἐν δὲ τῷ η′ κεφ. Θεσπίζομεν μηδὲν βλαβῆναι τὸν ἐφέντα τῇ τοῦ χρόνου παραδρομῇ μηδὲ[3] κυρίαν εἶναι τὴν τοῦ δικαστοῦ ψῆφον ἅπαξ ἐκκληθεῖσαν, ἀλλὰ καὶ προσεξετασθῆναι παρὰ τῇ σῇ ἐνδοξότητι καὶ πέρας δὲ νόμιμον ἐπιδέξα-

---

[1] Inscribendum: Ἐν δὲ τῷ ιβ′ κεφ. [2] Leuncl. μηδέ. [3] Lips. μηδεμίαν.

σθαι, κἂν εἰ μυριάκις πλείων τῆς διετίας χρόνος παρέδραμεν ἢ καὶ παραδράμοι. τοῦ λοιποῦ δὲ ἐπὶ πάσης ὑποθέσεως, ἐφ᾽ ἧς τοιοῦτό τι γένηται καὶ ἐν μέσῳ κινουμένης τῆς δίκης παρὰ τῷ ἐφέτῃ δικαστῇ, ἢ καὶ [μὴ] κινουμένης, τινὲς εὑρεθῶσιν[1] ἕτεροι, καὶ διὰ τοῦτο ἡ διετία παρέλθοι, ἧς ἐντὸς ἐχρῆν τοὺς ἐφέτας τὴν δίκην τεμεῖν, καὶ καθ᾽ οἱανδήποτε περίστασιν ἐπανέλθοι πάλιν ἐπὶ τοὺς ἐφέτας ἡ δίκη, τοῖς μὲν ἄλλοις πᾶσιν ἐξέστω χρῆσθαι τοῖς μέρεσιν, ὡσανεὶ μὴ ἔτυχον ἀπολιπόντες μὲν τὸ ἐφετικὸν δικαστήριον, ἐπὶ δὲ τοὺς αἱρετοὺς ἐλθόντες, μὴ μέντοι δύνασθαι χρῆσθαι τῷ τὴν διετίαν παραδραμεῖν. ὁ γὰρ ἅπαξ δικαστὰς ἄλλους ἑλόμενος οὐκ ἂν εἴη δίκαιος σιωπὴν ἐγκαλεῖν τῷ διὰ τοῦτο ἀδικηθέντι, διότι τοῖς περὶ τῆς αἱρέσεως τῶν δικαστῶν γενομένοις ἐπίστευσε, καὶ διὰ τοῦτο οὐκ ἐπεξῆλθεν, οὐδὲ ἐπλήρωσε τὴν δίκην ἐκεῖσε, διὰ τὸ παρὰ τοῖς δικασταῖς ἐκείνοις ἀγωνισθῆναι τὴν ὑπόθεσιν. εἰ μέντοι καὶ μετὰ τὸ ἀπολειφθῆναι τῶν αἱρετῶν δικαστῶν διετὴς παρέλθοι χρόνος, τηνικαῦτα ἐῤῥῶσθαι τὴν ψῆφον κατὰ τὰς περὶ τούτου γενομένας παρ᾽ ἡμῶν διατάξεις.

26. Ἐν δὲ τῷ ιβ΄ κεφ. Ἅπαξ δὲ τῆς ἐφεσίμου δίκης ἐν ταῖς ἐμπροθέσμοις ἡμέραις εἴτε παρ᾽ ἑκατέρου μέρους εἴτε παρὰ τοῦ ἑνὸς εἰσαχθείσης, μηκέτι τῇ τοῦ διετοῦς χρόνου παραδρομῇ τοῦ λοιποῦ βεβαιοῦσθαι τὴν ψῆφον· ἀλλὰ τῆς ἀληθείας καὶ τοῦ δικαίου σκοπουμένου πέρας ταῖς τοιαύταις ὑποθέσεσι δίδοσθαι νόμιμον, εἴτε τοῦ ἑνὸς εἴτε ἑκατέρου μέρους παρόντος. καὶ διὰ τοῦτο κελεύομεν ἐν ταῖς τοιαύταις ὑποθέσεσι μηκέτι (καθὰ μέχρι τοῦ παρόντος ἐκράτει) εἰς τὴν πρώτην ἔκκλητον πάσας τὰς διαγνώσεις ἀναφέρεσθαι, ἀλλὰ μίαν ἑκάστην τὴν ἰδίαν ἡμέραν ἔχειν προγεγραμμένην.

27. Ἀνάγν. καὶ τί. γ΄ κεφ. νβ΄, ἐν ᾧ φησι· Κατὰ ἀνήβου ἀδιεκδικήτου ἢ τοῦ πολιτείας χάριν ἀπόντος ἢ ἀφήλικος ἔκκλητος οὐκ ἔῤῥωται.

28. Καὶ κεφ. νε΄, ἐν ᾧ φησι· Μετὰ ψῆφον ἢ ὅρκου δόσιν ἢ συγκατάθεσιν οὐδὲν ζητεῖται. οἱ γὰρ ὁμολογοῦντες ἀντὶ κατακεκριμένων εἰσί[b].

---

[b] Ἀνάγν. καὶ βι. ζ΄ τί. ε΄[2] κεφ. ε΄ ὅπερ ἐστὶ πβ΄ νεαρᾶς[3] κεφ. α΄[4], ἐν ᾧ φησι μὴ ἐκκαλεῖσθαι τρισάκις.

---

[1] Basil. αἱρεθῶσιν. [2] Lege α΄. [3] Lips. τί. νβ΄. [4] Lege ε΄.

X.

Περὶ ἐκκλησιῶν καὶ τῶν προνομίων αὐτῶν καὶ κανόνων, καὶ περὶ ἀριθμοῦ τῶν κληρικῶν αὐτῶν καὶ μάλιστα τῆς μεγάλης ἐκκλησίας, καὶ περὶ τῆς θείας λειτουργίας ὅπως ὀφείλει τελεῖσθαι, καὶ περὶ τῶν κατασκευαζόντων εὐκτήριον ἢ ἕτερον σεβάσμιον οἶκον.

1. *Ἀνάγν. βι. γ΄ τί. α΄ κεφ. ις΄ καὶ λε΄ καὶ λς΄ καὶ μγ΄. ἀνάγν. καὶ τί. β΄ καὶ τί. γ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί·* Θεσπίζομεν, εἴπερ ἔν τισι τῶν ἁγιωτάτων ἐκκλησιῶν, ὧν αὐτὴ ἡ ἁγιωτάτη μεγάλη ἐκκλησία τὴν διοίκησιν καὶ τὰς δαπάνας εἵλετο, συμβαίη πρεσβύτερον ἢ διάκονον ἢ ψάλτην ἢ ἀναγνώστην τελευτῆσαι, μὴ ἕτερον εὐθὺς ἔξωθεν ἐπεισάγεσθαι, ἀλλὰ σκοπεῖν πόσον ἐστὶ τηνικαῦτα τὸ μέτρον τῶν ἐκεῖσε λειτουργούντων εὐλαβεστάτων κληρικῶν· καὶ εἰ μὲν οὔπω τὸ τῶν κληρικῶν ἠλαττώθη μέτρον, ἀλλ᾽ ἔτι πλεονάζουσιν ὅσον πρὸς τὸ ἄνωθεν ὡρισμένον καὶ τὸ καλούμενον στατοῦτον, μηδεμίαν γίνεσθαι ἀντ᾽ αὐτοῦ χειροτονίαν, μέχρις ἂν ὁ ἀριθμὸς εἰς ἑαυτὸν ἀποκατασταίη.

2. *Ἀνάγν. καὶ τί. δ΄. διαλαμβάνει γὰρ περὶ κληρικῶν.*

3. *Ἀνάγν. καὶ βι. ε΄ τί. α΄, οὗτινος ἐν τῷ β΄ κεφ. φησί·* Μηδεὶς ἐν ἐκκλησίᾳ θαπτέτω νεκρόν.

4. *Ἐν δὲ τῷ η΄ κεφ.* Ὁ συστησάμενος δωρεαστικὸν ἐπὶ τῷ εὐκτήριον οἶκον κτισθῆναι ἢ ξενῶνα ἢ νοσοκομεῖον ἀπαιτείσθω παρὰ τῶν ἐπισκόπων καὶ οἰκονόμων τὰ ὑποσχεθέντα, διοικούμενα μέντοι κατὰ τὸ δοκοῦν αὐτῷ.

5. *Ἀνάγν. καὶ τί. β΄, οὗτινος ἐν τῷ κγ΄ κεφ. φησί·* Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ μ΄ ἔτη· τῶν ἁρμοζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ εὐαγεῖ προσκαίρων[1] παραγραφῶν φυλαττουσῶν μέντοιγε τοὺς οἰκείους χρόνους.

6. *Ἀνάγν. καὶ τί. γ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί·* Θεσπίζομεν τοίνυν τάξιν νόμων ἐπέχειν τοὺς ἁγίους ἐκκλησιαστικοὺς κανόνας τοὺς ὑπὸ τῶν ἁγίων ἑπτὰ συνόδων ἐκτεθέντας ἢ βεβαιωθέντας[a].

---

[a] *Ἀνάγν. καὶ τοῦ βι. τούτου τί. α΄ κεφ. ις΄ καὶ λε΄ καὶ λς΄ καὶ μγ΄ καὶ νεαρὰν θ΄, ἐν ᾗ φησι περὶ τῆς ἐκκλησίας ῥώμης τοῦ ἔχειν αὐτὴν τὴν τῶν ρ΄ χρόνων παραγραφήν. ἀνάγν. καὶ νεαρὰν μγ΄ καὶ νθ΄, ἐν αἷς φησι περὶ τῶν ἐργαστηρίων τῆς μεγάλης ἐκκλησίας· περὶ ὧν εὑρήσεις ἐν τῷ περὶ ταφῆς καὶ κηδείας τῶν τελευτώντων. ἀνάγν. καὶ νεα. ξζ΄, ἐν ᾗ φησι περὶ*

[1] Lips. προσκαίρως.

XI.

Περὶ ἐκλήψεων καὶ περὶ ἐκποιήσεων τῶν κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ ἐμφύτευσιν ἢ ἐκμίσθωσιν ἢ καθ᾽ ἕτερον τρόπον γινομένων ἀπό τε ἐκκλησιῶν καὶ μοναστηρίων καὶ τῶν λοιπῶν εὐαγῶν οἴκων.

1. *Ἀνάγν. βι. γ΄ τί. α΄ κεφ. ιβ΄, ἐν ᾧ φησιν·* Εἰ μέντοι ἐκκλησίαις ἢ μοναστηρίοις κτήσεις τινὲς παρακείμεναι εὑρεθεῖεν, καὶ βουληθεῖεν οἱ διοικηταὶ τῶν αὐτῶν εὐαγῶν οἴκων εἰς μίσθωσιν ἢ ἐμφύτευσιν τὰς τοιαύτας λαβεῖν, τηνικαῦτα πάντων τῶν μοναχῶν καὶ τῶν κληρικῶν ὑπὲρ τῶν τοιούτων αἰτιῶν ἢ ἐν αὐτῷ τῷ συμβολαίῳ ἢ ἐπὶ πράξεως ὑπομνημάτων[a] κατατιθεμένων καὶ συναινούντων καὶ φανερούντων, ὑπὲρ τοῦ συμφέροντος[b] τοῖς εὐαγέσιν οἴκοις τοῦτο γίνεσθαι, τὴν τοιαύτην μίσθωσιν καὶ ἐμφύτευσιν προϊέναι συγχωροῦμεν. ἀλλὰ καὶ αὐταῖς ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς ἄλλοις σεπτοῖς οἴκοις δίδομεν ἄδειαν μισθώσεις καὶ ἐμφυτεύσεις πρὸς ἀλλήλους ποιεῖν, καὶ τοῖς κληρικοῖς ὁμοίως τῶν οἰκείων ἐκκλησιῶν τὰς κτήσεις μισθοῦσθαι καὶ διοικεῖν, γνώμῃ μέντοι τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου, συγχωροῦμεν· ἐξῃρημένων τῶν προσώπων, ἅτινα δι᾽ ἑτέρου νόμου τοῦτο ποιεῖν ἐκωλύσαμεν.

2. *Ἀνάγν. καὶ βι. ε΄ τί. β΄, οὗτινος ἐν τῷ α΄ καὶ β΄ κεφ. φησί·* Θεσπίζομεν μηδεμίαν ἄδειαν ἔχειν τοὺς διοικοῦντας τὰ πράγματα τῆς κατὰ τὴν βασιλίδα πόλιν ἁγιωτάτης μεγάλης ἐκκλησίας ἢ ὀρφανοτροφείου ἢ ξενοδοχείου ἢ πτωχοτροφείου ἢ νοσοκομείου ἢ ἄλλου εὐαγοῦς οἴκου ἐν τῇ βασιλίδι πόλει ἤτοι τῇ ταύτης ἐνορίᾳ τυγχάνοντος, ἐξῃρημένων μόνων τῶν εὐαγῶν μοναστηρίων, πιπράσκειν ἢ δωρεῖσθαι ἢ ἀνταλλάττειν ἢ ἐπὶ ἀντιδώρῳ διδόναι ἢ οἱῳδήποτε ἄλλῳ τρόπῳ ἐκποιεῖν πρᾶγμα

εὐκτηρίων κτιζομένων· περὶ οὗ εἴρηται καὶ ἐν τῷ περὶ διαθεμένων τῶν ἐν εὐσεβέσιν αἰτίαις καταλιμπανόντων. ἀνάγν. καὶ νεαρὰν ρλα΄, ἐν ᾗ φησι καὶ περὶ ἐκκλησιαστικῶν κανόνων καὶ προνομίων, καὶ ὅτι τεσσαράκοντα ἔτη βοηθεῖται. ἀνάγν. καὶ τοῦ γ΄ τί. κεφ. γ΄, ὅπερ εἴρηται ἐν τῷ περὶ δεσποτείας.

[a] *Τὰ ὑπομνήματα ἐγίνοντο πρότερον παρὰ τοῦ μαγίστρου τῶν κήνσων τὸ εὔλογον δηλοῦντα τῆς ἐκποιήσεως. ἐπεὶ δὲ ἐκεῖνος καὶ οἱ περὶ αὐτὸν πολλὰς συνηθείας ἕνεκα τούτου ἐλάμβανον, ἐθεσπίσθησαν ὕστερον ταῦτα γίνεσθαι παρὰ τοῦ ὑφ᾽ οὗ οἱ διοικηταὶ τοῦ εὐαγοῦς οἴκου τοῦ τὸ ἐκποιούμενον ἔχοντος προβάλλονται ἢ χειροτονοῦνται ἀρχιερέως.*

[b] *Τρεῖς αἰτίαι εἰσὶν, ἐν αἷς ἔξεστι τοῖς προεστῶσι τῶν ἐκκλησιῶν ἀκωλύτως πωλεῖν ἢ ὑποτίθεσθαι τὰ θεῖα κειμήλια, εἰς ἀνάῤῥυσιν τῶν αἰχμαλώτων, εἰς τροφὴν τῶν πενήτων, καὶ εἰς ἀνανέωσιν γεφύρας.*

ἀκίνητον ἢ πολιτικὴν σίτησιν ἢ γεωργικὸν ἀνδράποδον, εἰ μὴ πρὸς βασιλικὸν οἶκον ἡ ἀνταλλαγὴ γένοιτο μόνη· ἀλλ' οὔτε παροικικῷ δικαίῳ δίδοσθαί τι συγχωροῦμεν. τὰς δὲ ἐμφυτεύσεις παρὰ τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας τῆς βασιλίδος πόλεως καὶ τῶν μνημονευθέντων εὐαγῶν οἴκων γίνεσθαι κελεύομεν, ἐπί τε τῷ προσώπῳ αὐτοῦ τοῦ λαμβάνοντος καὶ ἄλλων δύο ἐφεξῆς κληρονόμων, μὴ πλέον τῆς ἕκτης μοίρας τοῦ ἐφεστῶτος κανόνος συγχωρουμένου τῷ τὴν ἐμφύτευσιν κομιζομένῳ[c].

3. Ἐν δὲ τῷ δ' κεφ. Εἰ δέ τινες εἰσὶ τόποι, ἢ τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἤ τινι τῶν εἰρημένων εὐαγῶν οἴκων προσήκοντες, ἐν οἷς παλαιαὶ οἰκήσεις τυγχάνουσαι κατηνέχθησαν, καὶ ἐξ ὧν οὐδεμία παρέχεται πρόσοδος, οἱ δὲ μνημονευθέντες εὐαγεῖς οἶκοι, οἷς διαφέρουσιν οἱ τόποι, τούτους ἀνοικοδομῆσαι μὴ δύνανται, ἄδειαν δίδομεν τοῖς τούτων διοικηταῖς τῷ τῆς ἐμφυτεύσεως διηνεκεῖ δικαίῳ ἐκδιδόναι τοὺς αὐτοὺς τόπους. οὕτω μέντοιγε, ὥστε τὴν ἐμφύτευσιν ἢ ἐπὶ τρίτῃ μοίρᾳ τῶν στεγονομίων, ἅτινα ἐκ τῶν οἰκημάτων ἔτι ἑστώτων συνήγετο, ἐκ προοιμίων τοῦ χρόνου τοῦ ἐμφυτεύματος προϊέναι· ἢ εἴπερ ὁ ἐμφυτευτὴς βουληθείη μᾶλλον ἐπὶ τούτῳ τῷ ὅρῳ λαβεῖν τοὺς τόπους, ὥστε πρότερον ἀνοικοδομῆσαι, καὶ ἐκ τῶν προσγινομένων ἐκεῖσε κατὰ διατίμησιν στεγονομίων τὸ ἥμισυ μέρος διδόναι τῷ εὐαγεῖ οἴκῳ, ἐξ οὗ τοὺς αὐτοὺς τόπους λαμβάνει, [καὶ τοῦτο γενέσθαι συγχωροῦμεν]. κεχρῆσθαι δὲ [καὶ] τὸν τοιοῦτον ἐμφυτευτὴν καὶ ταῖς ἐκεῖσε εὑρισκομέναις τῶν[1] κατενεχθέντων οἰκημάτων ὕλαις.

4. Ἐν δὲ τῷ ϛ' κεφ. Τὰς μισθώσεις δὲ παρὰ τῶν αὐτῶν εὐαγῶν οἴκων γίνεσθαι συγχωροῦμεν, εἰς ὅσους ἂν τοῖς συναλλάττουσιν ἐνιαυτοὺς συναρέσοι· μὴ ὑπερβαινούσας δηλαδὴ τὸν τριακονταετῆ χρόνον.

5. Ἐν δὲ τῷ θ' κεφ. Ἐπὶ ταῖς ἄλλαις ἁγιωτάταις ἐκκλησίαις καὶ μοναστηρίοις καὶ ξενῶσι καὶ νοσοκομείοις καὶ λοιποῖς εὐαγέσιν οἴκοις τοῖς ἐν ἁπάσαις ταῖς ἐπαρχίαις τῆς ἡμετέρας πολιτείας[2] κειμένοις, οὐ μὴν ἀλλὰ καὶ μοναστηρίοις ἐν τῇ βα-

c Σημείωσαι ὅτι δεῖ τὸ εἰς ἐμφύτευσιν ἐκδιδόμενον κτῆμα μοναστηρίου ἢ ἄλλου εὐαγοῦς οἴκου τοσούτου ἐκδίδοσθαι, ἵνα μέχρι τοῦ ἕκτου μέρους τῆς ἐτησίου εἰσόδου ἡ ἐλάττωσις ἐπὶ τῇ ἐμφυτεύσει γένηται.

[1] Leuncl. ἐκ τῶν. [2] Lips. ἐπαρχίας.

σιλίδι πόλει καὶ τῇ αὐτῆς περιοικίδι τυγχάνουσιν, ἀκολούθως διορίσαι συνείδομεν. ἄδειαν τοίνυν δίδομεν τοῖς εἰρημένοις εὐαγέσιν οἴκοις, μὴ μόνον πρόσκαιρον ἐμφύτευσιν ποιεῖσθαι τῶν ἀκινήτων πραγμάτων [τῶν] αὐτοῖς προσηκόντων, ἀλλὰ καὶ διηνεκῶς ταῦτα ἐμφυτευτικῷ δικαίῳ τοῖς βουλομένοις διδόναι. καὶ εἰ μὲν ἁγιώταται ὦσιν ἐκκλησίαι ἢ ἕτεροι εὐαγεῖς οἶκοι, ὧν τὴν διοίκησιν ὁ κατὰ τόπον ἁγιώτατος ἐπίσκοπος ἢ δι᾽ ἑαυτοῦ ἢ διὰ τοῦ εὐαγοῦς αὐτοῦ κλήρου ποιεῖται, κατὰ γνώμην αὐτοῦ καὶ συναίνεσιν γίνεσθαι τὸ τοιοῦτο συνάλλαγμα, ὀμνύντων παρόντος αὐτοῦ τῶν οἰκονόμων καὶ διοικητῶν καὶ χαρτουλαρίων τοῦ αὐτοῦ εὐαγοῦς οἴκου, ὡς ἐκ ταύτης τῆς ἐμφυτεύσεως οὐδεμία ζημία τῷ αὐτῷ εὐαγεῖ οἴκῳ ἐπάγεται. εἰ δὲ πτωχεῖα ἢ ξενῶνες ἢ νοσοκομεῖα ἢ ἕτεροι εὐαγεῖς οἶκοι εἰσὶν ἰδίαν διοίκησιν ἔχοντες, εἰ μὲν [ἁγίους] εὐκτηρίους οἴκους εἶναι συμβαίη, κατὰ γνώμην τοῦ πλείονος μέρους τῶν ἐκεῖσε λειτουργούντων κληρικῶν, οὐ μὴν ἀλλὰ καὶ τοῦ οἰκονόμου· εἰ δὲ ξενὼν ἢ πτωχεῖον ἢ νοσοκομεῖον ἢ ἕτερος εὐαγὴς οἶκος [εἴη], τὸν προεστῶτα τούτων τὸ συνάλλαγμα ποιεῖσθαι· ὀμνύντων τῶν διοικητῶν τῶν αὐτῶν εὐαγῶν οἴκων παρουσίᾳ τοῦ θεοφιλεστάτου ἐπισκόπου, παρ᾽ οὗ προβάλλονται ἢ χειροτονοῦνται, ὡς οὐδὲν πρὸς βλάβην ἢ περιγραφὴν τῶν αὐτῶν εὐαγῶν οἴκων ἐπὶ τῷ [τοιούτῳ] συναλλάγματι γίνεται.

6. Ἐν δὲ τῷ ι′ κεφ. Περὶ τῶν εὐαγῶν οἴκων [καὶ τοῦτο διατυπῶσαι συνείδομεν], ὥστε εἴ τινες ἐξ αὐτῶν εἴτε ὑπὲρ δημοσίων συντελειῶν εἴτε ὑπὲρ ἑτέρας ἀναγκαίας χρείας χρέεσιν ἔνοχοι γένωνται, καὶ οὐκ ἔστι δυνατὸν ἐκ πραγμάτων κινητῶν διαλυθῆναι τὰ χρέη, κατὰ πρώτην μὲν τάξιν δίδοσθαι εἰς[1] ἐνέχυρον ἀκίνητον, ἵνα τοὺς καρποὺς λογίζωνται οἱ δανεισταὶ εἰς τόκους τοὺς ἀπὸ δ′ ἑκατοστῆς καὶ εἰς τὸ κεφάλαιον· καὶ εἰ μὴ διαλυθῇ τούτῳ τῷ τρόπῳ τὸ χρέος, ὑπομνήματα γίνεσθαι [καὶ] ἐπὶ ὀκτὼ[2] ἡμέρας προτρέπεσθαι τοὺς ἀγοράσαι βουλομένους τὸ ἀκίνητον, ἵνα ὁ πλείω παρέχων προτιμηθῇ, καὶ τὸ τίμημα πᾶσι τρόποις ὑπὲρ τοῦ ὀφλήματος δοθῇ. εἰ δὲ μὴ εὑρεθῇ ὁ ἀγοραστὴς, λαμβάνειν τὸν δανειστὴν τὸ ἀκίνητον κατὰ δεσποτείαν, διατιμήσεως γινομένης, καὶ προστιθεμένης τῷ τιμήματι τῆς ι′ μοίρας τοῦ παντὸς τιμήματος. μὴ κατ᾽ ἐπιλογὴν δὲ δίδοσθαι, ἀλλὰ κατὰ τὴν ἰσότητα[3] τοῦτο

[1] Lips. τὸ pro εἰς. [2] Leuncl. notat: in editis XX. [3] Lips. καὶ τῆς ἰσότητος.

μὲν τῶν εὐπόρων τοῦτο δὲ τῶν ἀπόρων κτήσεων τοῦ εὐαγοῦς οἴκου. ἐπὶ δὲ τῶν εὐαγῶν μοναστηρίων τοὺς ἡγουμένους αὐτῶν μετὰ τοῦ πλείονος μέρους τῶν ἐκεῖσε λειτουργούντων μοναχῶν τὸ συνάλλαγμα ποιεῖσθαι. καὶ ἐπὶ τῶν εἰρημένων δὲ πάντων κελεύομεν ἐγγράφεσθαι τῷ συμβολαίῳ μεθ᾽ ὅρκου, ὡς οὐ πρὸς βλάβην καὶ περιγραφὴν τῶν αὐτῶν εὐαγῶν οἴκων τὸ πρᾶγμα πράττεται· καὶ ταύτης δὲ τῆς παραφυλακῆς οὕτω προϊούσης κουφισμὸν [μὴ] πλείονα γίνεσθαι τοῦ ἕκτου μέρους τῆς προσόδου, ἣν ἔχει τὸ εἰς ἐμφύτευσιν διδόμενον πρᾶγμα ὅσα δὲ περὶ τῶν καταπεπτωκότων οἴκων τῶν προσηκόντων τοῖς εὐαγέσιν οἴκοις τοῖς ἐν τῇ βασιλίδι πόλει κειμένοις ἀνωτέρω διετυπώσαμεν, ταῦτα καὶ ἐπὶ τῶν εὐαγῶν[1] κρατεῖν παρακελευόμεθα.

7. Ἐν δὲ τῷ ιε' κεφ. Ἐπειδὴ δὲ ἔγνωμεν παρά τινων γίνεσθαι καὶ ἐκποιήσεις μοναστηρίων ἐπὶ τῷ ταῦτα ἀπὸ ἱερατικοῦ σχήματος εἰς ἰδιωτικὴν διαγωγὴν μετασχηματίζεσθαι, καὶ τοῦτο πᾶσι τρόποις κωλύομεν. εἰ δέ τι τοιοῦτον γινόμενον εὑρεθείη, ἄδειαν παρέχομεν τῷ κατὰ τόπον ὁσιωτάτῳ ἐπισκόπῳ τὸ τοιοῦτον μοναστήριον ἐκδικεῖν καὶ εἰς τὸ ἀρχαῖον σχῆμα ἐπανάγειν[2]. εἰ δέ τις ἐκ τῶν εἰρημένων εὐαγῶν οἴκων, τῶν τε ἐν τῇ βασιλίδι πόλει τῶν τε ἐν ταῖς ἐπαρχίαις ὄντων, ἐξῃρημένης τῆς ἁγιωτάτης [μεγάλης] ἐκκλησίας τῆς βασιλίδος πόλεως, κτῆσιν ἔχοι πολλοῖς δημοσίοις τελέσμασι βεβαρημένην, ἐξ ἧς οὐδεμία εἰσάγεται πρόσοδος τῷ εὐαγεῖ οἴκῳ, ἄδειαν παρέχομεν τοῖς τοῦ αὐτοῦ εὐαγοῦς οἴκου διοικηταῖς τὴν τοιαύτην κτῆσιν ἐκποιεῖν ἐν οἱῳδήποτε τρόπῳ βουληθεῖεν πρὸς τὸ λυσιτελὲς τοῦ αὐτοῦ εὐαγοῦς οἴκου. τοῖς δὲ οἰκονόμοις καὶ διοικηταῖς καὶ χαρτουλαρίοις τῶν ὁπουδήποτε ὄντων εὐαγῶν οἴκων, καὶ τοῖς αὐτῶν γονεῦσί τε καὶ παισὶ καὶ τοῖς ἄλλοις τοῖς ἢ κατὰ γένος ἢ κατὰ γαμικὸν δίκαιον αὐτοῖς συναπτομένοις, μισθώσεις ἢ ἐμφυτεύσεις ἢ ἀγορασίας ἢ ὑποθήκας πραγμάτων ἀκινήτων τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων ὑπεισιέναι, ἢ δι᾽ ἑαυτῶν ἢ διὰ παρενθέτου προσώπου, καθὰ καὶ [τοῖς ἐν] τῇ βασιλίδι πόλει οὖσιν, ἐπὶ ταῖς αὐταῖς ποιναῖς ἀπαγορεύομεν.

8. Ἀνάγν. καὶ βι. κ' τί. β' κεφ. δ' καὶ ε', ἐν ᾧ φησιν· Εἰδέναι δὲ τοὺς ἐμφυτευτὰς προσήκει, ὡς εἴπερ ἐπὶ διετίαν ἐφεξῆς μὴ

---

[1] Leuncl. addi vult μοναστηρίων. Rectius Basil. addunt οἴκων. [2] Leuncl. ἐπαγαγεῖν.

καταθεῖεν τὸν ἐμφυτευτικὸν κανόνα (τοῦτον γὰρ τὸν χρόνον ἀντὶ τῆς ἐπὶ τῶν ἄλλων ἀνθρώπων τριετίας ἀρκεῖν εἰς ἔκπτωσιν τῶν ἐκκλησιαστικῶν ἢ πτωχικῶν ἐμφυτεύσεων ἐξ ἀγνωμοσύνης τίθεμεν), γενήσεται[1] παντοίως ἔξω τοῦ ἐμφυτεύματος, καὶ βουλομένοις τοῖς προεστῶσι τῶν εὐαγῶν οἴκων ἐξέσται τῶν χωρίων ἢ τῶν οἴκων ἀντιλαμβάνεσθαι, μηδεμίαν εὐλαβουμένοις ἐμπονημάτων ἀπόδοσιν. ἀλλ᾽ εἴπερ χεῖρον πεποίηκε τὸ χωρίον ἢ τὸ προάστειον ἢ τὴν οἰκίαν ὁ τὴν ἐμφύτευσιν δεξάμενος, ἀναγκάζεσθαι αὐτὸν οἴκοθεν τὴν ἐπιμέλειαν καὶ ἀποκατάστασιν τῆς ὄψεως ποιεῖσθαι, καὶ ὑποκεῖσθαι τοῦτον[2] αὐτόν τε καὶ κληρονόμους αὐτοῦ καὶ διαδόχους καὶ τὰ αὐτῶν πράγματα πρὸς τὸ καὶ τὴν ὀφειλομένην πᾶσαν πρόσοδον ἀνυπερθέτως εἰσπράττεσθαι[d].

XII.

Περὶ ἐκλήψεων καὶ ἐκποιήσεων τῶν κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ ἐμφύτευσιν ἢ ἐκμίσθωσιν ἢ καθ᾽ ἕτερον τρόπον γινομένων ἀπό τε τοῦ δημοσίου καὶ τῆς πόλεως καὶ τῶν πατριμονιαλίων ἤτοι ἰδιοκτήτων τοῦ βασιλέως καὶ ταμιακῶν.

1. Ἀνάγν. βι. ιε΄ τί. γ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Οἱ διηνεκῶς μισθούμενοι παρὰ πόλεως ἀγροί, ὥστε μὴ ἀφαιρεθῆναι τῶν λαβόντων ἢ τῶν ὑπεισιόντων τὸν τόπον αὐτῶν, ἐφ᾽ ὅσον τὸ τέλος δίδοται, ἐμφυτευτικοὶ καλοῦνται.

Καὶ ἔχουσιν οἱ λαβόντες αὐτοὺς ἐπ᾽ αὐτοῖς ἀγωγὴν κατὰ παντὸς νομέως καὶ τῆς πόλεως, κἂν εἰ μὴ δεσπόζωσιν, ἐὰν μέντοι τὸ τέλος καταβάλλωσιν.

2. [Ἀνάγν. καὶ βι. ν΄ τί. ιγ΄, ὅστις προείρηται ἐν τῷ περὶ δεσποτείας.][3]

3. Ἀνάγν. καὶ βι. νε΄ τί. ιβ΄ κεφ. β΄ καὶ τί. ιγ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Οἱ[4] τὰ πατριμονιάλια ὠνούμενοι καὶ τὰ ἱερατικὰ χωρία, τιμὰς δεδωκότες, ἀναφαίρετον ἐχέτωσαν τὴν δεσποτείαν αὐτῶν.

4. Ἐάν τινες ἢ κατὰ δωρεὰν ἢ κατὰ πρᾶσιν ἢ καθ᾽ ἕτερον τρόπον οἴκους ἢ ἐργαστήρια πολιτικὰ ἔλαβον, καὶ μάλιστα

---

d Ἀνάγν.[5] καὶ νεαρὰν ζ΄ καὶ μ΄ καὶ μς΄ νδ΄ καὶ νε΄ καὶ ξζ΄ κεφ. γ΄ καὶ νεαρὰν ρκ΄. ἐν δὲ τῇ νδ΄ νεαρᾷ φησι περὶ τοῦ ἀνταλλάττειν.

---

[1] Leuncl. γενήσονται. [2] Leuncl. τούτῳ. [3] Hoc caput Leuncl. habet, in Lips. deest. [4] Leuncl. Ὅτι. [5] Hoc scholium in Lips. non extat.

κωνσταντινουπόλεως ἢ ἀγωνοθετικὰ ἀπὸ τῆς ὑπατείας αὐσονίου καὶ ὀλυβρίου[1], ἀφαιρέσει τοῦ κανόνος, παρεχέτωσαν τοῦ λοιποῦ τὸν ἐπικείμενον αὐτοῖς ἐξαρχῆς κανόνα. εἰ γὰρ τοὺς ἰδιώτας οὐ βουλόμεθα στερεῖσθαι, πολλῷ μᾶλλον τὰς πόλεις. καὶ ἐχέτωσαν βεβαίαν ἐπ᾽ αὐτοῖς δεσποτείαν.

5. Ἀνάγν. καὶ τί. ιδ´ κεφ. α´ καὶ βι. νγ´[2] τί. α´ κεφ. θ´ θέμ. δ´, ἐν ᾧ φησιν· Οἱ εἰς τὸ διηνεκὲς μισθωθέντες δημόσιοι ἀγροὶ χωρὶς κελεύσεως βασιλικῆς οὐκ ἀφαιροῦνται.

6. Ἀνάγν. καὶ τί. ιδ´, οὗτινος ἐν τῷ ζ´ κεφ. φησίν· Εἴ τις δήποτε ἰδιόκτητον τοῦ βασιλέως ἀγρὸν ἄπορον λαβὼν ἐφιλοκάλησεν, ἐχέτω τοῦτον διηνεκῶς ὡς ἰδιωτικὸν παρέχων τὸ τέλος, καὶ παραπεμπέτω αὐτὸν καὶ εἰς διαδόχους. εἰ δὲ εὐθαλῆ ἔλαβεν ἢ νῦν λάβῃ, ἐπιγνώσεται καὶ ἄπορα· εἰ δὲ μέσον, κατ᾽ ἀναλογίαν ἐπιγινωσκέτω. μετὰ διετίαν δὲ τελείτω τὶς ὑπὲρ τῶν ἀπόρων, μηδενὸς ἐξῃρημένου προσχήματι ἀξίας ἢ δυναστείας. πρῶτον δὲ εἰς τὰ γειτνιῶντα καὶ ὅμορα ἐπικλάσθω τὸ ἄπορον. εἰ δὲ μή ἐστι γειτνιάζων[3], τότε καὶ τοῖς πόῤῥω ἐπιφερέσθω ἡ συντέλεια.

7. Ἐν δὲ τῷ ι´ κεφ. Ὅστις δήποτε ἀπὸ τοῦ δημοσίου εἰς ἐμφύτευσιν ἀγρὸν λάβῃ, οὐ δύναται ἀποβαλέσθαι αὐτὸν προφάσει τοῦ ἔρημον εἶναι, οὐδὲ ἀπὸ θείου γράμματος. ἀλλ᾽ οὐδὲ ἀποσπᾶσθαι δύναται ἀπ᾽ αὐτοῦ, οὐδὲ εἰ ὑπερθεματισμὸς γένηται, ἀλλὰ διηνεκῶς παρ᾽ αὐτῷ μένει καὶ τῇ ἀπογονῇ αὐτοῦ.

8. Ἀνάγν. καὶ τί. ιε´, οὗτινος ἐν τῷ α´ κεφ. φησίν· Οἱ ἀγοράσαντες παρὰ τοῦ δημοσίου κτήματα ἰσχυρῶς ἐχέτωσαν αὐτὰ, μὴ δεδιότες ἐξ ἡμῶν ἀφαίρεσιν αὐτῶν. ἀλλὰ καὶ εἰς παῖδας ἰσχυρῶς παραπεμπέτωσαν.

9. Ἐν δὲ τῷ ε´ κεφ. Μηδεὶς χωρὶς κανόνος δεσποτικὸν κτῆμα ἀγοράσῃ, ἐπεὶ καὶ τὰ τιμήματα ἀπόλλυσι, καὶ τὸ χωρίον ἀποσπᾶται, καὶ οὐδὲ ἅπερ ἐδαπάνησεν ἢ ἐπεβελτίωσε λαμβάνει[4] ἢ συλλογίσεται εἰς τοὺς καρποὺς οὓς ἀπαιτεῖται, οὐδὲ χρόνου παραγραφὴν ἕξει· ἀλλὰ καὶ οἱ παλατινοὶ ταύτῃ συμπράξαντες τῇ ὠνῇ πεντήκοντα λίτρας παράσχωσι, μηδεμιᾶς φιλοτιμίας ἰσχυούσης πρὸς ταῦτα.

---

[1] Lips. ἀρσενείου καὶ ὀλυμβρίου. [2] Lege νς´. Est ex libro LVI tit. 1 Basil. et respondet l. 11 § 1 D. XXXIX, 4. — Leuncl.: Ἀνάγν. καὶ τί. α´ κτλ. et ad marginem allegat: l. 4 C. de fund. patrim. Unde in errorem perductus Heimbachius hunc locum restituit lib. LVI tit. 14. [3] Heimb. legi vult γειτνιάζον scil. χωρίον. [4] Leuncl. λήψεται.

XIII.

Περὶ ἐκτρωσάσης ἐπίτηδες εἴτε ἐπὶ χρήμασιν εἴτε διὰ μῖσος τοῦ ἀνδρός.

1. *Ἀνάγν. βι. ξ´ τί. κβ´ κεφ. δ´, ἐν ᾧ φησιν·* Ἡ ἐπίτηδες ἐκτρώσασα τυπτομένη ἐξορίζεται.

2. *Ἀνάγν. καὶ τί. να´ κεφ. λε´, ἐν ᾧ φησιν·* Ἡ ἐπὶ χρήμασιν ἐκτρώσασα κεφαλικῶς τιμωρεῖται. ἡ δὲ μετὰ τὸ διαζύγιον πρὸς μῖσος τοῦ ἀνδρὸς τοῦτο ποιήσασα προσκαίρως ἐξορίζεται.

XIV.

Περὶ ἐλευθεριῶν[a], *καὶ ὅτι κατὰ ἐλευθερίας οὐκ ἔστιν ἀποκατάστασις*[b], *εἰ μὴ κελεύσει βασιλέως ἀπὸ μεγάλης αἰτίας, ἁρμόζει δὲ ἡ περὶ δόλου ἀγωγή.*

1. *Ἀνάγν. βι. ι´ τί. δ´ κεφ. ι´ θέμ. β´, ἐν ᾧ φησι·* Κατὰ ἐλευθερίας οὐκ ἔστιν ἀποκατάστασις,
Εἰ μὴ κελεύσει βασιλέως ἀπὸ μεγάλης αἰτίας.
Ἁρμόζει οὖν ἡ περὶ δόλου ἀγωγή[c].

2. *Ἀνάγν. καὶ τί. ιγ´ κεφ. δ´, ἐν ᾧ φησι·* Παλαιὸν νόμιμον ἡ διάταξις λέγει, ὅτι τὴν ἐξενεχθεῖσαν ὑπὲρ ἐλευθερίας ἀπόφασιν οὐδὲ τὸ προνόμιον τῆς ἐλάττονος ἡλικίας δύναται ἀνατρέψαι.

3. *Ἀνάγν. καὶ βι. ιζ´ τί. α´ κεφ. μβ´ θέμ. γ´. ἀνάγν. καὶ τί. β´ κεφ. κα´ καὶ βι. ιη´ τί. ε´ κεφ. μγ´, ἐν ᾧ φησι·* Τῷ ἐλευθερουμένῳ ἕπεται τὸ πεκούλιον, εἰ μὴ ἀφαιρεθῇ. ἐνάγειν δὲ τοῖς χρεώσταις οὐ δύναται, εἰ μὴ ἐνταλθῇ τὰς κατ᾽ αὐτῶν ἀγωγάς.

4. *Ἀνάγν. καὶ βι. λε´ τί. ιγ´ κεφ. λθ´, ἐν ᾧ φησιν·* Ἡ διάταξις λέγει, ὅτι αὐτῷ τῷ γραφῆναι κληρονόμος ὁ δοῦλος, εἰ καὶ μὴ προσετέθη αὐτῷ ἡ ἐλευθερία, σιωπηρῶς αὐτὴν ἔχει.

---

[a] *Ὁ τῆς ἐλευθερίας ὅρος εἴρηται ἐν τῷ περὶ ἀνθρώπων.*

[b] *Ἐν ζωῇ δηλαδή. ἐν διαθήκῃ δέ, ἡνίκα πληρώσει ὁ μὲν ἄῤῥην τὰ ιδ´ ἔτη, ἡ δὲ θήλεια τὰ ιβ´. ταῦτα νόει εἰ μὴ δείκνυσιν ἀχάριστον τὸν ἐλευθερωθέντα· ἐπείτοιγε ἀνατρέπεται ἡ ἐλευθερία.*

[c] *Εἰ καὶ κατὰ ἐλευθερίας οὐκ ἔστιν ἀποκατάστασις, εἰ μὴ κελεύσει βασιλέως ἀπὸ μεγάλης αἰτίας, οἷον ἐὰν διοικητὴς ἦν ὁ δοῦλος, ὃν ἐλάττων ἤτοι ἀφῆλιξ ἠλευθέρωσε, πᾶσαν τὴν οὐσίαν αὐτοῦ σαλεῦσαι δυνάμενον· ἀλλὰ κατὰ τοῦ ἐλευθερωθέντος δίδοται ἡ περὶ δόλου ἀγωγή, εἴγε δόλῳ καταπείσας τὸν νέον ἠλευθερώθη παρ᾽ αὐτοῦ. εἰ δὲ οἴκοθεν κινηθεὶς ὁ νέος ἠλευθέρωσεν αὐτόν, δίδοται κατὰ τοῦ ἐλευθερωθέντος ἴμφακτος ἀγωγή, καὶ διὰ μιᾶς τῶν αὐτῶν ἀγωγῶν ἀπαιτεῖ ὁ ἀφῆλιξ τὸ διαφέρον αὐτῷ, τουτέστιν ὅ τι ἔμελλεν ἔχειν, εἰ μὴ τὸν οἰκέτην ἠλευθέρωσεν.*

5. Καὶ κεφ. μ', ἐν ᾧ φησι· Διατιθέμενός τις ἄνηβον ἑαυτοῦ υἱὸν κληρονόμον ἔγραψε, καὶ δοῦλον ἴδιον ἐλεγάτευσε· τὸν δὲ αὐτὸν δοῦλον ὑποκατέστησε δίχα ἐλευθερίας τῷ υἱῷ. λέγει οὖν ἡ διάταξις, ὅτι οὗτος γραφεὶς ἐν τῇ ὑποκαταστάσει κληρονόμος καὶ τὴν ἐλευθερίαν ἔδοξεν εἰληφέναι, καὶ διὰ τοῦτο ὡς ἐλπίζων αἱρετικὴν ἐλευθερίαν ὑπὸ αἵρεσιν τὴν, ἐὰν ἄνηβος ὁ ὀρφανὸς τελευτήσῃ, οὐ δίδοται τῷ λεγαταρίῳ, ἀλλὰ περιμένομεν. καὶ εἰ μὲν ἡβήσει ὁ ἄνηβος καὶ ἀσθενήσει ἡ ὑποκατάστασις, τότε παρέχομεν αὐτὸν τῷ λεγαταρίῳ· ἐὰν δὲ ὁ ἄνηβος τελευτήσει, γίνεται ἐκ τῆς ὑποκαταστάσεως ἐλεύθερος καὶ κληρονόμος. ὅτε γὰρ ὁ δοῦλος ἐλευθερωθεὶς ἐν τῇ ἐνστάσει σὺν ἐλευθερίᾳ ὑποκατεστάθη τῷ ἀνήβῳ[1], ἀεὶ δοκεῖ σὺν ἐλευθερίᾳ γράφεσθαι κληρονόμος. καὶ κεφ. μα'[d].

XV.

Περὶ ἐλευθερούντων τε καὶ ἐλευθερουμένων, καὶ τίνες δύνανται ἐλευθεροῦν ἢ ἐλευθεροῦσθαι, καὶ τίνες κωλύονται· καὶ περὶ ἐλευθεριῶν φιδεϊκομισσαρίων τε καὶ ὀρθῶν, καὶ ὑπὸ αἵρεσιν καὶ ἡμέραν καὶ αἰτίαν[a].

1. Ἀνάγν. βι. μη' [τί. α'], οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ἐπιβὰς τῆς τελευταίας ἡμέρας τοῦ κ' ἐνιαυτοῦ καλῶς ἐλευθεροῖ.

2. Ἐν δὲ τῷ γ' κεφ. Ὃν ἠνεχύρασα δοῦλον οὐ καλῶς ἐλευθερῶ.

3. Ἐν δὲ τῷ δ' κεφ. Ὁ ἰδίοις νούμμοις ἀγορασθεὶς[2] ἐλευθερούσθω, εἴ[τε] αὐτὸς ὑπὲρ ἑαυτοῦ δέδωκεν ὁθενδήποτε, εἴτε ἄλλος ὑπὲρ αὐτοῦ δώσει ἢ ἐπερωτηθῇ. ἀρκεῖ γὰρ τὸ τὸν ἀγοραστὴν μὴ δοῦναι.

4. Ἐν δὲ τῷ ις' κεφ. Συναινέσει τοῦ πατρὸς καὶ ἧττων τῶν κ' ἐνιαυτῶν καλῶς ἐλευθεροῖ, καὶ ποιεῖ ἀπελεύθερον τῷ πατρί.

---

d Ζήτει[3] βί. μη' τί. κδ' κεφ. δ'. φησὶ γάρ· ἡ διάταξις λέγει τὸ νόμιμον τὸ κείμενον καὶ ἐν τοῖς ἰνστιτούτοις, ὅτι ὁ μὲν παρά τινος ζῶντος ἐλευθερωθεὶς, εἰ μὴ φανερωθὲν τὸ πεκούλιόν ἐστιν[4], ἔχει αὐτὸ σιωπηρῶς· ὁ δὲ ἐλευθερωθεὶς παρά τινος ἐν διαθήκῃ, εἰ μὴ ἰδικῶς δοθῇ αὐτῷ τὸ πεκούλιον, οὐκ ἔχει αὐτὸ, ἀλλὰ παρὰ τῷ κληρονόμῳ μένει.

a Ἀνάγν. καὶ τὸν περὶ ἀνθρώπων, καὶ εὑρήσεις τὸν ὅρον τῆς ἐλευθερίας.

---

1 Haec corrupta sunt, et forte ad c. ult. Basil. XXXV, 13 pertinent
2 Lips. ἀγοραστής. 3 Hunc locum Leuncl. textui subjicit. Lips. non habet.
4 Basil. rectius: εἰ μὴ ἀφαιρεθῇ τὸ πεκ. αὐτοῦ.

5. Ἐν δὲ τῷ κγ' κεφ. Τὸν προικιμαῖον δοῦλον καὶ συνεστῶτος τοῦ γάμου καλῶς ἐλευθεροῖ ὁ ἀνὴρ, εἰ μὴ ἄπορος ᾖ, κἂν δανειστὰς μὴ ἔχει.

6. Ἐν δὲ τῷ β' τί. κεφ. δ'· Ὁ ἥττων τῶν κ' ἐτῶν οὔτε ἐπίκοινον δοῦλον δύναται ἄνευ αἰτίας εὐλόγου ἐν ζωῇ ἐλευθεροῦν.

7. Ἐν δὲ τῷ ια' κεφ. Ὁ ἥττων τῶν κ' ἐτῶν ἐν ζωῇ ἐλευθερῶν εὔλογον αἰτίαν δεικνύτω, οἷον υἱὸν ἢ θυγατέρα ἐλευθερῶν, ἢ ἀδελφὸν ἢ ἀδελφὴν ἢ ἄλλον συγγενῆ[b].

8. Ἐν δὲ τῷ ιη' κεφ. Ὕπατος κἂν ἥττων ᾖ τῶν κ' ἐτῶν, ἐλευθεροῖ παρ' ἑαυτῷ.

9. Ἐν δὲ τῷ γ' τί. κεφ. κς'· Κἂν μερικῶς κληρονομηθῇ κλῆρος, ἁρμόζει ἡ ἐλευθερία, εἴπερ ἐξ αὐτοῦ τοῦ βαθμοῦ, ἐξ οὗ χωρὶς αἱρέσεως κατελείφθη, γέγονεν ἡ ὑπεισέλευσις.

10. Ἐν δὲ τῷ νζ' κεφ. Ὁ ὀρθὴν[c] ἐλευθερίαν λαβὼν, κἂν ὑφείλετό τινα μετὰ τελευτὴν τοῦ δεσπότου, ἐλεύθερος γίνεται. ἐνάγεται δὲ περὶ ὧν ὑφείλετο.

11. Ἐν δὲ τῷ ξβ' κεφ. Οἱ παῖδες τοῦ ἐλευθερωθέντος ἐν διαθήκῃ οὐ καλῶς ἐνάγονται περὶ τῶν λόγων οἷς ἐχείρισεν ὁ πατὴρ αὐτῶν ἔτι δοῦλος ὢν, ἐὰν μὴ ἐπὶ τοιούτῳ ὅρῳ ἠλευθερώθη ἐπὶ τῷ παρασχεῖν τοὺς λόγους.

12. Ἐν δὲ τῷ ξε' κεφ. Ἐὰν μήτηρ τινὸς κελεύσῃ δοῦλον μὴ ἐλευθερωθῆναι, οὐκ ὀφείλει ἐκεῖνος ἐλευθερῶσαι αὐτὸν, ἵνα μὴ δόξῃ τὴν εὐσέβειαν τὴν τῇ μητρὶ κεχρεωστημένην παραβαίνειν.

13. Ἐν δὲ τῷ ξζ' κεφ. Ἐὰν διαθήκη ἀνυπόστατος γένηται, οὐ λέγομεν ἰσχύειν οὐδὲ τὰς ἐν αὐτῇ ἐλευθερίας, εἰ μὴ ἄρα γέγραπται, ὥστε καὶ ἀντὶ κωδικέλλων αὐτὴν ἰσχύειν.

14. Ἐν δὲ τῷ δ' τί. κεφ. κ'· Τὸ εἰπεῖν, πέτρον ἄλλου δουλείας μὴ πειρασθῆναι[1], φιδεϊκομισσαρία[d] ἐστὶν ἐλευθερία μετὰ θάνατον τοῦ κληρονόμου.

15. Ἐν δὲ τῷ κγ' κεφ. Ἡ ἐλευθερία προκαλύμματι τοῦ κλαπῆναι κληρονομιαῖα ἢ λογισμοὺς μὴ δοθῆναι οὐχ ὑπερτίθεται.

16. Ἐν δὲ τῷ κε' κεφ. Τὸ λεγατευθέν σοι ἐφ' ᾧ ἐλευθερῶσαι δοῦλόν σου ἐπιγνοὺς ἀναγκάζῃ ἐλευθερῶσαι, κἂν ἧττόν ἐστι.

---

b Ἀνάγν. καὶ βι. ιθ' τί. ζ' κεφ. δ', ὃ προείρηται ἐν τῷ περὶ ἀφηλίκων.
c Ἤγουν ἀπευτεῦθεν ἤδη.
d Ὑπὸ ὅρον ἢ ὑπὸ αἵρεσιν.

---

1 Bas. πειραθῆναι.

Τὸ αὐτὸ καὶ ἐπὶ κληρονόμου. εἰ δὲ ἀλλότριός ἐστιν ὁ δοῦλος, καὶ ἢ τὸ λεγάτον ηὐξύνθη[1] ἀπὸ τόκων ἢ ἄλλης[2] αἰτίας, ἢ ἡ τιμὴ τοῦ δούλου ἠλαττώθη, δεῖ σε ἀγοράσαι καὶ ἐλευθερῶσαι.

17. Ἐν δὲ τῷ κη′ κεφ. θέμ. ζ′· Καὶ ἀπὸ ἀχρήστων κωδικέλλων δίδοται ἐλευθερία, ἐὰν ὁ κληρονόμος παράσχῃ τινὰ τῶν ἐν αὐτοῖς ἐμφερομένων.

18. Ἐν δὲ τῷ λ′ κεφ. Οὐκ ἀναγκάζεταί τις πωλῆσαι τὸν δοῦλον αὑτοῦ, ὃν ἠξίωσεν ἄλλος τελευτῶν ἐλευθερωθῆναι, κἂν πλείονα τῆς ἀξίας τιμὴν ζητῇ. εἰ δὲ ὁ κληρονόμος ἄμετρον λέγει τὴν τιμὴν, δεῖ τὸν ἄρχοντα τοῦτο σκοπεῖν.

19. Ἐν δὲ τῷ λγ′ κεφ. Ὁ δεξάμενος κλῆρον ἢ λεγάτον ἀναγκάζεται ὃν ἐκελεύσθη ἴδιον δοῦλον ἐλευθερῶσαι, κἂν χρειώδης ἐστὶν ἢ ἄξιος τιμωρίας.

20. Ἐν δὲ τῷ λϛ′ κεφ. Ἐν ἀτελεῖ διαθήκῃ ἐλευθερίαν καὶ λεγάτα τῇ θρεπτῇ μου κατέλειψα. εἰ ἐξ ἀδιαθέτου πραχθείη τὰ ἐν τῇ διαθήκῃ, καὶ ταῦτα ἁρμόζουσιν.

21. Ἐν δὲ τῷ μα′ κεφ. Εἰ δήσω[3] τὸν δοῦλον ᾧ κατέλιπον ἐλευθερίαν, οὐ δοθήσεται αὐτῷ.

22. Ἐν δὲ τῷ μθ′ κεφ. Εἰ λεγατεύσω σοι χρυσίον ἐφ᾽ ᾧ ἀγοράσαι πέτρον καὶ ἐλευθερῶσαι, εἰ μὴ πιπράσκεται, αὐτὸς κερδαίνεις τὸ λεγάτον.

23. Ἐν δὲ τῷ ε′ τί. κεφ. γ′ θέμ. ζ′· Εἰ κλέψας πράγματα συναγάγῃ νούμμους καὶ δώσει, ἐλευθεροῦται· οὐ μὴν εἴγε αὐτοὺς τοὺς νούμμους κλέψει καὶ δώσει. οὐ γὰρ δίδωσιν, ἀλλ᾽ ἀποδίδωσιν. εἰ καὶ δι᾽ ἄλλου ἔκλεψε καὶ δώσει, οὐκ ἐλευθεροῦται· ἀφαιρεῖται γὰρ τὰ δοθέντα.

24. Ἐν δὲ τῷ ιγ′ κεφ. Εἰ τὸν ὑπὸ αἵρεσιν ἐλευθερωθῆναι[4] κελευσθέντα αὐτῷ δουλεῦσαι πωλήσει ὁ κληρονόμος καὶ παραδώσει, παραχρῆμα ἐλευθεροῦται.

25. Ἐν δὲ τῷ δ′ κεφ. θέμ. ε′· Εἰ κελευσθῇ τις ἐνιαυτὸν δουλεῦσαι, συναπτός ἐστι τξε′ ἡμερῶν, κἂν ἔν τισιν ἡμέραις ἀῤῥωστήσῃ ἢ ἐμποδισθῇ δουλεῦσαι, ἐλευθεροῦται μετὰ ἐνιαυτόν.

Καὶ ὁ κατὰ μέρος δὲ δοὺς ἃ ἐκελεύσθη δοῦναι, ἐλευθεροῦται.

26. Ἐν δὲ τῷ ε′ κεφ. θέμ. β′· Ὁ κελευσθεὶς ἐπὶ ἐνιαυτὸν

[1] Leuncl. et Bas. ηὐξήθη. [2] Bas. ἑτέρας. [3] Lips. δώσω. [4] Leuncl. in marg. conj. ἐλευθερωθησόμενον. Heimb. conj. ἐλευθερωθέντα.

δουλεῦσαι, εἰ φύγοι μεταξὺ ἢ δικάσεται ὡς ἐλεύθερος, οὐ τρέχει αὐτῷ ὁ καιρὸς ἐκεῖνος.

27. Ἐν δὲ τῷ ιη΄ κεφ. Ὁ κωλυθεὶς[1] ἀπὸ τοῦ κληρονόμου πληρῶσαι τὴν αἵρεσιν ἐλευθεροῦται.

28. Ἐν δὲ τῷ κβ΄ κεφ. Πιπράσκεσθαι μὲν ὁ ὑπὸ αἵρεσιν ἐλευθερωθῆναι ὁρισθεὶς δύναται, οὐκ ἐπὶ χείρονι δὲ αἱρέσει, οἷον ἵνα ἐν τῷδε τῷ τόπῳ μὴ δουλεύσῃ, ἢ μηδέποτε ἐλευθερωθῇ.

29. Ἐν δὲ τῷ κε΄ κεφ. [θέμ. γ΄]· Οἱ ὑπὸ αἵρεσιν ἐλευθερωθῆναι ὁρισθέντες καὶ πταίοντες καὶ συναλλάττοντες καὶ ἐν τοῖς ἄλλοις ἐγκλήμασι τὰ αὐτὰ τοῖς ἄλλοις δούλοις ὑφίστανται.

30. Ἐν δὲ τῷ ζ΄ τί. κεφ. ιε΄· Ὁ περὶ καθοσιώσεως ἐγκαλούμενος, ἀφ᾽ οὗ σχῇ γνώμην τοῦ ἁμαρτήματος, οὐ δύναται ἐλευθεροῦν.

31. Ἐν δὲ τῷ η΄[2] τί. κεφ. κθ΄· Οὔτε ὑφαιρεῖσθαι δεῖ κληρονομιαῖα τὸν ἐλευθερίᾳ τιμηθέντα, οὔτε ὑπερτίθεσθαι τὴν ἐλευθερίαν διὰ τὴν κλοπήν.

32. Ἐν δὲ τῷ θ΄ καὶ ι΄ τί. περὶ τῶν εἰς ἐλευθερίαν ἢ εἰς εὐγένειαν ἀναφωνούντων διαλαμβάνεται, καὶ προείρηται περὶ αὐτοῦ.

33. Ἐν δὲ τῷ ια΄ τί. κεφ. γ΄ φησίν· Εἰ ὁ πατὴρ ἢ ἡ μήτηρ μου πρὸ πέντε ἐτῶν ἐτελεύτησαν μὴ ἐναχθέντες περὶ τύχης, οὐδὲ ἐγὼ ἐνάγομαι.

34. Ἐν δὲ τῷ ιβ΄ τί. διαλαμβάνει περὶ δούλου κατὰ συμπαιγνίαν τοῦ δεσπότου ἐλευθέρου κριθέντος[3].

35. Ἐν δὲ τῷ ιγ΄ τί. κεφ. α΄· Ἐάν τις λεγατευθῇ τινι ἐν κωδικέλλοις καὶ ἐλευθερωθῇ παρ᾽ αὐτοῦ, μετὰ ταῦτα δὲ πλαστοὶ φανῶσιν οἱ κωδίκελλοι, ἡ μὲν ἐλευθερία ἡ ἅπαξ δοθεῖσα[4] αὐτῷ οὐκ ἀνατρέπεται, δύναται δὲ ὁ κληρονόμος ἀπαιτῆσαι αὐτὸν[5] τὰ τοῦ τιμήματος αὐτοῦ εἴκοσι νομίσματα.

36. Ἐν δὲ τῷ β΄ κεφ. Ἐὰν ὑπὸ αἵρεσιν καταλειφθῇ ἡ ἐλευθερία γυναικὶ, καὶ τέκῃ ἐκείνη τῆς αἱρέσεως ἠρτημένης, δοῦλος γεννᾶται· ἐὰν δὲ μετὰ ὑπέρθεσιν γεννήσῃ, ἐλευθέρους τίκτει.

37. Ὁ καταλειφθείς τινι καὶ παρ᾽ αὐτοῦ ἐλευθερωθῆναι ὁρισθεὶς κατὰ φιδεϊκόμισσον[e], ἐλευθερωθεὶς τοῦ ἐλευθερώσαντος γίνεται ἀπελεύθερος.

---

[e] Ὑπὸ ὅρον.

[1] Lips. κελευσθείς. [2] Lips. ιη΄. [3] Leuncl. κληθέντος. [4] Lips. σωθεῖσα. [5] Idem αὐτῷ.

38. Ἐν δὲ τῷ γ' κεφ. Ἐάν τις τελευτῶν ἀξιώσῃ τὸν κληρονόμον ἕνα ἐκ τῶν παίδων τῆσδε τῆς δούλης ἐλευθερῶσαι, ὃν ἐὰν ἐπιλέξηται ἐκεῖνος, καὶ τελευτήσῃ μηδένα ἐπιλεξάμενος, πάντες ἅμα γίνονται ἐλεύθεροι.

39. Ἐν δὲ τῷ ιδ' τί. κεφ. α'· Οἱ ὁπωσδήποτε νομίμως ἐλευθερούμενοι ῥωμαῖοι νοοῦνται.

40. Ἐν δὲ τῷ ιε' τί. κεφ. γ'· Ἡ γενικὴ ὑποθήκη οὐκ ἐμποδίζει. οὐ δύναται δέ τις τὸν ἰδικῶς ὑποτεθέντα δοῦλον ἐλευθερῶσαι.

41. Ἐν[1] δὲ τῷ ις' τί. κεφ. ε'· Ὁ δωρησάμενος ἀνδράποδον οὐκέτι δύναται αὐτὸ ἐλευθερῶσαι.

42. Ἐν δὲ τῷ ζ' κεφ. Ἐὰν ὁ μὴ ὢν δεσπότης τὸν ἀλλότριον δοῦλον ἐλευθερώσῃ παρὰ τῷ ἄρχοντι, δύναται ὁ δεσπότης ἀνατρέψαι τὴν ἐλευθερίαν αὐτοῦ, μηδὲν ζημιουμένου τοῦ ἐλευθερώσαντος. ἐὰν δὲ ἐπὶ τοῦ βασιλέως αὐτὸν ἐλευθερώσῃ, τότε ἐκεῖνος μὲν ἕλκει τὸν οἰκέτην εἰς δουλείαν, ἀναγκάζεται δὲ οὗτος παρασχεῖν ἑτέρους δύο οἰκέτας τῷ ἐλευθερωθέντι ὁμοίους κατὰ ἡλικίαν καὶ κατὰ φύσιν καὶ κατὰ τρόπον καὶ κατὰ τέχνην, καὶ ἄλλους τρεῖς πάλιν ὁμοίους τῷ δημοσίῳ.

43. Ἐν δὲ τῷ κ' τί. κεφ. κ' φησίν· Ἐὰν ἅπαξ ὁ δεσπότης ἐλευθερώσῃ τὸν δοῦλον, οὐκέτι δύναται τὴν ἐλευθερίαν αὐτοῦ ἀνατρέψαι.

44. Ἐν δὲ τῷ κς' τί. κεφ. β'· Θεσπίζομεν ἄδειαν εἶναι τοῖς νέοις ἐν αὐτῷ τῷ καιρῷ, ἐν ᾧπερ ἔξεστιν αὐτοῖς διατίθεσθαι περὶ τῆς ἄλλης αὐτῶν περιουσίας, καὶ τοὺς ἰδίους οἰκέτας τελευταίαις βουλήσεσιν ἐλευθεροῦν, μηδένα τούτοις ἐμποδισμὸν τῆς ἡλικίας ποιούσης, ἀλλὰ σχολάζοντος τοῦ νόμου τοῦ πρῴην κωλύοντος.

XVI.

Περὶ τῶν ἐλευθερουμένων ἐξ αἰτιῶν εὐλόγων, καὶ τῶν λαμβανόντων τὴν ἐλευθερίαν ὡς ἀντιμισθίαν καὶ ἔπαθλον.

1. Ἀνάγν. βι. μη' τί. β' κεφ. ζ', ἐν ᾧ φησι· Τὸ ῥύσασθαι δεσπότην θανάτου ἢ ἀτιμίας αἰτία ἐλευθερίας ἐστί.

2. Καὶ κεφ. ιδ' θέμ. β'· Τὸ ἐκ πολεμίων ἢ λῃστῶν ἢ νόσου ἢ ἐπιβουλῆς σῶσαι δεσπότην εὔλογος αἰτία ἐστίν.

3. Ἀνάγν. καὶ τί. ς' κεφ. β', ἐν ᾧ φησιν· Ὁ ἀπρονόητος ἐλευθεροῦται.

---

[1] Leuncl. hoc caput non praestat.

4. Καὶ κεφ. δʹ, ἐν ᾧ φησιν· Ὁ τὸν θάνατον ἐλέγξας τοῦ δεσπότου, καὶ διὰ τοῦτο ἐλευθερωθεὶς, ὅρκινός[a] ἐστιν ἀπελεύθερος.

5. Ἀνάγν. καὶ τί. ιηʹ, οὗτινος ἐν τῷ αʹ κεφ. φησίν· Ὁ δοῦλος καταμηνύσας τὴν σφαγὴν τοῦ δεσπότου ἐλεύθερος γίνεται, ὡς ἀντὶ ἐπάθλων τῆς μηνύσεως παρεχομένης αὐτῷ τῆς ἐλευθερίας, τοῦ ἄρχοντος ἀποφαινομένου ἐλεύθερον αὐτὸν εἶναι.

6. Ἐν δὲ τῷ βʹ κεφ. Οἱ δοῦλοι οἱ τοὺς τὴν πλαστὴν μονήταν ποιοῦντας ἀπελέγχοντες ἐλεύθεροι γίνονται.

7. Ἐν δὲ τῷ γʹ κεφ. Ἐὰν δοῦλος ἁρπαγὴν παρθένου καταμηνύσῃ, ἐλεύθερος γινέσθω, ἢ ἐὰν τὴν ἤδη συγχωρηθεῖσαν ἀπελέγξῃ.

8. Καὶ[1] ὁ τὸν λειποτακτήσαντα στρατιώτην καταμηνύων ἐλευθεροῦται[b].

9. Ἀνάγν. καὶ τί. ιθʹ κεφ. βʹ, ἐν ᾧ φησιν· Ἐάν τις δούλην σχῇ ἐν τῇ ἰδίᾳ συναφείᾳ, μὴ ἔχων γαμετὴν, καὶ μείνῃ μετ᾽ αὐτῆς μέχρι τελευτῆς, εἴτε ἔχων παῖδας ἐξ αὐτῆς εἴτε μὴ, καὶ μηδὲν εἴπῃ περὶ αὐτῆς ἐν τῇ διαθήκῃ, γίνεται ἐκείνη ἐλευθέρα.

10. Ἀνάγν. καὶ τί. κδʹ, οὗτινος ἐν τῷ αʹ κεφ. φησίν· Ἐάν τις διατρίψῃ ἐν ἐλευθερίᾳ κʹ ἐνιαυτοὺς ἢ πλεῖον, οὐκέτι δύναται περὶ τύχης ὀχλεῖσθαι. ἐὰν δὲ ἐν φυγῇ ὢν διήγαγεν ἐπὶ κʹ ἐνιαυτοὺς ὡς ἐλεύθερος, οὐδὲν πρόκριμα ἔπαθεν ἡ δουλεία αὐτοῦ.

11. Ἀνάγν. καὶ βι. ιθʹ τί. ιζʹ [κεφ. αʹ καὶ βʹ καὶ βι. ξʹ τί. λζʹ] κεφ. ξζʹ θέμ. γʹ, ἐν ᾧ φησιν· Ὅτι καὶ ὁ [τὴν] παρὰ τοῦ ἰδίου δούλου μοιχευομένην ἀπελέγξας ἐλευθεροῦται μετὰ τῶν παίδων αὐτοῦ.

XVII.

Περὶ ἐλευθέρων πραθέντων, ἢ δουλαγωγουμένων, ἢ βίᾳ κατεχομένων.

1. Ἀνάγν.[2] βι. ζʹ τί. εʹ κεφ. οθʹ, ἐν ᾧ φησιν· Ὁ ἐν εἰδήσει πιπράσκων τὸν ἐλεύθερον τῷ τῶν ἀνδραποδιστῶν ἐγκλήματι ὑποπίπτει.

---

a Ἤγουν ὡς ἐκ διαθήκης.

b Ἀνάγν. καὶ τὸν περὶ δούλων, καὶ εὑρήσεις περὶ ἐλευθερουμένων διὰ τὸ μονάσαι, ἢ ἐν κλήρῳ ἢ ἐν στρατείᾳ καταλεγῆναι.

---

1 Inscribendum: Ἐν δὲ τῷ δʹ κεφ. 2 In editione Leuncl. hoc caput desideratur.

2. *Ἀνάγν. βι. κβ' τί. α' κεφ. ιη', ἐν ᾧ φησιν·* Ὁ βίᾳ τὸν ἐλεύθερον συλλαβόμενος[1] καὶ δήσας, οὐκ ἔστι νομεύς.

3. *Ἀνάγν. καὶ βι. μη'[2] τί. η' κεφ. ιδ' καὶ κη'. ἀνάγν. καὶ τί. κ', οὗτινος ἐν τῷ ιβ' κεφ. φησίν·* Ἐάν τις τὸν ἐλεύθερον ἀγοράσῃ, οὐ κτᾶται αὐτὸν δοῦλον.

4. *Ἀνάγν. καὶ τί. κβ', οὗτινος ἐν τῷ ε' κεφ. φησίν·* Ὁ δουλαγωγούμενος καὶ λέγων τινὰ χρεωστεῖσθαι, ὀφείλει πρότερον ἀποδεῖξαι τὰ περὶ τῆς τύχης τῆς ἰδίας, καὶ μετὰ ταῦτα περὶ τῶν κεχρεωστημένων αὐτῷ ἐνάγειν[3].

5. *Ἀνάγν. καὶ βι. ξ' τί. μζ' καὶ τί. μη' κεφ. ιη', ἐν ᾧ φησιν·* Ὁ τὸν ἐλεύθερον ἐν εἰδήσει μὴ βουλόμενον πιπράσκων ἀνδραποδιστής ἐστι. καὶ εἰ μὲν δοῦλός ἐστιν ἢ ἀπελεύθερος, τυπτόμενος καὶ κουρευόμενος χειροκοπείσθω. [εἰ δὲ ἐλεύθερός ἐστι, χειροκοπείσθω μόνον. ὁμοίως χειροκοπείσθω][4] καὶ ὁ τὸν ἐλεύθερον εἰδὼς ἀγοράσας ἢ δωρησάμενος ἢ εἰς προῖκα δοὺς ἢ καταλλάξας[a].

XVIII.

Περὶ ἐλευθερουμένων εἰς βλάβην τῶν δανειστῶν.

1. *Ἀνάγν. βι. μη' τί. γ' κεφ. ξγ'*[5]*, ἐν ᾧ φησιν·* Ἐὰν καταλειφθῶσιν ἐλευθερίαι εἰς βλάβην τῶν δανειστῶν, κἂν τὰ μάλιστα ὁ κληρονόμος ἐξ οὗ κατελείφθησαν εὔπορός ἐστι, καὶ ἠνέσχετο τὸν ἄπορον κληρονομῆσαι, ὅμως οὐχ ἁρμόζουσιν.

2. *Ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ δ'*[6] *κεφ. φησίν·* Ἐπὶ ἀπόρου κλήρου, κἂν εὔπορος ᾖ ὁ κληρονόμος, δοῦλος οὐκ ἐλευθεροῦται. εἰ μὴ οὕτως εἴπῃ ὁ διαθέμενος, ὅτε πληρωθῶσιν οἱ δανεισταί μου, ἐλεύθερος ἔστω.

3. *Ἐν δὲ τῷ ις' κεφ.* Οὐ δεῖ ἐπὶ περιγραφῇ δανειστῶν ἐλευθεροῦν. δανειστὴς δέ ἐστιν ὁ ἐξ οἱασοῦν αἰτίας χρεωστούμενος.

4. *Ἐν δὲ τῷ λα'*[7] *κεφ.* Αἱ εἰς βλάβην τῶν δανειστῶν ἐλευθερίαι ἀνατρέπονται.

---

[a] *Ἀνάγν. καὶ βι. ιθ' τί. α' κεφ. οθ', ἐν ᾧ φησι περὶ υἱοῦ πραθέντος, ὅπερ προείρηται ἐν τῷ περὶ ἀγοραςίας.*

---

[1] Lips. *βιασάμενος.* [2] Lips. et Leuncl. *κη'.* [3] Leuncl. *ἐναγάγειν.* Basil. *ἐναγαγεῖν.* [4] Lips. uncis inclusa omittit, in fine autem addit *ὁμοίως χειροκοπείσθω.* [5] Lips. *ξϛ'.* [6] Lips. *α'.* [7] Leuncl. *λδ'.*

XIX.

Περὶ Ἑλλήνων.

1. *Ἀνάγν. βι. α' τί. α' κεφ. ιγ' καὶ ιδ' καὶ ιε', ἐν ᾧ φησιν·* Ὅσοι μὲν μετὰ τὸ ἅγιον βάπτισμα ἑλλήνισαν, τὴν ἐσχάτην τιμωρείσθωσαν. ὅσοι δὲ μήπω ἠξίωνται, προσιέτωσαν ἅμα γαμεταῖς καὶ παισὶ καὶ παντὶ τῷ οἴκῳ, καὶ διδαχθέντες ἱκανῶς φωτιζέσθωσαν, ἢ μηδενὸς τῶν ἐν πολιτείᾳ ἢ περιουσίᾳ μετεχέτωσαν. *καὶ κεφ. ις'.*

XX.

Περὶ ἐμπρησμῶν, καὶ περὶ τῶν ποιούντων αὐτούς.

1. *Ἀνάγν. βι. νη' τι. κγ' κεφ. ζ' θέμ. γ', ἐν ᾧ φησιν·* Ὁ μὲν ἄρχων καλῶς δι' ἐμπρησμὸν καταλύει τόπον· ὁ δὲ ἰδιώτης, ὅτε ἐλθόντος τοῦ πυρὸς ἔστρεψε[1]. τὸ αὐτὸ κἂν ἀκουϊλίῳ ἐναχθῇ. εἰ δὲ πρῶτον κατέλυσε, καὶ τότε γέγονεν εἰς [τὸν] τόπον ἐμπρησμὸς, ἀποδίδωσι τὴν ζημίαν.

2. *Ἀνάγν. καὶ βι. ξ' τί. λθ' κεφ. α', ἐν ᾧ φησιν·* Ὅτι τῷ περὶ ἀνδροφόνων νόμῳ ὑπόκειται καὶ ὁ κατὰ δόλον ποιῶν ἐμπρησμόν.

3. *Καὶ κεφ. ς'*[2], *ἐν ᾧ φησιν·* Ὁ κατὰ δόλον καύσας τὸν οἶκόν [μου] κεφαλικῶς τιμωρεῖται.

Καὶ ὁ οἰκίαν ἢ σωρὸν σίτου πλησιάζοντα οἴκῳ καύσας ἐν εἰδήσει, τυπτόμενος γίνεται πυρίκαυστος. εἰ δὲ ἔξω πόλεως τοῦτο διαπράξεται, χειροκοπεῖται. εἰ δὲ κατὰ ῥᾳθυμίαν συνέβη, εἰ μὲν ἰσχύει, τὴν ζημίαν ἀποθεραπεύει· εἰ δὲ μὴ, σωφρονίζεται μετρίως. οἰκία δὲ λέγεται πᾶν εἶδος οἰκοδομήματος.

4. *Καὶ κεφ. ζ', ἐν ᾧ φησιν·* Οἱ ἐπίτηδες ἐν πόλει ποιοῦντες ἐμπρησμὸν, εὐτελεῖς μὲν ὄντες, θηριομαχοῦσιν· ἔν τινι δὲ βαθμῷ ὄντες, ἀποκεφαλίζονται ἢ εἰς νῆσον περιορίζονται.

5. *Ἀνάγν. καὶ τί. να' κεφ. κθ', ἐν ᾧ φησιν·* Οἱ δημώδεις καὶ εὐτελεῖς ἐλεύθεροι ποιοῦντες ἐμπρησμοὺς ἐν πόλει δι' ἔχθραν ἢ πραῖδαν ἀποκεφαλίζονται ἢ καίονται. ἐλαφρότερον δὲ τιμωροῦνται οἱ καλύβην [ἢ] ἀγρὸν καίοντες. τοὺς δὲ κατὰ τύχην γινομένους ἐμπρησμοὺς ἐὰν οἱ παρ' οὓς ἐγένοντο κατα-

---

[1] Leuncl. ἔτρεψε. [2] Lips. ις'.

παῦσαι δυνάμενοι ἐῤῥαθύμησαν, πολιτικῶς ἀποθεραπεύουσι τὴν ζημίαν τῷ βλαβέντι ἢ μετρίως σωφρονίζονται.

XXI.

Περὶ ἐμφυτεύσεων.

1. Ἀνάγν. βι. κ' τί. β', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἡ διάταξις λέγει, ἵνα μήτε μισθώσεως μήτε ἐκποιήσεως εἶδός ἐστιν ἡ ἐμφύτευσις, ἀλλ' ἰδικὰ νόμιμα ἔχῃ. καὶ εἰ μὲν βλάβη γένηται κατὰ παντὸς [τοῦ] πράγματος, τῷ δεσπότῃ τοῦ πράγματος κινδυνεύεται ὡς ἐπὶ πράσεως. εἰ δὲ μερικὴ γένηται ἡ βλάβη, τῷ ἐμφυτευσαμένῳ κινδυνεύηται[1], ὡς ἐπὶ μισθώσεως. ταῦτα δὲ λέγομεν, εἰ μὴ ἄλλα[2] σύμφωνα ἰδικὰ ἐγένοντο περὶ τῆς ἐν τῷ πράγματι βλάβης.

2. Ἐν δὲ τῷ β' κεφ. Ἡ διάταξις κελεύει, εἰ μὲν σύμφωνα γεγόνασι [καὶ] περὶ τῶν ἄλλων τῆς ἐμφυτεύσεως κεφαλαίων καὶ περὶ ἀποβολῆς τοῦ ἐμφυτευσαμένου, ταῦτα κρατεῖν καὶ ἐπὶ τοῖς ἄλλοις κεφαλαίοις καὶ ἐπὶ τῆς τοῦ ἐμφυτευτοῦ ἀποβολῆς. ἐὰν δὲ περὶ μὲν τῶν ἄλλων κεφαλαίων τινὰ συνεφωνήθη, οὐδὲν δὲ εὑρέθη[3] περὶ τοῦ πῶς δεῖ τὸν ἐμφυτευτὴν ἀποβληθῆναι, τότε ἐὰν τρεῖς ἐνιαυτοὺς μηδὲ ὁ ἐμφυτευτὴς καταβάλῃ τὸν ἐμφυτευτικὸν κανόνα, μήτε[4] τὰς τῶν δημοσίων ἀποχὰς ἐνέγκῃ τῷ δεσπότῃ, ἐκβάλλεσθαι αὐτὸν μηδένα λόγον ἔχοντα περὶ τῆς βελτιώσεως, ἤτοι τῶν λεγομένων ἐμπονημάτων[5]· ἀλλὰ πᾶσι τρόποις ταῦτα ζημιούμενον, καὶ μὴ δυνάμενον προφέρειν εἰς δικαιολογίαν, ὅτι τυχὸν οὐκ ὠχλήθην περὶ τοῦ ἐμφυτεύματος. δεῖ γὰρ αὐτὸν ἑκουσίως, ἀλλὰ μὴ μετὰ ὀχλήσεως τοῦτο καταβάλλειν.

3. Ἐν δὲ τῷ δ' καὶ ε' κεφ. Ὅτι ἐπὶ μὲν τῶν ἐκκλησιαστικῶν καὶ εὐαγῶν οἴκων ἐὰν ἐπὶ διετίαν μὴ καταβάλῃ ὁ ἐμφυτευτὴς τὸν συμφωνηθέντα κανόνα, ἐκπίπτει τῆς ἐμφυτεύσεως· ἐπὶ δὲ τῶν[6] ἄλλων ἐὰν ἐπὶ τριετίαν. ὁμοίως καὶ ἐν τῷ περὶ ἐκλήψεων προείρηται.

---

[1] Leuncl. δύναται, sed in marg. conjicit κινδυνεύεται. [2] Basil. ἄρα.
[3] Leuncl. ἐρήθη. Basil. ἐῤῥέθη. [4] Basil. μηδέ. [5] Lips. ἐπιπονημ.
[6] Lips. περὶ τῶν.

XXII.

Περὶ[a] *ἐνοχῶν παντοίων ἀπὸ συναλλάγματος καὶ ἁμαρτήματος τικτομένων, καὶ τίνες ἐνέχονται καὶ τίνες οὐκ ἐνέχονται.*

1. *Ἀνάγν. βι. νβ΄ τί. α΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν·* Αἱ ἐνοχαὶ ἢ ἀπὸ συναλλάγματος ἢ [ἀπὸ] ἁμαρτήματος τίκτονται, ἢ ἀπὸ ἰδικοῦ νόμου ἐκ διαφόρων θεμάτων.

---

a Ὁσάκις νόμος ἐνοχὴν εἰσάγων μὴ εἴπῃ τὴν ἀγωγὴν, ὁ ἐκ λέγε κονδικτίκιος ἁρμόζει.

Περὶ ἐνοχῶν. Ἐνοχή ἐστι δεσμὸς δικαίου, φησὶν ὁ Θεόφιλος[1], δι᾿ οὗ τις ἀναγκάζεται καταβαλεῖν τὸ ἐποφειλόμενον. ἐνέχεται δέ τις ἢ συναλλάγματι ἢ ἁμαρτήματι. καὶ τὸ μὲν συνάλλαγμα δ΄ ἐνοχὰς φέρει, τὴν ῥὲ, [τὴν βέρβις,] τὴν λίτερις, τὴν κονσένσο, τουτέστι τὴν ἐν πράγμασι, τὴν ἐν λόγοις, τὴν ἐν γράμμασιν, τὴν ἐν συναινέσει. ἐκ τούτων δὲ τῶν δ΄ ἐνοχῶν τίκτονται πολλαὶ ἀγωγαί· μητέρες γὰρ τῶν ἀγωγῶν αἱ ἐνοχαί. τὸ δὲ ἁμάρτημα καὶ αὐτὸ δ΄ ἀγωγὰς φέρει, τὴν φούρτη, τὴν βὶ βονόρουμ ῥαπτόρουμ, τὴν ἰνιουριαροὺμ, τὸν ἀκουΐλιον, ἤγουν τὴν περὶ κλοπῆς, τὴν περὶ βιαίας ἁρπαγῆς πραγμάτων, τὴν περὶ ὕβρεως, τὴν περὶ ζημίας. καὶ ἐκ τούτων δὲ πολλαὶ ἀναφύονται ἀγωγαί. ἐπειδὴ καὶ ὡς ἐν ὅρῳ εἰπεῖν συνάλλαγμά ἐστι δύο θελημάτων συνδρομὴ καὶ συναίνεσις ἢ καὶ πλειόνων ἐπὶ τῷ συστήσασθαι ἐνοχὴν καὶ τῷ ἑτέρῳ τὸν ἕτερον ποιήσασθαι ἔνοχον· ἴδωμεν οὖν, εἰ οὗτος ὁ ὅρος ἐν πάσαις ταῖς ἀπὸ τοῦ συναλλάγματος ἀγωγαῖς σῶος εὑρίσκεται καὶ ἔν τισι τούτων ἐνδεῶς ἔχων. καὶ γὰρ συναλλάγματος προβαίνοντος ἢ ἑκάτεροι ἀλλήλους ἐνόχους ποιοῦσιν, ἢ θάτερος μὲν ἔνοχος γίνεται, θάτερον δὲ ἔνοχον καθορᾶται· καί ἐστιν ὁ ὅρος ἀπαθής. ἀλλ᾿ ἐπειδὴ εὑρίσκονται ἔν τισι μὲν ἀγωγαῖς καὶ ὁ ἐνάγων θέλων κτήσασθαι ἔνοχον καὶ ὁ ἐναγόμενος θέλων γενέσθαι ἔνοχος, ἔν τισιν οὔτε ὁ ἐνάγων οὔτε ὁ ἐναγόμενος, καὶ ἔν τισιν ὁ μὲν ἐναγόμενος θέλων, ὁ δὲ ἐνάγων μὴ θέλων, ἢ τὸ ἀνάπαλιν· πῶς ἐνταῦθα ἐροῦμεν δύο θελημάτων συνδρομήν; οὐ γάρ ἐστιν ἀληθὲς τοῦτο εἰπεῖν. διὰ τοῦτό γουν ὅταν ἐν ἀγωγῇ εὑρεθῇ ὁ μὲν ἐναγόμενος θέλων, ὁ δὲ ἐνάγων μὴ θέλων, ὡς ἐπὶ τοῦ διοικοῦντος ἀλλότρια πράγματα παραγνώμην τοῦ δεσπότου· ἢ ὁ ἐνάγων θέλων, ὁ δὲ ἐναγόμενος μὴ θέλων, ὡς ἐπὶ κληρονόμου καὶ λεγαταρίου· τότε ὡς τοῦ ὅρου τοῦ συναλλάγματος μὴ σωζομένου λέγε ταύτας τὰς ἀγωγὰς μὴ τοῦ συναλλάγματος, ἀλλὰ τοῦ ὡσανεὶ συναλλάγματος. ἐπὶ μέντοι τῶν ἐξ ἁμαρτήματος ἀγωγῶν οὔτε ὁ ἐνάγων οὔτε ὁ ἐναγόμενος βούλεται. καὶ ὁ κλέπτης γὰρ καὶ ὁ ἅρπαξ καὶ ὁ ὑβριστὴς καὶ ὁ ζημιῶν καὶ ὁ τὴν κλοπὴν πάσχων καὶ ὁ τὴν ἁρπαγὴν καὶ ὁ ζημιούμενος καὶ ὁ ὑβριζόμενος οὐ θέλουσιν ἐνόχους κτήσασθαι· οὐ γὰρ ἐβούλοντο ταῦτα παθεῖν ἢ διὰ ταῦτα ἐπεγκαλεῖσθαι.

Τοῦ αὐτοῦ[2]. Αἱ ἐνοχαὶ ἢ πολιτικαὶ, ἤτοι ἀπὸ τῶν νόμων βεβαιωθεῖσαι, ἢ πραιτώριαι, ἃς ὁ πραίτωρ ὥρισεν, αἳ καὶ νοροράριαι καλοῦνται. καὶ αὕτη μὲν διαίρεσις αὐτῶν πρώτη· ἐπιδιαιροῦνται δὲ αὖθις εἰς δ΄, ἢ

---

[1] Inst. III, 13. [2] Theophil. l. c.

Αἱ ἀπὸ συναλλάγματος ἀγωγαὶ ἢ ἐν πράγματί εἰσιν ἢ ἐν ἐπερωτήσει ἢ συναινέσει.

Ἐν πράγματι μὲν, ὡς τὸ δάνειον, ὅπερ συνίσταται ἐν τοῖς ἀριθμεῖσθαι καὶ σταθμίζεσθαι καὶ μετρεῖσθαι δυναμένοις πράγμασιν. καὶ τοῦ μὲν δανεισθέντος δεσπόζει ὁ δανεισάμενος, καὶ ἀντ' αὐτοῦ τῷ δανειστῇ ἀποδίδωσι· καὶ ὡς ἂν ἀπόληται, τῷ χρεώστῃ κινδυνεύεται. τὸ δὲ κεχρημένον μένει μὲν τοῦ δεδωκότος, ἄκραν δὲ χρεωστεῖ ἐπιμέλειαν ἐπὶ τῇ [παρα]φυλακῇ αὐτοῦ ὁ λαβὼν, οἵαν ἄν τις δύναται ἐπιδείξασθαι, καὶ οὐ μόνον ἣν αὐτὸς ἐν τοῖς οἰκείοις ἔχει. εἰ δὲ συμβῇ τὸ πρᾶγμα τυχηρῶς ἀπολέσθαι, οἷον καταπτώσει ἢ ἐμπρησμῷ ἢ ναυαγίῳ, οὐχ ὑπόκειται, εἰ μὴ ἀμέλειαν ἐν αὐτοῖς ἐπλημμέλησεν, οἷον ἐπὶ ἄλλῳ λαβὼν ἄλλως ἐχρήσατο. ἐὰν γὰρ ἄργυρον ἐπὶ τῷ ἄριστον ποιῆσαι χρήσηται, καὶ ἐπὶ ξένης ἀπαγάγῃ, καὶ ἀπόληται[1] ναυαγίῳ ἢ λῃστῶν ἐπιδρομῇ, ὑπόκειται.

Ἐνέχεται καὶ τῇ περὶ τοῦ πράγματος ἀγωγῇ καὶ ὁ παραθήκην λαβὼν εἰς τὸ αὐτὸ πρᾶγμα ἀποκαταστῆσαι. ὑπόκειται δὲ ἀπὸ μόνου δόλου καὶ τῆς πλησιαζούσης τῷ δόλῳ ῥαθυμίας· καὶ αὐτὴ γὰρ δόλος ἐστί. τοῦτο δὲ, ἐπειδὴ πίστει[2] ἀγαθῇ ἔλαβε τὴν παραθήκην.

Καὶ ὁ δανειστὴς ἐπὶ ἀποκαταστάσει τοῦ ἐνεχύρου τῇ περὶ πράγματος ἀγωγῇ[3] ὑπόκειται.

Ἡ δὲ ἐν ἐπερωτήσει ἀγωγὴ συνίσταται, ὅταν ἐπερωτῶμεν γενέσθαι τὶ ἢ δοθῆναι.

Ἐνέχεται δέ τις ἢ ἰδίῳ ὀνόματι ἢ ἀλλοτρίῳ, καὶ καλεῖται ἐγγυητής.

2. *Τῆς[4] ἐξ ἑκατέρων μερῶν συναινέσεως καὶ συμφωνίας ἐστὶ πρᾶσις ἀγορασία, μίσθωσις καὶ ἐκμίσθωσις, προτροπή[5].*

Καὶ οὐ χρῄζουσι κυριότητος ῥημάτων ἢ γραμμάτων.

Καὶ συνίσταται καὶ μεταξὺ ἀπόντων, δι' ἐπιστολῆς καὶ δι' ἀγγέλου.

ἀπὸ συναλλάγματος τὴν γένεσιν ἔχουσαι, ἢ ὡσανεὶ ἀπὸ συναλλάγματος, ἢ ἀπὸ ἁμαρτήματος, ἢ ὡσανεὶ ἀπὸ ἁμαρτήματος. τέσσαρες δὲ αἱ ἀπὸ συναλλάγματος γίνονται ἐνοχαὶ, ἡ ῥὲ, ἡ βέρβις, ἡ λίτερις, καὶ ἡ κονσένσο. ἡ ῥὲ δὲ ἔχει ἐν ἑαυτῇ ἀγωγὰς ε'· τὸν δανειακὸν κονδικτίκιον, τὸν ἰνδέβιτον κονδικτίκιον, τὸν κομοδάτον, τὴν δεποσίτην, καὶ τὴν πιγνερατικίαν.

---

[1] Lips. ἀπόλλυται. [2] Leuncl. et Bas. χρήσει. [3] Bas. ἀπαιτήσει.
[4] Inscribendum: Ἐν δὲ τῷ β' κεφ. [5] Bas. ἐντολή.

3. Ἐν δὲ τῷ δ' κεφ. Ἐξ ἁμαρτήματος τίκτεται ἀγωγὴ, οἷον ἡ περὶ κλοπῆς τὸ διπλάσιον ἀπαιτοῦσα ἀγωγὴ καὶ ἡ ἐξ ὁμολογίας μὲν εἰς τὸ ἁπλοῦν, ἐξ ἀρνήσεως δὲ τὸ διπλοῦν ἀπαιτοῦσα ἀγωγή.

4. Ἐν δὲ τῷ λ' κεφ. Πᾶσα ἐνοχὴ ὑπὸ ἀδύνατον αἵρεσιν τεθεῖσα ἄκυρός ἐστιν.

5. Ἐν δὲ τῷ μγ' κεφ. Ὡς ἐπὶ πολὺ τέσσαρές εἰσιν αἰτίαι τῶν ἐνοχῶν. ἢ γὰρ ἡμέρα ἔνεστιν αὐταῖς, ἢ αἵρεσις, ἢ τρόπος, ἢ προσθήκη.

Ἡ δὲ ἡμέρα διχῶς θεωρεῖται. ἢ γὰρ ἐν ἀρχῇ, ὡς ἀπὸ καλανδῶν μαρτίων, ἢ εἰς πέρας, ὡς ἕως τῶν καλανδῶν. οὐ δύναται δὲ ἐνοχὴ ἢ λεγάτον μέχρι τινὸς ῥητοῦ χρόνου συνίστασθαι, ἀλλ' ὁ μετὰ τὸν χρόνον ἐνάγων ἐκβάλλεται συμφώνου ἢ δόλου παραγραφῇ. ὥσπερ καὶ ὅτε παραδίδωμί σοι ἔδαφος, συμφωνήσω μὴ ἐπακολουθῆσαι αὐτῷ τὸ ἐπικείμενον οἰκοδόμημα.

Αἵρεσις δὲ ἰσχυρῶς συντίθεται ἐν[1] τῷ τὴν ἐνοχὴν συνίστασθαι, οὐ μὴν μετὰ τὸ περαιωθῆναι. ἐὰν γὰρ ἐπερωτήσω ἑκατὸν νομίσματα, ἐὰν μὴ ἡ ναῦς ἔλθῃ, ἐρχομένης τῆς νηὸς χώρα τῇ τοῦ συμφώνου ἢ τοῦ δόλου παραγραφῇ.

Τρόπος δέ ἐστιν, ὅταν ἐπερωτήσω δοῦλον ἢ δέκα νομίσματα. ἑνὸς γὰρ καταβαλλομένου ἡ πᾶσα ἐνοχὴ λύεται, καὶ ἐφ' ὅσον ἑκάτερόν ἐστιν, οὐ δύναμαι περὶ τοῦ ἑνὸς κινεῖν.

Προσθήκη γίνεται ἢ προσώπῳ ἢ πράγματι· προσώπῳ, ὡς ὅταν ἐμαυτῷ ἢ πέτρῳ ἐπερωτῶ τὸ δοθῆναι δέκα νομίσματα· [πράγματι, ὡς ὅταν ἐπερωτῶ ἐμαυτῷ δέκα νομίσματα][2] ἢ πέτρῳ δοῦλον. καὶ ζητεῖται εἰ τοῦ δούλου καταβαλλομένου πέτρῳ λύεται τῷ νόμῳ ἡ ἐνοχή.

Ἐὰν οὕτως ἐπερωτήσω, ἐὰν μὴ δῷς μοι τὸν ἀγρὸν, ὁμολογεῖς διδόναι ἑκατὸν νομίσματα; τὰ μὲν νομίσματά εἰσιν ἐν ἐπερωτήσει, ὁ δὲ ἀγρὸς ἐν καταβολῇ.

Ὥσπερ ὅτε ἐπερωτῶ, ἐὰν μὴ ποιήσῃς μοι πλοῖον, ὁμολογεῖς διδόναι ἑκατὸν νομίσματα;

6. Ἐὰν[3] ἐξ ἐπερωτήσεως χρεωστῶν δοῦλον πρὸ ὑπερθέσεως αὐτὸν ἐλευθερώσω, καὶ ἀποθάνῃ πρὶν εναχθῶ, οὐ κρατοῦμαι.

---

[1] Leuncl. et Bas. ἐντίθεται. [2] Inclusa in Lips. desunt. Supplevi ex Leuncl. Ibi tamen male ante verbum προσώπῳ collocata sunt. [3] Inscribendum: Ἐν δὲ τῷ με' κεφ.

7. Ἡνίκα[1] ἀπὸ πράγματος ἀγωγὴ φέρεται, καὶ ὁ μαινόμενος καὶ ὁ ἄνηβος ἐνέχονται χωρὶς αὐθεντίας τῶν κηδεμόνων· ὡς ὅτε κοινὸν ἀγρὸν ἔχω μετ᾿ αὐτῶν, καὶ δαπανήσω εἰς αὐτὸν, ἢ ἄνηβος ζημίαν εἰς αὐτὸν ἐργάσηται. ἐνέχονται γὰρ τῇ τὰ ἐπίκοινα διαιρούσῃ ἀγωγῇ.

8. Ἐν δὲ τῷ να' κεφ. Ἐνεχόμεθα ἢ πράγματι, ἢ ἐπερωτήσει, ἢ ἑκατέρῳ ἅμα, ἢ συμφώνῳ, ἢ νόμῳ, ἢ πραιτωρίως, ἢ ἀνάγκῃ, ἢ ἀπὸ ἁμαρτήματος.

Πράγματι, ὅτε πρᾶγμα παρεντίθεται.

Ἐπερωτήσει, ὅτε ἐπερώτησις καὶ σύμφωνος ἀπόκρισις.

Πράγματι καὶ ἐπερωτήσει, ὅτε ἑκάτερον.

Συμφώνῳ, ἀπὸ βουλήσεως.

Νόμῳ, ὅτε πειθαρχοῦντες ἢ ἐναντιούμενοι τῷ νόμῳ ποιοῦμεν.

Πραιτωρίως, ὅτε κατὰ τὴν παραγγελίαν τοῦ πραίτωρος ἢ τὴν κώλυσιν ἢ τῶν ἀρχόντων τὶ γίνεται.

Ἀνάγκῃ, οἷς οὐκ ἔξεστι παρὰ τὸ διατεταγμένον ποιῆσαι, ὡς ἐπὶ τοῦ ἀναγκαίου κληρονόμου.

Ἀπὸ ἁμαρτήματος, ὡς ὅτε περὶ αὐτὸ τὸ γεγονός ἐστιν ἡ ζήτησις.

Καὶ γυμνὴ συναίνεσις ἀρκεῖ πρὸς ἐνοχὴν, εἰ καὶ δύναται ῥήμασιν ἐκφωνεῖσθαι.

Καὶ νεύματι μόνῳ ὡς ἐπὶ τὸ πολὺ συνίσταται.

9. Ἐν δὲ τῷ νγ' κεφ. Τὰ εἰκονικὰ συναλλάγματα οὐδὲ ἐν ταῖς πράσεσιν ἐνοχοποιεῖ.

10. Ἀνάγν. καὶ βι. μγ' τί. β', ἐν ᾧ φησι περὶ ἐνεχομένων δύο· οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὅτε δύο τὴν αὐτὴν ὁμολογοῦσιν ἢ ἐπερωτῶσι ποσότητα, ἕκαστος αὐτῶν εἰς ὁλόκληρον χρεωστεῖ καὶ χρεωστεῖται. ὅθεν τῇ τοῦ ἑνὸς ἀπαιτήσει ἢ τῇ ἀποχῇ πᾶσα ἡ ἐνοχὴ λύεται.

11. Ἐν δὲ τῷ ια' κεφ. θέμ. β'· Ἐὰν μὴ πρόσκειται τῇ ὁμολογίᾳ τὸ ἕκαστον εἰς ὁλόκληρον ἐνέχεσθαι, οὐ γίνονται δύο ἐναγόμενοι, ἀλλὰ πρὸ βιρίλι πορτίονι ἐνέχονται.

12. Ἀνάγν. καὶ βι. μβ' τί. δ' κεφ. ιδ' καὶ βι. κδ' τί. γ' κεφ. ιε', ἐν ᾧ φησιν· Ὁ δανείσας μισθωτοῖς οὐ δύναται τὸν δεσπότην αὐτῶν ἀπαιτεῖν, οὐδὲ εἰ παρόντος αὐτοῦ ἐδάνεισεν.

13. Ἀνάγν. καὶ τί. δ', οὗτινος ἐν τῷ γ' κεφ. φησί· Τὰ ἐξώπροικα τῆς γυναικὸς οὐχ ὑπόκεινται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις,

---

[1] Inscribendum: Ἐν δὲ τῷ μϛ' κεφ.

ἀλλ᾽ οὐδὲ αἱ μητέρες ὑπὲρ τούτων ἐνάγονται, οὐδὲ ὁ ἀνὴρ ὑπὲρ τῶν τῆς γυναικὸς συναλλαγμάτων.

14. Ἐν δὲ τῷ ζ' κεφ. Ὥσπερ ὁ υἱὸς οὐ κατέχεται ἐκ τῶν τοῦ πατρὸς λειτουργιῶν, οὕτως οὐδὲ ὁ πατὴρ ἐκ τῶν τοῦ παιδός.

15. Ἐν δὲ τῷ θ' κεφ. Ἐκ τῶν τοῦ πάτρωνος ἢ δεσπότου[1] συναλλαγμάτων ἀπελεύθεροι ἢ δοῦλοι οὐ κατέχονται.

16. Ἀνάγν. καὶ τί. ε', οὗτινος ἐν τῷ β' κεφ. φησί· Τοῖς σοῖς δανεισταῖς, οἵτινες ἐν τῇ δουλείᾳ ἐδάνεισαν, οὐδεμία κατά σου ἁρμόζει ἀγωγὴ, μάλιστα ἐπειδὴ τὸ πεκούλιον μὴ λεγατευθῆναί σοι θεματίζεις.

17. Ἐν δὲ τῷ γ' κεφ. Τῶν ἐπαγγελθέντων σοι πραγμάτων παρὰ τοῦ δούλου σου, ἵνα αὐτὸν ἐλευθερώσῃς, εἰ μεθὸ ἠλευθέρωσας μὴ ἐπηρώτησας αὐτὸν, οὐδεμίαν κατ᾽ αὐτοῦ ἀπαίτησιν ἔχεις.

18. Ἐν δὲ τῷ δ' κεφ. Ἐκ τῶν ἐν δουλείᾳ συναλλαγμάτων μετὰ τὴν ἐλευθερίαν οὐδεὶς κατέχεται. ἐκ δὲ τῶν ἁμαρτημάτων ἐνάγεται, διὰ τὸν κανόνα τὸν λέγοντα· τὰ πταίσματα τῇ κεφαλῇ ἀκολουθεῖ[2].

19. Ἀνάγν. καὶ βι. ι' τί. δ' κεφ. ια', ἐν ᾧ φησιν· Ἐνέχεται δὲ ἐλευθερωθεὶς καὶ ἐφ᾽ οἷς ἀπέκλεψε τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν, καὶ τῇ ἀπαιτήσει τοῦ κλαπέντος, καὶ τῇ φανερώσει τοῦ πράγματος, ὡς ψηλαφῶν αὐτὰ μετὰ τὴν ἐλευθερίαν. ἐπείτοιγε περὶ τῶν ἁμαρτηθέντων ἐν δουλείᾳ ἀγωγὴν οὐκ ἔχει κατὰ τοῦ ἐλευθερωθέντος ὁ δεσπότης.

XXIII.

Περὶ ἐνεχυραζόντων.

1. Ἀνάγν. βι. κγ' τί. γ' κεφ. οε', ἐν ᾧ φησι· Θεσπίζομεν[a] μηδένα παντελῶς ἐνεχυρασμὸν κατὰ τὴν ἡμετέραν πολιτείαν κρατεῖν, μήτε ἐν πανηγύρεσι (τοῦτο ὅπερ μάλιστα ἐκεῖσε τολμώμενον εὑρίσκομεν), μήτε ἐν ἀγροῖς, μήτε ἐν πόλεσι, μήτε ἐν κώμαις, μήτε ἐπὶ πολίταις, μήτε ἐπὶ κωμήταις, μήτε ἐπὶ γεωργοῖς, μήτε ἑτέρῳ τῶν πάντων καθ᾽ οἱονδήποτε χρόνον ἢ τρόπον, ἀλλὰ τὸν θαῤῥοῦντα ἕτερον ἀνθ᾽ ἑτέρου κατὰ τὸ [τοῦ]

---

[a] Νεαρὰ νβ'.

---

[1] Leuncl. τὸ δεσπ. [2] Leuncl. ἀποδοθῇ. [3] Leuncl. ε'.

ἐνεχυρασμοῦ σχῆμα χρυσίον ἤ τι ἕτερον εἰσπράττειν, τοῦτο ἀποδιδόναι τετραπλάσιον τῷ βεβιασμένῳ· ἐκπίπτειν δὲ καὶ τῆς ἀγωγῆς, ἧς εἶχε κατ' ἐκείνου, ὑπὲρ οὗ τὴν εἴσπραξιν ἐποίει. οὐ γὰρ ἂν ἔχοι λόγον, ἕτερον μὲν εἶναι τὸν ὀφείλοντα, ἕτερον δὲ τὸν ἀπαιτούμενον, ἀλλ' οὐδὲ ἕτερον ἐνοχλεῖσθαι ὑπὲρ ἑτέρου τινὸς, ὡς ἔφοδον ἁμαρτόντος[1] ἢ ὕβριν, καὶ οἷα συγκωμήτην ἐκείνου καθεστῶτα στρεβλοῦσθαι καὶ ὑβρίζεσθαι, καί τινα πάσχειν τῶν οὐ προσηκόντων, ἢ ὅλως ὑπὲρ ἑτέρου δίχα νομίμου προφάσεως τὴν οἱανοῦν ὑπομένειν ἐπήρειαν. ἀλλὰ καὶ τιμωρίας ὑπομένειν τὰς εἰς σῶμα παρὰ τῶν ἐφεστώτων τοῖς ἔθνεσι· γινωσκόντων, ὡς εἰ μὴ τοῦτο πράξαιεν, ἀλλὰ κατὰ τὴν ἐπαρχίαν, ἧς ἄρχουσιν, ἐνεχυρασμοὶ τολμηθεῖεν, οὐδὲν ἔσται τοιοῦτον, ὅπερ αὐτοὺς τῶν ἡμετέρων ἐξαρπάσει χειρῶν.

2. Ἀνάγν. καὶ βι. κε' τί. ε' κεφ. κζ', ἐν ᾧ φησιν· Ἐὰν ἐκβιαστὴς προφάσει χρέους λάβῃ τινὸς γεωργοῦ ἢ βοῦν ἀροτῆρα ἢ ἄλλο τὶ, ἤγουν δανειστὴς τοῦτο ποιήσει, ἢ εἰρήναρχος, καὶ τοῦτο δειχθείη παρὰ[2] τοῦ ἄρχοντος τιμωρηθήσεται σφοδρῶς.

3. Οὐδὲν γὰρ τῶν εἰς γεωργίαν ἐπιτηδείων ἐνεχύρου λόγῳ λαμβάνεται.

XXIV.

Περὶ ἐνεχύρων καὶ ὑποθηκῶν, καὶ περὶ διαπράσεως, καὶ ποῖα οὐ δύνανται πιπράσκεσθαι, καὶ πότε καὶ αἱ στρατεῖαι ὑπόκεινται, καὶ ποῖα σιωπηρῶς ὑπόκεινται, καὶ τίνες ἐν αὐτοῖς προτιμῶνται.

1. Ἀνάγν. βι. κε', οὔτινος ἐν τῷ α' τί. κεφ. α' φησίν· Οὐ μόνον παραδόσει, ἀλλὰ καὶ ψιλῷ συμφώνῳ συνίσταται τὸ ἐνέχυρον. ἐὰν δέ τις χρυσὸν δείξας ὡς αὐτὸν μέλλων ὑποτίθεσθαι χαλκὸν παράσχῃ, οὐχ ὁ χαλκὸς, ἀλλ' ὁ χρυσὸς ὑπόκειται. εἰ δὲ τὸν χαλκὸν διαβεβαιωσάμενος εἶναι χρυσὸν ἠνεχύρασεν, ὑπόκειται καὶ τῇ περὶ ἐνεχύρων ἀγωγῇ, καὶ τῷ τιμωροῦντι νόμῳ τοὺς ταῦτα δολιευμένους.

2. Ἐν δὲ τῷ δ' κεφ. Εἴτε ἐξ ἀρχῆς εἴτε μετὰ ταῦτα συμφωνηθῇ περὶ τῆς πράσεως τῶν ἐνεχύρων εἴτε μηδὲν συμφωνηθῇ, καλῶς αὐτὰ πιπράσκει ὁ δανειστὴς καὶ ποιεῖ δεσπότην τὸν ἀγοραστήν. εἰ δὲ ῥητῶς συμφωνηθῇ μὴ πιπράσκεσθαι καὶ πωλήσει, ἐνέχεται τῇ περὶ κλοπῆς ἀγωγῇ, εἰ μὴ τρίτον διαμαρτυρηθεὶς ὁ χρεώστης καταβαλεῖν ὑπερέθετο·

---

[1] Lips. ἁμαρτῶντος. [2] Leuncl. ὑπό.

Εἴτε[1] τελείως συνεφωνήθη μὴ πραθῆναι, εἴτε ἐν τῇ αἱρέσει ἢ τῷ ποσῷ ἢ τῷ τόπῳ παρὰ τὸ σύμφωνον πράξει.

3. Ἐν δὲ τῷ θ' κεφ. Ἐὰν συμφωνηθῇ πιπράσκεσθαι τὸ ἐνέχυρον, οὐ μόνον διὰ τὸ κεφάλαιον, ἀλλὰ καὶ διὰ τοὺς τόκους καὶ τὰ εἰς αὐτὸ δαπανηθέντα πιπράσκεται[2].

Ὁ ἀλλότριον ὑποθέμενος, ἢ κακοθελῶς περὶ τὸ ἐνέχυρον ἐνεχθεὶς, ὑπόκειται τῇ περὶ ἐνεχύρων ἀγωγῇ.

Κυρίως ἐνέχυρον λέγεται τὸ παραδοθὲν τῷ δανειστῇ· τὸ δὲ μὴ παραδοθὲν, ἀλλὰ συμφωνηθὲν, ὑποθήκη ἐστίν.

4. Ἐν δὲ τῷ κζ' κεφ. Ἐὰν ὁ χρεώστης πωλήσῃ τῷ δανειστῇ τὸ ἐνέχυρον, οὐ δύναται μετὰ ταῦτα διδοὺς τὸ κεφάλαιον καὶ τοὺς τόκους ἀνατρέπειν τὴν πρᾶσιν.

5. Ἐν δὲ τῷ μβ' κεφ. Τὰ τυχηρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται κατὰ τύχην ἀπολέσας τὸ πρᾶγμα ἀπαιτεῖν διὰ προσωπικῆς τὸ ἑαυτῷ κεχρεωστημένον. ὁμοίως καὶ ἐν τῷ μδ' κεφ. καὶ ἐν τῷ με' [φησίν].

6. Ἐν δὲ τῷ β' τί. κεφ. δ' φησίν· Ὡς ἐπὶ τῶν ἐνοχῶν τῆς ἀγωγῆς[3] τῆς ἐνοχοποιούσης τοὺς ἐπὶ παντὸς συναλλάγματος συναινοῦντας, οὕτω καὶ [ἡ] ὑποθήκη συμφώνῳ συνίσταται, καὶ οἱοισδήποτε ῥήμασι καὶ ἀγράφως. τὰ γὰρ ἔγγραφα διὰ τὴν ἀπόδειξιν γίνεται. ἐὰν οὖν ἄλλως δείκνυται τὸ γεγονὸς, ἔῤῥωται ὡς ἐπὶ ἐγγράφων[4].

7. Ἐν δὲ τῷ ς'[5] κεφ. Τῆς γενικῆς ὑποθήκης ἐξαιρεῖται, ὅσα πιθανόν ἐστιν ἰδικῶς μὴ ὑποτίθεσθαι τὸν χρεώστην, οἷον οἰκοσκευὴ καὶ ἐσθὴς, καὶ τὰ πρὸς χρῆσιν ἀναγκαῖα ἀνδράποδα, καὶ τὰ πρὸς διάθεσιν αὐτοῦ φερόμενα[a],

Καὶ τὰ πρὸς καθημερινὴν χρῆσιν,

Καὶ ἡ παλλακὴ, καὶ οἱ φυσικοὶ παῖδες, καὶ οἱ θρεπτοὶ, καὶ οἱ τούτοις ὅμοιοι.

Τὸ αὐτὸ κρατεῖ καὶ ἐπὶ τοῖς πράγμασι τοῖς οὖσιν αὐτῷ ἐν τῷ καιρῷ τοῦ ὑποτίθεσθαι.

8. Ἐν δὲ τῷ ις' κεφ. Ὁ πολλὰ πράγματα λαβὼν εἰς ὑποθήκην, εἰ μὴ πληρωθῇ τὸ χρέος, οὐκ ἀναγκάζεται τὸ ἓν ἐλευθερῶσαι.

---

[a] Ἤγουν ἡ προσφιλὴς αὐτοῦ ὑπηρεσία.

---

[1] Hoc caput est c. 5 Basil. h. t. [2] Leuncl. addit τὸ ἐνέχυρον. [3] Leuncl. verba τῆς ἀγωγῆς non habet; legi vult τῆς ἐνοχῆς ἐνοχ. [4] In Lips. suprascriptum est γάμων. Basil. ἀγράφων γάμων. [5] Et sequentibus.

9. Ἐν δὲ τῷ ιη' κεφ. Τὰ συμβαίνοντα τυχηρὰ τῷ ἐνεχύρῳ, ἐπιβλαβῆ τε καὶ ἐπικερδῆ, τὸν χρεώστην ὁρᾷ.

10. Ἐν δὲ τῷ κς' κεφ. Ἐὰν οἶκος ὑποτεθεὶς καυθῇ, καί τις ἀγοράσας τὸ ἔδαφος κτίσῃ, καὶ τὸ κτισθὲν ὑπόκειται. ὁ δὲ καλῇ πίστει νομεὺς οὐκ ἀποκαθίστησιν, εἰ μὴ λάβῃ τὰς δαπάνας, εἰς ὅσον τὸ πρᾶγμα γέγονε τιμιώτερον.

11. Ἐν δὲ τῷ λζ' κεφ. Ὁ δανειστὴς ἀπὸ συμφώνου τὸ ἐνέχυρον λαμβάνων οὐ ποιεῖ βίαν. ὅμως ὀφείλει μετὰ κελεύσεως τοῦ ἄρχοντος ἐπὶ νομῆς γίνεσθαι ὁ τοιοῦτος[1].

12. Ἐν δὲ τῷ μα' κεφ. Ἡ χρονία νομὴ οὐκ ἀναιρεῖ τὸ ἐνέχυρον.

13. Ἐν δὲ τῷ μη' κεφ. Ὁ χρεώστης οὔτε πωλῶν οὔτε δωρούμενος ἢ λεγατεύων τὸ ἐνέχυρον χείρονα ποιεῖ τὴν αἵρεσιν τοῦ δανειστοῦ. ὅθεν δύναται ἀπαιτεῖν [αὐτὸ] ὁ δανειστής.

14. Ἐν δὲ τῷ να' κεφ. Ὥσπερ τὰ τυχηρὰ ὁ δανειστὴς οὐκ ἐπιγινώσκει τοῦ ἐνεχύρου, οὕτω καὶ δόλον καὶ ῥαθυμίαν [καὶ φυλακὴν] παρέχειν ὀφείλει ἐπ' αὐτῷ.

15. Ἐν δὲ τῷ νς' κεφ. Ἐὰν ἀργυροπράτης ἢ μεταξάριος ἢ ἄλλος οἱοσδήποτε ἔμπορος δανεισάμενος στρατεύσῃ ἴδιον υἱὸν ἢ συγγενῆ τοιαύτην στρατείαν, ἥτις ἢ πιπράσκεται ἢ εἰς κληρονόμους παραπέμπεται, εἰ καὶ μὴ δείξαιεν οἱ δανεισταὶ ὅτι ἀπὸ χρημάτων τοῦ δανεισαμένου ἐστρατεύσατο, ἀλλ' οὖν ἀπαιτεῖται αὐτὰ ὁ υἱὸς ἢ ὁ συγγενής. εἰ δὲ ἐξωτικὸν ἐστράτευσε, καὶ δείξει ὅτι ὁ χρεώστης δέδωκε τὰ χρήματα, αὐτόθεν δύναται κινῆσαι.

16. Ἐν δὲ τῷ γ' τί. [διαλαμβάνεται] περὶ τῶν σιωπηρῶς ὑποκειμένων ἐνεχύρων τε καὶ ὑποθηκῶν.

17. Ἐν δὲ τῷ δ'[2] τί. περὶ τῶν μὴ ἐνεχομένων ἐνεχύρων τε καὶ ὑποθηκῶν, οὗτινος ἐν τῷ ιβ'[3] κεφ. φησίν· Οὐδεὶς ἐνοχοποιεῖ πρᾶγμα, εἰ μὴ ὁ δυνάμενος. ὥστε οὖν οὐδὲ δοῦλος οὐδὲ προκουράτωρ ἢ διοικητὴς ἢ μισθωτὸς δύναται ἄκοντος καὶ ἀγνοοῦντος τοῦ δεσπότου ὑποτιθέναι πρᾶγμα, καὶ τοῦτο νόμιμον.

18. Ἐν δὲ τῷ ιε' κεφ. Ἐάν τις ἀπὸ προγενεστέρου δανειστοῦ πρᾶγμα ἠγόρασεν ὑποκείμενον, ἐπειδὴ τὸ δίκαιον ὑπεισῆλθε τοῦ πράτου, βοηθεῖται ἕνεκεν τῶν ἄλλων δανειστῶν[4].

19. Ἐν δὲ τῷ ε' τί. περιέχεται, τίνες δυνατώτεροι εἰς τὸ προτιμη-

[1] Leuncl. corrupte sic: οὐ ποιεῖν ὅμως ὀφείλει βίαν· κελεύσει δὲ τοῦ ἄρχ. κτλ. [2] Lips. ιδ'. [3] Lips. δ' τί. κεφ. β'. [4] Verbum δανειστῶν a Leuncl. et Basil. abest.

θῆναι ἐν τοῖς ἐνεχύροις καὶ ταῖς ὑποθήκαις εἰσὶ, περὶ ὧν εὑρήσεις πλατύτερον ἐν τῷ περὶ προτιμήσεως χρέους.

20. Ἐν δὲ τῷ ϛ' τί. [διαλαμβάνεται] περὶ τοῦ πότε καὶ πῶς δεῖ ὑποτίθεσθαι τὰς στρατείας[b], οὗτινος ἐν τῷ α' κεφ. φησί· Θεσπίζομεν τὰς ἐκ τοῦ καλουμένου κάσου στρατείας μὴ παντὶ προχείρως ὑποκεῖσθαι, πλὴν εἰ μὴ δανειστὴς εἴη ὁ εἰς αὐτὸ τοῦτο δανείσας, ἐφ' ᾧ τῆς στρατείας [ἐκεῖνον] τυχεῖν· ἐπείτοιγε τοῖς ἄλλοις δανεισταῖς οὐ προχείρως δίδομεν τοῦτο. ἀλλ' εἰ μὲν παῖδες ὦσιν ἢ γαμετὴ τῷ τελευτήσαντι, τούτους πᾶσι προκρίνεσθαι τρόποις, ὥστε προσιέναι τε ἡμῖν, καὶ κατὰ κέλευσιν ἡμετέραν ταῦτα κομίζεσθαι, οὐχ ὡς πατρῷον κλῆρον, εἴγε τὰ ἄλλα ἄπορος εἴη, ἀλλὰ βασιλικὴν φιλοτιμίαν, ἵνα καὶ τοῖς οὐσίαν καταλιμπάνουσι καὶ τοῖς οὐκ ἔχουσι τὰ εἰκότα βοηθήσαιμεν. εἰ μέντοι οὐδεὶς αὐτοῖς, οὔτε παῖς οὔτε γυνὴ, καθεστήκοι, οὐδὲ δανειστὴς ὁ εἰς ταύτην τὴν στρατείαν δανείσας, τηνικαῦτα καὶ τοῖς ἄλλοις δανεισταῖς μεταδίδομεν τῶν τοιούτων, ἵνα μὴ δόξαιμεν ἀπάνθρωπόν τι ποιεῖν, καὶ οὐδὲ εὐσεβῆ καὶ θεῷ ἀρέσκουσαν πρᾶξιν τιθέναι τὸν νόμον· τῶν[1] περὶ τῆς στρατείας τῶν περιβλέπτων σιλεντιαρίων ἰδικῶς δεδομένων καὶ πεφιλοτιμημένων αὐτοῖς προνομίων ἐπὶ τῆς ἰδίας ἰσχύος μενόντων.

21. Ἐν δὲ τῷ ζ' τί. [διαλαμβάνεται] περὶ διαπράσεως ἐνεχύρων καὶ ὑποθηκῶν, οὗτινος ἐν τῷ ιϛ' κεφ. φησί· Δύναταί τις τὸ ἀπὸ τῆς καταδίκης ἐνέχυρον πιπράσκειν. ἔοικε γὰρ τῷ ἀπὸ συμφώνου ἐνεχύρῳ, καὶ ὁμοίαν τάξιν ἐπέχει.

22. Ἐν δὲ τῷ ιζ' κεφ. Τὸ ἀπὸ τῆς καταδίκης ἐνέχυρον ἡ τάξις πιπρασκέτω. εἰ δὲ μηδεὶς εὑρεθῇ [ὁ] ἀγοράζων, εἴτε οὖν ἥττονος εὑρεθῇ, καὶ βουληθῇ ὁ νενικηκὼς ὑπερθεματίζων ἀγοράσαι, ἐξέστω αὐτῷ τοῦτο ποιῆσαι, ὥσπερ ἐξωτικῷ.

23. Ἐν δὲ τῷ ιθ' κεφ. Δύναται ὁ δανειστὴς τὸ ἐνεχυρασθὲν αὐτῷ πρᾶγμα ἑτέρῳ μετενεχυράζειν. ἐπὶ τοσοῦτον δὲ κρατεῖ αὐτὸ ὁ δεύτερος δανειστὴς, ἐφ' ὅσον καὶ ὁ πρῶτος ἔχει αὐτὸ ὑποκείμενον.

24. Ἐν δὲ τῷ κδ' κεφ. Ὁ δανειστὴς τὸ ὑποκείμενον αὐτῷ πρᾶγμα πωλήσας οὐ δοκεῖ ἐπίδικον πεπρακέναι, ἐπειδὴ κατὰ παράκλησιν νέμεται αὐτὸ ὁ χρεώστης.

---

b Ἀνάγν. καὶ νεα. νγ' κεφ. δ' καὶ νεα. ϙζ' κεφ. ε'.

---

1 Sic Bas. Lips. et Leuncl. τόν.

25. Ἐν δὲ τῷ κη' κεφ. Κἂν[1] τὸ πολὺ μέρος τοῦ χρέους ἔλαβεν ὁ δανειστὴς, οὐδὲν ἧττον πιπράσκει τὸ ἐνέχυρον· καὶ πωλήσας ἰσχυρῶς ἐπώλησεν.

26. Ἐν δὲ τῷ μγ' κεφ. Οὐκ ἄλλως ὁ χρεώστης δύναται ἐμποδίζειν τῇ πράσει τῶν ἐνεχύρων, εἰ μὴ ὁλόκληρον τὸ κεφάλαιον καὶ τοὺς τόκους προσφέρει, εἴτε οὖν ἀπόθηται. εἰ δέ[2] τι ἐλλείποι, οὐ μόνον οὐκ ἐμποδίζει, ἀλλὰ καὶ ὁ ἀγοραστὴς οὔκ ἐστι κακῇ πίστει νομεύς.

27. Ἐν δὲ τῷ νζ' κεφ. Ἐάν τις ἐνέχυρον λάβῃ καὶ συμφωνήσῃ τὶ περὶ αὐτοῦ, τὸ δόξαν κρατείτω. εἰ δὲ μηδὲν ἔδοξε, καὶ διετία παρέλθῃ μετὰ καταδίκην ἢ διαμαρτυρίαν, ἔξεστι πιπράσκειν αὐτό. εἰ δὲ μὴ εὑρίσκει ἀγοραστὴν, ὥστε τὸ λοιπὸν δικαίῳ δεσποτείας νέμεσθαι αὐτὸν, τότε εἰ μὲν πάρεστιν ὁ χρεώστης, διαμαρτυράσθω αὐτῷ· εἰ δὲ ἄπεστι, εἰπάτω τῷ ἄρχοντι, ὥστε αὐτὸν ῥητὸν χρόνον τάξαι, οὗ ἐντὸς ὀφείλει ζητηθῆναι διὰ τῆς τάξεως. καὶ εἰ μὲν εὑρεθῇ καὶ τὸ χρέος δώσει, λαμβανέτω τὰ ἐνέχυρα. εἰ δὲ μὴ φανείη, πάλιν ῥητὸν χρόνον ὁριζέτω ὁ δικαστὴς, εἰς ὃν παραγένηται καὶ τὸ χρέος δῷ καὶ λάβῃ τὸ ἐνέχυρον. εἰ δὲ μήτε οὕτω φανείη, εἴτε καὶ[3] φανεὶς μὴ δῷ τὸ χρέος ὅλον, τότε προσίτω τῷ βασιλεῖ δικαίῳ δεσποτείας σχήσων αὐτό. καὶ μετὰ ταῦτα ἐχέτω ὁ χρεώστης ἄδειαν ἐντὸς ἄλλης διετίας εἰς τὸ προσενέγκαι τὸ χρέος, καὶ λαβεῖν τὰ οἰκεῖα μετὰ τῶν τόκων καὶ τῶν ζημιῶν τῶν συμβασῶν τῷ δανειστῇ, ὅρκῳ φανεροῦντος αὐτοῦ ταῦτα. εἰ δὲ παρέλθοι ἡ διετία, τέλειος ἔστω δεσπότης, μηκέτι ἀναπραττόμενος αὐτά.

28. Ἐν δὲ τῷ ξ' κεφ. Ἐὰν εἴπῃ ὁ δανειστὴς, ὅτι εἰ μὴ καταβληθείη μοι τὸ χρέος ἐντὸς τοῦδε τοῦ χρόνου, δεσπότης ἔσομαι τοῦ ἐνεχύρου, τοῦτο [τὸ] σύμφωνον ἀνίσχυρον ἔστω.

29. Ἐν δὲ τῷ ξβ' κεφ. Ὁ ἀγοράσας δανειστικῷ δικαίῳ ἐνέχυρον οὐ καλῶς κινεῖ περὶ ἐκνικήσεως, εἰ μὴ τοῦτο συμπεφώνηται, ἤγουν δόλῳ πέπραται. τότε γὰρ κινεῖται.

30. Ἐν δὲ τῷ η' τί. περιέχεται, ποίοις τρόποις τὸ ἐνέχυρον καὶ ἡ ὑποθήκη διαλύεται.

31. Ἀνάγν. καὶ βι. θ' τί. γ' κεφ. ιγ', ἐν ᾧ φησι· Τῶν διὰ τὸν ἐκβιβασμὸν λαμβανομένων ἐνεχύρων πρῶτα τὰ κινητὰ καὶ τὰ ἔμψυχα πιπράσκονται, καὶ εἰ μὴ ἀρκοῦσιν, ἢ μὴ εἰσὶ, τότε

---

[1] Lips. Ἐάν. [2] Lips. εἴ τε. [3] Leuncl. οὖν.

τὰ ἀκίνητα. εἰ δὲ μηδὲ τὰ ἀκίνητα ἀρκοῦσιν, ἢ οὐκ εἰσὶ, τότε τὰ δίκαια.

Εἰ δὲ τὰ λεχθέντα ἐνέχυρα μηδεὶς ἀγοράζει, προσκυροῦνται τῷ νικήσαντι ἐφ᾽ οἷς χρεωστεῖται. κἂν θελήσῃ αὐτὰ ὡς ἐνέχυρα κρατεῖν καὶ ἀρκεῖσθαι αὐτοῖς, τὸ περιττὸν οὐκ ἀπαιτεῖ. δοκεῖ γὰρ ἐφ᾽ οἷς χρεωστεῖται διαλύεσθαι[1].

32. Καὶ κεφ. λα', ἐν ᾧ φησι· Τοῖς χρεώσταις αἰτοῦσι δεῖ[2] δίδοσθαι προθεσμίαν· εἰ δὲ δεήσοι, καὶ ἐπεκτείνεσθαι. τῶν ἀγνωμόνως ὑπερτιθεμένων καὶ ἐνέχυρα λαμβάνονται. καὶ τῷ κατακριθέντι δὲ προθεσμία δίδοται. τῶν δὲ μετὰ τὴν προθεσμίαν μὴ διδόντων καὶ ἐνέχυρα λαμβάνονται, καὶ εἰ ἐντὸς δύο μηνῶν μὴ δῶσιν, αὐτὰ πιπράσκονται. καὶ εἴ τι περισσεύσει ἐκ τῆς τιμῆς, ἀναλαμβάνουσιν. καὶ κεφ. νϛ'.

33[c]. Ἀνάγν. καὶ βι. ιθ' τί. ιθ' κεφ. ιγ', ἐν ᾧ φησιν· Ἐὰν ἀπὸ τοῦ κατακριθέντος ἐλήφθη ἐνέχυρα, καὶ ταῦτα ἐπράθη, οὐ δύναται ὁ κατάκριτος κινεῖν κατὰ τοῦ ἀγοραστοῦ καὶ ἐκδικεῖν αὐτά. ὅπου γε εἰ καὶ ἄλλος ἐξενίκησεν αὐτὰ, ἔμελλεν ἐνάγεσθαι ὡς ὠφελημένος[3] ἐκ τῆς τιμῆς αὐτῶν.

34. Ἀνάγν. καὶ βι. κϛ' τί. ε' κεφ. ϥβ' θέμ. δ'. ἀνάγν. καὶ βι. να' τί. δ' κεφ. δ' θέμ. θ'.

XXV.

Περὶ ἐνοίκων.

1. Ἀνάγν. βι. κ' τί. α', οὗτινος ἐν τῷ νδ' κεφ. φησί· Τῶν ἐνοίκων ἐπὶ πολλῶν χρόνων[4] τουτέστιν ἐπὶ διετίαν μὴ φαινομένων, μήτε στεγονόμιον κατατιθέντων, ἔξεστιν οἷς διαφέρει ἀνοίγειν, καὶ παρόντων δημοσίων προσώπων ἀπογράφεσθαι τὰ ἐκεῖ ὄντα.

2. Ἐν δὲ τῷ ξγ' κεφ. Ὡραῖον λέγει νόμιμον ἡ διάταξις, ὅτι ὁ ἔνοικος, ἐφ᾽ ὅσον δίδωσι τὸ μίσθωμα, οὐκ ἐκβάλλεται παρὰ τοῦ δεσπότου, εἰ μὴ ἄρα ἢ εἰς ἰδίαν χρείαν ἀναγκαίαν δέεται τοῦ οἴκου, ἢ ἐπισκευάσαι βούλεται, ἢ ὁ ἔνοικος κακῶς αὐτῷ κέχρηται.

---

c Ὁ δανειστὴς οὐ βλάπτεται τοῦ χρεώστου δικασαμένου καὶ ἡττηθέντος περὶ τοῦ ἐνεχύρου, ἐὰν μὴ ὑπεμνήσθη παρ᾽ αὐτοῦ.

---

[1] Leuncl. et Bas. διαλύσασθαι. [2] Leuncl. δοκεῖ. Basil. δίδοται et mox ἐπεκτείνεται. [3] Leuncl. ὠφειλημένος, in marg. ex conj. ὁ ὠφελούμενος. [4] Basil. πολὺν χρόνον.

3. Ἐν δὲ τῷ ξε΄ κεφ. Πάντα ὅσα οἱ μισθωτοὶ εἰσάγουσιν εἰς τὸν οἶκον τοῦ μισθωθέντος αὐτοῖς ἀγροῦ βουλομένου τοῦ δεσπότου, ὑπόκεινται ταῦτα ἐπὶ τῷ μισθώματι. ἐπὶ δὲ οἴκου μισθωθέντος, καὶ ἀγνοοῦντος τοῦ δεσπότου εἴ τινα εἰσενεχθῶσιν, ὑπόκεινται.

4. Ἀνάγν. καὶ βι. κε΄ τί. γ΄, οὗτινος ἐν τῷ β΄ κεφ. φησί· Τὰ εἰσφερόμενα εἰς τὸν οἶκον πάντα τὰ πράγματα τοῦ ἐνοίκου ὑπόκεινται οὐ μόνον ἐπὶ τοῖς στεγονομίοις, ἀλλὰ καὶ ἐφ᾽ οἷς τὸν οἶκον κατὰ ῥαθυμίαν ἔβλαψε, περὶ ὧν καὶ τῇ ἐπὶ τῇ μισθώσει ἀγωγῇ ὑπόκειται. ὁμοίως καὶ ἐν τῷ δ΄ κεφ. φησίν. ἀνάγν. καὶ τί. ε΄ κεφ. θ΄ θέμ. β΄.

5. Ἀνάγν. καὶ βι. ξ΄ τί. ιθ΄, ἐν ᾧ διαλαμβάνεται περὶ τῶν κωλυομένων μετοικῆσαι, οὗτινος ἐν τῷ β΄ κεφ. φησίν· Εἰ συμφωνήσει ὁ ἔνοικος πρὸ ῥητοῦ χρόνου μὴ ἀναχωρεῖν, καὶ δοὺς ὑπὲρ μέρους θέλει[1] μετοικῆσαι, οὐ κινεῖ τὸ νόμιμον παράγγελμα, εἰ μὴ τὸ πᾶν δῷ. εἰς ὅλον γὰρ τὸν χρόνον ὑπόκεινται τὰ ἐνέχυρα. καὶ εἰ μὴ ἐλευθερωθῶσιν, οὐ κινεῖται τὸ νόμιμον παράγγελμα. περὶ τούτων δὲ πλατύτερον εὑρήσεις ἐν τῷ περὶ μισθώσεως καὶ ἐκμισθώσεως τίτλῳ.

XXVI.

Περὶ ἐντολῶν καὶ ἐντολέων.

1. Ἀνάγν.[2] βι. ιγ΄ τί. β΄ κεφ. α΄ θέμ. ϛ΄, ἐν ᾧ φησιν· Ἐὰν θέλοντί μοι παραθέσθαι σοι πρᾶγμα ἐπιτρέψῃς αὐτὸ παρασχεῖν τῷ ἀπελευθέρῳ σου, εἰ μὲν ὡς σοῦ μέλλοντος φυλάττειν ἔδωκα, κατὰ σοῦ ἔχω τὴν περὶ παραθήκης ἀγωγήν· εἰ δὲ συνεβούλευσάς μοι μᾶλλον τῷ ἀπελευθέρῳ παραθέσθαι, κατ᾽ αὐτοῦ μὲν ἔχω τὴν περὶ παραθήκης ἀγωγὴν, κατὰ σοῦ δὲ [οὔτε τὴν περὶ παραθήκης ἀγωγὴν] οὔτε τὴν περὶ ἐντολῆς, εἰ μὴ ἐνετείλω μοι κινδύνῳ σου αὐτῷ παραθέσθαι.

2. Ἀνάγν. καὶ βι. ιδ΄ τί. α΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ἡ τῆς ἐντολῆς ἐνοχὴ τῆς περὶ συμφωνίας ἀγωγῆς ἐστι.

Καὶ συνίσταται ἡ ἐντολὴ καὶ δι᾽ ἀγγέλου καὶ δι᾽ ἐπιστολῆς, καὶ οἱοισδήποτε ῥήμασι, καὶ ὑπὸ ἡμέραν καὶ ὑπὸ αἵρεσιν.

Κατὰ χάριν εἶναι δεῖ τὴν ἐντολήν· παρεντιθεμένων γὰρ χρημάτων μίσθωσις γίνεται.

---

[1] Leuncl. θελήσει. [2] Hunc locum Leuncl. in fine tituli collocat.

3. Ἐν δὲ τῷ γ' κεφ. Ἔσθ' ὅτε ὁ ἐνταλθεὶς κρείττονα ποιεῖ τὴν αἵρεσιν τοῦ ἐντειλαμένου, χείρονα δὲ οὐδέποτε.

4. Ἐν δὲ τῷ ϛ' κεφ. θέμ. γ'· Ἐπὶ αἰσχρῷ πράγματι ἐντολὴ οὐ συνίσταται.

Ἐὰν ἐντείλωμαί σοι ὑπὲρ ἑτέρου τὶ πρᾶξαι, τίκτεται μεταξὺ ἐμοῦ καὶ σοῦ ἡ περὶ ἐντολῆς ἀγωγή.

Εἰ δὲ ὑπὲρ σοῦ μόνου, οὐκ ἐνέχομαι, εἰ μὴ ἄρα οὐκ ἂν ἔπραξας, εἰ μὴ ἐνετειλάμην, [εἰ[1] καὶ ἐμοὶ διαφέρει].

5. Ἐν δὲ τῷ ζ' κεφ. Τὸ ὁρισθὲν τῷ διοικητῇ τῆς δίκης ὀψώνιον ἐξτραορδίνως ἀπαιτεῖται, καὶ σκοπεῖ ὁ δικαστής, εἰ ὑπὲρ καμάτου συνεφωνήθη. τότε γὰρ ὀφείλει δοθῆναι· οὐ μὴν ὅτε τὸ τῆς δίκης ἀποτέλεσμα πολλοῖς χρήμασιν ὁ διοικητὴς παρανόμως ἠγόρασεν.

6. Ἀνάγν. καὶ βι. ιζ' τί. α' κεφ. κζ' καὶ βι. κζ'[2] καὶ βι. κϛ' τί. δ' κεφ. λϛ'[3], ἐν ᾧ φησιν· Οὐ δύναται ὁ ἐντολεὺς ὁ ἐνταλθεὶς κινῆσαι περὶ χρέους μέρος λαβεῖν καὶ τοῦ λοιποῦ ἀμεριμνίαν ποιῆσαι· ἐπειδὴ οὐδὲ μετατεθῆναι[4] ἢ ἀνακαινίσαι δύναται τὴν ἀγωγήν. ἀνάγν. καὶ τί. ε' κεφ. ριε'.

7. Ἀνάγν. καὶ βι. νγ' τί. α' κεφ. κε' θέμ. γ', ἐν ᾧ φησιν· Ὁ ἐνταλθεὶς οὐκ ἀπαιτεῖ ἅπερ ἐληστεύθη ἢ ναυαγίῳ ἀπώλεσεν, ἢ περὶ τὴν ἰδίαν ἢ τὴν τῶν ἰδίων νόσον ἐδαπάνησε. ταῦτα γὰρ κατὰ τύχην[5], οὐ μὴν ἐκ τῆς ἐντολῆς συνέβη.

XXVII.

Περὶ ἐντολέων.

1. Ἀνάγν. βι. η'[6] τί. β' ἀπὸ τοῦ π' κεφ. ἐν δὲ τῷ πθ' κεφ. φησί· Μηδεὶς τὴν ἑτέρου δίκην ἀγοραζέτω. προῖκα μέντοι γενέσθω ἐντολεὺς εἰ βούλεται, καὶ μὴ χρήματα δοὺς τὴν ἀγωγὴν ἐντελλέσθω.

2. Ἐν δὲ τῷ ϙε' κεφ. Μετὰ προκάταρξιν ὁ ἐντολεὺς [μὴ] ἀποκινείσθω παρὰ τοῦ δεσπότου τῆς δίκης, εἰ μὴ κεφαλικῆς ἔχθρας ἢ νόσου ἢ ἑτέρας ἀναγκαίας παρεμπεσούσης[7] αἰτίας.

3. Ἀνάγν. καὶ βι. θ' τί. ι' κεφ. ι' καὶ τί. ια', οὕτινος ἐν τῷ κ' κεφ. φησίν· Οὐ μόνον ἐνάγων, ἀλλὰ καὶ ἐπερωτῶν ἐκ προσώπου τοῦ ἀπολιμπανομένου δίδωσι τὴν ἱκανοδοσίαν ὁ ἐντολεύς.

---

[1] Lege cum Basil.: ἢ. [2] Haec verba καὶ βι. κζ' corrupta sunt. Forte: καὶ κεφ. μζ' (sive μϛ', ut est in Basil. nostris). [3] Leuncl. λε'. [4] Leuncl. μεταθῆναι. Basil. μεταθεῖναι. [5] Lips. ψυχήν. [6] Lips. ν'. [7] Leuncl. παραπεμπούσης.

4. *Ἀνάγν. καὶ βι. να΄ τί. δ΄ κεφ. θ΄, ἐν ᾧ φησιν·* Ἐὰν ὁ ἐντολεύς μου χρήμασιν ὑποφθαρεὶς καταδικασθῆναι ἀνάσχηται, κέχρημαι παραγραφῇ. καὶ οὔτε αὐτὸς ἅπερ ἔλαβεν ἀποδίδωσιν· αἰσχρᾶς γὰρ ὑποκειμένης αἰτίας κρείττων ἐστὶν ὁ λαβών. *καὶ κεφ. κθ΄.*

5. *Ἀνάγν. καὶ βι. ξ΄ τί. να΄*[1] *κεφ. λδ΄ θέμ. ζ΄, ἐν ᾧ φησιν·* Ὁ ἐντολεὺς τὰ τῆς δίκης προδιδοὺς δικαιώματα, εὐτελὴς μὲν ὤν, μεταλλίζεται· τίμιος δὲ δημεύεται εἰς τὸ ἥμισυ, καὶ διηνεκῶς ἐξορίζεται.

XXVIII.

Περὶ ἐξορίστων.

1. *Ἀνάγν. βι. ξ΄ τί. να΄ κεφ. γ΄ θέμ. β΄, ἐν ᾧ φησιν·* Οἱ μὴ πειθαρχοῦντες τῇ ἐξορίᾳ, ἀλλ᾽ ἢ ἐν ἑτέροις εὑρισκόμενοι τόποις, ἢ μὴ ἀπιόντες ἐν τῇ ἐξορίᾳ[2], ἀντὶ μὲν ἐξορίας προσκαίρου διηνεκῆ ὑφίστανται· ἀντὶ δὲ διηνεκοῦς ἐξορίας περιορισμόν· ἀντὶ δὲ περιορισμοῦ κεφαλικὴν τιμωρίαν.

2. *Καὶ κεφ. λ΄, ἐν ᾧ φησιν·* Ὁ προσκαίρως ἐξοριζόμενος ἐὰν ἀποφύγῃ, διηνεκῶς ἐξορίζεται· ὁ δὲ διηνεκῶς ἐξορισθεὶς, μεταλλίζεται. ὁ δὲ μεταλλισθεὶς ἀποφεύγων ἀποκεφαλίζεται.

Καὶ ὁ πρόσκαιρον φυλακὴν φυγὼν διηνεκῶς φυλάττεται, ὁ δὲ διηνεκῆ[3] φεύγων μεταλλίζεται, ὁ δὲ μέταλλον φυγὼν ἐσχάτως τιμωρεῖται.

3. *Καὶ κεφ. με΄ καὶ νς΄ καὶ ξ΄ καὶ τί. νδ΄, οὔτινος ἐν τῷ α΄ κεφ. φησίν·* Ὁ ἐξόριστος οὐ δημεύεται.

Ὁ περιωρισμένος ἐλευθεροῦν οὐ δύναται.

XXIX.

Περὶ ἐξωπροίκων.

1. *Ἀνάγν. βι. κθ΄ τί. α΄ κεφ. ς΄ θέμ. γ΄, ἐν ᾧ φησι·* Τὰ ἐξώπροικα οὐ γίνονται τοῦ ἀνδρὸς, εἰ μὴ ἐπὶ τοῦτο[4] δοθῶσιν αὐτῷ· καὶ λυομένου τοῦ γάμου κατὰ νόμους ἀπαιτοῦνται, καὶ οὐ διὰ τῆς ἐπὶ τῇ προικὶ ἀγωγῆς. εἰ δὲ περὶ αὐτῶν ἀσφαλίσεται[5], δηλῶν αὐτὰ εἰσαχθῆναι εἰς τὸν οἶκον[6] αὐτοῦ, κἂν ἀδιάφορόν ἐστι τὸ θέλοντος αὐτοῦ ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ τὸ

---

[1] Lips. *κα΄ κεφ. λα΄.* [2] Leuncl. et Basil. *εἰς τὴν ἐξορίαν.* [3] Lips. *διηνεκῶς.* [4] Leuncl. *τούτῳ.* [5] Leuncl. *ἀσφαλίζεται.* [6] Leuncl. *εἰς τὸν ἄνδρα.* Bas. *ἐν τῷ οἴκῳ.*

παραδοθῆναι αὐτῷ, ὅμως οὐ γίνονται αὐτοῦ. διὰ γὰρ τὸ μὴ ἀρνήσασθαι αὐτὸν ἀσφαλίζεται, καὶ ὡς ἐπίπαν μὲν ὁμολογεῖ τὴν φυλακὴν αὐτῶν, εἰ μὴ ἡ γυνὴ κατεῖχεν αὐτά· καὶ μὴ ἀποδιδοὺς ἐνάγεται τῇ περὶ παραθήκης ἀγωγῇ, καὶ τῇ περὶ ἐντολῆς. εἰ δὲ μὴ ἀνεδέξατο τὴν φυλακὴν, εἰ μὲν ἐπὶ τῷ ἀποκλέψαι παρεκράτησεν αὐτὰ, χώρα τῇ ἀγωγῇ τῇ περὶ ἀπαιτήσεως πραγμάτων· εἰ δὲ μὴ διὰ τὸ ἀποκλέψαι παρεκράτησεν, ἡ περὶ ἀποκρυβέντων πραγμάτων ἀγωγὴ κινεῖται. λέγεται δὲ παρὰ τοῖς γάλλοις τὰ παράφερνα πεκούλια.

2. *Ἀνάγν. καὶ βι. λ' τί. α' κεφ. οα', ἐν ῷ φησιν· Ἐὰν τὰ ἐξώπροικα τῆς γυναικὸς ὁ ἀνὴρ δαπανήσῃ, εἰ μὲν δωρησαμένης ἐκείνης, οὐκ ἐνάγεται ὁ κληρονόμος αὐτοῦ, εἰ μὴ μόνον εἰς ὃ γέγονε πλουσιώτερος· εἰ δὲ παρὰ γνώμην αὐτῆς, τέλεια πάντα τὰ ἐξώπροικα ἀναγκάζεται ἀποκαταστῆσαι.*

XXX.

Περὶ ἐξοπλισμοῦ ἀγροῦ τε καὶ οἴκου καὶ ἐργαστηρίων.

1. *Ἀνάγν. βι. μδ'* [1] *τί. ι', περὶ οὗ εὑρήσεις ἐν τῷ περὶ λεγάτων.*

XXXI.

Περὶ ἐπαγγελλομένων ἔργον τὶ ποιεῖν ἐν πόλει ἢ χρήματα διδόναι.

1. *Ἀνάγν. βι. νδ' τί. ιγ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ἐπαγγειλάμενος πόλει ποιεῖν ἔργον ἢ διδόναι χρήματα εἰ μὴ ἀπὸ ὑπερθέσεως οὐ χρεωστεῖ τόκους. οὐ πάντως δὲ ὁ ἐπαγγειλάμενος ἐνέχεται. εἰ μὲν γὰρ διὰ τὸ ψηφισθῆναι αὐτῷ τιμὴν ἤ τινα [ἑτέραν] εὔλογον αἰτίαν ἐπαγγείληται, κατέχεται. εἰ δὲ χωρὶς αἰτίας, οὐ κατέχεται, εἰ μὴ τοῦ ἔργου ἤρξατο. ἄρχεσθαι δὲ δοκεῖ θεμέλιον τιθεὶς, ἢ καθαίρων τὸν τόπον, ἢ ἐὰν ἀφορισθῇ αὐτῷ τόπος, ἢ ἐὰν ὕλας ἀπόθηται, ἢ τὰς δαπάνας. εἰ δὲ καὶ χρήματα ἐπαγγείληται, καὶ ἡ πόλις θαῤῥοῦσα τοῦ ἔργου ἄρξηται, ἐνέχεται.*

2. *Ἐν δὲ τῷ β' κεφ. Σύμφωνόν ἐστι δύο τινῶν*[2] *συναίνεσις καὶ συνέλευσις, ἡ δὲ ἐπαγγελία μόνου τοῦ ἐπαγγειλαμένου ὑπόσχεσις. καὶ ἐὰν διὰ τιμὴν ὑπέσχετο, τὸ χρέος ἀπαιτεῖται. εἰ δὲ καὶ μὴ διὰ τιμὴν, ἤρχθη δὲ τὸ ἔργον, ἀναγκάζεται πληρῶσαι.*

---

[1] Lips. *μα'*. [2] Leuncl. *δευτέρα*.

Ὁ ἐπαγγειλάμενος πρᾶγμά τι πόλει καὶ δοὺς, οὐ δύναται μεταμελούμενος ἀναλαβεῖν αὐτό.

XXXII.

Περὶ ἐπερωτήσεως καὶ ἐπερωτώντων καὶ ἐπερωτωμένων.

1. Ἀνάγν. καὶ βι. κδ´ τί. θ´, οὗτινος ἐν τῷ α´ κεφ. φησίν· Ὁ ἔν τινι τόπῳ ἐπερωτήσας ἑαυτῷ δοθῆναι δύναται καὶ ἀλλαχοῦ κινεῖν οὐτιλίαν ἀγωγήν,

Τὴν τοῦ ἐναγομένου καὶ τοῦ ἐνάγοντος σκοποῦσαν τὸ διαφέρον. διὸ καὶ αὔξει καὶ μειοῦται τὸ ποσόν.

2. Ἐν δὲ τῷ β´ κεφ. Ἐπὶ ἑτερότητος πραγμάτων, οἷον ἔνθα τὶς ὁμολογεῖ πέτρον ἢ παῦλον, τῶν μὲν δύο σωζομένων, ὁ ἐναγόμενος ἔχει τὴν ἐπιλογὴν, οἷον βούλεται παρασχεῖν· τοῦ ἑνὸς δὲ φθειρομένου, τὸ[1] ἕτερον ἀναγκάζεται παρασχεῖν. ἐπὶ δὲ τῆς τῶν τόπων ἑτερότητος ἐπιλογὴν ὁ ἐναγόμενος ἔχει καταβαλεῖν ἔνθα βούλεται· μὴ καταβάλλοντος δὲ αὐτοῦ ἀπαιτεῖ ὁ ἐνάγων ὅπου θέλει. εἰ δὲ μιγῇ ἡ ἑτερότης τῶν πραγμάτων καὶ[2] τῶν τόπων, ὁ ἐνάγων ἔχει τὴν ἐπιλογὴν, οἷον καὶ ὅπου βούλεται ἀπαιτεῖν.

3. Ἀνάγν. καὶ βι. κϛ´ τί. δ´ καὶ τί. ε´ κεφ. κθ´ καὶ λ´ καὶ λδ´ καὶ κεφ. ξη´ θέμ. δ´ καὶ κεφ. πζ´ θέμ. β´ καὶ κεφ. ϙ´ θέμ. β´ καὶ ζ´ καὶ κεφ. ϱβ´, ἐν ᾧ φησιν· Ἡ ἐπερώτησις ἢ φυσικῶς λύεται ἢ πολιτικῶς· φυσικῶς μὲν διὰ καταβολῆς, ἢ ὅτε φθαρῇ τὸ ὁμολογηθὲν πρᾶγμα χωρὶς ῥᾳθυμίας τοῦ ἐπερωτηθέντος· πολιτικῶς δὲ δι᾽ ἀποχῆς, ἢ ὅταν εἰς τὸ αὐτὸ περιστῇ πρόσωπον τὰ δίκαια τοῦ ἐπερωτήσαντος καὶ [τοῦ] ἐπερωτηθέντος.

4. Ἀνάγν. καὶ βι. μγ´ τί. α´, οὗτινος ἐν τῷ ε´ κεφ. θέμ. γ´ φησί· Τῶν ἐπερωτήσεων αἱ μὲν δικαστικαί εἰσιν, αἱ δὲ πραιτωρίαι, αἱ δὲ κατὰ ταὐτὸν καὶ δικαστικαὶ καὶ πραιτωρίαι, ἄλλαι συναινετικαί. δικαστικαί εἰσιν οἱ μόνως ἐκ τοῦ ὀφφικίου τοῦ δικαστοῦ ἁρμόζουσαι, ὡς ἡ περὶ τοῦ δόλου ἀσφάλεια[a]. πραιτωρίαι δὲ αἱ ἀπὸ τοῦ πραίτωρος, ὡς ἡ περὶ μελλούσης ζημίας κινουμένη

---

[a] Ἡ περὶ δόλου ἐστὶν οὕτως· χρεωστῶν μοί τις ἐξ ἐπερωτήσεως δοῦλον καὶ ἐναγόμενος ἐκακούργει τοῦ παραδοῦναί μοι τοῦτον, καὶ ὑπέλαβον μήποτε φάρμακον αὐτῷ παρέσχεν εἰς τὸ μικρὸν ὕστερον τελευτῆσαι. διὰ τοῦτο ὀφφίκιόν ἐστι τοῦ δικαστοῦ, ἀναγκάζειν τὸν ἐναγόμενον διδόναι τὸν οἰκέτην καὶ ἐπερωτᾶσθαι ὅτι οὐδένα δόλον ἐμηχανήσατο ἐπὶ βλάβῃ τοῦ δούλου.

[1] Basil. τόν. [2] Lips. ἢ καί.

ἀγωγή. πραιτωρίας δὲ νόει καὶ τὰς αἰδιλικίας. κατὰ ταὐτὸν δὲ δικαστικαὶ καὶ πραιτωρίαι, ὡς ἡ περὶ τῶν πραγμάτων τῶν ἀνήβων φυλακὴ, καὶ ἡ περὶ τοῦ διπλασίου. συναινετικαὶ δὲ ἐπερωτήσεις εἰσὶν αἱ ἀπὸ συμφώνου γινόμεναι.

5. Ἐν δὲ τῷ ϛ' κεφ. Ἐπερώτησίς ἐστι συνθήκη ῥημάτων, δι' ὧν ἀποκρίνεταί τις πρὸς τὴν ἐπερώτησιν ποιεῖν τι ἢ διδόναι.

Ἐὰν ἐπερωτήσω τὸ κεφάλαιον καὶ ἐκ τοῦ μὴ καταβληθῆναι ποινὴν[b], καὶ ὁ εἷς τῶν κληρονόμων μὴ καταβάλῃ, βεβαιοῦται καὶ κατὰ τῶν ἄλλων ἡ ποινή.

6. Ἐν δὲ τῷ ιζ' κεφ. Ἐπερώτησις τῆς προαιρέσεως ἠρτημένη τοῦ ὁμολογοῦντος[c] οὐκ ἔῤῥωται.

7. Ἐν δὲ τῷ κϛ' κεφ. Αἱ αἰσχραὶ ἐπερωτήσεις ἀνίσχυροί εἰσιν.

8. Ὡς ὅταν τὶς ὁμολογῇ[1] φόνον ποιεῖν ἢ ἱεροσυλίαν. οὔτε ἀγωγὴ ἐκ τῶν τοιούτων ἁρμόζει.

9. Ἐν δὲ τῷ λδ'[2] κεφ. Ἐὰν ἐπερωτήσω τὸ κατὰ φύσιν μὴ δυνάμενον γενέσθαι, ἄχρηστος ἡ ἐπερώτησις, ὥσπερ ὅτε ἐπερωτῶ τὸ μὴ δυνάμενον δοθῆναι, εἰ μὴ ἄρα παρὰ τὸν ἐπερωτηθέντα γέγονε τὸ μὴ δυνηθῆναι δοῦναι.

Εἰ δὲ καὶ ὁ νόμος κωλύει γενέσθαι τὸ ἐπερωτηθὲν, ἄχρηστος ἡ ἐπερώτησις. ὡς ὅταν ὁμολογήσω γαμῆσαι τὴν ἀδελφήν μου.

10. Ἐν δὲ τῷ λϛ' κεφ. Ὅτε τὶς παρὰ τὸ σύμφωνον κατὰ δόλον ἐπερωτηθῇ, εἰ καὶ μὴ ἀπὸ τοῦ ἀντιδίκου ἀλλ' ἐξ αὐτοῦ τοῦ πράγματος ἠπατήθη, ἔχει τὴν τοῦ δόλου παραγραφήν.

11. Ἐν δὲ τῷ με' κεφ. Εἴ τι ἐπερωτήσει ὁ ὑπεξούσιός μου, ἐγὼ δοκῶ ἐπερωτᾷν.

Καὶ ὥσπερ ὁ αὐτεξούσιος, οὕτω καὶ ὁ ὑπεξούσιος ἐπερωτᾷν δύναται, ὅτε μέλλει τελευτᾷν.

Ὁ ὑπεξούσιος υἱὸς, εἰ καὶ μὴ μνησθῇ τοῦ πατρὸς, αὐτῷ προσπορίζει τὴν ἐπερώτησιν.

12. Ἐν δὲ τῷ ϙα' κεφ. Ἐὰν μὴ γενομένης ὑπερθέσεως ὁ

---

b Οἷον ὅτι συμφωνῶ μετά σου τὰ καὶ τὰ, ἐὰν δὲ ἴσως μὴ ποιήσω τοῦτο, πείσομαι τόδε.

c Οἷον ὡμολόγησα ἐπερωτώμενος δοῦναί σοι τόπον ἐν τᾷ ἀγρῷ μου, μὴ δηλώσας τὸ πόσον ἢ ποῖον.

---

1 Lips. ὁμολογεῖ. 2 Lips. κζ'. Forte themati praecedenti inscribendum erat: Ἐν δὲ τᾷ κζ' κεφ.

δοῦλος ὃν ἐπερωτήθην ἀποθάνῃ, οὐκ ἐνέχομαι, εἰ μὴ ἐγὼ αὐτὸν ἐφόνευσα, ἢ ἐποίησά τι πρὸς τὸ ἀποθανεῖν αὐτόν.

Ἐὰν ὁ ἐπερωτηθεὶς ὑπέρθεσιν ποιήσῃ, διηνεκῆ ποιεῖ τὴν ἐνοχὴν καθ᾽ ἑαυτοῦ καὶ τῶν αὐτοῦ διαδόχων καὶ τῶν ἐγγυητῶν. ὅθεν καὶ ἀποθανόντα τὸν δοῦλον καλῶς ἀπαιτεῖται, καὶ δίδωσιν ἐπ᾽ αὐτῷ ἐγγυητὴν, καὶ ἀνακαινίζει τὴν ἐπ᾽ αὐτῷ ἐνοχήν. ὁ δὲ ποιήσας ὑπέρθεσιν, καὶ ὕστερον προσφέρων τὸ ἐπερωτηθὲν, λύει τὴν ἐνοχήν.

13. Ἐν δὲ τῷ ϛη′ κεφ. Τὸ συμβαλλόμενον τῇ συστάσει τῆς ἐνοχῆς, εἰ μὴ φανερῶς ἐκφωνηθῇ, παραλελεῖφθαι πιστεύεται. τὴν γὰρ ἀσάφειαν ὡς ἐπὶ τὸ πολὺ ὑπὲρ τοῦ ὁμολογήσαντος ἑρμηνεύομεν.

14. Ἐν δὲ τῷ ρη′ κεφ. Οὐκ ἔῤῥωται ὁμολογία τῆς βουλήσεως ἠρτημένη τοῦ ἐπερωτωμένου.

15. Ἐν δὲ τῷ ρκθ′ κεφ. [θέμ. γ′]· Ἡνίκα ὁμολογία μεταξὺ παρόντων γράφεται, πιστεύεται ἡγεῖσθαι ἡ ἐπερώτησις, κἂν μὴ ἔγκειται.

Ὅτε πολλοῖς συμφώνοις μία ἐπερώτησις καὶ ὁμολογία ὑποβάλλεται, δοκεῖ περὶ ἑκάστου εἴδους ἡ ἐπερώτησις γίνεσθαι.

16. Ἀνάγν. καὶ τί. β. καὶ τί. γ′, ἐν ᾧ διαλαμβάνεται περὶ ἐπερωτήσεων δούλων, οὗτινος ἐν τῷ ιϛ′ κεφ. φησίν· Ὁ δοῦλός μου, εἴτε ἐμοὶ εἴτε αὐτῷ εἴτε τῷ συνδούλῳ εἴτε ἀπροσώπως ἐπερωτήσει, ἐμοὶ προσπορίζει.

17. Ἀνάγν. καὶ τί. δ′, ἐν ᾧ διαλαμβάνεται περὶ πραιτωρίων ἐπερωτήσεων.

18. Ἀνάγν. καὶ τί. ε′, οὗτινος ἐν τῷ ε′ κεφ. φησίν· Οὐκ ἀεί τις ἀπὸ ψιλῆς ἐπαγγελίας κατέχεται. εἰ μέντοι προσομολογήσοι, ὅτι εἰ μὴ ποιήσω, ποινὴν δίδωμι ὅσον ἄξιον ἦν τὸ ἐπαγγελθὲν, παραβαίνων τὴν ἐπαγγελίαν δίδωσι τὸ πρόστιμον.

19. Ἐν δὲ τῷ θ′ κεφ. Ἐάν τις διὰ θάνατον ἢ σώματος αἰκισμὸν δεδοικὼς ὡμολόγησέ τι, ἐναγόμενος ἔχει παραγραφήν. εἰ δὲ δι᾽ εὔλογον οὐ μὴν αἰσχρὰν αἰτίαν ὡμολόγησε, κρατεῖται. εἰ δὲ διὰ τὸ μὴ κατηγορηθῆναι ἐγκληματικῶς, οὐκ ἔῤῥωται.

20. Ἐν δὲ τῷ ιγ′ κεφ. Πᾶσα ἐπερώτησις, εἴτε ἐν δόσει, εἴτε ἐν ποιήσει εἴη[1], εἴτε μικτὴ, καὶ εἰς κληρονόμους καὶ κατὰ κληρονόμων πεμπέσθω, κἂν μνήμη γέγονεν αὐτῶν κἂν μή.

[1] Lips. et Leuncl. corrupte: ἢ ἐν δόσει, ἐν ποιήσει εἴη.

ὃ γὰρ τοῖς πρωτοτύποις ἐπετέτακτο, δυνατὸν καὶ τοὺς κληρονόμους ποιῆσαι, καὶ οὐ χρὴ τῇ ἀκριβείᾳ τοσοῦτον προσέχειν.

21. Ἀνάγν. καὶ τί. ϛ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ἐὰν συμφωνήσωσί τινες ὥστε τὸν προτελευτῶντα τῷ ἑτέρῳ διδόναι τὴν οὐσίαν τὴν ἰδίαν, ἄχρηστον τὸ γεγονός[d].

22. Ἀνάγν. καὶ βι. να' τί. δ' κεφ. β' θέμ. γ'.

XXXIII.

Περὶ ἐπιβούλων τῶν κατὰ οἱονδήποτε τρόπον, εἴτε κατὰ τῆς βασιλείας εἴτε κατὰ τῆς πολιτείας ἢ τοῦ στρατοῦ ἢ τῶν ἀρχόντων αὐτῶν, μελετησάντων ἢ στασιασάντων ἢ προδοσίαν τινὰ ποιησάντων, ἢ πρὸς τοὺς πολεμίους αὐτομολησάντων, ἢ γράμματα στειλάντων, ἢ ἐρεθισάντων στρατιώτας πρὸς στάσιν καὶ θόρυβον, ἢ προδιδόντων κάστρα, ἢ ἀνταιρόντων, ἢ συνωμοσίαν ποιούντων, ἢ βλαπτόντων τεῖχος ἢ δι' αὐτοῦ καὶ μὴ διὰ τῆς πόρτης εἰσιόντων, καὶ τίνες αὐτῶν ὑπόκεινται τῷ τῆς ἱεροσυλίας ἐγκλήματι καὶ τίνες τῷ τῶν φονευτῶν.

1. Ἀνάγν. βι. ξ' τί. λϛ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ περὶ τῶν ἐπιβούλων νόμος ὅμοιός ἐστι τῷ περὶ ἱεροσυλίας, καὶ ἐνέχεται αὐτῷ.

2. Ἐν δὲ τῷ ιζ' κεφ. Ἐπὶ τῆς καθοσιώσεως καὶ οἱ ἐνάγοντες βασανίζονται, εἰ μὴ φανεροὺς ἐλέγχους ἔχουσιν[a].

3. Ἐν δὲ τῷ κ' κεφ. Οἱ ἡμαρτηκότες καθοσίωσιν καὶ μετὰ τελευτὴν ἐνέχονται, καὶ δημεύεται ἡ οὐσία αὐτῶν.

4. Ἀνάγν. καὶ τί. να' κεφ. λδ', ἐν ᾧ φησιν· Οἱ αὐτόμολοι καὶ οἱ τὰς ἡμῶν βουλὰς τοῖς πολεμίοις ἀπαγγέλλοντες καίονται ἢ φουρκίζονται.

5. Καὶ κεφ. λϛ', ἐν ᾧ φησιν· Ὁ τὸν πολέμιον φεύγοντα ἐν εἰδήσει ὑποδεξάμενος περιορίζεται. ὁ δὲ εἰδὼς αὐτὸν εἶναι πολέμιον, καὶ ἐπὶ πολὺ ἀνασχόμενος κρύπτεσθαι, ἐξορίζεται.

6. Καὶ κεφ. νβ', ἐν ᾧ φησιν· Ὁ τοὺς βαρβάρους ναῦς κατασκευάζειν διδάσκων κεφαλικῇ τιμωρίᾳ ὑπόκειται.

7. Ἀνάγν. καὶ τί. νβ' κεφ. ιε', ἐν ᾧ φησιν· Ἐάν τις ὡς ἐπὶ τυραννίδι διελεγχθεὶς[1] δήμευσιν ὑπομείνῃ, οἱ μὲν ἔχοντες αὐ-

---

d Ὡς κατὰ τῶν καλῶν τρόπων ὄν. οὔτε γὰρ σύμφωνα οὔτε ἐπερώτησις οὕτω γενομένη ἰσχύει.

a Ἐν δὲ τῷ ν' τί. κεφ. ιθ' φησὶν, ὅτι καὶ οἱ μαρτυροῦντες βασανίζονται τοῦ πράγματος ἀπαιτοῦντος· ὅπερ εὑρήσεις ἐν τῷ περὶ ζητήσεως τεθέν.

---

1 Leuncl. ἐλεγχθείς.

τοῦ πράγματα καὶ διάγοντες ἐν τῇ βασιλίδι πόλει εἴσω δύο-μηνῶν ὀφείλουσιν αὐτὰ προσαγγεῖλαι· οἱ δὲ μὴ διάγοντες ἐν τῇ βασιλίδι πόλει εἴσω ὀκτὼ μηνῶν. εἰ δὲ μὴ τοῦτο ποιήσουσι, μετὰ τῶν πραγμάτων τὸ τετραπλάσιον παρέχουσι[1].

XXXIV.

Περὶ ἐπιβολῆς. ἐστὶ δὲ ἐπιβολὴ ἐπίδοσις ἀπόρου κτήσεως πρὸς κληρονόμους ἢ συντελεστὰς καὶ ὁμοχώρους καὶ ὁμοκήνσους.

1. Ἀνάγν. βι. νς' τί. κ' κεφ. η'[2], ἐν ᾧ φησιν· Εἴποτε δὲ συμβαίη ἐπιβολὴν οἱασδήποτε κτήσεως ὁμοδούλων ἢ ὁμοκήνσων γενέσθαι, ἐξ ἐκείνου τοῦ χρόνου κελεύομεν τὸν τὴν ἐπιβολὴν δεχόμενον ἀπαιτεῖσθαι ὑπὲρ αὐτῆς τὰ δημόσια, ἐξ οὗ παρεδόθη αὐτῷ ἡ ἐπιβαλλομένη κτῆσις. μὴ ἄλλως δὲ τὴν ἐπιβολὴν γενέσθαι, εἰ μὴ ἔγγραφος περὶ τούτου ἐξέτασις γένηται παρὰ τῷ τῆς ἐπαρχίας ἄρχοντι, καὶ ψῆφος αὐτοῦ προέλθῃ, διορίζουσα τὸν ὀφείλοντα δέξασθαι τὴν ἐπιβολήν.

Εἴποτε δὲ συμβαίη δεσπότην οἱασδήποτε κτήσεως ἢ μὴ φαίνεσθαι ἢ πρὸς τὴν τῶν δημοσίων καταβολὴν μὴ ἀρκεῖν, ὥστε διὰ τοῦτο τὴν τῆς ἐπιβολῆς ἀνάγκην γενέσθαι, κελεύομεν παραχρῆμα ταύτην παραδίδοσθαι τοῖς ὁμόδουλα ἢ ὁμόκνησα χωρία κεκτημένοις, μετὰ πάντων τῶν ἐν αὐτῇ εὑρισκομένων γεωργῶν καὶ πεκουλίων αὐτῶν καὶ ἐνθηκῶν καὶ καρπῶν καὶ ζώων καὶ πάσης ἄλλης ἐξοπλίσεως καὶ ἀμφιάσεως ἐκεῖσε εὑρισκομένης. εἰ δὲ ἢ τὸ πρόσωπον τὸ ὀφεῖλον αὐτὴν κατὰ [τοὺς] νόμους ὑποδέξασθαι μὴ εὑρεθείη, ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ ὑπερτεθῆναι τὴν ἐπιβολὴν συμβαίη, κελεύομεν ὑπομνήματα γίνεσθαι παρὰ τῷ τῆς ἐπαρχίας ἄρχοντι, δηλοῦντα τὴν ποιότητα καὶ κατάστασιν τῆς αὐτῆς κτήσεως καὶ πάντα τὰ ἐν αὐτῇ εὑρισκόμενα. καὶ οὕτως αὐτὴν οἱ πολιτευόμενοι, εἴτε οὖν ἐξάκτορες ἢ βίνδικες ἢ ταξεῶται, παραλαμβάνουσιν, ὥστε εἰ μετὰ ταῦτα εὑρεθεῖεν οἱ ὀφείλοντες αὐτὴν κατὰ [τοὺς] νόμους δέξασθαι, μὴ ἄλλως τοῦτο γενέσθαι, εἰ μὴ τὸ διὰ τῆς προφάσεως τῶν ἐξακτόρων ἢ βινδίκων ἢ ταξεωτῶν χεῖρον ἢ ἧττον γενόμενον τῷ παραλαμβάνοντι ἀποκατασταθείη.

---

[1] Lips. παρέχονται. [2] Sic Lips. Proinde dubium, an recte Heimbachius hunc locum titulo XVIII inseruerit. Leuncl. tamen τί. ιη' κεφ. ς' habet.

XXXV.

Περὶ ἐπιδίκων, τουτέστιν ὧν ἡ δεσποτεία φιλονεικεῖται[a].

1. Ἀνάγν. βι. κζ' τί. α', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ἐάν τις ἠρτημένης τῆς δίκης μετενέγκῃ εἰς ἕτερον ἢ τὰς ἀγωγὰς ἢ τὰ πράγματα οἱῳδήποτε τρόπῳ, εἰ μὲν οἶδεν ὁ λαμβάνων ἐπίμαχον αὐτὸ, οὐ μόνον τὸ πρᾶγμα ἀναδίδωσιν, ἀλλὰ καὶ τὸ τίμημα οὐ λαμβάνει. οὐ μὴν οὐδὲ ὁ πράτης αὐτὸ κερδαίνει, ἀλλὰ τῷ δημοσίῳ εἰσάγεται. εἰ δὲ ἀγνοεῖ, ἀκύρου γενομένου τοῦ συναλλάγματος οὐ μόνον τὰς τιμὰς ἀναλαμβάνει, ἀλλὰ καὶ τρίτον ἄλλο τιμωρούμενος τὸν πράτην ὡς δολερόν[b]· πάντων τῶν ἐπὶ τούτοις συμβολαίων γινομένων ἀνισχύρων ὄντων· ὑπεξῃρημένων τῶν εἰς προῖκα διδόντων ἢ πρὸ γάμου δωρεὰν ἢ διάλυσιν ἢ διανέμησιν[c], ἢ εἰς λεγάτον ἢ ἀποκατάστασιν[d] ἢ κατεχόντων ἢ λαμβανόντων.

2. Ἐν δὲ τῷ ζ' κεφ. θέμ. δ'· Οὐκ ἔξεστι τὸ ἐπίδικον θεῷ καθιεροῦν. καὶ ὁ τοῦτο ποιήσας δίδωσι τὸ διπλοῦν τῷ ἀντιδίκῳ αὐτοῦ, ὑπὲρ ὧν δυνατωτέρῳ ἀντιδίκῳ αὐτοῦ παρεδόθη.

XXXVI.

Περὶ ἐπιόρκων[a].

1. Ἀνάγν. βι. ξ' τί. λ' κεφ. δ'[1] ἐν ᾧ φησι· Περὶ τῆς ἐπιορκίας τοῦ ὀμόσαντος ἐν συμβολαίῳ ἰδιωτικὸν[2] αὐτοῦ εἶναι ὅπερ ὑποτίθεται, τὸ παρὸν ἔγκλημα ἁρμόζει, καὶ πρὸς καιρὸν ἐξορίζει.

2. Ἀνάγν. καὶ βι. κβ' τί. ε' κεφ. ι' θέμ. ε', ἐν ᾧ φησιν· Ὁ ἐπὶ χρήμασι κατὰ τοῦ βασιλέως ὀμόσας, καὶ ἐπιορκήσας, ῥοπαλίζεται.

3. Καὶ κεφ. μα'[3], ἐν ᾧ φησιν· Οὐδεὶς κατὰ θεοῦ ὀμόσας

---

a Ἀνάγν. καὶ νεαρὰν ριθ'.

b Ἰστέον ὅτι ἐὰν κατὰ δωρεὰν δοθῇ τὸ ἐπίδικον πρᾶγμα, ἀναδίδωσι μὲν καὶ αὐτὸ ὁ λαβὼν, προσαπαιτεῖται δὲ καὶ τὴν τιμὴν αὐτοῦ διατιμωμένου.

c Πραγμάτων κληρονομίας.

d Φειδικόμισσον.

a Ἀνάγν. καὶ νεαρὰν οζ'.

---

1 Leuncl. γ'. 2 Basil. ἰδικόν. 3 Leuncl. μδ'.

κινδυνεύει. ἱκανὸς γὰρ ὁ ὅρκος ἔχειν τιμωρὸν τὸ θεῖον, εἰ κατὰ τοῦ θεοῦ γέγονεν. εἰ δὲ κατὰ τοῦ βασιλέως κατά τινα θερμότητα ὤμοσέ τις, συγχωρεῖται.

XXXVII.

Περὶ ἐπισκόπων καὶ χειροτονιῶν αὐτῶν καὶ προνομίων[a].

1. Ἀνάγν. βι. γ' τί. α'[1], οὗτινος ἐν τῷ ς' καὶ ζ' κεφ. φησὶ περὶ τῶν συνηθειῶν τῶν παρεχομένων παρὰ τῶν χειροτονουμένων ἐπισκόπων πρὸς τὴν εἴσοδον τῶν ἰδίων ἐπισκοπῶν καὶ μητροπόλεων κανονισθεισῶν.

2. Ἐν δὲ τῷ ια' κεφ.[b]· Τοὺς δὲ θεοφιλεστάτους ἐπισκόπους καὶ μοναχοὺς ἐκ μηδενὸς νόμου ἐπιτρόπους ἢ κουράτορας οἱουδήποτε προσώπου γίνεσθαι συγχωροῦμεν[c].

3. Ἐν δὲ τῷ ιγ' κεφ. Οὐδενὶ δὲ τῶν ἀρχόντων ἐξέσται τοὺς θεοφιλεστάτους ἐπισκόπους ἀναγκάζειν εἰς δικαστήριον παραγενέσθαι ὑπὲρ τοῦ νεῖμαι μαρτυρίαν, ἀλλ' ὁ δικαστὴς πεμπέτω πρὸς αὐτούς τινας ἐκ τῶν προσώπων τῶν ὑπηρετουμένων αὐτῷ, ἵνα προκειμένων τῶν ἁγίων εὐαγγελίων κατὰ τὸ πρέπον ἱερεῦσιν εἴπωσιν, ἅπερ γινώσκουσιν.

Ἀλλ' οὐδὲ ὑπέρ τινος χρηματικῆς ἢ ἐγκληματικῆς αἰτίας ἐπίσκοπον πρὸς ἄρχοντα πολιτικὸν ἢ στρατιωτικὸν ἄκοντα ἢ διάγεσθαι ἢ παρίστασθαι δίχα βασιλικῆς κελεύσεως συγχωροῦμεν· ἀλλὰ τὸν ἄρχοντα τὸν τοῦτο εἴτε ἐγγράφως εἴτε ἀγράφως προστάξαι τολμήσαντα μετὰ τὴν τῆς ζώνης ἀφαίρεσιν εἴκοσι χρυσίου λιτρῶν ποινὴν καταβαλεῖν κελεύομεν, τῇ ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος διαχθῆναι ἢ παραστῆναι προσετάχθη, δοθησομένην, καὶ τοῦ ἐκβιβαστοῦ ὁμοίως μετὰ τὴν τῆς ζώνης ἀφαίρεσιν καὶ βασάνοις ὑποβαλλομένου καὶ ἐξορίᾳ παραπεμπομένου.

4. Ἐν δὲ τῷ ιδ' κεφ. Ἀπαγορεύομεν δὲ τοῖς θεοφιλεστάτοις ἐπισκόποις τὰς οἰκείας καταλιμπάνειν ἐκκλησίας, καὶ εἰς ἄλλας

---

a Ἀνάγν.[2] καὶ νεαρὰν ς' καὶ ξζ' κεφ. β' καὶ νεαρὰν ρκα'[3], ἐν ᾗ φησι περὶ συνηθειῶν τῶν διδομένων παρὰ τῶν χειροτονουμένων, καὶ νεαρὰν ρλα' κεφ. θ' καὶ νεαρὰν ρλζ'.

b Τοῦτο [τὸ] ια' κεφ. εὑρήσεις καὶ ἐν τῷ περὶ κληρικῶν πλατύτερον.

c Ἀνάγν. καὶ τὸ μα' κεφ. φησὶ γὰρ τοῦ μὴ ἔχειν γυναῖκα τὸν ἐπίσκοπον. εὑρήσεις καὶ τοῦτο ἐν τῷ περὶ κληρικῶν.

---

1 Leuncl. et Lips. δ'. 2 Lips. hoc scholium textui inserit. 3 Lege ρκγ'.

ἐπαρχίας παραγίνεσθαι. εἰ δὲ καὶ ἀνάγκη τὶς τοῦ ποιῆσαι τοῦτο συμβῇ, μὴ ἄλλως εἰ μὴ μετὰ γραμμάτων τοῦ μακαριωτάτου αὐτῶν πατριάρχου ἢ μητροπολίτου ἢ κατὰ βασιλικὴν δηλαδὴ κέλευσιν τοῦτο ποιείτωσαν. οὕτω μέντοι, ἵνα μηδὲ ἐκείνοις τοῖς ἐπισκόποις, οἵτινες ὑπὸ τὸν μακαριώτατον ἀρχιεπίσκοπον κωνσταντινουπόλεως καὶ πατριάρχην εἰσὶν, ἐξείη δίχα ἐπιτροπῆς αὐτοῦ ἢ ἡμετέρας κελεύσεως εἰς τὴν βασιλίδα πόλιν εἰσελθεῖν. εἰ δὲ κατὰ τοῦτον τὸν τρόπον ἐπίσκοπος οἱουδήποτε τόπου ἀποδημήσει, μὴ πλέον ἑνὸς ἐνιαυτοῦ τὴν ἰδίαν καταλιμπανέτω ἐκκλησίαν.

5. Ἐν δὲ τῷ κγ΄ κεφ. Ἀλλ᾽ οὐδὲ οἰκείαις χερσὶν ἔξεστιν ἐπισκόπῳ τινὰ πλήττειν. τοῦτο γὰρ ἀλλότριόν ἐστιν ἱερέων.

6. Ἀνάγν. καὶ βι. ε΄ τί. γ΄ κεφ. ι΄ [ἐν ᾧ φησιν·] Ἀπαγορεύομεν δὲ τοῖς ὁσιωτάτοις ἐπισκόποις πράγματα κινητὰ ἢ ἀκίνητα ἢ αὐτοκίνητα, ὅσα μετὰ τὴν ἐπισκοπὴν εἰς αὐτοὺς οἱῳδήποτε τρόπῳ περιέλθοι, εἰς ἰδίους συγγενεῖς ἢ ἄλλα οἱαδήποτε πρόσωπα οἱῳδήποτε τρόπῳ μεταφέρειν. εἰς αἰχμαλώτων δὲ ἀνάῤῥυσιν καὶ πτωχῶν ἀποτροφὰς καὶ εἰς ἄλλας εὐσεβεῖς αἰτίας ἢ ὑπὲρ τοῦ συμφέροντος τῆς ἰδίας ἐκκλησίας ἐκ τούτων δαπανᾷν ἄδειαν ἐχέτωσαν. καὶ εἴ τι ἐκ τῶν τοιούτων πραγμάτων μετὰ τελευτὴν αὐτῶν εἰς τὴν αὐτῶν περιουσίαν μείνοι, κελεύομεν τοῦτο τῇ δεσποτείᾳ τῶν ἁγιωτάτων ἐκκλησιῶν, ὧν τὴν ἱερωσύνην εἶχον, διαφέρειν. ἐπ᾽ ἐκείνοις γὰρ μόνοις τοῖς πράγμασιν ἄδειαν αὐτοῖς τοῦ ἐκποιεῖν ἢ καταλιμπάνειν οἷς ἂν βουληθείησαν συγχωροῦμεν, ἅπερ πρὸ τῆς ἐπισκοπῆς ἀποδειχθῶσιν ἐσχηκότες ἢ μετὰ τὴν ἐπισκοπὴν ἀπὸ τῶν κατὰ γένος αὐτοῖς συνημμένων αὐτοῖς περιέλθοι, οὓς ἐξ ἀδιαθέτου δύνανται μέχρι τετάρτου βαθμοῦ διαδέχεσθαι. ταῦτα δὲ ἅπαντα, ἅπερ εἰρήκαμεν περὶ τῶν πραγμάτων τῶν μετὰ τὴν ἐπισκοπὴν περιερχομένων εἰς τοὺς ὁσιωτάτους ἐπισκόπους, καὶ ἐπὶ τῶν εὐλαβεστάτων ὀρφανοτρόφων καὶ πτωχοτρόφων καὶ νοσοκόμων καὶ γεροντοκόμων καὶ ξενοδόχων καὶ πάντων τῶν ἄλλων διοικητῶν τῶν σεβασμίων οἴκων κρατεῖν θεσπίζομεν καὶ ἐπὶ τοῖς πράγμασι τοῖς ἐν τῷ καιρῷ τῆς ἰδίας διοικήσεως κατὰ τὸν εἰρημένον τρόπον εἰς αὐτοὺς περιερχομένοις[2]. εἰ δέ τις ἐπίσκοπος ἢ κληρικὸς ἢ οἱουδήποτε ἐκκλησιαστικοῦ βαθμοῦ ὑπηρέτης ἢ ἐκκλησίας διακόνισσα τελευ-

[1] Leuncl. εἰς αὐτούς. [2] Lips. et Leuncl. περιερχομένων. Emendaverat Leuncl.

τήσοι ἄνευ διαθηκῶν καὶ νομίμων διαδόχων, ἡ τούτων διαδοχὴ τῇ ἐκκλησίᾳ διαφερέτω, ἐν ᾗ ἔτυχον κεχειροτονημένοι.

7. Ἀνάγν. καὶ βι. ϛ' τί. γ' κεφ. κη' θέμ. β' καὶ τί. κβ'[d] ἐν ᾧ φησιν· Ὅτι δεῖ αὐτοὺς ὑπερτιθεμένους τοὺς ἄρχοντας ἀκούειν τῶν τοῦ προσιόντος δικαίων συνελαύνειν αὐτοὺς τοῦτο πράττειν. καὶ ἡνίκα τὶς ἐν ὑπονοίᾳ ἔχει τὸν ἄρχοντα, συνακροατὴν τῆς δίκης λαμβάνειν τὸν ἐπίσκοπον· μὴ πειθομένου δὲ τοῦ ἄρχοντος, καταμηνύειν περὶ αὐτοῦ τὸν ἐπίσκοπον τῷ βασιλεῖ.

8. Ἀνάγν. καὶ βι. ζ' τί. ϛ' κεφ. κα' ἐν ᾧ φησιν· Ὅτι ἐὰν ὁ ἐπίσκοπος συγχωρήσῃ παραβαθῆναι τὸν νόμον καὶ μὴ μηνύσῃ, καὶ τῷ θεῷ προσκρούει καὶ βασιλικῆς ἀγανακτήσεως[1] πειραθήσεται.

XXXVIII.

Περὶ ἐπιτρόπων[a], καὶ τίνες δύνανται ἐπιτροπεύειν καὶ τίνες οὐ δύνανται, καὶ πότε καὶ ἐν τίσιν εὐθύνονται, καὶ περὶ τοῦ ποιεῖν αὐτοὺς ἀπογραφὴν, καὶ τίνες δύνανται παραιτεῖσθαι τὴν ἐπιτροπὴν καὶ πότε καὶ τίνες οὐ δύνανται, καὶ πότε εὐθύνονται εἰς τόκους καὶ πότε οὐκ εὐθύνονται.

1. Ἀνάγν. βι. λζ' τί. α', οὗτινος ἐν τῷ β' κεφ. φησί· Κωφὸς καὶ ἄλαλος οὐκ ἐπιτροπεύει.

2. Ἐν δὲ τῷ κ'[2] κεφ. Καὶ ὁ πάτρων ἐπιτροπεύει τοῦ ἀπελευθέρου, καὶ ὅ τι[3] πράξει εἰς περιγραφὴν τῶν δανειστῶν, ἀνατρέπεται.

3. Ἐν δὲ τῷ ιϛ'[4] κεφ. Ἄδηλος ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται.

---

[d] Ἀνάγν. νεαρὰν πϛ'.

[a] Οἱ ἐπίτροποι ἢ νόμιμοί εἰσι καὶ λέγονται λεγίτιμοι, ἢ ἐκ διαθήκης καὶ λέγονται τεσταμεντάριοι, ἢ κατὰ δοκιμασίαν δεδομένοι[5] παρὰ τοῦ πραίτορος καὶ λέγονται δάτιβοι. — Τούτορες δὲ λέγονται ὡς φύλακες τῶν ἱερῶν. — Δίδοται δὲ ἐπίτροπος παρὰ τοῦ δικαστοῦ, ὅταν οὐ φθάσωσιν οἱ γονεῖς δοῦναι τοῖς παισὶν ἐπίτροπον, καὶ λέγεται ὁ τοιοῦτος λεγίτιμος, οἷον ὁ παρὰ τοῦ νόμου διδόμενος. λέγες γὰρ οἱ νόμοι παρὰ ῥωμαίοις λέγονται. — Τί ἐστιν ἐπίτροπος; δύναμίς τις καὶ ἐξουσία κατὰ κεφαλῆς ἐλευθέρας πρὸς τὸ φυλάσσειν ἐκεῖνον, ὃς διὰ τὴν ἡλικίαν δεφενδεύειν ἑαυτὸν κατ' οἰκείαν οὐ δύναται γνώμην, ἀπὸ τοῦ πολιτικοῦ δοθεῖσά τε καὶ ἐπιτραπεῖσα, ὡς ὁ σέρβιός[6] φησιν. οἱ οὖν μὴ ἔχοντες ἐξουσίαν δεφενδεύειν οὐ γίνονται ἐπίτροποι.

---

[1] Leuncl. κινήσεως. Ita etiam Basil. [2] Forte η'. Leuncl. ε'. [3] Leuncl. εἴ τι. [4] Leuncl. ζ'. — Videtur hic locus ex margine irrepsisse. Alioquin collocandus erat inter c. 5 et 6, quippe sumtus ex titulo 2 libri XXXVII Basil. [5] Lips. δεδομένην. [6] Idem σέργιος.

4. *Ἀνάγν. καὶ τί. β', οὗτινος ἐν τῷ ιβ'*[1] *κεφ. φησίν·* Δήλῳ πράγματι ἢ αἰτίᾳ ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται[b], οὔτε ὑπεξῃρημένων πραγμάτων.

Ἀλλ' εἰ καὶ οὕτω δοθῇ, πᾶσα ἡ δόσις ἀκυροῦται.

Προσώπῳ γὰρ καὶ οὐ πράγματι ἢ αἰτίᾳ δίδοται.

5. *Ἐν δὲ τῷ ιε' κεφ.* Οἱ κατὰ διαθήκας ἐαθέντες ἐπίτροποι οὐκ ἀπαιτοῦνται ἐγγύας. εἰ δὲ ὁ εἷς ἐξ αὐτῶν ἐγγύας θέλει δοῦναι καὶ μόνος διοικῆσαι, ἐπιλογὴ γίνεται διὰ τοῦ ἄρχοντος ἢ λαβεῖν τὰς ἐγγύας καὶ ἀναχωρῆσαι τῆς διοικήσεως[2], ἢ δοῦναι τὰς ἐγγύας καὶ διοικῆσαι· εἰ δὲ πάντες ἀσφαλίζονται, διοικοῦσιν οἱ πάντες.

6. *Ἐν δὲ τῷ κα' κεφ.* [Ὁ] ἐκ διαθήκης ἐαθεὶς ἐπίτροπος ἐξκουσσατεύων ἑαυτὸν ἐκπίπτει καὶ τῶν λεγατευθέντων τῷ υἱῷ αὐτοῦ, ἐὰν πρὸς τιμὴν αὐτοῦ καὶ οὐ σχέσιν τοῦ υἱοῦ κατελείφθησαν.

7. *Ἀνάγν. καὶ τί. γ', ἐν ᾧ διαλαμβάνεται περὶ βεβαιώσεως ἐπιτρόπου.*

8. *Ἀνάγν. καὶ τί. δ', οὗτινος ἐν τῷ ς' κεφ.*[c] *φησίν·* Ἡ διάταξις λέγει, πάντως τοὺς ἐπιτρόπους μείζονας εἶναι τῶν κε' ἐνιαυτῶν, ἵνα καὶ τὰ πράγματα αὐτῶν ὑπόκεινται· οὐδενὸς ἐντεῦθεν προκρίματος γενομένου ταῖς κληρονομίαις ταῖς πατρωνικαῖς ἢ συγγενικαῖς[3].

9. *Ἀνάγν. καὶ τί. ε', οὗτινος ἐν τῷ κ' κεφ. θέμ. ε' φησίν·* Οἱ ἀγαθοὶ τρόποι ἀξιοπιστότεροί εἰσι πρὸς ἐπιτροπὴν καὶ οὐσίας καὶ ἀξιώματος.

10. *Ἀνάγν. καὶ τί. ς', οὗτινος ἐν τῷ α' κεφ. θέμ. β' φησίν·* Ὅτι μήτηρ καὶ ἀπελεύθεροι ἐξ ἀνάγκης αἰτοῦσιν ἐπίτροπον τῷ ἀφήλικι. ἡ μὲν γὰρ μήτηρ ἐκπίπτει τοῦ κλήρου τοῦ παιδὸς ἀδιαθέτου τελευτήσαντος, ἐὰν μὴ αἰτήσῃ ἢ ἐὰν αἰτήσῃ ἀνεπι-

---

b *Οἷον ὁ δεῖνα ἐπίτροπος ἔστω ἐπὶ τῷδε τῷ ἀγρῷ ἢ ἐπὶ τῇδε τῇ δίκῃ ἣν ἔχω κατὰ τοῦ δεῖνος· ἐπὶ γὰρ φανερᾷ δίκῃ ἐπίτροπος οὐ δίδοται, ἀλλὰ κουράτωρ. ὑπέξελε τὸν διδόμενον ὑπὸ τῆς μητρὸς ἐπίτροπον· οὗτος γὰρ τοῖς πράγμασι καὶ οὐ τῷ προσώπῳ δοκεῖ δίδοσθαι.*

c *Ἀνάγν. καὶ τοῦτο τὸ ς' κεφ. ὅλον. φησὶ γάρ, ὅτι κατὰ τὸν βαθμὸν τῆς συγγενείας προτιμῶνται καὶ εἰς τὸ ἐπιτροπεύειν.*

---

1 Leuncl. *τί. ιβ' ἐν τῷ β' κεφ.* 2 Leuncl. *ἐπιλογὴ δίδοται τοῖς λοιποῖς διὰ τοῦ ἄρχ. ἢ δοῦναι τὰς ἐγγ. καὶ διοικ. ἢ λαβεῖν τὰς ἐγγ. καὶ ἀναχ. τῆς διοικήσεως.* 3 Leuncl. *ταῖς συγγεν.*

τήδειον. οἱ δὲ ἀπελεύθεροι διὰ κακίαν ἢ ἀμέλειαν μὴ αἰτήσαντες κατηγοροῦνται καὶ σφοδρῶς κολάζονται.

11. Ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ἐὰν μὴ πιστῶς διοικήσωσιν οἱ ἐπίτροποι, καταδικάζονται, κἂν εἴπῃ ὁ πατὴρ ἀλογοθετήτους αὐτοὺς εἶναι. διὰ γὰρ τῶν τοιούτων οὐκ ἐναλλάσσεται τὸ κοινὸν νόμιμον, οὔτε δύνανται ἐκ τούτων τῶν ῥημάτων ἀπαιτεῖν τι ὡς ἀπὸ λεγάτου. δύναται δὲ ῥητῶς αὐτοῖς καταλιμπάνειν τὴν συμβαίνουσαν αὐτοῖς ἐκ τῆς ἐπιτροπῆς ζημίαν.

12. Ἐν δὲ τῷ ε' κεφ. Ἐὰν χωρὶς εὐλόγου αἰτίας ὁ ἐπίτροπος μὴ ποιήσῃ καταγραφὴν, ὡς δόλον ἁμαρτάνων ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ εἰς τὸ διαφέρον. πρὶ τῆς ποιήσεως οὖν αὐτῆς διοικεῖν οὐδὲν ὀφείλει, εἰ μὴ τὰ μηδὲ μετρίας ὑπερθέσεως ἀνεχόμενα.

13. Ἀνάγν. καὶ βι. λη' τί. γ' κεφ. λϛ', ἐν ᾧ φησιν· Μὴ ἁπτέσθω δὲ τῶν πραγμάτων ὁ ἐπίτροπος, [εἰ μὴ πρότερον ἀπογραφὴ γένηται,] εἰ μήτοιγε ἄρα οἱ τὴν οὐσίαν παραπέμψαντες εἰς τοὺς ἀνήβους αὐτοὶ τὴν ἀπογραφὴν ἐκώλυσαν γενέσθαι. ὁ δὲ μὴ ποιήσας ἀπογραφὴν καὶ ὡς ὕποπτος ἀποκινείσθω καὶ ἀτιμούσθω, μηδὲ ἀπὸ βασιλικῆς ἀντιγραφῆς συγγνωσθῆναι δυνάμενος.

14. Ἀνάγν. καὶ τί. ιε' κεφ. δ', ἐν ᾧ φησιν· Ὁ ἐπίτροπος μὴ ποιήσας ἀπογραφὴν ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ. ὁμοίως δὲ καὶ μὴ προφέρων τὰ δικαιώματα. ἐν αὐτῷ γὰρ τούτῳ δόλον δοκεῖ ποιεῖν, ὅτε τὰ εὑρεθέντα ἐν τῇ οὐσίᾳ συμβόλαια κρύπτει. ἐὰν δὲ μετὰ προκάταρξιν τοῦ ἐπιτρόπου τελευτήσαντος οἱ κληρονόμοι μὴ πληρώσωσι τὸ δικαστήριον τῆς κατὰ τῶν ἐπιτρόπων ἀγωγῆς, ὑπόκεινται καὶ αὐτοὶ τῷ ἐνδίκῳ ὅρκῳ.

15. Καὶ κεφ. ιγ'· Ὁ τοῦ ἐπιτρόπου κληρονόμος οὐ κατέχεται μὲν διότι οὐ[1] γέγονεν ἀπογραφὴ, πλὴν ἑτέρῳ τρόπῳ ἐνάγεται. ἐπειδὴ γὰρ ὁ ἐπίτροπος δόλον ἔδοξε ποιεῖν τῆς ἀπογραφῆς μὴ γενομένης, ὡς ἀπὸ δόλου τοῦ ἐπιτρόπου κατέχεται ὁ κληρονόμος.

16. Ἀνάγν. καὶ βι. λζ' τί. ε' κεφ. λγ', ἐν ᾧ φησιν· Ὁ ἔνοπλον στρατείαν στρατευόμενος οὐδὲ ἐπίτροπος οὐδὲ κουράτωρ δύναται χειροτονηθῆναι. εἰ δὲ καὶ κατὰ πλάνην διοικήσει, κατέχεται τῇ περὶ πραγμάτων διοικήσεως ἀγωγῇ.

---

[1] Leuncl. μή.

17. [Δοῦλος[1] ἐπίτροπος ἢ κουράτωρ οὐ δύναται δοθῆναι.]

18. Ἀνάγν. καὶ βι. γ' τί. α' κεφ. ια', ἐν ᾧ φησι· Τοὺς δὲ θεοφιλεστάτους ἐπισκόπους καὶ μοναχοὺς ἐκ μηδενὸς νόμου ἐπιτρόπους ἢ κουράτορας οἱουδήποτε προσώπου γίνεσθαι συγχωροῦμεν. τοὺς δὲ πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους τῷ δικαίῳ καὶ μόνῳ τῆς συγγενείας εἰς ἐπιτροπὴν ἢ κουρατορείαν καλουμένους τὴν τοιαύτην λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν, εἰ μέντοιγε εἴσω δ' μηνῶν, ἀριθμουμένων ἐξ οὗ ἐκλήθησαν, παρὰ τῷ ἁρμοδίῳ δικαστῇ ἐγγράφως φανερώσουσι τὸ οἰκεῖον[2] λειτούργημα οἰκείᾳ προαιρέσει καταδέξασθαι. καὶ εἴ τις ὡς εἰκὸς αὐτῶν τοῦτο ποιήσει, μηδὲν ἐκ τούτου[3] περὶ ἄλλην ἐπιτροπὴν ἢ κουρατορείαν πρόκριμα ὑπομενέτω.

19. Ἀνάγν.[4] καὶ βι. λη' τί. α' κεφ. ι' θέμ. η', ἐν ᾧ φησιν· Οὐ δεῖ ἐκκαλεῖσθαι τοὺς κηδεμόνας, ἀλλὰ τὰς παραιτήσεις ἐμπροθέσμως προβάλλεσθαι, καὶ κατὰ τῆς ἐκβαλλούσης αὐτὰς ψήφου ἐκκαλεῖσθαι. ἔχει δὲ εἰς τὸ εἰπεῖν τὰς παρούσας παραιτήσεις ὅλης τῆς κηδεμονίας ἢ μέρους αὐτῆς ὁ μὲν ἐν τῇ αὐτῇ πόλει ὢν ἢ ἐντὸς ρ' μιλίων ἡμέρας ν'· ὁ δὲ ὑπὲρ ρ' μίλια κ' μίλια δίδοται αὐτῷ καθ' ἡμέραν, καὶ ἔξωθεν λ' ἡμέραι πρὸς δικαιολογίαν· ὥστε μέντοι ψηφιζομένων τῶν τῆς ὁδοῦ καὶ τῶν λ' δύνασθαι πλέον ἔχειν τῶν πεντήκοντα ἡμερῶν, οὐ μὴν ἧττον. ἀριθμοῦνται δέ, ἀφ' οὗ γνῷ δεδόσθαι.

20. Καὶ κεφ. μϛ', ἐν ᾧ φησιν· Ὁ εὐνοῦχος ἐπίτροπος ἀπόλυσιν οὐ ἔχει.

21. Καὶ κεφ. ν', ἐν ᾧ φησιν· Αἱ πεντήκοντα ἡμέραι τῶν ἀπολύσεων ἄρχονται τρέχειν, μεθ' ὃ γνῷ ὁ ἐπίτροπος τὴν ἀπόφασιν τοῦ ἄρχοντος ἢ τὴν διαθήκην τὴν ποιοῦσαν αὐτὸν ἐπίτροπον.

22. Καὶ κεφ. ξζ', ἐν ᾧ φησι· Ξένον καὶ θαυμαστὸν νόμιμόν φησιν ἡ διάταξις, ὅτι ἡνίκα τὶς προσέλθῃ εἰς ἐπιτροπήν τινος ἔχοντος ἀγωγὴν κατὰ ἀδελφῶν ἢ ἀδελφοπαίδων, δύναται ἀπολύειν ἑαυτὸν εὔλογον ἔχων αἰτίαν παραιτήσεως, ἵνα μὴ ἀναγκασθῇ διὰ τὴν τῆς ἐπιτροπῆς ἀνάγκην δίκας λέγειν ὑπὲρ τοῦ ὀρφανοῦ πρὸς τὸ οὕτω πλησιάζον αὐτῷ πρόσωπον.

23. Καὶ κεφ. οα', ἐν ᾧ φησιν· Οἱ ἐπίτροποι ὀφείλουσι κε-

---

[1] Inscribendum: Καὶ κεφ. λϛ'. In Lips. hic locus omnino deest. [2] Leuncl. τοιοῦτο. Ita et Basil. [3] Lips. τούτων. [4] In Cod. Paris. 1351 hoc loco ad marginem adscriptus habetur Basil. lib. XXXVIII tit. 1 cum suis scholiis.

χρῆσθαι τῇ ἀπολύσει, πρὶν ἄρξονται τὰ πράγματα διοικεῖν. ἐὰν δὲ ἄρξωνται, οὐκέτι δύνανται ἑαυτοὺς [ἐξκουσσατεύειν], εἰ μὴ ἀπὸ ῥητῶν αἰτιῶν, ὡς ὅταν διὰ πρᾶγμα δημόσιον ἀπολειφθῶσιν.

24. Ἀνάγν. καὶ βι. λζ' τί. ζ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ἐπίτροπος ἐξότου γνῷ ἑαυτὸν ἐπίτροπον εἶναι, καὶ ἐμπροθέσμως μὴ αἰτήσῃ ἐξκουσσατίωνα, ἀναγκάζεται διοικῆσαι[1]. μὴ διοικῶν γὰρ κινδυνεύει.

25. Ἐν δὲ τῷ ια' κεφ. θέμ. γ'· Τὰ παρὰ τοῦ ἐπιτρόπου γινόμενα βέβαιά εἰσι, καὶ τὸ παρ' αὐτοῦ νομίμως πραθὲν, εἴτε εὐπορεῖ εἴτε μὴ, οὐκ ἐκδικεῖ ὁ νέος. ἡ δὲ κακῇ πίστει γενομένη πρᾶσις οὐκ ἔῤῥωται.

26. Ἐν δὲ τῷ ιδ' κεφ. Ἐὰν γενόμενος ὁ ἐπίτροπος μὴ ἐναγάγῃ τοῖς χρεώσταις καὶ ἐν τοσούτῳ ἀπορήσωσιν, ἐνάγεται εἰς τὸ μὴ ἀπαιτηθὲν χρέος.

27. Ἐν δὲ τῷ λβ' κεφ. Τοιαύτην ἐπιμέλειαν οἱ ἐπίτροποι καὶ οἱ κουράτορες χρεωστοῦσιν, οἵαν ἐπιμελὴς οἰκοδεσπότης ἐν τοῖς ἰδίοις καλῇ πίστει ποιεῖται[d].

28. Ἐν δὲ τῷ να' κεφ. Ἐὰν ὁ ἐπίτροπος ἀμελήσῃ περὶ τὴν ἀπαίτησιν τῶν πατρῴων χρεῶν, ὑπόκειται τῷ κινδύνῳ. καὶ ἐὰν μείζονας τόκους ἔλαβε, δίδωσιν αὐτοὺς, μὴ διδοὺς ἀντέλλογον τῶν χρεῶν[e]. ἐκχωρεῖται δὲ τὰς τῶν χρεῶν ἀγωγάς.

29. Ἐν δὲ τῷ οθ' κεφ. Ἐὰν ὁ ἐπίτροπος τὰ ὀφείλοντα ἐν ἀποθήκῃ κεῖσθαι πράγματα καὶ πραθῆναι ἐφύλαξεν ἐν τῷ ἰδίῳ οἴκῳ, συνέβη δὲ ταῦτα ἐμπρησθῆναι, ἐνάγεται ὡς ἀπὸ ῥαθυμίας.

30. Ἀνάγν. καὶ τί. η', ἐν ᾧ φησι περὶ αὐθεντίας καὶ συναινέσεως ἐπιτρόπων.

31. Ἀνάγν. καὶ τί. θ', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἐὰν ἐκ τῶν χρημάτων τῶν κηδεμονευομένων ὀνόματι οἰκείῳ δανείσωσιν ἢ ἀγοράσωσιν οἱ κηδεμόνες, οὐτίλιον[f] δανειακὸν καὶ οὐτιλίαν ἀγωγὴν ἐκδικοῦσαν τὸ ἴδιον ἔχουσιν οἱ νέοι.

---

d Ἀνάγν. καὶ νεαρὰν οβ', ἐν ᾗ φησι τοῦ μὴ ἀναγκάζεσθαι αὐτοὺς τὰ τῶν κηδευομένων νέων χρήματα τοκίζειν, εἴπερ ἔχοιεν προσόδους αὐτάρκεις.

e Τουτέστι μὴ ἀποδεικνὺς ὅτι εἰ καὶ μὴ ἀπῃτήθησαν παρ' αὐτοῦ τὰ χρέα, ἀλλ' αὐτὸς τὸ ἱκανὸν τῷ νέῳ ἐποιήσατο, ἀντὶ τούτων ἐξόδους αὐτᾷ ἢ τοῖς αὐτοῦ πράγμασι χρειώδεις καταβαλλόμενος οἴκοθεν.

f Ἐνδύναμον, ἰσχυρόν.

---

1 Leuncl. διοικεῖν.

32. Ἀνάγν. καὶ τί. ι', οὗτινος ἐν τῷ ζ' κεφ. φησί· *Καὶ διὰ μεγάλην ἀμέλειαν ὡς ὕποπτος ἀποκινεῖται. ἀντὶ γὰρ δόλου παραλαμβάνεται.*

33. Ἐν δὲ τῷ ιθ' κεφ. *Δύνανται δὲ τοὺς ὑπόπτους ἀποκινεῖν καὶ ἀνιόντες καὶ συγγενεῖς καὶ ἐξωτικοὶ καὶ αὐτοί, ὧν τὰ πράγματα διοικοῦνται, εἰ μὴ ἄνηβοί εἰσιν.*

34. Ἐν δὲ τῷ κβ' κεφ. *Ὁ ὡς ὕποπτος κατηγορηθείς, εἰ μὲν διὰ δόλον, ἀτιμοῦται· εἰ δὲ διὰ ῥᾳθυμίαν, οὐκ ἀτιμοῦται.*

35. Ἀνάγν. καὶ τί. ια' κεφ. α', ἐν ᾧ φησιν· *Εἰ δέ τις ὑπεύθυνον ἔχει τὸν νέον ἢ τὰ αὐτοῦ πράγματα, τοῦτον μηδὲ παριέναι παντελῶς εἰς τὴν αὐτοῦ κηδεμονίαν, κἂν εἰ παρὰ τῶν νόμων[1] καλοῖτο. τί γὰρ ἂν οὐ πράξειεν ὑπὲρ ἑαυτοῦ, κύριος αὐτοῦ τε ὢν καὶ τῶν τοῦ ἀντιδίκου πραγμάτων γινόμενος; διὰ ταῦτα γὰρ κἀκεῖνο νομοθετοῦμεν, ὥστε εἰ προφανέστατα δῆλός ἐστιν ὁ γινόμενος κηδεμὼν αὐτὸς ὑπεύθυνος ὢν τοῖς τοῦ νέου δικαίοις, οὐδὲ ἐκεῖνος κηδεμονεύεται, μήποτε ἢ γραμματεῖον ἐκκλέψειεν ἢ ἄλλας ἀποδείξεις οὔσας ἀφανίσειε τῷ νέῳ, καὶ ἡ κηδεμονία γένοιτο τούτῳ τῶν οἰκείων πραγμάτων ὄλεθρος.*

36. Ἐν δὲ τῷ δ' κεφ. *Ἐπειδὴ δὲ ὁρῶμεν τοὺς κηδεμόνας, ὅσοι μνήμην θεοῦ ἔχουσι, πρὸς κηδεμονίαν δυσκόλως ἰόντας (τοῖς γὰρ πολλοῖς, ὅσοι βούλονται τὰ τῶν κηδεμονευομένων ἀσεβῶς εἰς ἑαυτοὺς τρέψαι, τὸ πρᾶγμα ἐράσμιόν τε καὶ ἐπίδρομόν ἐστιν), ὁρῶμεν δὲ[2] μάλιστα τὸ τῶν κηδεμόνων δύσκολον εἶναι πρᾶγμα διὰ τὴν τῶν δανεισμάτων ἀνάγκην, θεσπίζομεν μηδεμίαν ἀνάγκην ἐκ νόμου καθεστάναι τοῖς κηδεμόσι τὰ τῶν νέων χρήματα δανείζειν, ἀλλ' ἀσφαλῶς ἀποτίθεσθαι καὶ φυλάττειν αὐτὰ[3], κάλλιον ὂν τὴν ἐπὶ τοῖς ἀρχαίοις αὐτοῖς ἀσφάλειαν μένειν, ἢ τῇ τῶν τόκων ἐφέσει καὶ τῶν ἀρχαίων ἐκπεσεῖν, καὶ κινδυνεύειν μὲν τὸν κηδεμόνα εἰ μὴ δανείσοι, αὖθις δὲ εἰ δανείσει κινδυνεύειν, ἀποτυχίας ἴσως ἐπὶ τοῖς χρέεσι γινομένης. εἰ μέντοι αὐτὸς ἑκὼν δανεῖσαι βουληθείη, ἴσως ἐπὶ δόσεσιν ἐνεχύρων ἢ ἐπ' ἄλλαις ταῖς αὐτῷ νομιζομέναις ἀναμφισβητήτοις ἀσφαλείαις, τηνικαῦτα μὲν ἐχέτω τὸ τῶν δύο μηνῶν καθ' ἕκαστον ἔτος ἐνδόσιμον, τοῦτο ὅπερ οἱ νόμοι λαξαμέντον καλοῦσιν, ἴστω δὲ τὸν τοῦ δανείσματος κίνδυνον ἐφ' ἑαυτὸν πάντως ἐλευσόμενον.*

Εἰ μὲν οὖν ἔχει προσόδους αὐτάρκεις ὁ κηδεμονευόμενος,

[1] Lips. τὸν νόμον. [2] Lips. γάρ. [3] Lips. αὐτοῖς.

ταῦτα δαπανάτω· εἰ δὲ πλείους εἰσὶ τῶν αὐτάρκων, τὸ πλεῖον ἀποτιθέσθω. εἰ δὲ κινητὴ πολλάκις ἡ τοῦ κηδεμονευομένου οὐσία τυγχάνει, τηνικαῦτα ἐκεῖνο μόνον δανείζειν ὁ κηδεμὼν ἀναγκαζέσθω, ὅσον πρὸς τὴν διοίκησιν ἀρκεῖ τῷ νέῳ καὶ τῶν αὐτοῦ πραγμάτων· τὸ δὲ περιττὸν ἀσφαλῶς ἀποτιθέσθω. ἐξέστω δὲ αὐτῷ σὺν ἀκριβείᾳ πάσῃ περιεργάζεσθαι, εἴ τινα ὡς εἰκὸς εὑρεῖν ἀσφαλῶς δυνηθείη πρόσοδον, ὠνήσασθαι τῷ νέῳ ἐκ τῶν περιττευόντων χρημάτων, ὀλίγων μὲν δημοσίων φόρων ὑπεύθυνον, πρατῆρα δὲ ἔχουσαν εὔπορον καὶ εὐθαλῆ τὴν πρόσοδον οὖσαν. δίδομεν γὰρ αὐτῷ παῤῥησίαν καὶ τοῦτο πράττειν, ἐπισταμένῳ, ὡς εἴ τινος τούτων ἀμελήσειεν, ὁ τῆς ἀγορασίας ταύτης αὐτὸν ὄψεται κίνδυνος.

Εἰ δὲ τοσοῦτον μόνον εἴη τὸ τοῦ νέου χρυσίον, ὁπόσου τόκος μόλις αὐτόν τε καὶ τοὺς αὐτοῦ τρέφειν καὶ τὴν ἄλλην αὐτοῦ παρέχειν τοῦ βίου διοίκησιν ἀρκεῖν, τηνικαῦτα ὁ τῆς ἀνάγκης λόγος ἡμᾶς καὶ πρὸς τοῦτο καλεῖ, τῶν κηδεμόνων ἀφορώντων εἰς θεὸν καὶ οὕτω ποιουμένων τὰς διοικήσεις, ὡς ἂν ἐπὶ τοῖς ἑαυτῶν πράγμασι. καὶ γὰρ βουλόμεθα, ἡνίκα κατασταίη ψῆφος παραδιδοῦσα τὴν κηδεμονίαν τῷ πρὸς ταύτην παριόντι, καὶ ὅρκον αὐτῷ προσεπιτιθέναι, τῶν θείων ἁπτομένων λογίων, ὥστε διὰ πάσης ἰὼν ὁδοῦ τὸ συμφέρον τῷ νέῳ πράξει· ὅπερ οὐκ ἐξαιρήσει τῶν λογισμῶν αὐτὸν, οὐδὲ τῆς τοῦ νόμου τάξεως, ἀσφαλέστερόν τε ποιήσει πρὸς τὴν τῶν πραγμάτων διοίκησιν, εὐλαβέστερον ἀεὶ περὶ αὐτὰ διὰ τὴν τοῦ ὅρκου μνήμην γινόμενον.

37. Ἀνάγν. καὶ βι. λη' [1] τί. ιζ' κεφ. γ', ἐν ᾧ φησιν· Ἐὰν ὁ ἐπίτροπος μήτε δανεῖσαι δυνηθῇ εὐπόροις προσώποις, μήτε ἀγοράσαι δυνηθῇ κτῆμα, τόκους οὐκ ἀπαιτεῖται.

38. Ἀνάγν. καὶ βι. λζ' τί. η' [2] κεφ. ς', ἐν ᾧ φησιν· Ἐὰν ὁ ἐπίτροπος οἰκείῳ ὀνόματι δανείσῃ τὰ ὀρφανικὰ χρήματα, τοὺς τόκους οὓς ἔλαβε ἀναγκάζεται παρασχεῖν [g], ἐὰν καὶ τῶν λοιπῶν γραμματείων ὁ ἄνηβος ἐπιγινώσκῃ τὸν κίνδυνον.

Ἐὰν τὰ ὀφείλοντα πρὸς ἀγορασίαν ἀκινήτων ἀποτεθῆναι [ἀπέθετο, τόκους αὐτῶν οὐκ ἀπαιτεῖται. εἰ δὲ μήτε παρὰ τοῦ πραίτορος ἐκελεύσθη μήτε] ἀπέθετο, ὀρφανικοὺς [h] δίδω-

[g] Διὰ τὸν κανόνα τὸν λέγοντα, οὐκ ὀφείλει τὶς κερδαίνειν ἐπὶ πράγματι ἐφ᾽ ᾧ οὐ κινδυνεύει.

[h] Τοὺς λεγομένους πουπιλαρίους, τουτέστι τοὺς ἀπὸ τρίτης ἑκατοστῆς.

[1] Lips. ιη'. [2] Legendum ζ', ut recte conjecit Leuncl.

σιν. εἰ δὲ παρήγγειλεν ὁ πραίτωρ γενέσθαι τὴν ἀπόθεσιν, ὀφείλει ψηφίζεσθαι, ὅτι εἴτε μὴ ἀπόθηται εἴτε βραδέως ἀπόθηται, νομίμους δίδωσι τόκους.

Ὥσπερ[1] ποιεῖ ἐπὶ τοῦ ἀρνουμένου ἐπιτρόπου ἔχειν τὰ πρὸς ἀποτροφὴν τοῦ ἀνήβου. τῶν εὑρισκομένων γὰρ παρ' αὐτῷ χρημάτων βαρυτάτους δίδωσι τόκους [σὺν ἑτέρᾳ ποινῇ. τῶν δὲ λοιπῶν χρημάτων ὀρφανικοὺς δίδωσι τόκους].

Εἴτε οὖν συγχρήσεται τοῖς χρήμασιν, εἴτε ἀρνήσεται ἔχειν καὶ καταδικασθῇ, εἴτε ὑπέρθεσιν ποιήσει περὶ τὴν ἀπόθεσιν, εἴτε ἀρνησάμενος ἔχειν ἀναγκάσει τὸν ἄνηβον ἐπὶ νομίμοις δανείσασθαι τόκοις, εἴτε τοὺς χρεώστας ἀπαιτήσει, νομίμους δίδωσιν ὀρφανικοὺς τόκους. ἀπὸ δὲ τῶν λοιπῶν αἰτιῶν πρὸς τὴν τῆς ἐπαρχίας συνήθειαν τοὺς ἀπὸ τρίτης ἑκατοστῆς ἢ καὶ ἐλαφροτέρους.

39. Καὶ κεφ. ζʹ, ἐν ᾧ φησιν· Οὐ παραχρῆμα δὲ τοὺς τόκους ὁ ἐπίτροπος ἀπαιτεῖται, ἀλλ' ἔχει δύο μηνῶν ἐνδόσιμον, ὅπερ οὐκ ἔχουσιν οἱ τοῖς χρήμασι συγχρησάμενοι.

Εἰ δὲ καὶ τοῖς ἀπαιτηθεῖσι τόκοις οἱ κηδεμόνες συγχρήσονται, καὶ αὐτῶν διδόασι τόκους.

Ἐὰν ὁ ἐπίτροπος μὴ ποιήσῃ ὕποπτον τὸν συνεπίτροπον αὐτοῦ, καταδικάζεται ὑπὲρ αὐτοῦ, καὶ δίδωσι τόκους οὓς ἀναγκάζεται παρασχεῖν ὑπὲρ τῆς ἰδίας διοικήσεως.

40. Καὶ κεφ. ηʹ, ἐν ᾧ φησιν· Ὁ ἐπίτροπος καὶ μετὰ τὸ παύσασθαι τῆς ἐπιτροπῆς[i] δίδωσι τόκους, ἕως οὗ τοὺς λόγους ἀποδῷ.

41. Καὶ κεφ. ιεʹ, ἐν ᾧ φησιν· Εἴτε οἰκείῳ ὀνόματι εἴτε τοῦ ἀνήβου δανείσει ὁ ἐπίτροπος τὰ ὀρφανικὰ χρήματα[2], τῆς ἀγωγῆς τῆς κατὰ τῶν ἐπιτρόπων κινουμένης ἐπιλογὴ δίδοται τῷ νέῳ, ἢ πάντα καταδέξασθαι τὰ γραμματεῖα ἢ πάντων ἀποστῆναι.

42. Καὶ κεφ. ξʹ[3] ἐν ᾧ φησιν· Ὁ ἐπίτροπος δανείζων οἰκείῳ ὀνόματι τὰ ὀρφανικὰ οὐ δοκεῖ αὐτοῖς συγκεχρῆσθαι.

Μετὰ δὲ τὸ πληρωθῆναι τὴν ἐπιτροπὴν ὀρφανικοὺς δίδωσι τόκους ὁ ἐπίτροπος τῶν χρημάτων, οἷς συνεχρήσατο.

---

[i] Οὐχ ὡς ὑπόπτου[4], ἀλλ' ὡς ἡβήσαντος τοῦ ἀνήβου καὶ ὑπὸ κουράτορα καταστάντος, τοὺς λόγους αὐτῷ χρεωστοῦντος ἀποδοῦναι.

---

[1] Lips. ὥστε. [2] Lips. πράγματα. [3] Leuncl. ξεʹ, quod in μεʹ mutari vult. [4] Legerim ὕποπτος et mox χρεωστῶν.

43. Καὶ κεφ. ξθ΄[1] θέμ. γ΄· Ὁ ἐπίτροπος διὰ προπέτειαν μὴ δανείσας ὅτε δεῖ[2] τὰ ὀρφανικὰ, μήτε ἀκίνητα ὠνησάμενος, ἐὰν μὴ δύνηται τὸ ἀζήμιον αὐτῷ περιποιῆσαι, τιμωρεῖται.

44. Ἀνάγν. καὶ βι. λη΄[3] τί. ια΄ κεφ. η΄ [ἐν ᾧ φησιν]· Μετὰ τὴν ἥβην ὑπερτιθέμενος ὁ ἐπίτροπος ἀποδοῦναι τὴν ἐπιτροπὴν, καὶ αὐτὸς καὶ οἱ ἐγγυηταὶ αὐτοῦ ἐπὶ τοῖς τόκοις καὶ τοῖς καρποῖς τοῦ μέσου χρόνου ἐνέχονται.

45. Ἀνάγν. καὶ τί. ιζ΄ κεφ. α΄ [ἐν ᾧ φησιν]· Σαφὲς τὸ νόμιμον τῆς διατάξεως[k] καὶ εἰρημένον ἡμῖν ἐν τῷ ζ΄ τίτλῳ τοῦ περὶ ἐπιτροπῆς μονοβίβλου, ὅτι[4] ἐπίτροπος ἢ κουράτωρ τῶν χρημάτων, ἅτινα εἰς ἰδίαν χρῆσιν ἔστρεψε, νομίμους τόκους παρέχει, τουτέστιν ἡμιεκατοστιαίους.

46. Ἀνάγν. καὶ βι. κγ΄ τί. κεφ. α΄ θέμ. δ΄, ἐν ᾧ φησιν· Εἰ μὲν ἐν δικαστηρίῳ ἡ κατὰ τοῦ ἐπιτρόπου ἀγωγὴ σκοπεῖται, μέχρι ψήφου[l] δίδωσι τόκους ὁ ἐπίτροπος· εἰ δὲ ἔξωθεν δικαστηρίου, μέχρι τῆς τῶν χρημάτων ἀποκαταστάσεως· εἰ μὴ ἄρα τοῦ νέου ὑπερτιθεμένου κινῆσαι ὁ ἐπίτροπος καὶ προσαγάγῃ τὰ χρήματα καὶ σφραγίσας ἀπόθηται. ἔκτοτε γὰρ οὐ δίδωσι τόκον.

47. Ἀνάγν. καὶ βι. κδ΄ τί. ς΄ κεφ. δ΄, ἐν ᾧ φησιν· Ὁ ἐπίτροπος καὶ ὁ φροντιστὴς καταβάλλοντες οὐκ ἀναλαμβάνουσιν, εἴτε οἴκοθεν εἴτε τοῦ ἀνήβου εἴτε τοῦ δεσπότου καταβάλλουσι.

48. Καὶ κεφ. νβ΄ καὶ νζ΄ καὶ ξβ΄, ἐν ᾧ φησιν· Ὁ ἐπίτροπος πλέον καταβαλὼν δανεισταῖς καὶ μὴ λογισάμενος αὐτὰ τῷ ἀνήβῳ, αὐτὸς ἀναλαμβάνει. καὶ κεφ. ξγ΄.

49. Ἀνάγν. καὶ βι. λη΄ τί. β΄ κεφ. β΄ καὶ τί. γ΄, ἐν ᾧ φησι περὶ τοῦ ποιεῖν λόγους τοὺς ἐπιτρόπους. οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Εἴτε ποιήσει ἅπερ οὐκ ἐχρῆν ὁ ἐπίτροπος, εἴτε μὴ ποιήσει ἅπερ ἔδει, ἐνέχεται τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ. χρεωστεῖ δὲ ῥᾳθυμίαν καὶ δόλον καὶ ἐπιμέλειαν, οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν.

Ἐνέχεται δὲ συναινῶν τῷ ὀρφανῷ ποιοῦντι ἁπλὴν δωρεὰν ἢ θάνατον αἰτίᾳ.

---

k Ὅτι ἡμιεκατοστιαίους τόκους δίδωσιν ὁ συγχρησάμενος τὰ χρήματα.

l Οὐ μὴν καὶ τῆς μετὰ τὴν ψῆφον τετραμήνου, ὡς βι. κγ΄ τί. γ κεφ. γ΄ θέμ. β΄ φησίν. τοῦτο γὰρ ὁ νόμος τοῖς καταδικαζομένοις φιλοτιμεῖται. μετὰ δὲ τὴν τετράμηνον χρεωστεῖται τόκος.

---

1 Leuncl. μζ΄. 2 Leuncl. εἴτε διά. 3 Lips. λα΄. 4 Lips. ὅπερ.

50. Ἐν δὲ τῷ β΄ κεφ. Τότε ὀφείλει τρέφειν τὴν μητέρα τοῦ ἀνήβου, ὅτε καὶ αὐτὸς πολύ ἐστιν εὔπορος, καὶ αὐτὴ πάνυ ἄπορος. οὐκ ὀφείλει δὲ δῶρον γαμικὸν αὐτῇ διδόναι.

51. Ἐν δὲ τῷ κε΄ κεφ. Ἐὰν εὔποροι ἦσαν οἱ τοῦ ἀνήβου χρεῶσται ἀρξαμένου χειρίζειν τοῦ ἐπιτρόπου, ῥᾳθυμήσαντος δὲ αὐτοῦ ὕστερον γεγόνασιν ἄποροι, τῷ ἐπιτρόπῳ κινδυνεύεται ἡ ἀπορία.

52. Ἐν δὲ τῷ λ΄ κεφ. Εἴ τι κατὰ δόλον τῶν ἐπιτρόπων ἢ κουρατόρων ἢ ζημιωθῶσιν ἢ μὴ κερδάνωσιν οἱ νέοι, δύνανται αὐτοὺς ἀπαιτῆσαι τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ.

53. Ἐν δὲ τῷ λα΄ κεφ. Οὐκ ἀντίκειται ἡ τῶν ι΄ ἢ τῶν κ΄ ἐνιαυτῶν παραγραφή[m]. ἐὰν οὖν μὴ γέγονε διάλυσις, ἤτοι διὰ μεταθέσεως χρέους καὶ ἀποχῆς ἀναιρεθῇ ἡ ἀγωγὴ, δύναται τὸ κεχρεωστημένον ἀπαιτεῖν.

54. Ἐν δὲ τῷ λε΄ κεφ. Ἡ κατὰ τῶν ἐπιτρόπων ἀγωγὴ καὶ κληρονόμοις καὶ κατὰ κληρονόμων ἁρμόζει.

55. Ἀνάγν. καὶ τί. δ΄, ἐν ᾧ φησι περὶ ἐναντιώσεως ἐπιτρόπων, καὶ περὶ τῶν παρ' αὐτῶν δαπανηθέντων.

56. Ἀνάγν. καὶ τί. ε΄, ἐν ᾧ φησι περὶ τῆς κινουμένης ἀγωγῆς κατὰ τῶν ἀμφιβαλλομένων εἶναι ἐπιτρόπων καὶ διοικούντων τὰ πράγματα.

57. Ἀνάγν. καὶ τί. ϛ΄, ἐν ᾧ φησι περὶ πλαστῶν ἐπιτρόπων.

58. Ἀνάγν. καὶ τί. η΄, ἐν ᾧ διαλαμβάνεται περὶ ἐπιτρόπων δοθέντων παρὰ στρατηγῶν, καὶ ὅτι εὐθύνονται ὑπὲρ αὐτῶν οἱ στρατηγοί. οὗτινος ἐν τῷ θ΄[1] κεφ. φησίν· Οἱ στρατηγοὶ καὶ εἰς τόκους ὑπόκεινται, ἐπειδὴ ὁμοίως τοῖς ἐπιτρόποις ἐνάγονται, κἂν εἰ τὰ μάλιστα κεκανόνισται, ποινῆς τόκον μὴ ἀπαιτεῖσθαι.

59. Ἀνάγν. καὶ τί. θ΄, ἐν ᾧ διαλαμβάνεται περὶ ἐπιτρόπων, καὶ πότε δύνανται λαμβάνειν χρέος ὀρφανικὸν, ἢ ἐκποιεῖν τὰ τῶν ἀνήβων ἀκίνητα χωρὶς ἀποφάσεως δικαστικῆς, καὶ πότε μετὰ ἀποφάσεως. οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Τὰ ἀκίνητα τοῦ νέου, κἂν πράσιμα ἦσαν παρὰ τῷ πατρὶ αὐτοῦ, οὐκ ἐκποιεῖται, εἰ μὴ ῥητῶς ὁ πατὴρ ἐν διαθήκῃ ἢ κωδικέλλοις τὴν ἐκποίησιν ἐπέτρεψεν. εἰ δὲ χρέος ὑπόκειται καὶ μὴ δύναται ἐκ τῶν ἄλλων ἀποδοθῆναι πραγμάτων, ὁ πραίτωρ σκοπεῖ πότερον πραθῆναι ἢ ὑποτεθῆναι ὀφείλει· σωζομένης τῆς ἀγωγῆς τῷ ἀνήβῳ, ἐὰν συναρπαγέντα δείξῃ τὸν πραίτωρα.

60. Ἐν δὲ τῷ λ΄ κεφ. Ἡ διάταξις κελεύει, μηδὲν διαπιπράσκειν τὸν ἐπίτροπον, εἰ μὴ ἄρα εὔλογός ἐστιν αἰτία, ἐξ ἧς

---

m Ἀλλ' ἡ τῶν λ΄ ἐνιαυτῶν ἀριθμουμένων μετὰ τὴν ἥβην τοῦ νέου.

---

1 Lips. β΄.

δυνατὸν καὶ ἀκίνητα πράγματα πραθῆναι. πάντα μὲν γὰρ χρὴ φυλάττεσθαι παρὰ τῶν κηδεμόνων τῇ τῶν ἀνήβων περιουσίᾳ. μάλιστα δὲ οἱ οἰκέται φυλαττέσθωσαν, οἵτινες ἴσασι τὰ καταλελειμμένα. εἰ γὰρ χρηστοὶ τῷ τρόπῳ εἰσὶν, ἐναντιοῦνται παντὶ δόλῳ καὶ τρόπῳ μελετωμένῳ κατὰ τῶν ὀρφανῶν. εἰ δὲ καὶ πονηροί εἰσι, μέλλουσιν ὕστερον ἐν τῇ δόσει τῶν ἐπιτροπικῶν λόγων βασανιζόμενοι σαφηνίσαι τὴν ἀλήθειαν· τῶν γὰρ οἰκετῶν σωζομένων οὐδὲ περὶ τὰς ἀπογραφὰς ῥᾳδιουργεῖται, οὐδὲ ὑποκλέπτονται ἐσθήματα ἢ μαργαρῖται ἢ ἄλλα τινὰ τῆς οὐσίας. φορητὸν γάρ ἐστι μᾶλλον παρὰ τοῖς δεσπόταις τελευτῆσαι τοὺς οἰκέτας ἢ παρὰ τοῖς ἐξωτικοῖς δουλεῦσαι. εἰ δέ γε φύγωσιν, ἡ φυγὴ τοῖς ἐπιτρόποις ἐπιγραφήσεται, οἵτινες ἢ ῥᾳθυμήσαντες ἢ σκληρότερον αὐτοῖς προσενεχθέντες αἴτιοι γεγόνασι τῆς φυγῆς. κρεῖττον γὰρ φυλάττεσθαι τοὺς οἰκέτας, ἐπείτοιγε οὐδενὸς ἐμποδίζοντος μέλλει διασπᾶσθαι ἡ οὐσία. ἀλλ' οὐδὲ τοὺς οἴκους τῶν ἀφηλίκων ἐπιτρέπει ἡ διάταξις ἐκποιεῖν. ἄτοπον γάρ φησιν, ἐκεῖνον τὸν οἶκον ἐν ᾧ ἐτελεύτησεν ὁ πατὴρ, ἐν ᾧ ὁ ἀφῆλιξ ηὔξησεν, ἐν ᾧ πολλάκις αἱ τῶν προγόνων ἑστήκασιν εἰκόνες, πιπράσκεσθαι. ἁπλῶς οὖν ὡς ἐν κεφαλαίῳ μὴ μόνον οἱ ἀγροὶ, ἀλλὰ καὶ οἱ οἶκοι καὶ πάντα τὰ ἀκίνητα φυλαττέσθωσαν τοῖς ἐλάττοσιν. ἀλλὰ μηδὲ προσχήματι διορθώσεως καταλυέσθω[1] οἶκος καὶ πιπρασκέσθωσαν αἱ ὕλαι, εἰ μὴ μόνον τὰ ἀναμφιβόλως πτῶσιν ἀπειλοῦντα καὶ δεόμενα διορθώσεως. εἰ δέ γε ὁ πατὴρ τοῦ ἀνήβου ἢ ἕτερος παραπέμψας ἐπ' αὐτὸν τὴν οἰκείαν κληρονομίαν ἀρξάμενος καταλύειν ἢ ἀνακαινίζειν μέρος τοῦ οἴκου ἐτελεύτησε, χρὴ τὸν ἐπίτροπον διαμαρτυρίᾳ περὶ τούτου χρήσασθαι. μηδεὶς οὖν τῶν κηδεμόνων ἐκποιείτω πράγματα ἀφηλίκων δίχα ἀποφάσεως κριτοῦ· ὑπεξηρημένης ἐσθῆτος παλαιᾶς καὶ φυλαχθῆναι μὴ δυναμένης, καὶ ζώων περιττῶν τῇ χρείᾳ τῶν ὀρφανῶν.

61. Ἀνάγν. καὶ τί. ιγ' καὶ τί. ιδ' καὶ τί. ιϛ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ μὴ διοικήσας ἐπίτροπος, εἰ μὲν εὔπορός ἐστιν ὁ διοικήσας, οὐκ ἐνάγεται. εἰ δὲ ἄπορός ἐστιν, ἐνάγεται, διότι ὡς ὕποπτον οὐκ ἀπεκίνησε τὸν συνεπίτροπον.

62. Ἀνάγν. καὶ τί. ιη' καὶ τί. ιθ'.

63. Ἀνάγν. καὶ βι. ξ' τί. λζ' κεφ. β', ἐν ᾧ φησιν· Ὁ ἐπίτροπος ἢ κουράτωρ ἀγόμενος τὴν νέαν πρὸ τοῦ κε' ἐνιαυτοῦ, μὴ παρὰ

[1] Leuncl. καταβαλέσθω.

τοῦ πατρὸς αὐτῆς μνηστευθεῖσαν αὐτῷ ἢ ἀφορισθεῖσαν ἢ ἐν διαθήκῃ ὀνομασθεῖσαν, οὔτε γάμον ποιεῖ, καὶ ὑπόκειται μοιχείᾳ.

64. Ἀνάγν. καὶ τί. νβ' κεφ. γ', ἐν ᾧ φησιν· Ἐάν τις χειρίσας ἐπιτροπὴν ὀρφανοῦ δημευθῇ, κατὰ τοῦ δημοσίου τὴν κατὰ τῶν ἐπιτρόπων ἀγωγὴν κινείτω ὁ ὀρφανός.

65. Καὶ τί. νζ', ἐν ᾧ φησιν· Ἐὰν ὁ ἐπίτροπος τὴν παρ' αὐτοῦ ἐπιτροπευομένην κόρην φθείρῃ, περιορίζεται, καὶ πᾶσα ἡ οὐσία αὐτοῦ δημεύεται, κἂν τὰ μάλιστα ἐκείνην τὴν τιμωρίαν ὀφείλει ὑπενεγκεῖν, ἥντινα τῷ ἁρπάσαντι οἱ νόμοι ἐπιτιθέασι.

XXXIX.

Περὶ ἐπιτροπευούσης μητρὸς ἢ διοικούσης τὰ τῆς θυγατρὸς πράγματα.

1. Ἀνάγν. βι. κε' τί. β' κεφ. ξ', ἐν ᾧ φησιν· Ἐὰν μήτηρ ἐπιτροπεύουσα παιδὸς καὶ ὑπερβᾶσα τὴν ἐπαγγελίαν δευτερογαμήσῃ, μὴ αἰτήσασα αὐτῷ πρῶτον ἐπίτροπον καὶ τοὺς λογισμοὺς παραδοῦσα, οὐδὲν ἧττον ὑπόκειται διὰ τοῦτο καὶ τὰ τοῦ ἑτέρου ἀνδρὸς πράγματα.

2. Ἀνάγν. καὶ βι. κϛ' τί. ε' κεφ. πγ', ἐν ᾧ φησιν· Ἐὰν γυνὴ μετὰ θάνατον τοῦ ἀνδρὸς τὰ τῆς θυγατρὸς αὐτῆς διοικοῦσα πράγματα τινὰ διὰ ἀργυροπρατῶν πωλήσῃ καὶ τὸ τίμημα λάβῃ, καὶ[1] ἄπορός ἐστιν, οὐκ ἐλευθεροῦνται οἱ ἀργυροπρᾶται, ἐὰν εἰδότες τῆς κόρης εἶναι τὰ πράγματα δεδώκασι τὰς τιμάς, εἰ καὶ τὰ μάλιστα πολὺν χρόνον διῴκησε αὐτῆς τὰ πράγματα, καὶ ἀνδρὶ αὐτὴν κατηγγύησεν.

3. Ἀνάγν. καὶ βι. λζ' τί. ιβ', ἐν ᾧ φησι περὶ τοῦ ἀκωλύτως ἐπιτροπεύειν τὰς μητέρας τῶν παίδων, εἰ καὶ ὑπευθύνους αὐτοὺς ἔχοιεν ἢ καὶ εἶεν αὐτοῖς ὑπεύθυνοι, καὶ μηδὲ ὅρκον ὑπέχειν, ὡς οὐ δευτερογαμήσουσιν. ὑποκεῖσθαι δὲ αὐτὰς τοῖς ἐπιτροπικοῖς λογισμοῖς· ἅμα μέντοι τῷ δευτέροις αὐτὰς ὁμιλῆσαι γάμοις εὐθὺς ἐξωθεῖσθαι τῆς ἐπιτροπῆς[a].

---

[a] Ἀνάγνωθι περὶ προτιμήσεως ἐπιτρόπων τὴν ριη' νεαράν. φησὶ γάρ, ὅτι κατὰ τὸν βαθμὸν οἱ συγγενεῖς κατὰ τὴν τάξιν, καθ' ἣν πρὸς τὴν κληρονομίαν καλοῦνται, καὶ τὸ λειτούργημα τῆς ἐπιτροπῆς ὑπελθεῖν, εἰ ἄῤῥενες καὶ τέλειοι τὴν ἡλικίαν εἴησαν, καὶ ὑπὸ μηδενὸς νόμου κωλύονται τὴν ἐπιτροπὴν

---

[1] Lips. κἄν.

XL.

Περὶ ἐποπτῶν ἤτοι ἐξισωτῶν κηνσευόντων.

1. Ἀνάγν. βι. νϛ' τί. γ', οὗτινος ἐν τῷ γ' κεφ. φησίν· Ἐν τῷ κηνσεύειν δεῖ καὶ τὰς ἡλικίας ἀπογράφεσθαι τὰς ἐν καιρῷ τῆς ἀπογραφῆς.

2. Ἀνάγν. καὶ τί. ιδ', οὗτινος ἐν τῷ α' κεφ. θέμ. ϛ' φησίν· Ἐὰν ἐξισωτὴς ἢ λογοθέτης ἐῤῥαθύμησεν ἤγουν κατὰ χάριν ἔπραξέ τι, οὐ μόνον τῆς ἀξίας ἐκπίπτει, ἀλλὰ καὶ τετραπλάσιον τὸ τέλος δίδωσι. τετραπλάσια δὲ παρέχει καὶ ἅπερ ἔλαβε παρὰ τῶν ἐπαρχεωτῶν.

3. Βεβαίως ἐχέτω τὴν γῆν ὁ λαβὼν ἀπὸ τοῦ ἐξισωτοῦ, μὴ ἀπαιτούμενος λοιπάδας τοῦ προλαβόντος χρόνου. εἰ δέ τις ἐκδικεῖ αὐτὴν ὡς ὑποκειμένην ἢ ἑτέρῳ τρόπῳ κινεῖ τὸ δικαστήριον ἢ δι' ἑαυτοῦ ἢ διά τινος προσώπου, καὶ λοιπὸν εἰ νικήσει, τὰς δαπάνας τῆς βελτιώσεως δώσει τῷ κατέχοντι αὐτὴν, ἐντὸς ἓξ μηνῶν κινῶν τὴν ἁρμοδίαν ἀγωγήν.

4. Ἐν δὲ τῷ β'[1] κεφ. Οἱ νεμόμενοι εὐθαλῆ χωρία ἀναδεχέσθωσαν καὶ τὰ ἄπορα. εἰ δὲ μὴ βούλονται, εἰξάτωσαν καὶ τῶν εὐθαλῶν, ὅπως ἂν πάντα οἰκήτορας[2] ἔχοιεν.

5. Ἐν δὲ τῷ ιϛ' κεφ. Μηδεὶς τῶν κτητόρων ὑπὲρ γῆς ἐν ἑτέρᾳ ἐνορίᾳ οὔσης καταδεχέσθω[3].

XLI.

Περὶ ἐργολάβων. ἔστι δὲ ὁ ἐργολάβος ὁ χρήματα διδοὺς ἐπὶ τῷ ἐκχωρηθῆναι ἀγωγήν.

1. Ἀνάγν. βι. ιδ' τί. α' κεφ. πα', ἐν ᾧ φησιν· Ὁ μὲν ἐργολαβήσας τὴν ἀλλοτρίαν δίκην κακῶς ἀπαιτεῖ πληρωθῆναι τὰ ὑποσχεθέντα ἐπὶ ταύτῃ τῇ αἰτίᾳ. οὐδὲ γὰρ ἔχει τὴν περὶ ἐντολῆς ἀγωγήν. ὁ μέντοι κατὰ ἐντολὴν ὑπέρ τινος δικασάμενος δύναται τὰ γενόμενα δαπανήματα λαβεῖν.

ὑπελθεῖν, μηδὲ ἐξκουσατίονι ἁρμοζούσῃ αὐτοῖς κέχρηνται. ταῖς γὰρ γυναιξὶ καὶ ἡμεῖς ἀπαγορεύομεν τῶν τῆς ἐπιτροπῆς ὑπελθεῖν λειτουργημάτων, εἰ μὴ μήτηρ ἢ μάμμη εἴη, καὶ ἐν ὑπομνήμασιν ἀπαγορεύσουσι γάμοις ἑτέρου καὶ τῇ βοηθείᾳ τοῦ βελινιανίου δόγματος. ἀνάγν. καὶ νεαρὰν ϙδ', ἐν ᾗ φησι περὶ ἐπιτροπευούσης μητρὸς, καὶ νεαρὰν ρνε'.

---

[1] Leuncl. ιβ'. [2] Leuncl. οἰκήτορες. [3] Leuncl. conj. κατεχέσθω.

2. *Καὶ κεφ. πγ', ἐν ᾧ φησι* τοῦ μὴ πλέον λαμβάνειν τὸν ἐργολαβήσαντα, τουτέστι τὸν τὴν ἀλλοτρίαν δίκην ἐκχωρηθέντα, ὧν δέδωκε χρημάτων, καὶ τοῦ ἀνήκοντος αὐτοῖς τόκου.

3. *Ἀνάγν. καὶ βι. ιε' τί. α' κεφ. λθ', ἐν ᾧ φησιν·* Οἱ ἐργολάβοι ἰδίαις χρείαις[1] κτίζοντες ποιοῦσιν αὐτὰς παραχρῆμα τοῦ δεσπότου τοῦ ἐδάφους.

XLII.

Περὶ ἐρημοδικίων τουτέστι τῶν ἐκ μονομεροῦς εἰσηγήσεως τὴν καταδίκην ἐχόντων.

1. *Ἀνάγν. βι. ϛ' τί. κα' κεφ. α' καὶ βι. ι' τί. δ' κεφ. η' θέμ. β'. ἐν ᾧ φησιν·* Ἐν τοῖς ἐρημοδικίοις καὶ οἱ μείζονες εὐλόγως ἀπολειφθέντες ἀποκαθίστανται.

XLIII.

Περὶ εὐνούχων καὶ περὶ τοῦ μὴ εὐνουχίζεσθαι ῥωμαῖον.

1. *Ἀνάγν. βι. ιθ' τί. α' κεφ. οδ' θέμ. β', ἐν ᾧ φησιν·* Ἡ διάταξις[a] κελεύει, ὥστε μηδένα ῥωμαῖον εὐνουχίζεσθαι, μηδὲ ἔξω τοῦ ῥωμαϊκοῦ ἐδάφους· μηδὲ ἀγοράζειν μηδένα τῶν εὐνουχισθέντων ῥωμαίων· ἀλλὰ καὶ τὸν εὐνουχίσαντα καὶ αὐτὸν τὸν ἀγοράσαντα, καὶ τὸν συμβολαιογράφον τὸν συγγράψαντα τὸ τοιοῦτον συμβόλαιον, καὶ τὸν τελώνην τὸν κομισάμενον τέλος τὶ ὑπὲρ τούτου τιμωρεῖσθαι. τὰ δὲ βάρβαρα ἀνδράποδα τὰ εὐνουχιζόμενα ἔξω τοῦ ῥωμαϊκοῦ ἐδάφους ἐξέστω πᾶσι τοῖς ἐμπόροις καὶ ἀγοράζειν καὶ πιπράσκειν.

2. *Ἀνάγν. καὶ βι. ξ' τί. γ' κεφ. κϛ', ἐν ᾧ φησιν·* Ὁ εὐνουχίσας παῖδα καὶ ποιήσας τιμιώτερον τῇ περὶ ὕβρεως ἀγωγῇ ὑπόκειται, καὶ τῷ παραγγέλματι τῶν ἀγορανόμων εἰς τὸ τετραπλοῦν.

3. *Ἀνάγν. καὶ βι. λγ' τί. α' κεφ. νβ', ἐν ᾧ φησιν·* Ὁ εὐνοῦχος ὄνομά ἐστι γενικόν· τέμνεται δὲ εἰς τρία. οἱ μὲν γὰρ αὐτῶν εἰσι σπάδονες, οἱ δὲ καστράτοι, οἱ δὲ θλιβίαι. καὶ σπάδονες μέν εἰσιν, οἵτινες διά τι πάθος ἢ ψύξιν ἐνοχλήσασαν τοῖς γονίμοις μορίοις παιδοποιεῖν κωλύονται, τούτου δὲ ἀπαλλαγέντες παιδοποιοῦσι. θλιβίαι δὲ, οἵτινες ὑπὸ τῆς τροφοῦ [ἢ

---

[a] *Φάκτου γεγονότος εἰς τὴν τοιαύτην καταδρομὴν ὁ ἰουστινιανὸς προήχθη. ϛ' γὰρ εὐνουχισθέντων, γ' μόνοι περιεσώθησαν.*

---

[1] Leuncl. et Basil. ὕλαις.

τῆς μητρὸς] τυχὸν ἔκθλιψιν τῶν διδύμων ὑπέστησαν. καστράτοι δέ εἰσιν, ἐφ' ὧν γέγονεν ἐκτομὴ τῶν γεννητικῶν μορίων. καὶ ὅτι ὁ μὲν καστράτος καὶ ὁ θλιβίας εἰς θέσιν τινὰ οὐ λαμβάνουσιν, ἐπειδὴ οὐδὲ παιδοποιεῖν δύνανται. ὁ δὲ σπάδων λαμβάνει, ἐπειδὴ τοῦτον ἐλπὶς εἰκὸς τοῦ πάθους ἀπαλλαγέντα δύνασθαι παιδοποιεῖν[b].

Ἀρχὴ τοῦ Z στοιχείου.

I.

Περὶ ζημιούντων ἀνθρώπων τε καὶ ἀλόγων ζώων, οἷον ἵππου λακτίζοντος ἢ βοὸς κερατίζοντος ἢ κυνὸς δάκνοντος καὶ λοιπῶν.

1. *Ἀνάγν. βι. ιθ' τί. ι' κεφ. λ', ἐν ᾧ φησιν·* Ὁ κύνα ἄγριον ἢ κάπρον ἢ ἄρκτον[1] ἢ λύκον ἢ πανθῆρα ἢ λέοντα ἢ ἕτερον βλαπτικὸν ζῶον λελυμένον, ἢ μὴ οὕτως δεδεμένον ὥστε μὴ δύνασθαι βλάπτειν, ἔχων ἐν δημοσίᾳ παρόδῳ, καὶ ἄνθρωπος ἐλεύθερος ἐκ τούτου τελευτήσει, διακόσια νομίσματα δίδωσιν· εἰ δὲ μὴ ἀπέθανεν, ἀλλ' ἐβλάβη, εἰς τὸ φαινόμενον τῷ δικαστῇ καταδικάζεται· τῶν δὲ λοιπῶν πραγμάτων διπλῆν δίδωσι τὴν ζημίαν.

2. *Ἀνάγν. καὶ βι. κ' τί. δ' κεφ. ιγ', ἐν ᾧ φησιν·* Ἐὰν ἀποδύσω δοῦλόν σου καὶ ἀπὸ ψύχους ἀποθάνῃ, ἐπὶ μὲν τοῖς ἐσθήμασιν ἁρμόζει ἡ περὶ κλοπῆς ἀγωγὴ εἰς τὸ διπλοῦν· ἐπὶ δὲ τῷ δούλῳ ἡ τοῦ διπλοῦ ἀπαίτησις· σωζομένης καὶ τῆς ἐγκληματικῆς κατηγορίας.

Ἐὰν ἀλλότριον σκεῦος ῥίψω εἰς βυθὸν, οὐκ ἐπὶ τῷ κερδάναι, ἀλλ' ἐπὶ τῷ[2] ζημιῶσαι τὸν δεσπότην, ἐνέχομαι εἰς τὸ ἁπλοῦν[3]· οὐ μὴν τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἢ τῷ ἀκουϊλίῳ[a].

---

[b] *Ἀνάγν. καὶ ρμβ' νεαράν. φησὶ γάρ, εἰ μὲν ἄνδρες εἶεν οἱ εὐνουχίσαντες, ταὐτὸ τοῦτο παθεῖν, ὃ πεποιήκασι, καὶ τὰ πράγματα αὐτῶν δημοσίῳ προσκυροῦσθαι, κἀκείνους ἐν γύψῳ πέμπεσθαι, καὶ εἶναι ἐκεῖ μέχρι περιείσιν. εἰ δὲ γυναῖκες ὦσι, καὶ αὐτὰς τιμωρεῖσθαι, καὶ τὰ πράγματα αὐτῶν τῷ δημοσίῳ προσκυροῦσθαι, καὶ εἰς ἐξορίαν πέμπεσθαι. τοὺς δὲ εὐνουχισθέντας, εἰ δοῦλοι εἶεν, ἐλευθερίας τυγχάνειν. ἰστέον δέ, ὅτι τὸ κεφάλαιον τοῦτο κεῖται ἐν τοῖς βασιλικοῖς.*

[a] *Διὰ τὸ μὴ βλαβῆναι τὸ σκεῦος [ὑπὸ τοῦ ὕδατος], ἢ διὰ τὸ μὴ ἀπὸ σώματος εἰς σῶμα γενέσθαι τὴν βλάβην.*

---

[1] Leuncl. *ἄρχον.* [2] Lips. *διὰ τό.* [3] Leuncl. et Basil. *διπλοῦν.*

Ἐὰν ἀκρόδρυά[b] σου εἰς τὸν ἐμὸν ἀγρὸν πέσῃ καὶ καταβοσκήσω αὐτὰ, χώρα τῇ ἰμφακτοὺμ, οὐ μὴν τῇ περὶ νομῆς πραγμάτων[1]. ἐπειδὴ μὴ εἰς τὸν σὸν ἀγρὸν ἐβόσκησα, οὔτε τῷ ἀκουϊλίῳ χώρα.

3. Ἀνάγν. καὶ βι. ξ' τί. β', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν τετράποδον ζημιώσῃ τινὰ, δίδοται ἀγωγὴ ἐπὶ ἐκδόσει τοῦ ζώου ἢ τῇ ἀποτιμήσει τῆς ζημίας.

Καὶ ἁρμόζει ἡνίκα τὸ ζῶον ἀγριότητι κινηθὲν ἔβλαψεν· οἷον λακτιστὴς ἵππος ἐλάκτισεν, ἢ βοῦς εἰωθὼς κερατίζειν ἐκεράτισεν. εἰ δὲ διὰ τὴν θέσιν τοῦ τόπου ἢ διὰ τὴν ἀπειρίαν τοῦ μουλίωνος ἢ τὸ πολὺ βάρος ἡ ζημία γένηται, μᾶλλον ὁ νόμος ὁ ἐξ ἀρνήσεως μὲν τὸ διπλοῦν ἀπαιτῶν, ἐξ ὁμολογίας δὲ τὸ ἁπλοῦν, ἁρμόζει.

Εἰ δὲ καὶ κύων ἑλκόμενος[c] ἀποφύγῃ διὰ τὴν ἰδίαν τραχύτητα[2] καὶ βλάψει, εἴπερ ἠδύνατο κρατεῖσθαι ὑπὸ ἄλλου ἀσφαλέστερον ἢ οὐκ ἐχρῆν αὐτὸν δι' ἐκείνου παρελθεῖν τοῦ τόπου, ἡ παροῦσα σχολάζει ἀγωγὴ, καὶ ἐνάγεται ὁ τὸν κύνα κρατῶν ἢ ὁ ἐρεθίσας αὐτόν.

Γενικῶς γὰρ τότε ἁρμόζει ἡ κατὰ ζώου βλάψαντος ἀγωγὴ, ὅτε παρὰ τὴν φύσιν κινηθὲν τὸ θηρίον ἔβλαψεν· εἰ γὰρ ἀπὸ πόνου ὁ ἵππος λακτίσει, ἀργεῖ ἡ τοιαύτη ἀγωγή.

Καὶ ὁ τύψας ἢ τραυματίσας τὸν ἵππον ἐνάγεται τῇ τοῦ διπλοῦ ἀπαιτήσει, ἐπειδὴ μὴ τῷ ἰδίῳ σώματι ἐζημίωσεν. εἰ δὲ ἐν τῷ καταπραΰνεσθαι ἢ καταψήχεσθαι[3] λακτίσει, χώρα τῇ ἀγωγῇ.

Εἰ δὲ τετράποδον ἕτερον ἐρεθίσει τετράποδον, ὀνόματι τοῦ ἐρεθίσαντος κινεῖται.

Εἴτε ἰδίῳ σώματι βλάψῃ τὸ τετράποδον, εἴτε δι' ἑτέρου πράγματος, τυχὸν τῆς[4] ἁμάξης, χώρα τῇ ἀγωγῇ.

Ἐπὶ δὲ τῶν κατὰ φύσιν ἀγρίων, οὐ κινεῖται. εἰ γὰρ ἄρκτος[5]

---

b Βάλανοι.

c Εἴ τις τῷ ἰδίῳ ἀγρῷ ἐργαζόμενος κύνα φυλακτικὸν ἔχει, ἐπὶ νομῇ δὲ τῷ ἀγρῷ πλησιάσωσι θρέμματα, ἐφ' οἷς ὁ κύων εἰσπηδήσας ἀθρόον, δίχα τῆς τοῦ κυρίου αὐτοῦ κελεύσεως, ἁρπάζει ἢ ἀποκτείνει τὶ τῶν θρεμμάτων, οὐκ ἐνέχεται ὁ τοῦ κυνὸς δεσπότης τῷ ἀκουϊλίῳ.

---

1 Leuncl. conj. προβατων vel θρεμματων. Hoc Bas. praestant. Sed recentioribus certe Graecis πραγματα audiunt equi, muli et id genus alia.
2 Lips. ταχύτητα. 3 Idem καταψυχεσθαι. 4 Idem τουτέστι δι ἁμ.
5 Lips. αρκος.

ἀποφυγοῦσα βλάψῃ, οὐ κατέχεται ὅ ποτε δεσπότης· ἐπαύσατο γὰρ δεσπόζειν ἀποφυγόντος τοῦ θηρίου· καὶ ὁ φονεύσας αὐτὸ δεσπόζει τοῦ σώματος.

Ἐὰν δὲ δύο κριοὶ ἢ βόες συμβάλωσιν, εἰ μὲν ὁ ἐπελθὼν ἀπέθανε, σχολάζει ἡ ἀγωγὴ, εἰ δὲ ὁ ἄλλος, κινεῖται, καὶ ἢ ἐκδίδοται ὁ ἐπελθὼν ἢ ἀποθεραπεύεται ἡ ζημία.

Καὶ ἐπὶ τῆς κατὰ τοῦ βλάψαντος ζώου ἀγωγῆς ἡ ζημία τῇ κεφαλῇ ἀκολουθεῖ, καὶ ὁ νῦν δεσπόζων, οὐ μὴν ὁ ἐν τῷ καιρῷ τῆς βλάβης ἐνέχεται.

Εἰ δὲ πρὸ τῆς προκατάρξεως ἀποθάνῃ τὸ ζῶον, σβέννυται ἡ ἀγωγή.

Ἐκδοῦναι ἐστὶ τὸ παραδοῦναι τὸ ζῶον περιόν.

4. Ἐν δὲ τῷ γ′ κεφ. (ὁμοίως φησὶ καὶ ἐν τῷ ιε′ κεφ. τοῦ δ′ τί. τοῦ αὐτοῦ βι.)· Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας, οὐ μὴν τῆς ἀμορφίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται.

5. Ἐν δὲ τῷ δ′ κεφ. Ἐὰν ἵππος ὀσφρανθῇ μοῦλαν, ἡ δὲ λακτίσῃ καὶ κλάσῃ τινὰ, ὁ δεσπότης αὐτῆς ἐνάγεται.

6. Ἀνάγν. καὶ τί. γ′, οὗτινος ἐν τῷ η′ κεφ. φησίν· Ὁ ἰατρὸς ἀπείρως τεμὼν δοῦλον ἢ τῇ μισθώσει ἢ τῷ ἀκουϊλίῳ ἐνέχεται. καὶ ὁ προπετῶς δοὺς φάρμακον· καὶ ὁ καλῶς μὲν τεμὼν, καταλιπὼν δὲ τὴν ἰατρείαν· καὶ ὁ μουλίων ἐὰν δι᾽ ἀπειρίαν ἢ ἀσθένειαν οὐκ ἐκράτησε τῶν μουλῶν. οὐ γὰρ ὀφείλει τὶς ἀποπροσποιεῖσθαι, γινώσκων ἢ ὀφείλων εἰδέναι τὴν ἰδίαν ἀσθένειαν ἐπιζήμιον ἄλλῳ γινομένην. τὸ αὐτὸ καὶ περὶ ἱππότου.

7. Ἐν δὲ τῷ κδ′ κεφ. Ἐάν τις θέλων καῦσαι τὸν οἶκόν μου πῦρ ὑποβάλῃ, καὶ καυθῇ ὁ τοῦ γείτονος, ἐνέχεται αὐτῷ τῷ ἀκουϊλίῳ, καὶ τοῖς ἐνοίκοις διὰ τὰ πράγματα αὐτῶν τὰ καυθέντα.

Ἐὰν ὁ φουρνάριος δοῦλος τοῦ ἐνοίκου ἀποκοιμηθῇ, καὶ καυθῇ ὁ οἶκος, χώρα τῇ μισθώσει, ἐὰν ἀμελῶς τοὺς ὑπηρετοῦντας ἐπελέξατο. εἰ δὲ ἄλλος ὑπέβαλε τὸ πῦρ, ἑκάτερος ἐνέχεται.

Ἐὰν πλησίον τοῦ κοινοῦ τοίχου φοῦρνον ἔχῃς, οὐ χώρα τῷ ἀκουϊλίῳ, ὥσπερ οὔτε ἐπὶ ἑστίας. εἰ δὲ καυθῇ ὁ τοῖχος, ἰμφακτοὺμ ἁρμόζει. πρὸ δὲ τῆς ζημίας ὁ εὐλαβούμενος αὐτὴν ἐπερωτᾷ τὴν ἀγωγὴν τὴν περὶ μελλούσης ζημίας.

Ἐὰν ὁ δοῦλος τοῦ μισθωτοῦ καύσῃ τὸ ἐποίκιον, χώρα τῇ μισθώσει καὶ τῷ ἀκουϊλίῳ· καὶ τῆς μιᾶς κινουμένης ἀργεῖ ἡ ἄλλη. ἔξεστι δὲ τῷ μισθωτῷ δοῦναι ὑπὲρ θεραπείας τῆς ζη-

μίας τὸν καύσαντα, ἐὰν αὐτὸς ἐστέρηται ῥαθυμίας· ἐπείτοιγε ἐγκαλεῖται κακοῖς χρώμενος. τὰ αὐτὰ καὶ περὶ ἐνοίκων.

8. Ἐν δὲ τῷ κε΄ κεφ. Ὁ πλήξας δούλην ἢ φοράδα καὶ παρασκευάσας ἀμβλῶναι, ὑπόκειται τῷ ἀκουϊλίῳ. καὶ ὁ ὑπερφορτώσας μοῦλαν καὶ ἐκ τούτου φθείρας μέλος αὐτῆς, καὶ ὁ πλοῖον τρυπήσας, καὶ ὁ ἄωρον τεμὼν ἐλαίαν, ἢ λήϊον ἢ ἄμπελον· εἰ μέντοι πέπειροι εἴησαν οἱ καρποὶ, ἀργεῖ. οὐδὲν γὰρ ἐζημίωσε τὸν δεσπότην, εἰ μὴ ἄρα τὰς σταφυλὰς ἔῤῥιψε χαμαὶ καὶ διεῤῥάγησαν. ὁ δὲ τοιοῦτος καὶ τὰς γινομένας δαπάνας[d] δωρεῖται τῷ δεσπότῃ. εἰ δὲ τρυγηθέντας τοὺς καρποὺς ὑφέληται, ἐνέχεται τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ. τὸ αὐτὸ καὶ ἐπὶ ὕλης, καὶ ἁρμόζει πρὸς τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ καὶ ἡ κατὰ τῶν δένδρα κλοπιμαίως τεμνόντων[e].

9. Ἐν δὲ τῷ λ΄ κεφ. Ἐὰν φαμιλία βλάψῃ ἢ κλέψῃ, τοσοῦτον δίδωσιν ὁ δεσπότης, ὅσον εἷς ἐλεύθερος ζημιώσας ἐδίδου· ἵνα μὴ ἐξ ἑνὸς ἁμαρτήματος ὅλης τῆς φαμιλίας ὁ δεσπότης στερηθῇ.

10. Ἐν δὲ τῷ λδ΄ [1] κεφ. Εἰ μὲν κελεύσει τινὸς ἐξουσίαν ἔχοντος ἐπιτάσσειν ζημιώσει μέ τις ἐλεύθερος, ὁ κελεύσας ἐνάγεται. εἰ δὲ μὴ τοιαύτης ἦν ἐξουσίας, αὐτὸς ὁ ποιήσας ἐνάγεται.

Ἐὰν ζῶόν μου, περὶ οὗ ἐνηγόμην τῇ παρ᾽ αὐτοῦ γενομένῃ ζημίᾳ, φονεύσῃς, οὐ γίνεται ἡ καταδίκη πρὸς τιμὴν τοῦ ζώου, ἀλλὰ πρὸς ὃ μέλλω[2] τῇ ζημίᾳ καταδικάζεσθαι, μὴ δυνάμενος εἰς νόξαν ἐκδοῦναι τὸ ζῶον.

11. [Ἐν δὲ τῷ ιε΄ κεφ.][3] Τὴν φοράδα μου βοσκομένην εὑρὼν ἐν τῷ σῷ τόπῳ ἀπήλασας καὶ ἤμβλωσεν. ἐὰν ἔπληξας ἢ ἐπίτηδες σφοδρῶς ἤλασας, ἐνέχῃ τῷ ἀκουϊλίῳ. ὁ γὰρ ἀλλότριον ἄλογον βοσκόμενον ἐν τοῖς ἰδίοις εὑρὼν οὔτε ἀποκλείειν αὐτὸ οὔτε σφοδρῶς ἐλαύνειν ὀφείλει, ἀλλ᾽ ὡς ἴδιον. ἔχει γὰρ ἀγωγὴν κατὰ τοῦ δεσπότου, περὶ ὧν ὡς εἰκὸς ἐζημίωται.

12. Ἐν δὲ τῷ μϛ΄ κεφ. Ὁ διὰ καπνοῦ φονεύσας ἢ φυγαδεύ-

---

d Περὶ τῶν τρυγῶν δηλονότι.

e Ἤτοι ἀρβόρουμ καεσόρουμ.

---

1 Lips. λα΄. 2 Leuncl. πρὸς τὸ διαφέρον μέλλω. 3 In Lips. inscriptio deest. Leuncl. λε΄ legi vult.

σας ἀλλοτρίας μελίσσας, ὑπόκειται τῇ τὸ διπλοῦν ἀπαιτούσῃ ἀγωγῇ.

Ὁ ἀκουΐλιος ἄδικον ἐπιζητεῖ ζημίαν. εἰ δέ τις ἐμπρησμοῦ γενομένου διὰ τὸ σῶσαι τὸν ἴδιον οἶκον καταστρέψῃ τὸν τοῦ γείτονος, ἀργεῖ ὁ ἀκουΐλιος, εἴτε τὸ πῦρ ἔφθασεν εἴτε προεσβέσθη.

13. Ἀνάγν. καὶ τί. δ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν ἐκχυθῇ τι ἢ ῥιφῇ κατὰ δημοσίας παρόδου, ἢ ὅπου τινὲς κατὰ συνήθειαν ἵστανται, καὶ γένηται ζημία, ἐνάγονται οἱ ἐνοικοῦντες εἰς τὸ διπλοῦν τῆς ζημίας. εἰ δὲ τελευτήσει ἐλεύθερος ἄνθρωπος, ἡ καταδίκη πεντήκοντα νομίσματα γίνεται. εἰ δὲ μὴ ἀπέθανεν, ἀλλ' ἐβλάβη, εἰς ὅσον δόξει τῷ δικαστῇ δίκαιον εἶναι. εἰ δὲ δοῦλος ἀγνοοῦντος τοῦ δεσπότου ποιήσει, ἀγωγὴ ἁρμόζει[1] εἰς τὸ ἐκδοθῆναι τὸν δοῦλον ὑπὲρ τῆς ζημίας.

Καὶ ἀδιάφορον εἴτε δημόσιος εἴτε ἰδιωτικός ἐστιν ὁ τόπος, μόνον εἰ τὸ πλῆθος ἐκεῖθεν παρέρχεται. εἰ δὲ σύνηθες ἦν ἔν τινι καιρῷ[f] μὴ παριέναι τὸ πλῆθος ἐκεῖθεν, ὁ τότε ῥίπτων ἀνεύθυνός ἐστιν.

Ἡ παροῦσα ἀγωγὴ οὐ κατὰ τοῦ δεσπότου τοῦ οἴκου, ἀλλὰ κατὰ τοῦ οἰκοῦντος εἰς τὸ διπλοῦν ἁρμόζει καὶ χωρὶς ἀμελείας καὶ ἀρνήσεως. ὁ δὲ ἀκουΐλιος ἑκάτερον ἐπιζητεῖ.

Ἐὰν ἀπὸ οἴκου ὑπεξουσίου ἐκχυθῇ, αὐτὸς ἐνάγεται, καὶ οὐχ ὁ πατὴρ ἐκ τοῦ πεκουλίου τοῦ παιδὸς δίδωσι τὴν ζημίαν. οὐ γάρ ἐστι συνάλλαγμα, ἀλλὰ ὡσανεὶ ἁμάρτημα.

14. Ἐν δὲ τῷ δ' κεφ. Ὁ ἔχων ἐν ἐξώστῃ κρεμάμενόν τι, ἔνθα πάροδός ἐστι τοῦ πλήθους ἢ τινες ἵστανται, ὅπερ πίπτον δύναται βλάψαι, ἐνέχεται ἰμφακτοὺμ εἰς ι' νομίσματα. εἰ δὲ δοῦλος ἀγνοοῦντος τοῦ δεσπότου ποιήσει, νοξαλία δίδοται.

Ἐὰν σκεῦος ζωγράφου ἢ σανὶς ἐξ ὑπερῴου πεσὸν βλάψῃ τὸν παριόντα, ἢ κεράμιον ἀπὸ στέγης ἠρτημένον, οὐτιλία ἰμφακτοὺμ ἁρμόζει, τουτέστιν ἐνάγεται τῇ περὶ τῆς γενομένης ζημίας, ἐπειδὴ μὴ ἀπὸ ἐξώστου ἔπεσεν.

Ἡ παροῦσα ἀγωγὴ καθολική[g] ἐστι, καὶ ἁρμόζει διαδόχοις, οὐ μὴν κατὰ κληρονόμων· ποιναλία γάρ ἐστιν.

15. Οὐ μόνον πρὸς πόλεις καὶ κώμας, ἀλλὰ καὶ πρὸς τὰς ὁδούς, δι' ὧν τὸ πλῆθος παρέρχεται, ἀνήκει τὸ διάταγμα.

---

[f] Ἐν νυκτὶ δηλαδή.

[g] Ποπουλαρία, δημοτική.

[1] Lips. αρμ. ἡ περὶ ζημίας, omissis paulo post verbis ὑπὲρ τῆς ζημίας.

Χώρα τῷ νόμῳ, ὅτε ἐν ἡμέρᾳ πέσῃ, εἰ μὴ ἄρα καὶ ἐν νυκτὶ πάροδος γίνεται.

16. Ἐν δὲ τῷ ε' κεφ. *Ὁ ἔνοικος καὶ ὑπὲρ τῆς οἰκείας ἀμελείας καὶ τῶν αὐτοῦ ἀπολογεῖται.*

17. Ἀνάγν. καὶ τί. κβ' κεφ. ϑ'[1].

II.

Περὶ ζητήσεων ἤτοι ἐξετάσεων, καὶ πότε καὶ τίνας δεῖ ἐμβασάνως ἐξετάζεσθαι.

1. Ἀνάγν. βι. ξ' τί. ν', οὗτινος ἐν τῷ α' κεφ. φησίν· *Οὐ δεῖ τῆς ζητήσεως ἀπὸ βασάνων ἄρχεσθαι.*

Τότε γὰρ οἱ δοῦλοι βασανίζονται, ὅτε καὶ ὕποπτός ἐστιν ὁ κατηγορούμενος καὶ ὕπεισι τεκμήρια, ὥστε μόνην τὴν τῶν δούλων ἐλλείπειν κατάθεσιν.

Πρῶτοι δὲ βασανίζονται οἱ ὕποπτοι καὶ δι' ὧν δυνατὸν γνωσθῆναι τὸ ἀληθές.

Οὐ δεῖ δὲ φέρεσθαί τινας ἀπὸ τοῦ οἴκου τοῦ κατηγόρου πρὸς ζήτησιν.

2. Ἐν δὲ τῷ δ' κεφ. *Οὐ δεῖ πιστεύειν ταῖς καταθέσεσι τῶν κρινομένων, εἰ μὴ καὶ ἀπόδειξις διδάσκει τὸν δικαστήν.*

Οὐκ ἀκούεται ὁ κατήγορος ἀποθέσθαι θέλων τὸ τίμημα τοῦ δούλου, ὥστε βασανισθῆναι αὐτὸν κατὰ τοῦ δεσπότου.

Ζητήσεως οὔσης περὶ δημοσίων συντελειῶν καὶ οἰκέται βασανίζονται· ἐπειδὴ καὶ συνειδότες τῇ κατὰ τοῦ δημοσίου περιγραφῇ εἰς κεφαλὴν τιμωροῦνται.

Οὐ δεῖ τὸν ἐξετάζοντα ὀνομαστὶ ἐπερωτᾷν, εἰ ὁ δεῖνα φόνον ἐποίησε (τοῦτο γὰρ ὑποβαλεῖν ἐστιν), ἀλλὰ τίς τὸν φόνον ἐποίησε.

Διὰ τὴν ἰταμότητα ἢ τὴν δειλίαν τῶν βασανιζομένων οὐ πάντοτε δεῖ πιστεύειν ἢ ἀπιστεῖν ταῖς καταθέσεσιν αὐτῶν, οὔτε ταῖς τῶν ἐχθρῶν, ἀλλὰ τῆς αἰτίας διαγινωσκομένης.

3. Ἐν δὲ τῷ ϑ'[2] κεφ. *Οἱ συλληφθέντες κατὰ τῶν αὐτοὺς παραδεδωκότων οὐκ εὐχερῶς πιστεύονται λέγοντες, ἀλλὰ τῆς αἰτίας διαγινωσκομένης.*

Ὁ αὐθαιρέτως ὁμολογήσας περὶ ἁμαρτήματος, εὐχερῶς οὐ πιστεύεται. πολλάκις γὰρ ἢ φόβῳ ἢ ἑτέρᾳ αἰτίᾳ καθ' ἑαυτοῦ πλάττεται. ὅθεν ἐὰν δοῦλος φοβούμενος ὑποστρέψαι

---

[1] Leuncl. θέμ. ιθ'. [2] Leuncl. ε'.

πρὸς τὸν δεσπότην πλαστῶς καθ᾽ ἑαυτοῦ εἴπῃ, καὶ μετὰ καταδίκην τῆς ἀληθείας διαγινωσκομένης ἐλευθεροῦται τῆς ποινῆς, καὶ διὰ τῆς τάξεως πιπράσκεται ἐφ᾽ ᾧ μὴ ὑποστρέψαι πρὸς τὸν δεσπότην, καὶ τὸ τίμημα δίδοται τῷ δεσπότῃ. δοῦλος δὲ ἄλλως καταδικαζόμενος, ἐὰν ἀποκαταστῇ, τῷ δεσπότῃ διαφέρει.

4. Ἐν δὲ τῷ ι΄[1] κεφ. Ὁ ἥττων τῶν δεκατεσσάρων ἐτῶν οὐχ ὑφίσταται ἐμβάσανον ζήτησιν.

Πάντες οἱ καλούμενοι πρὸς μαρτυρίαν ἐν τῇ πρὸς βασιλέα φερομένῃ καθοσιώσει τοῦ πράγματος ἀπαιτοῦντος βασανίζονται.

Οὔτε ὁ τοῦ πατρὸς δοῦλος κατὰ τοῦ υἱοῦ, οὔτε ὁ τοῦ υἱοῦ κατὰ τοῦ πατρὸς βασανίζεται.

5. Ἐν δὲ τῷ ις΄ κεφ. Ὁ ὁμολογήσας περὶ ἑαυτοῦ καθ᾽ ἑτέρου οὐ βασανίζεται.

6. Πολλῶν τὸ αὐτὸ ἁμαρτησάντων ἐκ τῶν δειλοτέρων καὶ ἁπαλωτέρας ἡλικίας ὄντων ἄρχεσθαι δεῖ τῆς ζητήσεως.

Ὅτε προφανέσι τεκμηρίοις ἐλέγχηται ὁ κατηγορούμενος, καὶ δεύτερον δύναται βασανίζεσθαι, μάλιστα ἐὰν καὶ τῇ ψυχῇ καὶ τῷ σώματι αὐτοῦ τὴν βάσανον ὑποφέρῃ.

7. Ἐν δὲ τῷ ιζ΄ κεφ. Μὴ ὄντων τεκμηρίων, οὐ δεῖ τὸν κατηγορούμενον βασανίζεσθαι· ἀλλ᾽ ὁ κατήγορος, ὅπερ ἐπιτείνει, δεικνύτω.

Οἱ μάρτυρες οὐκ ἀεὶ βασανίζονται πρὸς ἔλεγχον τοῦ ψεύδους ἢ τῆς ἀληθείας αὐτῶν, εἰ μὴ ὅτε παρεῖναι λέγονται τῇ ὑποθέσει.

Ὁ δοῦλος κἂν αὐθαιρέτως λέγῃ κατὰ τοῦ δεσπότου, οὐ πιστεύεται.

Οὐδὲ κατὰ τοῦ γενομένου δεσπότου καὶ πωλήσαντος αὐτὸν ὁ δοῦλος βασανίζεται.

Οὐδὲ εἰ ὁ δεσπότης αὐτὸν ἐπὶ τὸ βασανισθῆναι προφέρει, δεῖ κατ᾽ αὐτοῦ ἐρωτᾶσθαι.

8. [Ἐν δὲ τῷ ιη΄ κεφ.] Πρὸ μιᾶς ἡμέρας δεῖ προλέγεσθαι μέλλειν ἐξέτασιν γίνεσθαι, ἵνα μὴ οἱ κατηγορούμενοι τῷ αἰφνιδίῳ καταπτοῶνται· εἰ καὶ τὰ μάλιστα δύνανται ἐν παντὶ καιρῷ διεκδίκησιν αἰτεῖν, καὶ ὑπερτίθεται καὶ ἐπεκτείνεται ἡ ζήτησις.

9. Ἐν δὲ τῷ λγ΄ κεφ. θέμ. γ΄· Ὁσάκις δοῦλος ἐρωτᾶται περὶ

---

[1] Leuncl. θ΄.

ἰδίας πράξεως, εἰ καὶ συμβάλλεται τῷ δεσπότῃ ἢ βλάπτει αὐτὸν ἡ ἐπερώτησις, δεχόμεθα αὐτόν.

10. Ἀνάγν. καὶ τὰ εἰρημένα ἐν τῷ περὶ δούλων ἐμβασάνως ἐξεταζομένων.

III.

Περὶ ζυγοστατῶν τὰς εἰσκομιδὰς ὑποδεχομένων.

1. Ἀνάγν. καὶ βι. νϛ΄ τί. ια΄ κεφ. ιγ΄ καὶ ιδ΄ καὶ ιε΄ [1], ἐν ᾧ φησι· Τοῦ ἐν δικαίῳ σταθμῷ δέχεσθαι τὰ καταβαλλόμενα, ἐχούσης τῆς λίτρας οβ΄ νομίσματα, καὶ τοῦ μὴ ἀπαιτηθεῖσαν ποσότητα ἐκδανείζειν ἢ ἄλλως χρᾶσθαι αὐτῇ.

Ἀρχὴ τοῦ Η στοιχείου.

I.

Περὶ ἡμερῶν ἀπράκτων [a] ἤτοι σχολαζουσῶν, καὶ τίνες ἐν αὐταῖς τιμωροῦνται ἢ τῆς φυλακῆς οὐκ ἐκβάλλονται καὶ τίνες οὐ τιμωροῦνται ἢ τῆς φυλακῆς ἐκβάλλονται, καὶ ὅτι ἡ ἡμέρα ἀπὸ ζ΄ ὥρας τῆς νυκτὸς ἄρχεται.

1. Ἀνάγν. βι. ζ΄ τί. ιζ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ἐν τῷ καιρῷ τοῦ θέρους καὶ τῆς τρύγης οὐδεὶς ἀναγκάζεται δικάσασθαι. εἰ δὲ κατὰ ἄγνοιαν ἢ ῥαθυμίαν ὁ δικαστὴς αὐτοὺς προκαλέσεται, εἰ μὲν παροῦσιν αὐτοῖς καὶ ἑκουσίως δικαζομένοις ψηφίζεται, ἔρρωται· εἰ δὲ ἀποῦσιν, ἀνίσχυρος ἡ ψῆφος καὶ χωρὶς ἐκκλήτου. εἰ δὲ μέλλει φθείρεσθαι ἡ ἀγωγὴ, ἀναγκάζονται συνελθεῖν μέχρι τοῦ προκατάρξασθαι, οὐ μὴν περαιτέρω.

2. Ἐν δὲ τῷ ιθ΄ [2] κεφ. Καὶ οἱ δικασταὶ πάντες καὶ οἱ δῆμοι τῶν πόλεων καὶ οἱ τεχνῖται πάντες ἐν τῇ κυριακῇ ἀργείτωσαν. γεωργοὶ δὲ μόνοι ἐν τῇ ἡμέρᾳ ταύτῃ γεωργείτωσαν,

---

[a] Οὗτος ὁ τίτλος ια΄ καὶ ιβ΄ ἐστὶ τοῦ γ΄ βι. τοῦ κώδ. τὸ δὲ τεμπορίβους οὐ κεῖται ἐν τῷ κώδικι. ἐν δὲ τοῖς ἰνστιτούτοις οὐ κεῖται οὗτος ὁ τίτλος. ἐπιγέγραπται δὲ κατὰ τὸ παλαιὸν de feriis et dilationibus et diversis temporibus. πρὸς δὲ τὸ de feriis φησὶν ὁ ἀνώνυμος· ἐλλιπῶς ἔχει τὸ ῥητὸν πρὸς τὴν ἐπιγραφήν. οὔτε γὰρ διεξῆλθε περὶ διαφόρων καιρῶν, ἀλλὰ περὶ μόνης ἡμέρας.

---

[1] Leuncl. excitat τί. ε΄ κεφ. ιε΄, ibique Heimb. hunc locum restituit. Sed rectius Lips. tit. 11 laudavit. [2] Leuncl. θ΄.

ἐπειδὴ πολλάκις συμβαίνει αὐτὴν ἐπιτηδειοτέραν εὑρεθῆναι πρὸς ἀροτρίασιν ἢ πρὸς τὴν τῶν ἀμπέλων γεωργίαν, καὶ ἄτοπόν ἐστιν αὐτοὺς κωλύεσθαι τῆς ἐκ τῶν ἀέρων ἀπολαύειν εὐκαιρίας.

3. Ἐν δὲ τῷ κβ'[1] κεφ. Ἐν τῇ τεσσαρακοστῇ τοῦ πάσχα μηδεμία παντελῶς ἐγκληματικὴ δίκη γυμναζέσθω παρὰ μηδενὶ ἄρχοντι.

4. Ἐν δὲ τῷ κγ'[2] κεφ. Πᾶσα ἡμέρα ἔμπρακτος ἔστω. οἱ δὲ δύο μῆνες καθ' ἕκαστον ἔτος πρὸς ἀνάπαυσιν τοῦ καμάτου συγκεχώρηνται· τουτέστιν ὁ τῶν θεριστικῶν καὶ ὁ τῶν τρυγητικῶν. καὶ ἐν τῷ ἰανουαρίῳ μηνὶ αἱ συνήθεις ἡμέραι ἔστωσαν ἄπρακτοι, καὶ ἡ γενεθλιακὴ ἑκατέρας ῥώμης ἡμέρα· χρὴ γὰρ ἐν τοῖς δύο τούτοις ναταλίοις ἀργεῖν τὰ δικαστήρια, ὡς ἐκ τῶν δύο τούτων πόλεων ἐπινοηθέντα. καὶ ζ' δὲ πρὸ τοῦ πάσχα ἡμέραι, καὶ ζ' μετὰ τὸ πάσχα, καὶ ἡ τοῦ γενεθλίου τοῦ σωτῆρος ἡμῶν καὶ αἱ τῶν ἐπιφανίων, καὶ ὅτε μνήμη τοῦ πάθους τῶν ἁγίων ἀποστόλων γίνεται, ἄπρακτοι ἔστωσαν· καὶ μηδεμία θέα ἐπιτελείσθω. καὶ τὴν κυριακὴν δὲ ὁμοίως ταύταις ταῖς ἡμέραις προσήκει τιμᾶσθαι. καὶ μηδὲ παρὰ τοῖς ἄρχουσιν ἢ χαμαιδικασταῖς ἢ παρ' ἑτέροις δικασταῖς ὑπόθεσις γυμναζέσθω. καὶ ἡ ἡμέρα δὲ ἡ γενεθλιακὴ τοῦ βασιλέως, ἢ καθ' ἣν ἀνηγορεύθη βασιλεύς, ἄπρακτος ἔστω. ἐν δὲ ταῖς ιε' πασχαλίαις ἡμέραις μηδὲ περὶ δημοσίων συντελειῶν μηδὲ περὶ ἰδιωτικῶν χρεῶν ὑπόμνησις παραγέσθω τινί[b].

5. Ἐν δὲ τῷ κδ'[3] κεφ. Πᾶσα πρᾶξις καὶ ἐπὶ δημοσίοις καὶ ἐπὶ ἰδιωτικοῖς ἡσυχαζέτω ἐν ταῖς ιε' πασχαλίαις ἡμέραις. μόνον δὲ ἐλευθερίαι δούλων καὶ αὐτεξουσιότητες παίδων[c] γινέσθωσαν.

---

b Ταύταις ταῖς ἀπράκταις ἡμέραις προσέθηκε ἡ πη' νεαρὰ τοῦ κυροῦ λέοντος καὶ τὰς τῶν τῆς ἐκκλησίας φωστήρων, ὧν ὀνόματα βασίλειος ὁ μέγας . . . .[4].

c Αἱ τῶν παίδων αὐτεξουσιότητες, ὡς ὁ ια' τί. τῆς α' ἰνστιτουτίωνος διαλαμβάνει, οὕτως ἐγίνοντο· εἰσιὼν ὁ γονεὺς παρὰ τῷ ἁρμοδίῳ δικαστῇ ἤγουν τῷ ἄρχοντι, ἐπαγόμενος δηλαδὴ καὶ τὸν ὑπεξούσιον ἢ τὴν ὑπεξουσίαν, ἔλεγε, τόνδε ἢ τήνδε ποιῶ ἐμαγκίπατον καὶ τῆς ἐμαυτοῦ ἀφίημι χειρός. μετὰ δὲ τὴν τοιαύτην ἐμαγκιπατίονα ἐὰν συνέβη τὸν γινόμενον ἢ τὴν γινομένην ἐμαγκίπατον τελευτῆσαι, ἄπαιδα μὲν, ἐπὶ διαθήκῃ δὲ, ἀπένεμον τῷ

---

1 Leuncl. ιβ'. 2 Idem ιγ'. 3 Idem ιδ'. 4 Hoc scholium habetur in Cod. Vind. jurid. gr. 1. Ultima verba non descripsi.

6. [Ἐν δὲ τῷ κε΄ [1] κεφ.] Ἡ διάταξις βούλεται τοὺς ληστὰς καὶ τοὺς ἰσαύρους οὐ μόνον ἐν τῇ τεσσαρακοστῇ, ἀλλὰ καὶ ἐν οἱαδήποτε ἡμέρᾳ τοῦ πάσχα ἐξετάζεσθαι καὶ βασάνοις ὑποβάλλεσθαι. συγγνώσεται γὰρ τὸ θεῖον ἡμῖν, φησι, πολλῶν ἀνθρώπων σωτηρίας ἐντεῦθεν ἀσφαλιζομένης, καὶ πολλῶν ἐλεγχομένων διὰ τῆς ἐπ᾽ ἐκείνοις ἐξετάσεως.

7. Ἐν δὲ τῷ κϛ΄ [2] κεφ. Τῇ πρώτῃ τῶν πασχαλίων ἡμέρᾳ καὶ μὴ βασιλικῆς ἐπὶ τούτῳ ἰδικῆς καταλαβούσης [3] κελεύσεως πάντες οἱ ἐν φυλακαῖς ἀπολυέσθωσαν· εἰ μὴ ἄρα ἱερόσυλός ἐστιν ἢ μοιχὸς ἢ παρθένων ἅρπαξ ἢ τυμβωρύχος ἢ γόης ἢ φονεὺς ἢ φαρμακὸς ἢ μονήταν πλαστὴν καταδεξάμενος ἢ πατροκτόνος ἢ κατὰ βασιλέως ἢ πόλεως μηχανησάμενος.

8. Ἐν δὲ τῷ κζ΄ [4] κεφ. Ἐν ταῖς ἀφωρισμέναις ἡμέραις εἰς τὴν τοῦ θεοῦ τιμὴν οὐ χρὴ θέαν ἐπιτελεῖσθαι, οὐδὲ ἀπαιτήσεις ἐν αὐταῖς προβαίνειν. ὅθεν καὶ ἡ κυριακὴ οὕτω τιμάσθω, ὥστε μηδὲ ἕνα προβαίνειν ἐκβιβασμὸν ἐν αὐτῇ, μηδὲ ὑπόμνησιν, μηδὲ ἐγγυῶν ἀπαίτησιν· σιωπᾷν δὲ καὶ τοὺς ταξεώτας καὶ τοὺς δικολόγους, καὶ μηδὲ τοὺς κήρυκας κεχρῆσθαι τῇ συνήθει φωνῇ, μήτε δικάζεσθαί τινα. σύμφωνα δὲ καὶ διαλύσεις καὶ ἐν κυριακῇ ποιεῖν ἐξέστω. μήτε δὲ ἱππικὸν ἢ κυνηγέσιον [5] ἐπιτελείσθω ἐν κυριακῇ, κἂν εἰ συμβῇ τὴν γενεθλιακὴν ἡμέραν τοῦ βασιλέως ἢ καθ᾽ ἣν ἀνηγορεύθη εἰς κυριακὴν ὑπαντῆσαι. ὁ δὲ ταῦτα παραβαίνων ἄρχων ἢ ταξεώτης τῆς ζώνης ἐκπιπτέτω καὶ δημευέσθω.

Ἀρχὴ τοῦ Θ στοιχείου.

I.

Περὶ θεάτρων καὶ θυμελικῶν.

1. Ἀνάγν. βι. νδ΄ τί. λε΄ [6], οὗτινος ἐν τῷ η΄ [7] κεφ. φησίν· Οἱ ἡνίοχοι κωνσταντινουπόλεως μὴ ὑποκείσθωσαν τῷ ἐπάρχῳ εἰς

ἐλευθερώσαντι γονεῖ ἀπὸ τῶν εὑρισκομένων αὐτοῖς πραγμάτων, ὅσον καὶ ἀπελεύθερος χρεωστεῖ καταλιπεῖν τῷ οἰκείῳ πάτρωνι ἀπὸ τῶν εὑρισκομένων αὐτῷ πραγμάτων ἄπαις ἐπὶ διαθήκῃ τελευτῶν, ἤτοι τὸ τρίτον.

---

[1] Leuncl. ιε΄. [2] Idem ιϛ΄. [3] Lips. καταβαλλούσης. [4] Leuncl. ιζ΄. [5] Leuncl. κυνήγιον. [6] Leuncl. ε΄. Heimb. tit. 37 reposuit. [7] Lege β΄. Leuncl. γ΄

τὸ τύπτεσθαι· εἰ μὴ περὶ αὐτὴν τὴν ἱπποδρομίαν ἁμαρτήσουσιν.

2. Ἐν δὲ τῷ ε' κεφ. Μηδεὶς τῶν ἀρχόντων ἀπὸ πόλεως εἰς πόλιν ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν μετακομιζέτω ἵππους ἢ ἡνιόχους ἢ ὀρχηστὰς ἢ θηρία· δεῖ γὰρ ἑκάστην πόλιν τὴν οἰκείαν τέρψιν ἔχειν· ἐπεὶ ἱερόσυλος[1] κρίνεται.

II.

Περὶ θησαυρῶν εὑρισκομένων.

1. Ἀνάγν. βι. ιε' τί. α' κεφ. ξζ', ἐν ᾧ φησιν· Ἐὰν εὕρω χρήματα ἐν τῷ ἀγορασθέντι παρ' ἐμοῦ οἴκῳ, εἰ μὴ θησαυρὸς ἦν, ἀλλ' ἀπολλύμενα χρήματα ἢ κατὰ πλάνην μὴ ληφθέντα ἀπὸ τοῦ κυρίου αὐτῶν, ἐκείνου μένουσι. ἀνάγν. καὶ τί. δ' κεφ. ιε'.

2. Ἀνάγν. καὶ βι. νς' τί. β' κεφ. γ' θέμ. ιε', ἐν ᾧ φησιν· Ἐὰν ἐν δημοσίῳ τόπῳ ἢ βασιλικῷ ἢ ἀφωρισμένῳ εἰς ταφὴν ἢ μνημεῖον θησαυρὸς εὑρεθῇ, τὸ ἥμισυ τῷ δημοσίῳ διαφέρει.

Ὁ δὲ ἀποκρύπτων τὸ διαφέρον τῷ δημοσίῳ μέρος τὸν ὅλον θησαυρὸν ἀποδίδωσιν.

Οὐδεὶς δὲ μηνύειν ἑαυτὸν εὑρηκέναι θησαυρὸν ἀναγκάζεται, εἰ μὴ μέρος αὐτοῦ τῷ δημοσίῳ διαφέρει.

III.

Περὶ θυσιῶν.

1. Ἀνάγν. βι. α' τί. α' κεφ. η' καὶ θ' καὶ ιβ', ἐν ᾧ φησιν· Ὁ παρὰ τὰ διωρισμένα θύσας ἅμα τοῖς κοινωνήσασιν ἢ ὑπηρετησαμένοις δημευθεὶς τὴν ἐσχάτην ὑπομενέτω ποινήν· τοῦ ἄρχοντος μετὰ ἀπόδειξιν ῥᾳθυμοῦντος καὶ τῆς τάξεως ἀνὰ πεντήκοντα καταβαλλόντων λίτρας. καὶ κεφ. ις'.

2. Ἀνάγν. καὶ βι. ξ' τί. λθ' κεφ. ια', ἐν ᾧ φησιν· Ὁ ποιῶν ἢ ἔχων ἀπηγορευμένας θυσίας κεφαλικῶς τιμωρεῖται. καὶ κεφ. κς' θέμ. γ'.

[1] Leuncl. ἱεροσυλίας.

Ἀρχὴ τοῦ Ι στοιχείου.

Ι.

Περὶ ἱερῶν.

1. Ἀνάγν. βι. ια'[1] τί. α' κεφ. β', ἐν ᾧ φησι[a]· Τὰ ἱερὰ πάντα τῷ δημοσίῳ ἢ τῷ βασιλικὴν ἐπ' αὐτοῖς εἰληφότι δωρεὰν διαφερέτω, τῆς ἐκκλησίας τὰ ἐπιτετραμμένα διεκδικούσης.

2. Ἀνάγν. βι. μς' τί. γ' κεφ. ζ', ἐν ᾧ φησι· Τὰ ἱερὰ ἤτοι ἅγια[b] καὶ ἐν πόλεσι καὶ ἐν χωρίοις καθιεροῦνται. δημόσιος δὲ τόπος παρὰ κέλευσιν βασιλέως οὐ γίνεται ἱερός.

3. Καὶ κεφ. η', ἐν ᾧ φησιν· Ὁ τόπος, ἐν ᾧ τὰ ἱερὰ ἀποτίθενται, οὐκ ἔστιν ἱερὸς, ἀλλὰ χρήσιμος τοῖς ἱερεῦσι· καὶ μεταφερομένων τῶν ἱερῶν ἐλευθεροῦται[c]. καὶ οἱ νόμοι ἱεροί εἰσιν.

---

a Θεοδώρου. Πάντες οἱ ναοὶ τῷ φίσκῳ διαφέρουσιν, εἰ μὴ ἄρα ἰδικαῖς οὐσίαις ἢ ἐκκλησίαις τισὶν ἤδη προσεκυρώθησάν τινες ἐξ αὐτῶν. — Θαλελαίου. Πάντας τοὺς τόπους, οὕστινας τοῖς ἱερεῦσιν ἡ πλάνη τῶν παλαιῶν ἀφωσίωσε, τῇ ἰδικῇ ἡμῶν οὐσίᾳ βουλόμεθα συνάπτεσθαι. εἴ τι δὲ ἐκ τούτου τοῦ δικαίου ὁπουδήποτε εἰς ἕκαστον πρόσωπον [ἢ] τῶν προλαβόντων βασιλέων φιλοτιμία ἢ ἡ ἡμετέρα καθοσίωσις ἐλθεῖν ἐβουλήθη, τοῦτο ἐν ταῖς αὐταῖς οὐσίαις διηνεκῶς φυλαττέσθω. καὶ ταῦτα δὲ, ἅτινα πολλαῖς διατάξεσιν εἰς τὴν προσκυνητὴν ἐκκλησίαν ἐβουλήθημεν ἀνήκειν, ἡ χριστιανικὴ ἐκκλησία ἑαυτῇ διεκδικείτω.

b Πανταχοῦ μὲν ἡ ἀρχαιότης σάκρα λέγει τὰ ἅγια, σάγκτα δὲ τὰ τείχη. νυνὶ δὲ ταῦτα παρὰ τῇ συνηθείᾳ παρήλλακται. εἴρηται δὲ σάγκτα τὰ τείχη ἀπὸ τῆς σαγκτιῶνος βοτάνης, ἣν οἱ τῶν ῥωμαίων ἐπιφερόμενοι πρέσβεις ἀβλαβεῖς ἐτηροῦντο, ὥσπερ οἱ τῶν ἑλλήνων τὸ παρ' αὐτοῖς λεγόμενον κηρύκιον, ὡς ἐν τῷ τῶν διατάξεων α' . . . διατ. β'. πλὴν τὰ τείχη καὶ σάγκτα καλοῦνται διὰ τὴν ἀναγεγραμμένην αὐτοῖς αἰτίαν.

c Πολλὴ διαφορὰ σάκρου τόπου καὶ σακραρίου. σάκρος γὰρ ὁ ἤδη καθιερωθεὶς τόπος, σακράριον δὲ, ἐν ᾧ τὰ ἅγια ἀποτίθεται τόπος, ὅπερ πολλάκις γίνεται καὶ ἐν ἰδιωτικῷ τόπῳ. καὶ τιμᾶται μὲν ὁ τοιοῦτος τόπος, ὡς ἔχων τὰ ἅγια· εἰ δὲ μεταγάγω ἀλλαχόθι ταῦτα, παύεται τοῦ εἶναι σακράριον καὶ τοῦ ὀνόματος ἐλευθεροῦται.

---

1 Lege α'. — Mox Leuncl. κεφ. α'. Scholia hujus loci pertinent ad Basil. I, 1, 15.

II.

Περὶ ἱεροσυλίας.

1. *Ἀνάγν. βι. ξ' τί. με' κεφ. β' καὶ δ' καὶ ς' καὶ η', ἐν ᾧ φησιν·* Ἡ κατὰ τῶν ὑφελομένων δημόσια ἢ ἱερὰ χρήματα καταδίκη, τουτέστιν ὁ περιορισμὸς, μετὰ πενταετίαν τοῦ ἁμαρτηθῆναι οὐ κινεῖται.

2. *Καὶ κεφ. ια', ἐν ᾧ φησιν·* Ὁ ἐν θυσιαστηρίῳ εἰσιὼν ἐν ἡμέρᾳ ἢ νυκτὶ καὶ τῶν ἐν αὐτῷ ἱερῶν τι ἀφαιρούμενος τυφλούσθω. ὁ δὲ ἔξω τοῦ θυσιαστηρίου ἐκ τοῦ ἄλλου ναοῦ ἀφελόμενος τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

3. *Καὶ κεφ. ιε'.*

III.

Περὶ ἱκανοδοσίας διδομένης ἐπὶ ἐκπληρώσει τῶν κριθέντων ἢ κριθησομένων, καὶ τίνες ταύτην διδόασιν ἢ λαμβάνουσιν, καὶ περὶ τῶν παρ' αὐτῶν διδομένων ἐγγυητῶν τε καὶ ἐντολέων, καὶ πότε καὶ ἐν τίσιν εὐθύνονται.

1. *Ἀνάγν. βι. θ' τί. ι', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Ἡ περὶ τῆς ἀποπληρώσεως τῆς καταδίκης ἱκανοδοσία παραχρῆμα μὲν τοῦ ψηφισθῆναι βεβαιοῦται, ἔχει δὲ πρὸς ὑπόδειγμα τοῦ ἐναγομένου τὴν τετράμηνον εἰς ὑπέρθεσιν.

2. *Ἐν δὲ τῷ ια' κεφ.* Εἰ καὶ μετὰ προκάταρξιν ἀποθάνῃ ὁ ἐκδικούμενος δοῦλος, οὐκ ἐλευθεροῦνται οἱ τῆς ἐπὶ ἐκπληρώσει τῶν κριθέντων ἱκανοδοσίας ἐγγυηταὶ τοῦ ἐναγομένου τὴν δίκην ἐγκαταλιμπάνοντος. διαφέρει γὰρ αὐτὴν[1] πληρωθῆναι καὶ διὰ τὴν ἀγωγὴν τῆς ἐκνικήσεως καὶ διὰ τοὺς καρπούς.

3. *Ἀνάγν. καὶ τί. ια', οὗτινος ἐν τῷ β' κεφ. φησίν·* Ἐπὶ τῆς ἀσφαλείας τῆς ἱκανοδοσίας οὐ σκοποῦμεν τὸ κέρδος τοῦ ἐναγομένου ἢ τοῦ ἐνάγοντος, ἀλλὰ τί διέφερε τῷ ἐπερωτήσαντι κύριον ἡγηθῆναι τὸ πραχθέν.

4. *Ἐν δὲ τῷ κβ' κεφ.* Ἐὰν ἐν τῇ τῆς ἱκανοδοσίας[2] μνήμη καὶ κληρονόμων καὶ διαδόχων μὴ γένηται, εἰ μὲν ἐκ προνοίας, οὐ βεβαιοῦται τὸ τοῦ δόλου κεφάλαιον κινούντων αὐτῶν· εἰ δὲ κατὰ ἄγνοιαν παρελείφθησαν, βεβαιοῦται.

---

[1] Lips. *αὐτῷ.* [2] Leuncl. addi vult *ἀσφαλείᾳ.* Basil. *ἐν τῇ ἱκανοδοσίᾳ.*

IV.

Περὶ ἰουδαίων.

1. *Ἀνάγν. βι. α' κεφ. ια', ἐν ᾧ φησιν*[a]· Ἡσυχάζοντας τοὺς ἰουδαίους ἐὰν οἱ χριστιανοὶ θορυβήσωσι καὶ διαρπάσωσιν, εἰς τὸ διπλάσιον καταδικαζέσθωσαν[b].

2. Καὶ κεφ. λγ' καὶ λδ' καὶ λε', ἐν ᾧ φησι· Κατὰ τοὺς κοινοὺς ἰουδαῖοι γαμείτωσαν νόμους[c].

3. Καὶ κεφ. λϛ', ἐν ᾧ φησι· Κατὰ τοὺς κοινοὺς νόμους [οἱ] ἰουδαῖοι πολιτευέσθωσαν καὶ κινείτωσαν ἢ ἐναγέσθωσαν. εἰ δὲ κατὰ συναίνεσιν περὶ χρημάτων αἰτίας παρὰ ἰουδαίοις δικάσονται, ἐῤῥώσθω ὡς ἡ τοῦ νομίμου δικαστοῦ ψῆφος, καὶ παρὰ τῶν ἀρχόντων ἐκβιβαζέσθω[d].

4. Καὶ κεφ. λζ'· Ἰουδαῖοι καὶ οἱ τούτων ἔξαρχοι τὰς τιμὰς

---

[a] *Ἀνάγν. καὶ νεαρὰν ρμε'.*

[b] *Θεοδώρου. Ἐὰν χριστιανὸς ἁρπάσῃ ἀπὸ ἰουδαίου ἠρεμοῦντος τίποτε πρᾶγμα, τὸ διπλοῦν μόνον δίδωσι. — Καὶ οἱ ἀληθεῖς ὄντες χριστιανοὶ καὶ οἱ λεγόμενοι εἶναι χριστιανοὶ μήτε τοῖς ἰουδαίοις μήτε τοῖς ἀποβαπτίστοις ἢ τοῖς ἕλλησιν ἐν ἡσυχίᾳ διάγουσι, καὶ μηδὲν μήτε θορυβῶδες ποιουμένοις μήτε ἐναντίον τοῖς νόμοις, τολμείτωσαν τὰς οἰκείας χεῖρας ἐπιφέρειν, ἀποκεχρημένοι τὸ βούλεσθαι τὴν οἰκείαν θρησκείαν διεκδικῆσαι. εἰ γὰρ κατὰ τούτων ἡσυχαζόντων γίνονται βίαιοι καὶ τὰ τούτων ὑπάρχοντα διαρπάσουσιν, οὐκ ἐν ἁπλῷ μόνῳ ταῦτα ἐλεγχόμενοι ἀποδώσουσιν ἀλλ' ἐν διπλασίονι. καὶ ὁ ἄρχων δὲ τῶν ἐπαρχιῶν καὶ ἡ τάξις αὐτοῦ καὶ οἱ πρωτεύοντες δὲ τῶν πόλεων ἴστωσαν, ὡς εἰ ἐπιτρέπουσί τι γενέσθαι τοιοῦτον, ὁμοίως τοῖς ποιήσασι τιμωρηθήσονται.*

[c] *Θαλελαίου. Μηδεὶς τῶν ἰουδαίων κατὰ τὸν ἴδιον θεσμὸν συζευγνύσθω, μήτε κατὰ τὸν ἴδιον νόμον γαμείτω, μήτε εἰς διαφόρους ἐν ἑνὶ καιρῷ γάμους συνερχέσθω.*

[d] *Θεοδώρου. Πᾶς ἑβραῖος κατὰ τοὺς ῥωμαίων νόμους πολιτευέσθω καὶ μὴ κατὰ τοὺς μωσαϊκούς. καλῶς ἐνάγουσι καὶ ἐνάγονται οἱ ἰουδαῖοι παρὰ τοῖς ἁρμοδίοις δικασταῖς, καὶ ἐὰν συναινέσωσιν ἀμφότερα τὰ μέρη, δύνανται δικάζεσθαι καὶ παρὰ τοῖς πρεσβυτέροις αὐτῶν, ἂν δηλονότι ἀλλήλοις δικάζωνται εἰ γὰρ χριστιανῷ δικάζεται ἰουδαῖος, οὐ κρίνεται παρὰ ἑβραίῳ ἀλλὰ χριστιανῷ. — Θαλελαίου. Οἱ ἰουδαῖοι τῷ ῥωμαϊκῷ καὶ κοινῷ νόμῳ βιοῦντες ἐν τούτοις τοῖς πράγμασι, ἅτινα πρὸς τὴν θρησκείαν αὐτῶν καὶ τὴν ἀγορὰν καὶ τοὺς νόμους καὶ τὸ δίκαιον ἀνήκουσι, προσερχέσθωσαν τῷ ἐθίμῳ τρόπῳ τοῖς δικαστηρίοις καὶ πᾶσι τοῖς ῥωμαϊκοῖς νόμοις ὑποπιπτέτωσαν καὶ λαμβανέτωσαν ἀγωγάς. εἴ τινες δὲ τούτων κοινῇ συμφωνίᾳ καθ' ὁμοιότητα τοῦ δικαστοῦ παρὰ τοῖς ἰουδαίοις ἐν χρηματικῇ μόνον ὑποθέσει βουληθῶσι δικάσασθαι, καταλεγῆναι τοῖς αὐτοῖς κριτηρίοις δημοσίῳ νόμῳ μὴ κωλυέσθωσαν, καὶ ταῖς αὐτῶν ψήφοις οἱ ἄρχοντες ἐξακολουθείτωσαν, ὡσανεὶ ἐξ ἀποφάσεως ἄρχοντος αἱ ψῆφοι προηνέχθησαν.*

ἑαυτοῖς τῶν ὠνίων ὁριζέτωσαν. κἄν τις ἕτερος ἐπιχειρήσῃ τοῦτο, τιμωρείσθω[e].

5. Καὶ κεφ. λθ' καὶ μ', ἐν ᾧ φησι· Μηδεὶς βιαζέσθω τοὺς μηδὲν ἁμαρτάνοντας ἰουδαίους, ἢ τὰς συναγωγὰς αὐτῶν ἢ τὰς οἰκίας αὐτῶν καιέτω. ἐὰν δέ τι ἁμάρτωσι, παρὰ τῷ ἄρχοντι κατηγορείσθωσαν. ἀλλὰ μὴ ἐξέστω κατὰ τῆς τῶν χριστιανῶν θρησκείας ἰουδαίῳ θρασύνεσθαι[f].

6. Καὶ κεφ. μα' καὶ μβ', ἐν ᾧ φησιν· Ἰουδαῖοι χριστιανὸν περιτέμνοντες ἢ περιτμηθῆναι ἐντειλάμενοι δημευθέντες ἐξοριζέσθωσαν.

7. Καὶ κεφ. μγ' καὶ μδ' καὶ μζ' καὶ ν'· Ἰουδαῖος χριστιανὸν ἀνδράποδον μὴ ἐχέτω, μήτε κατηχούμενον περιτεμνέτω· μήτε ἄλλος αἱρετικὸς χριστιανὸν ἀνδράποδον ἐχέτω. καὶ κεφ. νζ'.

8. Ἀνάγν. καὶ βι. ξ' τί. λθ' κεφ. η'[1], ἐν ᾧ φησιν· Τοῖς ἰουδαίοις ἐφεῖται τὰ ἴδια τέκνα περιτέμνειν. εἰ δὲ περιτέμωσιν ἕτερον, κεφαλικῶς τιμωροῦνται καὶ δημεύονται.

9. Ἀνάγν. καὶ τί. νδ' κεφ. κθ'[2], ἐν ᾧ φησιν· Ἐὰν ἰουδαῖος πρὸς χριστιανισμὸν ἰδὼν λίθων βολὰς ἢ ἑτέραν τινὰ στάσιν παρὰ ἰουδαίων ὑπομείνῃ, ὁ τοῦτο τολμήσας ἅμα τοῖς μετέχουσι καιέσθω.

10. Καὶ κεφ. λ'[3], ἐν ᾧ φησιν· Ἰουδαῖοι χριστιανὸν περιτέμνοντες ἢ περιτμηθῆναι ἐντειλάμενοι δημευθέντες ἐξοριζέσθωσαν.

11. [Καὶ κεφ λα', ἐν ᾧ φησι·] Ἐὰν ἰουδαῖος χριστιανὸν πρὸς τὴν οἰκείαν θρησκείαν ἐφελκύσαι τολμήσῃ, δημεύεται καὶ τὴν δι' αἵματος τιμωρίαν ὑφίσταται.

12. [Καὶ κεφ. λγ', ἐν ᾧ φησιν·] Πᾶς μὴ χριστιανὸς οἰκέτην ἔχων χριστιανὸν λ' χρυσίου καταθήσει λίτρας τῷ δημοσίῳ, εἰς ἐλευθερίαν ἀναρπαζομένου τοῦ οἰκέτου.

---

e Θαλελαίου. Μηδεὶς ἀλλοέθνης ἔφορος γινέσθω τοῖς ἰουδαίοις. δίκαιον γάρ ἐστι τὰ ἴδια ἑκάστῳ συγχωρεῖν. εἰ δέ τις μὴ ἰουδαῖος ὢν ἐπιχειρήσει τὴν τοιαύτην φροντίδα λαβεῖν, ὡς τῶν ἀλλοτρίων ἐπιθυμῶν τιμωρείσθω.

f Θεοδώρου. Ἰουδαῖος μὴ ἀδικείσθω παρὰ χριστιανοῦ μὴ ἁμαρτήσας.

---

1 Leuncl. ια. 2 Lips. κε'. 3 Idem κϛ'.

Ἀρχὴ τοῦ Κ στοιχείου.

I.

Περὶ κακοτρόπων ἤτοι περιέργων καὶ δολίων τῶν τὸ ἑτέρῳ ὑποκείμενον ἢ πραθὲν ὡς ἴδιον καὶ ἀνεύθυνον πρὸς ἕτερον μεταφερόντων, οἵτινες καὶ τῷ στελλιονάτους ὑπόκεινται ἐγκλήματι ὡς ἀντιβαδιασταί.

1. Ἀνάγν. βι. ξ´ τί. λ´, οὗτινος ἐν τῷ α´ κεφ. φησί· Τὸ κατὰ τῶν περιέργων ἔγκλημα οὔτε τοῖς ποιναλίοις δικαστηρίοις οὔτε ταῖς χρηματικαῖς ἀγωγαῖς περιέχεται.

Οὔτε ἀτιμοποιόν· ἐξτραορδιναρίαν δὲ ἐπεξέλευσιν ἔχει.

2. Ἐν δὲ τῷ δ´ κεφ. Ὑποτιθέμενος τοῖς[1] πολλοῖς τὰ αὐτὰ πράγματα κατέχεται τῷ στελλιονάτους ἐγκλήματι. ἕτοιμος δὲ ὢν πᾶσι καταβάλλειν, ἀπαλλάσσεται τοῦ ἐγκλήματος.

II.

Περὶ κανόνων διαφόρων νομίμων.

1. Ἀνάγν. βι. β´ τί. γ´, οὗτινος ἐν τῷ α´ κεφ. φησί· Κανών ἐστι σύντομος τοῦ πράγματος ἀφήγησις καὶ σύνδεσμος, ὅστις ἅμα τῷ περί τι πταῖσαι[a] οὐ σημαίνει τὸ ὑποκείμενον. ὁ δὲ κανὼν ἐκ τῶν νόμων, οὐ μὴν ὁ νόμος ἐκ τοῦ κανόνος λαμβάνεται[b].

2. Ἐν δὲ τῷ ις κεφ.[2] Οὐκ ἔστιν εἰκονικὴ πρᾶσις καταβαλλομένου τιμήματος[c].

3. Ἐν δὲ τῷ νε´ κεφ. Οὐ δύναταί τις πλέον οὗ ἔχει δικαίου μετάγειν εἰς ἕτερον.

---

a Ἢ πλεονάσαι ἢ ἐλλεῖψαι.

b Ὥστε καθολικώτερός ἐστιν ὁ νόμος τοῦ κανόνος.

c Ἡ γὰρ εἰκονικὴ πρᾶσις πρὶν καταβληθῇ τὸ τίμημα δωρεᾷ ἔοικε, μετὰ δὲ τὴν καταβολὴν τοῦ τιμήματος χώρα τῇ ἐξ ἔμπτο καὶ τῇ ἐξ βενδίτο.

---

1 Basil. τις. 2 Lips. abhinc passim rubricas marginales habet, quibus illustretur singularum regularum argumentum. Sic hoc loco: περὶ εἰκονικῆς πράσεως. Plerumque rubricae illae ita sunt conceptae, ut simul indicent regulas hujus tituli ab auctore κατὰ στοιχεῖον dispositas esse. Initium facit ab iis, quae περὶ ἀγορασίας tractant: sequuntur περὶ ἀγωγῶν, περὶ ἀδυνάτων, περὶ ἀνήβων, περὶ αἱρέσεως, περὶ ἀπάτης κτλ. Hujuscemodi rubricae marginales etiam aliis titulis tam in Lips. quam in editione Leunclaviana occurrunt: eas tamen sicuti illic, ita etiam hoc nostro titulo ab editione mea alienas esse volui, tum ut typothetae consulerem, tum propterea, quod ab auctore vix viderentur esse profectae.

4. Ἐν δὲ τῷ ρνβʹ κεφ. θέμ. γʹ· Εἰς τὸ ἀπαιτεῖν καὶ ἐκδικεῖσθαι τὴν αὐτὴν ὡς ἐπὶ τὸ πολὺ τάξιν ὁ ἀγοραστὴς ἔχει τῷ πράτῃ.

5. Ἐν δὲ τῷ μγʹ κεφ. Πολλῶν ἀγωγῶν περὶ τοῦ αὐτοῦ συντρεχουσῶν τὴν μίαν τὶς κινεῖν ὀφείλει.

6. Ἐν δὲ τῷ κβʹ κεφ. Ἐὰν δύο ἀγωγαὶ πρόκεινταί τινι, ἡ μὲν ποσότητα μείζονα ἔχουσα[d], ἡ δὲ ἀτιμοποιὸς[e], προτιμᾶται ἡ ἀτιμοποιός. εἰ δὲ δύο ἀτιμοποιοί εἰσι, κἂν διάφορον ἔχωσι ποσὸν, ἴσαι νομίζονται[f].

7. Ἐν δὲ τῷ ρπαʹ [1]. Περὶ τῶν ἀδυνάτων[g] οὐδεμία [ἐστὶν] ἐνοχή[h].

8. Ἐν δὲ τῷ ρθʹ κεφ. Ὁ πλησιάζων τῇ ἥβῃ καὶ κλοπῆς καὶ ὕβρεώς ἐστι δεκτικός.

9. Ἐν δὲ τῷ ρπεʹ κεφ. Οὔτε θέλειν οὔτε μὴ θέλειν ὁ ἄνηβος ἄνευ τῆς αὐθεντίας τοῦ ἐπιτρόπου πιστεύεται.

10. Ἐν δὲ τῷ ρνϛʹ κεφ. Εἰ ἐκεῖνος ἐμποδίσει μοι πληρωθῆναι τὴν αἵρεσιν, ᾧτινι διαφέρει πληρωθῆναι αὐτὴν, ἀντὶ πεπληρωμένης ἐστίν. ὅπερ ἐστὶν ἐπὶ ἐλευθεριῶν καὶ λεγάτων καὶ ἐνστάσεων καὶ ἐπερωτήσεων.

11. Ἐν δὲ τῷ οϛʹ κεφ. Ὅτε περὶ ἀπάτης ζητεῖται, οὐ πολυπραγμονοῦμεν τί οὐκ ἔσχεν ὁ ἐνάγων, ἀλλὰ τί διὰ τοῦ ἐναγομένου σχεῖν ἐνεποδίσθη.

12. Ἐν δὲ τῷ οζʹ κεφ. Ἡ ἀπάτη καὶ ἀποτέλεσμα καὶ σκέμμα ἐπιζητεῖ.

13. Ἐν δὲ τῷ ριγʹ [2] κεφ. Ὁ τῷ κοινῷ νομίμῳ χρώμενος οὐκ ἀπατᾶται.

14. Ἐν δὲ τῷ ρπβʹ κεφ. Οὐδὲν ἀπαιτεῖσθαι δύναται πρὸ τοῦ καιροῦ, καθʼ ὃν τῇ φύσει τῶν πραγμάτων δύναται καταβάλλεσθαι· οὐδὲ πρὶν ἢ παρέλθοι ὁ ἐπὶ τῇ καταβολῇ ὁρισθεὶς καιρός.

---

d Χρηματική.

e Ἐγκληματική.

f Ἐκίνησέ τις κατά τινος χρηματικὴν ὑπόθεσιν, ὃς αὖθις εἶχε κατὰ τοῦ ἐνάγοντος ἐγκληματικὴν ἀγωγήν· ἡ ἐγκληματικὴ πρῶτον γυμνασθήτω. εἰ δὲ αἱ δύο εἰσὶν ἀτιμοποιοὶ, ἡ προκαταρχθεῖσα.

g Τὴν φύσιν.

h Λαβέτω ὁ δεῖνα ιʹ νομίσματα, ἐὰν τοῦ οὐρανοῦ ἅψηται· ἀδύνατος ἡ αἵρεσις, καὶ διὰ τοῦτο περιαιρεῖται καὶ λαμβάνει τὰ καταλειφθέντα αὐτῷ, καὶ οὐδεμία ἁρμόζει ἐνοχὴ κατʼ αὐτοῦ μὴ ἁψαμένου τοῦ οὐρανοῦ.

---

1 Lips. ρκαʹ. 2 Leuncl. ριδʹ.

15. Ἐν δὲ τῷ ρπγ' κεφ. Οὐ δοκεῖ ἄπαις τελευτᾷν ὁ καταλιπὼν ἔγκυον γαμετήν[i].

16. Ἐν δὲ τῷ ρλε' [1] κεφ. Ἡ ἀπειρία τῇ ἀμελείᾳ συναριθμεῖται.

17. Ἐν δὲ τῷ ρλζ' κεφ. Ἡ ἀπουσία τοῦ διὰ πρᾶγμα δημόσιον ἀπόντος οὔτε αὐτῷ οὔτε ἄλλῳ γίνεται ἐπιζήμιος.

18. Ἐν δὲ τῷ ρξθ'· Τῷ τῆς ἀποκαταστάσεως ῥήματι καὶ καρποὶ περιέχονται, κἂν μὴ τοῦτο ῥητῶς ἐκφωνηθῇ.

19. Ἐν δὲ τῷ ι' [2] κεφ. Ἐπὶ τῶν ἀσαφῶν τὸ ἧττον ἐπιλεγόμεθα[k].

20. Ἐν δὲ τῷ λδ' κεφ. Καὶ ἐν τῇ ἐπερωτήσει καὶ ἐν τοῖς λοιποῖς συναλλάγμασιν, εἰ μὴ δηλοῦται τὸ δόξαν τοῖς μέρεσιν, ἀκολουθοῦμεν τῷ ἔθει τοῦ κλίματος, ἐν ᾧ γέγονε τὸ συνάλλαγμα. εἰ δὲ καὶ αὐτὸ ἄδηλον εἴη ἢ ἀδιάφορον, τότε τῷ ἥττονι ἀκολουθοῦμεν.

21. Ἐν δὲ τῷ μ' κεφ. Ἐπὶ τοῦ ἀσαφοῦς πράγματος κρεῖττόν ἐστιν εὐνοεῖν τῇ ἀπαιτήσει, ἤπερ τῷ ἐπεισάκτῳ κέρδει[l].

22. Ἐν δὲ τῷ νζ' κεφ. Ἐν τοῖς ἀμφιβόλοις τὸ φιλάνθρωπον ἐπικρατεῖ[m].

23. Ἐν δὲ τῷ ξε' [3] κεφ. Ἐὰν ἡ αὐτὴ φρᾶσις διχῶς νοῆται, ἡ ἁρμόζουσα τῷ δικαίῳ καὶ κινουμένῳ πράγματι ἐπικρατεῖ.

24. [Ἐν δὲ τῷ ϙδ' κεφ.] Ἐν ταῖς ἀμφιβόλοις ἀφηγήσεσι τῇ διανοίᾳ δεῖ προσέχειν τοῦ ἀφηγησαμένου.

25. Ἐν δὲ τῷ ρια' κεφ. Ἐν τοῖς ἀσαφέσι τὸ πιθανὸν ἢ τὸ ὡς ἐπὶ [τὸ] πλεῖστον γινόμενον δεῖ σκοπεῖν.

---

i Τελευτῶν τις εἶπεν· ἐχέτω πέτρος τὸν ἀγρόν μου, εἰ παῖδα σχοίη. ἐτελεύτησεν ὁ πέτρος καταλιπὼν γυναῖκα ἔγκυον. οὐ δοκεῖ οὗτος ἄπαις, καὶ λήψεται ὁ παῖς τεχθεὶς τὸν ἀγρόν.

k Τοῦ νόμου λέγοντος τὸν ἁμαρτόντα εἰς σῶμα τιμωρεῖσθαι, οὐ νοοῦμεν μέλους ἐκτομήν, ἀλλὰ τὸ ἐλαφρῶς τυπτηθῆναι. ζήτει δὲ καὶ βι. μδ' τί. β' κεφ. μζ' λέγον, ἐὰν ἐν δυσὶν ὁμοίαις διαθήκαις ἅμα γενομέναις διάφορον ληγατευθῇ μοι ποσόν, τὸ ἧττον λαμβάνω.

l Ἀδήλου γὰρ ὄντος τοῦ εἴτε χρεωστεῖ τις εἴτε καὶ μή, ὡσαύτως ἐπίσης ὄντος ἀδήλου καὶ τοῦ χρεωστεῖσθαί τινι τόκον εἴτε καὶ μή, τὴν τοῦ κεφαλαίου ὑπόθεσιν προτιμώμεθα ἢ τῶν τόκων. κρεῖττον γάρ ἐστι βοηθῆσαι τῷ ἐν ἀληθείᾳ χρεωστουμένῳ ἢ τῷ κερδᾶναι μέλλοντι, ἤτοι τοῖς τόκοις.

m Ἀδήλου γὰρ ὄντος τοῦ ποίῳ πέτρῳ κατελείφθη τυχὸν τὸ λεγάτον, τῷ πένητι δίδοται διὰ φιλανθρωπίαν.

---

[1] Lips. ρπθ'. [2] Leuncl. θ'. [3] Lips. ϙδ'.

26. Ἐν δὲ τῷ ρξδʹ κεφ. Ἐν τοῖς ἀσαφέσι τὸ φιλάγαθον ἑρμηνεύομεν.

27. Ἐν δὲ τῷ ρξζʹ κεφ. Τὸ ἀμφίβολον σύμφωνον κατὰ τοῦ πράτου ἐστίν· ἡ δὲ ἀμφίβολος ἐναγωγὴ τὸ πρᾶγμα τοῦ ἐνάγοντος οὐ καταβλάπτει.

28. Ἐν δὲ τῷ ρπηʹ κεφ. Ἐν τοῖς ἀμφιβόλοις τὸ καλοθελὲς δεχόμεθα.

29. Ἐν δὲ τῷ ρπζʹ κεφ. Ἐὰν ὁ βασιλεὺς τῷ ἤδη τελευτήσαντι ὡς περιόντι δωρήσηται, οὐκ ἔρρωται μὲν, αὐτοῦ δέ ἐστι τὰ περὶ τῆς ἰδίας φιλοτιμίας διακρίνειν.

30. Ἐν δὲ τῷ πβʹ[1] κεφ. Τὰ ἐξαρχῆς βέβαια ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦται.

31. Ἐν δὲ τῷ ριγʹ κεφ. Οὐδὲν οὕτως ὑπεναντίον τῇ ἀγαθῇ πίστει, ὡς ἡ βία καὶ ὁ φόβος.

32. Ἐν δὲ τῷ ρμβʹ[2] κεφ. Ὁ ποιήσας βίαν ἢ τῷ περὶ βίας δημοσίας ἢ τῷ περὶ βίας ἰδιωτικῆς ὑποπίπτει νόμῳ.

33. Ἐν δὲ τῷ ιαʹ κεφ. Ὁ τὴν ὠφέλειαν ἔχων τοῦ πράγματος καὶ τὴν βλάβην αὐτοῦ ἔχει[n].

34. Ἐν δὲ τῷ ρϥεʹ[3] κεφ. Ὅτε χωρὶς βλάβης οὐκ ἐνδέχεται γενέσθαι τὶ, τὸ ἧττον ἄδικον ἐπιλεγόμεθα.

35. Ἐν δὲ τῷ λʹ κεφ. Τὸν γάμον οὐ τὸ συγκαθευδῆσαι, ἀλλʼ ἡ συναίνεσις ἀποτελεῖ.

36. Ἐν δὲ τῷ ρϥγʹ κεφ. Ἐν τοῖς γάμοις οὐ μόνον εἴ τι ἔξεστιν, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν.

37. Ἐν δὲ τῷ οηʹ[4] κεφ. Τὰ ἰδικὰ τῶν γενικῶν ἐπικρατέστερα.

38. Ἐν δὲ τῷ ρμαʹ[5] κεφ. Τὰ ἰδικὰ τοῖς γενικοῖς ἔνεισι πάντοτε.

39. Ἐν δὲ τῷ ρηʹ κεφ. θέμ. εʹ· Ταῖς γυναιξὶν εἰς τὸ διεκδικηθῆναι συντρέχομεν, οὐ μὴν συκοφαντούσαις.

40. Ἐν δὲ τῷ ιεʹ κεφ. Ὁ περὶ πράγματος ἀγωγὴν ἔχων εἰς ἀπαίτησιν αὐτὸ τὸ πρᾶγμα δοκεῖ ἔχειν.

41. Ἐν δὲ τῷ κθʹ κεφ. Τὸ ἐξαρχῆς ἀνυπόστατον οὐ βεβαιοῦται τῇ χρονίᾳ παραδρομῇ[o].

---

n Ἐὰν γὰρ πωλήσω σοι τὸν ἀγρόν μου ͵α μοδίων τυγχάνοντα καὶ παραδώσω σοι αὐτὸν, εἶτα συμβῇ αὐτὸν βλαβῆναι ἐκ τῆς ἐπιφορᾶς τοῦ ποταμοῦ, οὐκ ἀκυροῦται ἡ πρᾶξις[6] ἐκ τῆς μετὰ ταῦτα προσγενομένης βλάβης.

o Χρονία παραδρομὴ, ἡ καὶ μακρὰ παραδρομὴ, ἡ εἰκοσαετία. ἐπὶ θέματος τοῦ μὴ γενέσθαι τὸν γάμον.

1 Leuncl. πδʹ. 2 Lips. ριγʹ. 3 Lips. νεʹ. 4 Leuncl. ρηʹ. 5 Lips. ρϥδʹ. 6 Lege πρᾶσις.

42. Ἐν δὲ τῷ ρογ΄ κεφ. Ὁ τὴν ἑτέρου δεσποτείαν ὑπεισιὼν ἢ τὸ δίκαιον τοῖς αὐτοῦ δικαίοις ὀφείλει κεχρῆσθαι.

43. Ἐν δὲ τῷ λγ΄ κεφ. Δύο περὶ κέρδους ἀγωνιζομένων χείρων ἐστὶν ἡ τοῦ ἐνάγοντος αἵρεσις.

44. Ἐν δὲ τῷ πδ΄[1] κεφ. Διὰ τῆς προκατάρξεως ὡς ἐπίπαν κρείττων ἡ αἵρεσις γίνεται τοῦ ἐνάγοντος. λοιπὸν γὰρ ἁρμόζει κληρονόμοις καὶ κατὰ κληρονόμων.

45. Ἐν δὲ τῷ ρα΄ κεφ. Οὐδεὶς ἐκ τοῦ ἰδίου οἴκου ἕλκεται[p].

46. Ἐν δὲ τῷ ρκβ΄ κεφ. Θάλπονται μᾶλλον οἱ ἐναγόμενοι ἤπερ οἱ ἐνάγοντες[q].

47. Ἐν δὲ τῷ ρν΄ κεφ. Ἐν ἴσῳ ἁμαρτήματι χείρων ἐστὶν ἡ αἵρεσις τοῦ ἐνάγοντος, καὶ ὁ νεμόμενος κρείττων ἐστίν.

48. Ἐν δὲ τῷ ρκε΄[2] κεφ. Ὁ εἰς ὁλόκληρον διαδεξάμενος ἀντὶ κληρονόμου ἐστίν.

49. Ἐν δὲ τῷ ριε΄ κεφ. Ὁ διάδοχος ἐν πᾶσι τόπον ἐπέχει κληρονόμου[r].

50. Ἐν δὲ τῷ οη΄[3] κεφ. Τὰ ἐν διαθήκῃ [μὴ νοούμενα ἀντὶ μὴ γεγραμμένων εἰσίν.

51. Ἐν δὲ τῷ ρπδ΄ κεφ. Τὰ ἐν διαθήκῃ] ἀλλήλοις ἐναντιούμενα οὐκ ἔρρωται[s].

52. Ἐν δὲ τῷ ρϙζ΄ κεφ. Τότε τὰ ἐν διαθήκῃ ἀποτελέσματα λαμβάνουσιν, ὅτε καὶ τὴν ἀρχὴν ἀνεπίψογον ἐσχήκασιν.

53. Ἐν δὲ τῷ ρξϛ΄ κεφ. Τὸ ἔξω τῆς δικαιοδοσίας ἐκ τοῦ δικαστοῦ γινόμενον οὐκ ἔῤῥωται.

54. Ἐν δὲ τῷ πζ΄ κεφ. Ἐν πᾶσι μὲν μάλιστα δὲ τῷ νόμῳ τὸ δίκαιον σκοπεῖται.

55. Ἐν δὲ τῷ ρλβ΄ κεφ. Οὐδεὶς ἐκ τοῦ ἰδίου δόλου κρείττονα ποιεῖ τὴν ἰδίαν αἵρεσιν.

---

p Φρούριον γάρ ἐστιν ἑκάστῳ ὁ ἴδιος οἶκος.

q Θεμάτισον ἐπὶ κλοπῆς, οἷον δύο κλεψάντων ὁ μὲν νέμεται τὸ κλαπὲν, ὁ δὲ ἐνάγει μοῖραν ἐπιζητῶν.

r Ἡ τοῦ διαδόχου καὶ τοῦ κληρονόμου διαφορὰ τὸ παλαιὸν ἦν ἀπὸ τοῦ δυοδεκαδέλτου, νῦν δὲ οὐδεμία τούτων ἡ διαφορὰ, ἀλλὰ καὶ οἱ ἀγνάτοι καὶ κογνάτοι, καὶ οἱ ὑπεξούσιοι καὶ οἱ αὐτεξούσιοι, πάντες εἰς τὴν κληρονομίαν εἰσάγονται ἐπίσης.

s Ἔγραψα ἐν διαθήκῃ, δοθήτω τῷ πέτρῳ νομίσματα ε΄, καὶ παρακατιὼν, δοθήτω τῷ πέτρῳ μηδέν· οὐκ ἔῤῥωται. εἰ δὲ προσέθηκεν ἢ ἠλάττωσε, τῇ ὑστεραίᾳ γραφῇ προσέχομεν.

---

1 Leuncl. πε΄. 2 Idem ρκϛ΄. 3 Lips. οα΄.

56. Ἐν δὲ τῷ ιθ' κεφ. Δοῦλος οὐκ ἐνέχεται οὔτε ἐνοχοποιεῖται.

57. Ἐν δὲ τῷ ρε' κεφ. Δοῦλος οὐκ ἐνάγεται οἱᾳδήποτε ἀγωγῇ.

58. Ἐν δὲ τῷ ρις' κεφ. Ὁ ἐν δουλείᾳ ὢν οὐ διὰ τὸ χρῆσθαι δεσπόζει· ἐπειδήπερ νέμεσθαι οὐ δοκεῖ.

59. Ἐν δὲ τῷ ρλ' κεφ. Διὰ τῶν δούλων κρείττων ἡ αἵρεσις τῶν δεσποτῶν γίνεται, οὐ μὴν χείρων[t].

60. Ἐν δὲ τῷ ρνζ' κεφ. θέμ. ε'· Ἐπὶ τοῖς μὴ τραχέσιν ἢ μυσαροῖς ἁμαρτήμασι συγγινώσκονται οἱ δοῦλοι πειθαρχοῦντες τοῖς δεσπόταις, ἢ τοῖς ἐν τάξει δεσποτῶν, οἷον ἐπιτρόποις καὶ κουράτορσιν.

61. Ἐν δὲ τῷ σα' κεφ. [θέμ. γ']· Ἡ δουλεία σχεδὸν ἔοικε τῷ θανάτῳ.

62. Ἐν δὲ τῷ π' κεφ. Δωρεά ἐστι τὸ χωρὶς ἀνάγκης διδόμενον.

63. Ἐν δὲ τῷ ριζ' κεφ. Οὐκ ἐκποιεῖ ὁ μόνον τὴν νομὴν ἀποβαλλόμενος.

64. Ἐν δὲ τῷ ρδ' κεφ. Ἡ ἐλευθερία πρᾶγμά ἐστιν ἀτίμητον[u].

65. Ἐν δὲ τῷ ριθ' κεφ. Πλέον παντὸς πράγματος θάλπομεν τὴν ἐλευθερίαν.

66. Ἐν δὲ τῷ ροε' κεφ. Ἀδήλου τῆς γνώμης οὔσης τοῦ ἐλευθεροῦντος ἡ ἐλευθερία θάλπεται.

67. Ἐν δὲ τῷ ρζ' κεφ. Οὐδὲ ἓν ἔγκλημα ὑπομένει ὁ δυνάμενος κωλύσαι καὶ μὴ κωλύων[v].

68. Ἐν δὲ τῷ ρος' κεφ. Ἐγὼ δοκῶ λαμβάνειν, ὅπερ κατὰ κέλευσίν μου ἑτέρῳ δοθῇ.

69. Ἐν δὲ τῷ ροη' κεφ. Ἀχρήστως ἐπερωτῶμεν τὸ μὴ δυνάμενον εἶναί τινος. οὐδεμία γὰρ ἐπὶ τούτῳ ἐνοχὴ συνίσταται.

70. Ἐν δὲ τῷ ρϥδ' κεφ. Εἴτε εὔπορός ἐστιν ὁ ἐπίτροπος εἴτε ἄπορος, ὁ δόλος αὐτοῦ τὸν ὀρφανὸν οὐ βλάπτει.

---

t Ὅτι εἰ βούλονται, ἀποδέχονται τὴν αἵρεσιν τῶν δούλων· εἰ δὲ μὴ συμφέρει, οὐ προσδέχονται.

u Ἐὰν γάρ τις φονεύσῃ ἐλεύθερον ἄνθρωπον, οὐ δύναται λέγειν, ὅτι δώσω πᾶν τὸ διαφέρον τοῦ φονευθέντος· ἀδιατίμητος γὰρ ἡ ἐλευθερία.

v Ἐφιλονείκουν δύο τινὲς ἀνὰ τὴν ἀγορὰν καὶ ὕβρεσιν ἀλλήλους ἔβαλλον καὶ ἔπαιον ξύλοις· διερχόμενος καὶ θεώμενος ἠδυνάμην κωλύσαι, ἀλλ' οὐκ ἐκώλυσα. ἆρα ἐγκληθήσομαι; οὐδαμοῦ, ἀλλ' ἐπὶ τοῦ οἰκείου δόλου ὁ μὴ κωλύων ὑπόκειται.

71. Ἐν δὲ τῷ ρϙθ' κεφ. Ὁ ἐξ οἰκείου ἁμαρτήματος ζημιούμενος οὐ δοκεῖ ζημιοῦσθαι.

72. Ἐν δὲ τῷ σ' κεφ. Οὐ δεῖ γίνεσθαί τινα πλουσιώτερον ἐκ τῆς ἑτέρου ζημίας.

73. Ἐν δὲ τῷ ρξζ'[1] κεφ. Τὸ ἔτι ἠρτημένον οὐ δοκεῖ εἶναι.

74. Ἐν δὲ τῷ μη' κεφ. Τὸ κατ' ὀργὴν ἢ θερμότητα λεγόμενον ἢ γινόμενον οὔκ ἐστι βέβαιον, εἰ μὴ τοῖς[2] αὐτοῖς ἐπιμείνῃ.

75. Ἐν δὲ τῷ με'[3] κεφ. Οὔτε ἐνέχυρον οὔτε παραθήκη οὔτε παράκλησις οὔτε ἀγορασία οὔτε μίσθωσις ἐπὶ ἰδίῳ πράγματι συνίσταται.

76. Ἐν δὲ τῷ ροβ'[4] κεφ. Οἱ ἰδιῶται τὰ τῶν ἀρχόντων πράττειν οὐ δύνανται.

77. Ἐν δὲ τῷ ξ' κεφ. Ἔξεστιν ἑκάστῳ τὸν ἴδιον οἶκον ἀνανεοῦν, ἐφ' ὅσον ἕτερον ἄκοντα μὴ βλάπτει, εἰ μὴ δίκαιον ἔχει.

78. Ἐν δὲ τῷ ρϙη' κεφ. Πᾶς νομικὸς κανὼν σαθρός ἐστιν. εὐχερῶς γὰρ ἀνατρέπονται.

79. Ἐν δὲ τῷ ρξθ' κεφ. Οἱ μέχρις εὐπορίας καταδικαζόμενοι οὐκ ἀπαιτοῦνται πᾶν, ὅσον ἔχουσιν· ἵνα μὴ πτωχεύσωσιν[w].

80. Ἐν δὲ τῷ ρπδ' κεφ. Οὐδενὶ νόμῳ βεβαιοῦται τὸ τῇ φύσει τῶν πραγμάτων κεκωλυμένον[x].

81. Ἐν δὲ τῷ λζ' κεφ. Ἐπὶ τῶν ἁμαρτημάτων οὐκ εἰς τὴν ποινήν, ἀλλ' εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνέχεται.

82. Ἐν δὲ τῷ μδ'[5] κεφ. Τότε ὁ κληρονόμος εἰς τὸ περιελθὸν ἐνάγεται, ὅτε οὐκ ἐξ οἰκείου δόλου, ἀλλὰ τοῦ τελευτήσαντος ἐνάγεται.

83. Ἐν δὲ τῷ νβ' κεφ. Οὐ δοκεῖ τις λαμβάνειν ὅπερ ἄλλῳ ἀποκαταστῆσαι ἀναγκάζεται.

---

[w] Οἷον ὁ δωρησάμενος, καὶ ὁ ἀπὸ δωρεᾶς χρεωστῶν, ὁ πάτρων χρεωστῶν ἀπὸ δανείου τῷ ἀπελευθέρῳ, ὁ ἀνὴρ προῖκα χρεωστῶν τῇ ἰδίᾳ γυναικὶ ἢ τοῖς αὐτῆς κληρονόμοις, καὶ ἄλλα πρόσωπα τὰ μέχρις εὐπορίας εὐθυνόμενα. εἰ δὲ εἰς ὁλόκληρον εὐθύνεται ἀπὸ τοῦ νόμου, τότε τὸ πᾶν ἀπαιτεῖται.

[x] Εἶπον, λαβέτω ὁ πέτρος τόδε, εἰ νῆσον ἐν τῇ θαλάσσῃ ποιήσῃ· ἢ εἰ εἴπω, δίδωμί σοι τὸν πέτρον τὸν δοῦλόν μου, ὁ δὲ ἦν ἀποθανών· ταῦτα οὐκ ἔῤῥωται.

5 [1] Leuncl. ρξη'. [2] Lege τις. [3] Lips. μα'. [4] Leuncl. ροα'. Lips. λγ'.

84. Ἐν δὲ τῷ νη′[1] κεφ. Ὁ κληρονόμος τὸ αὐτὸ δίκαιον ἔχει, ὅπερ ὁ τελευτήσας.

85. Ἐν δὲ τῷ ξα′ κεφ. Κληρονομία ἐστὶν ἡ εἰς ὁλόκληρον διαδοχὴ τοῦ δικαίου, ὅπερ ὁ διαθέμενος εἶχεν.

86. Ἐν δὲ τῷ ογ′[2] κεφ. Ὅπου ἡ κληρονομία, ἐκεῖ καὶ ἡ ἐπιτροπὴ, χωρὶς γυναικός.

87. Ἐν δὲ τῷ ριζ′[3] κεφ. Οὐδεὶς πλέον οὗ ἔχει τῷ ἰδίῳ παραπέμπει κληρονόμῳ.

88. Ἐν δὲ τῷ ρκδ′ κεφ. Ὅτε ἀπὸ δόλου τοῦ τελευτήσαντος εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνάγεται, ἀρκεῖ πρὸς ῥοπὴν περιελθεῖν εἰς αὐτόν[y].

89. Ἐν δὲ τῷ μζ′ κεφ. Ὁ κοινωνὸς τοῦ κοινωνοῦ μου οὐκ ἐστί μου κοινωνός[z].

90. Ἐν δὲ τῷ μθ′ κεφ. Ὁ μεμηνὼς καὶ ὁ ἄσωτος οὐδεμίαν ἔχει βούλησιν.

91. Ἐν δὲ τῷ ϙη′ κεφ. Τὰ νόμῳ συνιστάμενα ἐναντίῳ νόμῳ ἀναιρεῖται.

92. Ἐν δὲ τῷ ρλη′ κεφ. Τὰ παρὰ κανόνας νόμου λεχθέντα[4] οὐχ ἕλκεται εἰς ὅμοια.

93. Ἐν δὲ τῷ ρμ′ κεφ. Οὐ πᾶν ὅπερ ἔξεστιν, ἤδη καὶ εὐπρεπές ἐστιν.

94. Ἐν δὲ τῷ ρξβ′[5] κεφ. Τὰ δι᾽ ἀνάγκην παρὰ κανόνα νόμου δεχθέντα οὐχ ἕλκεται εἰς ὑπόδειγμα.

95. Ἐν δὲ τῷ ρκγ′ κεφ. Οὔκ ἐστι κακῇ πίστει νομεὺς ὁ δεδωκὼς τίμημα.

96. Ἐν δὲ τῷ ρκε′ κεφ. Ἐν ἴσῃ αἰτίᾳ κρείσσων ἐστὶν ὁ νεμόμενος.

97. Ἐν δὲ τῷ ρκη′ κεφ. Ὁ δόλῳ παυσάμενος νέμεσθαι ὡς νεμόμενος καταδικάζεται[aa].

---

y Θεμάτισον ὅτι περιῆλθέ τινι ἀπὸ δόλου ἀγρὸς, καὶ τελευτῶν κατέλιπεν αὐτὸν εἰς κληρονομίαν ἑτέρῳ, ὃς εἰ ὁπωσοῦν δεσπόσει αὐτοῦ ἐν ῥοπῇ ἢ στιγμῇ ὥρας, καὶ ὕστερον δὲ ἀφαιρεθῇ αὐτῷ, ἀναγκάζεται ἀποκαθιστᾷν τὸν ἀγρὸν τῷ ἰδίῳ δεσπότῃ.

z Ἐὰν σχῶ τινα κοινωνὸν ἐφ᾽ ὡρισμένῳ ποσῷ, ὁ δὲ κοινωνός μου μὴ ἀρκεσθεὶς τῇ ἐμῇ κοινωνίᾳ προσλάβῃ καὶ ἕτερον κοινωνὸν, οὐ λογίζεται καὶ ἐμὸς κοινωνὸς εἶναι ὁ τοιοῦτος, ἀλλὰ τοῦ συγκοινωνοῦ μου ἐπὶ τῷ ἀνήκοντι ἐκείνῳ λάχει καὶ μόνον.

aa Ἐὰν γὰρ δοῦλον ἀλλότριον ἔχων, ἐπιγνοὺς ὅτι μέλλει ἐπιζητεῖν τοῦτον ἐξ ἐμοῦ ὁ δεσπότης αὐτοῦ ἀπολύσω αὐτὸν, ὡς νεμόμενος καταδικάζομαι.

---

[1] Leuncl. η′. [2] Lips. ια′. [3] Leuncl. ριη′. [4] Leuncl. δεχθ. [5] Lips. ρπζ′.

98. Ἐν δὲ τῷ ρλδʹ κεφ. Ὁ κατὰ κέλευσιν ἀρχικὴν ἀγοράσας καλῇ πίστει νομεύς ἐστι.

99. Ἐν δὲ τῷ ρϛʹ κεφ. Σχεδὸν ἐν πάσαις ταῖς ποιναλίαις ἀγωγαῖς καὶ τῇ ἡλικίᾳ καὶ τῇ ἀγνοίᾳ συντρέχομεν.

100. Ἐν δὲ τῷ πβʹ κεφ. Ἐν τοῖς ἀμφιβόλοις ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα[bb].

101. Ἐν δὲ τῷ ξϛʹ κεφ. Τὰ προσώποις ὑπάρχοντα προνόμια σβέννυται αὐτοῖς. τὰ δὲ προσόντα ταῖς ἀγωγαῖς πρὸς πάντας μετέρχονται.

102. Ἐν δὲ τῷ ργβʹ κεφ. Τὰ τοῖς πράγμασι διδόμενα προνόμια, οὐ μὴν τοῖς προσώποις, καὶ εἰς κληρονόμους διαβαίνει.

103. Ἐν δὲ τῷ ξγʹ κεφ. Τὰ σπανίως γινόμενα οὐκ εὐχερῶς ἐν τοῖς πραττομένοις συναλλάγμασι καταλογιζόμεθα.

104. Ἐν δὲ τῷ κζʹ κεφ. Ἀπὸ ἰδιωτικοῦ συμφώνου τὸ νόμιμον οὐκ ἐναλλάσσεται, εἰ καὶ τὰ μάλιστα κατ᾽ ἀρχὰς αἱ ἀγωγαὶ ἀπὸ συμφώνου ἐναλλάσσονται τῷ αὐτῷ δικαίῳ ἢ διὰ παραγραφῆς[cc].

105. Ἐν δὲ τῷ μεʹ κεφ. Τὸ ἰδιωτικὸν σύμφωνον οὐκ ἀναιρεῖ τὸ κοινὸν νόμιμον.

106. Ἐν δὲ τῷ οαʹ κεφ. Οὐδεὶς συμφωνῶν ἢ ἐπερωτῶν ἀσφάλειαν ἑτέρῳ περιποιεῖ.

107. Ἐν δὲ τῷ ροδʹ κεφ. Τῆς πρωτοτύπου αἰτίας μὴ ἐῤῥωμένης[1] οὐδὲ τὰ παρακολουθήματα ὡς ἐπίπαν ἔῤῥωνται.

108. Ἐν δὲ τῷ μϛʹ κεφ. Ἡ ἄδολος συμβουλὴ οὐκ ἐνοχοποιεῖ. ἐπὶ δὲ τῆς κατὰ δόλον ἁρμόζει ἡ περὶ δόλου.

109. Ἐν δὲ τῷ ρλθʹ[2] κεφ. Ὁ σιωπῶν οὐ δοκεῖ ὁμολογεῖν, ἀλλ᾽ ὅμως οὐκ ἀρνεῖται.

---

bb Ἐχρεώστησέ τις κατὰ ταὐτὸν ἐν τῇ προικὶ καὶ τῷ δημοσίῳ. ἐπεὶ οὖν ἐκ τούτων ὁ προλαβὼν νικᾷ τὸν ἕτερον, οὗτος δὲ κατὰ ταὐτὸν ἐχρεώστησεν, καὶ ἐστὶν ἀμφίβολον τίνι δεῖ βοηθεῖν, ὑπὲρ τῆς προικὸς δεῖ βοηθεῖν καὶ ἀποκρίνεσθαι.

cc Ὃ γὰρ ῥητῶς ὁ νόμος ἐκώλυσε, τὸ ἰδικὸν σύμφωνον οὐ βλάπτει, εἰ ἐν ἀρχῇ τοῦ συμφώνου συμφωνηθῇ. ὁ γὰρ συγκλητικὸς κωλυόμενος ὑπὸ τοῦ νόμου ἡμιεκατοστιαίῳ δανεῖσαι τόκῳ καὶ εἰ κατ᾽ ἀρχὰς τοῦτο συμφωνήσει, ἀνίσχυρον μένει. οὐχ ἕξει οὖν οὗτος τὸ νόμιμον τὸ λέγον· τὸ παρὰ φύσιν ἐν ἀρχῇ συμφωνούμενον ἰσχυρόν ἐστιν. ἐκεῖ γάρ εἰσι τὰ παρὰ κανόνα σύμφωνα ἰσχυρά, ἔνθα μὴ ῥητῶς ὁ νόμος κωλύει. δύναται γὰρ ἀπὸ συμφώνου ἀντὶ ἀργυρίου σκεῦος ἢ ἀνδράποδον δοθῆναι.

---

1 Lips. αἱρομ. 2 Lips. ρθʹ.

110. Ἐν δὲ τῷ οθ' κεφ. Τὰ διὰ τὸ ἀνελεῖν ἀμφισβήτησιν ἐντιθέμενα τοῖς συναλλάγμασιν οὐκ ἀναιρεῖ τὸ κοινὸν νόμιμον.

111. Ἐν δὲ τῷ ροβ' κεφ. Δυσχερῶς μὲν, ὅμως δὲ τοῦ δικαίου ἀπαιτοῦντος ἐναλλάσσομεν τὴν συνήθειαν.

112. Ἐν δὲ τῷ ξζ' κεφ. Τὸ δίκαιον, ὅπερ ἔχει τὶς τοῦ τιμωρεῖσθαι, οὐκ ἐντέλλεται ἄλλῳ.

113. Ἐν δὲ τῷ κ' κεφ. Τὰ τυχηρὰ δὲ τῶν ἀλόγων καὶ τὸν χωρὶς ῥαθυμίας θάνατον καὶ τὴν φυγὴν τῶν μὴ φυλάττεσθαι εἰωθότων δούλων καὶ τὴν ἁρπαγὴν καὶ τὸν θόρυβον καὶ τὸν ἐμπρησμὸν καὶ τὰ πλήθη τῶν ὑδάτων καὶ τὴν ἐπέλευσιν τῶν λῃστῶν οὐδεὶς ἐπιγινώσκει.

114. Ἐν δὲ τῷ γ' κεφ. Ὁ δυνάμενος θέλειν δύναται καὶ μὴ θέλειν[dd].

115. Ἐν δὲ τῷ δ' κεφ. Οὐ δοκεῖ θέλειν ὁ πειθαρχῶν πατρὶ καὶ δεσπότῃ[ee].

116. Ἐν δὲ τῷ ρνη' κεφ. Ὁ ἔχων ἐξουσίαν δωρεῖσθαι πρᾶγμα καὶ πιπράσκειν καὶ ἐκχωρεῖν αὐτὸ δύναται.

117. Ἐν δὲ τῷ πε'[1] κεφ. Οὐ δοκεῖ γίνεσθαι ὑπέρθεσις, ἔνθα μὴ ἁρμόζει ἡ ἀπαίτησις.

118. Ἐν δὲ τῷ ρπ' κεφ. Ὁ ἄλογος καὶ μάταιος φόβος οὐ συμβάλλεται.

119. Ἐν δὲ τῷ μβ' κεφ. Ὁ ἀρνησάμενος χρεωστεῖν οὐ κωλύεται καὶ ἑτέρᾳ δικαιολογίᾳ χρήσασθαι, εἰ μὴ νόμος[2] ἐμποδίζει.

---

dd Ἐκεῖνος δύναται παραιτεῖσθαι ὁ καὶ κτᾶσθαι δυνάμενος. εἰ γὰρ τοῦ πατρὸς ἀγνοοῦντος ὁ ὑπεξούσιος πωλήσει τὶ, εἶτα βουληθῇ ἀκυρῶσαι τὴν πρᾶσιν αὐτοῦ, οὐκ ἐνάγεται ὡς μὴ θέλων πωλῆσαι. εἰς γὰρ τὸν δυνάμενον θέλειν πωλῆσαι καὶ τὸ μὴ θέλειν λέγεται. — Ἐκείνου ἐστὶ τὸ μὴ θέλειν τοῦ δυναμένου θέλειν· ὁ γὰρ δυνάμενος θέλειν δύναται καὶ μὴ θέλειν. — Ἑρμηνεία Θαλελαίου. Εἰ γάρ τις ὑπὸ αἵρεσιν γραφείη κληρονόμος καὶ πρὸ τοῦ ἐξελθεῖν τὴν τοιαύτην αἵρεσιν παραιτήσεται τὴν κληρονομίαν, δύναται πάλιν οὗτος μετὰ τὸ ἐξελθεῖν τὴν αἵρεσιν ἐκνικᾶν τὴν κληρονομίαν, λέγων ὅτι πρὸ τῆς ἐκβάσεως τῆς αἱρέσεως κἂν ἤθελον καταδέξασθαι οὐκ ἠδυνάμην, καὶ λοιπὸν ἐπεὶ μὴ ἠδυνάμην θέλειν οὐδὲ μὴ θέλειν ἴσχυον. καὶ ἀνάγν. βι. λε' τί. ιδ' κεφ. ιγ' λέγον τὴν δυναμένην κτηθῆναι κληρονομίαν παραιτούμενοι ἀπόλλυμεν. καὶ αὐτὸς γὰρ ὁ ὑπ' ἐξουσιαστικὴν αἵρεσιν γραφεὶς οὐ δύναται παραιτεῖσθαι πρὶν ἐξέλθῃ. καὶ τὸ ιη' κεφ. τοῦ αὐτοῦ τί. λέγον· ἐκεῖνος δύναται παραιτεῖσθαι ὁ καὶ κτᾶσθαι δυνάμενος.

ee Ὅτι ἐὰν κελεύσει τοῦ πατρὸς ὁ υἱὸς ἔνοχος γένηται, ὁ μὲν πατὴρ εἰς ὁλόκληρον ἐνέχεται, αὐτὸς δὲ ἀποκαθίσταται.

---

[1] Leuncl. πς'. [2] Lips. μόνον.

120. Ἐν δὲ τῷ ξδʹ κεφ. Ὁ δικαίαν ἔχων παραγραφὴν οὐκ ἔστι χρεώστης[1].

III.

Περὶ καρπῶν καὶ τῶν κακῇ πίστει καρπωσαμένων.

1. Ἀνάγν. βι. ϑʹ τί. γʹ κεφ. ξϛʹ, ἐν ᾧ φησιν· Ὁ κακῇ πίστει νομεὺς οὐ μόνον τὸ πρᾶγμα ἀποδίδωσι καὶ τοὺς καρποὺς οὓς ἔλαβεν, ἀλλὰ καὶ οὓς ἠδύνατό τις λαβεῖν καρπούς. καὶ δίδωσι τούτους μετὰ προκάταρξιν. ταῦτα δε νόησον μὴ ἐπὶ τῆς ἀπαιτήσεως τῆς κληρονομίας. ἐπὶ ἐκείνης γὰρ καὶ οἱ πρὸ τῆς προκατάρξεως καρποὶ καταφέρονται. εἰ δὲ καὶ τελευτήσει οὗτος ἐπὶ κληρονόμῳ, καὶ ὁ κληρονόμος αὐτοῦ εἰς τὸ ἐλάττωμα αὐτοῦ ὑπεισιὼν τὰ αὐτὰ ἀπαιτεῖται[2].

2. Ἀνάγν. καὶ βι. ιεʹ τί. αʹ κεφ. μδʹ, ἐν ᾧ φησιν· Οἱ ἠρτημένοι καρποὶ μέρος εἰσὶ τοῦ ἀγροῦ.

3. Ἀνάγν. καὶ τί. δʹ κεφ. ϑʹ, ἐν ᾧ φησιν· Εἰ μὲν φαίνεται ὁ πεσὼν καρπὸς εἰς τὸν σὸν ἀγρὸν ἐκ τῶν δένδρων μου, ἔχω τὴν παραστατικὴν ἀγωγὴν ἐπὶ τὸ συναγαγεῖν τὸν καρπὸν ἐπὶ τρεῖς ἡμέρας, διδοὺς τὴν περὶ τοῦ μὴ βλάψαι ἀσφάλειαν. εἰ δὲ καὶ δόλῳ κατεβόσκησας αὐτὸν, χώρα τῇ παραστατικῇ ἀγωγῇ.

4. Ἀνάγν. καὶ βι. κγʹ τί. γʹ, οὗτινος ἐν τῷ βʹ κεφ. φησίν· Ἐὰν[3] προσωπικὴ ἀγωγὴ κινεῖται, δίδονται μετὰ προκάταρξιν τὰ πράγματα καὶ οἱ μετὰ ταῦτα ληφθέντες καρποὶ καὶ ὁ τοκετός. οἷον γὰρ ἦν ἐν τῇ προκατάρξει τὸ πρᾶγμα, τοιοῦτον ὀφείλει δίδοσθαι.

5. Ἐν δὲ τῷ ηʹ κεφ. Ἡ γονὴ τῶν λεγατευθέντων ἵππων δίδοται μετὰ ὑπέρθεσιν ὡς καρπός. ἡ δὲ γονὴ τῆς γονῆς ὡς πρᾶγμα, ὥσπερ καὶ ὁ τοκετὸς τῆς δούλης.

6. Ἐν δὲ τῷ κϛʹ κεφ. Ὥσπερ τὸ γάλα καὶ αἱ τρίχες καὶ τὸ ἔριον, οὕτω καὶ ἡ γονὴ τῶν θρεμμάτων καρπὸς αὐτῶν ἐστι, καὶ δεσπόζει αὐτῶν ὁ καλῇ πίστει νομεὺς καὶ ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων. ὁ δὲ τοκετὸς τῆς δούλης οὐκ αὐτῷ, ἀλλὰ τῷ δεσπότῃ διαφέρει. ὁ γὰρ ἄνθρωπος οὐκ ἔστι καρπὸς, ὡς τῆς φύσεως δι᾽ αὐτὸν εὐτρεπισάσης πάντας τοὺς καρπούς.

---

[1] Leuncl. hoc titulo duo capita amplius habet, quam Lipsiensis, quae tamen quo loco inseram incertus haereo. Sunt autem haec: μαʹ. Ὁ γινώσκων καὶ συναινῶν οὐκ ἀπατᾶται. — ρνϑʹ. Αἱ ποιναλίαι ἀγωγαὶ προκαταρχθεῖσαι παραπέμπονται κατὰ κληρονόμων. [2] Paris. 1351 hic ad marginem adscriptum habet c. 74 Basil. II, 2 (l. 77 de V. S.). [3] Leuncl. κἂν.

7. Ἐν δὲ τῷ μβ' κεφ. Τὸ δαπανώμενον παρὰ [1] τὴν συλλογὴν τῶν καρπῶν μειοῖ αὐτούς.

8. Ἀνάγν. καὶ βι. κδ' τί. γ' κεφ. γ', ἐν ᾧ φησιν· Ὁ κακῇ πίστει καρπωσάμενος, ἐὰν ἐναχθῇ καὶ ἡττηθῇ τῇ περὶ τοῦ πράγματος ἀγωγῇ, ἐπὶ μὲν τοῖς φαινομένοις καρποῖς δύναται τῇ περὶ αὐτῶν ἀγωγῇ ἐνάγεσθαι· δαπανηθέντων δὲ αὐτῶν κατέχεται τῷ ἀπαιτητικῷ λόγῳ, ἀναγκαζόμενος τῇ τούτων ἀποκαταστάσει πειθαρχῆσαι.

IV.

Περὶ καταμηνυόντων ἤτοι προσαγγελλόντων θησαυρούς τε καὶ λοιπὰ τῷ δημοσίῳ ἀνήκοντα, καὶ τίνες κωλύονται καταμηνύειν.

1. Ἀνάγν. βι. ς' τί. α' κεφ. ριζ', ἐν ᾧ φησι· Μήτε ὁ κόμης τῶν πριβάτων[a] μήτε τὶς ἕτερος τῶν ἐν κωνσταντινουπόλει ἢ ἐν ταῖς ἐπαρχίαις ἀρχόντων τὸν περὶ θησαυροῦ καταμηνύοντα προσδεχέσθω. εἰ δὲ περί τινος ἑτέρου προσαγγέλλει, ὑπὸ ἐγγύην εὐθὺς οὐχ ἧττον πέντε λιτρῶν γινέσθω. καὶ μηδέ τις σφραγὶς ἢ ἀναγραφὴ ἢ καινισμὸς ὁ τυχὼν ἐπὶ τοῖς προσαγγελθεῖσι προσερχέσθω πράγμασι πρὸ διακρίσεως ἐγγράφου.

2. Ἀνάγν. καὶ βι. νς' τί. β', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐκ πολλῶν αἰτιῶν γίνεται προσαγγελία τῷ δημοσίῳ. προσαγγέλλει γάρ τις ἑαυτὸν ἢ ἕτερον ἐπὶ παρανόμῳ κληρονομίᾳ, ὅτι τὴν τελευτὴν οὐκ ἐξεδίκησαν οἱ κληρονόμοι, ἢ ὅτι ἀνάξιός ἐστιν ὁ κληρονόμος, ἢ ὅτι κληρονόμος ἐγράφη ὁ βασιλεὺς καὶ ἀπεκρύβη ἡ διαθήκη ἢ οἱ κωδίκελλοι, ἢ ὅτι θησαυρόν τις εὗρεν, ἢ ὅτι πολύτιμον πρᾶγμα παρὰ τοῦ δημοσίου ὀλίγου ἠγόρασεν, ἢ ὅτι [κατὰ] προδοσίαν ἡττήθη ὁ δημόσιος, ἢ ὅτι ἀπέθανέ τις ὑποκείμενος ἐγκλήματι κεφαλικῷ, ἢ ὅτι μετὰ θάνατόν τις ὑπόκειται, ἢ ὅτι οἶκος κατελύθη, ἢ ὅτι κατηγορίας ἀπέστη τὶς, ἢ ὅτι πρᾶγμα ἐπράθη οὗτινος ἡ δεσποτεία φιλονεικεῖται, ἢ ὅτι ἀπὸ ἰδιωτικοῦ συναλλάγματος ποινὴ τῷ δημοσίῳ κεχρεώστηται, ἢ ὅτι γέγονεν ἐκ τοῦ κλεπτοτελωνηθῆναι δημόσιον.

Ἡ τῶν σχολαζόντων ἤτοι ἀκληρονομήτων πραγμάτων προσαγγελία τετραετίᾳ περαιοῦται, ἀρχομένη ἀφ' οὗ γένηται δῆλον μὴ σχεῖν τὸν τελευτήσαντα κληρονόμον. ἡ δὲ τῶν εἴκοσι

---

a Τῆς ἰδικῆς περιουσίας.

---

[1] Lege περὶ, ut Basil.

ἐτῶν, ἡ ἁρμόζουσα καὶ ἐπὶ τοῖς πράγμασι τοῦ δι' ἔγκλημα ἀναζητουμένου, ἄρχεται ἐξότου τὶ ἁρμόσαι τῷ δημοσίῳ ἠδύνατο. αἱ δὲ προκαταρχθεῖσαι καὶ ὑπερτεθεῖσαι ἢ προδοθεῖσαι παρὰ τοῦ πρῴην μηνυτοῦ δύνανται καὶ μετὰ τὴν εἰκοσαετίαν προσαγγέλλεσθαι.

3. Ἐν δὲ τῷ ιη' κεφ. Γυνὴ οὐ καταμηνύει, οὐδὲ οἱ λαμπρότατοι, οὔτε οἱ κατακριθέντες· τὰς δὲ προσαγγελθείσας καὶ προκαταρχθείσας πρὸ τῆς καταδίκης πληροῦν δύνανται μετὰ τὴν εἰς μέταλλον ἢ εἰς ἔργον μετάλλου καταδίκην. καὶ ἀπεστρατευμένοι καὶ στρατιῶται κωλύονται καταμηνύειν. ὅστις δήποτε δὲ κοινὸν ἔχων μετὰ [τοῦ] δημοσίου πρᾶγμα δύναται προσαγγέλλειν αὐτὸ, καὶ κἂν μὴ ἀποδείξῃ τὸ ἴδιον, οὐκ ἀτιμοῦται. οὔτε οἱ γενόμενοι ἐπίτροποί τινων ἢ κουράτορες ἢ διοικηταὶ πραγμάτων καταμηνύουσιν αὐτούς· ἀλλὰ τοῦτο ἐγχειροῦντες, ἢ ἑτέρῳ ἐντελλόμενοι καταμηνῦσαι, τιμωροῦνται. ἐρωτᾶσθαι δὲ ὁ προκουράτωρ κατὰ τοῦ κυρίου τῶν πραγμάτων οὐ κεκώλυται. καὶ ὁ πωλῶν πρᾶγμα οὐ καταμηνύει αὐτὸ δι' ἑαυτοῦ ἢ διὰ μέσου, ἀλλὰ καὶ ποινὴν ὑφίσταται ἀξίαν τοῦ ἰδίου προσώπου.

4. Ἐν δὲ τῷ κβ' κεφ. Ὁ μηνυτὴς βαρεῖται ταῖς ἀποδείξεσι, καὶ οὐχ ὁ καταμηνυόμενος, πόθεν ἔχει.

5. Ἀνάγν. καὶ τί. ζ'[1], οὗτινος ἐν τῷ ε' κεφ. φησί· Χρὴ διὰ τοῦ συνηγόρου τοῦ δημοσίου προσαγγέλλειν τὸν βουλόμενον. πᾶς δὲ καταμηνύσας καὶ μὴ ἀποδείξας διὰ τοῦ ἄρχοντος σιδήρῳ κολαζέσθω.

6. Ἐν δὲ τῷ ς' κεφ. Ὁ δοῦλος τὸν δεσπότην καταμηνύων εἰς ὑπόδειγμα πάντων τῶν διδομένων[2] αὐστηροτάτῃ ἀποφάσει τιμωρείσθω, κἂν ἀποδείξῃ· ὑπεξῃρημένου τοῦ ἐγκλήματος τῆς καθοσιώσεως.

7. Ἐν δὲ τῷ η' κεφ. Οἰκέτης δὲ ἐπὶ δημοσίᾳ αἰτίᾳ ἢ ἐπὶ ἄλλῃ τινὶ τοῦ δεσπότου κατηγορῶν ἐν αὐτῷ τῷ φθέγγεσθαι τὴν κατηγορίαν ἀποτεμνέσθω, εἰ καὶ ἀληθεύει κατὰ τοῦ δεσπότου.

8. Ἐν δὲ τῷ ς' θέμ. τοῦ αὐτοῦ κεφ. φησίν· Ὅτι οἱ μηνυταὶ ἐὰν διελέγξωσι τὰ μηνυθέντα, τὴν ὀγδόην μοῖραν τῶν προσαγγελθέντων λαμβάνουσιν.

[9. Ἀνάγν. καὶ βι. ξ' τί. α' κεφ. ιε', ἐν ᾧ φησίν· Οἱ] ποιοῦντες πιττακώματα ἀπαιτοῦνται τὰ αὐτὰ συστῆναι. οἱ δὲ συκοφάνται τιμωροῦνται.

---

[1] Lips. γ'. [2] Leuncl. conj. προδιδομένων. Reitz προδιδόντων.

V.

Περὶ καταδικασθέντων καὶ περὶ κεκριμένου πράγματος.

1. *Ἀνάγν. βι. θ' τί. γ', οὗτινος ἐν τῷ α' κεφ. φησί·* Κεκριμένον λέγεται τὸ ψήφῳ τμηθὲν, δι' ἧς καταδικάζεταί τις ἢ ἀπολύεται.

2. *Ἐν δὲ τῷ ς' θέμ. τοῦ αὐτοῦ κεφ.* Ὁ καταδικαζόμενος δοῦναι ἀπαιτεῖται παρασχεῖν, οὐ μὴν τὸ ἱκανὸν ποιῆσαι· πλὴν εἰ μὴ ἀπὸ μεγάλης καὶ ἀναγκαίας αἰτίας· καὶ τότε δὲ ἵνα ἐπιτήδειον δῷ ἐπαγγελλόμενον.

3. *Ἐν δὲ τῷ β' κεφ. θέμ. β'·* Καταδεδικασμένος ἐστὶν ὁ νομίμως κατακριθείς.

4. *Ἐν δὲ τῷ λγ' κεφ.* Εἰ ψευδεῖς ἐπὶ δόσει παραγαγών τις μάρτυρας νικήσει, καὶ αὐστηρῶς τιμωρεῖται καὶ τὰ κριθέντα οὐ κρατεῖ.

5. *Ἐν δὲ τῷ μγ'*[1] *κεφ. θεμ. γ'·* Τοῖς ἀποῦσιν ἡ ψῆφος οὐ προκρίνει.

6. *Ἐν δὲ τῷ ο' κεφ.* Ἡ διάταξις κελεύει, ὥστε πάντα δικαστὴν ἐν τῇ ἀποφάσει ἑαυτοῦ κελεύειν τὸν ἡττηθέντα διδόναι τὰ δαπανήματα πάντα τὰ ἐν τῷ δικαστηρίῳ γενόμενα, ἔχοντος ἐξουσίαν αὐτοῦ τοῦ δικαστοῦ καὶ ὑπερβαίνειν τὴν δαπάνην ἕως τῆς δεκάτης μοίρας τῶν δαπανηθέντων, ἐὰν αὐτὸν ἡ ἀναισχυντία τοῦ δαπανηθέντος μέρους πρὸς τοῦτο παρακινήσῃ· ὥστε τὰ ὑπὲρ τὰ δαπανήματα τῷ δημοσίῳ λόγῳ διαφέρειν, εἰ μή τι ἄρα ὁ δικαστὴς, τὴν τριβὴν τοῦ νενικηκότος μέρους βουληθεὶς θεραπεῦσαι, μέρος τὶ ἐκ τούτων [αὐτῷ] ἀφορίσει. καταδικαζομένου μὴ μόνον τοῦ ἐνάγοντος καὶ τοῦ ἐναγομένου, ὅτε πρόσφορος ἑκατέρῳ ἐστὶν ὁ δικαστὴς, ἀλλὰ κἂν τοῦ ἐνάγοντος ἀπρόσφορός ἐστιν, ἡττηθῇ δὲ ἐξ ἀντεναγωγῆς, μὴ δυνάμενος ἐκεῖνον τὸν δικαστὴν παραιτήσασθαι· εἴτε ἄρχοντες εἴησαν δικασταὶ εἴτε θεῖοι διαιτηταί· ἔχουσι γὰρ οὗτοι ἐκβιβαστὰς καὶ ἐπείκτας. εἰ δὲ μὴ τοῦτο ποιήσει ὁ δικαστὴς, αὐτὸς τὴν ζημίαν ταύτην ἀναγκάζεται θεραπεῦσαι τῷ νενικηκότι μέρει.

7. *Ἐν δὲ τῷ οβ' κεφ.* Ἐὰν ὁ καταδικασθεὶς ἀποδείκνυσιν, ὅτι ὁ ἐνάγων αὐτῷ ἔλαβε παρά τινος τὸ πρᾶγμα ὅπερ ἔλεγε κλαπῆναι, ἐναγόμενος τῇ ἀπαιτήσει τῆς καταδίκης καλῶς ἀντιτίθησιν αὐτῷ δόλου παραγραφήν.

8. *Ἐν δὲ τῷ πδ' κεφ.* Ἐὰν ἐπὶ τῇ καταδίκῃ ὑπέρθηται ο

[1] Leuncl. μη'.

ἐναγόμενος, καὶ συμβῇ τὰ σώματα τὰ ἐν τῇ καταδίκῃ κείμενα τελευτῆσαι, τὴν διατίμησιν αὐτῶν ἀναγκάζεται παρασχεῖν.

9. Ἐν δὲ τῷ ϥγʹ κεφ. Τὰ μεταξὺ ἄλλων κριθέντα οὐδὲ ὠφέλειαν οὐδὲ βλάβην ἐπιφέρουσι τῷ μὴ παρόντι. ὅθεν οὐδὲ ἑνὸς τῶν κληρονόμων καταδικαζομένου ὁ ἕτερος βλάπτεται.

10. Ἐν δὲ τῷ ϥδʹ κεφ. Καὶ ἐπὶ ἐγκλημάτων τὰ μεταξὺ ἄλλων κριθέντα ἑτέρους οὐ βλάπτει.

11. Ἐν δὲ τῷ ϥεʹ κεφ. Τὰ κριθέντα ἐν δικαστηρίῳ, κἂν ἐμπέσῃ ἕτερός τις εἰς τὴν αὐτὴν αἰτίαν, οὐκ ὀφείλουσιν ἐπὶ ἐκείνου κρατεῖν. οὐδὲ γὰρ δεῖ τῷ μὴ παρόντι πρόκριμα γίνεσθαι ἐκ τῶν κριθέντων.

12. Ἐν δὲ τῷ ργʹ κεφ. Ἐὰν ὡς διαθήκης προενεχθείσης ἔκρινεν ὁ ἄρχων, μετὰ δὲ ταῦτα εὑρεθῇ πλαστὴ ἐκείνη ἡ διαθήκη, κινεῖται ἄνωθεν τὸ δικαστήριον, μὴ ἀντικειμένης τῆς ἀπὸ καταδίκης παραγραφῆς.

13. Ἐν δὲ τῷ δʹ θέμ. Λέγοντός τινος ἀπὸ πλαστῶν δικαιωμάτων καταδικασθῆναι χρὴ ὑπερτεθῆναι τὸν τῆς ἀποφάσεως ἐκβιβασμόν.

14. Ἀνάγν. καὶ βι. ναʹ τί. δʹ κεφ. ιθʹ καὶ βι. ξʹ τί. ναʹ κεφ. βʹ θέμ. δʹ, ἐν ᾧ φησιν· Οὐ δοκεῖ κατακεκρίσθαι ὁ ἐκκαλεσάμενος, οὔτε ὁ καταδικασθεὶς ἀπὸ τοῦ μὴ ἔχοντος δίκαιον καταδικάζειν.

15. Καὶ κεφ. εʹ, ἐν ᾧ φησιν· Οὔτε ἐξ ὑπονοίας οὔτε ἀπὼν τις καταδικάζεται, εἰ μὴ ὁ μετὰ πολλὰς ὑπομνήσεις καὶ προθέματα μὴ παραγενόμενος· καὶ αὐτὸς δὲ μέχρι χρηματικῆς ποινῆς ἢ ἀτιμίας ἢ ἐξορίας. κάλλιον γάρ ἐστιν ἀνεκδίκητα μένειν τὰ ἁμαρτήματα, ἤπερ τὸν ἀναίτιον καταδικάζεσθαι. Ὁ δὲ κατήγορος ἀπὼν καταδικάζεται, καὶ πλέον ἔσθ' ὅτε, ἤπερ ἀπαιτεῖ τὸ κατὰ συκοφαντῶν δόγμα.

VI.

Περὶ καταδίκων δημευομένων ἢ συγχωρουμένων[a].

1. Ἀνάγν. βι. ϛʹ τί. γʹ κεφ. καʹ, ἐν ᾧ φησι· Δεῖ δέ σε καὶ τούτου πᾶσαν τίθεσθαι πρόνοιαν, τοῦ ἡνίκα τὶς ἄξιος φανείη ποινῆς, ἐκεῖνον μὲν κολάζειν, τῶν δὲ πραγμάτων αὐτῶν μὴ προσάπτεσθαι, ἀλλὰ συγχωρεῖν ταῦτα τῷ γένει καὶ τῷ νόμῳ καὶ τῇ κατ' ἐκεῖνον φέρεσθαι τάξει. οὐ γὰρ τὰ πράγματά

---

[a] Ἀνάγνωθι καὶ νεαρὰν ρλδʹ κεφ. ιϛʹ.

ἐστι τὰ πλημμελοῦντα, ἀλλ' οἱ τὰ πράγματα κεκτημένοι· οἱ δὲ ἀντιστρέφοντες τὴν τάξιν τοὺς μὲν ἀξίους ποινῆς ἀφιᾶσι, τὰ δὲ ἐκείνων ἀφαιροῦνται πράγματα, ἑτέρους ἀντ' αὐτῶν τιμωρούμενοι, οὓς ὁ νόμος ἴσως ἐπὶ τὴν ἐκείνων ἐκάλει διαδοχήν.

2. Ἀνάγν. καὶ βι. ξ' τι. ξη', οὗτινος ἐν τῷ η' κεφ. φησίν· Ἐάν τις πεμφθεὶς εἰς μέταλλον μετὰ ταῦτα ἀνακληθείη, καὶ πλούσιος γένηται μετὰ ταῦτα, οὐκ ἐνάγεται ὑπὲρ τῶν πρὸ τοῦ μετάλλου κεχρεωστημένων παρ' αὐτοῦ, εἰ μὴ ἄρα ἡ ἀρχαία αὐτοῦ οὐσία ἀποκατέστη αὐτῷ.

3. Ἐν δὲ τῷ ια' κεφ. Ἐὰν βασιλεὺς γενικῶς συγχωρήσῃ, ὑποστρέφουσι πάντες οἱ ἐξόριστοι καὶ οἱ περιωρισμένοι· οὔτε δὲ τὰς στρατείας τὰς ἰδίας ἐπαναλαμβάνουσιν, ἀλλὰ καὶ ἄτιμοι μένουσιν.

4. Ἐν δὲ τῷ ιγ' κεφ. Ὁ πατὴρ ἐξορισθεὶς ἐν νήσῳ καὶ μηκέτι ἔχων παῖδας ὑπεξουσίους, ἀποκατασταθεὶς οὐκ ἀναλαμβάνει τὴν κατὰ τῶν παίδων ὑπεξουσιότητα. ὅθεν οὐδὲ προσπορίζουσιν αὐτῷ τὴν χρῆσιν τῆς μητρῴας κληρονομίας, ἐπειδὴ αὐτεξούσιοί εἰσι. ταῦτα δὲ νόησον, ἐὰν μὴ ἰδικῶς ἐν τῇ ἀποκαταστάσει μνήμη γέγονε καὶ τῆς κατὰ τῶν παίδων ἐξουσίας.

VII.

Περὶ καταλυόντων οἴκους.

1. Ἀνάγν. βι. ιθ' τί. α' κεφ. μβ', ἐν ᾧ φησιν· Οὐκ ἐφεῖται ἴδιον ἢ ἀλλότριον οἶκον ἢ ἐποίκιον καταλῦσαι ἐπὶ τῷ πλέον κερδᾶναι ἢ ἐπὶ τῷ πραγματεύσασθαι· ἐπείτοιγε ἀκυροῦται μὲν ἡ πρᾶσις εἰς πρόσωπον τοῦ πράτου, ὁ δὲ ἀγοραστὴς διπλοῦν δίδωσι τὸ τίμημα τῷ δημοσίῳ, καὶ ἀναλαμβάνει τὸ τίμημα παρὰ τοῦ πράτου, ἐὰν ἔτυχεν αὐτὸ δεδωκώς.

2. Ἀνάγν. καὶ βι. νη' τί. ι' κεφ. ο', ἐν ᾧ φησιν· Ἐάν τις δι' ἐμπορίαν οἶκον ἢ μέρος αὐτοῦ καταλύσῃ, καὶ αὐτὸς καὶ ὁ ἀγοραστὴς ἕκαστος αὐτῶν τὸ τίμημα τῷ δημοσίῳ δίδωσιν. εἰς μέντοι τὸ δημόσιον ἔργον μάρμαρα [καὶ] κίονες νομίμως μεταφέρονται.

3. Ἀνάγν. καὶ τί. ια' κεφ. β', ἐν ᾧ φησι· Πραγματείας χάριν οὐκ ὤφελον τὰ οἰκήματα καταστρέφεσθαι καὶ τὰ μάρμαρα[1] ἀποσπᾶσθαι. ἀπὸ οἴκου μέντοι εἰς ἕτερον οἶκον μεταφέρειν

---

[1] Lips πράγματα.

ἔξεστιν ἐν ᾧ μὴ σῶός ἐστιν· ἐπεὶ κεκώλυται διὰ τὴν εὐκοσμίαν τῆς πόλεως καὶ τὴν πρόσοψιν.

4. Ἀνάγν. καὶ κεφ. ς΄ καὶ ζ΄.

VIII.

Περὶ κατηγορούντων τε καὶ κατηγορουμένων ἐγκληματικῶς, καὶ τίνες δύνανται κατηγορεῖν ἐγκληματικῶς καὶ τίνες οὐ δύνανται, καὶ ὅτι εἴσω διετίας ὀφείλει πληροῦν ὁ κατήγορος τὴν ἰδίαν κατηγορίαν, καὶ ὅτι ὁ κατήγορος χωρὶς συγχωρήσεως ἀποστὰς, ὑποπίπτει τῷ περὶ συκοφαντίας ἐγκλήματι, καὶ περὶ τῶν προδιδόντων τὴν ἰδίαν ὑπόθεσιν κατηγόρων, καὶ περὶ τῶν κατηγορούντων ἐπισκόπων χειροτονουμένων, καὶ πότε δεῖ τοὺς κατηγορουμένους φυλακῇ ἐμβάλλεσθαι ἢ στρατιώταις παραδίδοσθαι ἢ ἐγγυηταῖς ἢ ἑαυτοῖς καταπιστεύεσθαι.

1. Ἀνάγν.[1] βι. γ΄ τί. α΄ κεφ. ζ΄ θέμ. δ΄ καὶ ς΄, ἐν οἷς φησι περὶ τῶν κατηγορίαν τινὰ ποιούντων κατὰ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου.

2. Ἀνάγν. βι. ξ΄ τί. α΄, οὗτινος ἐν τῷ ι΄ κεφ. φησίν· Ἐκεῖνός ἐστι προδότης τῆς ἰδίας ὑποθέσεως καὶ τὰ ἀληθῆ ἐγκλήματα κρύπτων ὁ ἐμπαίζων τῷ κατηγορουμένῳ, καὶ ἀποπροσποιούμενος μὲν τὰς οἰκείας ἀποδείξεις, προσιέμενος δὲ τὰς πλαστὰς τοῦ κατηγορουμένου δικαιολογίας.

Καὶ ὁ τῆς κατηγορίας χωρὶς ἀπολύσεως ἀφιστάμενος τιμωρεῖται.

Εἰ καὶ δοκῶ[2] μηδὲν εἶναι τὸ κινούμενον, ὅμως χρήζω ἀπολύσεως. οἵα γὰρ ἐπενεχθείη κατηγορία, τῇ αὐθεντίᾳ τοῦ δικαστοῦ, οὐ μὴν τῇ βουλήσει τοῦ κατηγόρου ὀφείλει ἀπαλείφεσθαι.

3. Ἐν δὲ τῷ κδ΄ κεφ. Τῇ τελευτῇ τοῦ κατηγορουμένου σβέννυται τὸ ἔγκλημα. καὶ διὰ τοῦτο ἀφιστάμενος ὁ κατήγορος οὐχ ὑποπίπτει, εἰ μὴ ἄρα τὸ κινούμενον καὶ εἰς κληρονόμους διαβαίνει[a], ὡς τὸ περὶ καθοσιώσεως καὶ περὶ ἀδικίας τῶν ἐν ἐπαρχίαις ἀρχόντων.

[4. Ἐν δὲ τῷ λ΄ κεφ.] Ἐάν τις ἐναγόμενος ἀπολυθῇ, οὐ πάντως ὁ κατηγορήσας αὐτοῦ ὥσπερ συκοφάντης τιμωρεῖται, εἰ μὴ ὁ δικαστὴς κρινεῖ αὐτὸν συκοφάντην εἶναι.

---

[a] Σημείωσαι, πότε εἰς κληρονόμους διαβαίνει τὸ ἔγκλημα.

---

[1] Leuncl. hunc locum in fine tituli habet. Omnino recte.

[2] Basil. δοκεῖ et mox χρήζει.

5. Ἐν δὲ τῷ λδ' κεφ. Ἡ διάταξις κελεύει, κατηγοροῦντός τινος μὴ πρότερον εἰς δικαστήριον ἑλκυσθῆναι τὸν ἐναγόμενον, εἰ μὴ κἀκεῖνος παράσχοι ἐγγύας περὶ ἐξελεύσεως, ἵνα τούτου τὰ ἀληθῆ διδάσκοντος καταδικασθῇ ὁ ἐναγόμενος, ἢ ἀποτυχὼν αὐτὸς κινδυνεύσῃ.

6. Ἀνάγν. καὶ τί. κς', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ποικίλως κατηγορῶν, καὶ τὴν μὲν ἰδίαν ὑπόθεσιν προδιδούς, τῷ ἀντιδίκῳ δὲ αὐτοῦ συναγωνιζόμενος, καὶ ὁ συνήγορος χρηματικὴν ἢ ἐγκληματικὴν δίκην προδιδοὺς σφοδρῶς τιμωροῦνται.

7. Ἐν δὲ τῷ γ' κεφ. Τὸ ἐγκαταλιπεῖν ποιναλίαν κατηγορίαν οὔκ ἐστι ποινάλιον ἔγκλημα[1]· δίδωσι δὲ ὁ τοῦτο πράξας πέντε χρυσίου λίτρας.

8. Ἐν δὲ τῷ ε' κεφ. Ὁ γινόμενος προδότης τῆς ἰδίας κατηγορίας ἐπὶ ποιναλίῳ ἐγκλήματι τὴν τιμωρίαν ὑφίσταται, ἣν ὁ ἐναγόμενος ἔμελλεν ὑποστῆναι.

9. Ἀνάγν.[2] καὶ τί. λγ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Οὐ πάντα τὰ ἐγκληματικὰ δικαστήρια δημόσιά εἰσιν, ἀλλὰ μόνα τὰ ἀπὸ νόμων δημοσίων καταγόμενα· ὡς τὸ περὶ καθοσιώσεως, τὸ περὶ μοιχείας, τὸ περὶ ἀνδροφόνων καὶ φαρμακῶν, τὸ περὶ πατροκτονίας, τὸ περὶ κλοπῆς ἱερῶν καὶ δημοσίων, τὸ περὶ πλαστογραφίας, τὸ περὶ βίας ἰδιωτικῆς, τὸ περὶ βίας δημοσίας, τὸ περὶ δωροδοκίας, τὸ περὶ ἀρχόντων ἢ δικαστῶν ἢ καὶ συνέδρων ἐν δίκῃ κεκλοφότων, τὸ περὶ ἀννόνας.

10. Ἐν δὲ τῷ γ' κεφ. Ἡ δημοσία κατηγορία ἀναιρεῖται προτελευτώντων τῶν ἐναγομένων.

11. Ἐν δὲ τῷ δ' κεφ. Ὁ κατηγορηθεὶς ἀντικατηγορεῖν οὐ δύναται, πρὶν ἐλευθερωθῇ.

Ὁ δὲ ἀπὸ καταδίκης τὴν πολιτείαν ἢ τὴν ἐλευθερίαν ἀπολέσας προκατάρξασθαι κατηγορίας οὐ δύναται· τὴν δὲ προκαταρχθεῖσαν πρὸ καταδίκης πληροῖ.

12. Ἐν δὲ τῷ ιδ'[3] κεφ. Ἐὰν πατὴρ κατηγορήσῃ τινὸς περὶ φόνου τοῦ παιδὸς αὐτοῦ καὶ ἀποφανθῇ κατὰ συκοφαντίαν κινήσας, οὐκ ἀτιμοῦται.

13. Ἐν δὲ τῷ κ'[4] κεφ. Ὁ λέγων, ὅτι ἕτερός μοι ἐνετείλατο ἁμαρτῆσαι, οὐ φεύγει τὴν ἀπὸ τοῦ ἁμαρτήματος κατηγορίαν· κατέχεται δὲ καὶ ὁ ἐντειλάμενος αὐτῷ.

14. Ἐν δὲ τῷ κδ' κεφ. Ὁ περὶ ἐγκλήματος κατηγορηθεὶς

---

[1] Lips. τὸ ἔγκλ. [2] Lips. rubricam praemittit περὶ δημοσίων δικαστηρίων, quae tamen ex margine irrepsisse videtur. [3] Lips. ιθ'. [4] Lips. κα'.

παρά τινος παρ' ἑτέρου περὶ τοῦ αὐτοῦ ἐγκλήματος οὐ κατηγορεῖται. ἐὰν δὲ ἐκ τοῦ αὐτοῦ ἐγκλήματος πολλαὶ ἀγωγαὶ γίνωνται, δύναται παρὰ διαφόρων προσώπων κατηγορεῖσθαι.

15. Ἀνάγν. καὶ τί. λδ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· *Γυνὴ κεφαλικὸν ἔγκλημα οὐ κινεῖ, πλὴν ἐπὶ ἀναιρέσει γονέων ἢ παίδων ἢ πατρώνων ἢ τέκνων αὐτῶν ἢ ἐκγόνων, καὶ τῶν λοιπῶν, καθ' ὧν ἄκουσα μαρτυρεῖν οὐκ ἀναγκάζεται.*

16.[1] *Κινεῖ δὲ καὶ τὸν περὶ πλαστογραφίας νόμον, καὶ περὶ διαθηκῶν τῶν πατρῴων ἀπελευθέρων καὶ τῶν μητρῴων.*

17. Ἐν δὲ τῷ γ' κεφ. *Ὁ γραφὴν κατηγορίας ἀποτιθέμενος ὀφείλει σαφηνίζειν καὶ τὸ ἁμάρτημα, καὶ τὸν χρόνον, καὶ τὸν μῆνα, καὶ τὸν τόπον ἐν ᾧ ἡμαρτήθη, τυχὸν ἡ μοιχεία, καὶ μετὰ ποίου προσώπου. τὴν ἡμέραν δὲ ἢ τὴν ὥραν οὐκ ἀναγκάζεται λέγειν. ὀφείλει δὲ καὶ ὑπογράφειν, ἢ ἕτερος ὑπὲρ αὐτοῦ, ἐὰν οὐκ οἶδε γράμματα.*

Ἐὰν ἀποθάνῃ ὁ κατήγορος ἢ ἐξ ἄλλης αἰτίας μὴ δυνηθῇ κατηγορῆσαι, δύναται προσιὼν ὁ κατηγορούμενος αἰτεῖν ἀπαλειφῆναι τὸ ὄνομα αὐτοῦ, καὶ ἕτερος αὐτοῦ δύναται κατηγορεῖν ἐντὸς λ' ἡμερῶν ἀδιακόπων. οὕτως οὖν ὁ λίβελλος συντάττεται· ὁ δεῖνα ὁμολογῶ παρὰ τῷδε τῷ ἄρχοντι δεικνύειν τήνδε πλημμελῆσαι μοιχείαν πρὸς τόνδε, ἐν τῷδε τῷ οἴκῳ, ἐπὶ τῆσδε τῆς ὑπατείας, καὶ μηνὶ τῷδε.

18. Ἐν δὲ τῷ δ' κεφ. *Ὁ κατακριθεὶς ἐν δημοσίῳ δικαστηρίῳ κατηγορεῖν οὐ δύναται, εἰ μὴ ἰδίαν ἀδικίαν ἢ θάνατον ἐκδικεῖ τέκνων ἰδίων ἢ τοῦ πάτρωνος.*

19. Ἐν δὲ τῷ θ' κεφ.[2] *Χωρὶς τῶν κεκωλυμένων οἱ ἄλλοι δύνανται κινεῖν τὰ δημόσια. κωλύονται δέ τινες διὰ φύσιν ἢ ἡλικίαν, ὡς γυνὴ καὶ ἄνηβος· ἄλλοι ὡς ἐνόπλως στρατευόμενοι· ἄλλοι ὡς ἄρχοντες· ἄλλοι ὡς ἄτιμοι ἢ αἰσχροκερδεῖς, καὶ λαβόντες ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι· καὶ οἱ δύο κατηγορίας καθ' ἑτέρων ἐγγραψάμενοι· ἄλλοι διὰ τὴν αἵρεσιν αὐτῶν, ὡς ἀπελεύθεροι τῶν πατρώνων·*

Ἄλλοι δι' ὑποψίαν συκοφαντίας, ὡς οἱ ψευδομαρτυρήσαντες·

Ἄλλοι διὰ πενίαν, ὡς ὁ μὴ ἔχων ν' νομισμάτων οὐσίαν.

---

[1] Inscribendum erat: Ἐν δὲ τῷ β' κεφ. [2] Et sequentibus. Auctor enim in computando numero capitum hujus tituli parcus est.

Οὗτοι δὲ πάντες ἐγκλήματα ἴδια καὶ φόνον τῶν συγγενῶν διεκδικεῖν δύνανται.

Παῖδες δὲ καὶ ἀπελεύθεροι βιαίως νομῆς ἐκβληθέντες παρὰ τοῦ πατρὸς ἢ τοῦ πάτρωνος τὸ μὲν ἔγκλημα τῆς βίας οὐ δύνανται κινεῖν, εἰς δὲ τὸ ἀναλαβεῖν τὴν νομὴν κινοῦσι. Καὶ υἱὸς γὰρ κατὰ μητρὸς περὶ ὑποβολιμαίου κινεῖ διὰ τὸ μὴ σχεῖν αὐτὸν [συγ]κληρονόμον, οὐ μὴν τὸ περὶ πλαστογραφίας.

20. Ἐν δὲ τῷ ιδ' κεφ. Ἐάν τις ἀπόθηται κατά τινος ἔγκλημα, ἐκεῖνος δὲ βαρύτερον ἔγκλημα ἀντεπαγάγῃ αὐτῷ, χρὴ πρότερον τὸ βαρύτερον ἔγκλημα τὸ ἀντεπενεχθὲν γυμνασθῆναι.

21. Πᾶς ἄνθρωπος ἔγκλημα κινῶν ὀφείλει πρότερον ἐγγράψασθαι καὶ ἐγγυητὴν παρασχεῖν, ὅτι ἐπεξέρχεται τῷ ἐγκλήματι· ἵνα τότε, εἰ δεῖ, κατασχεθῶσιν οἱ ἐναγόμενοι, ἢ κληθῶσι διατάγμασιν ἵνα ἔλθωσι· καὶ μὴ παραγινόμενοι καὶ ἐξτραορδινὲμ τιμωροῦνται, καὶ τὰ δαπανήματα πάντα ἐπιγινώσκουσιν.

22. Ἐν δὲ τῷ ις' κεφ. Ἀδελφὸς κατὰ ἀδελφοῦ κινήσας δημόσιον ἔγκλημα ἐξορίᾳ ὑπόκειται.

23. Δύναται γυνὴ καὶ κατὰ τοῦ ἰδίου παιδὸς κινῆσαι δημόσιον ἔγκλημα.

24. Ὁ ἄτιμος οὐ δύναται δημόσιον ἔγκλημα κατηγορεῖν.

25. Ἐν δὲ τῷ ιζ' κεφ. Ὁ διάγων ἐν οἴκῳ τινὸς οὐ δύναται κατ' αὐτοῦ ἔγκλημα κινῆσαι. εἰ δέ τι χρηματικὸν κεχρεώστηται, καλῶς κινεῖ περὶ τούτου.

26. Δύναταί τις κινῆσαι καὶ κατὰ ἀδελφῆς ἐλαφρὸν ἔγκλημα.

27. Ὁ ὢν ὑπὸ κατηγορίαν ἐγκληματικὴν οὔτε ἧττον οὔτε ἴσον ἔγκλημα δύναται ἀντιτιθέναι, εἰ μὴ πρότερον ἀποκαθαρίσῃ ἑαυτὸν τοῦ ἐγκλήματος τοῦ ἐπενεχθέντος αὐτῷ. δύναται δὲ καὶ ἐν τῷ μεταξὺ κατὰ τῶν ἐναγόντων αὐτὸν ἐγγραφὴν τέως ἀποθέσθαι.

28. Ἐν δὲ τῷ ιη' κεφ. Ἐάν τις οἰκειακὸς ἢ δοῦλός τινος ὢν ἢ υἱὸς δούλης βουληθῇ κατὰ τοῦ δεσπότου δημόσιον ἔγκλημα κινῆσαι, ὑπεξῃρημένου δηλονότι τοῦ τῆς καθοσιώσεως, εὐθὺς ἐν τῇ ἀρχῇ τῆς κατηγορίας σιδήρῳ τιμωρεῖται.

29. Καὶ ἀπελεύθερος κατὰ τοῦ πάτρωνος ἢ τῶν κληρονόμων αὐτοῦ κινήσας δημόσιον ἔγκλημα διὰ σιδήρου τιμωρεῖται.

30. Ἀνάγν. καὶ τί. λε' [1], οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ἄρχων

---

[1] Lips. λθ'.

διασκοπείτω, πότερον ὁ κατηγορούμενος ὀφείλει φυλακῇ ἐμβάλλεσθαι, ἢ στρατιώταις παραδίδοσθαι ἢ ἐγγυηταῖς, ἢ ἑαυτῷ καταπιστεύεσθαι. τοῦτο δὲ γίνεται ἐκ τῆς ποιότητος τοῦ ἐγκλήματος, ἢ διὰ τὴν τιμὴν ἢ τὴν εὐπορίαν τοῦ ἐναγομένου, ἢ τὴν ἀξίαν αὐτοῦ, ἢ διὰ τὸ μηδὲν αὐτὸν ἡμαρτηκέναι.

31. Ἐν δὲ τῷ γ' κεφ. Ὁ ἔχων ἐγγύας οὐ δεσμεῖται, εἰ μὴ βαρύ ἐστι τὸ παρ' αὐτοῦ ἁμαρτηθὲν, ὡς μήτε ἐγγυηταῖς μήτε στρατιώταις ὀφείλειν αὐτὸν παραδοθῆναι[1].

32. Ἐν δὲ τῷ ις' κεφ. Μηδεὶς ἐπὶ ἐγκλήματι κατηγορούμενος ἐμβαλλέσθω τέως εἰς δεσμωτήριον, πρὶν ἢ ἐλεγχθῇ. εἰ δὲ καὶ ἐκ διαστήματός ἐστι, μὴ παριστάσθω, πρὶν ἢ ὁ ἐνάγων ἐγγράψεται. ἐγγραψαμένου γὰρ ἐκείνου, τότε χρὴ αὐτὸν ἢ παραστῆναι ἢ γενέσθαι ἀναζητούμενον, λαμβάνοντα ὑπέρθεσιν εἰς τὸ διατυπῶσαι τὰ κατ' αὐτὸν ἀρκουσῶν ἡμερῶν, πλὴν οὐκ ἐλαττόνων τῶν λ'.

33. Ἐν δὲ τῷ ιθ' κεφ. Ὅτε τὶς ἐπὶ οἱῳδήποτε ἐγκλήματι γένηται ἔνοχος, εἴτε ἔχει τὸν κατηγοροῦντα εἴτε ἐκ τῶν δημοσίων προσώπων παραπεμφθῇ, παραχρῆμα γινέσθω ἡ ἐξέτασις.

Ἐὰν δὲ χρὴ μικρὸν ὑπερτεθῆναι, ἢ διὰ τὴν ἀπουσίαν τοῦ κατηγόρου ἢ διὰ τὸ μὴ εἶναι συνίστορας, μὴ ἐν μέσῳ ἐπαγέσθω αὐτῷ βάσανος, μηδὲ τὰ σίδηρα αὐτοῦ ἔστωσαν[2] στενώτερα, ἢ ἐγκλειέσθω ἐν τῷ ἐσωτέρῳ μέρει τῆς φυλακῆς· ἀλλὰ μεταλαμβανέτω τοῦ φωτὸς, καὶ ἡνίκα ἐπανέλθῃ νὺξ, ἐν τοῖς φιλανθρωποτέροις τόποις τῆς φρουρᾶς χρὴ αὐτὸν ἀναλαμβάνεσθαι, καὶ φαινομένης ἡμέρας ἐκβάλλεσθαι καὶ μεταλαμβάνειν τοῦ ἡλιακοῦ φωτὸς, ἵνα μὴ πολλάκις καὶ ἀναίτιος ὢν ἐν ταύταις ταῖς βασάνοις φονευθῇ.

Μὴ ἐξέστω δὲ τοῖς φυλάττουσιν ἀπανθρώπως αὐτοῖς κεχρῆσθαι. ὁ γὰρ ἄρχων εἰς τὴν σωτηρίαν αὐτὴν κινδυνεύσει, ἐὰν μὴ τοῦτο γνοὺς παραχρῆμα ἀποτέμῃ τοὺς τῆς φυλακῆς προϊσταμένους.

34. Ἀνάγν. καὶ τί. ξδ', ἐν ᾧ φησι περὶ τῶν συγχώρησιν αἰτούντων κατηγόρων, οὗτινος ἐν τῷ γ' κεφ. φησίν· Ἐάν τις εἰδὼς μὴ ἀληθεύειν κατηγόρησεν, οὐ δύναται αἰτεῖν συγχώρησιν. εἰ δέ τις ἀληθῶς νομίσας γεγονέναι τὸ ἔγκλημα ἐκίνησε, καὶ ὑβρίσθῃ ὁ ἐναγόμενος, οὐκ αἰτεῖται συγχώρησις, εἰ μὴ ἄρα αὐτὸς ὁ ὑβρισθεὶς συναινέσει. εἰ μέντοιγε μηδὲ ὑβρίσθῃ, τότε δύναται εἴσω τριάκοντα ἡμερῶν τῆς κατηγορίας ὁ ἐνάγων μετα-

---

[1] Lips. παραδιδόναι. [2] Leuncl. et Bas. ἔσονται.

μέλεσθαι. μετὰ δὲ τὰς λ' ἡμέρας, εἰ μὴ ἄρα συναινεῖ ὁ ἐναγόμενος, οὐ δύναται. εἰ μέντοιγε καὶ μάρτυρες παρενεχθέντες ἐβασανίσθησαν, τότε κἂν ἕτεροι[1] *συναινέσωσιν, οὐ χρὴ δοθῆναι τὴν συγχώρησιν.*

35. *Ἐν δὲ τῷ δ' κεφ. Ὁ βασιλεὺς παρέχων συγχώρησιν τὴν σωματικὴν τιμωρίαν ποιεῖ συγχωρηθῆναι· τὴν δὲ ἀτιμίαν τὴν κατὰ φύσιν παρεχομένην*[2] *τοῖς δημοσίοις ἐγκλήμασιν οὐ συγχωρεῖ.*

36. *Ἀνάγν. καὶ τί. ξε', ἐν ᾧ φησιν· Ὁ κατηγορήσας τινὸς ἐγκληματικῶς εἴσω διετίας ὀφείλει πληροῦν τὴν ἰδίαν κατηγορίαν. εἰ δὲ ῥαθυμήσει, καὶ ἐν τῇ τελευταίᾳ ἡμέρᾳ μὴ παραγένηται ἢ ὑπερθῆται, εἰς τὸ τέταρτον τῆς οὐσίας τιμωρείσθω, γινόμενος καὶ ἄτιμος.*

37. *Ἡ ἐγκληματικὴ δίκη εἴσω δύο ἐνιαυτῶν πληρούσθω, ψηφιζομένη ἀπὸ τῆς ἡμέρας τῶν ἐγγραφῶν· παρεχομένων τῶν ἀναγκαίων ἑκατέρῳ μέρει προθεσμιῶν. τούτου δὲ τοῦ χρόνου παρελθόντος ὁ κατήγορος ὁ ῥαθυμήσας ὑποστήτω τὴν τιμωρίαν τὴν ἀπὸ τῶν νόμων ὡρισμένην. εἰ δὲ εὐτελής ἐστιν, ἐξοριζέσθω· εἰ μὴ ἄρα ἐν τῷ μεταξὺ ᾔτησε συγχώρησιν.*

38. *Ἀνάγν. καὶ τί. ξϛ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ἐγγραψάμενος καὶ ἐγγύας δεδωκὼς καὶ ποιήσας τινὰ κατασχεθῆναι, καὶ χωρὶς συγχωρήσεως ἀποστὰς, ὑποπίπτει τῷ περὶ συκοφαντίας ἐγκλήματι.*

IX.

Περὶ καινοτομιῶν ἤτοι καινοῦ ἔργου γινομένου ἐν οἱῳδήποτε τόπῳ εἴτε δημοσίῳ εἴτε ἰδιωτικῷ ἐπὶ καινοτομίᾳ τινὸς, καὶ πότε καὶ πῶς ὁ καινοτομῶν παραγγέλλεται[3].

1. *Ἀνάγν. βι. μϛ' τί. γ' κεφ. η', ἐν ᾧ φησιν· Ὁ βλάπτων τεῖχος, ἢ δι' αὐτοῦ καὶ μὴ διὰ τῆς πόρτης εἰσιὼν, κεφαλικῶς ὡς πολέμιος τιμωρεῖται*[a].

---

[a] *Καὶ ῥῶμος γὰρ ἐφονεύθη θελήσας ὑπερπηδῆσαι τὸ τεῖχος.*

---

[1] Bas. *ἑκάτεροι.* [2] Bas. *παρεπομένην.* [3] Cod. Paris. 1351 in margine adscriptum habet: *Ἐκ τῶν διγέστων* (*διατάξεων*?) *περὶ διαφόρων καινοτομιῶν.* Inc. *Προστάττομεν ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν.* Expl. *τυπτόμενος ἐξελαυνέσθω τῆς πόλεως.* Est constitutio Zenonis, in brevius quidem contracta, fortasse tamen talis, qualis in Codice Justiniani lib. VIII tit. 10 const. 12 recepta fuit.

2. *Ἀνάγν. καὶ βι. νη΄*[1] *τί. ις΄, ἐν ᾧ φησιν·* Οὐκ ἔξεστι διὰ χειροποιήτου ἔργου μεταφέρειν τὸν ποταμόν. πλὴν ἔξεστι κατὰ τῆς ἰδίας ὄχθης ποιεῖν ἔργον, ὥστε μὴ βλάπτειν τὸν ποταμὸν τοὺς ἀγρούς.

3. *Ἀνάγν. βι. νη΄ τί. β΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί·* Τόπου ἢ ὁδοῦ δημοσίας παρεντιθεμένης οὐκ ἐμποδίζεται ἡ δουλεία τοῦ μονοπατίου ἢ τῆς παρόδου ἢ τοῦ ὕψουν. ἡ δὲ τοῦ ἐμβάλλειν[2] δοκὸν, ἢ ἐξώστην ποιεῖν ἢ ἐπιπέμπειν ὕδωρ ἢ σταλαγμὸν κεράμων, ἐμποδίζεται. δεῖ γὰρ ἐλεύθερον εἶναι τὸν ὑπερκείμενον ἀέρα τῷ δημοσίῳ.

4. *Ἐν δὲ τῷ η΄ κεφ.* Οὐ δύναται τὸν κοινὸν τοῖχον ὁ εἷς τῶν κοινωνῶν καταλύειν ἢ ἀνανεοῦν.

5. *Ἐν δὲ τῷ ια΄ κεφ.* Ὁ ποιῶν τι πρὸς βλάβην τοῦ γείτονος τὸ εἶδος καὶ τὴν κατάστασιν τὴν ἀρχαίαν φυλάττειν ὀφείλει.

6. *Ἐν δὲ τῷ ιβ΄ κεφ.* Ὁ δουλείαν ἐπιθεὶς τοῦ μὴ ὑψῶσαι δύναται δένδρον ἔχειν ὑπὲρ τὸ ὕψος. εἰ μέντοι ἀπόψεως συνέστη δουλεία, καὶ ἐμποδίζουσι τὰ δένδρα, οὐ δύναται.

7. *Ἐν δὲ τῷ ιγ΄ κεφ.* Οὐκ ἔξεστι τῷ κοινωνῷ ἐν τῷ ἰδίῳ οἴκῳ ποιοῦντι βαλανεῖον τοὺς καπνοδόχους ἐπιθεῖναι τῷ κοινῷ τοίχῳ ἢ τοῖχον ἴδιον.

Μαρμαροῦν δὲ καὶ γράφειν τὸν κοινὸν τοῖχον ἔξεστι. καὶ ἐὰν ὁ γείτων καταφέρων τὸν οἶκον ἐπερωτηθῇ τὴν προσδοκωμένην ζημίαν, οὐκ ἀποτιμῶνται πλείονος τὰ ἐπιτερπῆ ἢ αἱ μαρμαρώσεις.

8. *Ἐν δὲ τῷ ιθ΄ κεφ.* Σωλῆνας ἑνοῦν τῷ κοινῷ τοίχῳ οὐκ ἐφεῖται. βαλανεῖον μέντοι πλησίον τοῦ κοινοῦ οἴκου[3] ἔχειν οὐ κεκώλυται, κἂν ὑγρασίαν δέχηται· εἰ μὴ ἄρα διὰ τῆς συνεχοῦς ὑγρασίας βλάπτεται. ἔξεστι γὰρ καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἔχειν ὕδωρ.

Καμάραν ἀπὸ βησάλων ἔξεστιν ἔχειν πλησίον τοῦ κοινοῦ τοίχου, ἐὰν οὕτως ἐσκευάσθῃ, ὥστε καὶ τοῦ τοίχου καθαιρουμένου ἵστασθαι, καὶ τῇ ἀνανεώσει αὐτοῦ μὴ ἐμποδίζειν.

9. *Ἐν δὲ τῷ κ΄ κεφ.* Σκάλαν ἐπιθεῖναι τῷ κοινῷ τοίχῳ δύναμαι[4]. [ἀποκινεῖσθαι γὰρ δύναται.]

Οὐκ ἔξεστι τῷ δουλεύοντι κτίζειν, ἔνθα πίπτειν ὁ σταλαγμὸς ἤρξατο τῶν κεράμων.

Καὶ ὑψοῦν δύναται ὁ σταλαγμὸν ἔχων, οὐ μὴν καὶ χθαμαλώτερον τὸν οἶκον ποιεῖν, καὶ ἀποβαίνειν εἰς τὰ ἴδια, οὐ μὴν

---

[1] Lips. *η΄*. [2] Lips. *ἐκβ.* [3] Leuncl. conj. *τοίχου.* [4] Lips. *οὐ δύν.*

προβαίνειν εἰς ἕτερον τόπον τοῦ δουλεύοντος. γενικῶς γὰρ κρείττονα τὴν αἵρεσιν δύναται ποιεῖν τοῦ δουλεύοντος, οὐ μὴν χείρονα, εἰ μὴ τὸ ἐναντίον ἐν τῷ συνίστασθαι τὴν δουλείαν ἐλέχθη.

10. Ἐν δὲ τῷ κδ' κεφ. Ὁ ἔχων τὰ ἀνώγεα τοῖς ἰδίοις ἐπικτίζει ὅσον θέλει· μὴ βαρῶν μέντοι τὰ κατώγεα ὑπὲρ[1] δύναμιν.

11. Ἐν δὲ τῷ λζ' κεφ. Ὁ μὴ ἔχων δίκαιον φωταγωγῶν θυρίδων οὐ δύναται τυφλὸν τοῖχον ἀνοίγειν καὶ ποιεῖν θυρίδας.

12. Ἐν δὲ τῷ λη' κεφ· Καλῶς ἐν τῷ ἐμῷ οἴκῳ[b] ἀνοίγω πυλῶνα, εἰ μὴ ἐμποδίζω ταῖς δουλείαις τοῦ γείτονος[c].

13. Ἀνάγν. καὶ τί. ε', οὗτινος ἐν τῷ η' κεφ. φησί· Χωρὶς δουλείας οὔτε ὁ κάτω δύναται καπνὸν ἐπιπέμπειν τῷ ἄνω, οὔτε ὁ ἄνω τὸ ὕδωρ ἤ τι ἄλλο τῷ κάτω. ἐπὶ τοσοῦτον γὰρ ἔξεστιν ἐν τοῖς ἰδίοις τὶ ποιεῖν, ἐφ' ὅσον μηδὲν εἰς τὸν[2] ἀλλότριον ἐπιπέμπειν. ὅθεν κωλύεταί τις λίθον ἐν τῷ ἰδίῳ τεμεῖν, καὶ τὰ κλάσματα κυλίειν εἰς τὸν ἀγρογείτονα.

Ἔξεστι δὲ καπνὸν ἐλαφρὸν, οἷον ἀπὸ ἑστίας, ποιεῖν, ὥσπερ καὶ καθέζεσθαι [καὶ λούεσθαι] ἐν τοῖς ἰδίοις. καὶ οὐ δύναται συνιστᾶν δουλείαν εἰς τὸ ταύτην[3] γίνεσθαι ἢ μὴ γίνεσθαι. ἐπὶ δὲ τοῦ καπνοῦ τοῦ λουτροῦ δουλεία συνίσταται.

14. Ἐν δὲ τῷ θ' κεφ. Ὁ ἔχων ὁδὸν κωλύει τὸν δεσπότην ἐν αὐτῇ κτίζοντα· καὶ ὁ ἔχων σταλαγμὸν κεράμων, ἐὰν διὰ τοῦ κτίσματος ἐμποδίζηται. εἰ δὲ μήπω ἔκτισε, δύναται καὶ ὁ πλατεῖαν ὁδὸν καὶ ὁ χρῆσιν ἔχων κινεῖν τὴν περὶ συναλλάγματος ἀγωγήν. μετὰ δὲ τὸ κτίσαι, ὁ μὲν ἔχων τὸ μονοπάτιον καὶ τὴν πάροδον κινεῖ τὴν περὶ συναλλάγματος ἀγωγὴν, ὁ δὲ τὴν χρῆσιν ἔχων, ἐπειδὴ ἀπόλλυται ἡ χρῆσις, κινεῖ τὴν περὶ δόλου ἀγωγήν.

15. Ἐν δὲ τῷ ιη' κεφ. Ἐὰν ὁ γείτων κοπρῶνα ποιήσῃ παρὰ τὸν τοῖχόν μου καὶ ὑγράνῃ αὐτὸν, εἰ μὲν ἐν δημοσίῳ τόπῳ τέθεικε, τὴν περὶ παραγγελίας ἀγωγὴν κινῶ· εἰ δὲ ἐν ἰδιωτικῷ, τὴν περὶ δουλείας ἀγωγήν. εἰ γὰρ ἐβλάβην, κινῶ τὴν περὶ ζημίας ἀγωγήν.

16. Ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ ς' κεφ. φησίν· Οὐδεὶς κω-

---

b Τουτέστιν ἐντὸς τοῦ σταλαγμοῦ τῶν κεράμων.

c Τουτέστι τῇ παρόδῳ αὐτοῦ.

---

1 Lips. πρός. 2 Leuncl. τὸ. 3 Heimb. conj. ταῦτα.

λύεται βουλόμενος ὑψῶσαι, εἰ μὴ ἄρα ἐβάρησεν ἑαυτὸν δουλείᾳ τοῦ μὴ ὑψοῦν. ὁ δὲ ἐν ἀλλοτρίῳ τοίχῳ ἀνοίξας θυρίδα οἰκείοις δαπανήμασιν αὐτὴν ἀναφράττει.

17. Ἐν δὲ τῷ ια' κεφ. Ὁ συμφωνήσας μετὰ τοῦ ἀγρογείτονος, ὥστε ἐξεῖναι αὐτῷ παριέναι διὰ τοῦ ἀγροῦ αὐτοῦ ἐπὶ τὴν οἰκείαν ὕλην ἅπαξ κατὰ ε' ἐνιαυτοὺς, καὶ μήτε δι' ἑαυτοῦ μήτε διὰ τῶν διαφερόντων αὐτῷ τῇ δουλείᾳ ἐχρήσατο ἐπὶ κ' ἐφεξῆς ἔτη, ἀπολλύσθω πάντως τὸ παραχωρηθὲν αὐτῷ δίκαιον.

Μηδεὶς δὲ οὕτω κτιζέτω, ὡς ἐμποδίζειν ἐντεῦθεν τῷ ἀνέμῳ εἰς τὸ ἁλώνιον τοῦ γείτονος βάλλοντι.

18. Ἀνάγν. καὶ τί. η', οὗτινος ἐν τῷ α' κεφ. φησί· Τὸ εἰς δημοσίαν ὁρῶν χρῆσιν, οἷον ὁδοὺς δημοσίας καὶ παρόδους, ἕκαστος ἀπαιτεῖ διὰ τούτου τοῦ νομίμου παραγγέλματος.

19. Ἐν δὲ τῷ δ' κεφ. Εἰ ἐν δημοσίῳ τόπῳ κτίσει τὶς, τῷ νομίμῳ παραγγέλματι ὑπόκειται.

Καὶ ὅτι φησὶν ὁ πραίτωρ, μηδὲν ἐν δημοσίῳ τόπῳ ποιεῖν ἢ εἰσπέμπειν ἐπὶ βλάβῃ τοῦ τόπου, εἰ μὴ νόμος[1] ἢ δόγμα συγκλήτου ἢ βασιλικὴ κέλευσις ἐπιτρέπει.

20. Ἐν δὲ τῷ ε' κεφ. Οἱ δημόσιοι τόποι τῇ χρήσει τῆς πόλεως, οὐ τοῦ καθέκαστον ὑπουργοῦσι.

Καὶ ὅτι δημόσιος τόπος ἐστὶν ἔδαφος, οἰκία, ἀγρὸς, ὁδὸς, πάροδος δημοσία.

21. Ἐν δὲ τῷ ς' κεφ. Ὁ ἀκωλύτως κτίσας ἐν δημοσίῳ οὐχ ὑπόκειται τῷ νομίμῳ παραγγέλματι. κωλυτικὸν γάρ ἐστιν, οὐκ ἀποκαταστατικόν. καταλύει μέντοι αὐτὸ ὁ φροντίζων τῶν δημοσίων ἔργων. εἰ δὲ μὴ βλάπτει τὸ κτισθὲν, τέλος[d] ἐπιτίθησιν αὐτῷ, [ὃ λέγεται ἀπὸ τοῦ ἐδάφους σωλάριον. εἰ δὲ μήπω ἐκτίσθη, ἀσφαλίζεται ὅτι οὐ κτίζει οὐδὲ αὐτὸς οὐδὲ κληρονόμοι αὐτοῦ.] εἰ δὲ ὁ τόπος ἱερὸς, ἢ κτισθῇ[2], ἀποκαθίσταται.

Λέγει ὁ πραίτωρ· ἐν ὁδῷ δημοσίᾳ ἢ παρόδῳ ποιεῖν τι ἢ εἰσπέμπειν ἐπὶ βλάβῃ αὐτῶν κωλύσω.

22. Ἐν δὲ τῷ ζ' κεφ. Βλάβη ἐστὶ τὸ τὴν χρῆσιν τῆς ὁδοῦ φθαρῆναι, εἰ τυχὸν κοίλη γένηται ἢ τραχεῖα ἢ στενὴ ἢ ξηρά.

---

d Φόρον.

---

1 Leuncl. μόνον. 2 Lips. εἰ δὲ ὁ τόπος ἱερὸς ᾖ, κἂν κτισθῇ.

Καὶ ὁ γεφύραν ἢ ὀπὴν ἐν δημοσίᾳ ὁδῷ ποιῶν ἐνάγεται ὡς βλάπτων.

Τὸ δὲ παράγγελμα τοῦτο καὶ διηνεκὲς καὶ δημοτικόν ἐστιν. ἡ δὲ καταδίκη εἰς τὸ διαφέρον τοῦ κινοῦντος.

23. Ἐν δὲ τῷ η' κεφ. *Ὁ μηδενὸς κωλύοντος ἐν δημοσίῳ κτίσας οὐκ ἀναγκάζεται καταλῦσαι διὰ τὴν ἐκ τῆς πτώσεως ἀμορφίαν.*

24. Ἐν δὲ τῷ ιβ' κεφ. *Τῶν ἐργαστηρίων μηδεὶς προτιθέτω τὶ, εἰ μὴ κναφεὺς ἱμάτια ἢ τέκτων τροχοὺς, ὥστε καὶ οὕτως ἅμαξαν παριέναι. μὴ ἐάτωσαν δὲ οἱ ἀστυνόμοι μάχεσθαι ἐν ταῖς ὁδοῖς, μηδὲ κόπρον ἐμβάλλειν, ἢ νεκρὰ ἢ δέρματα ῥίπτειν.*

Καλῶς βιάζομαί σε, εἰ ἐν σχήματι ἀνανεώσεως χείρω ποιεῖς τὴν ὁδόν. οὔτε οὖν πλατῦναι οὔτε μηκῦναι οὔτε ὑψῶσαι οὔτε χθαμαλῶσαι δύνασαι αὐτὴν ἀνανεῶν, οὐδὲ στρῶσαι λίθῳ ἢ ἀποστρῶσαι.

Τοῦτο τὸ παράγγελμα καὶ διηνεκές ἐστι καὶ δημόσιον[1], *καὶ ἔχει καταδίκην εἰς τὸ διαφέρον τοῦ κινοῦντος.*

25. Ἐν δὲ τῷ ιγ' κεφ. *Ἡ δημοσία ὁδὸς τῇ ἀχρησίᾳ οὐκ ἀπόλλυται.*

26. Ἀνάγν. καὶ τί. ι', ἐν ᾧ διαλαμβάνεται περὶ παραγγελίας, οὗτινος ἐν τῷ α' κεφ. φησί· *Μετὰ παραγγελίαν εἴτε δικαίως εἴτε ἀδίκως τὶς κτίζει, κωλύειν αὐτὸν ἔξεστι. καὶ λοιπὸν ὁ παραγγελθεὶς αἰτεῖ ἄφεσιν εἰς τὸ συγχωρηθῆναι τὴν ἄδικον κώλυσιν.*

Τὸ δὲ περὶ τῆς καινοτομίας παράγγελμα ἐπὶ τοῖς μέλλουσιν ἔργοις ἁρμόζει. εἰ γὰρ ἤδη γέγονε[e], *τὸ ὅπερ βίᾳ ἢ λάθρα πραχθὲν, ἢ τὸ περὶ τόπου σεβασμίου, ἢ τὸ περὶ τόπου ἱεροῦ, ἢ τὸ περὶ ποταμοῦ δημοσίου, ἢ τὸ περὶ ὄχθης δημοσίας χώραν ἔχει.*

Καὶ χωρὶς ἄρχοντος παραγγέλλει τὶς, καὶ οἰκείῳ ὀνόματι καὶ ἀλλοτρίῳ· καὶ πάντοτε καὶ πᾶσι, καὶ ἀποῦσι καὶ ἀγνοοῦσι καὶ ἄκουσιν.

Ὁ παραγγέλλων γίνεται ἐνάγων. καὶ ἐὰν ὁ παραγγελθεὶς κτίσῃ χωρὶς προτροπῆς, διὰ νομίμου παραγγελίας καταλύει τὸ ἔργον.

---

e Εἰ γὰρ ἤδη γέγονε τὸ ἔργον, ὅπερ οὐκ ὤφειλε γενέσθαι, ἀργεῖ μὲν τὸ τῆς παραγγελίας ἔδικτον, μεταβαίνομεν δὲ εἰς τὸ ἰντέρδικτον ἤτοι τὸ παρὰ βασιλέως ἢ τοῦ πραίτορος πρὸς τὸ ἀνθρώπων συμφέρον νομοθετηθὲν περὶ τοῦ λάθρα ἢ βίᾳ γεγονότος.

1 Leuncl. legi vult δημοτικὸν.

27. Ἐν δὲ τῷ γ' κεφ. Καινοτομίας γινομένης ἐν τῷ δημοσίῳ τόπῳ παραγγέλλειν ἔξεστιν ἑκάστῳ τῶν πολιτῶν. συμφέρει γὰρ ταῖς πόλεσιν ὑπὸ πολλῶν διεκδικεῖσθαι.

28. Ἐν δὲ τῷ δ' κεφ. Ἔνθα γίνεται τὸ ἔργον, ὀφείλει τὶς παραγγέλλειν· εἴτε τὶς ἤδη οἰκοδομεῖ εἴτε ἄρχεται· κἂν μὴ τῷ δεσπότῃ παραγγέλλῃ.

Παντὶ γὰρ ἐν τῷ ἔργῳ παρόντι καλῶς παραγγέλλεται, εἴτε διὰ τὸ ἔργον πάρεστιν εἴτε διὰ τὸν δεσπότην. καὶ οὐ διαφερόμεθα, τίς ἢ ποίας αἱρέσεως ἐστὶν ὁ παραγγελθεὶς, δοῦλος ἢ γυνὴ ἢ παῖς ἢ κόρη. πᾶσι γὰρ τοῖς παροῦσιν ὀρθῶς παραγγέλλεται, ἵνα μέντοι δύνηται ἀπαγγελθῆναι τῷ δεσπότῃ.

Εἰ δὲ ἔξωθεν τοῦ ἔργου τῷ δεσπότῃ τὶς παραγγείλῃ, οὐκ ἔῤῥωται. ἐν αὐτῷ γὰρ δεῖ τῷ ἔργῳ παραγγέλλειν, ἵνα εὐθέως ὁ παραγγελθεὶς ἀναχωρήσῃ. ἐπείτοιγε συμβαίνει, ἐν ὅσῳ ἔρχεται πρὸς τὸ ἔργον τὸ κατὰ ἄγνοιαν αὐτοῦ γινόμενον, παρὰ τὸ παράγγελμα γίνεσθαι.

29. Ἐν δὲ τῷ ϛ' κεφ. Ἐάν τις βούληται ἐν τῷ ἐμῷ κτίζειν ἢ ἐμβάλλειν ἢ ἐφαπλοῦν, συμφέρει ἢ διὰ τοῦ πραίτορος ἢ διὰ λίθου βολῆς κωλύειν αὐτόν. εἰ δέ τις ἐν τοῖς ἰδίοις τόποις ὢν βλάπτει, ἀναγκαία ἐστὶν ἡ παραγγελία.

Τῷ καθαίροντι κανάλην ἢ ῥεῖθρον ὕδατος ἢ ἀνορθοῦντι παραγγέλλειν οὐδεὶς δύναται.

Καὶ ἐπὶ τῶν λοιπῶν δὲ ἔργων παρορᾶται ἡ παραγγελία, ἐν οἷς ἡ ὑπέρθεσις ἐπιφέρει κίνδυνον.

Ὁ παραγγέλλων ὄμνυσιν, ὡς οὐ κατὰ συκοφαντίαν παραγγέλλει. ἐπιφέρεται δὲ ὅρκος κατὰ αὐθεντίαν τοῦ πραίτορος.

Ὁ παραγγελλόμενος ἀναχωρεῖν ὀφείλει τοῦ ἔργου, ἕως ἂν ἀσφαλίσηται ἢ αἰτήσῃ συγχώρησιν. καὶ τότε κτίζει καλῶς, εἴπερ ἔχει δίκαιον τοῦ κτίζειν. ὀφείλει γὰρ τὸ πρὸ τῆς παραγγελίας ἔργον κατὰ διαλαλιὰν μετρεῖσθαι[f].

30. Ἐν δὲ τῷ κ' κεφ. Ἐάν τις μετὰ τὸ παραγγελθῆναι ἐποικοδομήσῃ, μὴ αἰτήσας συγχώρησιν ἢ μὴ δεδωκὼς ἱκανὰ, τὸ μετὰ τὴν παραγγελίαν γεγονὸς ἔργον καταλύει, [κἂν εἶχε δίκαιον τοῦ κτίζειν.]

---

f Τὸ δ' κεφ. περὶ καινοτομιῶν λη' τί. τοῦ μ' τί. προχείρου νόμου φησὶ οὕτως, ἵνα δύνηται ἀποδεικνύεσθαι, τί μετὰ τὴν παραγγελίαν ᾠκοδομήθη. Ἐν τῷ αὐτῷ ι' τί. τοῦ νη' βι. κεφ. φησίν· Ὁ νόμιμον παράγγελμα κινῶν μηκέτι περιόδοις κεχρήσθω, ἀλλ' εὐθέως ἐν τοῖς διαγνωστικοῖς ἀγῶσι ταῖς οἰκείαις χρήσθω δικαιολογίαις.

31. Ἐν δὲ τῷ κε' κεφ. Ἐὰν ὁ παραγγελθεὶς πωλήσῃ τὸν οἶκον, καὶ ὁ ἀγοράσας κτίσῃ, αὐτὸς ἐνέχεται. οὐ γὰρ προσώπῳ, ἀλλὰ πράγματι γίνεται ἡ παραγγελία. διὸ παραγγελίας γινομένης ὁ νεμόμενος ἐνέχεται.

32. Ἐν δὲ τῷ λε' κεφ. Ἐάν τι γένηται ἐν δημοσίῳ ποταμῷ ἢ ὄχθῃ αὐτοῦ, μέχρι δεκαετίας ἡ ἀσφάλεια δίδοται.

33. Ἀνάγν. καὶ τί. ια', οὗτινος ἐν τῷ ζ' κεφ. φησί· Τὰ ἰδιωτικὰ κτίσματα ιε' πόδας ἀπεχέτω ἀπὸ τῶν δημοσίων οἰκημάτων· ὥστε μήτε τὸ δημόσιον κινδυνεύειν μήτε αὐτὰ ἔτι δεδιέναι τοῦ λοιποῦ [g].

34. Ἐν δὲ τῷ θ' κεφ. Ἐὰν ἐξώστην ποιῇ τις ἢ ἐποίησε, δέκα πόδας ἀπεχέτω τοῦ ἰδιωτικοῦ· τοῦ μέντοι δημοσίου δεκαπέντε. εἰ δὲ καὶ παραβαίῃ τὶς, καὶ τὸ ἔργον καταλυθήσεται καὶ ὁ οἶκος τῷ ἡμετέρῳ ταμιείῳ προσκυρωθήσεται.

35. [Ἐν δὲ τῷ ι' κεφ.] Ὁ ἀνανεῶν οἰκίαν μὴ παρεξίτω τὸ ἀρχαῖον σχῆμα, εἰ μὴ δίκαιον τοιοῦτον ἐκτήσατο κατὰ τοῦ γείτονος.

Πᾶς δὲ κτίζων ιβ' πόδας ἀπεχέτω, καὶ ὅσον βούλεται κτιζέτω, καὶ θυρίδας ποιείτω, μὴ μὴν ἄποψιν θαλάσσης ἀφαιρείσθω ἐξ ὀρθοῦ ἢ ἐκ πλαγίου ἀβιάστως τυγχάνουσαν. κήπων μέντοι καὶ δένδρων [1] μὴ εἶναι δουλείαν.

Εἰ δέ τις κτίζει ἐν στενωπῷ πλεῖον ἔχοντι τῶν ιβ' ποδῶν, μηδὲν ἐκεῖθεν παραιρείτω, ἵνα μὴ στενοῖ τὸ δημόσιον· εἰ δὲ ἧττον εἴη τῶν ιβ' ποδῶν, κατὰ τὸ παλαιὸν σχῆμα κτιζέτω, μὴ ὑψῶν ἢ θυρίδας ποιῶν παρακυπτικάς, εἰ μὴ πρότερον εἶχεν αὐτάς· φωταγωγοὺς δὲ ἐξέστω ποιεῖν. εἰ δὲ δέκα

---

g Περὶ τοῦ μέτρου τοῦ ὀφειλομένου φυλάττεσθαι παρὰ τῶν κτιζόντων ἢ φυτευόντων ἀνάγνωθι καὶ τοῦ θ' τίτλου κεφ. ιε', ἐν ᾧ φησιν· Ἐάν τις αἱμασίαν παρ' ἀλλοτρίῳ χωρίῳ ὀρύττῃ [2], τὸν ὅρον μὴ παραβαινέτω· ἐὰν τειχίον, ἀπολιμπανέτω πόδα [3]· ἐὰν οἴκημα, πόδας ἐξ [4]· ἐὰν τάφον ἢ βόθρον ὀρύττῃ, ὅσον τὸ βάθος αὐτοῦ, τοσοῦτον ἀπολειπέτω· ἐὰν φρέαρ, εἰ μήπω φρέαρ προϋπῆρχε τοῦ γείτονος καὶ ἐκ τοῦ καινοῦ [5] ἔργου βλάπτεται, ἐπὶ τοσοῦτον, ὅσον [6] τὸ βάθος, ὀφείλει ἀποφυγεῖν. εἰ [7] δέ τις ἐν ἀγρῷ βούλοιτο κτίσαι, τόξου βολὴν ἀπὸ ἀγρογείτονος ἀπεχέτω ἢ ὀργυιάν. ἐὰν ἐλαίαν καὶ συκῆν, θ' πόδας ἀπὸ τοῦ ἀλλοτρίου φυτευέτω· τὰ δὲ ἄλλα δένδρα πέντε πόδας.

---

1 Lips. ἔργων. 2 Lips. Ἐάν τις δημοσίαν ὁδὸν ἤτοι γῆν παρὰ χωρίων ἀλλοτρίων. 3 Lips. πόδα ἕνα. 4 Leuncl. δύο. 5 Leuncl. ἑνός. 6 Lips. et Labbaeus ἐπὶ ὅσον. 7 Quae abhinc sequuntur Lips. omittit.

πόδες εἶεν ἐν μέσῳ, καὶ τότε ἀπὸ ἓξ ποδῶν τοῦ πάτου, ὥστε μήτε ψευδοπάτιον γίνεσθαι. εἰ δὲ συμφωνηθῇ τι, φυλαττέσθω.

Εἰ δὲ καὶ οἰκία μέλλει ἀνανεοῦσθαι εἴτε οὖν ἐν πρώτοις κτίζεσθαι ἑκατὸν πόδας ἔχουσα, καὶ[1] θαλάττης ἄποψιν λυμαίνεται ἐξ εὐθείας ἢ ἐκ πλαγίου ἀβιάστως, οὐ μὴν ἀπὸ μαγειρίων ἢ ἄλλων οὖσαν, ὁμοίως κἀνταῦθα, εἰ σύμφωνον εἴη, φυλαττέσθω.

Ὥστε δὲ καὶ τὰ σωλάρια τοῦ λοιποῦ ῥωμανήσια γίνεσθαι καὶ δέκα πόδας ἀπέχειν ἀπ᾽ ἀλλήλων. εἰ δὲ μὴ δυνατὸν, ἐκ παραλλαγῆς γενέσθωσαν. εἰ δὲ δέκα ποδῶν ὁ στενωπὸς εἴη μόνον, μηδεὶς ποιείτω σωλάριον. τὰ δὲ γινόμενα δεκαπέντε πόδας ἀπεχέτω τοῦ ἐδάφους. καὶ μὴ ἐχέτωσαν κάτωθεν κίονας λιθίνους ἢ στύλους ξυλίνους ἢ τοίχους, ὥστε ἢ τὸν ἀέρα ἀποφράττεσθαι ἢ τὴν δημοσίαν ὁδὸν ἀδικεῖσθαι. μήτε δὲ κλίμακες γενέσθωσαν εἰς τὸν στενωπὸν, ἀνάγουσαι ἐπὶ τὰ σωλάρια. ἐντεῦθεν γὰρ ἧττον ἐπικείσεται τοῦ πυρὸς ἡ συμφορά. εἰ δὲ ταῦτα παραβαθείη, καὶ ὁ δεσπότης τοῦ οἴκου καὶ ὁ ἀρχιτέκτων καὶ ὁ ἐργασάμενος ζημιωθήσονται.

36. Ἐν δὲ τῷ ι΄ κεφ. Τὰ δὲ μεσόστυλα, ὡς ἂν δοκιμάσειεν ὁ τῆς πόλεως ἔπαρχος, γινέσθωσαν· ἴσον τρόπον πᾶσιν αὐτοῦ φυλάττοντος.

37. Ἐν δὲ τῷ ια΄ κεφ. Εἰ δέ τις κτίζοντι ἐμποδίσαι βουλόμενος δίκην αὐτῷ λάχῃ, εἶτα ἔφεσις ἐπακολουθεῖ, εἴτε οὖν εἰς τὴν τῶν μεγίστων ἀρχόντων διάγνωσιν ἔλθοι, παραχρῆμα σκοπεῖσθαι δεῖ καὶ μὴ αναμένειν τὰς κυρίας[h]. καὶ λοιπὸν ἐὰν εὑρεθῇ[2] ὁ ἐμποδίσας, πᾶσαν ζημίαν ἀποδώσει[3] αὐτῷ, μηδὲ παραγράφεσθαι δυνάμενος τὸν φόρον τοῦ ἐπάρχου.

38. Ἐν δὲ τῷ ιβ΄ κεφ.[i] Θεσπίζομεν πανταχοῦ γῆς τὰ αὐτὰ κρατεῖν, πλὴν τῆς ἀπόψεως τῆς θαλάσσης. ἐκείνη γὰρ ἐν μόνῃ τῇ πανευδαίμονι κωνσταντινουπόλει καὶ τῇ ταύτης περιοικίδι κρατεῖ.

39. Ἐν δὲ τῷ ιγ΄ κεφ. Πρᾶγμα δολερῶς γινόμενον ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως περὶ τὰς τῶν οἴκων οἰκοδομίας ἀναστεῖλαι καὶ ἐπανορθῶσαι δίκαιον ἡγησάμεθα. ἐπειδὴ γὰρ

---

h Τὰς ἐμπροθέσμους ἡμέρας.

i Περὶ ἀπόψεως θαλάσσης νεαρὰ ξγ.

---

1 Leuncl. conj. εἰ καί. 2 Leuncl. conj. ἡττηθῇ. 3 Lips. ἀποσώσει.

ῥητοῖς μέτροις διεστάναι τοὺς οἴκους ἀλλήλων ἡ Ζήνωνος διάταξις λέγει, καὶ ἡμεῖς τοιοῦτόν τι νενομοθετήκαμεν· ἐπιτέτραπται δὲ, ὥστε ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως μὴ δύνασθαί τινα ἑκατὸν ποδῶν εἴσω κωλύειν θαλάσσης ἄποψιν, πράγματος χαριεστάτου· ἐχρῆν μὲν ἴσως καὶ ἐκ πλείονος μέτρου τὰς ἀπόψεις αὐτοῖς ἀνεῷχθαι, καὶ μὴ ταύτας κωλύειν. πλὴν ἀλλὰ καὶ τοῦτο παραδόξῳ τινὶ προσμεμηχάνηται τέχνῃ. τινὲς γὰρ τὸ τῶν ἑκατὸν ποδῶν καταλιπόντες μέτρον, ἢ καὶ βραχύ τι τούτῳ προσθέντες, εἶτα οἰκοδομοῦσιν ἐκεῖθεν[1], οὐδὲν ἕτερον ἔχοντες, ἀλλὰ καθάπερ τὶ παραπέτασμα παρατείνοντες· καὶ ἐπειδὰν ἀφέλωνται τὴν τῆς θαλάσσης ἄποψιν κατὰ πᾶσαν ἐξουσίαν, καὶ οὐ μαχόμενοι τῷ νόμῳ διὰ τὸ τῶν ρ´ ποδῶν διάστημα, ἀνοικοδομοῦσιν ἀκωλύτως. καὶ ἐπειδὰν τοῦ ζητουμένου τύχοιεν, καθαιροῦσιν ἐκεῖνο τὸ διὰ τὴν χρείαν αὐτοῖς ἐπινενοημένον, καὶ οὕτω τὸ σχῆμα σοφισάμενοι πάσης τέρψεως ἀλλοτρίας τὰς τῶν κεκτημένων καθεστᾶσιν οἰκίας. ὅπερ τοῦ λοιποῦ γίνεσθαι κατ᾽ οὐδένα βουλόμεθα τρόπον, ἀλλ᾽ εἴ τις βούλοιτό τι σχεδιάσαι καὶ κακουργῆσαι, μὴ τοιαῦτα παιζέτω, ἀλλ᾽ εἴπερ τούτου δέοιτο ταῖς ἀληθείαις, οἶκον ὅλον οἰκοδομείτω, καὶ μέχρι τοῦ διαστήματος φαμὲν τοῦ τῶν ρ´ ποδῶν παντὸς χωρείτω τὰς οἰκοδομίας ποιῶν ὡς ἀναγκαίας αὐτῷ καὶ ἀπαραιτήτους ἐσομένας, μὴ μὴν διὰ τὴν τοῦ γείτονος ἐπιβουλὴν διὰ τοῦτο σχεδιαζέτω τοὺς τοίχους, καὶ ὥσπερ ἐπί τινος γραφῆς τὴν τοιαύτην ἐκτείνας σκαιωρίαν τὴν ἀφαίρεσιν τῆς ἀπόψεως ἁρπαζέτω.

40. Ἐν δὲ τῷ ιδ´[2] κεφ. Ἡ ἐπὶ θάλασσαν ἐντὸς ρ´ ποδῶν οὖσα ἄποψις οὐ μόνον κατ᾽ εὐθεῖαν ἀλλὰ καὶ ἐκ πλαγίου ὀφείλει εἶναι ἀκαινοτόμητος. τοῦτο γὰρ προστίθησιν ὁ παρὼν τύπος, φυλάττων τὴν Ζήνωνος διάταξιν καὶ τὴν νεαρὰν ἑρμηνεύων.

41. Ἀνάγν. καὶ τί. ιβ´, οὗτινος ἐν τῷ ς´ κεφ. φησίν· Ὁ κτίσας ἐν δημοσίῳ τόπῳ καὶ βλάπτων τὴν πόλιν καταβαλλέτω αὐτὸ, μὴ ἔχων χρόνου παραγραφὴν, μηδὲ εἰ βασιλεὺς ἐπέτρεψεν αὐτῷ κτίσαι.

42. Ἐν δὲ τῷ ιθ´ κεφ. Ὁ χωρὶς βασιλικῆς ἐπιτροπῆς στενορύμιον ἢ στοὰν περικλείσας ἀποδιδότω τοῦτο· τοῦ μετὰ ταῦτα τοιοῦτον τολμῶντος ποιῆσαι ν´ λίτρας προστιμωμένου.

43. Ἐν δὲ τῷ κβ´ κεφ. Μηδενὶ ἐξέστω πολλοὺς κίονας ἀπο-

---

[1] Leuncl. ἐκεῖσε. [2] Lips. δ´.

φράττειν ἐκ σανίδων ἀπὸ τοῦ μιλίου ἕως τοῦ καπετωλίου, ἀλλὰ τὰ τοιαῦτα ἐργαστήρια πλάτος ἔχειν ἓξ ποδῶν σὺν τοῖς τοίχοις ἐπὶ τὴν πλατεῖαν, ὕψος δὲ ἑπτά· διὰ δὲ τεσσάρων κιόνων πάροδον εἶναι ἐπὶ τὴν πλατεῖαν. κοσμεῖσθαι δὲ ἀπὸ μαρμάρων τὰ τοιαῦτα ἐργαστήρια βουλόμεθα, διά τε τὴν εὐπρέπειαν τῆς πόλεως καὶ τοὺς βαδίζοντας.

44. Ἀνάγν. καὶ τί. ιγ', ἐν ᾧ διαλαμβάνεται περὶ τῆς ὡς ἀπὸ πλησμονῆς ὑδάτων καινοτομίας[k], οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐάν τινα βλάπτῃ τὸ ὄμβριμον ὕδωρ, διὰ τῆς ἐπὶ ὕδατος πλησμονῆς ἀγωγῆς ἀποστρέφεται. ὄμβριμον δὲ ὕδωρ ἐστὶ τὸ ἀπὸ τοῦ οὐρανοῦ κατιόν, κἂν ἄλλῳ μίγνυται.

Αὕτη γὰρ ἡ ἀγωγὴ ἁρμόζει, ὅτε χειροποιήτου ἔργου γενομένου μήπω τὸ ὕδωρ ἔβλαψεν, ἀλλ' ἐλπίζεται βλάψειν.

Εἰ δὲ μὴ γέγονεν ἔργον, ἀλλὰ κατὰ φύσιν ῥέον τὸ ὕδωρ βλάψει, οὐχ ἁρμόζει.

Ἐὰν τῆς λίμης ὑποβλυζούσης[1] εἰώθει τὸ ὕδωρ εἰς τὸν ἀγρόν μου ῥεῖν, καὶ ποιήσω αὐτὸ ἵστασθαι, εἶτα πλεονάσαν ὑπὸ τοῦ ὀμβρίμου ὕδατος, βλάψῃ τὸν τοῦ γείτονος ἀγρὸν, διὰ ταύτης τῆς ἀγωγῆς ἀναγκάζομαι περιελεῖν τὸ ἔργον.

Τὰ χειροποίητα ἔργα, εἰ μὴ διὰ γεωργίαν γίνεται, εἰσάγουσι τὴν περὶ ὕδατος πλησμονῆς ἀγωγήν.

Ὁ μέντοι ποιῶν αὔλακας, δι' ὧν τὸ ὕδωρ ἐκφέρεται, κατέχεται.

Ἔργου γενομένου, εἴτε ἀνωθεῖται τὸ ὕδωρ ἢ ἐκφέρεται ἢ κατέχεται[2], χώρα τῇ ἀγωγῇ, οὐ μέντοι εἰ κατὰ φύσιν τρέχει.

Ἐὰν ἀπὸ πολιτικῶν οἰκημάτων ῥέον ὕδωρ βλάπτῃ οἴκημα ἢ ἀγρὸν, οὐ χώρα τῇ ἀγωγῇ ταύτῃ, ἀλλὰ τῇ περὶ δουλείας.

Ἐὰν περιέλῃ ὁ γείτων παλαιὸν ἔργον, καὶ τὸ ὕδωρ ἐκ τούτου φυσικῶς ῥέον βλάψῃ τὸν ὑποκείμενον ἀγρὸν, οὐ χώρα τῇ περὶ ὕδατος πλησμονῆς ἀγωγῇ. ἀεὶ γὰρ τοῖς ὑποκειμένοις ἀγροῖς ἐπίκειται δουλεία τὸ ὑποδέχεσθαι τὸ φυσικῶς ῥέον ὕδωρ ἐκ τῶν ὑπερκειμένων. ἐὰν δὲ διὰ τὸ περιαιρεθῆναι τὸ ἔργον σφοδρότερον ἄρξηται ῥεῖν ἢ ἀθροίζεσθαι, χώραν ἔχει.

Ἀμέλει συμφωνοῦσιν ἀεὶ, ἵνα ἐάν τις ἔχῃ ποταμὸν μέγαν

---

[k] Ἀνάγνωθι καὶ τὸ περὶ δουλείας.

---

[1] Leuncl. ἀποβλ. [2] Leuncl. εἴτε ἀν. τὸ ὕδ. εἴτε εἰς τὸ κάτω φέρεται.

ἐν τῷ ἀγρῷ αὐτοῦ, ἔξεστι τῷ γείτονι ποιεῖν παράχωμα ἢ φόσσας. εἰ δὲ μή ἐστι σύμφωνον, ὁ κάτω[1] τῷ ἄνω δουλεύει, κἂν βλάπτηται. ὠφελεῖται γὰρ τὴν λιπαρότητα τῆς γῆς αὐτοῦ δεχόμενος.

Ἐν κεφαλαίῳ τοίνυν τρία ἐστὶ, καθ᾽ ἃ δουλεύει ὁ κάτω ἀγρὸς τῷ ἄνω· νόμος, φύσις τοῦ τόπου, καὶ ἡ συνήθεια, ἥτις ἀεὶ ἀντὶ νόμου παραλαμβάνεται.

45. Ἐν δὲ τῷ δ´ κεφ. Ἐὰν ποταμὸν δι᾽ ὠφέλειάν μου καὶ οὐ διὰ βλάβην σου ἀποστρέψω, καὶ ἐκ τούτου βλαβῇ ὁ ἀγρός σου, οὐκ ἔχεις κατ᾽ ἐμοῦ τὴν περὶ ὕδατος πλησμονῆς ἀγωγήν. Οὔτε ὁ δεσπότης τοῦ δουλεύοντος ἀγροῦ εἰς τὸ ὑποδέχεσθαι τὸ ὕδωρ κατὰ τοῦ δεσπότου τοῦ δουλευομένου, εἰ μὴ ἀμέτρως ἐντεῦθεν βλάπτεται.

46. Ἐν δὲ τῷ ε´ κεφ. Ἡ περὶ ὕδατος πλησμονῆς ἀγωγὴ τότε ἁρμόζει, ὅτε τὶς ἔργον ἐν τῷ ἰδίῳ ἀγρῷ ποιεῖ, κἂν δημόσιος αὐτὸν διαδέχηται τόπος. εἰ δέ τις ἐν δημοσίῳ τόπῳ ποιήσει ἔργον, ἀργεῖ· καὶ ἑαυτὸν μεμφέσθω μὴ προνοήσας ἑαυτοῦ διὰ τῆς περὶ μελλούσης ζημίας ἀσφαλείας.

47. Ἐν δὲ τῷ κδ´ κεφ. Οὐκ ἔξεστι τοῖς γείτοσι ποιεῖν ἔργον, δι᾽ οὗ αἱ λίμναι ἢ αὔξουσιν ἢ μειοῦνται.

48. Ἀνάγν. καὶ τί. ιϛ´, οὗτινος ἐν τῷ α´ κεφ. φησί· Λέγει ὁ πραίτωρ· μηδὲν ἐν τῷ ποταμῷ ἢ τῇ ὄχθῃ αὐτοῦ ποιήσῃς ἢ ἐμβάλῃς, δι᾽ οὗ ὁ πόρος τοῦ ποταμοῦ ἢ τοῦ πλοῦ καταβλάπτεται.

49. Ἀνάγν. καὶ τί. ιζ´, οὗτινος ἐν τῷ γ´ κεφ. φησίν· Εἰ ὁ γείτων μου ἐν τῷ τοίχῳ μου κονιάματα ἤτοι ζωγραφίας ἔχει, καλῶς κινῶ, ἵνα ταῦτα ἀφέληται.

50. Ἀνάγν. καὶ τί. κγ´, ἐν ᾧ διαλαμβάνει περὶ τῶν λάθρα ἢ βίᾳ ποιούντων τὶ καινόν. οὗτινος ἐν τῷ ζ´ κεφ. φησίν· Ὁ μετὰ κώλυσιν καινοτομῶν καὶ τῇ ὑπερησιῶν νέων παραγγελίᾳ καὶ τῷ περὶ βίας ἢ λάθρα κατέχεται. οὐ μὴν μετὰ παραχώρησιν δοκεῖ λάθρα ποιεῖν.

51. Ἐν δὲ τῷ ιβ´ κεφ. Μισθωτοῦ καινοτομοῦντος ἢ δενδροτομοῦντος, εἰ μὲν κελεύσει τοῦ δεσπότου ἢ τὸ πραχθὲν ἀποδεχομένου, ἑκατέροις[2] ὑπόκειται, δοῦναι τὸ δαπάνημα ἢ ἀποκαταστῆσαι τὸ γεγονός. εἰ δὲ μὴ κελεύσει, ὁ μισθωτὸς εἰς ἑκάτερα κατέχεται, ὁ δεσπότης δὲ εἰς τὸ ἀνασχέσθαι.

Εἰ δὲ καὶ δοῦλός μου ἀγνοοῦντός μου καινοτομήσει, καὶ πωλήσω ἢ ἀπελευθερώσω αὐτὸν, εἰς ἀνεξικακίαν μόνον ἐνά-

[1] Lips. et Leuncl. κατά. [2] Leuncl. ἑκάτερος.

γομαι. ὁ δὲ ἀγοραστὴς ἢ εἰς τὸ δοῦναι εἰς νόξαν ἢ εἰς τὸ δαπάνημα τῆς ἀποκαταστάσεως. καὶ ὁ οἰκέτης δὲ ἐλευθερωθεὶς εἰς τοῦτο ἐνάγεται.

52. Ἐν δὲ τῷ ιζ' κεφ. Κἂν ἐν ἰδιωτικῷ κἂν ἐν ἱερῷ τόπῳ ἢ μνημείῳ καινόν τι γένηται, χώρα τῷ νομίμῳ παραγγέλματι.

53. Ἀνάγν. βι. ξ' τί. με' κεφ. ιβ', ἐν ᾧ φησι· Κατέχεται τῷ δὲ πεκουλάτους καὶ ὁ τρυπῶν τὸ τεῖχος καὶ ὁ ἀφαιρούμενός τι ἐξ αὐτοῦ.

X.

Περὶ κεκωλυμένων εἰδῶν.

1. Ἀνάγν. βι. νς' τί. α' κεφ. ι' θέμ. γ', ἐν ᾧ φησιν· Ἀκόνας σιδήρου καὶ σίδηρον καὶ ἅλας καὶ σῖτον ἄνευ κεφαλικοῦ κινδύνου τοῖς βαρβάροις πωλεῖν οὐκ ἔστιν.

2. Καὶ κεφ. κ', ἐν ᾧ φησιν· Οἱ πραγματευταὶ ὑπὲρ ὧν ἀγοράζουσιν ἐν τῷ βαρβαρικῷ φορτίων μὴ παρεχέτωσαν χρυσὸν, ἀλλ' ἕτερα εἴδη διδότωσαν. ὁ δὲ μὴ τοῦτο ποιήσας κολασθήσεται. καὶ ὁ ἄρχων δὲ ὁ τὸ πταῖσμα συντόμως μὴ τιμωρησάμενος πρόδηλός ἐστιν ὡς συνίστωρ κρύπτων τὸ ἁμάρτημα. χρὴ γὰρ μὴ μόνον μὴ διδόναι χρυσὸν τοῖς βαρβάροις, ἀλλὰ καὶ τὸν ὄντα παρ' αὐτοῖς ἀφαιρεῖν.

3. Ἀνάγν. καὶ βι. ιθ' τί. α' κεφ. οα' καὶ οβ', ἐν ᾧ φησιν· Οἱ ἀγοράσαντες σῖτον τῷ στρατοπέδῳ πεμφθέντα, σεμνοὶ μὲν ὄντες δημευέσθωσαν· εὐτελεῖς δὲ ὄντες κεφαλικῇ ὑποβαλλέσθωσαν τιμωρίᾳ.

4. Καὶ κεφ. ογ' καὶ οδ', ἐν ᾧ φησι· Μηδεὶς βαρβάροις προφάσει πρεσβείας παραγενομένοις ὅπλα πιπρασκέτω, ἢ εἰργασμένα ἢ ἀνέργαστα, μηδὲ σίδηρον ὅλως. ὁ δὲ παρὰ ταῦτα ποιήσας τὶ [δημευέσθω καὶ] κεφαλικῇ ὑποκείσθω τιμωρίᾳ.

5. Ἀνάγν. καὶ τὰ εἰρημένα ἐν τῷ περὶ ἀγορασίας.

XI.

Περὶ κηπουρῶν [a].

1. Ἀνάγν. βι. νε' τί. ιδ' κεφ. β', ἐν ᾧ φησι· Θεσπίζομεν, ὥσπερ ὁ κηπουρὸς παραλάβῃ[1] τὸν κῆπον παρὰ τοῦ κεκτημένου, οὕτως

---

[a] Περὶ κηπουρῶν ἀνάγνωθι καὶ νεαρὰν ξα'[2].

[1] Leuncl. παραλαμβάνει. [2] Lege ξδ'.

αὐτὸν καὶ ἀντιπαραδιδόναι. εἰ μὲν λάχανον ἔχει, ἡνίκα ὁ κηπουρὸς αὐτὸν παραλαμβάνει, καὶ διατίμησις γένηται τούτου, ὁμοίως κἂν τῇ παραδόσει τὴν ἀκριβῆ διατίμησιν τοῦ λαχάνου μόνου λαμβάνειν. εἰ δὲ οὐκ ἔχει, ἀλλὰ ψιλὸν παραλάβῃ τὸν κῆπον, εἴτε ἔχοντα κόπρον εἴτε καὶ μή, οὕτω καὶ τὴν ἀντιπαράδοσιν γίνεσθαι. καὶ ἁπλῶς οὕτω τηρεῖσθαι τὴν τοῦ πράγματος τάξιν ἐπὶ τῷ παραδιδόντι κηπουρῷ, ὁποῖα γέγονεν ἡνίκα παρελάμβανε, μηδεμιᾶς ἑτέρας ἐπαγομένης τῷ δεσπότῃ βλάβης. εἰ δέ τις γῆν χέρσον ἐκδοίη, ὁ δὲ αὐτὴν ἐξημερώσειε, τὸν ὑπὲρ τῆς ἐξημερώσεως κομίζεσθαι μισθὸν καὶ τὴν τοῦ ὄντος ἐν αὐτῇ λαχάνου διατίμησιν.

XII.

Περὶ κιχρώντων καὶ κιχρωμένων, καὶ τίνες οὐκ ἐνέχονται τῇ ἀγωγῇ τῶν ἐν χρήσει διδομένων, καὶ ἐν τίσιν οἱ εὐθυνόμενοι ἐνέχονται.

1. *Ἀνάγν. βι. ιγ' τι. α', οὗτινος ἐν τῷ ε' κεφ. θέμ. ε' φησίν·* Ὁ τῷ κεχρημένῳ ἄλλως χρησάμενος, οὐ μόνον τῇ ἀγωγῇ τῇ περὶ τῶν ἐν χρήσει διδομένων ὑπόκειται, ἀλλὰ καὶ τῇ περὶ κλοπῆς ἐνέχεται. εἰ γὰρ χρήσω σοι πυκτήν μου, καὶ παρασκευάσεις ἐν αὐτῇ τὸν χρεώστην σου ἀσφαλίσασθαί σε, κἀγὼ ἀπαλείψω αὐτά, εἰ μὲν ἐπὶ τούτῳ δέδωκα, ἐνέχομαί σοι τῇ ἀγωγῇ τῇ περὶ τῶν ἐν χρήσει διδομένων· εἰ δὲ μὴ δέδωκα ἐπὶ τούτῳ μήτε ἐν εἰδήσει τοῦ γραφέντος ἐποίησας, ἔχω κατά σου τὴν ἀγωγὴν τὴν κινουμένην κατὰ τῶν ἐν χρήσει τὶ λαβόντων, καὶ τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγήν, ὥσπερ κατὰ τοῦ χρησαμένου ἄλλως τῷ χρησθέντι ἵππῳ ἢ ἐσθῆτι.

2. *Ἐν δὲ τῷ ι' κεφ.* Ἐὰν μὴ ἑτέρως τὶς παρ' ὃ ἔλαβε χρήσηται, οὐκ ἐνέχεται· εἰ μὴ ἀμελείᾳ αὐτοῦ γέγονε χεῖρον.

3. *Ἐν δὲ τῷ ιζ' κεφ.* Ἐπὶ τοῦ κεχρημένου πράγματος καὶ ἐπιμέλεια ζητεῖται οἵαν τὶς ἐπιμελέστατος ἐν τοῖς οἰκείοις παρέχεται πράγμασιν, οὐ μὴν τὰς συμφορὰς αἷς οὐ δυνατὸν ἀντιστῆναι, ναυάγια τυχὸν ἢ καταπτώσεις ἢ θάνατον, μὴ κατὰ δόλον αὐτοῦ ἢ ῥαθυμίαν συμβάντα· ἢ λῃστῶν ἢ πολεμίων ἐπιδρομήν, εἰ μὴ λαβὼν ἐπὶ τῷ χρήσασθαι ἐν τῷ οἴκῳ ἀπήγαγεν ἐπὶ ξένης· οὐδὲ τὴν φυγὴν τῶν μὴ εἰωθότων φυλάττεσθαι δούλων. εἰ δὲ μέλλοντος ἐμοῦ καὶ σοῦ φίλους ἑστιᾷν παρά σοι δώσω ἄργυρον, χρεωστεῖς ἀμέλειαν οἵαν ἐπὶ τῶν ἐνεχύρων καὶ [ἐν] τοῖς προικιμαίοις.

Ὁ ἐν εἰδήσει χρήσας ὑπαίτια σκεύη τοῦ ἐν αὐτοῖς βληθέντος ἐκχυθέντος ἐνέχεται.

Ὁ χρησάμενος ἐναγόμενος τῇ περὶ τῶν ἐν χρήσει διδομένων κινουμένῃ ἀγωγῇ δύναται τὸ κεχρεωστημένον αὐτῷ ἀντιλογίζεσθαι[a]. εἰ δὲ πλέον ἐστὶν [ἢ] ὁ δικαστὴς οὐ προσεδέξατο τὸν ἀντέλλογον, [ἢ τὸ χρησθὲν ἀπώλετο τυχηρῶς, ἢ ἔξωθεν δικαστηρίου κατεβλήθη, χώρα τῇ ἀντεναγωγῇ.][1]

4. Ἐν δὲ τῷ κ' κεφ.[2] θέμ. θ'· Ἐὰν ἵππον σοι χρήσω πρὸς τὸ ἀπελθεῖν ἕως τινὸς τόπου, καὶ χωρὶς ἀμελείας σου χείρων ἐν τῇ ὁδῷ γένηται, οὐχ ὑπόκεισαι.

5. Ἀνάγν. καὶ βι. νβ' τί. α' κεφ. λγ' καὶ βι. ξ' τί. ιβ' κεφ. λη', ἐν ᾧ φησιν· [Ὁ τὸ χρησθὲν αὐτῷ ὑποζύγιον μακρότερον ἀπαγαγὼν ἢ ἐφ' ἑτέρῳ πράγματι ἄκοντος τοῦ δεσπότου χρησάμενος κλοπὴν ποιεῖται.]

XIII.

Περὶ κλεπτοτελωνήματος[3].

1. [Ἀνάγν. βι. νς' τί. α' κεφ. ιβ' καὶ ιδ' καὶ ις' καὶ ιζ' θέμ. γ'·] Ἐάν τις κατὰ πλάνην καὶ οὐκ ἀπάτην εἰς κλεπτοτελώνημα ἐμπέσῃ, διπλοῦν δίδωσι τὸ τέλος, καὶ οὐκ ἀφαιροῦνται αὐτοῦ τὰ φορτία. καὶ κεφαλ. ιη'.

2. Ἀνάγν. καὶ τί. δ' κεφ. α', ἐν ᾧ φησιν· Ὁ βουληθεὶς ἀποκρύψαι τὶ τῶν ἰδίων φορτίων ὑπὲρ τοῦ μὴ δοῦναι τὸ τέλος καὶ ἐλεγχθεὶς ἀπόλλυσι τὸ φορτίον. ὁμοίως δὲ κἂν οἰκέτης ἦν ὃν ἀπέκρυψεν, ἐκπίπτει τῆς αὐτοῦ δεσποτείας.

Εἰ δὲ ἀποκρύψας τὶς οἰκέτην ἠλευθέρωσεν αὐτὸν, μετὰ τὸ ἅπαξ ἁρμόσαι τὴν ἐλευθερίαν οὐκέτι δύναται αὐτὸν ὁ δημόσιος ἀφαιρεῖσθαι.

3. Καὶ κεφ. β', ἐν ᾧ φησι· Πενταετίας παραδραμούσης οὐκέτι ζητεῖ ὁ δημόσιος τὸ κλεπτοτελωνηθὲν τέλος ἤτοι τὸ κομμέρκιον· ἀλλ' οὐδὲ πρὸ τῆς πενταετίας, ἐν ᾧ μὴ φαίνεται τὸ πρᾶγμα μηδὲ κατὰ δόλον κρύπτεται, ἀλλὰ ἀπώλετο τυχόν.

4. [Ἀνάγν. καὶ τί. α'] κεφ. ε', ἐν ᾧ φησιν· Εἰ δὲ εἷς τῶν κλη-

---

a Σχόλιον. Τουτέστι μετὰ τοῦ δικαστοῦ. ἡ γὰρ ἀντελλογὴ χωρὶς δικαστοῦ ἐπὶ τῆς χρήσεως ἀνίσχυρος.

---

1 Uncis inclusa Lips. in marg. adscripta habet. 2 Lips. η' κεφ. 3 Labbaeus: Περὶ κομμερκίου ἤτοι κλεπτοτελ. — Uncis inclusa Lips. omisit.

ρονόμων τὸ κοινὸν κλεπτοτελωνήσει πρᾶγμα, τὰ μέρη τῶν λοιπῶν οὐκ ἀφαιροῦνται.

XIV.

Περὶ κληρονομίας, καὶ ἐνστάσεως ἀνιόντων ἢ κατιόντων καὶ κυοφορουμένων, καὶ περὶ ἀποκλήρων ἢ ἀμνημονεύτων ἐαθέντων εἴτε ὡς ἀχαρίστων εἴτε ἄλλως πως, καὶ περὶ τῶν τῆς ἀχαριστίας αἰτιῶν, καὶ περὶ συνεισφορᾶς.

1. Ἀνάγν. βι. λε' τί. η', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὀνομαστὶ ἀπόκληρον ποιῆσαί ἐστι τὸ εἰπεῖν τὸ ὄνομα ἢ τὸν χρηματισμὸν ἢ τὸ ἐπώνυμον[a].

2. Ἐν δὲ τῷ λβ' κεφ. Τοὺς ὑπεξουσίους δεῖ γράφειν κληρονόμους ἢ ἀποκλήρους· ἐπεὶ ἀμνημόνευτοι γινόμενοι ῥήσσουσι τὴν διαθήκην, εἰ μὴ ἐν αἰχμαλωσίᾳ εἰσίν[b].

3. Ἐν δὲ τῷ λη' κεφ. Θεσπίζομεν, μὴ ἐξεῖναι παντελῶς[c] πατρὶ ἢ μητρὶ ἢ πάππῳ ἢ μάμμῃ ἢ προπάππῳ ἢ προμάμμῃ τὸν ἴδιον υἱὸν ἢ θυγατέρα ἢ τοὺς λοιποὺς παῖδας ἀμνημονεύτους καταλιμπάνειν ἢ ἀποκληρονόμους ἐν τῇ ἰδίᾳ ποιεῖν διαθήκῃ, εἰ μὴ ὀνομαστὶ τὰς τῆς ἀχαριστίας αἰτίας ἐγγράψαιεν.

4. Ἐν δὲ τῷ λθ' κεφ. διαλαμβάνει περὶ τοῦ μὴ ἐξεῖναι μήτε τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀμνημονεύτους καταλιμπάνειν, ἢ καθ' οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων, ἐν οἷς ἐξουσίαν ἔχουσι διατίθεσθαι, τούτους παντελῶς ἀλλοτρίους ποιεῖσθαι, εἰ μὴ τὰς αἰτίας τῆς ἀχαριστίας ταῖς ἰδίαις ἐγγράψαιεν καὶ αὐτοὶ διαθήκαις. ἅστινας αἰτίας ὀνομαστὶ ἐν τῷ περὶ ἀχαριστίας τί. προειρήκαμεν.

5. Ἀνάγν. καὶ τί. θ', ἐν ᾧ διαλαμβάνεται περὶ ἐνστάσεως καὶ ὑποκαταστάσεως. οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἔνστασίς ἐστι τὸ εἰπεῖν, πέτρος τῆς κληρονομίας μου κύριος ἔστω.

6. Ἐν δὲ τῷ θ' κεφ. Οἱ κληρονόμοι δικαίου εἰσὶ διάδοχοι. καὶ ἐὰν μὴ διέλῃ εἰς αὐτοὺς ὁ διαθέμενος, ἐξ ἴσου καλοῦνται.

7. Ἐν δὲ τῷ ιγ' κεφ. Ἐνστησάμενος πέτρον καὶ τοὺς ἀδελφόπαιδάς μου, εἰ μὲν εἴπω· ἐξ ἴσων μερῶν, πάντες ἐξ ἴσου

---

[a] Τινές φασιν ὄνομα τὸ κύριον, χρηματισμὸν τὸ πατρῷον, ἐπώνυμον τὸ ἐκ συμβεβηκότος, οἷον εἰπεῖν ὁ γραμματικὸς, ὁ ῥάπτης, ὁ χωλός.

[b] Κυρίλλου. Τὸν παρὰ πολεμίοις υἱὸν καλῶς πραετεριτεύομαι.

[c] Κἂν ἐξ οἱασδήποτε δωρεᾶς ἢ λεγάτου ἢ δι' ἀποκαταστάσεως φειδικομίσσου ἢ ἄλλου οἱουδήποτε τρόπου τὴν ἐκ τῶν νόμων αὐτοῖς ὀφειλομένην μοῖραν παράσχοιεν.

κληρονομοῦσιν. εἰ δὲ μὴ εἴπω, πέτρος τὸ ἥμισυ λαμβάνει, καὶ οἱ ἀδελφόπαιδες τὸ ἥμισυ.

Εἴθισται μὲν τὴν κληρονομίαν εἰς ιβ΄ οὐγκίας διαιρεῖσθαι καὶ λέγονται λίτρα. δύναται δὲ ὁ διαθέμενος καὶ εἰς πλείους καὶ [εἰς] ἥττους αὐτὴν διελεῖν.

8. ['Εν δὲ τῷ λς΄ κεφ. Ἡ] δέσποινα τὸν ἐπὶ μοιχείᾳ αὐτῆς κατηγορούμενον δοῦλον ἀχρήστως πρὸ ψήφου γράφει ἐλεύθερον ἢ κληρονόμον.

9. Ἐν δὲ τῷ με΄ κεφ. θέμ. δ΄· Ὁ ἐν οἱῳδήποτε βαθμῷ γραφεὶς ἔνστατος ἢ ὑποκατάστατος ἐὰν μὴ κληρονομήσῃ, τὸ μέρος αὐτοῦ πᾶσι πρὸς τὰ κληρονομιαῖα μέρη προσαύξει, εἰ μή τινι ἦν συνημμένος. τότε γὰρ τῷ συνημμένῳ προσαύξει.

10. Ἐν δὲ τῷ νς΄ κεφ. Αἱ χάριν ἀμειβόμεναι[d] ἐνστάσεις οὐκ ἔῤῥωνται, οἷον· πέτρος ἐξ ὅσου[1] μέρους γράψει με κληρονόμον, ἔστω μου κληρονόμος.

Οὐδὲ αἱ εἰς τὸν παρελθόντα χρόνον συγκείμεναι ἐνστάσεις, οἷον· ἐξ ὅσου μέρους ἔγραψέ με πέτρος κληρονόμον, ἐκ τοσούτου ἔστω μου παῦλος κληρονόμος. οὐ μόνον δὲ εἰς τὸ πρόσωπον τοῦ διαθεμένου, ἀλλὰ καὶ εἰς ἕτερον γίνεται ἡ χάριν ἀμειβομένη ἔνστασις. οἷον· ἐὰν πέτρος γράψῃ παῦλον κληρονόμον, ἔστω μου κληρονόμος.

11. Ἐν δὲ τῷ ξς΄[2] κεφ. Εἰ καὶ ἐν κωδικέλλοις κληρονομία οὐ δίδοται, ὅμως ἐν αὐτοῖς δυνατὸν τὸ ὄνομα τοῦ κληρονόμου σαφηνίζειν, ὅταν ἐν διαθήκῃ εἴπω· κληρονόμος ἔστω, ὃν ἂν ἐν τοῖς κωδικέλλοις ποιήσω κληρονόμον. καὶ ὁ τοιοῦτος τὸ λεῖπον ταῖς ἐν τῇ διαθήκῃ διανεμηθείσαις ιβ΄ οὐγκίαις λαμβάνει.

12. Ἀνάγν. καὶ τί. ι΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Οἱ κληρονόμοι ἢ ἔνστατοι ἢ ὑποκατάστατοι λέγονται[e].

---

[d] Αἱ λεγόμεναι καπτατορίαι.

[e] Τὸ εἶδος τῆς κληρονομίας διττόν ἐστιν. ὁ γὰρ κληρονόμος ἢ ἔνστατός ἐστιν ἢ ὑποκατάστατος. καὶ ἔνστατος μέν ἐστιν ὁ αὐτίκα καὶ ἀμέσως καταλιμπανόμενος κληρονόμος, οἷον τὸ εἰπεῖν· πέτρος εἰς κληρονομίαν κύριος ἔστω. ὑποκατάστατος δὲ γίνεται κληρονόμος, ὅταν εἴπῃ ὁ διατιθέμενος· ἐὰν μὴ κληρονομήσῃ ὁ πέτρος ἢ κληρονομήσας ἄνηβος ἀποθάνῃ, ἔστω παῦλος κληρονόμος. καί ἐστιν ὑποκατάστατος ὁ ἐξ ἀποτυχίας τοῦ πρώτου κληρονόμου ἐρχόμενος.

Ἐστὶ καὶ ἕτερον εἶδος κληρονομίας, ὅταν κελευσθῇ τις παρὰ τοῦ διατι-

---

[1] Lips. ὅτου. [2] Leuncl. ξβ΄.

Ἡ δὲ ὑποκατάστασις ἢ ἁπλή ἐστιν, ὡς τὸ εἰπεῖν· ἐὰν μὴ κληρονομήσῃ πέτρος, ἔστω παῦλος κληρονόμος, ἢ διπλῆ, οἷον· εἴτε μὴ κληρονομήσει εἴτε κληρονομήσας ἄνηβος ἀποθάνῃ.

13. Ἐν δὲ τῷ β'[1] κεφ. Τοῖς ὑπεξουσίοις παισὶν ὑποκαθιστῶμεν, ἄῤῥεσι μὲν ἕως ιδ' ἐτῶν, θηλείαις δὲ ἕως ιβ'. καὶ ἐκγόνοις καὶ κυοφορουμένοις ὑποκαθιστῶμεν, ὅτε μὴ ὑπὸ τῶν ἰδίων γονέων προλαμβάνονται καὶ μέλλουσιν εἰς τὴν ἐξουσίαν αὐτῶν μεταπίπτειν. εἰ γὰρ τοῦτό ἐστι, δεῖ αὐτοὺς γράφεσθαι κληρονόμους ἢ ἀποκλήρους γίνεσθαι, ἐπεὶ ἐπαναβαίνοντες εἰς τὸ πρόσωπον τῶν γονέων ῥήσσουσι[2] τὴν αὐθεντικὴν καὶ συναφανίζεται ἡ ὀρφανική. καὶ ἐξωτικῷ ἀνήβῳ δύναμαι ὀρφανικῶς ὑποκαταστῆσαι, ἐὰν υἱοθετήσωμαι αὐτόν.

14. Ἐν δὲ τῷ λδ' κεφ. Πολλοὺς βαθμοὺς ὑποκαταστάσεων δυνατὸν ποιεῖν, καὶ ὕστερον δοῦλον ἀναγκαῖον· καὶ αὐτοὺς ἀλλήλοις, καὶ ἑκάστῳ ἕνα καὶ πολλοὺς ἑνὶ καὶ ἕνα πολλοῖς.

15. Ἐν δὲ τῷ λζ' κεφ. Ἔχων τὶς δύο ἐκγόνους τὸν ἕνα ὑπεξούσιον καὶ τὸν ἄλλον αὐτεξούσιον, καὶ βουλόμενος αὐτοὺς ἐξ ἴσου ποιῆσαι κληρονόμους καὶ ἀλλήλοις ὀρφανικῶς ὑποκαταστῆσαι, ἐπειδὴ τοῦ ἑνὸς ὄντος αὐτεξουσίου τοῦτο ποιεῖν οὐκ ἠδύνατο, τὸν μὲν ὑπεξούσιον ἔγραψεν εἰς ὁλόκληρον, λεγάτον δὲ παρ' αὐτοῦ τῷ ἑτέρῳ γινομένῳ ἐφήβῳ κατέλιπε τοῦ ἡμίσεος μέρους, καὶ ὑποκατέστησεν ὀρφανικῶς τῷ ὑπεξουσίῳ[3] τὸν ἕτερον.

Δυνατὸν ἕτερον μὲν ἰδιωτικῶς, ἕτερον δὲ ὀρφανικῶς ὑποκαθιστᾷν.

θεμένου εἰσελθεῖν εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ ἀποκαταστῆσαι ταύτην ἑτέρῳ, οἷον τῷ λουκίῳ. τότε γὰρ ὁ μὲν ἀξιωθεὶς κληρονομῆσαι λέγεται κληρονόμος καὶ παρακρατεῖ τὸ τρίτον τῆς οὐσίας, ὅπερ λέγεται φειδικόμισσον, ὁ δὲ λούκιος φειδικομισσάριος, διαδεχόμενος τὸ δίμοιρον τῆς οὐσίας.

Καταλιμπάνεταί τινι κληρονομία ὑπὸ αἵρεσιν, οἷον· πέτρος ἔστω μου κληρονόμος, ἐὰν ἡ ναῦς ἐξ ἀσίας ἔλθῃ ἢ ἐὰν ποιήσῃ τόδε τί. ἐστὶ καὶ δωρεὰ ὑπὸ αἵρεσιν, ὅταν εἴπω· δωροῦμαί σοι τόδε τὶ, ἐὰν ποιήσῃς τόδε, ἢ ἐὰν ἀποθάνω. καὶ ὑπὸ αἵρεσιν ἐπράθη τὸ ἐνέχυρον, ὅτε τιθεὶς τοῦτο εἴπω, ὅτι ἐὰν μὴ ἀποφλήσω τὸ χρέος κατὰ τὸν δεῖνα καιρὸν, πραθήτω μου τὸ ἐνέχυρον. καὶ ἁπλῶς ἔνθα τὶς ἢ δωρεῖταί τινι ἢ κληρονομίαν καταλιμπάνει, οὐκ εὐθὺς, ἀλλὰ μετὰ τὸ ποιῆσαι τόδε τὶ, προσκειμένου δηλαδὴ τοῦ ἐὰν, ὑπὸ αἵρεσιν ἡ τοιαύτη δωρεὰ ἢ κληρονομία λέγεται.

---

[1] Leuncl. ε'. [2] Leuncl. emendat: οὐ ῥήσσουσι τὴν αὐθεντικήν. εἰ γὰρ ῥήσσ. τὴν αὐθ. [3] Lips. αὐτεξ.

16. Ἐν δὲ τῷ λθ΄ κεφ. Οἱ ἀλλήλοις ὑποκαθιστάμενοι πρὸς ἀναλογίαν τῶν ἰδίων μερῶν λαμβάνουσι τὰ τῶν ἀτονούντων μέρη.

Ἐὰν ἀξιώσῃ τὸν ἄνηβον ὁ πατὴρ ἀποκαταστῆσαί τινι τὴν κληρονομίαν ἄνηβον τελευτῶντα, ἀναγκάζεται ὁ ἐξ ἀδιαθέτου κληρονομῶν τοῦ ἀνήβου παρακρατῶν τὸν φαλκίδιον ἀποκαταστῆσαι τὸ φιδεϊκόμισσον[f]. τὸ αὐτὸ γάρ ἐστι καὶ ἐπὶ ἐφήβου. ταῦτα εἰ ἔῤῥωται ἡ τοῦ πατρὸς διαθήκη. εἰ γὰρ ἀνίσχυρος, οὔτε ὡς κωδίκελλος κρατεῖ, εἰ μὴ ῥητῶς ὁ διαθέμενος εἴπῃ. ἐπὶ δὲ τῆς φιδεϊκομισσαρίας ἀποκαταστάσεως μόνα τὰ τοῦ πατρὸς οὐ μὴν καὶ τὰ τοῦ παιδὸς ἀποκαθίστανται.

Ἐάν τινας συνημμένως εἰς μέρος γράψω, καὶ εἰς τὸ ἄλλο ἑτέρους συνημμένως, καὶ εἴπω· τοὺς κληρονόμους μου ἀλλήλοις ἀποκαθιστῶ, τὸ τοῦ ἀτονοῦντος μέρος οἱ δύο συνημμένοι λαμβάνουσι· τούτων δὲ μὴ εὑρισκομένων[g] οἱ ἄλλοι καλοῦνται.

17. Ἐν δὲ τῷ μα΄ κεφ. θέμ. γ΄· Ἐὰν τὴν γαμετήν μου γράψας κληρονόμον ὑποκαταστήσω αὐτῇ τοὺς ἐμοὺς ὑπεξουσίους, ἀκυρουμένης τῆς ἐνστάσεως αὐτοὶ ὡς ἐκ διαθήκης ἔρχονται κληρονόμοι. οὐ γὰρ πᾶσα, ἀλλὰ μόνος ὁ βαθμὸς, ἐν ᾧ ἀμνημόνευτοι γεγόνασιν, ἀκυροῦται[h]. οἱ κληρονόμοι ὑποκαθιστάμενοι τῷ ἀνήβῳ πρὸς τὰ τῆς ἐνστάσεως μέρη καλοῦνται εἰς τὴν ὑποκατάστασιν.

18. Ἐν δὲ τῷ μγ΄ κεφ. Ἐὰν ἔχων παῖδα νόμιμον καὶ φυσικὸν ἕτερον κληρονόμους αὐτοὺς γράψω καὶ ὑποκαταστήσω ἀλλήλοις, ἰδιωτική ἐστιν. οὐ γὰρ ἠδυνάμην τῷ φυσικῷ ὀρφανικῶς ὑποκαθιστᾶν.

Ἐὰν ἀλλήλοις οἱ κληρονόμοι ὑποκαταστῶσι, καὶ ἀποθανόντων τινῶν ἕτερος παραιτήσηται τὸ μέρος αὐτοῦ, μόνοι οἱ περιόντες λαμβάνουσιν αὐτό.

19. Ἀνάγν. καὶ τί. ια΄, ἐν ᾧ διαλαμβάνεται περὶ φιδεικομισσαρίων ἀγωγῶν ἀποκαταστάσεως, οὗτινος ἐν τῷ η΄ κεφ. φησί· Τοῦ κληρονό-

---

f Φειδικόμισσον λέγεται τὸ πίστει τινὶ καταλιμπανόμενον ἤτοι τὸ διὰ μέσου τινὸς διδόμενον, οἷον πέτρου καὶ παύλου κληρονόμων καταλειφθέντων καὶ τοῦ πέτρου ὁρισθέντος νομίσματα ρ΄ χάριν λεγάτου λαβεῖν καὶ ἀποκαταστῆσαι τὸ μέρος αὐτοῦ τῷ μάρκῳ, σὺν τῷ ἰδίῳ μέρει τῆς κληρονομίας καὶ τὸ ἥμισυ τοῦ λεγάτου ἀποκαθίστησι τῷ μάρκῳ ἤγουν τὰ ν΄ νομίσματα· ἃ δὲ παρὰ τοῦ συγκληρονόμου αὐτοῦ τοῦ παύλου ἔλαβεν ἀπὸ τοῦ ὅλου λεγάτου ἕτερα ν΄ νομίσματα, παρακρατεῖ.

g Τουτέστι μὴ θελόντων ἢ μὴ καταδεχομένων.

h Σημείωσαι δικαίωμα ἰσχυρὸν τῶν ἀμνημονεύτων.

μου εὐλαβουμένου προσελθεῖν ἐὰν ὁ φιδεϊκομισσάριος λέγῃ· κινδύνῳ μου κληρονόμησον, ἀναγκάζεται, καὶ οὐ παρακρατεῖ τρίτον[1], εἴτε εὔπορός[2] ἐστιν ἡ κληρονομία εἴτε καὶ μή, καὶ οὐ περιεργαζόμεθα διὰ ποίαν αἰτίαν φοβεῖται προσελθεῖν ὁ κληρονόμος.

20. Ἐν δὲ τῷ θ' κεφ. Καὶ ὁ ἐν μεγάλῃ ὢν ἀξίᾳ ἢ αὐθεντίᾳ γραφόμενος κληρονόμος παρὰ κυνηγοῦ ἢ πόρνης καὶ ἀξιούμενος ἀποκαθιστᾷν ἀναγκάζεται.

21. Ἐν δὲ τῷ ιδ' κεφ.[3] Ἐν τῇ ἀποκαταστάσει τῆς κληρονομίας οἱ καρποὶ οὐ φέρονται, εἰ μὴ ὑπέρθεσις γέγονεν ἢ ῥητῶς αὐτοὺς ἐπετράπη ἀποκαταστῆσαι. λογίζεται δὲ εἰς φαλκίδιον.

Ὁ γὰρ ἀξιῶν ἀποκαταστῆναι κληρονομίαν ἐκεῖνο δοκεῖ λέγειν, ὅπερ ὑπάρχει τῆς κληρονομίας. οἱ δὲ καρποὶ οὐ τῇ κληρονομίᾳ, ἀλλὰ τοῖς πράγμασι λογίζονται.

Εἰ δὲ λεγάτῳ τιμηθεὶς ὁ κληρονόμος ἀξιωθῇ τὸ μέρος τῆς κληρονομίας ἀποκαταστῆσαι, τὸ λεγάτον καθ' ὅσον μὲν ἔλαβεν ἐκ τοῦ συγκληρονόμου παρακρατεῖ· ὅσον δὲ κατὰ τὴν οἰκείαν ἔνστασιν παρέσχεν, ἀποκαθίστησιν.

22. Ἐν δὲ τῷ λε' κεφ. Ἐν τῇ ἀποκαταστάσει τῆς κληρονομίας καὶ οἱ τόκοι καὶ τὰ ἐνοίκια ὡς καρποὶ καταφέρονται. καὶ οὐ διαφέρουσι τῶν λοιπῶν χρεῶν τῶν ὑπὸ αἵρεσιν ἢ κατ' ἐνιαυτὸν ἢ μῆνα κεχρεωστημένων. καὶ οὓς μὲν ἔλαβεν ὁ κληρονόμος μὴ ποιήσας περὶ τὴν ἀποκατάστασιν ὑπέρθεσιν, οὐκ ἀπαιτεῖται. εἰ δὲ οἷα [νῦν] ἐστιν ἡ κληρονομία ἐπιζητεῖ ὁ τὴν ἀποκατάστασιν ἀξιωθεὶς ἀποκαταστῆσαι, ὀφείλει ἀκούεσθαι. καὶ ταῦτα μὲν περὶ ὧν ὁ διαθέμενος ἐπηρώτησε τόκων ἢ ἀγροὺς ἐγεώργησεν. [εἰ γὰρ αὐτὸς ὁ κληρονόμος ἐδάνεισεν ἢ ἐγεώργησεν], ἐπειδὴ ἰδίῳ κινδύνῳ δανείζει καὶ δαπανᾷ περ τὴν γεωργίαν, οὐδὲν τούτων ἀποκαθίστησι τῷ φιδεϊκομισσαρίῳ μὴ ποιήσας ὑπέρθεσιν.

23. Ἐν δὲ τῷ μδ'[4] κεφ. Ἐὰν μέρος κληρονομίας καταλειφθῇ μοι καί τινα πράγματα τῆς κληρονομίας ἀφέλωμαι, ἐπ' αὐτοῖς ἀγωγὴν οὐκ ἔχω.

24. [Ἐν δὲ τῷ με' κεφ.] Ὅτε κληρονομία μέλλει ἀποκαθίστασθαι καὶ ἀπολιμπάνεται ὁ ἀξιωθεὶς αὐτῆς, αἱ κινδυνεύ-

---

[1] Leuncl. conj. τέταρτον, Heimb. τὸ τρίτον. Uterque male. [2] Leuncl. ἄπορος. [3] Lips. ad marginem adscribit locum Theophili II, 17 §. 7. 8. Idem mox adscribit locum Theoph. II, 18 § 5. 6. [4] Lips. μς'.

ουσαι τῷ χρόνῳ φθαρῆναι ἀγωγαὶ κατὰ τοῦ κληρονόμου προκατάρχονται. εἰ δὲ καὶ ὁ υἱὸς διασκέπτεται, ἢ[1] ὀφείλει κινῆσαι κατὰ τῆς τοῦ πατρὸς διαθήκης τὴν ὑπεναντίωσιν, ὁ γεγραμμένος ἐνάγεται παρὰ[2] τῶν δανειστῶν.

25. Ἐὰν ὁ πατὴρ ἀξιωθεὶς ἀποκαταστῆσαι τῷ υἱῷ γενομένῳ αὐτεξουσίῳ πολλὰ πρὸς περιγραφὴν τῆς ἀποκαταστάσεως ποιήσῃ, ἐπειδὴ ἀσφάλεια οὐ δίδοται διὰ τὸν τῆς ὑπεξουσιότητος λόγον, ἀναγκάζεται καὶ ὑπεξουσίῳ ὄντι τὴν κληρονομίαν ἀποκαταστῆσαι, καὶ μηδὲν ἔχειν ἐπ᾽ αὐτὴν[3] δίκαιον ἐφ᾽ ὅσον ὁ υἱὸς περίεστι. καὶ ἔοικεν ὁ υἱὸς ἐν τούτῳ τῷ στρατιώτῃ εἰς τὸ ἐνάγειν τοῖς χρεώσταις καὶ ἐνάγεσθαι. πενόμενον δὲ τὸν πατέρα ἐκ τῶν καρπῶν καὶ προσόδων τῆς κληρονομίας ἀποτρέφει.

26. Ἐν δὲ τῷ νγ᾽ κεφ. Ἐὰν ἀξιωθῶ χωρὶς τῶν καρπῶν ἀποκαταστῆσαι μετὰ θάνατόν μου κληρονομίαν, οὐ δύναμαι τοὺς τοκετοὺς τῶν κληρονομιαίων θεραπαινῶν λαβεῖν, οὔτε τὰς γονὰς τῶν θρεμμάτων, ἃς ἐχρῆν ὑποβληθῆναι τῇ ἀγέλῃ.

Ἐπὶ τῶν ὑπὸ ἡμέραν ἀποκαταστάσεων, ὅσους τόκους ἢ καρποὺς ἢ μισθοὺς κτημάτων πρὸ τῆς ἡμέρας λάβῃ ὁ κληρονόμος, εἰς φαλκίδιον λογίζεται.

27. Ἐν δὲ τῷ οα᾽ κεφ. Ἐν κωδικέλλοις γενομένη ὀρφανικὴ ὑποκατάστασις, εἰ καὶ ἄκυρός ἐστι διὰ τὸ μὴ δύνασθαι κληρονομίαν ἐν κωδικέλλοις δίδοσθαι ἢ ἀφαιρεῖσθαι, ὅμως ὡς ἀποκατάστασις ἰσχύει. εἰ δὲ δύο ὄντες οἱ ὑποκατάστατοι ἀμοιβαδὸν ἀλλήλοις ὑποκατέστησαν, κρατεῖ καὶ ἐν τῇ ἀποκαταστάσει ἡ ὑποκατάστασις, καὶ τοῦ ἑνὸς τελευτήσαντος ὁ ἕτερος ὁλόκληρον ἀπαιτεῖ τὸ φιδεϊκόμισσον.

28. Ἀνάγν. καὶ τί. ιβ᾽, ἐν ᾧ διαλαμβάνεται περὶ αἱρετικῶν ἐνστάσεων, οὗτινος ἐν τῷ θ᾽ κεφ. φησίν· Αἱ παρὰ τὰ χρηστὰ ἔθη αἱρέσεις συγχωροῦνται, ὡς τὸ μὴ ἀναρρύσασθαι τὸν πατέρα ἀπὸ αἰχμαλωσίας, ἢ μὴ θρέψαι πατέρα ἢ πάτρωνα.

29. Ἐν δὲ τῷ ιδ᾽ κεφ. Αἱ παράνομοι καὶ καταγέλαστοι αἱρέσεις περιαιροῦνται τῶν ἐνστάσεων καὶ τῶν λεγάτων, καὶ χωρὶς αἱρέσεως ταῦτα παρέχονται.

30. Ἐν δὲ τῷ ιε᾽ κεφ. Ἡ παράνομος αἵρεσις ἐπικλασθεῖσα ὑπεξουσίῳ υἱῷ ἀκυροῖ τὴν διαθήκην, ὡς μὴ οὖσα ἐξουσιαστική. τὰ γὰρ βλάπτοντα τὴν εὐσέβειαν ἢ τὴν ὑπόληψιν ἡμῶν ἢ τὴν αἰδῶ, καὶ ἁπλῶς τὰ παρὰ τοὺς ἀγαθοὺς τρόπους οὐδὲ πιστευόμεθα δύνασθαι ποιεῖν.

---

[1] Lege εἰ. [2] Lips. κατά. [3] Heimb. conj. αὐτῇ.

31. Ἐν δὲ τῷ κϛʹ κεφ. Τῷ χωρὶς αἱρέσεως ἐν διαθήκῃ γραφέντι κληρονόμῳ οὐ δύναται ἐν κωδικέλλοις αἵρεσις ἐπιτίθεσθαι, διὰ τὸν κανόνα τὸν λέγοντα· κληρονομία ἐν κωδικέλλοις οὔτε δίδοται οὔτε ἀφαιρεῖται.

32. [Ἐν δὲ τῷ λʹ κεφ. Ἡ] γραφεῖσα ὑπὸ αἵρεσιν παρὰ τῆς μητρὸς κληρονόμος τήν· ἐὰν τῷ τρισεξαδέλφῳ γαμηθῇ, πληρούτω πάντως τὴν αἵρεσιν· οὐ γὰρ αἰσχρός ἐστιν ὁ γάμος· εἰ μὴ ἄρα ἐκεῖνος ἐμποδίζῃ.

33. Ἀνάγν. καὶ τί. ιγʹ, ἐν ᾧ διαλαμβάνεται περὶ ἐνστάτων καὶ ὑποκαταστάτων, οὗτινος ἐν τῷ θʹ κεφ. φησί· Τὴν τῆς ἀπαιδίας αἵρεσιν καὶ ὁ ἀπελεύθερος υἱὸς ἀποκλείει. καὶ αὐτὸς γὰρ υἱὸς νοεῖται, ἐὰν δειχθῇ περὶ αὐτοῦ εἰπὼν ὁ διαθέμενος.

34. Ἐν δὲ τῷ ιηʹ κεφ· Τῷ κωλυομένῳ κληρονομεῖν μηδὲ διὰ οἰκέτου κληρονομία προσποριζέσθω.

35. Ἐν δὲ τῷ κγʹ κεφ. Ἐάν τις γράψῃ κληρονόμους ἐξ ἀνίσων μερῶν καὶ ἀμοιβαδὸν αὐτοὺς ἀλλήλοις ὑποκαταστήσῃ, μὴ ἐκφωνήσῃ δὲ τὸ μέρος τῆς ὑποκαταστάσεως, οὕτω καλοῦνται εἰς τὴν ὑποκατάστασιν, ὡς ἐκλήθησαν ἐν τῇ ἐνστάσει.

36. Ἐν δὲ τῷ κηʹ κεφ. Πολλῶν ἐνσταθέντων κληρονόμων καὶ ἀλλήλοις ὑποκαταστάντων, τὰ τῶν παραιτουμένων μέρη καὶ ἄκουσι προσκυρούσθω τοῖς τὴν κληρονομίαν καταδεξαμένοις.

37. Ἐν δὲ τῷ λθʹ κεφ. Ἡ διάταξις λέγει, ὅτι αὐτῷ τῷ γραφῆναι κληρονόμος ὁ δοῦλος, εἰ καὶ μὴ προσετέθη αὐτῷ ἡ ἐλευθερία, σιωπηρῶς αὐτὴν ἔχει. οὐκοῦν ὡς σὺν ἐλευθερίᾳ γραφεὶς κληρονόμος ἀνισχύρως ἐλεγατεύθη, καὶ οὐδὲ προσπορίζει τὴν κληρονομίαν τῷ λεγαταρίῳ, ἀλλὰ γίνεται ἐλεύθερος καὶ κληρονόμος.

Ἔγραψέ τις ἐν διαθήκῃ τὸν δοῦλον δίχα ἐλευθερίας κληρονόμον, ἐν κωδικέλλοις δὲ κατέλειψεν αὐτῷ τὴν ἐλευθερίαν. λέγει ἡ διάταξις, ὅτι ἔδοξε διὰ τῆς ἐνστάσεως καὶ τὴν ἐλευθερίαν ἔχειν ἐν διαθήκῃ. καὶ οὐ δεόμεθα αὐτῆς τῆς ἀμφισβητήσεως περὶ τοῦ εἰ γίνεται ἐκ τῶν κωδικέλλων ἐλεύθερος· ἤδη γὰρ ἐκ τῆς διαθήκης ἠλευθερώθη. εἰ μέντοι λεγάτον ἢ φιδεϊκόμισσον δίχα ἐλευθερίας καταλειφθῇ, οὐ δοκεῖ σιωπηρῶς μετὰ τοῦ λεγάτου καὶ ἡ ἐλευθερία δίδοσθαι τῷ οἰκέτῃ.

38. Ἀνάγν. καὶ τί. ιδʹ, οὗτινος ἐν τῷ αʹ κεφ. φησίν· Ὁ δυνάμενος κτήσασθαι πᾶσαν τὴν κληρονομίαν ἐκ μέρους κληρονομεῖν οὐ δύναται.

39. *Καὶ ἐκ πολλῶν μερῶν ἐν τῇ αὐτῇ διαθήκῃ γραφεὶς οὐ δύναταί τινα καταδέχεσθαι καί τινα παραιτεῖσθαι.*

40. Ἐν δὲ τῷ ιγ' κεφ. *Ἐγχειρίζει κληρονομίαν ὁ πράττων τὶ ὡς κληρονόμος. τοῦτο δὲ οὐκ ἐκ τοῦ φάκτου, ἀλλ' ἐκ τοῦ λογισμοῦ τοῦ χειρίσαντος κρίνεται. ὁ γὰρ δι' εὐσέβειαν ἢ φυλακήν τι ποιῶν ἐν τῇ κληρονομίᾳ, τυχὸν θάπτων τὸν διαθέμενον ἢ τρέφων τοὺς δούλους ἢ τὰ ἄλογα, ἢ πιπράσκων τὰ εὔφθαρτα, ἢ μισθῶν ἢ ἀνορθῶν, ἴσως ἐπὶ προνοίᾳ ἑαυτοῦ διασκεπτομένου ἢ τοῦ ὑποκαταστάτου ἢ τοῦ ἐξ ἀδιαθέτου, οὐ δοκεῖ ἐγχειρίζειν τὴν κληρονομίαν. τοιγαροῦν ἀναγκαῖοι κληρονόμοι καὶ διαμαρτύρασθαι εἰώθασιν, ὅτι οὐχ ὡς κληρονόμοι χειρίζουσιν, ἀλλὰ διά τινας τῶν εἰρημένων αἰτιῶν ἢ ὡς ἴδια. εἰ δέ τι καὶ ὡς κληρονόμος μὲν ἀπήτησε, τοιοῦτον δὲ ὅπερ εἰς ἐξωτικὸν οὐ διαβαίνει κληρονόμον, οὐ δοκεῖ ἐγχειρίζειν τὴν κληρονομίαν· τυχὸν γὰρ ἀπήτησεν ὑπηρεσίας πατρῴους ἀπελευθέρους· ἐπειδὴ καὶ δανεισταῖς ἡ τούτων ἀπαίτησις ἁρμόζει, καὶ μάλιστα τοῦ μέλλοντος χρόνου. οὔτε θάπτων ἐν τοῖς κληρονομιαίοις τάφοις ὑποβάλλεται τοῖς δανεισταῖς.*

41. Ἐν δὲ τῷ ιε' κεφ. *Ἐγχειρίζει τὴν κληρονομίαν καὶ ὁ τῷ μὴ κληρονομιαίῳ πράγματι ὡς κληρονομιαίῳ χρώμενος.*

Τότε ἐγχειρίζων τὴν κληρονομίαν τὶς ἐνέχεται, ὅτε τοῦτο πράξει κατενεχθείσης αὐτῷ τῆς κληρονομίας. ἐξ ὧν γὰρ αἰτιῶν παραιτούμενοι οὐδὲν ἀνύομεν, ἐκ τῶν αὐτῶν οὔτε ἐγχειρίζοντες τὴν κληρονομίαν ἀνύομεν.

42. Ἐν δὲ τῷ κθ' κεφ. *Ὁ κληρονόμος ὁλοκλήρου δικαίου διάδοχός ἐστι, καὶ εἰς αὐτὸν αἱ ἀγωγαὶ μετέρχονται.*

43. Ἐν δὲ τῷ λ' κεφ. *Δύο ἀναγκαίων ὄντων μετὰ τὸ ἀποστῆναι τὸν ἕνα ὁ ἄλλος καταδεχόμενος οὐ δύναται παραιτεῖσθαι, μὴ πᾶσιν ὑποκεῖσθαι τοῖς βάρεσιν.*

44. Ἐν δὲ τῷ ξβ' κεφ. *Ὁ ἐκ πολλῶν μερῶν μόνος γραφεὶς κληρονόμος οὐ δύναταί τινα παραιτεῖσθαι, εἰ καὶ ἔν τισιν ὑποκατάστατον ἔχει. τὸ αὐτὸ κἂν μὴ μόνος ἐγράφη.*

45. Ἐν δὲ τῷ ξζ' κεφ. *Ψυχῇ τις ἐγχειρίζει τὴν κληρονομίαν, κἂν μὴ ἅψηται κληρονομιαίου πράγματος. ὅθεν ἐὰν ἐνέχυρον ἐν τῇ κληρονομίᾳ ὂν ἢ ἀλλότριον πρᾶγμα ὡς κληρονομιαῖον κατάσχῃ, ἐγχειρίζειν τὴν κληρονομίαν δοκεῖ.*

46. Ἐν δὲ τῷ ογ' κεφ. *Ὁ υἱὸς καταβαλὼν χρέος κληρονομιαῖον ἔδοξε κατὰ τὸ ἀνῆκον αὐτῷ μέρος καταδέχεσθαι τὴν τοῦ πατρὸς κληρονομίαν.*

47. [Ἐν δὲ τῷ οδ' κεφ. *Ἐὰν ὑπεξουσίῳ κατενεχθῇ κληρο-*

νομία, καὶ ὁ πατὴρ κατὰ γνώμην αὐτοῦ ἐγχειρίσῃ τοῦ κληρονομεῖν, οὕτως ἐστὶν ὡσανεὶ αὐτὸς ὁ υἱὸς κελεύσει τοῦ πατρὸς κατεδέξατο τὴν κληρονομίαν.]

48. [Ἐν δὲ τῷ οθʹ κεφ.] Ὁ μείζων τῶν κεʹ ἐτῶν ἅπαξ καταδεξάμενος τὴν τοῦ πατρὸς κληρονομίαν οὐδὲ παραιτεῖσθαι δύναται τὴν κληρονομίαν ἅπαξ καταδεξάμενος, οὐδὲ φεύγειν τὰς τῶν δανειστῶν ἐναγωγὰς ἐκ τοῦ λέγειν [ὅτι] ὁ ἀδελφὸς βίαν αὐτῷ ποιεῖ καὶ ἁρπάζει τὸ μέρος αὐτοῦ ἤτοι τὴν διαθήκην· ἀλλ' ἐνάγεται κατὰ τὰ μέρη τῆς κληρονομίας.

49. Ἀνάγν. καὶ τί. ιεʹ, οὗτινος ἐν τῷ αʹ κεφ. φησίν· Ὁ ὢν ἔνστατος καὶ ὑποκατάστατος οὐ δύναται παραιτεῖσθαι τὴν ἔνστασιν καὶ κληρονομῆσαι ἀπὸ τῆς ὑποκαταστάσεως.

50. Ἐν δὲ τῷ κʹ[1] κεφ. Υἱοῦ καὶ θυγατρὸς ὑπεξουσίων γραφομένων κληρονόμων, καὶ αὐτεξουσίου ἀμνημονεύτου γεγονότος καὶ μὴ αἰτήσαντος κατὰ τῆς διαθήκης ἐναντίωσιν[i], ἐὰν ἐξ ἀδιαθέτου νεμηθῶσι, πᾶσι διδόασι τὰ λεγάτα.

51. Ἐν δὲ τῷ κςʹ κεφ. Καὶ ὁ μὴ γεγραμμένος κληρονόμος, ἐὰν συμπαίξας τοῖς γεγραμμένοις μόνος ἐξ ἀδιαθέτου νέμηται, δίδωσι τὰ λεγάτα.

52. [Ἐν δὲ τῷ κθʹ κεφ.] Ὁ παραιτησάμενος καὶ νεμόμενος ἐξ ἀδιαθέτου τὰς ἐλευθερίας δίδωσιν. αὐτοῦ δὲ γίνονται ἀπελεύθεροι.

53. Ἀνάγν. καὶ τί. ιηʹ, ἐν ᾧ φησι περὶ κληρονόμων διασκέψεως, οὗτινος ἐν τῷ αʹ κεφ. φησί· Μητρὸς τελευτησάσης ἐπὶ ἀνήβῳ θυγατρί, εἰ ἀποθάνῃ μετὰ ιςʹ ἡμέρας ἢ ἐλάττονας ἢ καὶ πλείονας ἡ κόρη, παραπέμπεται ἐπὶ τοὺς κληρονόμους αὐτῆς τὸ τῆς διασκέψεως δίκαιον.

54. Ἀνάγν. καὶ τοῦ ιγʹ τί. κεφ. βʹ, ἐν ᾧ φησιν· Ἐν τῷ δικαστῇ ἐστιν ὁρίσασθαι τὸν χρόνον τῆς διασκέψεως, ὡς μέντοι μὴ ἐλαττῶσαι τὰς ρʹ ἡμέρας.

Ἔσθ' ὅτε δὲ μὴ ἀρκοῦντος τοῦ πρώτου χρόνου δίδοται δεύτερος.

Τοῦτο δὲ ἀπὸ μεγάλης αἰτίας.

55. [Καὶ κεφ. δʹ, ἐν ᾧ φησιν· Ἐὰν ὀνόματι ἀνήβου διάσκεψις αἰτῆται, κωλύεται ἡ ἐκποίησις τῶν πραγμάτων. ὁ δὲ κωλυόμενος ἐκποιεῖν οὔτε ἀγωγὴν κινῆσαι δύναται.]

---

i Ἡ κατὰ τῆς διαθήκης ἐναντίωσις παρὰ τοῦ ἀμνημονεύτου κινεῖται, ἡ δὲ μέμψις παρὰ τοῦ ἔλαττον τοῦ φαλκιδίου λαμβάνοντος.

---

1 Lips. ηʹ.

56. *Καὶ κεφ. ζ', ἐν ᾧ φησι·* Διασκεπτόμενος ὁ υἱὸς ἐκ τῆς κληρονομίας ἀποτρέφεται.

57. *Ἀνάγν. καὶ τοῦ ιδ' τί. κεφ. ϛ', ἐν ᾧ φησιν*[k]· Ὅτε κληρονομία πρός τινα εἴτε ἐκ διαθήκης εἴτε ἐξ ἀδιαθέτου κατενεχθῇ, εἴτε ἐξ ὁλοκλήρου εἴτε ἐκ μέρους, εἰ μὲν ὀρθῇ ὁδῷ καταδέξασθαι βούλεται τὴν κληρονομίαν καὶ ἐλπίδι φανερωτάτῃ τοῦτο ποιήσει, καὶ ἑαυτῷ[1] ἐμμίξει ἵνα μὴ ὕστερον ταύτην ἀποπέμψηται, οὐδεμιᾶς χρῄζει ἀπογραφῆς, ἐπειδὴ πᾶσι τοῖς δανεισταῖς καὶ λεγαταρίοις κατέχεται ὡς τῆς κληρονομίας αὐτῷ ἐξ οἰκείας βουλήσεως ἐμπαγείσης.

58. *Ἀνάγν. καὶ τί. κ', οὗτινος ἐν τῷ α' κεφ. φησί*[l]· Θεσπίζομεν, εἴ τις βούλοιτο τὰ οἰκεῖα πράγματα τοῖς παισὶ διελεῖν ἢ πάντα ἢ καί τινα τυχὸν καταλιπεῖν ἐξαίρετα, ταῦτα, μάλιστα μὲν εἰ δυνατὸν εἴη, λεγέτω ἐν τῇ διαθήκῃ καὶ ἀναμφισβήτητον διδότω τοῖς παισὶ τὴν ἐντεῦθεν ὠφέλειαν. εἰ δὲ τοῦτο οὐ πράττει διά τινας ἀναγκαίας αἰτίας[2], αἳ πολλαὶ περιεστᾶσιν ἀνθρώποις, ἀλλ' ἔξεστι νεμήσεις ποιήσασθαι τῶν πραγμάτων, ἅπερ ἂν διανεμηθῆναι βουληθείη, καὶ ὑποσημήνασθαι πάσαις ἢ αὐτὸν ἢ τοὺς παῖδας ἅπαντας ὑπογράψαι παρασκευάσαι[3], ὧν μεταξὺ τὰ πράγματα διαιρεῖ, κἀντεῦθεν τῷ πράγματι δοῦναι πίστιν ἀναμφισβήτητον. καὶ τὸ κατὰ τοῦτο γινόμενον σχῆμα κύριόν τε ἔστω καὶ ἰσχυρὸν καὶ ἑτέρας οὐ δεόμενον ἀσφαλείας.

---

k *Οἱ κληρονομοῦντες ἢ ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου κληρονομοῦσιν· υἱὸς δὲ ἢ θυγάτηρ καὶ οἱ κατώτεροι τοῦ βαθμοῦ καὶ οἱ ἐξστράνεοι οὐκ ἀναγκάζονται εἰσελθεῖν ἐπιζήμιον κληρονομίαν. οὐκοῦν πρὸ ἀδιτίονος ὀφείλουσι ζητεῖν διάσκεψιν περὶ τῆς κληρονομίας εἴσω λ' ἡμερῶν παρόντων ἔγγιστα τῶν πραγμάτων· εἰ δέ εἰσιν ἔξω τῆς ἐπαρχίας, εἴσω ξ'. εἰ δὲ ἀμφιβάλλουσι περὶ τῆς κληρονομίας ἀγνοοῦντες τὴν ταύτης ποσότητα, ποιείτωσαν ἴμβεντον πρὸ τῆς ὑπεισελεύσεως πάντων τῶν πραγμάτων, καὶ ἀρχέτωσαν τούτου εἴσω λ' ἡμερῶν καὶ πληρούτωσαν εἴσω ἄλλων ξ' ἡμερῶν μετὰ τὴν ἄνοιξιν τῆς διαθήκης ἢ μετὰ τὸ γνῶναι τὴν ἀλήθειαν περὶ τοῦ κλήρου, εἰ ἐπικέρδης ἐστὶν ἢ ἐπιζήμιος, ποιοῦντες ταύτην τὴν παρατήρησιν καὶ ἀκρίβειαν ἐνώπιον ταβουλλαρίου καὶ ἀξιολόγων ἀνδρῶν. καὶ εἰ μὲν ὑπεισέλθωσι ταύτην, ἀποκρίνονται πᾶσι δανεισταῖς μὴ δυνάμενοι παραιτήσασθαι. εἰ δὲ παραιτήσονται, οὐκέτι δύνανται ὡς μετάμελοι πάλιν κληρονομῆσαι πλὴν τῶν ἀνήβων.*

l *Περὶ διανεμήσεως ἀνάγνωθι νεαρὰν ρζ'.*

---

1 Leuncl. emendat *ἑαυτόν*. 2 Leuncl. *διά τινας ἀνάγκας*. 3 Leuncl. *παρασκευάσας*.

59. *Ἀνάγν. καὶ βι. μα'*[1] *τί. δ', ἐν ᾧ καὶ περὶ φαλκιδίου διαλαμβάνεται. ἐν δὲ τῷ α' καὶ ε' καὶ ς' αὐτοῦ κεφ. φησίν·* Ὅτι ὁ βουλόμενος ὑπεισελθεῖν ἢ παραιτήσασθαι τὴν κληρονομίαν, ἐντὸς ἐνιαυτοῦ τοῦτο ὀφείλει ποιεῖν καὶ πληροῦν ἐκ παντὸς τρόπου τὴν γνώμην τοῦ τελευτήσαντος. εἰ γάρ τις ἐκ ψήφου δικαστικῆς ὑπομνησθεὶς ἐνιαυτὸν ὅλον ἑλκύσει μὴ πράττων τοῦτο ὃ προσετάχθη, εἰ μέν τις ἐκείνων εἴη τῶν ἀναγκαστικῶς ἐκ τοῦ νόμου τὶ λαμβανόντων, εἰς πλέον δὲ ἢ καθ' ὅσον ὁ νόμος αὐτῷ δίδωσι[2] γέγραπται κληρονόμος, τοσοῦτον αὐτὸν λαμβάνειν μόνον, ὁπόσον ὁ νόμος αὐτῷ δίδοσθαι κατὰ τὴν τρίτην τῶν ἐξ ἀδιαθέτου μοῖραν συγχωρεῖ[3], τὸ δὲ ἄλλο σύμπαν ἀφαιρεῖσθαι. εἰ δὲ μὴ εἴη τοιοῦτον πρόσωπον, καὶ τὸ προστεταγμένον εἴσω τοῦ ῥηθέντος οὐ πληρώσειε χρόνου, οὐδ' ὁτιοῦν λήψεται τῶν καταλελειμμένων αὐτῷ. ἀρχὴν δέ φησι τοῦ ἐνιαυτοῦ δίδομεν τὴν ἐκ δικαστικῆς ὑπόμνησιν ψήφου. ἀνήβοις δὲ καὶ ἐλάττοσιν οὐδὲν ὁ παρὼν προκρίνει νόμος.

60. *Ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ α' κεφ. φησί·* Τῆς κατὰ τῆς διαθήκης ἐναντιώσεως αἰτουμένης οἱ αὐτεξούσιοι μόνοις τοῖς ὑπεξουσίοις συνεισάγουσι. καὶ διὰ τοῦτο ἐὰν ἀποθάνω καταλιπὼν οὐσίαν τετρακοσίων[4] νομισμάτων, καὶ δύο παῖδας ὑπεξουσίους καὶ δύο αὐτεξουσίους, δικαίῳ μὲν κληρονομίας ἕκαστος τῶν παίδων ρ' λαμβάνει. ὅσα δὲ τῶν αὐτεξουσίων ἕκαστος ἔχει, εἰς τρία μέρη ποιεῖ, καὶ τὸ μὲν τρίτον αὐτὸς λαμβάνει, τὸ δὲ δίμοιρον οἱ ὑπεξούσιοι.

61. *Ἐν δὲ τῷ ε' κεφ.* Ὁ αὐτεξούσιος, κἂν αἰτήσῃ τὴν κατὰ τῆς διαθήκης τοῦ πατρὸς ἐναντίωσιν, οὐ συνεισάγει τὴν προῖκα ἣν ὑπὲρ τῆς οἰκείας ἐπέδωκε θυγατρός. αὐτῆς γάρ ἐστιν ἡ οὐσία καὶ οὐ τοῦ ἐπιδεδωκότος.

62. *Ἐν δὲ τῷ ιγ' κεφ. θέμ. γ'·* Ἐὰν ὕπεστιν ἔκγονος καὶ ἐκγόνη ἐκ τοῦ αὐτοῦ πατρὸς, καὶ θεῖος, ἡ ἐκγόνη τὴν προῖκα μόνῳ τῷ ἀδελφῷ αὐτῆς συνεισάγει. εἰ δὲ ἦν αὐτεξουσία, καὶ τὰ λοιπὰ αὐτῆς πράγματα συνεισάγει αὐτῷ. εἰ δὲ μὴ εἶχεν ἀδελφὸν, τῷ θείῳ καὶ τοῖς ἐξ ἑτέρου θείου ἀνεψιοῖς συνεισάγει. αἱ δὲ ἀπὸ διαφόρων πατέρων ἔκγονοι καὶ ἀλλήλοις καὶ τῷ θείῳ συνεισάγουσιν· αἱ δὲ ἀπὸ τοῦ πατρὸς μόναις ἀλλήλαις.

Προικὸς συνεισαγομένης ὑπεξαιροῦνται τὰ περὶ αὐτὴν γινόμενα ἀναγκαῖα δαπανήματα, οὐ μὴν τὰ λοιπά.

---

[1] Lips. et Leuncl. *μδ'*. [2] Leuncl. *δίδοσθαι*. Idem *βούλεται* supplet.
[3] Lips. *δίδωσι — συγχωροῦμεν*. [4] Lips. *πεντακοσίων*.

63. Ἐν δὲ τῷ ιζ' κεφ. Τὸν αὐτεξούσιόν μου υἱὸν ἔγραψα κληρονόμον, ἀπόκληρον ποιήσας τὴν θυγατέρα μου. καὶ κινήσασα τὴν περὶ διαθήκης μέμψιν τὸ ἥμισυ τῆς κληρονομίας ἔλαβεν. οὐ συνεισάγει αὐτῇ ὁ υἱός[1]. καὶ αἱ δοθεῖσαι γὰρ ἐν τῇ τοιαύτῃ διαθήκῃ ἐλευθερίαι ἔῤῥωνται[m].

64. Ἐν δὲ τῷ ιθ' κεφ. Ἐάν τις ἔχων δύο παῖδας τὸν ἕνα ἐξ αὐτῶν αὐτεξούσιον ποιήσῃ, τὸν δὲ ἕτερον μείνῃ ἔχων ὑπεξούσιον καὶ τελευτήσῃ, κληρονομῶν ὁ αὐτεξούσιος ἐκ τῆς παρὰ τοῦ πραίτωρος διδομένης τοῖς ὑπεξουσίοις καὶ αὐτεξουσίοις διακατοχῆς ἀναγκάζεται ὅσα ἔσχε μετὰ τὴν αὐτεξουσιότητα, οὐκ ἔμελλε δὲ ἔχειν εἰ ἔμεινεν ὑπεξούσιος ἀλλὰ προσπορίζειν, τουτέστι τὰ ἐκ τοῦ πατρὸς δωρηθέντα καὶ τὴν χρῆσιν τῶν καρπῶν, συνεισενεγκεῖν τῷ ἀδελφῷ τῷ ἰδίῳ. εἰ δὲ καὶ ἀμνημόνευτος γένηται καὶ ἔλθῃ ὡς ἀπὸ τῆς κατὰ διαθήκης ἐναντιώσεως διακατοχῆς, πάλιν ἀναγκάζεται συνεισενεγκεῖν. ἐὰν δὲ γραφῇ κληρονόμος καὶ ὡς κληρονόμος κατάσχῃ μέρος τῆς οὐσίας, καὶ οὕτως ἀναγκάζεται τὰ ἴδια κέρδη συνεισενεγκεῖν. εἰ μὴ ἄρα ἐν τῇ διαθήκῃ αὐτοῦ ἰδικῶς ἐκέλευσεν, ὥστε αὐτὸν μὴ συνεισενεγκεῖν καὶ κληρονομῆσαι.

65. Ἐν δὲ τῷ κα' κεφ. Πατὴρ προικίζων τὴν ἰδίαν θυγατέρα σύμφωνον ἐνέθηκεν ἐν τῷ προικῴῳ συμβολαίῳ τοιοῦτον, ὥστε αὐτὴν ἀρκεσθῆναι τῇ προικὶ καὶ μηκέτι ζητῆσαί τι ἀπὸ τῶν πατρῴων πραγμάτων ἀδιαθέτου τελευτῶντος αὐτοῦ. λέγει οὖν ἡ διάταξις, ὅτι ἄχρηστόν ἐστι τοῦτο τὸ σύμφωνον. καὶ οὕτω γὰρ κληρονομεῖ τὸν πατέρα ἀδιάθετον, ἀναγκάζεται δὲ τὴν προῖκα τὴν ὑπὲρ αὐτῆς δοθεῖσαν συνεισενεγκεῖν τοῖς ἀδελφοῖς αὐτῆς τοῖς μείνασι τοῦ πατρὸς ὑπεξουσίοις.

66. Ἐν δὲ τῷ κγ' κεφ. Οἱ αὐτεξούσιοι παῖδες ἐκεῖνα συνεισφέρουσι τοῖς ἀδελφοῖς τοῖς ἰδίοις, ὅσα εἶχον ἐν καιρῷ τῆς τελευτῆς τοῦ ἰδίου πατρός[n]. εἴ τι δὲ μετὰ ταῦτα ἐπεκτή-

---

[m] Σημ. ὅτι καὶ ἐκ διαθήκης συνεισφορὰ γίνεται, ὥς φησιν ἡ ϛζ' νεαρά. τὸ παλαιὸν δὲ μόνον ἐπὶ τῶν ἀδιαθέτως τελευτώντων ἐγίνετο.

[n] Τὸ παλαιὸν πάντα προσεπόριζον, οὐκοῦν καὶ ἐμαγκίπατοι πάντα συνεισέφερον. σήμερον δὲ κατὰ τὴν τελευταίαν τούτου τοῦ τί. διάταξιν ἐκεῖνα συνεισφέρουσιν οἱ ἐμαγκίπατοι, ὅσα προσπορίζουσιν. οὐκοῦν εἰκότως τὸ μὲν παλαιὸν ὑπεξαιροῦμεν πάντα τὰ χρέα αὐτῶν, ὡς τοῦ πεκουλίου αὐτῶν τοῖς χρέεσιν αὐτῶν ἀφωρισμένου, σήμερον δὲ ζητοῦμεν πόθεν εἰσὶ τὰ χρέα, καὶ ἐὰν ἐκ τῶν προσποριζομένων, οὐδὲ συνεισφέρονται τὰ πράγματα ἐξ ὧν

---

[1] Lips. αἰτην ὄψιν.

σαντο, οὐ συνεισφέρουσιν. ὑπεξαιροῦμεν δὲ καὶ ἐκ τούτων τῶν πραγμάτων τῶν ὄντων ἐν καιρῷ τῆς τελευτῆς τοῦ πατρὸς, ὅσα ἐχρεώστουν. τὴν γὰρ καθαρὰν οὐσίαν ἑαυτῶν συνεισφέρουσιν.

67. Ἐν δὲ τῷ λς΄ κεφ. Τὸ νόμιμον τῆς διατάξεως τοιοῦτόν ἐστιν, ἵνα μηδὲν τῶν ἀπροσπορίστων συνεισενεχθῇ, ἀλλ᾽ ὥσπερ ποτὲ τὸ ἰδιόκτητον πεκούλιον μὴ προσποριζόμενον οὐδὲ συνεισεφέρετο, τὸν αὐτὸν τρόπον καὶ νῦν πάντα τὰ ἀπροσπόριστα οὐ συνεισφέρονται. σήμερον τοίνυν οὐδὲν ἕτερον συνεισφέρουσι τοῖς ἰδίοις ἀδελφοῖς οἱ παῖδες [οἱ] αὐτεξούσιοι, εἰ μὴ μόνον τὰ ἀπὸ πραγμάτων γονικῶν καὶ τὴν χρῆσιν. ταῦτα γὰρ ἔμελλον, εἰ ἦσαν ὑπεξούσιοι, προσπορίζειν°.

68. [Ἐν δὲ τῷ λζ΄ κεφ.] Κἀκεῖνο δὲ καλῶς ἔχειν ᾠήθημεν τῷδε περιλαβεῖν τῷ νόμῳ. τῶν γὰρ ἔμπροσθεν νόμων βουλομένων ἐπὶ τῶν συνεισφορῶν, εἰ μὲν διαθήκης χωρὶς τελευτήσαιεν οἱ γονεῖς, τὰς συνεισφορὰς κατὰ τὴν αὐτῶν γίνεσθαι δύναμιν, εἰ δὲ ἐπὶ διαθήκαις, μηδὲν εἰπόντες περὶ αὐτῶν, μὴ χώραν ταῖς συνεισφοραῖς γίνεσθαι, ἀλλὰ καὶ τὰ πράγματα ἔχειν τὰ κατὰ προῖκα τυχὸν ἢ καθ᾽ ἕτερον τρόπον διδόμενα καὶ τῶν καταλελειμμένων ἀντιλαμβάνεσθαι· ἡμεῖς δὲ θεσπίζομεν, μὴ εἶναι παντελῶς τοιαύτην πρόληψιν, ἀλλ᾽ εἴ τις ἀδιάθετος τελευτήσειεν εἴτε ἐπὶ διαθήκαις, ἐπειδήπερ ἄδηλόν ἐστι μήποτε ἐκλαθόμενος τῶν δεδομένων ἢ ὑπὸ τῆς ἐν τῷ θανάτῳ ταραχῆς στενοχορούμενος οὐκ ἐμνήσθη τούτου, πάντως εἶναι τὰς συνεισφορὰς καὶ τὴν ἐκεῖθεν ἰσότητα κατὰ τὸ ἤδη διατεταγμένον· εἰ μὴ ῥητῶς ἐπισκήψειεν αὐτὸς βούλεσθαι μὴ γενέσθαι συνεισφορὰν, ἀλλ᾽ ἔχειν τὸν ἀναγκαζόμενον ἐκ τοῦ νόμου συνεισενεγκεῖν καὶ τὸ ἤδη δεδομένον καὶ τοῖς ἐκ τῆς διαθήκης κεχρῆσθαι δικαίοις· πάντων τῶν ἔμπροσθεν περὶ

ὀφείλουσι τὰ χρέα ὑπεξαιρεθῆναι, καὶ οὐδὲ αὐτὰ λογίζονται ἐκ τῆς ἐμαγκιπάτων οὐσίας.

° Ἔχει τὸ κατὰ πόδας τῆς διατάξεως οὕτως· ἵνα μηδενὶ περὶ τῆς συνεισφορᾶς τοῦ λοιποῦ ἀμφισβήτησις ἀναφανῇ, ἀναγκαῖον ἡγησάμεθα τῇ διατάξει, ἣν ἤδη φειδοῖ τῶν παίδων ἐποιήσαμεν, τοῦτο προσθεῖναι, ἵνα τὰ πράγματα, ἅπερ τοῖς γονεῦσι προσπορίζεσθαι ἐκωλύσαμεν, μηδὲ τῇ συνεισφορᾷ μετὰ τὴν τελευτὴν αὐτῶν μεταξὺ τῶν παίδων ὑποκείμενα ᾖ. ὥσπερ γὰρ τὸ καστρέσιον ἐν κοινῷ συνεισφέρειν ἐπὶ τῆς διαιρουμένης κληρονομίας ἐκ τῆς τοῦ παλαιοῦ νόμου αὐθεντίας μηδαμῶς ἠναγκάζοντο, οὕτω καὶ τὰ ἄλλα πράγματα, ἅτινα μηδαμῶς τοῖς πατράσι προσπορίζονται, ἴδια τοῖς παισὶ μένειν θεσπίζομεν.

συνεισφορῶν ἡμῖν νενομοθετημένων ἐπὶ τῆς ἑαυτῶν μενόντων ἰσχύος.

69. *Κἀκεῖνο δὲ νομοθετῆσαι τῶν ἀναγκαιοτάτων ἡγούμεθα ἐν πολλοῖς καὶ ἀμυθήτοις πράγμασι ζητούμενον. ἐπιδέδωκε γὰρ πατὴρ προῖκα ἢ μήτηρ τυχὸν ὑπὲρ παιδὸς ἰδίας, ἡ δὲ ταύτην ἐπιδέδωκε τῷ ἀνδρὶ, καὶ ἐτελεύτησεν ὁ ἀνὴρ ἄπορος. εἶτα τοῦ πατρὸς ἢ τῆς μητρὸς τελευτησάντων ἀπαιτεῖται καὶ ἡ γήμασα συνεισενεγκεῖν τὴν ἑαυτῆς προῖκα ἢ παρὰ τοσοῦτον λαβεῖν. εἰ μὲν οὖν ὁ ἀνὴρ εὐπόρως ἔχει, τὸ πρᾶγμα πανταχόθεν εὔλυτόν ἐστιν. εἰ δὲ οὐδενὸς ἑτέρου κυρία καθίσταται ἐκείνη, πλὴν ἢ τῶν ἀγωγῶν τῶν κατὰ τοῦ ἀνδρὸς, αἱ δὲ ἄποροι καθεστήκασι, καὶ ἀντιτίθοιντο*[1] *τῇ γυναικὶ, ὡς ἤδη ἐπιδέδοται προὶξ ὑπὲρ αὐτῆς, ἡ δὲ τὴν ἀγωγὴν συνεισφέροι μηδὲν ἔχουσα παντελῶς ἀποτέλεσμα, νόμου τὸ πρᾶγμα ἡμῖν ἄξιον ἐνομίσθη. καὶ ἴσμεν ἤδη ἐν πολλαῖς κρίσεσιν ἀπηνέστερον τοῦτο*[2] *κριθὲν, καὶ τὴν γυναῖκα ἀναγκασθεῖσαν συνεισενεγκεῖν τὴν προῖκα, ἤτοι λογίσασθαι*[3] *τὴν ὑπὲρ αὐτῆς δεδομένην, ἐξ ἧς οὐδὲν αὐτῇ γέγονε παντελῶς ἀποτέλεσμα ἐν αὐτοῖς τοῖς πράγμασιν ἀπολαβεῖν. ἡμεῖς δὲ ἐξ ἑτέρων νόμων βοηθοῦμεν τῷ πράγματι. ἐπειδὴ γὰρ δεδώκαμεν ταῖς γυναιξὶν αἵρεσιν καὶ συνεστῶτος τοῦ γάμου, εἰ κακῶς τὰ πράγματα ὁ ἀνὴρ διοικήσει, καὶ λαμβάνειν αὐτὰ καὶ διοικεῖν κατὰ τὸν πρέποντα λόγον καὶ καθάπερ ἡ ἡμετέρα λέγει διάταξις, εἰ μὲν αὐτεξουσία καὶ τελεία τὴν ἡλικίαν ἡ γυνὴ καθεστήκοι, ἑαυτῇ μέμψιν ἐπαγέτω, τί δήποτε ἄρτι τοῦ ἀνδρὸς ἀρξαμένου κακῶς τῇ περιουσίᾳ χρῆσθαι μὴ καὶ ἀντελάβετο καὶ ἐβοήθησεν αὐτῇ· οὕτω γὰρ ἂν ἔμελλεν ἔχειν ἐν τῷ τῆς συνεισφορᾶς λόγῳ τὰ οἰκεῖα πράγματα πανταχόθεν ἀμείωτα, καὶ ἐν τῷ παρὰ τοσοῦτον τὴν συνεισφορὰν ποιεῖσθαι, εἰ δὲ ὑπεξουσία καθεστήκοι καὶ γνώμης τοῦ πατρὸς χωρὶς τοῦτο πράττειν οὐ δύναιτο, εἰ μὲν προσελθοῦσα τῷ πατρὶ ταῦτα εἶπέ τε καὶ ἐξεμαρτύρατο, ὥστε συναινέσαι αὐτῇ καὶ τὰ πράγματα λαβεῖν καὶ συνεστῶτος ἔτι τοῦ γάμου, καὶ τοῖς δευτέροις αὐτὰ καιροῖς φυλάξαι, καὶ τοῦτο πρᾶξαι τῇ θυγατρὶ οὐκ ἔδωκεν ἄδειαν, μὴ κινδυνεύειν αὐτὴν, ἀλλὰ συνεισφέρεσθαι γυμνὴν τὴν ἀγωγὴν τὴν κατὰ τῶν τοῦ ἀπόρου ἀνδρὸς πραγμάτων, καὶ τὴν ἐπιβάλλουσαν αὐτῇ μοῖραν ἐκ τῶν πατρῴων λαμβάνειν.*

---

[1] Basil. *ἀντιτίθοιτο.* Leuncl. mavult *ἀντιθεῖτο.* [2] Leuncl. *αὐτῷ,* in marg. emendans *αὐτό.* [3] Lips. *δωρήσασθαι.*

70. *Ἀνάγν. καὶ βι. μβ΄ τί. α΄, οὗτινος ἐν τῷ ιζ΄ κεφ. φησίν·* Ἐάν τις γινώσκων μὴ ἀνήκειν ἑαυτῷ τὴν κληρονομίαν πωλήσῃ, οὐ τὰ τιμήματα, ἀλλ᾽ αὐτὰ τὰ πράγματα καὶ τοὺς καρποὺς ἀπαιτεῖται. ἐπιλογὴν δὲ ὁ ἐπιζητῶν ἔχει κατὰ τοῦ κακῇ πίστει νομέως μετὰ τὸ κινηθῆναι ἀμφισβήτησιν, τὰ πράγματα μετὰ τῶν καρπῶν ἀπαιτῆσαι ἢ τὰς τιμὰς μετὰ τόκων.

Τὰ αὐτὰ καὶ περὶ τοῦ νομίσαντος ἑαυτὸν ἀγαθὸν[1] νομέα καὶ δίκαιον διάδοχον, καὶ τοῦ[2] νομίζοντος ἑαυτῷ κληρονομίαν ἀποκαταστῆναι.

71. *Ἐν δὲ τῷ ιη΄ κεφ.* Εἰ καὶ φθαρῶσιν ἢ μειωθῶσι τὰ πραθέντα, δίδωσιν ὁ νομεὺς τὰς τιμάς. ὁ δὲ κακῇ πίστει, εἰ μὲν σώζονται τὰ πραθέντα, παρασχεῖν αὐτὰ ἀναγκάζεται· μὴ δυνάμενος δὲ λαβεῖν αὐτὰ παρὰ τοῦ ἀγοραστοῦ, τῷ ἐνδίκῳ ὅρκῳ[p] ὑπόκειται. εἰ δὲ ἐφθάρησαν ἢ ἐμειώθησαν, τὴν ἀληθῆ τιμὴν δίδωσιν. εἰ γὰρ ἔλαβε τὸ πρᾶγμα ὁ ἐνάγων, ἐπώλει αὐτὸ καὶ οὐκ ἀπόλλυε τὸ ἀληθὲς τίμημα.

72. *Ἐν δὲ τῷ κ΄ κεφ.* Ἐὰν καὶ τὸ τίμημα καὶ τὸ πραθὲν ἔχει ὁ νομεὺς, τυχὸν ἀνταγοράσας αὐτὸς, ἐπὶ μὲν κακῇ πίστει νομέως ἐπιλογὴν ὁ ἐνάγων ἔχει, ἢ τὸ τίμημα ἢ τὸ πρᾶγμα ἀπαιτῆσαι[q]. ὁ δὲ καλῇ πίστει νομεὺς ἄδειαν ἔχει καὶ χεῖρον γινόμενον τὸ πρᾶγμα δοῦναι καὶ ὅπερ ἐκ τῆς τιμῆς ἐκέρδανε· κἂν γὰρ ἀλλότριον πωλήσῃ, δίδωσι τὸ τίμημα.

73. *Ἐν δὲ τῷ κδ΄ κεφ.* Αἱ γοναὶ τῶν θρεμμάτων αὔξουσι τὴν κληρονομίαν· καὶ ἡ γονὴ τῆς γονῆς.

74. *Ἐν δὲ τῷ λζ΄ κεφ.* Ἐὰν δοῦλοι ἢ θρέμματα μετὰ προκάταρξιν φθαρῶσιν, ὁ μὲν καλῇ πίστει νομεὺς οὐ κατέχεται· ὁ δὲ κακῇ πίστει δίδωσι ὅσον ἔμελλεν ὁ ἐνάγων ἔχειν, εἰ παραχρῆμα ἀποκατέστη αὐτῷ· τυχὸν γὰρ ἐπίπρασκε. τὸ αὐτὸ καὶ ἐπὶ τῆς ἀγωγῆς τῆς κινουμένης ἐπὶ τῶν καθ᾽ ἕκαστα κινητῶν, ἀκινήτων καὶ αὐτοκινήτων.

75. *Ἐν δὲ τῷ να΄ κεφ.* Οἱ καλῇ πίστει νεμηθέντες οὐκ ἀπαιτοῦνται τόκον τῶν κληρονομιαίων χρημάτων πρὸ προκατάρ-

---

[p] Τουτέστι τοσαύτην ποσότητα δίδωσιν ὁ κακῇ πίστει νομεὺς, ὅσην εἴποι ὁ ἐνάγων τὸν περὶ ἀμφιβόλων ὅρκον ὑποτελῶν.

[q] Τυχὸν πωλήσας τὴν ἀρχὴν κ΄ νομίσμασι τὸ πρᾶγμα μετὰ ταῦτα ι΄ νομίσμασι τοῦτο ἀντηγόρασε, καὶ ἔχει τὸ πρᾶγμα καὶ τὰ ι΄ νομίσματα, ἅπερ εἰσὶ πλέον τοῦ τιμήματος εἰς κέρδος περιελθόντα. δίδωσιν οὖν ἀμφότερα, καὶ τὸ πρᾶγμα καὶ ἃ ἐκέρδησεν ἐκ τῆς αὐτοῦ πράσεως τῷ πετίτορι.

---

[1] Leuncl. conj. ἀγαθῶν. [2] Leuncl. ταῦτα.

ξεως· ὥσπερ οὐδὲ καρποὺς τῶν πραγμάτων, εἰ μὴ γεγόνασι πλουσιώτεροι. μετὰ δὲ τὸν τῆς προκατάρξεως χρόνον καρποὺς τῶν μὴ πραθέντων πραγμάτων ἀπαιτεῖται, οὐχ ὅσους ἔλαβεν, ἀλλ' ὅσους ἠδύνατο λαβεῖν· καὶ τόκους τῶν πραθέντων πραγμάτων ἀπὸ τοῦ καιροῦ τῆς προκατάρξεως ψηφιζομένους.

76. Ἐν δὲ τῷ νζ' κεφ. Ἡ τῶν κληρονομιαίων ἀπαίτησις κινεῖται μὲν κατὰ τῶν ὡς κληρονόμων ἢ ὡς μὴ ἀγαθὴν διακατοχὴν νεμομένων. οὐκ ἀντίκειται δὲ αὐτῇ ἡ τῶν ι' ἢ κ' ἐνιαυτῶν παραγραφὴ, ἐπειδὴ ἀναμεμιγμέναι εἰσὶν αὐτῇ καὶ αἱ προσωπικαὶ ἀγωγαὶ, αἵτινες οὐκ ἀναιροῦνται τῇ τῶν ι' ἢ κ' ἐνιαυτῶν παραγραφῇ. οἱ δὲ μήτε ὡς κληρονόμοι μήτε ὡς ἅρπαγες νεμόμενοι οὐ κατέχονται τῇ τῶν κληρονομιαίων ἀπαιτήσει, ἀλλὰ τῇ περὶ τῶν καθ' ἕκαστα κινουμένῃ ἀγωγῇ, εἰ μήτε διὰ χρήσεως ἐδέσποσαν μήτε μακροῦ χρόνου παραγραφὴν ἐκτήσαντο.

77. Ἐν δὲ τῷ ξα' κεφ. Οὐδεὶς μὲν καλῶς ἀπαιτεῖ τινα λέγειν πόθεν νέμεται· ὁ δὲ τὴν τῶν κληρονομιαίων ἐκδίκησιν κινῶν μόνος καλῶς ἀπαιτεῖ τὸν νεμόμενον εἰπεῖν, ἢ ὡς νομίζων ἑαυτὸν κληρονόμον ἢ ὡς ἅρπαγα[1], εἰ μήτι ἐξ ἄλλου τίτλου διακατέχει τὴν κληρονομίαν.

78. Ἀνάγν. καὶ τί. β', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Εἰ μὲν εἰς ὁλόκληρόν ἐστί τις κληρονόμος, εἰς ὁλόκληρον κινεῖ, κἂν ὁ νομεὺς ἓν ἔχῃ πρᾶγμα. εἰ δὲ μερικός ἐστι κληρονόμος, μερικῶς ἐνάγει, κἂν ὁ νομεὺς πᾶσαν ἔχῃ τὴν κληρονομίαν.

Εἰ δὲ δύο νέμονται, καὶ δύο λέγουσι μερικῶς κληρονομεῖν, ἑκάτερος αὐτῶν ἑκάστῳ ἀνὰ μέρος ἐνάγει τῶν νομέων. εἰ δὲ καὶ ὁ νομεὺς καὶ ὁ ἐνάγων νέμονται, καὶ ἕκαστος αὐτῶν λέγει εἰς τὸ ἥμισυ κληρονομεῖν, κινοῦσι κατ' ἀλλήλων. εἰ δὲ μὴ φιλονεικοῦσι πρὸς ἀλλήλους περὶ τοῦ κλήρου, τὸ διαιροῦν τῇ φαμιλίᾳ τὸν κλῆρον δικαστήριον ἁρμόζει. ἐὰν δὲ ὁ συγκληρονόμος μου τὸ ἁρμόζον αὐτῷ μέρος νέμηται, καὶ τὸ λοιπὸν ἐξωτικὸς, κατὰ τοῦ ἐξωτικοῦ ὀφείλει[2] κινῆσαι.

79. Ἀνάγν. καὶ τί. γ', οὗτινος ἐν τῷ β' κεφ. φησί· Πᾶσα κληρονομία δυναμένη ἀπαιτεῖσθαι διαιρεῖται διὰ τοῦ διαιροῦντος τῇ φαμιλίᾳ τὸν κλῆρον δικαστηρίου.

Ἁρμόζει δὲ τῷ υἱοθετηθέντι ἀνήβῳ ἐπὶ τῷ διδόναι τρίτον[3]

---

[1] Basil. εἰ ὡς νομ. — ἢ ὡς ἅρπαξ ἢ μήτε κτλ. [2] Leuncl. ὀφείλω emendat. [3] Leuncl. ἐπὶ τῷ διδομένῳ τρίτῳ, quod in τετάρτῳ mutari vult.

τῆς οὐσίας τοῦ υἱοθετήσαντος. οὔτε γὰρ γίνεται κληρονόμος ἢ ἀγαθὸς νομεύς.

80. Ἐν δὲ τῷ ε' κεφ. Ὁ εἰς τὸ πλεῖον κληρονομῶν τὰ δικαιώματα τῆς κληρονομίας κατέχει, καὶ δίδωσι τὰ ἴσα τοῖς ἄλλοις, ὁμολογῶν, ὡς εἰ χρεία γένηται, καὶ τὰ αὐθεντικὰ προκομίζει. εἰ δὲ πάντες ἐξ ἴσου κληρονομοῦσι, καὶ οὐ συμφωνοῦσι τίνα δεῖ ἔχειν αὐτὰ, κληροῦνται· ἢ κατὰ συναίνεσιν ἢ ψῆφον παρὰ φίλων ἢ ἐν ναῷ ἀποτίθενται.

Τοῦτο γὰρ τὸ πρᾶγμα ὑπερθεματισμὸν οὐκ ἐπιδέχεται.

81. Ἐν δὲ τῷ ιζ' κεφ. Ὁ ὑπεξούσιος κελεύσει τοῦ πατρὸς γενόμενος ἔνοχος ὑπεξαιρεῖ τὸ χρέος· καὶ ἐὰν δανεισάμενος εἰς πρᾶγμα τοῦ πατρὸς δαπανήσῃ. εἰ δὲ εἰς τὸ πεκούλιον γένηται ἔνοχος, τὸ πεκούλιον ὑπεξαιρεῖ.

Ὑπεξαιρεῖ δὲ καὶ τὴν προῖκα τῆς αὐτοῦ γαμετῆς, ὡς ἐπιγινώσκων τὰ βάρη τοῦ γάμου· καὶ ἀσφαλίζεται διεκδικεῖν τοὺς συγκληρονόμους. δύναται γὰρ ἐνάγεσθαι τῇ περὶ προικὸς ἐπὶ τῇ ἀναδόσει συμφωνίᾳ.

82. Ἐν δὲ τῷ ιδ'[1] κεφ. Ἐὰν [μὴ] πλέον τοῦ μέρους μου λάβω παρὰ[2] τῶν κηδεμόνων ἐμοῦ καὶ τοῦ ἀδελφοῦ μου ἐκ τῶν κοινῶν προσόδων ἢ τῶν ψηφισθέντων ἡμῖν χορηγεῖσθαι διατροφῶν, οὐ καλῶς ὁ ἀδελφός μου κινεῖ μοι ὡς ἧττόν μου λαβών.

83. Ἐν δὲ τῷ μϛ' κεφ. Ὁ αὐτεξούσιος υἱὸς οὐ λογίζεται εἰς τὸ μέρος αὐτοῦ τὸ χορηγηθὲν αὐτῷ παρὰ τοῦ πατρὸς ἐπὶ ξένης ἀναγινώσκοντι· εἰ μὴ δειχθῇ, ὅτι ὡς δανείζων ἐχορήγησε καὶ οὐ δι' εὐσέβειαν.

84. Ἐν δὲ τῷ να' κεφ. Ἐν τῷ διαιροῦντι τὰ κοινὰ καὶ τῷ διαιροῦντι τὸν κλῆρον λόγῳ, ἐὰν δυσχερὴς καὶ σχεδὸν ἀδύνατός ἐστιν ἡ διαίρεσις τοῦ πράγματος, ἑνὶ προσκυροῦται, καὶ καταδικάζεται τῷ ἄλλῳ.

85. Ἐν δὲ τῷ νγ' κεφ. Μετὰ προκάταρξιν οἱ ἀδελφοὶ δύνανται καθ' αὐτοὺς διελέσθαι τὴν κληρονομίαν, καὶ οὐκ ἀνατρέπεται, εἰ μή τις αὐτῶν ἐστιν ἀφῆλιξ.

86. Ἐν δὲ τῷ νζ' κεφ. Ἐὰν ὑπεξουσίῳ ὄντι τῷ παιδὶ καὶ ἀπιόντι στρατεύσασθαί τινα παρὰ τοῦ πατρὸς δωρηθῶσι, καὶ ἰδιόκτητον πεκούλιόν εἰσι καὶ οὐδὲ συνεισφέρονται τοῖς ἀδελφοῖς. εἰ δὲ ἀκίνητα ὁ πατὴρ ἐδωρήσατο, οὐκ εἰσιν ἰδιοκτήτου πεκουλίου. εἰ δὲ ἀλλαχόθεν ὁ παῖς κτήσεται προφάσει

[1] Leuncl. emendat λδ'. [2] Lips. ἐπί.

τῆς στρατείας, κἂν ἀκίνητα ὦσι, συναριθμοῦνται τῷ ἰδιοκτήτῳ πεκουλίῳ.

87. Ἐν δὲ τῷ νη' κεφ. Τὰ κληρονομιαῖα χρέα οὐ καταφέρονται εἰς τὸ διαιροῦν τὰ κοινὰ δικαστήριον. διῄρηνται γὰρ ἀπὸ τοῦ νόμου πρὸς τὰ κληρονομιαῖα μέρη.

88. Ἐν δὲ τῷ ξε' κεφ. Ἐν τῷ διαιροῦντι τὸν κλῆρον δικαστηρίῳ καταφέρεται καὶ τὰ παγανικὰ πεκούλια τῶν παίδων μετὰ τῶν τοῦ πατρὸς πραγμάτων. ἐὰν δὲ εἷς ἐκ τούτων ἐχρεώστησε ζῶντος τοῦ πατρὸς ἀγνοοῦντος αὐτοῦ, καὶ ἐναχθεὶς κατεδικάσθη, ὀφείλει λαβεῖν παρὰ τῶν συγκληρονόμων αὐτοῦ τοσοῦτον ἐκ τοῦ πεκουλίου, ὅσον παρασχεῖν κατεδικάσθη τούτοις, οἷστισιν αὐτὸς συνήλλαξεν.

89. Ἐν δὲ τῷ ξς' κεφ. Δύο τινὲς ἀδελφοὶ μεταξὺ ἀλλήλων διαιρούμενοι τὰ πατρῷα πράγματα οὐκ ἐπηρώτησαν ἀλλήλοις περὶ ἐκδικήσεως τῶν ἑκάστῳ ἐπιλαχόντων πραγμάτων. μετὰ[1] ταῦτα πράγματος ἐκνικηθέντος ὀφείλει ὁ ἕτερος κατὰ τὸ ἀναλογοῦν αὐτῷ μέρος ποιῆσαι τὸ ἀζήμιον τῷ τὴν ἐκδίκησιν ὑπομείναντι.

90. Ἐν δὲ τῷ ξζ' κεφ. Ἡ κατὰ συναίνεσιν γενομένη διαίρεσις, ἐὰν καὶ παράδοσις παρακολουθήσῃ, δεσπότην ἕκαστον ποιεῖ τῶν ἐπιλαχόντων αὐτῷ πραγμάτων. ἐὰν δὲ μὴ γένηται παράδοσις, ἀνάγκη κινηθῆναι τὸ διαιροῦν τὸν κλῆρον δικαστήριον, ἵνα ἐκεῖ διαιρεθῇ τὰ ἀπὸ τῆς κληρονομίας ἐπίκοινα πράγματα.

91. Ἐν δὲ τῷ οβ' κεφ. Ἐὰν ὁ πατὴρ τῶν ἰδίων πραγμάτων διεῖλέ τινα μεταξὺ τῶν παίδων, τινὰ δὲ μὴ διελὼν ἐτελεύτησεν ἀδιάθετος ἢ καὶ διαθέμενος, ὁ δικαστὴς τὰ μὲν διαιρεθέντα ὡς ἐμέρισεν ὁ πατὴρ, τὰ δὲ ἀδιαίρετα πρὸς ἀναλογίαν τῶν νομίμων μερῶν ὀφείλει διαιρεῖν[r].

---

[r] Ἀνάγνωθι καὶ νεαρὰν ιη', ἐν ᾗ φησι καὶ περὶ συνεισφορᾶς. καὶ νεαρὰν ριε' κεφ. γ', ἐν ᾧ φησι τοῦ μὴ ἐξεῖναι τοῖς γονεῦσιν ἀποκλήρους ποιεῖν τοὺς παῖδας εἰ μὴ ἀχάριστοι ἀποδειχθεῖεν, μήτε τοῖς παισὶ τοὺς ἰδίους γονεῖς. καὶ νεαρὰν ριζ' κεφ. α'.

---

[1] Leuncl. ἀλλὰ μετ'.

XV.

Περὶ κληρονομίας παίδων γνησίων τε καὶ νόθων, καὶ ἐκ νόθων γνησίων γινομένων. καὶ [ἐκ] παλλακῶν τῶν καὶ[1] γνησίων γινομένων τῇ τῶν προικῴων συμβολαίων ποιήσει [a].

1. *Ἀνάγν. βι. λβ' τί. α', οὗτινος ἐν τῷ β' κεφ. φησί·* Θεσπίζομεν εἴ τις γαμετὴν οὐκ ἔχων γνησίαν πρὸς θεράπαιναν οἰκείαν σχοίη κατά τινα βελτίονα γνώμην, καὶ δὴ καὶ παιδοποιήσειεν ἐξ αὐτῆς ἐν δουλείᾳ καθεστώσης, ὕστερον δὲ ἐλευθερίᾳ τιμήσειε τὴν θεράπαιναν καὶ τὸν γάμον βεβαιώσειεν, ἔπειτα καὶ γαμικὰ συμβόλαια συγγράψειε, καὶ εἰ γένοιντο παῖδες μετὰ ταῦτα ἢ καὶ μὴ γένοιντο (ἵνα τὰ ἑκατέρας ἡμῶν διατάξεως συλλάβοιμεν θέματα), ἔστω καὶ ἡ γυνὴ γνησία, καὶ οἱ παῖδες ὑπεξούσιοι καὶ γνήσιοι καὶ ἐξ ἀδιαθέτου κληρονόμοι τῷ γεγεννηκότι· φαμὲν δὲ τοὺς πρὸ τῶν προικῴων τεχθέντας· τῶν ὁδῶν, δι' ὧν εἰς εὐγένειαν κατὰ τὸ προειρημένον ἀφίκοιντο, καὶ τῆς μετὰ ταῦτα τῶν προικῴων ποιήσεως τὸ γνήσιον αὐτοῖς χαριζομένων.

2. *Ἀνάγν. καὶ τί. β', οὗτινος ἐν τῷ δ' κεφ. φησίν·* Ὅτι εἰ παῖδας ἔχοι τὶς νομίμους, μὴ δύνασθαι αὐτὸν τοῖς φυσικοῖς παισὶ μήτε τοῖς ἐκ παλλακῆς περαιτέρω μιᾶς οὐγκίας καὶ τῇ μητρὶ αὐτῶν καταλιμπάνειν ἢ δωρεῖσθαι. εἰ δὲ παλλακὴ μόνη εἴη, ταύτῃ τὸ ἡμιούγκιον καταλιμπάνεσθαι ἢ δωρεῖσθαι. εἰ μέντοι παῖδας οὐκ ἔχει γνησίους, ἤ τινα τῶν ἀνιόντων, οἷς ἀνάγκῃ νόμου καταλιμπάνειν μέρος τῆς οἰκείας περιουσίας προσήκει τοὺς διατιθεμένους, ἄδεια ἔστω καὶ εἰς τὰς ιβ' οὐγκίας γράφειν τοὺς φυσικοὺς παῖδας κληρονόμους. εἰ δὲ ἔχοιέν τινας τῶν ἀνιόντων, τὴν νόμιμον αὐτοῖς καταλιμπανέτωσαν μοῖραν, τὸ δὲ λοιπὸν εἰς τοὺς φυσικοὺς παῖδας παραπέμπειν ἄδειαν ἐχέτωσαν. ἀδιαθέτων δὲ τελευτώντων τῶν τοὺς φυσικοὺς παῖδας ἐχόντων, δύο μόνας οὐγκίας ἔχειν τοὺς παῖδας ἅμα τῇ μητρὶ μεριζομένας, ὥστε ἑνὸς παιδὸς μερίδα καὶ τὴν μητέρα λαμβάνειν. ταῦτα δέ φαμεν, εἰ μιᾷ παλλακῇ συνοικῶν παῖδας ἐξ αὐτῆς ἔχοι. εἰ γὰρ ἐκκεχυμένα τὰ τῆς ἐπιθυμίας αὐτῷ

---

[a] *Περὶ κληρονόμων εὑρήσεις καὶ εἰς τὸ περὶ ῥημάτων σημασίας.*

---

[1] Leuncl. *καὶ ἐκ παλλακῶν γνησίων κτλ.* In marg.: *καὶ περὶ παλλ. καὶ παίδων αὐτῶν καὶ φυσικῶν παίδων.* — Caeterum Paris. 1351 hoc loco tractatum de peculiis (editum in Heimbach. *Ἀνέκδ.* II p. 247 sqq.) ad marginem plurium deinceps foliorum adscriptum praestat.

γένηται, καὶ ἄλλας ἐπ᾽ ἄλλας[1] ἐπεισάγοι πορνευομένας, πόῤῥω τοῦ νόμου [καθάπαξ αὐτὰς ἀπελαύνεσθαι. εἰ δὲ γνησίων ὑπόντων] καταλίποι καὶ νόθους, ἐξ ἀδιαθέτου μὲν οὐδὲν αὐτοῖς ὑπάρχειν, ἀποτρέφεσθαι δὲ μόνον παρὰ τῶν γνησίων κατὰ τὸ πρέπον καὶ πρὸς τὸ τῆς οὐσίας μέτρον. ἐφ᾽ ἂν δὲ θεμάτων οἱ φυσικοὶ παῖδες καλοῦνται, ἐπὶ τούτων καὶ αὐτοὶ τῷ ἴσῳ τρόπῳ τοὺς γονεῖς ἀμειβέσθωσαν[2].

XVI.

Περὶ κληρονομίας ἀνιόντων καὶ κατιόντων καὶ λοιπῶν συγγενῶν τῶν ἐξ ἀδιαθέτου κληρονομεῖν δυναμένων, καὶ τίνες καλοῦνται πρῶτοι καὶ τίνες δεύτεροι [καὶ καθεξῆς], καὶ τίνες ἐκπίπτουσι τῆς κληρονομίας καὶ πότε, καὶ περὶ τῆς παρ᾽ αὐτῶν αἰτουμένης διακατοχῆς, καὶ περὶ τῶν ἀξιωθέντων ἀποκαταστῆσαί τινι κληρονομίαν ἢ μέρος αὐτῆς ἢ φιδεϊκόμισσον, καὶ περὶ γυναικὸς καὶ ἀνδρὸς ἀλλήλους κληρονομούντων.

1. Ἀνάγν. βι. μδ′ τί. α′ κεφ. ϛη′ καὶ ργ′, ἐν ᾧ φησιν· Ὁ ἀξιούμενος ὑπὸ αἵρεσιν ὑπεξουσίοις ἀποκαταστῆσαι κληρονομίαν, οὔτε βουλομένοις αὐτοῖς δίδοται[3] πρὸ τῆς προχωρήσεως[a] ἀποκαταστῆσαι. εἰκὸς γὰρ ἐν τῷ μεταξὺ αὐτεξουσίους αὐτοὺς γενέσθαι καὶ ἑαυτοῖς κτήσασθαι, ἤ τινας ἀποθανεῖν καὶ τοῖς λοιποῖς τὸ ὅλον περιγενέσθαι.

2. Καὶ κεφ. ρδ′ καὶ κεφ. ρκδ′ καὶ κεφ. ρκε′, ἐν ᾧ φησιν· Ἐὰν γυνὴ τοὺς παῖδας τοὺς ἰδίους γράψασα κληρονόμους ἀξιώσῃ τὸν πατέρα αὐτῶν ποιῆσαι αὐτοὺς αὐτεξουσίους, δοκεῖ τοῦτο λέγειν, ὅτι γενομένοις αὐτοῖς αὐτεξουσίοις ἀποκατάστησον τὴν κληρονομίαν. καὶ διὰ τοῦτο ὁτεδήποτε αὐτῶν αὐτεξουσίων γινομένων ὑπόκειται τῇ ἀποκαταστάσει.

3. Καὶ κεφ. ρκϛ′ καὶ ρλα′ καὶ ρλδ′ καὶ ρλε′ καὶ ρμ′, ἐν ᾧ φησιν· Εἴ τις τὸν υἱὸν τὸν ἴδιον κληρονόμον ἐνεστήσατο καὶ τῷ τῆς ἀποκαταστάσεως βάρει μετὰ θάνατον ὑπέβαλε, μὴ ἄλλως τοῦτο δόξῃ διατυπῶσαι, εἰ μὴ ὅτε ὁ υἱὸς αὐτοῦ χωρὶς ἀπογονῆς τὴν ζωὴν τὴν ἰδίαν κατέλειψε. μὴ μόνον δὲ τὸν υἱὸν γράφων κληρονόμον, ἀλλὰ καὶ θυγατέρα ἐξ ἀρχῆς, ἢ ἔκγονον ἢ ἐκγόνην ἢ προέκγονον ἢ προεκγόνην ἢ ἄλλην ἐφεξῆς ἀπογονὴν, [εἰ] καὶ ταύτην τῷ τῆς ἀποκαταστάσεως μετὰ τελευτὴν

---

[a] Πρὸ ἐκβάσεως τῆς αἱρέσεως.

---

[1] Leuncl. ἄλλαις. [2] Leuncl. emendat: ἀμειβέτωσαν. [3] Leuncl. conj. δύναται.

βάρει ὑπέβαλλε, μὴ ἄλλως τοῦτο ἔσεσθαι δόξῃ, εἰ μὴ οὗτοι, οἵτινες τῇ ἀποκαταστάσει βαρηθέντες εἰσὶ, χωρὶς υἱῶν ἢ θυγατέρων ἢ ἐκγόνων ἀῤῥένων[b] ἢ προεκγόνων εἴησαν τελευτήσαντες, ἵνα μὴ δόξῃ ὁ τελευτήσας τὰς ἀλλοτρίας διαδοχὰς τῶν ἰδίων προτιθέναι. καὶ κεφ. ρμα΄.

4. Καὶ τί. β΄ κεφ. μα΄ καὶ ξς΄ καὶ ξη΄ [καὶ ογ΄], ἐν ᾧ φησι· Γράψας τὴν θυγατέρα[1] μου κληρονόμον οὕτως εἶπον· αἰτῶ σε θύγατερ εἰ καὶ σχοίης ἄλλα τέκνα, ὅμως πέτρῳ τῷ παιδί σου πλέον τὶ καταλιπεῖν. δοκῶ τοίνυν πᾶσι τοῖς ἐξ αὐτῆς ἀποκαταστῆσαι τὴν κληρονομίαν ἐξ ἴσου, πλέον δὲ πέτρῳ ὅσον ἡ θυγάτηρ βούλεται. καὶ κεφ. πα΄ καὶ πβ΄ καὶ πγ΄.

5. Καὶ τί. γ΄ κεφ. η΄ καὶ ια΄ καὶ ιβ΄ καὶ λα΄ καὶ λγ΄ καὶ λε΄, ἐν ᾧ φησιν· Ἐὰν τὸν ἀγρὸν τῆς μητρός μου λεγατεύσω αὐτῇ καὶ ἀξιώσω αὐτὴν ἀποκαταστῆσαι τῇ γαμετῇ μου, εἰ μηδὲν ἐκ τῆς διαθήκης μου ἐκέρδανεν, οὔτε τὸ λεγάτον οὔτε ἡ ἀποκατάστασις ἔῤῥωται, κἂν εἰ τὰ μάλιστα μετὰ τὴν ἐμὴν τελευτὴν ἐν ὑπομνήμασιν ἡ μήτηρ κατέθετο, μηδὲν ὑπεναντίον τῆς βουλήσεώς μου ποιεῖν. καὶ κεφ. λς΄ καὶ λζ΄ καὶ λθ΄ [καὶ ϙθ΄] καὶ ργ΄ καὶ τί. δ΄ κεφ. κ΄[c].

6. Ἀνάγν. καὶ βι. με΄ τί. α΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Τότε ἡ ἐξ ἀδιαθέτου διαδοχὴ ἁρμόζει, ὅτε μή ἐστιν ἡ ἐκ διαθήκης [ἢ ἡ κατὰ τῆς διαθήκης]. εἰ δὲ καὶ τῶν καιρῶν ἐνδαψιλευομένων παραιτηθείη ἡ ἐκ διαθήκης, ἄρχεται ἡ ἐξ ἀδιαθέτου. ὁ γὰρ παραιτησάμενος οὐκέτι δύναται αὐτὴν αἰτῆσαι.

Ὥσπερ τοῖς παισὶ πρώτοις[2] ἐκ διαθήκης ἡ κατ᾽ αὐτῆς ἐναντίωσις ἁρμόζει, οὕτως ἐξ ἀδιαθέτου ἡ ἐκ τοῦ δικαίου τῶν παίδων.

Παῖδας δὲ νοοῦμεν, ὡς ἐπὶ τῆς κατὰ τῆς διαθήκης ἐναντιώσεως, φυσικοὺς καὶ θετούς[d]. τοὺς δὲ θετοὺς ἕως ἂν ὦσιν ὑπεξούσιοι· αὐτεξούσιοι γὰρ γινόμενοι οὐκ ἔχουσι τὴν διακατοχήν.

---

b Τουτέστιν ἐξ ἀῤῥένων παίδων γεννηθέντων.

c Ἀνάγνωθι καὶ νεαρὰν πδ΄, ἐν ῇ φησι περὶ κληρονομίας ἀδελφῶν ἀμφιθαλῶν καὶ ἑτεροθαλῶν. ἀνάγνωθι καὶ νεαρὰν ρη΄, ἐν ῇ φησι περὶ κληρονομιαίων ἀποκαταστάσεων, καὶ νεαρὰν ρκζ΄, ἐν ῇ φησιν, ὅτι οἱ ἀδελφόπαιδες ἅμα τοῖς ἀνιοῦσι κληρονομοῦσι· καὶ ρν΄, φησὶ γὰρ περὶ ἀποκαταστάσεως ἀσφαλείας γινομένης· καὶ νεαρὰν ριη΄, ἐν ῇ φησι περὶ κληρονομίας ἀνιόντων καὶ κατιόντων καὶ ἐκ πλαγίου.

d Σημ. Ὅτι τὸ αὐτὸ δίκαιον ἔχουσιν οἱ θετοὶ ἄνηβοι, ὅπερ οἱ φυσικοί

---

1 Lips. διαθήκην. 2 Lips. τοῖς πρώτοις.

7. Ἐν δὲ τῷ δ' κεφ. Καὶ μετὰ καταστάσεως ἐναλλαγὴν σώζεται τοῖς παισὶ τὰ ἐξ ἀδιαθέτου, χωρὶς τῶν θετῶν· αὐτοὶ γὰρ αὐτεξούσιοι γινόμενοι καὶ τὸ ὄνομα τῶν παίδων ἀπολλύουσιν. εἰ δὲ τὸν φυσικόν μου υἱὸν αὐτεξούσιον ποιήσω, καὶ υἱοθετήσωμαι αὐτὸν καὶ πάλιν αὐτεξούσιον ποιήσω, μένει τὰ τῶν παίδων δίκαια ἔχων.

8. Ἐν δὲ τῷ ζ' κεφ. Τῷ λόγῳ τοῦ οἴκτου κληρονομοῦσιν οἱ γονεῖς τῶν παίδων, οἱ δὲ παῖδες τῶν γονέων καὶ φυσικῷ λόγῳ καὶ τῇ εὐχῇ τῶν γονέων.

9. Ἐν δὲ τῷ ιε' κεφ. Γνήσιοί εἰσιν ὑπεξούσιοι υἱοὶ καὶ θυγατέρες, φυσικοὶ καὶ θετοί.

Τῶν ὑπεξουσίων προτιμᾶται ὁ δημόσιος, ὅτε ὁ πατὴρ αὐτῶν μετὰ θάνατον ἐπὶ τυραννίδι κρατηθῇ[1]· καὶ ὁ τοιοῦτος υἱὸς τὸ δίκαιον οὐκ ἔχει τῶν τάφων.

10. Ἐν δὲ τῷ κβ' κεφ. Αἱ θήλειαι ὑπεξουσίους οὐκ ἔχουσιν, οὔτε παύονται ἔχειν διὰ ἐναλλαγῆς καταστάσεως.

11. Ἐν δὲ τῷ κς' κεφ. Ἐὰν εἴπω ἐν τῷ προικῴῳ τῆς θυγατρός μου, μηδὲν αὐτὴν πλέον ἐλπίσαι τῆς κληρονομίας μου, οὐκ ἔῤῥωται. τὰ γὰρ ἰδιωτικὰ συμβόλαια οὐ προκρίνουσι τῷ κοινῷ νομίμῳ.

12. Ἐν δὲ τῷ κζ' κεφ. Ἡ γυνὴ τοῦ νομίμου καὶ τοῦ πορνογενοῦς αὐτῆς παιδὸς κληρονομεῖ.

Οἱ παῖδες τοῦ ἀποθανόντος ἀποκλείουσι τὴν αὐτοῦ[2] μητέρα, εἴτε ὑπεξούσιοί εἰσιν εἴτε φυσικοὶ αὐτεξούσιοι. ὁ γὰρ θετὸς αὐτεξούσιος τότε ἀπωθεῖται τὴν μητέρα τοῦ ἀποθανόντος, ὅτε καὶ φυσικός ἐστι παῖς· τυχὸν γὰρ πάππος αὐτὸν υἱοθετήσατο. ἐὰν δὲ παραιτήσηται τὴν κληρονομίαν ὁ ὑπεξούσιος, λαμβάνει χώραν ἡ μήτηρ τοῦ ἀποθανόντος. ἐφ' ὅσον δὲ παρὰ τοῖς πολεμίοις ἐστὶν ὁ υἱὸς ἢ ἐλπίζεται τίκτεσθαι, τὸ δίκαιον τῆς μητρὸς ἀναρτᾶται.

13. Ἐν δὲ τῷ κη' κεφ. Ἀπειπὼν ὁ υἱὸς τῇ μητρῴᾳ κληρονομίᾳ, πρὶν ὑπεισέλθωσι τὴν κληρονομίαν οἱ ἀδελφοὶ αὐτῆς ἢ οἱ ἄλλοι συγγενεῖς, ἐξουσίαν ἔχει ἐντὸς ἐνιαυτοῦ μεταμέλεσθαι. καὶ αὐτὴ γὰρ ἡ διακατοχὴ ἐνιαυσιαία ἐστίν.

14. Ἐν δὲ τῷ κθ' κεφ. Ὅσα φυλάττεται μητρὸς ὑπούσης καὶ ἀδελφῶν ὁμοπατρίων τῷ τελευτήσαντι φυσικῶν, ταῦτα κρατεῖ καὶ θετῶν ὑπόντων.

15. Ἐν δὲ τῷ λβ' κεφ. Ἡ μήτηρ μὴ αἰτήσασα ἐπίτροπον

---

[1] Leuncl. et Basil. κατακριθῇ. [2] Lips. αὐτῶν.

τῷ παιδὶ οὐ κληρονομεῖ αὐτὸν, ἐὰν ἄνηβος τελευτήσῃ. εἰ δὲ ἔφηβος γενόμενος τότε τελευτήσει, καλῶς αὐτὸν κληρονομεῖ.

16. Ἐν δὲ τῷ λγ' κεφ. Εἴ τις γυνὴ μηδαμῶς τὴν θρησκείαν τῷ πρώτῳ ἀνδρὶ, ἐξ οὗ παῖδας ἢ θυγατέρας οὐκ εἶχε, τῇ τῶν γάμων ἐπείξει παρέσχεν, ἐκ τοῦ φανερωτάτου νομίμου ἄτιμος ἔστω, εἰ μὴ τὸν τοιοῦτον σπῖλον βασιλικὴ εὐεργεσία αὐτῇ συγχωρήσει. οὕτω μέντοιγε ὥστε εἰ παῖδας ἔχοι, πασῶν τῶν ὑποστάσεων, αἵτινες ἦσαν ἐν καιρῷ τῶν γάμων, τὴν μέσην τουτέστι τὴν ἡμίσειαν τῷ υἱῷ ἢ τῇ θυγατρὶ ἢ τοῖς υἱοῖς ἢ ταῖς θυγατράσι δωρήσηται, μηδὲ παρακατασχεθείσης τῆς χρήσεως. ἀλλὰ καὶ τελευτῶντος ἑνὸς τῶν παίδων τοὺς περιόντας ἀδελφοὺς λαμβάνειν τὸ μέρος αὐτοῦ. ἐὰν δὲ πάντες ἀδιάθετοι τελευτήσωσι, τῆς σκληρᾶς τύχης πρὸς τὴν μητέρα αἱ παραμυθίαι ἐξ ἀκεραίου ὑποστρέψουσιν[e].

17. Ἐν δὲ τῷ λδ' κεφ. Ὁσάκις μήτηρ κληρονομήσει υἱὸν ἴδιον ἢ θυγατέρα ἐξ ἀδιαθέτου, εἰ μὴ δευτερογαμήσει μετὰ τὴν τοῦ παιδὸς τελευτὴν, μενέτω τέλειον ἔχουσα τὸ εἰς αὐτὴν περιελθὸν κέρδος. ἐὰν δὲ δευτερογαμήσει, τὰ μὲν ἔξωθεν εἰς τὸν υἱὸν περιελθόντα πράγματα ἐχέτω· [ὅσα δὲ ἐκ τῆς τοῦ πατρὸς οὐσίας εἰς τὸν υἱὸν ἦλθον, τούτων τὴν χρῆσιν ἐχέτω], τὴν δὲ δεσποτείαν φυλαττέτω τοῖς ἀδελφοῖς καὶ ταῖς ἀδελφαῖς τοῦ τελευτήσαντος παιδός. τοῦτο γὰρ κρατεῖ καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων, ἅπερ ἐκέρδανε παρὰ τοῦ πρώτου ἀνδρὸς ἡ δευτερογαμήσασα γυνή.

18. Ἐν δὲ τῷ λε' κεφ. Ἐὰν ἡ μήτηρ ἐπαγγείληται μὴ δευτερογαμεῖν [καὶ] ἐπιτροπεύσῃ τοῦ ἰδίου παιδὸς, εἶτα δευτερογαμήσει, μὴ κληρονομείτω τὸν υἱὸν ἄνηβον τελευτῶντα, μηδὲ ἐὰν ὑποκατάστατος ἐδόθη αὕτη[1] παρὰ τοῦ πατρός· εἰ μὴ ἄρα πρότερον καὶ ἐπίτροπον αὐτῷ αἰτήσει καὶ ἀποκαταστήσει τὰ ἐκ τῆς ἐπιτροπῆς χρεωστούμενα[f].

19. [Ἐν δὲ τῷ λς' κεφ.] Ἐὰν γυνὴ τελευτήσῃ ἐπὶ ἀδελφοῖς ὁμοπατρίοις καὶ μητρὶ καὶ θυγατρὶ, ἡ θυγάτηρ αὐτὴν κληρονομεῖ.

20. Ἐν δὲ τῷ λη' κεφ. Θεσπίζομεν, ἵνα μήτε ἐκ διαθήκης

---

e Περὶ μητρὸς δευτερογαμούσης εἴρηται καὶ ἐν τῷ περὶ δευτερογαμούντων.

f Ἐν δὲ τῷ κη' βι. τί. ιδ' κεφ. ιγ' ὁμοίως τιμωρεῖσθαι νομοθετεῖ ἡ διάταξις τὰς πρὸ τοῦ πενθίμου δευτερογαμούσας. καὶ προείρηται ἐν τῷ περὶ δευτερογαμούντων.

---

1 Leuncl. conj. αὐτῇ. Basil. αὐτῷ.

μήτε ἐξ ἀδιαθέτου μήτε ἀπὸ δωρεᾶς ἐν ζωῇ γινομένης νομίμων παίδων ὑπόντων τίποτε παντελῶς ἐκ τῶν ἐνδόξων μητέρων εἰς τοὺς πορνογενεῖς ἐλθεῖν[1]· *ἐπειδὴ ἐν ταῖς γυναιξὶ ταῖς εὐγενέσι καὶ ἐνδόξοις, αἷστισιν ἡ τῆς σωφροσύνης παραφυλακὴ ἐξαίρετον χρέος ἐστὶ, καὶ ὀνομάζεσθαι τοὺς πορνογενεῖς πάνυ ἄδικον, πάνυ σφοδρὸν καὶ τῶν ἡμετέρων καιρῶν ἀνάξιον κρίνομεν. καὶ τοῦτον τὸν νόμον αὐτῇ τῇ σωφροσύνῃ, ἣν διὰ παντὸς ἐπιμελητέαν κρίνομεν, ἀξίως καθιεροῦμεν. ἐὰν δὲ παλλακὴ ἐλευθέρας τύχης ὑπάρχουσα υἱὸν ἢ θυγατέρα ἀπὸ θεμιτῆς συνηθείας πρὸς ἄνθρωπον ἐλεύθερον γενομένης ἔτεκε, τούτους καὶ μετὰ τῶν νομίμων παίδων εἰς τὰ μητρῷα ἐλθεῖν πράγματα, ἅτινα αὐτὴ νομίμῳ δικαίῳ καὶ ἐν ἰδίᾳ οὐσίᾳ κέκτηται, οὐδεὶς φθόνος ἐστίν.*

21. Ἐν δὲ τῷ μβʹ κεφ. *Πᾶς καλούμενος εἰς κληρονομίαν ἀνήβου, ἐὰν εὑρεθῇ μὴ αἰτήσας αὐτῷ ἐπίτροπον ἐντὸς ἐνιαυτοῦ, οὐ δύναται αὐτὸν ἄνηβον τελευτῶντα κληρονομῆσαι, εἴτε ἐξ ἀδιαθέτου βούλεται ἐλθεῖν, εἴτε ὡς ἀπὸ ὑποκαταστάσεως τῆς κατὰ ἀνηβότητα.*

22. Ἐν δὲ τῷ μςʹ κεφ. *Ὁ πατρωὸς τὸν προγονὸν ἐξ ἀδιαθέτου οὐ κληρονομεῖ.*

23. Ἐν δὲ τῷ νβʹ κεφ. *Ἐὰν εὐτελὴς τελευτήσῃ ἀδιάθετος καὶ μὴ ἔχων συγγενεῖς ἐξ ἀδιαθέτου, ἐκ τῶν ἄλλων εὐτελῶν κληρονομεῖται.*

24. Ἐν δὲ τῷ βʹ τί. κεφ. εʹ· *Ἡ συγγενικὴ κληρονομία μόνως ἐστὶ πραιτωρία. συγγενεῖς δὲ λέγονται ὡς ἐξ ἑνὸς τεχθέντες, ἢ ὅτι κοινὴν ἀρχὴν τῆς γενέσεως ἐσχήκασιν.*

25. Ἐν δὲ τῷ ιδʹ κεφ. *Βαθμηδὸν οἱ συγγενεῖς καλοῦνται, καὶ οἱ τοῦ αὐτοῦ ὄντες βαθμοῦ ἅμα πάντες.*

26. Ἐν δὲ τῷ ιζʹ κεφ. *Ἡ προσγενομένη διὰ θέσεως συγγένεια ἀπόλλυται τῇ αὐτεξουσιότητι. ὅθεν ἐὰν ὁ θετός μου ἀδελφὸς μετὰ θάνατόν μου εἴσω ρʹ ἡμερῶν αὐτεξούσιος γένηται, ἀπολλύει τὴν διακατοχήν· οὐ γὰρ μόνον ἐν τῷ καιρῷ τῆς τελευτῆς, ἀλλὰ καὶ τῷ τῆς διακατοχῆς δεῖ φυλάττεσθαι τὴν συγγένειαν.*

27. Ἐν δὲ τῷ ιηʹ κεφ. *Ἡ τοῦ σπουρίου κληρονομία οὐκ ἀνήκει τοῖς κατὰ πατέρα συγγενέσιν· οὐ γὰρ ἔχει πατέρα. τῇ μητρὶ δὲ αὐτοῦ καὶ τοῖς ὁμομητρίοις ἀδελφοῖς δίδοται ἡ συγγενικὴ βοήθεια.*

---

[1] Basil. ἔλθῃ.

28. Ἐν δὲ τῷ κ' κεφ. Τὸ κατηγορῆσαί με τῶν συγγενῶν μου οὐκ ἀποκλείει με τῆς συγγενικῆς βοηθείας.

29. Ἐν δὲ τῷ κβ' κεφ. Οἱ πορνογενεῖς καὶ τὴν κατὰ τὴν μητέρα μάμμην ἐξ ἀδιαθέτου διαδέχονται.

30. Ἐν δὲ τῷ κδ' κεφ. Ὁ δυνάμενος ἐκ πολιτικῶν δικαίων ὡς συγγενὴς κληρονομεῖν, οὐκ ἀποκλείεται τῇ τῶν ρ' ἡμερῶν παραδρομῇ. αὗται γὰρ ἐπὶ τῶν διακατοχῶν εἰσιν ὡρισμέναι.

31. Ἐν δὲ τῷ κε' κεφ. Οἱ ἔκγονοι ἐκ τῶν δύο παίδων, ἐὰν μὴ ὦσιν ἴσοι περὶ τὸν ἀριθμὸν, ἀλλ' ἐκ μὲν τοῦ ἑνὸς πλείονες, ἐκ δὲ τοῦ ἑνὸς ἐλάττονες, ὁμοίως καλοῦνται, καὶ κατὰ σειρὰν ἐξ ἴσης μερίζονται τὴν τοῦ πάππου κληρονομίαν[g].

32. [Ἐν δὲ τῷ κς' κεφ.] Ἐάν τις τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐκγόνῳ ἐξ υἱοῦ προτελευτήσαντος, ὁμοίως ἑκάτεροι κληρονομοῦσιν.

33[1]. Ἐν δὲ τῷ κη' κεφ. Ἐάν τις τελευτήσῃ ἀδιάθετος ἐπὶ παισὶ φυσικοῖς καὶ παιδὶ θετῷ, ὁμοίως πάντες κληρονομοῦσιν.

34. Ἐν δὲ τῷ κθ' κεφ. Ὁ ἐξ ἐλευθέρας καὶ δούλου συλληφθεὶς πορνογενής ἐστιν. ὅθεν κἂν ὁ πατὴρ ἐλευθερωθεὶς καὶ ἀποκατασταθεὶς εἰς εὐγένειαν ἀξιωματικὸς ἐγένετο, καὶ ἐτελεύτησεν, οὐ δύναται αὐτὸν οὗτος ὁ υἱὸς κληρονομεῖν.

35. Ἐν δὲ τῷ λβ'[2] κεφ. Ἐάν τις τελευτήσῃ μητρὸς περιούσης, καὶ καταλείψῃ παῖδας ἢ ἐκγόνους ἢ προεκγόνους, ἀμάχως αὐτοὶ προλαμβάνουσι τὴν μητέρα. ὅπερ ἀναμφιβόλως καὶ περὶ ἀπεκγόνων φυλάττεσθαι θεσπίζομεν.

36. Ἐν δὲ τῷ λγ' θέμ. η' καὶ θ'· Ἐὰν ἀδελφὸς ἀδελφῷ κατὰ ἀνηβότητα ὑποκαταστῇ, ρ' ἡμέρας ἔχει[h].

Κἂν διὰ δούλου μου ἁρμόσῃ μοι διαδοχὴ γονέως μου ἢ παιδός μου, ἐνιαυτὸν ἔχω.

37. Ἐν δὲ τῷ λδ' κεφ. Καὶ ἐπὶ τῆς κατὰ τὴν διαθήκην ἐναντιώσεως καὶ ἐπὶ πάσης διακατοχῆς ἐνιαυτὸς ἀνιοῦσι καὶ κατιοῦσιν ὥρισται.

---

g Τουτέστιν, οἱ ἐκ τοῦ ἑνὸς ἀδελφοῦ λαμβάνουσι τὸ ἥμισυ· καὶ οἱ ἐκ τοῦ ἄλλου τὸ ἥμισυ.

h Τουτέστιν εἰς τὸ αἰτῆσαι διακατοχήν.

---

1 Cap. 33 et 34 Lips. in margine habet. 2 Lips. κς'.

38. Ἐν δὲ τῷ λς' κεφ. Πρώτη τῶν ἐξ ἀδιαθέτου κλῆσίς ἐστιν ἡ τῶν κατιόντων· δευτέρα ἡ τῶν ἀνιόντων· τρίτη ἡ τῶν ἐκ πλαγίου· τετάρτη ἡ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός.

Εἴτε μή ἐστι διαθήκη, ἢ ἐστὶ μὲν, οὐκ ἠτήθη δὲ ἐξ αὐτῆς ἢ καὶ κατ' αὐτῆς διακατοχή.

39. Ἐν δὲ τῷ γ' τί. διαλαμβάνεται περὶ βαθμῶν συγγενείας [περὶ ὧν προείρηται]· ἐν δὲ τῷ η' κεφ. τοῦ αὐτοῦ γ' τί. [φησίν]· Ἐπειδὴ πᾶσα ἡ τοῦ γένους ἐξ ἀδιαθέτου διαδοχὴ τρισὶ γνωρίζεται τάξεσι, τουτέστι τῇ τε τῶν ἀνιόντων καὶ τῇ τῶν κατιόντων καὶ τῇ τῶν ἐκ πλαγίου, πρώτην εἶναι διατυποῦμεν τὴν τῶν κατιόντων διαδοχήν. εἴ τις τοίνυν τῶν κατιόντων ὑπείη τῷ ἀδιαθέτως τελευτήσαντι, οἱασδήποτε φύσεως ἢ βαθμοῦ, εἴτε ἐξ ἀῤῥενογονίας εἴτε ἐκ θηλυγονίας καταγόμενος, καὶ εἴτε αὐτεξούσιος εἴη εἴτε ὑπεξούσιος, πάντων τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου συγγενῶν προτιμάσθω. κἂν γὰρ ὁ τελευτήσας ἑτέρου ὑπεξούσιος ἦν, ὅμως τοὺς αὐτοῦ παῖδας, οἱασδήποτε ἂν ὦσι φύσεως ἢ βαθμοῦ, καὶ αὐτῶν τῶν γονέων προτιμᾶσθαι κελεύομεν, ὧν ὑπεξούσιος ἦν ὁ τελευτήσας· ἐπ' ἐκείνοις δηλαδὴ τοῖς πράγμασιν, ἅτινα κατὰ τοὺς ἄλλους ἡμῶν νόμους τοῖς πατρᾶσιν οὐ προσπορίζεται. ἐπὶ γὰρ τῇ χρήσει τῶν πραγμάτων τούτων ὧν ὀφείλουσι προσπορίζεσθαι ἢ φυλάττεσθαι, τοὺς περὶ τούτων ἡμῶν νόμους τοῖς γονεῦσι φυλάττομεν· οὕτω μέντοιγε, ὥστε εἴ τινα τούτων τῶν κατιόντων παῖδας καταλιπόντα τελευτῆσαι συμβαίη, τοὺς ἐκείνου υἱοὺς ἢ θυγατέρας ἢ τοὺς ἄλλους κατιόντας εἰς τὸν τοῦ ἰδίου γονέως τόπον ὑπεισιέναι, εἴτε ὑπεξούσιοι τῷ τελευτήσαντι εἴτε αὐτεξούσιοι εὑρεθεῖεν, τοσοῦτον ἐκ τῆς κληρονομίας τοῦ τελευτήσανος λαμβάνοντες μέρος, ὁσοιδήποτε ἂν ὦσιν, ὅσον ἑαυτῶν ὁ γονεὺς εἰ περιῆν| ἐκομίζετο· ἥντινα διαδοχὴν κατὰ σειρὰν ἐξίσης ἡ ἀρχαιότης ἐκάλεσεν. ἐπὶ ταύτης γὰρ τῆς τάξεως τὸν βαθμὸν ζητεῖσθαι οὐ βουλόμεθα, ἀλλὰ μετὰ τῶν υἱῶν καὶ θυγατέρων τοὺς ἐκ προτελευτήσαντος υἱοῦ ἢ θυγατρὸς ἐκγόνους καλεῖσθαι θεσπίζομεν· οὐδεμιᾶς εἰσαγομένης διαφορᾶς, εἴτε ἄῤῥενες εἴτε θήλειαί εἰσιν, εἴτε ἐξ ἀῤῥενογονίας εἴτε ἐκ θηλυγονίας κατάγονται, εἴτε ὑπεξούσιοι εἴτε αὐτεξούσιοι εἴησαν. καὶ ταῦτα μὲν περὶ τῆς τῶν κατιόντων διαδοχῆς ἐτυπώσαμεν.

Ἀκόλουθον δὲ εἶναι συνείδομεν, καὶ περὶ τῶν ἀνιόντων διατάξασθαι, ὅπως ἂν εἰς τὴν τῶν κατιόντων κληθεῖεν διαδοχήν. εἰ τοίνυν ὁ τελευτήσας κατιόντας μὲν μὴ καταλίποι

κληρονόμους, πατὴρ δὲ ἢ μήτηρ ἢ ἄλλοι γονεῖς αὐτοῦ ἐπιζήσουσι, πάντων τῶν ἐκ πλαγίου συγγενῶν τούτους προτιμᾶσθαι θεσπίζομεν, ἐξῃρημένων μόνων ἀδελφῶν καὶ ἀδελφοπαίδων ἐξ ἑκατέρου γονέως[i] συναπτομένων τῷ τελευτήσαντι, ὡς διὰ τῶν ἑξῆς δηλωθήσεται. εἰ δὲ πολλοὶ τῶν ἀνιόντων περίεισι, τούτους προτιμᾶσθαι κελεύομεν, οἵτινες ἐγγύτεροι τῷ βαθμῷ εὑρεθεῖεν, ἄῤῥενές τε καὶ θήλειαι, εἴτε πρὸς πατρὸς εἴτε πρὸς μητρὸς εἶεν. εἰ δὲ τὸν αὐτὸν ἔχουσι βαθμὸν, ἐξ ἴσης αὐτοῖς ἡ κληρονομία διαιρεθήσεται, ὥστε τὸ μὲν ἥμισυ λαμβάνειν πάντας τοὺς πρὸς πατρὸς ἀνιόντας ὁσοιδήποτε ἂν ὦσι, τὸ δὲ ὑπόλοιπον ἥμισυ τοὺς πρὸς μητρὸς ἀνιόντας, ὁσουσδήποτε ἂν αὐτοὺς εὑρεθῆναι συμβαίῃ. εἰ δὲ μετὰ τῶν ἀνιόντων εὑρεθῶσιν ἀδελφοὶ ἢ ἀδελφαὶ καὶ ἀδελφόπαιδες ἐξ ἑκατέρων γονέων συναπτόμενοι τῷ τελευτήσαντι, μετὰ τῶν ἐγγυτέρων τῷ βαθμῷ ἀνιόντων κληθήσονται, εἰ καὶ πατὴρ ἢ μήτηρ εἴησαν, διαιρουμένης εἰς αὐτοὺς δηλαδὴ τῆς κληρονομίας κατὰ τὸν τῶν προσώπων ἀριθμὸν, ἵνα καὶ τῶν ἀνιόντων καὶ τῶν ἀδελφῶν ἕκαστος ἴσην ἔχοιεν μοῖραν, ἀλλὰ καὶ οἱ ἀδελφόπαιδες τὴν μοῖραν τοῦ ἰδίου γονέως λαμβάνωσιν. οὐδεμίαν χρῆσιν ἐκ τῆς τῶν υἱῶν ἢ θυγατέρων μοίρας ἐν τούτῳ τῷ θέματι δυναμένου τοῦ πατρὸς ἑαυτῷ παντελῶς ἐκδικεῖν· ἐπειδὴ ἀντὶ ταύτης τῆς χρήσεως μέρος αὐτῷ τῆς κληρονομίας καὶ κατὰ δεσποτείας δίκαιον διὰ τοῦ παρόντος δεδώκαμεν νόμου. οὐδεμιᾶς φυλαττομένης διαφορᾶς μεταξὺ τῶν προσώπων τούτων[1] εἴτε θήλειαι εἴτε ἄῤῥενες εἴησαν οἱ πρὸς τὴν κληρονομίαν καλούμενοι, καὶ εἴτε δι᾽ ἄῤῥενος ἢ θήλεος προσώπου συνάπτονται, καὶ εἴτε αὐτεξούσιος εἴτε ὑπεξούσιος ἦν, ὃν διαδέχονται.

Ὑπόλοιπόν ἐστιν, ἵνα καὶ τὴν τρίτην ὁρίσωμεν τάξιν, ἥτις ἐκ πλαγίου καλεῖται, ἵνα καὶ τούτου τοῦ μέρους διατυπωθέντος πανταχόθεν ὁ νόμος τέλειος εὑρεθῇ. εἰ τοίνυν ὁ τελευτήσας μηδὲ κατιόντας μηδὲ ἀνιόντας καταλείψει, πρώτους εἰς τὴν κληρονομίαν καλοῦμεν τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς, τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ τῆς αὐτῆς μητρὸς τεχθέντας, ὁμοίως δὲ καὶ τοὺς ἀδελφόπαιδας, οὓς καὶ μετὰ τῶν πατέρων πρὸς τὴν κληρονομίαν ἐκαλέσαμεν. τούτων δὲ

---

i Οἱ λεγόμενοι ἀμφιθαλεῖς ἀδελφοί.

---

1 Lips. addit: διαιρουμένης εἰς αὐτοὺς δηλαδὴ τῆς κληρονομίας.

μὴ ὑπόντων, ἐν δευτέρᾳ τάξει ἐκείνους τοὺς ἀδελφοὺς πρὸς τὴν κληρονομίαν καλοῦμεν, οἵτινες ἐξ ἑνὸς γονέως συνάπτονται τῷ τελευτήσαντι[k], εἴτε διὰ τοῦ πατρὸς μόνου εἴτε διὰ τῆς μητρός. καὶ εἴγε τῷ τελευτήσαντι ἀδελφοὶ ὑπείησαν καὶ ἑτέρου ἀδελφοῦ ἢ ἀδελφῆς προτελευτησάντων παῖδες, κληθήσονται πρὸς τὴν κληρονομίαν οὗτοι μετὰ τῶν πρὸς πατρὸς καὶ πρὸς μητρὸς θείων, ἀῤῥένων τε καὶ θηλειῶν, καὶ ὁσοιδήποτε ἂν ὦσι, τοσοῦτον ἐκ τῆς κληρονομίας λήψονται μέρος, ὅσον ὁ αὐτῶν γονεὺς ἔμελλε λαμβάνειν, εἰ ἔζησεν. ὅθεν ἀκόλουθόν ἐστιν, ἵνα εἰ τυχὸν ὁ προτελευτήσας ἀδελφὸς, οὗ οἱ παῖδες περίεισι, δι᾽ ἑκατέρου γονέως τῷ νῦν τελευτήσαντι προσώπῳ συνήπτετο, οἱ δὲ περιόντες ἀδελφοὶ διὰ τοῦ πατρὸς μόνου τυχὸν ἢ τῆς μητρὸς αὐτῷ συνήπτοντο, προτιμηθῶσιν οἱ τούτου παῖδες τῶν ἰδίων θείων, κἂν τρίτου ὦσι βαθμοῦ, εἴτε πρὸς πατρὸς εἴησαν οἱ θεῖοι εἴτε πρὸς μητρὸς, καὶ εἴτε ἄῤῥενες εἴτε θήλειαι, ὥσπερ ὁ αὐτῶν γονεὺς προετιμᾶτο, εἰ περιῆν. καὶ ἐκ τῶν ἐναντίων, εἰ ὁ μὲν περιὼν ἀδελφὸς ἐξ ἑκατέρου γονέως συνάπτεται τῷ τελευτήσαντι, ὁ δὲ [προ-] τελευτήσας δι᾽ ἑνὸς γονέως συνήπτετο, τοὺς τούτου παῖδας τῆς κληρονομίας ἀποκλείομεν, ὥσπερ καὶ αὐτὸς εἰ περιῆν ἐξεκλείετο. τὸ δὲ τοιοῦτον προνόμιον ἐν ταύτῃ τῇ τάξει τῆς συγγενείας μόνοις παρέχομεν τοῖς τῶν ἀδελφῶν ἀῤῥένων ἢ θηλειῶν υἱοῖς ἢ θυγατράσιν, ἵνα εἰς τὰ τῶν ἰδίων γονέων δίκαια ὑπεισέλθωσιν. οὐδενὶ δὲ ἄλλῳ παντελῶς προσώπῳ ἐκ ταύτης τῆς τάξεως ἐρχομένῳ τοῦτο τὸ δίκαιον συγχωροῦμεν. ὁπότε τοίνυν τοῖς τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς παισὶ τοιοῦτον προνόμιον δεδώκαμεν, ἵνα τὸν τῶν γονέων ὑπεισιόντες τόπον μόνοι τρίτου ὄντες βαθμοῦ μετὰ τῶν ἐκ πρώτου καὶ δευτέρου βαθμοῦ πρὸς τὴν κληρονομίαν καλῶνται, ἐκεῖνο πρόδηλόν ἐστιν, ὅτι τῶν θείων τοῦ τελευτήσαντος ἀῤῥένων τε καὶ θηλειῶν, εἴτε πρὸς πατρὸς εἴτε πρὸς μητρὸς εἴησαν, προτιμῶνται[l], εἰ καὶ ἐκεῖνοι τρίτον ὁμοίως συγγενείας βαθμὸν ἔχοιεν. εἰ δὲ μήτε ἀδελφοὺς μήτε παῖδας ἀδελφῶν (ὡς εἰρήκαμεν) ὁ τελευτήσας καταλείψει, πάντας τοὺς ἐφεξῆς ἐκ πλαγίου συγγενεῖς πρὸς τὴν κληρονομίαν καλοῦμεν κατὰ τὴν ἑνὸς ἑκάστου βαθμοῦ προτίμησιν, ἵνα οἱ ἐγγύτεροι τῷ βαθμῷ

---

k Οἱ λεγόμενοι ἑτεροθαλεῖς.

l Σημείωσαι, ὅτι προτιμῶνται οἱ ἀδελφῶν παῖδες τῶν πρὸς πατρὸς ἢ μητρὸς θείων τοῦ τελευτήσαντος εἰς τὴν κληρονομίαν αὐτοῦ.

αὐτοὶ τῶν λοιπῶν προτιμῶνται. εἰ δὲ πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ εὑρεθῶσι, κατὰ τὸν τῶν προσώπων ἀριθμὸν μεταξὺ αὐτῶν ἡ κληρονομία διαιρεθήσεται, ὅπερ κατὰ κεφαλὴν ἤτοι προσωπικῶς οἱ ἡμέτεροι λέγουσι νόμοι[m].

Οὐδεμίαν δὲ εἶναι βουλόμεθα διαφορὰν ἐν οἱᾳδήποτε διακατοχῇ ἢ κληρονομίᾳ μεταξὺ τῶν πρὸς τὴν κληρονομίαν καλουμένων ἀῤῥένων ἢ θηλειῶν, οὓς πρὸς τὴν κληρονομίαν κοινῶς ὡρίσαμεν καλεῖσθαι, εἴτε δι' ἄῤῥενος εἴτε διὰ θήλεος προσώπου συνήπτοντο τῷ τελευτήσαντι· ἀλλ' ἐπὶ πασῶν τῶν διαδοχῶν τὴν ἐξ ἀῤῥενογονίας τε καὶ θηλυγονίας διαφορὰν ἀργεῖν κελεύομεν, εἴτε διὰ θῆλυ πρόσωπον εἴτε δι' αὐτεξουσιότητα ἢ ἕτερον οἱονδήποτε τρόπον τοῖς προτέροις διεσκοπεῖτο νόμοις, καὶ πάντας δίχα τινὸς τοιαύτης διαφορᾶς κατὰ τὸν τῆς ἰδίας συγγενείας βαθμὸν εἰς τὴν ἐξ ἀδιαθέτου τῶν συγγενῶν διαδοχὴν ἐλθεῖν κελεύομεν.

40. Ἐν δὲ τῷ δ' τί. δ' διαλαμβάνεται περὶ μητρικῶν ὑπάρξεων καὶ τῶν ἀπὸ μητρικῆς συγγενείας[1] καταγομένων, οὗτινος ἐν τῷ α' κεφ. φησί· Τὰ πράγματα τὰ μητρῷα εἰς τοὺς παῖδας περιελθόντα τοὺς ὄντας ὑπεξουσίους τοῦ ἰδίου πατρὸς διαφερέτωσαν τῷ πατρὶ, ὥστε αὐτὸν ἔχειν μόνην τὴν χρῆσιν, τὴν [δὲ] δεσποτείαν αὐτῶν τοῖς παισὶ διαφέρειν[n]. πᾶσαν δὲ σπουδὴν καὶ ἐπιμέλειαν

---

m Ὁ μάγιστρός φησιν, ὡς ὅτε μὴ εὑρίσκοιντο ἀδελφοὶ ἅμα καὶ ἀδελφόπαιδες, ἀλλὰ μόνοι ἀδελφόπαιδες, κατὰ τὸν τῶν προσώπων ἀριθμὸν καὶ τότε ἡ κληρονομία διαιρεῖται.

n Τὰ πεκούλια τετραχῶς· ἀπροσπόριστα, παγανικὰ, κανστρέσια, καὶ ὡσανεὶ κανστρέσια. ἀπροσπόριστά εἰσιν, ὅσα ἐκ μητρικῆς κληρονομίας καὶ πάππων καὶ προπάππων καὶ ἄλλων συγγενῶν μητρόθεν· καὶ τούτων τὴν μὲν χρῆσιν ἔχει ὁ πατὴρ, τὴν δὲ δεσποτείαν οἱ παῖδες. τούτοις ὅμοια καὶ τὰ ἀπὸ φιλοτιμίας τυχὸν καὶ καμάτων ἰδίων κτώμενα τοῖς παισὶν ἢ καὶ ἀπὸ γαμικῆς αἰτίας· ἐν οἷς οὐκ ἐστὶ τῷ παιδὶ ἐν ὑπεξουσιότητι ἄδεια διατίθεσθαι, ἀλλ' οὐδὲ τῷ πατρὶ προτελευτῶντι. τὴν γὰρ χρῆσιν τούτων ἔχει ὁ πατὴρ, τὴν δὲ δεσποτείαν οἱ παῖδες. τὰ δὲ παγανικά εἰσιν, ἃ καὶ προσπορίζονται, ὅσα ἐξ αἰτιῶν καὶ πραγμάτων τοῦ πατρὸς προσέλθῃ τῷ παιδίῳ. ἅπαντα γὰρ ταῦτα τοῦ πατρός εἰσιν, ἔχει δὲ τούτων καὶ τὴν χρῆσιν καὶ τὴν δεσποτείαν ὁ πατὴρ, καὶ οὐδ' ἐπὶ τούτοις ἄδεια τῷ υἱῷ διατίθεσθαι, ἀλλὰ τῷ πατρὶ προτελευτῶντι, καὶ ζήτει βι. λε' τί. κα' καὶ βι. λθ' τῶν βασιλικῶν καὶ βι. κθ' τῶν διγέστων τί. α' καὶ βι. λθ' τῶν βασιλ. τί. α' κεφ. ἔσχατον. τὰ δὲ κανστρέσιά εἰσι τὰ ἰδιόκτητα ἤγουν τὰ ἀπὸ κάστρου ἤτοι σιδήρου καὶ ὅπλων περιελθόντα τῷ παιδίῳ, ὧν ἡ χρῆσις καὶ ἡ δεσποτεία τῷ παιδίῳ ἁρμόζει, καὶ ἄδεια ἐπὶ τούτοις τῷ παιδὶ διατίθεσθαι

---

1 Leuncl. κληρονομίας.

ποιεῖσθαι περὶ τὸ πρᾶγμα τοὺς πατέρας, καὶ τὰς ἀγωγὰς τῶν παίδων ἐκβιβάζειν ἐν δικαστηρίῳ, καὶ δι᾽ ἑαυτῶν καὶ διὰ ἐντολέων, ἐπὶ τῷ δαπανᾶν[1] ἐκ τῶν καρπῶν. ἐὰν δέ ποτε ζητήσωσι τί ποτε ἐκ τούτων τῶν πραγμάτων ἐκποιῆσαι, ὀφείλει ὁ ἀγοραστὴς ἐγγυητὴν λαβεῖν τοῦ πατρὸς, ὡς δυναμένων ὅτε ἂν βουληθῶσι τῶν παίδων τὸ πρᾶγμα διεκδικῆσαι.

41. Ἐν δὲ τῷ γ᾽ κεφ. Ἐὰν ἔτι περιούσης τῆς μητρὸς συμβῇ τοὺς παῖδας αὐτεξουσίους γενέσθαι παρὰ τοῦ πατρὸς, μετὰ ταῦτα δὲ ἡ μήτηρ τελευτήσῃ, κελεύει ἡ διάταξις πρὸς τὸ μέτρον τῶν παίδων τὸν πατέρα λαμβάνειν τὴν χρῆσιν°. ἐὰν δέ τινες ἐκ τῶν παίδων γεγόνασιν αὐτεξούσιοι, τινὲς δὲ ἔμειναν ὑπεξούσιοι, καὶ οἱ ὑπεξούσιοι προσπορίζονται τῷ πατρὶ τὴν χρῆσιν τοῦ μέρους αὐτῶν, καὶ μετὰ τῶν αὐτεξουσίων ἑαυτοῦ παίδων τὴν χρῆσιν μερίζεται. καὶ ὁτεδήποτε ποιῶν τοὺς παῖδας αὐτεξουσίους παρακατέχει τὸ ἥμισυ μέρος τῆς προσπορισθείσης αὐτῷ ἐξ αὐτῶν. ταῦτα μὲν περὶ τῶν παίδων. ἐὰν δὲ ἔκγονοι ὦσι, μερίζεται μετὰ τῶν ἐκγόνων τῶν τεχθέντων ἀπὸ παιδὸς ὑπεξουσίου, καὶ λαμβάνει μόνην τὴν χρῆσιν. καὶ ὁτεδήποτε ποιῶν ἕνα ἐξ αὐτῶν αὐτεξούσιον ἐχέτω τὸ κέρδος τὸ ἐκ τῆς αὐτεξουσιότητος. ἐὰν δὲ ὦσιν ἔκγονοι τεχθέντες αὐτεξουσίου υἱοῦ, ἢ ἀπὸ θυγατρὸς τεχθέντες, ἢ παρ᾽ αὐτοῦ γενόμενοι αὐτεξούσιοι ζώσης ἔτι τῆς μάμμης, πάλιν πρὸς ἀναλογίαν λαμβανέτω τὴν χρῆσιν. ἐὰν δὲ τῶν ἐκγόνων τινὲς ὦσιν ὑπεξούσιοι τινὲς δὲ αὐτεξούσιοι, τότε, ὡς εἴρηται καὶ ἐπὶ τῶν παίδων, καὶ τῶν λαγχανόντων τοῖς ὑπεξουσίοις ἐχέτω τὴν χρῆσιν, καὶ μετὰ τῶν αὐτεξουσίων πρὸς ἀναλογίαν αὐτῶν μεριζέσθω. τὰ αὐτὰ δὲ καὶ περὶ ἐκγόνων[2] θεσπίζομεν.

καὶ ἐν ὑπεξουσιότητι ὄντι. τὰ δὲ ὡσανεὶ κανστρέσια τὰ ἀπὸ δωρεᾶς βασιλικῆς ἢ δεσποίνης, καὶ οὐδὲ τούτων τὴν χρῆσιν ἢ τὴν δεσποτείαν ἔχει ὁ πατήρ· καὶ τὰ ἀπὸ κληρονομίας ἀδελφοῦ καὶ ἀδελφῆς, καὶ τὰ ἀπὸ ἀρχῆς ἤγουν ἀννόνας καὶ τὰ ἀπὸ συνεδρίας, καὶ τὰ διδόμενα προστάξει βασιλικῇ σιτηρέσια ἀπὸ τοῦ δημοσίου· καὶ ἄδεια τῷ ὑπεξουσίῳ καὶ ὧδε τοῖς τοιούτοις διατίθεσθαι.

° Οἷον εἰ δύο ὦσι, γίνεται εἰς γ᾽ μοίρας ἡ οὐσία, καὶ τὸ τρίτον λαμβάνει εἰς χρῆσιν ὁ πατὴρ ἕως οὗ ζῇ, μετὰ δὲ ταῦτα ἀποκαθίσταται καὶ αὐτὸ τοῖς παισὶ τοῖς αὐτεξουσίοις. εἰ γὰρ ὑπεξούσιοί εἰσιν, ὅλων τὴν χρῆσιν ὁ πατὴρ ἔχει ἕως οὗ ζῇ· ἀποθνήσκων δὲ τοῖς παισὶ παραπέμπει.

---

[1] Leuncl. καὶ ἐπὶ τὸ, Att. καὶ ἐκδαπ. Ita Basil.

[2] Leuncl. conj. προεκγόνων.

42. Ἐν δὲ τῷ δ' κεφ. Πᾶσαν ἀμφισβητήσεως σύγχυσιν περιαιροῦντες τούτῳ τῷ φανερῷ καὶ συντόμῳ νόμῳ θεσπίζομεν, εἰς[1] τὴν χρῆσιν τῶν μητρῴων πραγμάτων μηδεμίαν εἶναι διαφορὰν, εἴτε ἐν τῷ πρώτῳ γάμῳ ὁ πατὴρ, ἐξ οὗ τοὺς υἱοὺς ἔσχε, διαμένειν ἐβουλήθη, εἴτε μητρυιὰν τοῖς παισὶν ἐπεισήγαγε· τῶν νόμων, οἵτινες περὶ μητρῴων πραγμάτων ἐξηνέχθησαν, τὴν ἰδίαν ἐχόντων ἰσχύν. οἱ πατέρες τοίνυν τὴν χρῆσιν τῶν μητρῴων πραγμάτων, εἰ καὶ εἰς δευτέρους μετέβησαν γάμους, ἀναμφιβόλως ἔχειν ὀφείλουσι, καὶ οὐδεμίαν τοῖς παισὶν ἢ τοῖς εἴ τισι δήποτε ἐκ προσώπου αὐτῶν κατὰ τῶν πατέρων ἀναίσχυντον φωνὴν ἢ αἰτίασίν τινα δύνασθαι ἁρμόζειν.

43. Ἐν δὲ τῷ ε' κεφ. Ὥσπερ τὰ ἀπὸ μητρικῆς συγγενείας ἁρμόζοντα τοῖς παισὶ τοῖς ὑπεξουσίοις οὐ προσπορίζονται τοῖς πατρᾶσιν, οὕτω καὶ τὰ ἀπὸ γαμικῆς αἰτίας κερδαινόμενα ὑπὸ τῶν ὑπεξουσίων οὐ προσπορίζονται αὐτοῖς, ἀλλὰ μένει ἡ δεσποτεία αὐτῶν παρὰ τοῖς παισίν.

44. Ἐν δὲ τῷ ς' κεφ. Ὅσα ὁ πατὴρ πρὸ τῶν γάμων δίδωσιν ὑπὲρ παιδὸς ἢ εἰς προῖκα ὑπὲρ θυγατρὸς παρέχει, ταῦτα λυομένων τῶν γάμων, ἐὰν [τὸ σύμφωνον οὕτω[2]] συμβῇ, προσπορίζονται αὐτῷ, ἵνα μὴ οἱ πατέρες ὀκνηρότεροι γίνωνται εἰς τὸ παρέχειν ὑπὲρ τῶν παίδων. ὅσα δὲ ἕτερα ἐκ τῆς γυναικὸς ἔλθωσιν εἰς τὸν ἄνδρα ἢ ἐκ τοῦ ἀνδρὸς εἰς τὴν γυναῖκα, τούτων τὴν χρῆσιν ἐχέτω ὁ πατὴρ, τὴν δεσποτείαν δὲ ἐχέτω τὸ ὑπεξούσιον πρόσωπον. ἐὰν δὲ ὁ πατὴρ μετὰ ταῦτα ἐβουλήθη αὐτεξούσιον ποιῆσαι τὸ ὑπεξούσιον πρόσωπον, κατεχέτω ἐκ τούτων τῶν πραγμάτων, ὥσπερ ἐκ τῶν μητρῴων εἰρήκαμεν, τὸ ἥμισυ τῆς χρήσεως.

45. Ἐν δὲ τῷ ζ' κεφ. Ὅσα ἀπὸ γαμικῆς αἰτίας κερδαίνουσιν οἱ ὑπεξούσιοι, ταῦτα τελευτώντων αὐτῶν ἐπὶ παισὶ τοῖς παισὶν αὐτῶν ἁρμόζουσι, καὶ οὐδὲ προσπορίζονται ἐξ αὐτῶν τοῖς πάπποις, τουτέστι τοῖς πατρᾶσι τῶν τελευτησάντων. ἐὰν δὲ τελευτήσωσιν ἐπὶ πατρὶ καὶ πάππῳ, ὁ πατὴρ αὐτῶν τοῦ πάππου προτιμᾶται, καὶ αὐτὸς τὰ μητρῷα αὐτῶν καὶ τὰ ἀπὸ γαμικῆς αἰτίας κέρδη κληρονομεῖ, τῆς χρήσεως καὶ ἐν τούτοις τοῖς θέμασιν τῷ πάππῳ, ἐν ὅσῳ περίεστι, φυλαττομένης.

46. Ἐν δὲ τῷ η' κεφ. Γυνή τις κερδάνασα ἀπὸ μνηστῆρος ἔλεγεν, ὅτι ὁ μνηστὴρ ἐν πολλοῖς ἄνδρα μιμεῖται καὶ ὀφεί-

---

[1] Leuncl. περί. [2] Lips. τοῦτο οὕτω pro his quae uncis inclusa sunt.

λουσι τὰ ἐξ αὐτοῦ κέρδη ἀπροσπόριστα εἶναι. ἀντετίθετο δὲ αὐτῇ ὁ ἀδελφὸς αὐτῆς ὁ ὁμοπάτριος, ὅτι ἡ διάταξις ἀνδρὸς μέμνηται ἰδικῶς καὶ γυναικός. καὶ πρὸς τοῦτο ἀντιγράφουσα ἡ διάταξις λέγει, ὅτι καὶ τὰ ἀπὸ μνηστῆρος ἢ μνηστῆς κέρδη, ὥσπερ τὰ ἀπὸ γαμικῆς αἰτίας, οὐ προσπορίζονται.

47. Ἐν δὲ τῷ ι' κεφ. Εἴ τις ὑπεξούσιος ἢ ἐν τῇ τοῦ ἰδίου πατρὸς ἢ ἐν τῇ τοῦ πάππου ἢ ἐν τῇ τοῦ προπάππου ὑπεξουσιότητι τυγχάνων τί ποτε ἑαυτῷ προσεκτήσατο, μὴ ἐκ τῆς ὑποστάσεως οὗτινος ὑπεξούσιός ἐστιν, ἀλλ' ἐξ ἄλλων οἱωνδήποτε αἰτιῶν, αἵτινες ἀπὸ φιλοτιμίας τῆς τύχης ἢ ἀπὸ καμάτων ἰδίων εἰς αὐτὸν φέρονται, ταῦτα τοῖς ἰδίοις γονεῦσιν οὐκ εἰς ὁλόκληρον, ἀλλ' ἕως μόνης τῆς χρήσεως προσποριζέτω· τῆς δεσποτείας ἐν αὐτῷ διαμενούσης κατὰ μίμησιν τῶν μητρῴων πραγμάτων καὶ τῶν ἀπὸ γαμικῆς αἰτίας τοῖς ὑπεξουσίοις προσποριζομένων· ὑπεξῃρημένων τῶν στρατιωτικῶν πεκουλίων, ὧν οὐδὲ τὴν χρῆσιν τὸν πατέρα ἢ πάππον ἢ πρόπαππον ἔχειν οἱ παλαιοὶ συγχωροῦσιν. ἐν τούτοις γὰρ οὐδὲν καινίζομεν, ἀλλὰ τὰ παλαιὰ ἄθικτα παραφυλάττομεν· τοῦ αὐτοῦ παραφυλαττομένου καὶ ἐν τούτοις τοῖς πεκουλίοις, ἅτινα οἱονεὶ στρατιωτικά εἰσι κατὰ μίμησιν τοῦ στρατιωτικοῦ πεκουλίου. ἐχέτω δὲ ὁ πατὴρ εἰς τὰ ἄλλα πράγματα, ἅπερ ἀνωτέρω ἠριθμήσαμεν, τελειοτάτην ἐξουσίαν κεχρῆσθαι καὶ ἀπολαύειν καὶ διοικεῖν τὰ πράγματα κατὰ τὸν εἰρημένον τρόπον κτηθέντα. καὶ εἴ τι ἀπὸ τῆς χρήσεως αὐτῶν ὁ πατὴρ ἢ ὁ πάππος ἢ ὁ πρόπαππος συναγάγῃ, ἐχέτω ἐξουσίαν ὃν τρόπον ἐπιθυμεῖ τοῦτο διατιθέναι καὶ εἰς ἄλλους κληρονόμους παραπέμπειν, ἢ ἐὰν ἐκ τῶν καρπῶν τούτων τῶν πραγμάτων κινητὰ ἢ ἀκίνητα ἢ αὐτοκίνητα κτήσηται, καὶ ταῦτα οἵῳ τρόπῳ βουληθῇ ἐχέτω καὶ παραπεμπέτω καὶ εἰς ἄλλους μεταφερέτω, εἴτε ἐξωτικοὺς εἴτε παῖδας ἰδίους εἴτε οἱονδήποτε πρόσωπον.

48. Ἐν δὲ τῷ ιγ' κεφ. Εἴ τις ἐκ τοῦ βασιλέως ἢ τῆς αὐγούστης δωρεὰν κτήσεται ἐν ὑπεξουσιότητι τυγχάνων, ἐχέτω τὰ τοιαῦτα πράγματα παντὸς προσπορισμοῦ ἀπολελυμένα, μηδὲ τούτων τὴν χρῆσιν ὁ πατὴρ ἐκδικείτω· ἀλλὰ κατὰ μίμησιν τοῦ ἰδιοκτήτου ἤτοι στρατιωτικοῦ πεκουλίου πᾶσαν ἐξουσίαν ἐν τούτοις οἱ ὑπεξούσιοι ἐχέτωσαν. ὥσπερ γὰρ ἡ βασιλικὴ τύχη πάσας ὑπερέχει τὰς ἄλλας, οὕτω χρὴ καὶ τὰς βασιλικὰς δωρεὰς ὀροφὴν ἔχειν ὑψηλὴν, τουτέστιν ὕψος ἔχειν ὑπερβαῖνον.

49. Ἐν δὲ τῷ ιδ' κεφ. Πάντων σχεδὸν τῶν πραγμάτων, ὧν

ἡ χρῆσις προσπορίζεται τοῖς πατρᾶσι, τὴν δεσποτείαν ἔχουσιν οἱ παῖδες, χωρὶς τῶν ἐκ τῶν πραγμάτων τοῦ πατρός.

50. Ἐν δὲ τῷ ε' τί. φησί· Παρανόμου ὄντος τοῦ γάμου οὔτε ἡ ἐκ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς διαδοχὴ ἁρμόζει, οὔτε κληρονομίαν ἐκ διαθήκης ἢ ἄλλο τὶ κερδαίνειν δύνανται. πρὸς δὲ τὸ ἁρμόσαι τὴν διακατοχὴν γαμετὴν εἶναι δεῖ ἐν καιρῷ τελευτῆς. εἰ γὰρ παρακολουθήσει διαζύγιον, κἂν ἐστιν ἄκυρον, οὐκ ἔχει χώραν ἡ διακατοχή. ἄκυρον δὲ λέγομεν τὸ μὴ γινόμενον κατὰ τὴν τοῦ νόμου παρατήρησιν.

51. Ἀνὴρ καὶ γυνὴ ἐξ ἀδιαθέτου ἀμοιβαδὸν ἑαυτοῖς εἰς ὁλόκληρον κατὰ τὸ ἀρχαῖον νόμιμον ὑπεισερχέσθωσαν, ὁσάκις ἀργεῖ πᾶσα ἀνιόντων ἢ κατιόντων ἢ συγγενῶν νόμιμος ἢ φυσικὴ διαδοχὴ, τοῦ δημοσίου ἀποκλειομένου.

52. Ἐν δὲ τῷ ς' τί. διαλαμβάνεται [περὶ] τοῦ καὶ τοὺς ἀρμενίους τοῖς ῥωμαίων ἀκολουθεῖν νόμοις, οὗτινος ἐν τῷ ε' κεφ. [φησί]· Θεσπίζομεν, εἴ τις ἀγράφως κατὰ διάθεσιν γαμικὴν γυναῖκα λάβοι, καὶ παῖδας ἐξ αὐτῆς ποιήσαιτο, λυθέντος δὲ τοῦ πρὸς αὐτὴν γάμου συμβῇ αὐτὸν καὶ ἑτέραν ἀγαγέσθαι γυναῖκα μετὰ προικῴων συμβολαίων, καὶ ἐξ αὐτῆς ὁμοίως ποιήσασθαι παῖδας, μηδὲν περὶ τὴν πατρῴαν κληρονομίαν τοῖς ἐκ τῆς ἀπροίκου γαμετῆς τεχθεῖσι παισὶ πρόκριμα γίνεσθαι· ἀλλὰ μετὰ τῶν ἄλλων παίδων τῶν ἐκ τῆς δευτέρας τεχθέντων γαμετῆς τῆς μετὰ προικῴων συμβολαίων συνοικησάσης εἰς τὸν τοῦ πατρὸς κἀκείνους καλεῖσθαι κλῆρον, οἷα καὶ ἐκ μόνης διαθέσεως δυναμένου τοῦ γάμου συνίστασθαι. ὅπερ ὁμοίως κρατεῖν βουλόμεθα, εἰ καὶ πρῶτον μὲν μετὰ προικῴων συμβολαίων συναφθῇ τις γαμετῇ, μετ' ἐκείνην δὲ ἑτέραν ἀγάγηται μόνῃ γαμικῇ διαθέσει.

53. Ἀνάγν. καὶ βι. ε' τί. γ' κεφ. ι', ἐν ᾧ φησι περὶ τῆς διαδοχῆς τῶν ἐπισκόπων καὶ κληρικῶν καὶ ξενοδόχων καὶ ὀρφανοτρόφων. εἴρηται δὲ καὶ ἐν τῷ περὶ ἐπισκόπων τίτλῳ.

XVII.

Περὶ κληρονόμων ἐνεχομένων ἐκ τῶν πλημμελημάτων τῶν τελευτησάντων καὶ ἐναγόντων καὶ ἐναγομένων ὑπὲρ τῶν κληρονομιαίων πραγμάτων, καὶ περὶ τῆς τούτων ἐκδικήσεως καὶ ἀπαιτήσεως καὶ ἀποκαταστάσεως ἀπὸ τῶν ταῦτα νεμομένων, εἴτε καλῇ πίστει εἴτε κακῇ.

1. Ἀνάγν. βι. ιε' τί. α' κεφ. ν' καὶ να' καὶ νε' καὶ ξς' θέμ. β' καὶ τί. δ' κεφ. ιβ' θέμ. β'.

2. Ἀνάγν. καὶ βι. κδ' τί. ζ', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἐὰν ὁ δημόσιός ἐστι χρεωστούμενος, ἡ μὲν προσωπικὴ ἀγωγὴ κατὰ

πάντων τῶν κληρονόμων ἁρμόζει τοῦ χρεώστου, ἡ δὲ ὑποθηκαρία κατὰ τοῦ διακρατοῦντος τὰ ἐνέχυρα.

3. Ἐν δὲ τῷ ζ' κεφ. Περὶ χρεῶν οἱ κληρονόμοι κατέχονται, οὐχ οἱ λεγατάριοι.

4. Εἰ δὲ μετὰ προκάταρξιν ὁ ἁμαρτήσας τελευτήσει, εἰς ὁλόκληρον παραπέμπεται ἡ ἀγωγὴ κατὰ τῶν αὐτοῦ κληρονόμων. ἐὰν δὲ πρὸ προκατάρξεως, εἰς μόνον τὸ περιελθὸν ἐνάγονται. οὐδὲ γὰρ δίκαιόν ἐστιν ἐξ ἀλλοτρίας ζημίας κερδαίνειν τοὺς κληρονόμους.

XVIII.

Περὶ κληρικῶν ἱερέων τε καὶ λοιπῶν τῶν ἐκκλησιαστικῷ βαθμῷ καταλεγομένων.

1. [Ἀνάγν. βι. β' τί. α' κεφ. α' περὶ] τοῦ μὴ ἀναγκάζεσθαι αὐτοὺς ἐπιτρόπους ἢ κουράτορας γίνεσθαι· ἀλλ' οὐδὲ ἐκλήπτορά φησιν ἢ ἀπαιτητὴν δημοσίων συντελειῶν ἢ μισθωτὴν τελῶν ἢ ἀλλοτρίων κτήσεων ἢ κουράτορα οἴκου ἢ ἐντολέα δίκης ἢ ἐγγυητὴν ὑπὲρ τούτων τῶν αἰτιῶν ἐπίσκοπον ἢ οἰκονόμον ἢ ἄλλον κληρικὸν οἱονδήποτε βαθμοῦ ἢ μοναχόν, ἰδίῳ ὀνόματι ἢ τῆς ἐκκλησίας ἢ τοῦ μοναστηρίου, ὑπεισιέναι συγχωροῦμεν, ἵνα μὴ διὰ ταύτης τῆς προφάσεως καὶ τοῖς ἁγίοις οἴκοις ζημία γένηται καὶ αἱ θεῖαι ὑπηρεσίαι ἐμποδίζωνται.

2. [Ἐν δὲ τῷ ζ' κεφ. φησὶ περὶ τῶν κατηγορίαν τινὰ ποιούντων κατὰ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου. ἐν δὲ τοῦ αὐτοῦ κεφ. θέμ. β' φησὶ περὶ ὅρκου διδομένου παρὰ τῶν χειροτονουμένων ἐπισκόπων.]

3. Ἐν δὲ τῷ κε' κεφ. Κληρικοὺς δὲ οὐκ ἄλλως χειροτονεῖσθαι συγχωροῦμεν, εἰ μὴ γράμματα ἴσασι καὶ ὀρθὴν πίστιν καὶ βίον σεμνὸν ἔχουσι, καὶ οὐδὲ παλλακὴν οὐδὲ φυσικοὺς ἔχουσιν ἢ ἔσχον παῖδας· ἀλλ' ἢ σωφρόνως βιοῦντας, ἢ γαμετὴν νόμιμον καὶ αὐτὴν μίαν καὶ πρώτην ἐσχηκότας ἢ ἔχοντας, καὶ μηδὲ χήραν μηδὲ διαζευχθεῖσαν ἀνδρὸς μηδὲ ἄλλως τοῖς νόμοις ἢ τοῖς θείοις κανόσιν ἀπηγορευμένην.

4. Ἐν δὲ τῷ λ' κεφ. Καὶ γενικῶς νομοθετοῦμεν, μηδενὶ ἐξεῖναι ἐν οἱῳδήποτε ἐκκλησιαστικῷ βαθμῷ καθεστῶτι ἀναχωρεῖν ἐξ αὐτοῦ καὶ κοσμικὸν γίνεσθαι· ἐπισταμένων τῶν οὕτω ποιούντων, ὅτι καὶ τῆς ὡς εἰκὸς ἐπικειμένης αὐτοῖς ζώνης ἢ ἀξίας ἢ στρατείας γυμνωθήσονται καὶ τῇ τάξει τῆς ἰδίας πόλεως παραδοθήσονται.

5. Ἐν δὲ τῷ λα' κεφ. Ἀλλ' οὐδὲ κληρικὸν οἱονδήποτε βα-

θμοῦ διδόναι τὶ ἐκείνῳ ὑφ᾽ οὗ χειροτονεῖται ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ συγχωροῦμεν· μόνας δὲ παρέχειν αὐτὸν τὰς συνηθείας τοῖς τῷ χειροτονοῦντι ὑπηρετουμένοις καὶ ἐξ ἔθους κομιζομένοις, ἑνὸς ἐνιαυτοῦ διάρια[1] μὴ ὑπερβαινούσας. ἐν δὲ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ἐν ᾗ[2] κατατάττεται τὴν θείαν πληροῦν λειτουργίαν, καὶ μηδὲν παντελῶς τοῖς ἰδίοις συγκληρικοῖς διδόναι ὑπὲρ τῆς ἰδίας ἐμφανείας, μηδὲ διὰ ταύτην τὴν αἰτίαν τῶν ἰδίων παραμυθιῶν ἢ τῶν ἄλλων μεριτικῶν αὐτὸν ἀποστερεῖσθαι.

Ἀλλὰ μηδὲ ξενοδόχον ἢ πτωχοτρόφον ἢ νοσοκόμον ἢ ἄλλον οἱονδήποτε εὐαγοῦς οἴκου διοικητὴν ἢ οἱονδήποτε ἐκκλησιαστικὸν φρόντισμα χειρίζοντα διδόναι τὶ ἐκείνῳ ὑφ᾽ οὗ προβάλλεται ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ ὑπὲρ τῆς ἐμπιστευθείσης αὐτῷ διοικήσεως. ὁ δὲ παρὰ ταῦτα ἅπερ διετυπώσαμεν ἢ διδοὺς ἢ λαμβάνων ἢ μεσίτης γενόμενος τῆς ἱερωσύνης ἤτοι τοῦ κλήρου ἢ τῆς ἐμπιστευθείσης αὐτῷ οἱασδήποτε διοικήσεως γυμνωθήσεται, τῶν δεδομένων ἐκδικουμένων τῷ εὐαγεῖ τόπῳ, οὗτινος τὸ τοιοῦτον πρόσωπον τὴν χειροτονίαν ἢ φρόντισμα ἢ διοίκησιν ἔλαβεν. εἰ δὲ κοσμικὸς εἴη ὁ λαμβάνων ἢ μεσίτης γινόμενος, τὸ δοθὲν διπλοῦν ἀπαιτηθήσεται, καὶ τῷ εὐαγεῖ τόπῳ, ἐν ᾧ τὸ τοιοῦτον πρόσωπον τὴν διοίκησιν ἢ τὴν χειροτονίαν ἢ φροντίδα ἔλαβε, παρεχέσθω.

6. Ἐν δὲ τῷ μα΄ κεφ. Τοῖς δὲ πρεσβυτέροις καὶ διακόνοις καὶ ὑποδιακόνοις καὶ πᾶσι τοῖς ἄλλοις τοῖς ἐν κλήρῳ τεταγμένοις, μὴ ἔχουσι γαμετὰς κατὰ τοὺς θείους κανόνας, ἀπαγορεύομεν καὶ ἡμεῖς κατὰ τὴν τῶν ἁγίων κανόνων δύναμιν γυναῖκά τινα ἐν τῷ ἰδίῳ οἴκῳ ἐπείσακτον ἔχειν, δίχα μέντοι μητρὸς καὶ θυγατρὸς καὶ ἀδελφῆς καὶ τῶν ἄλλων προσώπων, ἅτινα πᾶσαν ὑποψίαν ἐκφεύγει. ἐπίσκοπον δὲ μηδεμίαν παντελῶς γυναῖκα ἔχειν ἢ μετ᾽ αὐτῆς οἰκεῖν συγχωροῦμεν. εἰ δὲ ἀποδειχθείη τοῦτο μηδαμῶς φυλάξας, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω. αὐτὸς γὰρ ἑαυτὸν δείκνυσιν ἀνάξιον τῆς ἱερωσύνης.

7. Ἐν δὲ τῷ μβ΄ κεφ. Διακόνισσαν δὲ οὐδενὶ τρόπῳ μετὰ ἀνδρός, ἐξ οὗ δύναται ἀσέμνου βίου ἀναφαίνεσθαι ὑποψία, οἰκεῖν συγχωροῦμεν. εἰ δὲ ταῦτα μὴ παραφυλάξει, ὁ ἱερεὺς ὑφ᾽ ὃν τέτακται ὑπομιμνησκέτω ταύτην, ἵνα πᾶσι τρόποις ἐκβάλῃ τὸν τοιοῦτον ἄνδρα ἐκ τοῦ ἰδίου οἴκου. εἰ δὲ τοῦτο ὑπέρθηται πρᾶξαι, τῆς ἐκκλησιαστικῆς ὑπηρεσίας καὶ τῶν

[1] Lips. διάῤῥοιαν. [2] Lips. ὑφ᾽ οὗ.

ἰδίων διαρίων ἀλλοτριουμένη ἐν μοναστηρίῳ παραδιδόσθω, κἀκεῖ πάντα τὸν τῆς ἰδίας ζωῆς χρόνον διατελείτω· τῶν πραγμάτων αὐτῆς, εἰ μὲν παῖδας ἔχει, μεταξὺ αὐτῆς κἀκείνων κατὰ τὸν ἀριθμὸν τῶν προσώπων διαιρουμένων, ἵνα τὸ ἁρμόζον τῇ αὐτῇ γυναικὶ τὸ μοναστήριον λαμβάνον ταύτην ἀποτρέφῃ. εἰ δὲ μὴ ἔχῃ παῖδας, πᾶσα ἡ αὐτῆς περιουσία μεταξὺ τοῦ μοναστηρίου ἐν ᾧ ἐμβάλλεται καὶ τῆς ἐκκλησίας ἐν ᾗ πρότερον ἐτέτακτο ἐξ ἴσης μοίρας διαιρείσθω.

8. Ἀνάγν. καὶ τί. β' καὶ τί. γ' καὶ τί. δ'[a].

XIX.

Περὶ κλοπῆς γενομένης ὑπὸ ἐλευθέρων τε καὶ δούλων, καὶ περὶ τῶν κλοπιμαίων, καὶ περὶ τῆς παρὰ φαμιλίας γενομένης κλοπῆς, καὶ περὶ τῆς ἐν πανδοχείῳ ἢ καπηλείῳ γενομένης, καὶ περὶ τῆς τῶν κληρονομιαίων κλοπῆς, καὶ τῆς γινομένης εἰς σάκκους ἢ ἐσθῆτας τουτέστι τῶν ἐκδυόντων ἀνθρώπους κλεπτῶν.

1. Ἀνάγν. βι. θ' τί. γ' κεφ. να', ἐν ᾧ φησιν· Ἐν τῇ ἀγωγῇ τῇ περὶ κλοπιμαίων εἰς τὸ πᾶν ὁ ἀνὴρ τῇ γυναικὶ κατακρίνεται· ἁμάρτημα γάρ ἐστιν.

2. Ἀνάγν. καὶ βι. ιε' τί. β' κεφ. ια'· Τὸ συλληφθὲν παρὰ τῷ καλῇ πίστει [ἐκ] τῆς κλοπιμαίας [διὰ] τῆς πουβλικιανῆς ἀπαιτεῖται, κἂν μὴ ἐνεμήθη[1] αὐτόν[a]. τῷ δὲ κληρονόμῳ τοῦ κλέπτου οὐχ ἁρμόζει.

Ἔσθ' ὅτε κἂν μὴ ἠγόρασα, ἀλλ' ἐδωρήθη μοι ἡ κλοπιμαία, ἔχω ἐπὶ τῷ παρ' ἐμοὶ συλληφθέντι καὶ τεχθέντι ἐξ αὐτῆς τὴν πουβλικιανὴν, ἐὰν ἐν τῷ κινεῖν ἀγνοῶ τὴν μητέρα κλοπιμαίαν.

Ἐξ ὧν γὰρ αἰτιῶν ἐδυνάμην διὰ χρήσεως κτήσασθαι τὴν μητέρα, εἰ μὴ κλοπιμαία ἦν, ἐκ τῶν αὐτῶν αἰτιῶν διὰ χρήσεως κτῶμαι τὸν τοκετὸν ἀγνοῶν τὴν μητέρα κλοπιμαίαν.

---

[a] Ἀνάγνωθι καὶ νεαρὰν ρκα', ἐν ᾗ φησι περὶ χειροτονίας καὶ περὶ προνομίων αὐτῶν. καὶ νεαρὰν ρλζ', ἐν ᾗ καὶ περὶ ἀριθμοῦ τῶν κληρικῶν φησι. καὶ νεαρὰν ς' ἀπὸ τοῦ ια' κεφ. φησὶ γὰρ περὶ τῆς χειροτονίας αὐτῶν καὶ περὶ διακονισσῶν. καὶ νεαρὰν νς', ἐν ᾗ φησι περὶ τῶν διδομένων ἐμφανιστικῶν παρὰ τῶν χειροτονουμένων κληρικῶν τῆς μεγάλης ἐκκλησίας.

[a] Θὲς γὰρ ὅτι παρ' αὐτῷ συλλαβοῦσα ἡ θεράπαινα παρ' ἄλλῳ τέτοκεν.

---

[1] Lips. ἐνεθυμήθη. Mox αὐτὸ legerim.

3. Ἀνάγν. βι. ν' τί. δ' κεφ. θ' καὶ ιζ', ἐν ᾧ φησιν· Ἐάν τις καλῇ πίστει ἀγοράσῃ δούλην κλοπιμαίαν, ἐκείνη δὲ συλλάβῃ παρ' αὐτῷ καὶ γεννήσῃ, εἰ καὶ αὐτὴ εἰς αἰτίαν κλοπιμαίαν ἐνέπεσεν, οὐκ ἔστιν ὁ τοκετὸς κλοπιμαῖος καὶ δύναται διὰ τῆς χρήσεως δεσποθῆναι.

4. Ἀνάγν. καὶ βι. ξ' τί. ϛ' ἀπὸ τοῦ ιθ' κεφ., ἐν ᾧ φησιν· Ὁ ἀγοράσας κλοπιμαῖα καὶ ἀπαιτούμενος εἰπεῖν τὸν πεπρακότα οὐκ ὀφείλει λέγειν, ὅτι ἀγνοῶ τίς ἐστιν· παρερχόμενος γάρ τις πέπρακέ μοι αὐτὰ καὶ ὥδευσεν· ἀλλ' ὀφείλει λέγειν τὸν κλέπτην.

5. Ἐν δὲ τῷ κ' κεφ. Ὁ λαβὼν χρήματα ἐφ' ᾧ διακομίσαι τινὶ, καί τινα ἐξ αὐτῶν παρακατασχὼν καὶ συγχρησάμενος αὐτοῖς, κλοπὴν ἁμαρτάνει.

6. Ἐν δὲ τῷ κα' κεφ. Ἐὰν μὴ ἀγνωμονοῦντός τινος περὶ τὰς συντελείας ὁ ἀπαιτητὴς ἔλαβε πράγματα καὶ πέπρακε, κλοπὴν ἁμαρτάνει· ὅθεν καὶ εἰς τὸ διπλοῦν κατέχεται αὐτὸς, καὶ οὐδὲ ὁ ἀγοράσας ἀπὸ τῆς χρήσεως δεσπόζει τὸ πρᾶγμα.

7. Ἐν δὲ τῷ κε' κεφ. Ἡ μητρυιὰ ἡ κλέψασα τὰ πράγματα τοῦ ἰδίου προγονοῦ καλῶς ἐνάγεται εἰς τὸ διπλοῦν.

8. Ἐν δὲ τῷ κθ' κεφ. Ἡ μὲν περὶ κλοπῆς ἀγωγὴ κατὰ κληρονόμων οὐ παραπέμπεται. ἡ δὲ ἀγωγὴ ἡ ἀπαιτοῦσα τὸ κλαπὲν πρᾶγμα κατὰ παντὸς νεμομένου ἁρμόζει. ἀντιγέγραπται δὲ ἡ διάταξις περί τινος δικαιώματα κλέψαντος καὶ τελευτήσαντος.

9. Ἀνάγν. καὶ τί. ι'. διαλαμβάνει γὰρ περὶ τῆς τῶν κλοπιμαίων ἀπαιτήσεως. οὗτινος ἐν τῷ ιβ' κεφ. φησί· Δοῦλος ἐξ ἄλλου κλέπτων ἐνάγεται τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἀγωγῇ μετὰ τὴν ἐλευθερίαν, οὐ μὴν καὶ τῇ ἀπαιτούσῃ τὸ κλαπὲν, εἰ μὴ ψηλαφήσει ἐλεύθερος ὤν.

10. Ἐν δὲ τῷ ιζ' κεφ. Ἐὰν πρὶν ἢ προσαγάγῃ τὸ πρᾶγμα ὁ κλέπτης συμβῇ ἀπολέσθαι, τῷ κλέπτῃ κινδυνεύεται.

11. Ἀνάγν. καὶ τί. ια', οὗτινος ἐν τῷ β' κεφ. θέμ. δ' φησί· [Καὶ ὁ δούλην κλέψας, καὶ διαφθείρας τοὺς τρόπους αὐτῆς ἢ τὸ σῶμα, ἐνέχεται καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν καὶ τῇ κατὰ τῶν φθειρόντων οἰκέτας.

12. Ἀνάγν. καὶ τί. ιβ', οὗτινος ἐν τῷ β' κεφ. φησί·] Τῆς κλοπῆς δύο γένη εἰσὶ, φανερὸν καὶ ἀφανές.

13. Φανερὸς κλέπτης ἐστὶν, ὁ μετὰ τοῦ κλοπιμαίου πράγματος ἐξ οἱουδήποτε προσώπου συλλαμβανόμενος,

14. Πρὶν ἢ τὸ πρᾶγμα ἐπαγάγῃ ἔνθα προέθετο,

15. Ἐν αὐτῇ τῇ ἡμέρᾳ, εἴτε ἐν δημοσίῳ εἴτε ἐν ἰδιωτικῷ τόπῳ.

Εἰ δὲ ἀπήγαγεν αὐτὸ ἔνθα προέθετο, κἂν λοιπὸν συλληφθῇ μετ᾽ αὐτοῦ, οὐκ ἔστι φανερὸς κλέπτης.

16. Ἐν δὲ τῷ ζ' κεφ. Δοῦλος κλέψας, καὶ μετὰ ἐλευθερίαν κρατούμενος, οὐκ ἔστι φανερὸς κλέπτης.

Τὸ κρατηθῆναι τὸν κλέπτην ποιεῖ αὐτὸν φανερόν. εἰ γὰρ κλέπτοντά με ἐν τῷ οἴκῳ σου θεωρῶν κρύψας[1] σεαυτὸν ἵνα μὴ φονευθῇς, οὐκ εἰμι φανερὸς κλέπτης.

Εἰ δὲ ἐπεδίωξάς με κρατῆσαι καὶ τὸ κλοπιμαῖον ῥίψας ἔφυγον, φανερὸς κλέπτης εἰμί.

Καὶ οὐ διαφέρει, εἴτε ὁ δεσπότης συνέσχεν, ἢ γείτων ἤ τις παριών.

17. Ἐν δὲ τῷ ις' κεφ. Οὔτε ἡμεῖς κατὰ τῶν ὑπεξουσίων ἡμῶν ἔχομεν τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴν, οὔτε αὐτοὶ καθ᾽ ἡμῶν.

18. Ἐν δὲ τῷ κς' κεφ. Ἀσφαλειῶν ὑποκλαπεισῶν οὐ μόνον τὸ τίμημα τῶν χαρτῶν, ἀλλὰ καὶ τὸ περιεχόμενον αὐταῖς [ποσὸν] διπλασιάζεται.

Καὶ ὁ κλέψας ἀποχὴν εἰς τὸ διαφέρον ἐνέχεται τῷ διπλῷ· οὐ διαφέρει δὲ, ἐὰν ἑτέρωθεν ἡ καταβολὴ δείκνυται.

Ὁ δὲ μὴ ἀποκινήσας, ἀλλ᾽ ἀπαλείψας τὸ δικαίωμα, οὐ μόνον τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ, ἀλλὰ καὶ τῷ ἀκουϊλίῳ ἐνέχεται.

19. Ἐν δὲ τῷ λδ' κεφ. Υἱὸς καὶ δοῦλος καὶ γαμετὴ οὐχ ὑπόκεινται τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ. [ὁ μέντοι σπουδὴν αὐτοῖς εἰσαγαγὼν ἐνέχεται τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἀγωγῇ.]

20. Ἐν δὲ τῷ να' κεφ. Τῆς ποινῆς καταβληθείσης σώζεται ἡ τοῦ κλαπέντος ἐκδίκησις, καὶ τοῦ κλαπέντος πράγματος καταβληθέντος σώζεται ἡ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἀγωγή.

Τὸν νυκτερινὸν κλέπτην[b] τὸν ἔξω πόλεως ἔξεστι φονεύειν, κἂν στρατιώτης ἐστί· τὸν δὲ ἐν πόλεσιν οὐκ ἔξεστι φονεύειν, εἰ μὴ ἐὰν ἄλλως διαφυγεῖν τὸν κίνδυνον ὁ φονεύσας οὐκ ἠδύ-

---

[b] Περὶ νυκτερινοῦ κλέπτου ἀνάγν. καὶ βι. ι' τί. β' κεφ. ζ', ἐν ᾧ φησιν, ὅτι οὐ πάντα μοιχὸν ἢ κλέπτην ἔξεστι φονεύειν· ἀλλὰ τὸν ἀκοντίῳ ἑαυτὸν διεκδικοῦντα.

[1] Basil. κρύψεις. Recte.

νατο. τὸν δὲ ἡμερινὸν οὐκ ἔξεστι φονεύειν, εἰ μὴ ἀκόντιον ἐπιφέρεται. πάντα δὲ τὰ βλάπτοντα τῇ τοῦ ἀκοντίου προσηγορίᾳ δίδοται[1]. ἐπὶ ἑκατέρου δὲ δεῖ τοῦτο μετὰ κραυγῆς διαμαρτύρασθαι. οἱ ἐν[2] νυκτὶ κλέπτοντες αὐστηρῶς κολάζονται μέχρι τοῦ πρὸς καιρὸν εἰς δημόσιον ἔργον ἐμβληθῆναι. τὸ αὐτὸ καὶ [ἐπὶ τῶν] ἐν βαλανείοις κλεπτόντων. εἰ δὲ οἱ κλέπται ἢ οἱ διορύσσοντες ἢ οἱ παραπλήσιοι διεκδικοῦσιν ἑαυτοὺς ἀκοντίῳ, κἂν μηδένα πλήξωσιν, εὐτελεῖς μὲν ὄντες μεταλλίζονται, οἱ δὲ ἔντιμοι ἐξορίζονται. ὁ δὲ ἐν ἡμέρᾳ κλέπτων, εἰ μὲν φανερὸς κλέπτης ἐστὶν, εἰς τὸ τετραπλάσιον ἐνάγεται· ὁ[3] δὲ ἀφανὴς εἰς τὸ διπλάσιον. καὶ τὸν οἱονδήποτε σίδηρον ἐπιφερόμενον ἀκινδύνως τὶς φονεύει. καὶ ὁ φόβῳ τοῦ μὴ ἀποθανεῖν ἀνελὼν τὸν κλέπτην οὐχ ὑπόκειται ποινῇ, εἰ μὴ δυνάμενος αὐτὸν κατασχεῖν ἀνεῖλεν· ὁ γὰρ τοιοῦτος καὶ τῷ περὶ ἀνδροφόνων ὑπόκειται νόμῳ.

21. Ἀνάγν. καὶ τί. ιγ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ἐν διαθήκῃ ἐλευθερωθεὶς ἐὰν πρὸ ὑπεισελεύσεως τῆς κληρονομίας βλάψῃ τὴν κληρονομίαν, εἰς τὸ διπλάσιον εἴσω ἐνιαυτοῦ ἐνέχεται.

Ἵνα [δὲ] ἁρμόσῃ αὕτη ἡ ἀγωγὴ, δεῖ συνδραμεῖν καὶ δόλον τοῦ ἀπελευθέρου.

22. Ἀνάγν. καὶ τί. κθ', οὗτινος ἐν τῷ η' κεφ. φησί· Δύναταί τις καὶ κατὰ πατρωοῦ κινῆσαι τὸ περὶ ἀποσυλήσεως κληρονομιαίων πραγμάτων ἔγκλημα.

23. Ἐν δὲ τῷ θ' κεφ. Εἴτε οἱ ἐλευθερωθέντες ἐνάγονται τῷ περὶ ἀποσυλήσεως κληρονομιαίων πραγμάτων ἐγκλήματι εἴτε οἱ λεγατάριοι, οὐ χρὴ προσχήματι κολάσεως ἀποστερῆσαι αὐτοὺς τῶν καταλειφθέντων αὐτοῖς λεγάτων ἢ τῶν καταλειφθεισῶν αὐτοῖς ἐλευθεριῶν.

24. Ἀνάγν. καὶ βι. μδ'[4] τί. δ' κεφ. κθ', ἐν ᾧ φησιν· Ἐάν τινι λεγατευθῇ μέρος τινῶν πραγμάτων, καί τινα ἐξ αὐτῶν τῶν πραγμάτων κλέψῃ, ἀπὸ τῆς οὐσίας δηλονότι, τὴν ἐπὶ τῷ μέρει τῶν αὐτῶν πραγμάτων ἀγωγὴν ἀπόλλυσιν.

25. Ἀνάγν. καὶ βι. ξ' τί. ε' κεφ. κζ', ἐν ᾧ φησιν· Ἐὰν ἡ φαμιλία μου κλέψῃ, καὶ μὴ θέλω ἐκδοῦναι αὐτοὺς, τοσοῦτον δίδωμι, ὅσον εἷς ἐλεύθερος κλέψας, τουτέστι τὸ διπλοῦν καὶ τὴν τοῦ πράγματος διατίμησιν, εἴτε ἐν χρήμασιν εἴτε διὰ τῆς ἐκδό-

---

[1] Bas. δηλοῦται. [2] Lips. οἷον. [3] Leuncl. εἰ. [4] Lips. μη'.

σεώς[1] τινων τῶν ἡμαρτηκότων, καὶ οὐκ ἐνάγομαι περὶ τῶν λοιπῶν.

26. Ἀνάγν. καὶ τί. ιε', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἐὰν πολλῶν κλεψάντων ἢ ζημιωσάντων ὀνόματι τοῦ ἑνὸς κινηθῇ κατὰ τοῦ δεσπότου, ἐπὶ τοσοῦτον ὀνόματι τῶν ἄλλων ἐπέχεται ἡ ἀγωγὴ, ἕως οὗ ἐν τῷ πρώτῳ δικαστηρίῳ ὁ ἐνάγων δυνηθῇ λαβεῖν, ὅσον ἐλεύθερον κλέψαντα παρασχεῖν ἐχρῆν,

27. Τουτέστι καὶ τὴν ποινὴν τοῦ διπλοῦ, καὶ τὸ ἁπλοῦν τοῦ πράγματος. εἰ δὲ ἄποροι εἶεν οἱ τοῦτο πεπραχότες, τυπτόμενοι ἐξοριζέσθωσαν. ἐὰν δὲ οὐχ ἅπαξ, ἀλλὰ πολλάκις ἐπὶ κλοπῇ ἁλῶσι, χειροκοπείσθωσαν.

28. Καὶ ἐλευθεροῦται οὐ μόνος αὐτὸς, ἀλλὰ καὶ ὁ ἀγοράσας τινὰ τῶν κλεψάντων, καὶ αὐτὸς ὁ κλέψας ἐλευθερούμενος.

29. Ἀνάγν. καὶ τί. ιδ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν κλαπῇ τι ἐν καπηλείῳ ἢ ἐν πανδοχείῳ παρὰ τῶν ὄντων ἐν αὐτοῖς, εἴτε συμβουλῇ καὶ συνεργείᾳ τοῦ προεστῶτος, ἐξουσίαν ἔχει ὁ κλαπεὶς ἢ τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴν κινῆσαι κατὰ τοῦ κλέπτου, ἢ τὴν πραιτορίαν κατὰ τοῦ προεστῶτος τοῦ καπηλείου.

Εἰ μέντοι τὴν φυλακὴν τοῦ πράγματος ὁ κάπηλος ἀνεδέξατο, αὐτὸς ἔχει τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴν, καὶ οὐχ ὁ δεσπότης.

Ὀνόματι ἐλευθέρου καὶ δούλου ἀλλοτρίου εἰς ὁλόκληρον ἐνάγεται· τὸν ἴδιον δὲ δοῦλον εἰς νόξαν ἐκδιδοὺς ἐλευθεροῦται.

Καὶ τῶν πρὸς ὑπουργίαν τοῦ καπηλείου ὄντων ἐν αὐτῷ καὶ τῶν ἐκεῖ διηνεκῶς οἰκούντων ἐπιγινώσκει τὰ ἀποτελέσματα ὁ κάπηλος, οὐ μὴν τῶν παροδευόντων. οὐ γὰρ αὐτοὺς ἀπωθεῖσθαι δύναται ὁ πανδοχεύς.

30. Ἀνάγν. καὶ τί. κβ' κεφ. ζ', ἐν ᾧ φησιν· Οἱ ἀπὸ σάκκων κλέπτοντες ἢ διαίταις ἀλλοτρίαις διὰ τὸ κλέψαι ὑπεισιόντες ὑπὲρ τοὺς κλέπτας τιμωροῦνται, καὶ ἢ πρὸς καιρὸν δίδονται εἰς δημόσιον ἔργον, ἢ ῥοπαλίζονται καὶ ἀπολύονται, ἢ προσκαίρως ἐξορίζονται.

31. Ἀνάγν. καὶ τί. κη' κεφ. α', ἐν ᾧ φησιν· Οἱ τοὺς ἀνθρώπους ἐκδύοντες, ὡς τραχύτεροι τῶν κλεπτῶν εἰς ἔργον δημόσιον προσκαίρως ἢ διηνεκῶς ἐμβάλλονται· οἱ δὲ τιμιώτεροι προσκαίρως ἀποκινοῦνται τοῦ ὀφφικίου, ἢ τῆς αὐτῶν πατρίδος

---

[1] Lips. ἐκδικήσεως.

ἐξορίζονται. ἔνθα γὰρ παρὰ τῶν νόμων ἰδικὴ ποινὴ οὐχ ὥρισται, ἔξεστι τῷ δικάζοντι ἐπαγαγεῖν ἣν βούλεται.

32. Περὶ τῶν μὴ δυναμένων ἐνάγεσθαι τῇ περὶ κλοπῆς ἀγωγῇ [καὶ ἀφαιρέσεως πραγμάτων, καὶ περὶ κλοπῆς γενομένης ἐν τοῖς τῷ δημοσίῳ διαφέρουσι] προείρηται ἐν τῷ περὶ δημοσίου.

XX.

Περὶ κογχυλευτῶν.

1. Ἀνάγν. βι. νδ' τί. ις', ἐν ᾧ καὶ περὶ ὀξυβάφων διαλαμβάνει, οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἐπειδὴ οἱ καθολικοὶ τῶν ἡμετέρων πραγμάτων, ἔτι μὴν καὶ οἱ βαφεῖς καὶ οἱ γυναικειάριοι, πολλὰ διέφθειραν καὶ ἐκακούργησαν, τοῦτο δὲ γέγονεν ἐκ τοῦ γενέσθαι αὐτοὺς κατὰ προστασίαν, διὰ τοῦτο συνορῶμεν τοῦ λοιποῦ μὴ γίνεσθαι οὕτω τινά, ἐπεὶ εἰς κεφαλὴν ὁ τοιοῦτος τιμωρηθήσεται.

2. Ἐν δὲ τῷ ια' κεφ. Ἐὰν κογχυλευτὴς στρατεύσηται ἢ ἀξιώματος τύχῃ, οὐδὲν ἧττον τῇ οἰκείᾳ ἀποδοθήσεται τύχῃ. εἰ δὲ ὁμόεθνός τις ἔλαβε παρ' αὐτοῦ εἴδη τινά, ἀναδιδότω αὐτά.

XXI.

Περὶ κοινωνίας καὶ λύσεως αὐτῆς, καὶ περὶ κοινοπραξίας, καὶ περὶ δαπανημάτων γινομένων παρὰ [τῶν] κοινωνῶν.

1. Ἀνάγν. βι. ιβ' τί. α' κεφ. α'· Συνίσταται κοινωνία ἢ διηνεκῶς, τουτέστιν ἕως οὗ ζῶσιν, ἢ πρὸς καιρὸν, ἢ ἀπὸ καιροῦ, ἢ ὑπὸ αἵρεσιν[1].

2. Ἐν δὲ τῷ β' κεφ. Ἐν τῇ κοινωνίᾳ τῶν πραγμάτων πάντων παραχρῆμα τῶν συναλλασσόντων[2] πάντα γίνεται κοινὰ, ὡς[3] σιωπηρῶς παραδεδομένα, πλὴν τῶν χρεῶν[a].

3. Ἐν δὲ τῷ γ' κεφ. Ἐὰν ῥητῶς πάντων τῶν πραγμάτων γένηται κοινωνία, καὶ κληρονομία καὶ λεγάτα καὶ δωρεαὶ καὶ πᾶν κέρδος τῇ κοινότητι προσπορίζεται.

Ἡ κατὰ δόλον καὶ ἀπάτην γινομένη κοινωνία οὐκ ἔρρωται. τούτοις γὰρ ἡ ἀγαθὴ πίστις ἐναντιοῦται.

---

[a] Τὰς γὰρ ἐπ' αὐτοῖς ἀγωγὰς ἀλλήλοις ἐκχωροῦσιν.

---

[1] Lips. addit: χωρὶς τῶν προϋπαρχόντων αὐτοῖς χρεῶν. Quae scholii loco ad verba ultima capitis seq. pertinere videntur. [2] Lips. τῶν ἄλλων συναλλ. Glossema est. [3] Lips. καὶ εἰ μὴ παραδοθῶσιν ὡς σιωπ. Glossema.

4. Ἐν δὲ τῷ δʹ κεφ. *Συνίσταται κοινωνία πράγματι καὶ ῥήματι*[b] *καὶ δι᾽ ἀγγέλου, καὶ διαλύεται ἀπαγορεύσει, θανάτῳ, καταστάσεως ἐναλλαγῇ καὶ ἀπορίᾳ.*

5. *Συνίσταται καὶ ἐπὶ πᾶσι τοῖς πράγμασι, καὶ ἐπὶ πραγματείᾳ καὶ ἐπὶ τέλει καὶ ἐφ᾽ ἑνὶ πράγματι. καὶ μεταξὺ τῶν ἄνισον οὐσίαν ἐχόντων· ὁ γὰρ πενέστερος ὡς ἐπίπαν τὸ λεῖπον ἐν χρήματι διὰ τῆς σπουδῆς ἀντεισάγει.*

6. Ἐν δὲ τῷ ζʹ κεφ. *Ἐὰν ἁπλῶς γένηται κοινωνία, καὶ μὴ λεχθῇ ἐπὶ τίνι, δοκεῖ συνίστασθαι ἐπὶ τῷ πόρῳ, τουτέστιν ἐπὶ τῷ περιγενομένῳ πόρῳ καὶ κέρδει ἀπὸ πράσεως καὶ ἀγορασίας καὶ μισθώσεως καὶ ἐκλήψεως.*

7. Ἐν δὲ τῷ ιζʹ κεφ. *Ἐὰν ἀπαγορεύσω τῷ ἀπολιμπανομένῳ μου κοινωνῷ, ὅσα μὲν κτήσομαι ἕως οὗ μάθῃ, κοινὰ γίνεται· ἡ δὲ ζημία μόνον ἐμὲ ὁρᾷ. τὸ δὲ κέρδος τοῦ κοινωνοῦ αὐτοῦ μόνου ἐστὶ, καὶ ζημία κοινή.*

Ἐν τῇ συστάσει τῆς κοινωνίας οὐδὲν δεῖ περὶ τῆς ἀπαγορεύσεως συμφωνεῖν. κατὰ φύσιν γὰρ τῆς κοινωνίας μενούσης[1] *ὁ παρὰ καιρὸν ἀπαγορεύσας ἐνέχεται*[2].

8. Ἐν δὲ τῷ κεʹ κεφ. *Τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα ἐπιγινώσκει ὁ κοινωνὸς, κἂν ἐν πολλοῖς ἑτέροις ὠφέλησεν.*

9. *Οὐδὲ γὰρ συλλογίζεται τῷ κέρδει ἡ ἀμέλεια.*

10. Ἐν δὲ τῷ κθʹ κεφ. *Ἐὰν μὴ λεχθῇ τὰ μέρη, ἴσα εἰσί. δυνατὸν δὲ συμφωνεῖν, τὸν μὲν ἔχειν ἓν μέρος, τὸν δὲ δύο ἢ τρία· ἐὰν μέντοι* [*τὶ*] *πλέον εἰσαγάγῃ τῇ κοινωνίᾳ, ἢ ἐν χρήμασιν ἢ ὑπουργίᾳ ἢ ἑτέρῳ τινί.*

Καὶ ἵνα τὶς μὴ ζημιῶται μὲν, τοῦ δὲ κέρδους ἐστὶ κοινωνὸς, ἐὰν τοσαύτη ἐστὶν ἡ ὑπουργία, ὅσον ἡ ζημία, ἐὰν μόνος πλῇ ἢ κινδυνεύῃ ἢ ξενιτεύῃ.

Οὐ δυνατὸν συμφωνεῖν, ὥστε τὸν μὲν μόνον τὴν ζημίαν, τὸν δὲ τὸ κέρδος οἰκειοῦσθαι.

11. Ἐν δὲ τῷ λβʹ κεφ. *Ὅτε μὲν ἀπὸ συναινέσεως γένηται κοινωνία, χώρα τῇ περὶ κοινωνίας ἀγωγῇ· ὅτε δὲ χωρὶς συναινέσεως, κοινοπραξία ἐστίν.*

12. Ἐν δὲ τῷ μγʹ κεφ. *Ὁ κοινωνός μου ἐπὶ τῷ κοινῷ πρά-*

---

b *Πράγματι, ἔνθα τὰ πράγματα συνεισφέρονται· καὶ ῥήματι, ἔνθα εἴπωμεν, ἐσόμεθα κοινωνοί.*

---

1 Leuncl. et Bas. *μενούσης* omittunt. 2 Labbaeus p. 33 (sequutus Cod. Paris. 1351?) thema addendum esse dicit hoc: *Ὁ κοινωνὸς τοῦ κοινωνοῦ μου οὐκ ἔστι μου κοινωνός.* Cf. Bas. XII, 1, 20.

γματι καὶ τῇ περὶ κλοπῆς καὶ τῇ περὶ κοινωνίας ἀγωγῇ ἐνέχεταί μοι· καὶ οὐκ ἀναιρεῖ τὴν ἑτέραν ἡ ἑτέρα.

13. Ἐν δὲ τῷ μθ' κεφ. Ὁ κοινωνὸς ἀπὸ δόλου ἐνέχεται. εἰ δὲ τέχνην ἢ ὑπηρεσίαν ἐν τῷ συνίστασθαι τὴν κοινωνίαν ὑπέσχετο, καὶ ἀπὸ ἀμελείας ἐνέχεται.

Καὶ ὅτι τὰ τυχηρὰ ὁ κοινωνὸς οὐκ ἐπιγινώσκει. ὅθεν τὰ δοθέντα διατετιμημένα θρέμματα, εἰ μὲν ὑπὸ λῃστῶν ἀφαιρεθῶσι, κοινὴ γίνεται ἡ ζημία· εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐσχηκὼς αὐτὰ ζημιοῦται· χρεωστεῖ γὰρ φυλακὴν ὁ δεξάμενος διατετιμημένα. καὶ ἁρμόζει ἡ περὶ κοινωνίας ἀγωγὴ, ἐὰν ἐπὶ κοινωνίᾳ ἐδόθησαν βόσκεσθαι.

Ἐὰν ὁ κοινωνὸς ἐπὶ κοινῇ ἀποδημήσας ἐμπορίᾳ περιέπεσε λῃσταῖς, καὶ ἀπώλεσεν ἴδια χρήματα ἢ πράγματα, ἅτινα εἰ μὴ διὰ τὴν ἐμπορίαν οὐκ ἐλάμβανε, τὸ μέρος τῆς ζημίας ἐπιγινώσκει ὁ κοινωνὸς, καὶ τῶν περὶ τὴν ἰατρείαν δαπανῶν. τὸ αὐτό ἐστι κἂν πλέων μετὰ τῆς πραγματείας ἐναυάγησε καὶ ἐζημιώθη· ὅτε χωρὶς θαλάσσης οὐκ εἰώθει ἡ πραγματεία φέρεσθαι.

Εἰ καὶ τὰ μάλιστα ὁ αὐτεξούσιος οὐ συνεισάγει τῷ μείναντι ὑπεξουσίῳ τὰ ἀπὸ στρατείας προσγινόμενα καὶ τὰ σιτηρέσια, ἐπειδὴ εἰ καὶ ὑπεξούσιος ἦν οὐ προσεπόριζεν αὐτὰ τῷ πατρὶ, ὅμως ἐὰν ἀδελφοὶ κοινωνίαν συστήσωνται, καὶ ταῦτα κοινοποιοῦνται.

14. Ἐν δὲ τῷ ν' κεφ. Ὁ κοινωνὸς ὑπερτιθεμένων τῶν ἄλλων ἐὰν ἀνανεώσῃ τὸν κοινὸν οἶκον[1], ἐπιλογὴν ἔχει ἢ τὰ δαπανηθέντα λαβεῖν μετὰ τόκων εἴσω τεσσάρων μηνῶν μετὰ τὴν ἀνανέωσιν, καὶ ἔχει περὶ τὴν ἀνανέωσιν προνόμιον ἤτοι ἀπαίτησιν τῶν ἄλλων δανειστῶν ὡς εἰς ἐπανόρθωσιν τούτου δαπανήσας ὥσπερ ὁ δανείσας πιπρασκομένου δηλαδὴ τοῦ οἴκου[2] ἢ καὶ τὸν οἶκον εἰς δεσποτείαν μετὰ τὴν τετράμηνον· ἢ μᾶλλον διὰ τῆς περὶ κοινωνίας ἀγωγῆς λαβεῖν τὸ διαφέρον· ἴσως γὰρ οὐ βούλεται σχεῖν τὸν οἶκον. διὰ τοῦτο δὲ τετραμήνῳ περιωρίσθη ὁ τόκος, ἐπειδὴ μετ' αὐτὴν ὁ νόμος τὴν δεσποτείαν δίδωσι τῷ ἀνανεώσαντι.

Ὁ πάντων τῶν πραγμάτων κοινωνὸς πάντα κοινοποιεῖ, καὶ τὰ ἀπὸ τῆς περὶ ὕβρεως ἀγωγῆς καὶ τοῦ ἀκουϊλίου, εἴτε τὸ σῶμα αὐτοῦ εἴτε τοῦ υἱοῦ αὐτοῦ ἐβλάβη.

---

[1] Lips. τοῖχον. [2] Haec verba τῶν ἄλλων δαν. — οἴκου nec Leuncl. nec Basil. praestant.

Οὐ κοινοποιεῖ δὲ τὰ ἐξ ἀπηγορευμένων αἰτιῶν. εἰ δὲ καταδικασθῇ τῇ περὶ ὕβρεως ἀγωγῇ ἢ ὡς μὴ παραστὰς τῷ δικαστῇ, εἰ μὲν ἀδίκως κατεδικάσθη, ἐκ τοῦ κοινοῦ δίδοται· εἰ δὲ δικαίως, μόνος ζημιοῦται.

15. *Ὅπερ δὲ ἀπὸ κλοπῆς ἢ ἑτέρου πλημμελήματος σχῇ, οὐ χρὴ κοινοποιεῖσθαι. αἰσχρὰ γάρ ἐστιν ἡ τῶν ἁμαρτημάτων κοινωνία. εἰ δὲ συνεισενέγκῃ*[1] *αὐτῷ, κοινοποιεῖται.*

16. *Καὶ οὐκ ἀναλαμβάνει αὐτὸ, εἰ μὴ καταδικασθῇ.*

17. *Τότε γὰρ, εἰ μὲν ἀγνοοῦντος τοῦ κοινωνοῦ εἰσήγαγεν αὐτὸ τῇ κοινότητι, μόνον αὐτὸ λαμβάνει· εἰ δὲ γινώσκοντος, καὶ τὴν ποινὴν λαμβάνει.*

18. Ἐν δὲ τῷ νγ' κεφ. *Θανάτῳ λύεται ἡ κοινωνία, καὶ οὐκ ἐφεῖται συμφωνεῖν διαβαίνειν αὐτὴν εἰς κληρονόμους, εἰ μὴ ἐπὶ δημοσίων χρεῶν*[2]. *καὶ τοῦτο μετὰ λογισμοῦ δεῖ σκοπεῖν. τί γάρ; ὅτι διὰ τὴν ὑπουργίαν τοῦ τελευτήσαντος συνέστη καὶ χωρὶς αὐτοῦ διοικεῖσθαι οὐ δύναται.*

19. Ἐν δὲ τῷ νδ' κεφ. *Τοῦ κέρδους ὁ κοινωνὸς οὐ δίδωσι τόκους, εἰ μὴ ἀπὸ ὑπερθέσεως καὶ συγχρήσεως. ἐπὶ δὲ τοῦ κληρονόμου τοιοῦτον οὐδὲν λέγομεν· λέλυται γὰρ ἡ κοινωνία. καὶ ὁ κοινωνὸς δὲ περιὼν οὐχ ὡς τόκον, ἀλλ' ὡς διαφέρον δίδωσι.*

Ἐὰν ὁ κοινωνὸς ἀντιστὰς φεύγουσι τοῖς πρασίμοις δούλοις τραυματισθῇ ἐξ αὐτῶν, οὐ λαμβάνει τὴν δαπάνην τῆς ἐπιμελείας διὰ τῆς περὶ κοινωνίας ἀγωγῆς. οὐ γὰρ περὶ τὴν κοινωνίαν, εἰ καὶ διὰ τὴν κοινωνίαν, ἐδαπανήθη.

20. Ἐν δὲ τῷ νθ' κεφ. θέμ. γ'· *Εἰ μὲν πάντες ἀπαγορεύσουσιν οἱ κοινωνοὶ, λύεται ἡ κοινωνία. εἰ δὲ ὁ εἷς ἀπαγορεύσει, αὐτὸς μὲν τοῖς ἄλλοις, οὐ μὴν δὲ αὐτῷ οἱ ἄλλοι ὑπόκεινται, εἴγε κατὰ δόλον ἀπηγόρευσεν, ἴσως κληρονομίας εἰς αὐτὸν ἐπενεχθείσης. ἡ γὰρ τῆς κληρονομίας ζημία μόνου αὐτοῦ ἔσται, τὸ δὲ κέρδος κοινόν. εἰ δὲ μετὰ τὴν ἀπαγόρευσιν εἰς αὐτὸν ἔλθῃ κληρονομία, οὐ κοινοποιεῖται.*

Εἰ δὲ καὶ ἐπὶ πράσει πράγματος ἐκοινωνήσαμεν καὶ βουλόμενος αὐτὸ ἀγοράσαι ἀπαγορεύσεις, ἐνέχῃ μοι ἐπὶ τῷ διαφέροντι· εἰ δὲ ὡς ἀπαρεσθεὶς τῇ ἀγορασίᾳ ἀπαγορεύσῃς, οὐκ ἐνέχῃ, κἂν ἀγοράσω αὐτό.

Εἰ δὲ καὶ ἐν καιρῷ καθ' ὃν οὐ συμφέρει ἀπαγορεύσει ὁ κοινωνὸς, ἐνέχεται. τὸ δὲ συμφέρον τῇ κοινωνίᾳ καὶ οὐ τῷ[3]

---

[1] Lips. οὐ συνεισ. [2] Bas. τελῶν. [3] Bas τό.

καθ᾽ ἕκαστον τῶν κοινωνῶν σκοποῦμεν, εἰ μηδὲν περὶ τούτου ἐν τῷ συνίστασθαι τὴν κοινωνίαν συνέδοξε.

Καὶ ὁ πρὸ τοῦ συνδόξαντος χρόνου ἐπὶ τῇ κοινωνίᾳ ἀπαγορεύων·

Τοῦ μὲν ἐπισυμβαίνοντος κέρδους οὐδὲν λαμβάνει, δίδωσι δὲ τὸ μέρος τῆς ἐπιγενομένης ζημίας, εἰ μὴ ἐξ ἀνάγκης ἀπηγόρευσε. μετὰ πλήρωσιν δὲ τοῦ χρόνου ἔξεστιν ἀπαγορεύειν· καὶ δι᾽ ἑτέρου[1].

21. Ἐν δὲ τῷ ξγ' κεφ. Οὐδεμία κοινωνία εἰς ἀπέραντον συνίσταται.

22. Ἐν δὲ τῷ ξε' κεφ. Ὁ κοινωνὸς ἀπὸ ἀμελείας καὶ ῥαθυμίας ἐνέχεται. οὐ χρεωστεῖ δὲ μεγάλην ἐπιμέλειαν, ἀλλ᾽ οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν.

23. Ἐν δὲ τῷ ξϛ' κεφ. Ἐὰν πάντων τῶν πραγμάτων, τουτέστι καὶ ἐπὶ τοῖς μέλλουσι, γένηται κοινωνία, καὶ αἱ κληρονομίαι κοινοποιοῦνται. εἰ δὲ καὶ ἐπὶ πάσῃ δαπάνῃ καὶ παντὶ κέρδει γένηται, καὶ τὸ δοθὲν εἰς τιμὴν τῶν παίδων τοῦ ἑνὸς πάντες λογίζονται[c].

24. Ἐν δὲ τῷ οε' κεφ. Τῷ δικαίῳ τῆς κοινωνίας ὁ κοινωνὸς [οὐκ] ἐνέχεται ὑπὲρ ὧν ὁ κοινωνὸς αὐτοῦ ἐδανείσατο, εἰ μὴ εἰς τὸ κοινὸν ἦλθε τὰ χρήματα.

25. Ἀνάγν. καὶ βι. ιζ' τί. α' κεφ. ζ'. ἀνάγν. καὶ βι. νη' τί. ια' κεφ. γ', ἐν ᾧ φησιν· Ἐὰν ὁ κοινωνὸς εἰς ἀνανέωσιν οἰκίας ἐδαπάνησεν, οὐκ ἀναγκαίως ἔξω τῶν διατεταγμένων βοηθεῖται· εἰ δὲ μόνος ἔκτισας καὶ μὴ ἔλαβες τὸ ἀναλογοῦν μέρος μετὰ τῆς ἑκατοστῆς, εἰς ὁλόκληρον γίνῃ δεσπότης αὐτοῦ, ἐν ᾧ τετράμηνος παρῆλθεν, εἰ μὴ ἄρα ἐκεῖνος [οὐκ] ἐνεπόδισε τῇ καταβολῇ.

---

c Ὅτι[2] ὁ νόμος οὐ μόνον ἀπὸ ῥημάτων, ἀλλὰ καὶ ἀπὸ πραγμάτων μόνων τὴν κοινωνίαν σύστασιν λαμβάνειν διακελεύεται. διέξεισι γάρ· συνίσταται πραγμάτων κοινωνία, ὅτε τὰ πράγματα συνεισενεχθῇ μηδὲν ἡμῶν περὶ τούτων διαλεχθέντων. καὶ ἐπεὶ ἐν τοῖς τοιούτοις οὐχ ὁ πλείονα τὴν κοινότητα ὠφελῶν τὸ μεῖζον μέρος ἀποφέρεται, ἀλλ᾽ ἑκάτεροι ἐξ ἰσότητος πρὸς τὸν διαμερισμὸν ἐνέχονται, ἐσημειώσατο ὁ δικαστὴς ἐπὶ δίκῃ οὕτως· καὶ οἱ εἰρημένοι αὐτάδελφοι ὁμοζωοῦντες καὶ κοινὸν βίον ἔχοντες τὰ πατρῷα καὶ τὰ ἐπικτηθέντα δίκαιοι ἂν εἶεν ἐπιμερίσασθαι, ὅτι καὶ ὁ νόμος τοῦτο βούλεται λέγων· πᾶσα κληρονομία δυναμένη ἀπαιτεῖσθαι διαιρεῖται διὰ τοῦ διαιροῦντος τῇ φαμιλίᾳ τὸν κλῆρον δικαστηρίου.

---

1 Verba καὶ δι᾽ ἑτέρου ex themate sq. perperam huc tracta sunt. 2 Est locus τῆς πείρας XXI, 1.

XXII.

Περὶ κοινῶν πραγμάτων καὶ διαιρέσεως αὐτῶν καὶ διαπράσεως, καὶ παρὰ τίνι ὀφείλει εἶναι τὸ κοινὸν δικαίωμα.

1. Ἀνάγν. βι. ιβ' τί. β', οὗτινος ἐν τῷ ι' κεφ. φησί· Τοῦ κοινωνοῦ βλάψαντος τὸ κοινὸν πρᾶγμα καὶ ὁ κληρονόμος αὐτοῦ ἐνέχεται· εἰ καὶ τὰ μάλιστα κατὰ κληρονόμων οὐχ ἁρμόζει ὁ ἀκουΐλιος.

2. Ἐν δὲ τῷ ιθ' κεφ. Ὁ κοινὸς πυλεὼν δύο οἴκων ἄκοντος ἑνὸς τῶν δεσποτῶν οὐ διαιρεῖται, ἐν ᾧ μή ἐστιν ἑτέρωθεν εἴσοδος.

3. Ἐν δὲ τῷ κβ' κεφ. Ἐὰν ὀνόματί μου καὶ τοῦ γείτονος κτίσω τοῖχον, κοινὸς γίνεται· εἴτε ὡς ἀναληψόμενος τὸ μέρος τῆς δαπάνης εἴτε καὶ κατὰ χάριν ἔπραξα.

4. Ἐν δὲ τῷ λδ' κεφ. Εἰ μὴ δύναται διαιρεθῆναι τὰ πράγματα, καθ' ὑπερθεματισμὸν ἑνὶ προσκυρούσθωσαν. ἐὰν δὲ ὁ εἷς τῶν δικαζομένων πένης ὢν μὴ δύνηται ὑπερθεματίσαι, φερέσθω καὶ ἐξωτικὸς ὀφείλων ὑπερθεματισμὸν ἐπὶ τῷ πράγματι ποιήσασθαι.

5. Ἀνάγν. καὶ τί. γ', οὗτινος ἐν τῷ [ε'] κεφ. φησίν· Ὁ ἄρχων δοκιμαζέτω παρὰ τίνι τῶν κοινωνῶν εἶναι χρὴ τὰ ἐπίκοινα συμβόλαια.

6. Ἐν δὲ τῷ η' κεφ Ἐὰν ἡ γενομένη μεταξὺ ὑμῶν τελείων ὄντων ἐπὶ τοῖς ἐπικοίνοις πράγμασι διαίρεσις καταλειφθείσης ἢ μετενεχθείσης τῆς νομῆς πέρας ἐδέξατο, ἀνανεοῦσθαι τὰ τῇ ἀμοιβαίᾳ πίστει περαιωθέντα οὐ δύναται.

7. Ἀνάγν. καὶ βι. ιε' τί. α' κεφ. ϛϛ', ἐν ᾧ φησιν· Ἐάν τις εἰς ἐπίκοινον δύο τινῶν ἔδαφος οἰκοδομήσῃ, τῶν δύο κοινωνῶν ὁ οἶκος γίνεται· κἂν ὁ εἷς ἐκ τούτων κινήσῃ περὶ τοῦ μέρους τοῦ οἴκου, ὀφείλει προσφέρειν τῷ καλῇ πίστει κτίσαντι τὰ δαπανήματα.

8. Ἀνάγν. καὶ βι. ιϛ' τί. θ' κεφ. ιγ', ἐν ᾧ φησιν· Ὁ ἐπίκοινος οἰκέτης πάντα προσπορίζει πρὸς τὰ τῆς δεσποτείας μέρη, ὑπεξῃρημένων ἐκείνων ὅσα κατὰ κέλευσιν ἑνὸς τῶν δεσποτῶν ἐπερωτᾷ.

9. Ἀνάγν. καὶ βι. ιζ' τί. α' κεφ. λθ' [1]. ἀνάγν. καὶ βι. ιθ' τί. η' κεφ. ογ' καὶ οδ' καὶ οε' καὶ οϛ', ἐν ᾧ φησιν· Οὐ δύναται ὁ κοινωνὸς τὸ κοι-

[1] Leuncl. λδ'.

νὸν πρᾶγμα μονομερῶς ἐκποιεῖν. ἐὰν δὲ ἐκποιήσῃ, ὁ ἕτερος κοινωνὸς τὸ ἴδιον μόνον μέρος ἐκδικεῖ, οὐ μὴν καὶ τὸ τοῦ πεπρακότος, κἂν στρατιώτης εἴη.

XXIII.

Περὶ κολάκων.

1. Ἀνάγν. ξ' τί. μϛ' κεφ. α', ἐν ῷ φησιν· Ἐάν τις στρατηγὸς ἢ ἱερεὺς ἔν τινι πόλει τῇ φροντίδι τοῦ βασιλέως[1] γένηται, καταδικάζεται εἰς ρ' νομίσματα καὶ ἀτιμοῦται.

Καὶ ἐὰν διελέγξῃ ἕτερον, ἀποκαθίσταται μέν, τὴν δὲ ποινὴν οὐκ ἀναλαμβάνει.

XXIV.

Περὶ κομμερκίου.

1. Ἀνάγν. βι. νϛ' τί. δ', οὗτινος ἐν τῷ ϛ' κεφ. φησί· Πάντα τὰ ἰδιωτικὰ πράγματα τελωνείσθω. καὶ μηδεὶς προφερέτω τύπον κατά [τινα] τρόπον προστασίας, τὸν ἀπαλλάσσοντα αὐτὸν τοῦ τέλους· ἀλλ' εἴτε ἔμπορός ἐστιν εἴτε μεταφέρει φορτίον, διδότω τέλος· ὑπεξῃρημένων τῶν ναυάρχων. οὗτοι γὰρ ἡνίκα ἑαυτοῖς ἐμπορεύονται, τοῦ τέλους εἰσὶν ἀπηλλαγμένοι.

2. Ἐν δὲ τῷ η' κεφ. Ὅσα οἱ πρεσβευταὶ τῶν ἀλλοφύλων ἐθνῶν ἐπιφερόμενοι παραγίνονται, εἰ μὲν ἀπὸ τοῦ ἔθνους αὐτῶν πρὸς ῥωμαίους ἤγαγον, τελωνείσθωσαν· εἰ δὲ ἀπὸ ῥωμαίων ἐπὶ τὰ οἰκεῖα βαστάζουσιν, ἔστωσαν ἀτελώνητα.

XXV.

Περὶ κοττιστῶν ἤτοι κυβιστῶν.

1. Ἀνάγν. βι. γ' τί. α'[2] κεφ. γ', ἐν ῷ φησι· Τὸ κεκωλῦσθαι τὸν κύβον ἤτοι τὸν κόττον τῇ παραφυλακῇ τῶν ἐπισκόπων παραδίδωσιν ἡ διάταξις, καὶ διὰ τῶν εἰρημένων [ἐν] αὐτῇ προσώπων[a] οὓς ἂν δεήσοι σωφρονίζειν κελεύουσα.

---

[a] Ἤγουν τῶν ἀρχόντων τῶν ἐπαρχιῶν καὶ τῶν πατέρων καὶ τῶν ἐκδίκων τῶν πόλεων.

---

[1] Basil. κατὰ κολακείαν τοῦ δήμου, omissis his: τῇ φρ. τοῦ βασ. Leuncl. in marg. τὸν δῆμον κολακεύσας μὴ τῇ φρ. τοῦ βασ. [2] Lips. et Leuncl. β'.

2. Ἀνάγν. καὶ βι. ξ´ τί. η´, οὗτινος ἐν τῷ α´ κεφ. φησίν· Ὁ τύψας ἢ ζημιώσας τὸν παρ᾽ ᾧ γίνεται κύβος, ἢ ἐν τῷ κυβεύειν ἐξ αὐτοῦ κλέψας, οὐκ ἐνέχεται. ὁ δὲ πραίτωρ διασκοπεῖ τὰ περὶ τοῦ ἀναγκάσαντός τινα κυβεῦσαι.

Ἀκινδύνως οὐ μόνον οἱ κυβεύοντες, ἀλλὰ καὶ ἕκαστος ὁπουδήποτε καὶ ὁτεδήποτε τὸν ὑποδοχέα τύπτει καὶ ζημιοῖ. ἐν δὲ τῷ οἴκῳ καὶ ἐν τῷ καιρῷ τοῦ κύβου μόνον ἔξεστιν ἀπ᾽ αὐτοῦ κλέπτειν, κἂν ὁ κλέψας οὐκ ἦν τῶν κυβευόντων.

Ὁ ἀναγκάζων τινὰ κυβεῦσαι ἢ τιμωρεῖται ἢ εἰς λιθοτομίας πέμπεται ἢ δημοσίᾳ εἱρκτῇ ἐμβάλλεται.

XXVI.

Περὶ κουρατόρων καὶ προκουρατόρων, καὶ τίνες κωλύονται κουρατορεύειν.

1. Ἀνάγν. βι. ιζ´ τί. β´ κεφ. α´, ἐν ᾧ φησιν· Ἔγνωμεν, ὅτι κουράτορα πατὴρ οὐ δύναται καταλιπεῖν τοῖς ἑαυτοῦ παισίν. τούτοις τοίνυν ἀκολούθως καὶ ἡ παροῦσα διάταξις νομοθετοῦσα λέγει· ὅτι κουράτωρ μὲν ἐν διαθήκῃ πατρὸς οὐκ ὀρθῶς δίδοται. εἰ δὲ δοθεὶς καὶ εἰδὼς ἑαυτὸν ἀνυποστάτως δεδόσθαι θεσμῷ φιλίας διοικήσει τὰ πράγματα, ἡ κατὰ τῶν διοικούντων ἀλλότρια κινουμένη ἀγωγὴ ἁρμόζει, καὶ κατὰ τοῦ περιόντος καὶ κατὰ τῶν κληρονόμων αὐτοῦ. καὶ κεφ. ιζ´.

2. Ἀνάγν. βι. λζ´ τί. β´[1] κεφ. λ´ καὶ τί. ε´, οὗτινος ἐν τῷ ιθ´ κεφ. φησὶν, ὅτι γυνὴ οὐ κουρατορεύει.

3. Ἐν δὲ τῷ λγ´ κεφ. Ὁ ἔνοπλον στρατείαν στρατευόμενος οὐδὲ ἐπίτροπος οὐδὲ κουράτωρ δύναται χειροτονηθῆναι. εἰ δὲ καὶ κατὰ πλάνην διοικήσει, κατέχεται τῇ περὶ πραγμάτων διοικήσεως ἀγωγῇ.

4. Ἐν δὲ τῷ λϛ´ κεφ. Δοῦλος ἐπίτροπος ἢ κουράτωρ οὐ δύναται δοθῆναι.

5. Ἀνάγν. καὶ τί. ϛ´ καὶ τί. ζ´[2], οὗτινος ἐν τῷ ζ´ κεφ. φησίν· Ὁ κληρονόμος τοῦ κουράτορος, μὴ ὀχλῶν ἕτερον προβληθῆναι, καταβάλλει τόκους καὶ ὑπὲρ τῶν παρ᾽ αὐτῷ ἀποκειμένων χρημάτων.

6. Ἐν δὲ τῷ κ´ κεφ. Οὐκ ἀναγκάζεται ὁ κουράτωρ τῷ συγκουράτορι τοὺς λόγους ἀποδοῦναι τῆς ἰδίας διοικήσεως.

7. Ἐν δὲ τῷ ξ´ κεφ. Ἐὰν κουράτωρ ὁμολογήσῃ παρασχεῖν ρ´ νομίσματα ὑπὲρ προικὸς τῆς κουρατορευομένης, καὶ χρέους

---

[1] Leuncl. δ´. [2] Leuncl. θ´.

ἀναφανέντος εὑρεθῇ μὴ ἔχουσα τοσαῦτα ἡ οὐσία, οὐ βοηθεῖται. καὶ τοῖς ὀρφανικοῖς γὰρ δανεισταῖς ἑκουσίως ἐρωτώμενος καὶ ἐνοχοποιῶν ἑαυτὸν οὐ βοηθεῖται[a]. εἰ δὲ καὶ εἰδὼς μὴ τοσαῦτα τὴν οὐσίαν ἔχειν ὡμολόγησεν, ἢ ἔδοξε δωρεῖσθαι ἢ διὰ τὸν δόλον[b] ἐνέχεται[c]. εἰ δὲ μὴ ὡς δωρούμενος ὡμολόγησεν, ἔχει τὴν γυναῖκα ἔνοχον καὶ συνεστῶτος τοῦ γάμου καὶ μετὰ διάλυσιν.

8. *Ἀνάγν. καὶ τί. η' καὶ θ' καὶ ι' καὶ ια'· διαλαμβάνουσι γὰρ καὶ αὐτοὶ μερικῶς περὶ κουρατόρων. ἀνάγν. καὶ βι. λη' τί. α' καὶ β' καὶ γ' καὶ ζ' καὶ θ' καὶ ι' καὶ ιβ' καὶ ιγ' καὶ ιε' καὶ ιθ'· ὁμοίως γὰρ καὶ ἐν αὐτοῖς διαλαμβάνεται μερικῶς περὶ κουρατόρων.*

XXVII.

Περὶ κτηνοβατῶν.

1. *Ἀνάγν. βι. ξ' τί. λζ' κεφ. οζ', ἐν ᾧ φησιν·* Οἱ ἀλογευόμενοι ἤγουν κτηνοβάται καυλοκοπείσθωσαν.

XXVIII.

Περὶ κωδικέλλου.

1. *Ἀνάγν. βι. λς' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησί·* Κωδίκελλός ἐστιν ἐλλιποῦς διαθήκης[1] γνώμης [τοῦ] διατιθεμένου ἀναπλήρωσις.

2. *Ἐν δὲ τῷ γ' κεφ.* Καὶ διαθήκης μὴ ὑπούσης δύναταί τις πρὸς τοὺς ἐξ ἀδιαθέτου ποιῆσαι κωδίκελλον[a]. καὶ ἐὰν μετὰ τὴν ποίησιν αὐτοῦ τεχθῇ ὁ κληρονόμος, δίδωσι τὰ ἐν αὐτῷ. οὐ γὰρ ῥήγνυται ἐπιγεννήσει ὑπεξουσίου.

3. Οἱ πρὸ τῆς διαθήκης κωδίκελλοι οὐκ ἰσχύουσιν, εἰ μὴ βεβαιωθῶσιν ἐν αὐτῇ ἢ μεταγενεστέρῳ κωδικέλλῳ, ἢ ἄλλως

---

a *Ὡς παρεξελθὼν τὸ ὀφφίκιον, καὶ μὴ συναινέσας, ἀλλὰ πρωτοτύπως ὑποσχόμενος.*

b *Διὰ τὸν κανόνα τὸν λέγοντα· οὐκ ὀφείλει τὶς ἀποπροσποιεῖσθαι εἰδέναι ὅπερ ὤφειλεν εἰδέναι.*

c *Τῷ ἀνδρί. ἔχει μέντοι γυναῖκα ἔνοχον.*

a *Διὰ τοὺς ἐξ ἀδιαθέτου οὐκ ἀπὸ διαθήκης ὁρισθῆναι τὴν διανέμησιν τῶν τοῦ διαθεμένου πραγμάτων ποιήσασθαι, ἀλλ' ἀπὸ κωδικέλλου, καθ' οὗ οὐχ ἁρμόζει ῥῆξις. αὕτη γὰρ κατὰ διαθήκης ἁρμόζει μᾶλλον ἀμνημονεύτου ποστούμου καταλειφθέντος.*

---

1 Leuncl. conj. *ἐν διαθήκῃ.*

ἀποδειχθῇ ὁ διαθέμενος βουληθεὶς αὐτοὺς ἐῤῥῶσθαι. δύνανται δὲ οἱ κωδίκελλοι διὰ μεταγενεστέρας ἀνατρέπεσθαι βουλήσεως.

4. Πολλοὺς κωδικέλλους δυνατὸν ποιεῖν. καὶ μήτε ἀνάγκη σφραγίζεσθαι αὐτοὺς μήτε ὑπογράφεσθαι. κἂν ἐν τῷ βεβαιοῦν αὐτοὺς ἐν τῇ διαθήκῃ[b] εἴπῃ, μὴ ἄλλως αὐτοὺς ἐῤῥῶσθαι, εἰ μὴ σφραγισθῶσι καὶ ὑπογραφῶσι. τὰ γὰρ πρῶτα διὰ τῶν μεταγενεστέρων ἀναιρεῖται.

5. Ἐν δὲ τῷ η' κεφ. Ὁ βεβαιῶν ἐν διαθήκῃ κωδικέλλους, ἐὰν δοὺς ἑαυτὸν εἰς θέσιν τοῦτο ποιήσῃ, καὶ ὕστερον αὐτεξούσιος γεγονὼς ἀποθάνῃ, ἔῤῥωται. καὶ ἡ διαθήκη γὰρ ἔῤῥωται.

Κυοφορουμένου ἐπιτικτομένου καὶ τελευτῶντος ἡ διαθήκη ῥήγνυται, οὐ μὴν οἱ κωδίκελλοι.

6. Ἐν δὲ τῷ ι' κεφ. Ἐν κωδικέλλοις οὐ δίδοται κληρονομία[c], οὔτε ἐν αὐτοῖς διαθήκη βεβαιοῦται.

7. Ἐάν τις ἀγνοῶν ἐγκυμονεῖν τὴν αὐτοῦ γαμετὴν κωδίκελλον πρὸς τὸν ἤδη τεχθέντα ποιούμενος ἐλευθερώσῃ τινὰς, καὶ τεχθῇ ὁ κυοφορούμενος, μόνος ὁ πρῶτος χρεωστεῖ τὰς ἐλευθερίας,

8. Ἀγοράζων τὰ μέρη παρὰ τοῦ τεχθέντος. οὗτος γὰρ οὐδὲν χρεωστεῖ.

9. Ἐν δὲ τῷ ιε' κεφ. Οὐδεὶς δύναται ἐν κωδικέλλοις γράφειν τινὰ ἐξωτικὸν κληρονόμον ἢ ὑποκατάστασιν ποιεῖν.

10. Ἀνάγν. καὶ βι. λε' τί. ϛ' κεφ. ιγ', ἐν ᾧ φησιν· Ὁ κωδίκελλος καὶ αἱ λοιπαὶ γραφαὶ αἱ ὁπωσδήποτε γενόμεναι κατὰ τὴν παρατήρησιν ἐμφανιζέσθωσαν τῆς διαθήκης.

11. Ἀνάγν. καὶ τί. θ' κεφ. ξβ', ἐν ᾧ φησιν· Εἰ καὶ ἐν κωδικέλλοις κληρονομία οὐ δίδοται, ὅμως ἐν αὐτοῖς δυνατὸν τὸ ὄνομα τοῦ κληρονόμου σαφηνίζειν, ὅταν ἐν διαθήκῃ εἴπω· κληρονόμος ἔστω ὃν ἐὰν ἐν τοῖς κωδικέλλοις ποιήσω κληρονόμον. καὶ ὁ τοιοῦτος τὸ λεῖπον ταῖς ἐν τῇ διαθήκῃ διανεμηθείσαις ιβ' οὐγκίαις λαμβάνει.

12. Ἀνάγν. καὶ τί. ια' κεφ. οα', ἐν ᾧ φησιν· Ἐν κωδικέλλοις γινομένη ὀρφανικὴ ὑποκατάστασις εἰ καὶ ἄκυρός ἐστι διὰ τὸ μὴ δύνασθαι κληρονομίαν ἐν κωδικέλλοις δίδοσθαι ἢ ἀφαι-

---

b Περὶ τῶν κωδικέλλων γενομένων δηλονότι.

c Φησὶ γὰρ ὁ κανών· ἐν κωδικέλλῳ κληρονομία οὐ δίδοται οὔτε ἀφαιρεῖται.

ρεῖσθαι, ὅμως ὡς ἀποκατάστασις ἰσχύει. εἰ δὲ δύο ὄντες οἱ ὑποκατάστατοι ἀμοιβαδὸν ἀλλήλοις ὑποκατέστησαν, κρατεῖ καὶ ἐν τῇ ἀποκαταστάσει ἡ ὑποκατάστασις, καὶ τοῦ ἑνὸς τελευτήσαντος ὁλόκληρον ὁ ἕτερος ἀπαιτεῖ τὸ φιδεϊκόμισσον.

13. Καὶ κεφ. ογ', ἐν ᾧ φησιν· Ἀδιάθετός τις τελευτῶν ἐποίησε κωδικέλλους[d], ἐν οἷς οὕτως εἶπεν· ἀνήκουσιν οὗτοι οἱ κωδίκελλοι πρὸς τὴν γαμετήν μου καὶ τὴν θυγατέρα μου[e], καὶ παρακαλῶ, εἴ τι καταλείψω ὑμῖν ἢ ὑμεῖς σχοίητε, κοινὸν ὑμῶν εἶναι. κληρονομοῦσα τοῦ πατρὸς ἐξ ἀδιαθέτου ἡ θυγάτηρ τὸ ἥμισυ τοῦ κλήρου χρεωστεῖ ὡς ἐξ ἀποκαταστάσεως τῇ μητρί· ἐὰν καὶ ἡ μήτηρ ἕτοιμός ἐστι κοινοποιῆσαι τὴν οὐσίαν αὐτῆς. Ἀνίσως τὶς τοὺς υἱοὺς αὐτοῦ γράψας κληρονόμους ἠξίωσε τὸν ἕνα τελευτῶντα πρὸ τοῦ κ'[1] ἐνιαυτοῦ ἄπαιδα τοῖς λοιποῖς ἀποκαταστῆσαι τὸ μέρος αὐτοῦ, πρὸς τὰ μέρη τῆς κληρονομίας τῶν λοιπῶν γίνονται αὐτοῖς αἱ ὑποκαταστάσεις.

14. Ἀνάγν. καὶ τί. ις' κεφ. α'.

Ἀρχὴ τοῦ Λ στοιχείου.

I.

Περὶ λεγάτων[a].

1. Ἀνάγν. βι. μδ', οὗτινος ἐν τῷ α' τί. κεφ. α' φησί· Λεγάτον ἐστὶ δωρεὰ ἐν διαθήκῃ καταλειφθεῖσα.

2. Ἐν δὲ τῷ ε' κεφ. Ἐπιλογῆς λεγατευθείσης ἅπαξ ἐπιλέγεσθαι δυνατόν.

3. Ἐν δὲ τῷ ζ' κεφ. Τὸ λεγατευθὲν τῷ δούλῳ μου δύναμαι παραιτεῖσθαι.

4. Ἐὰν μέρος τοῦ λεγατευθέντος ἀγροῦ ἐκποιήσῃ ὁ δια-

---

d Βουλόμενος δὲ ἐξ ἀδιαθέτου περιελθεῖν τὴν αὐτοῦ περιουσίαν πρὸς τὴν θυγατέρα αὐτοῦ καὶ τὴν γαμετὴν κωδικέλλους μᾶλλον καὶ οὐ διαθήκην πεποίηκεν, ὡς διαθήκης χωρὶς κληρονόμου γενέσθαι μὴ δυναμένης.

e Ἐνταῦθα ἁρμόζει ὁ κανὼν ὁ λέγων, ὅτι τὸ εἰπεῖν πρὸς ὃν ἀνήκει δεσποτείαν σημαίνει.

a Ἀνάγνωθι καὶ νεαρὰν α' κεφ. α', ἐν ᾧ φησιν, ὅτι ἀναγκάζονται τὴν τοῦ διαθεμένου βούλησιν πληροῦν.

---

1 Leuncl. κε'.

θέμενος, τὸ λοιπὸν μόνον δίδοται. ἐπειδὴ καὶ ἐάν τι εἰς αὐτὸ προσθήσῃ, αὔξει τὸ λεγάτον.

5. Ἐν δὲ τῷ ια' κεφ. Ἐὰν γράψω κληρονόμον ὑπεξούσιον ἢ λεγατεύσω αὐτῷ, καλῶς βαρῶ τὸν πατέρα ἢ τὸν δεσπότην αὐτοῦ λεγάτῳ. καὶ εἰ μὲν ἐξωτικῷ ἐπιτρέψω τὴν κληρονομίαν ἀποκαταστῆσαι, παρακρατεῖ ἐκ προσώπου τοῦ υἱοῦ φαλκίδιον. εἰ δὲ αὐτῷ τῷ υἱῷ εἶπον ἀποκαταστῆσαι, οὐ παρακρατεῖ. εἰ δὲ τὸν πατέρα παρεκάλεσα τὸ περιερχόμενον εἰς αὐτὸν μετὰ θάνατον ἀποκαταστῆσαι τῷ υἱῷ, καὶ ζῶντος αὐτοῦ ὁ υἱὸς ἀποθάνῃ, τὸ πᾶν ὁ πατὴρ παρακρατεῖ.

6. Ἐν δὲ τῷ ιδ' κεφ. Ἐὰν πρᾶγμα ἡνωμένως δύο τισὶ λεγατευθῇ, ὧν ὁ εἷς οὐκ ἦν ἐν φύσει[b], μόνον τὸ ἥμισυ ὁ περιὼν λαμβάνει.

Ἐὰν λεγατευθῇ ἐμοὶ καὶ κυοφορουμένῳ, μὴ τικτομένου τοῦ κυοφορουμένου τὸ πᾶν λαμβάνω, κἂν εἶπεν ὁ διαθέμενος ἀναλογοῦντα μέρη λαβεῖν ἡμᾶς.

7. Ἐν δὲ τῷ κα' κεφ. Ἐὰν πολλοῖς λεγατευθῇ καὶ μὴ λεχθῇ μέρος, ἐξ ἴσου λαμβάνουσιν.

8. Ἐὰν ὁ ἔχων δύο δούλους λεγατεύσῃ τὸν ἕνα καὶ μὴ δηλοῦται ποῖον, ὁ λεγατάριος ἔχει τὴν ἐπιλογήν.

9. Ἀγέλης λεγατευθείσης καὶ τὰ προστεθέντα λαμβάνει ὁ λεγατάριος.

10. Εἰ δὲ καὶ μειωθῇ καὶ εἰς ἕνα βοῦν περιστῇ, λαμβάνει αὐτὸν ὁ λεγατάριος, εἰ καὶ ἐπαύσατο εἶναι ἀγέλη. καὶ οἴκου γὰρ λεγατευομένου καὶ καιομένου λαμβάνει τὸ ἔδαφος.

11. Ἐν δὲ τῷ κγ' κεφ. Ἐὰν προσθήσῃ ὁ διαθέμενος μετὰ τὴν διαθήκην τῷ λεγατευθέντι ἀγρῷ μέρος ἐξ ἑτέρου ἀγροῦ ἢ ἐκ τοῦ λεγατευθέντος ἑτέρῳ ἀγρῷ μέρος προσκυρώσῃ, τὸν λεγατάριον ὁρᾷ καὶ ἡ αὔξησις καὶ ἡ μείωσις ὡς ἐπὶ τῆς προσχώσεως. οὐ κατὰ φύσιν γάρ ἐστι τὰ ὀνόματα τῶν ἀγρῶν καὶ τῶν οἴκων, ἀλλὰ πρὸς τὴν βούλησιν τῶν δεσποτῶν.

Δῆλον πρᾶγμα ἐὰν λεγατευθῇ καὶ ἀπόληται, ὁ λεγατάριος ζημιοῦται, εἰ μὴ δόλος ἢ ῥαθυμία γέγονε τοῦ κληρονόμου, ἢ ὑπέρθεσις εἰς τὸ μὴ δοθῆναι ἔνθα ἦν.

12. Ἐν δὲ τῷ κδ' κεφ.[1] Ἐὰν μέρος οὐσίας λεγατευθῇ, ἐπιλογὴν ἔχει ὁ κληρονόμος, ἢ τὸ μέρος τῶν πραγμάτων δοῦναι

---

[b] Τυχὸν ἐτελεύτησε καὶ ἠγνόει τὴν τούτου τελευτήν.

[1] Huic capiti debetur etiam id quod praecedit thema.

ἢ τὴν ἀποτίμησιν αὐτῶν. τῶν μέντοι ἀδιαιρέτων καὶ δυσδιαιρέτων πάντως τὸ τίμημα δίδωσιν.

13. Ἐν δὲ τῷ κθ' κεφ. Ἐὰν πολλοὺς ἔχων πέτρους λεγατεύσω σοι πέτρον, καὶ μὴ δηλοῦται ποῖον, ὁ κληρονόμος ἔχει τὴν ἐπιλογήν[c].

14. Ἐν δὲ τῷ λ' κεφ. Ἐὰν οἱ μὲν συνεζευγμένοι εἰσὶν, οἱ δὲ διεζευγμένοι, πρόσωπον ἑνὸς ὑπέχουσιν οἱ συνεζευγμένοι.

Ἐὰν τὸ αὐτὸ πρᾶγμα πολλάκις μοι ἐν τῇ αὐτῇ διαθήκῃ λεγατευθῇ, ἅπαξ μόνον ἢ τὸ πρᾶγμα ἢ τὴν ἀποτίμησιν λαμβάνω. εἰ δὲ ἐν διαφόροις διαθήκαις, ἀπὸ μὲν τῆς μιᾶς τὸ πρᾶγμα, ἀπὸ δὲ τῆς ἄλλης τὸ τίμημα λαμβάνω.

Ἐὰν δύο τισὶ λεγατευθῇ πρᾶγμα, ὧν ὁ εἷς κληρονόμος ἐστὶν, οὐ καλῶς αὐτὸ[1] ἀφ' ἑαυτοῦ λεγατεύεται, ἀλλὰ τοῦτο τῷ συλλεγαταρίῳ ἁρμόζει. εἰ γὰρ καὶ δυσὶ κληρονόμοις γραφεῖσι τῷ μὲν εἰς οὐγγίας ια', τῷ δὲ εἰς οὐγγίας α' λεγατευθῇ πρᾶγμα, ὁ μὲν εἰς τὰς ια' οὐγγίας κληρονομῶν ια' οὐγγίας ἕξει τοῦ λεγάτου, ὁ δὲ ἕτερος α'. εἰ δὲ λεγατάριος γένηται κληρονόμος ἑνὸς τῶν κληρονόμων, ἀμείωτον ἕξει τὸ λεγατευθὲν αὐτῷ.

15. Ἐν δὲ τῷ λα' κεφ. Ἐὰν ἀλλότριος δοῦλος λεγατευθῇ μοι, καὶ ἐλευθερώσῃ αὐτὸν ὁ δεσπότης αὐτοῦ, οὐδὲν κεχρεώστηται.

16. Ἐν δὲ τῷ λγ' κεφ. Δούλου γενικῶς λεγατευθέντος, οὔτε ὁ κάλλιστος οὔτε ὁ χείριστος δίδοται. οὔτε γὰρ δύναται τὸν διοικητὴν ἐπιλέξασθαι.

17. Ἐν δὲ τῷ λδ' κεφ. Ὁ λεγατάριος οὐ δύναται μέρος καταδέχεσθαι καὶ μέρος παραιτεῖσθαι[d]. τῶν δὲ κληρονόμων τοῦ λεγαταρίου ὁ μὲν δύναται καταδέξασθαι τὸ ἴδιον μέρος, ὁ δὲ παραιτήσασθαι[e].

18. Ἐν δὲ τῷ λε' κεφ. Ἐὰν ὁ λεγατευθεὶς δοῦλος ἢ ἐν

---

c Ἐὰν πολλούς τις ἔχων οἰκέτας στίκνους ὀνομαζομένους ἰνκέρτως ἤτοι ἀδήλως λεγατεύσῃ τινὶ στίκνον, ὃν ἂν ἐπιλέξηται ὁ κληρονόμος, τοῦτον λαμβάνει ὁ λεγατάριος, εἰ μὴ ἄρα δῆλόν ἐστι, περὶ ποίου ἐνενόησε στίκνου ὁ τεστάτωρ. ταῦτα δὲ νόησον, ἔνθα ἰδικῶς στίκνον νονότουρ[2] ὠνόμασε τουτέστιν ἄνευ σημείου. εἰ γὰρ πολλούς τις ἔχων οἰκέτας ἰνκέρτως οἰκέτην ἐλεγάτευσεν, ὄνομα μὴ προσθεὶς, τότε ὁ λεγατάριος ἔχει τὴν ἐπιλογὴν, ὡς ὁ ἀφρικανὸς ἐν τῷ ρζ' διγ. παραδίδωσιν.

d Ὁμοίως φησὶ καὶ ἐν τῷ δ' κεφ. τοῦ β' τί.

e Ῥεπουδιατεῦσαι.

---

[1] Leuncl. αὐτῷ. [2] non notatum?

φυγῇ ἢ μακρὰν ἄπεστιν, ὁ κληρονόμος αὐτὸν ἰδίοις ἀναζητεῖ δαπανήμασι.

Τοὺς καρποὺς δίδωσιν ὁ κληρονόμος, οὐχὶ οὓς ἔλαβεν, ἀλλὰ καὶ οὓς ὁ λεγατάριος ἠδύνατο λαβεῖν. τὸ αὐτὸ καὶ περὶ ὑπηρεσιῶν δούλων, καὶ μισθῶν ὑποζυγίων καὶ πλοίων καὶ ἐνοικίων[1]. ἐπὶ δὲ τόκων[f] ὁ δικαστὴς ἀκολουθεῖ τῷ ἔθει τοῦ κλίματος. μετὰ δὲ ὑπέρθεσιν καὶ τὴν φθορὰν τοῦ λεγατευθέντος ἐπιγινώσκει ὁ κληρονόμος, ὥσπερ ἐν τῇ ἐπερωτήσει μετὰ ὑπέρθεσιν, ἐὰν τὸ πρᾶγμα φθαρῇ, δίδοται ἡ διατίμησις. καὶ ὁ τοκετὸς τῆς λεγατευθείσης δίδοται, καὶ ὅσα ἠδύνατο προσπορισθῆναι διὰ τοῦ λεγατευθέντος, τυχὸν κληρονομία ἢ λεγάτον ἤ τι ἕτερον.

Πάντα τὰ προλαβόντα τέλη τοῦ λεγατευθέντος πράγματος ὁ κληρονόμος δίδωσιν.

Ἐὰν ἔχων δύο ὁμωνύμους ἀγροὺς λεγατεύσω τὸν ἕνα καὶ μὴ δῆλον ποιήσω, ὁ ἥττων δίδοται, εἰ μὴ τὴν ἐναντίαν μου γνώμην δείξει ὁ λεγατάριος.

19. Ἐν δὲ τῷ λη΄[2] κεφ. Ἐὰν ἀλλότριον πρᾶγμα λεγατευθῇ μοι, οὗτινος τὴν κτῆσιν οὐκ ἔχω οὔτε δύναμαι αὐτὸ νεμηθῆναι, τὸ τίμημα λαμβάνω.

20. Ἐν δὲ τῷ νϛ΄ κεφ. Αἱ χάριν ἀνταμείψεως[g] γραφαὶ καὶ ἐν ταῖς κληρονομίαις καὶ ἐν τοῖς λεγάτοις οὐκ ἰσχύουσιν, οἷον· εἰς ὅσον με γράψει πέτρος κληρονόμον, ἔστω μου κληρονόμος.

21. Ἐν δὲ τῷ νθ΄[3] κεφ. Ἐὰν κατὰ μέρος ὅλος ὁ λεγατευθεὶς οἶκος ἀνανεωθῇ, ὡς μηδὲν ὑπεῖναι τῆς προτέρας ὕλης, ἔῤῥωται τὸ λεγάτον. εἰ δὲ καταγάγῃ αὐτὸν ὁ διαθέμενος, κἂν ἄλλον ἀντ᾽ αὐτοῦ κτίσει, ἔσβεσται, εἰ μὴ ἕτερον ἐνενόησεν.

22. Ἐν δὲ τῷ ξγ΄ κεφ. Οὐ καλῶς ἐπιζητεῖ ὁ κληρονόμος δοῦναι τὴν τιμὴν τοῦ λεγατευθέντος σκεύους, λέγων μὴ δίκαιον εἶναι χωρισθῆναι αὐτοῦ. τοῦτο γὰρ ἐπὶ μόνων ἀνθρώπων φιλαγάθως ἐδέχθη, ὡς ἀνωτέρω[h].

23. Ἐν δὲ τῷ ξϛ΄ κεφ. Ἐὰν λεγατεύσω σοι τὰ ι΄ νομίσματα ἅτινα χρεωστεῖ μοι πέτρος, καὶ εὑρεθῇ μηδὲν χρεωστῶν, ἀχρη-

---

f. Ἐπὶ τῶν λεγάτων μετὰ προκάταρξιν ἀπαιτεῖται τόκος.

g Περὶ ἀνταμείψεως ζήτει εἰς τὸ περὶ κληρονομίας.

h Ἑτέρα γάρ ἐστιν αἵρεσις ἀνθρώπων, ἐφ᾽ ὧν καὶ ἡ διάθεσις δικαία, ἑτέρα δὲ ἡ τῶν ἄλλων πραγμάτων.

---

1 Labbaeus: καὶ ἐνοίκων καὶ ἐνοικίων. 2 Lips. λϛ΄. 3 Leuncl. νζ΄.

στον τὸ λεγάτον. εἰ δὲ καὶ χρεωστοῦντα αὐτὸν ἀπήτησα, σβέννυται. εἰ δὲ καὶ χρεωστεῖ, μόνας τὰς ἀγωγὰς ἐκχωρεῖ σοι ὁ κληρονόμος. εἰ δὲ λεγατεύσω σοι οὕτως· λεγατεύω τῷδε ἅτινα χρεωστῶ αὐτῷ, καίτοι μηδὲν χρεωστῶν, εἰ μὲν μὴ προσέθηκα ποσὸν, ἄχρηστον τὸ λεγάτον. εἰ δὲ εἶπον τὰ τόσα νομίσματα, ἔῤῥωται. τοῦτο γὰρ ἐπὶ προικὸς λεγατευομένης κρατεῖ.

24. Ἐν δὲ τῷ οζ′ κεφ. Δύναται ὁ ὑπεξούσιος υἱὸς τὴν μὲν κληρονομίαν τοῦ πατρὸς παραιτεῖσθαι, τὸ δὲ λεγάτον καταδέχεσθαι.

Εἰ μὴ ἄρα ἐξεφώνησεν ἢ ἐνενόησεν ὁ πατὴρ, μὴ θέλειν αὐτὸν χωρὶς τῆς κληρονομίας λαβεῖν τὸ λεγάτον.

Καὶ ὁ αὐτεξούσιος γὰρ δύναται τοῦτο ποιεῖν.

25. Ἐν δὲ τῷ οη′ κεφ. Ὅτε διὰ τῆς ἐκ τῆς διαθήκης ἀγωγῆς τὸ λεγάτον ἀπαιτεῖται, οἱ μετὰ προκάταρξιν καρποὶ καὶ τοκετοὶ καὶ τὰ προσπορισθέντα λεγατευθέντι δούλῳ ἀποκαθίσταται τῷ λεγαταρίῳ.

26. Ἐν δὲ τῷ οθ′ κεφ. Ἐὰν λεγατεύσω σοι χρήματα, καὶ ἀξιώσω σε δοῦλον ἀλλότριον ἐλευθερῶσαι, καὶ ἢ ἀπέθανεν ἢ ὁ δεσπότης αὐτὸν οὐ πιπράσκει, κερδαίνεις τὸ λεγάτον.

27. Ἐν δὲ τῷ ϙα′ κεφ. Ἐὰν ἐνστήσωμαι τὸν πενθερόν μου κληρονόμον, καὶ λεγατεύσω σοι τὸ μέρος τῆς κληρονομίας, ὑπεξαιρεῖ καὶ τὴν κεχρεωστημένην παρ᾽ ἐμοῦ προῖκα αὐτῷ καὶ τὰ ἄλλα χρέα.

28. Ἐν δὲ τῷ ϙδ′ κεφ. Ἐὰν ζῶντος τοῦ διαθεμένου φύγῃ ὁ λεγατευθεὶς δοῦλος, κινδύνῳ καὶ δαπανήμασι τοῦ λεγαταρίου ἐπανέρχεται. τὸ γὰρ λεγατευθὲν ἔνθα ἐαθῇ ὑπὸ τοῦ διαθεμένου δίδωσιν ὁ κληρονόμος.

Ἐὰν λεγατευθῇ δοῦλος, τὴν ἐπιλογὴν ὁ λεγατάριος ἔχει, ὁ καὶ δυνάμενος οἵᾳ θέλει ἀγωγῇ χρήσασθαι.

Μετὰ ὑπέρθεσιν κινδύνῳ τοῦ κληρονόμου καὶ ἀποθνήσκει καὶ χείρων γίνεται ὁ λεγατευθεὶς δοῦλος. ἐὰν οὖν χείρονα γενόμενον αὐτὸν δώσῃ, μένει ἐνεχόμενος.

29. Ἐν δὲ τῷ ϙς′ κεφ. Ἐὰν ἀξιωθῇ ὁ κληρονόμος δοῦναί μοι ὃν βούλεται δοῦλον, οὐκ ὀφείλει δοῦναί μοι τὸν χείριστον. ἐὰν οὖν ἐν εἰδήσει κλέπτην μοι δῷ, καὶ ὑποστῶ παρ᾽ αὐτοῦ κλοπὴν, ἐνάγεται τῇ περὶ δόλου ἀγωγῇ, καὶ ἀναγκάζεται ἄλλον δοῦναι, καὶ τοῦτον ὡς εἰς τὴν ζημίαν ἐᾶσαί μοι.

30. Ἐν δὲ τῷ ρβ′ κεφ. Οὐ καλῶς οἶκος ἐπὶ τῷ καταλυθῆναι λεγατεύεται.

31. Ἐν δὲ τῷ ρε΄ κεφ. Λεγάτον ἐστὶ μείωσις τῆς κληρονομίας.

32. Ἐν δὲ τῷ ριβ΄ κεφ. Ἐὰν ἄχρηστον καταλειφθῇ λεγάτον καὶ οἱ κληρονόμοι ἐν εἰδήσει αὐτὸ καταβάλωσιν, οὐκέτι δύνανται αὐτὸ ἐπαναλαμβάνειν.

33. Ἐν δὲ τῷ ρις΄ κεφ. Ἐὰν κτήματα ὑποκείμενα λεγατευθῶσιν, ὁ κληρονόμος ἀναγκάζεται ταῦτα ἀναῤῥύσασθαι· μάλιστα ὅτε καὶ ὁ τελευτήσας ᾔδει τὴν κατάστασιν αὐτῶν, ἢ ἠγνόει μέν, πλὴν εἰ ἠπίστατο, ἔμελλεν ἀντ᾽ αὐτῶν ἕτερόν τι λεγατεύειν. εἰ δὲ ἐπράθησαν ἤδη παρὰ τοῦ δανειστοῦ, ὁ κληρονόμος ἀναγκάζεται δοῦναι τῷ λεγαταρίῳ τὴν διατίμησιν αὐτῶν.

34. Ἐν δὲ τῷ ρλβ΄ κεφ. Καὶ ἐν ἐπιστολῇ καὶ ἐν οἱῳδήποτε λιβέλλῳ καὶ ἀγράφως καὶ νεύματι λεγάτον καταλιμπάνεται.

35. Ἐν δὲ τῷ ρλς΄ κεφ. Ἐὰν ὑπεξουσίῳ καταλειφθῇ λεγάτον, ὁ δὲ πατὴρ παραιτήσηται, αὐτὸς δύναται ὁ ὑπεξούσιος αὐτὸ ἀπαιτῆσαι.

36. Ἐν δὲ τῷ β΄ τί. κεφ. η΄ θέμ. γ΄ φησίν· Ἐὰν ἐκ τοῦδε τοῦ πίθου λεγατευθῶσί μοι δέκα κέραμοι, καὶ μὴ ἔχει τοσούτους, τὸ εὑρισκόμενον λαμβάνω[1].

37. Ἐν δὲ τῷ ι΄ κεφ. Ἐὰν μετὰ τὴν διαθήκην ἑνώσω τὶ τῷ λεγατευθέντι ἀγρῷ καὶ ἡνωμένως αὐτὰ νεμηθῶ, τῷ λεγαταρίῳ διαφέρει.

38. Ἐν δὲ τῷ ιβ΄ κεφ. Χρημάτων λεγατευθέντων καὶ τῆς κληρονομίας εὐπορούσης, εἰ καὶ μὴ κατελείφθησαν χρήματα, δίδωσιν αὐτὰ ὁ κληρονόμος.

39. Ἐν δὲ τῷ ιζ΄ κεφ. Ἐὰν λεγατεύσω σοι δέκα νομίσματα καὶ ἀξιώσω σε ἀποκαταστῆσαι αὐτὰ πέτρῳ, καὶ προαποθάνῃ τοῦ διαθεμένου πέτρος, σὺ αὐτὰ κερδαίνεις, εἰ μὴ ἄρα ὡς ὑπουργῷ σοι μόνον ἐχρησάμην. τὸ αὐτὸ καὶ περὶ χρήσεως καρπῶν λεγατευθείσης.

40. Ἐν δὲ τῷ κα΄ κεφ. Ἐὰν ἀνὴρ εἰδὼς ἀποδεδωκέναι τῇ γαμετῇ αὐτοῦ τὴν προῖκα, καὶ βουλόμενος αὐτῇ λεγατεῦσαι, εἶπεν ἀναδοθῆναι αὐτῇ τὴν αὐτῆς προῖκα, καλῶς αὐτὴν ἀπαιτεῖ, τοῦ ἀναδοθῆναι ῥήματος ἀντὶ τοῦ δοθῆναι παραλαμβανομένου.

---

1 Ἰστέον ὅτι ἕτερόν ἐστιν, εἰ μὴ προσέθηκεν ἐκ τοῦδε τοῦ πίθου, ἀλλ᾽ ἁπλῶς κεράμους ἐλεγάτευσε μὴ ἔχων οἶνον· ἀναγκάζεται γὰρ ὁ κληρονόμος ἀγοράσαι τοὺς κεράμους, ὡς τί. θ΄ τοῦ παρόντος βι. κεφ. γ΄.

41. Ἐν δὲ τῷ λβ' κεφ. Τὰ χωρὶς αἱρέσεως ἢ ἡμέρας λεγατευόμενα ἀπὸ τῆς ὑπεισελεύσεως τῆς κληρονομίας δίδονται.

42. Ἐν δὲ τῷ λγ' κεφ. Ἐὰν ἀγρὸν λεγατεύσω μετὰ πάντων τῶν ἐν αὐτῷ πραγμάτων, καὶ τὰ ἐν αὐτῷ ἀνδράποδα περιέχεται.

Τὰ ἰδικῶς λεγατευόμενα, καὶ χωρὶς δόλου τοῦ κληρονόμου μὴ εὑρισκόμενα ἐν τῇ οὐσίᾳ, οὐκ ἀπαιτοῦνται.

Οἱ κληρονόμοι πρὸς τὰ κληρονομιαῖα μέρη διδόασι τὰ λεγάτα, μὴ βαρούμενοι ἐκ τῆς ἀλλήλων ἀπορίας.

43. Ἐν δὲ τῷ λδ' κεφ. Ἐὰν τὸν λεγατευθέντα οἶκον τῷ δούλῳ μου μετὰ τῆς κληρονομίας διέλωνται οἱ τοῦ διαθεμένου κληρονόμοι παρόντος μου ὡς μάρτυρος, οὐκ ἐκπίπτω· εἰ μὴ δειχθῇ, ὅτι ὡς ἀποταττόμενος ἐποίησα τοῦτο.

44. Ἐν δὲ τῷ λθ' κεφ. Ἐὰν τοῦ ἀγροῦ μου τὸ ἥμισυ λεγατεύσω σοι, καὶ πέτρῳ τὸ ἥμισυ, παύλῳ δὲ τὸ ὅλον[k], καὶ ἀτονήσῃ τὸ οἱονδήποτε μέρος, τοῖς ἄλλοις πρὸς τὰ μέρη αὐτῶν αὔξει.

45. Ἐν δὲ τῷ μη' κεφ. Τελευτῶντος τοῦ λεγατευθέντος μοι βοὸς οὔτε τὴν βύρσαν οὔτε τὸ κρέας λαμβάνω.

46. Ἐν δὲ τῷ ξγ' κεφ. Τὸ λεγατευθὲν πεκούλιον καὶ αὔξει καὶ μειοῦται προστιθεμένου τινὸς ἢ ὑπεξαιρουμένου.

Ἐὰν τέθριππον λεγατευθῇ μοι καὶ ἀποθάνῃ ὁ καλλιστεύων ἐν αὐτοῖς, σβέννυται τὸ λεγάτον· εἰ μὴ περιὼν ὁ διαθέμενος ἀνεπλήρωσε τὸ τέθριππον.

47. Ἐν δὲ τῷ ξθ' κεφ. Ἐὰν λεγατευθῇ μοι τὸ μέλλον ἐκ μαρίας τίκτεσθαι, καὶ ἀγοράσω αὐτὴν καὶ τέκῃ παρ' ἐμοὶ, οὐ δοκῶ ἀπὸ κέρδους ἔχειν τὸ τεχθέν. διὸ πρὸς ἀναλογίαν τῶν δοθέντων παρ' ἐμοῦ ὑπὲρ τῆς αὐτοῦ μητρὸς ὁρίζει λαβεῖν με τὴν αὐτοῦ τιμὴν ὁ δικαστής.

48. Ἐν δὲ τῷ ο' κεφ. Ἐὰν γράψας πρός με ἐπιστολὴν ἐφ' ᾧ μετὰ θάνατόν σου ἀνοιγῆναι, ἔχουσαν οὕτως· εἰδέναι σε βούλομαι, ὅτι ἐδωρησάμην σοι ρ' νομίσματα, ἔῤῥωται τὸ λεγάτον, εἰ καὶ μὴ πρὸς τὸν κληρονόμον, ἀλλὰ πρὸς ἐμὲ διελέχθης.

49. Ἐν δὲ τῷ πδ' κεφ. Τῶν λεγάτων καὶ τῶν ἀποκαταστάσεων τοὺς τόκους ἐξ ἐκείνου τοῦ καιροῦ, ἐν ᾧ ἡ δίκη προκατήρχθη, δύνασθαι ἀπαιτηθῆναι φανερόν ἐστιν. ἀλλὰ καὶ οἱ καρποὶ τῶν πραγμάτων καὶ οἱ μισθοὶ τῶν δούλων, οἵ-

---

[k] Θεμάτισον τὸν πέτρον σὺν τῷ ἑτέρῳ πεμφθέντα εἰς τὸ ἥμισυ τοῦ ἀγροῦ, τὸν δὲ παῦλον εἰς τὸ ἕτερον ἥμισυ.

τινες κεχρεώστηνται ἐκ διαθήκης, ὁμοίως παρέχεσθαι ὀφείλουσιν[1].

50. Ἐν δὲ τῷ γ' τί. κεφ. ζ' [φησίν]· Ἀπὸ στρατιωτικῆς διαθήκης καὶ ὁ περιωρισμένος λαμβάνει λεγάτον.

51. Ἐν δὲ τῷ κα' κεφ. Σβέννυται τὸ λεγάτον τοῦ πράγματος ἐξ ἐπικερδοῦς αἰτίας εὑρισκομένου παρὰ τῷ λεγαταρίῳ, εἰ μὴ τὴν τιμὴν ἠθέλησεν αὐτὸν λαβεῖν ὁ διαθέμενος.

52. Ἐν δὲ τῷ μβ'[1] κεφ. Ἐὰν λεγατεύσω τῇ γυναικί μου, ὅσα ὀνόματι αὐτῆς εὐτρέπισα, περιέχει καὶ ἐσθῆτα καὶ ἀργύριον καὶ κόσμια, καὶ ὅσα ὀνόματι τῶν γυναικῶν εἰς διηνεκῆ χρείαν εὐτρεπίζονται, καὶ οὐκ εἰς κοινήν[2]· εἴτε πρὶν ἀγαγέσθαι γαμετὴν ἢ μετὰ ταῦτα εὐτρέπισα. εἰ δὲ καί τι ἀπὸ τῶν ἐν χρήσει πραγμάτων εἰς χρῆσιν αὐτῆς μεταγάγω, περιέχεται.

53. Καὶ εἰ μὲν εἴπω· καὶ ὅσα ὀνόματι αὐτῆς εὐτρέπισα, δηλῶ καὶ εἴ τι πλέον τῶν εἰρημένων τῆς τοιαύτης ἕνεκεν αἰτίας εὐτρέπισα. εἰ δὲ χωρὶς τοῦ „καὶ“ συνδέσμου εἴπω, ἅτινα εἰς λόγον αὐτῆς εὐτρέπισα, ἐκ πάντων τῶν εἰρημένων ἀνωτέρω πραγμάτων μόνα σημαίνω τὰ χάριν αὐτῆς εὐτρεπισθέντα.

54. Ἐν δὲ τῷ μη' κεφ. Ἐὰν ρ' βιβλία[m] λεγατευθῶσιν, οὐκ ἀριθμὸς βιβλίων ἀλλὰ ρ' τεύχη δίδονται.

55. Ἐν δὲ τῷ νς' κεφ. Τῷ λεγάτῳ τῶν ἀρνῶν οἱ μήπω τὸν ἐνιαυτὸν πληρώσαντες δηλοῦνται.

56. Ἐν δὲ τῷ νη' κεφ. Τῷ λεγάτῳ τῶν βορδονίων καὶ αἱ μοῦλαι περιέχονται, καὶ τῶν δούλων ὡς ἐπὶ τὸ πλεῖστον αἱ δοῦλαι. ἀεὶ γὰρ τὸ ἀῤῥενικὸν ὄνομα καὶ τοῦ θήλεώς ἐστι δηλωτικόν.

57. Ἐν δὲ τῷ ξα' κεφ. Τῷ τῶν θρεμμάτων λεγάτῳ τὰ ἀγεληδὸν βοσκόμενα τετράποδα περιέχεται, ἐν οἷς καὶ οἱ χοῖροι.

Ὑποζυγίων λεγατευθέντων οἱ βόες οὐ περιέχονται.

Τῷ λεγάτῳ τῶν ἵππων καὶ φοράδες[3] περιέχονται.

Οὐ μὴν τῷ τῶν προβάτων οἱ ἀρνοί. ἡ δὲ χρῆσις ἑκάστου τόπου δηλοῖ ἕως πότε εἰσὶν ἀρνοί· ἔν τισι γὰρ τόποις ἕως ὅτε καρῶσιν ἀρνοὶ νομίζονται.

58. Ἐν δὲ τῷ ξδ' κεφ. Ἀγροῦ μετὰ τῶν ἐνθηκῶν τῶν οὐ-

---

l Ὁμοίως φησὶ καὶ ἐν τῷ πζ' κεφ.
m Βιβλία δὲ λέγει τὰ ἐν οἱᾳδήποτε ὕλῃ γεγραμμένα.

---

1 Leuncl. μθ'. 2 Lips. εἰς ἰδίαν ἐκείνων. 3 Heimb. φορβάδες legi vult.

σῶν ἐν αὐτῷ λεγατευομένου καὶ τὰ ἀνδράποδα τὰ ἐν τῷ διατίθεσθαι ἐκεῖσε ὄντα δίδονται. τὰ δὲ ὕστερον προστεθέντα, ὅτε [ῥητῶς] εἴπῃ ὁ διαθέμενος.

59. Ἐν δὲ τῷ ξέ κεφ. Οὐ καλῶς[1] ἀναχωροῦμεν τῆς σημασίας τῶν λέξεων, εἰ μὴ πρόδηλόν ἐστιν ἕτερον ἐνθυμηθῆναι τὸν διαθέμενον.

Ἐὰν τοὺς νεωτέρους λεγατεύσω, τοῦ δικαστοῦ ἐστὶ σκοπεῖν, περὶ ποίων ἐνενόησα. ἐν γὰρ ταῖς διαθήκαις οὐ φυλάττομεν τοὺς ἀκριβεῖς ὅρους. οὔτε γὰρ οἱ διαθέμενοι ταῖς κυριολεξίαις κέχρηνται. ὅμως μέντοι νεώτερός ἐστιν ὁ τὴν ἐφηβον ἡλικίαν ἐξελθών,' ἕως οὗ μετὰ τῶν γερόντων ἄρξεται εἶναι.

60. Ἐν δὲ τῷ ξθ' κεφ. Ὅταν τοὺς ἰδίους δούλους λεγατεύσῃ τὶς, τοὺς πλήρει δικαίῳ δούλους ὄντας αὐτοῦ λέγει, καὶ τοὺς αὐτῷ καλῇ πίστει δουλεύοντας, καὶ οὓς ὑπέθετο ἢ ἐνεχυρίασεν ἢ ἐμίσθωσεν, οὐ μὴν τοὺς κατὰ χρῆσιν αὐτῷ διαφέροντας οὔτε οὓς εἰς ἐνέχυρον ἔχει. εἰ δὲ σωματέμπορος ἦν ὁ οὕτω λεγατεύσας, τὰ πράσιμα οὐ περιέχεται. φορτία γὰρ καὶ οἱ δοῦλοι νοοῦνται.

61. Ἐν δὲ τῷ οϛ'[2] κεφ. Δούλων λεγατευομένων καὶ δοῦλαι περιέχονται, καὶ παίδων αἱ παιδίσκαι· οὐ μὴν τὸ ἐναντίον. γυναικῶν λεγατευομένων καὶ παρθένοι περιέχονται, ὥσπερ ἀνδρῶν οἱ παῖδες.

Τῷ λεγάτῳ τῶν θρεμμάτων καὶ οἱ βόες καὶ τὰ λοιπὰ νωτοφόρα περιέχονται. βουκολίου δὲ μόνοι βόες, οὐ μὴν ἀγέλαι προβάτων ἢ αἰγῶν.

Τῷ λεγάτῳ τῶν προβάτων οὔτε ἀρνοὶ οὔτε κριοὶ περιέχονται· τῇ μέντοι τῶν προβάτων ἀγέλῃ περιέχονται.

62. Ἐν δὲ τῷ ργ' κεφ. Ὅτε τὶς οὕτως ἢ ἔνστασιν ἢ λεγάτον ἢ ἀποκατάστασιν ἢ ἐλευθερίαν ἢ ἐπιτροπὴν ἔγραψεν· ὁ δεῖνα ἢ ὁ δεῖνα ἔστω μου κληρονόμος, ἢ τῷδε ἢ τῷδε δίδωμι καὶ λεγατεύω ἢ δίδοσθαι βούλομαι, ἢ τόνδε ἢ τόνδε ἐλεύθερον ἢ ἐπίτροπον εἶναι βούλομαι ἢ κελεύω, κελεύομεν τὸν σύνδεσμον τὸν „ἢ" ἀντὶ τοῦ „καὶ" δεχθῆναι, ἵνα δόξῃ συμπλεκτικῷ τρόπῳ εἶναι προενηνεγμένος, καὶ μᾶλλον εἴη παραδιάζευξις, ἵνα καὶ τὸ πρῶτον πρόσωπον εἰσαγάγῃ καὶ τὸ δεύτερον μὴ ἐκβάλῃ. ὃν τρόπον γὰρ λόγου χάριν ἐν τῷ νομίμῳ παραγγέλματι τοῦ βίᾳ ἢ λάθρα ὁ „ἢ" σύνδεσμος ἀντὶ τοῦ „καὶ" φανερῶς κεῖται,

[1] Leuncl. conj. οὐκ ἄλλως. [2] Leuncl. οε'.

οὕτως ἐν πᾶσι τοῖς τοιούτοις θέμασιν, εἴτε ἐνστάσεων εἴτε λεγάτων εἴτε ἀποκαταστάσεων εἴτε ἐλευθεριῶν εἴτε ἐπιτροπῆς, τοῦτο εἶναι νοητέον. καὶ ἑκάτεροι ἐρχέσθωσαν ἴσῳ ζυγῷ πρὸς τὴν κληρονομίαν, ἑκάτεροι τὰ λεγάτα ὁμοίως λαμβανέτωσαν, αἱ ἀποκαταστάσεις εἰς ἑκάτερον μεριζέσθωσαν, ἡ ἐλευθερία ἑκάτερον λαμβανέτω, τῷ τοῦ ἐπιτρόπου οἱ δύο λειτουργοῦσιν ὀφφικίῳ.

63. Ἐν δὲ τῷ ρδ΄ κεφ. Τῇ ἀναφορᾷ τῆς τοῦ ἰλλυρικοῦ συνηγορίας ἀποκρινόμενοι διορίζομεν, τὸ τῆς φαμιλίας ὄνομα τοιαύτην ἔχειν δύναμιν· τοὺς ἀνιόντας καὶ κατιόντας καὶ πάντας τοὺς συγγενεῖς καὶ τὴν ὑπόστασιν καὶ τοὺς ἀπελευθέρους καὶ τοὺς πάτρωνας καὶ τοὺς δούλους διὰ ταύτης τῆς προσηγορίας σημαίνεσθαι· καὶ εἴ τις ἐν τῇ ἰδίᾳ διαθήκῃ ἀποκατάστασιν τῇ ἰδίᾳ φαμιλίᾳ καταλίπῃ, μηδεμιᾶς ἰδίας προσθήκης περί τινων ῥητῶν προσώπων γινομένης, μὴ μόνον τοὺς συγγενεῖς, ἀλλὰ καὶ τούτων ἀπορούντων τὸν γαμβρὸν καὶ τὴν νύμφην. καὶ τοῦτο[1] γὰρ ἡμῖν φιλάνθρωπον εἶναι δοκεῖ, εἰς τὴν ἀποκατάστασιν καλεῖσθαι οὕτως, ἐὰν ὁ γάμος θανάτῳ τοῦ παιδὸς ἢ τῆς θυγατρὸς εἴη διαλυθείς. μηδενὶ τρόπῳ δυνηθήτωσαν ὁ γαμβρὸς ἢ ἡ νύμφη τῶν παίδων ζώντων εἰς τὴν τοιαύτην ἀποκατάστασιν κληθῆναι, ὁπότε ἀναμφιβόλως αὐτοὺς προλαμβάνουσι. καὶ τοῦτο δηλαδὴ κατὰ τάξιν γίνεσθαι, ἵνα μετ᾽ αὐτοὺς οἱ ἀπελεύθεροι ἔλθωσι. τούτου αὐτοῦ ἰσχύοντος, καὶ εἴς τις πρᾶγμα ἀκίνητόν τινι ἐλεγάτευσεν ἢ κατὰ ἀποκατάστασιν κατέλιπε καὶ ἐκώλυσεν ἐκποιηθῆναι αὐτὸ, προστεθεικὼς ἵνα, ἐὰν [τοῦτο παρέλθῃ ὁ τὴν ἀποκατάστασιν λαβόμενος, τῇ φαμιλίᾳ αὐτοῦ] τὸ πρᾶγμα προσπορισθῇ. ἐν ἄλλοις δὲ θέμασι τὸ ὄνομα τῆς φαμιλίας ἀντὶ τῆς ὑποστάσεως χρὴ νοεῖσθαι, ἐπειδὴ καὶ οἱ δοῦλοι καὶ τὰ ἄλλα πράγματα ἐν τῇ οὐσίᾳ ἑνὸς ἑκάστου εἶναι νομίζονται.

64. Ἐν δὲ τῷ δ΄ τί. διαλαμβάνει περὶ ἐτησίων λεγάτων, οὗτινος ἐν τῷ β΄ κεφ. φησίν· Ἐὰν ἐν τῷ προοιμίῳ τοῦ ἐνιαυτοῦ, ὅτε ἔδει με γεωργῆσαι, ὑπέρθεσιν ποιήσῃ ὁ κληρονόμος, εἰ καὶ μετὰ ταῦτα συγχωρεῖ μοι γεωργῆσαι, ὑπὲρ ὅλου τοῦ ἐνιαυτοῦ κατέχεται· καὶ ἐπὶ ὑπηρεσιῶν δούλων, ἐὰν μὴ ἕωθεν πέμψῃ τὸν δοῦλον, ἀλλὰ μετὰ τὴν ἕκτην ὥραν, ὑπὲρ ὅλης τῆς ἡμέρας ἀπολογεῖται.

65. Ἐν δὲ τῷ ιζ΄ κεφ. Ἐὰν ἀποδοθῇ σοι ι΄ νομίσματα ἐπὶ

---

[1] Leuncl. emendat τούτους.

λ' ἔτη, καὶ ἀποθάνῃς ἐν τῷ μεταξὺ, ὁ κληρονόμος σου λαμβάνει τοῦ λειπομένου χρόνου, εἰ μὴ δείξῃ ὁ βαρηθεὶς, ὅτι μέχρι μόνης τῆς ζωῆς σου ἠθέλησα δοθῆναι.

66. Ἐν δὲ τῷ κζ' κεφ. Ἐάν τις λεγατεύσῃ πρᾶγμα καὶ μετὰ ταῦτα ὑπόθηται τὸ πρᾶγμα, ἔτι ἰσχύει τὸ λεγάτον. ὅθεν ἐὰν ὁ λεγατάριος ἐπιλέξηται κατὰ τοῦ κληρονόμου τὴν προσωπικὴν ἀγωγὴν, τουτέστι τὴν ἐκ διαθήκης βοήθειαν, ὁ κληρονόμος ἀναγκάζεται τὸ πρᾶγμα ἐλευθερῶσαι παρὰ τοῦ δανειστοῦ.

67. Ἐν δὲ τῷ κη' κεφ. Δούλοις ἐν διαθήκῃ τοῦ δεσπότου μὴ δοθείσης ἐλευθερίας λεγάτον ἢ ἀποκατάστασις καταλειφθὲν οὐκ ἰσχύει, εἰ καὶ μετὰ θάνατον τοῦ διαθεμένου τὴν ἐλευθερίαν τρόπῳ τινὶ ἐκτήσαντο.

68. Ἐν δὲ τῷ λγ' κεφ. Ὁσάκις ὁ κληρονόμος καταβάλλει τὰ λεγάτα, ὀφείλει ἀπαιτῆσαι τοὺς λεγαταρίους ἀσφάλειαν[n] τοιαύτην, ὅτι ἐὰν ἐκδικηθῇ ἡ κληρονομία, ἀποκαθίστησιν αὐτῷ τὰ λεγάτα. ἐὰν δὲ πλαστὴ φαίνηται εἶναι ἡ διαθήκη, ἐν τῷ μεταξὺ οὔτε δίκαιόν ἐστι καταβληθῆναι τὰ λεγάτα.

69. Ἐν δὲ τῷ λδ' κεφ. Ὅτε τὸ ἀλλότριόν τις πρᾶγμα καταλείψῃ, εἰ μὲν εἰδὼς, καὶ ἀπὸ λεγάτου καὶ ἀποκαταστάσεως παρ' ἐκείνου, ὅστις τοῦ λεγάτου ἢ τῆς ἀποκαταστάσεως ἠξιώθη, δύναται ἀπαιτηθῆναι· εἰ δὲ ἴδιον εἶναι ἐνόμισεν, οὐκ ἄλλως ἰσχύει τὸ καταλειφθὲν, εἰ μὴ ἄρα ἐγγίζοντι προσώπῳ ἢ γαμετῇ ἢ ἄλλῳ τοιούτῳ προσώπῳ ἐδόθη, ᾧτινι ἔμελλε λεγατεύειν, κἂν ἠπίστατο τὸ πρᾶγμα ἀλλότριον εἶναι.

70. Ἐν δὲ τῷ λε' κεφ. Ἐάν τις λεγατεύσῃ ἐν διαθήκῃ πράγματα τῇ θυγατρὶ, καὶ ἐπιζήσας μετὰ τὴν διαθήκην αὐτοῦ τὰ πράγματα παράσχῃ εἰς προῖκα ὑπὲρ τῆς θυγατρὸς, μετὰ ταῦτα δὲ τελευτήσῃ, οὐκέτι δύναται ἡ θυγάτηρ τὸ λεγάτον ἀπαιτῆσαι.

71. Ἐν δὲ τῷ λς' κεφ. Ὁσάκις ὁ κληρονόμος καὶ λεγάτον ἔχει ἐν [τῇ] διαθήκῃ κατεξαίρετον τῆς κληρονομίας, δύναται καὶ παραιτούμενος τὸ μέρος τῆς κληρονομίας αὐτοῦ λαβεῖν τὸ καταλειφθὲν αὐτῷ λεγάτον.

72. Ἐν δὲ τῷ μη' κεφ. Ἐὰν ὁ λεγατάριος κρύψῃ τὴν διαθήκην καὶ μετὰ ταῦτα τοῦτο εἰς τὸ φῶς ἀναφανῇ, παντὶ τρόπῳ κωλυτέον εἶναι κρίνομεν, ἵνα μὴ λάβῃ κέρδος τῆς ἰδίας παν-

---

[n] Σημ. ὅτι μὴ ἀμφιβαλλομένης διαθήκης δύναται ὁ κληρονόμος μὴ ἄλλως καταβαλεῖν τὰ λεγάτα, εἰ μὴ πρότερον λάβοι καυτίωνα παρὰ τῶν λεγαταρίων.

ουργίας οὗτος, ὃς τὸν κληρονόμον ἠβουλήθη τῆς κληρονομίας ζημιῶσαι· ἀλλὰ τὸ τοιοῦτον λεγάτον ἐκείνου μὲν ἀφαιρείσθω, μενέτω δὲ παρὰ τῷ κληρονόμῳ ὡς μὴ γεγραμμένον· ἵνα ὅστις ὀφείλειν ἄλλον βλάπτειν ἐνόμισεν, αὐτὸς τῆς ἰδίας ζημίας αἴσθηται τὸν τρόπον.

73. Ἐν δὲ τῷ ε´ τί. διαλαμβάνεται περὶ χρήσεως καὶ ὑπουργίας λεγατευθέντων.

74. Ἐν δὲ τῷ ϛ´ τί. περὶ δουλείας λεγατευθείσης.

75. Ἐν δὲ τῷ ζ´ τί. περὶ προικὸς ἀντιλεγατευθείσης, οὗτινος ἐν τῷ ιε´ κεφ. φησί· *Κεκανόνισται μὲν πραγμάτων ἐνεχυρασμένων λεγατευθέντων ἀναγκάζεσθαι τὸν κληρονόμον ἐλευθεροῦν αὐτά· ἐὰν δὲ γυνὴ ὑποκείμενα παράσχῃ ἐν προικὶ καὶ λεγατευθῇ αὐτῇ ἡ προὶξ, οὐκ ἀναγκάζεται ὁ κληρονόμος ἐλευθεροῦν αὐτά, εἰ μὴ ῥητῶς ὁ διαθέμενος [ἕτερον] εἶπεν.*

76. Ἐν δὲ τῷ η´ τί. [διαλαμβάνει] περὶ τῶν κατ᾽ ἐπιλογὴν λεγατευομένων, οὗτινος ἐν τῷ α´ κεφ. φησίν· *Ἐὰν ἐπιλογὴν δούλων λεγατεύσω σοι, τρεῖς λαμβάνεις κατ᾽ ἐπιλογήν.*

77. Ἐν δὲ τῷ γ´ κεφ. *Ἐὰν ρ´ κεράμων οἴνου λεγατευθῇ ἐπιλογὴ καὶ ἐπιλέξωμαι ὄξος, οὐκ ἀναιρεῖταί [μοι] ἡ ἐπιλογή, εἰ μὴ ὅπερ ἐπελεξάμην εἶχεν ὁ διαθέμενος ἐν ἀριθμῷ οἴνου· ἀλλὰ τοῦτο, ὅτε μὴ γευσάμενος ἐπελεξάμην.*

78. Ἐν δὲ τῷ ιγ´ κεφ. *Ἐὰν πρὸ τῆς ἐπιλογῆς ἐλευθερώσῃ δοῦλον ὁ κληρονόμος, εἰ μὲν αὐτὸν ὁ λεγατάριος ἐπιλέξηται, αὐτὸν λαμβάνει· εἰ δὲ ἄλλον, μένει ἐλεύθερος.*

79. Ἐν δὲ τῷ ιθ´ κεφ. *Ἐὰν ἐπιλέξηται ὁ λεγατάριος, οὐκέτι δύναται μεταμελόμενος ἕτερον ἐπιλέγεσθαι. ἅμα γὰρ τῷ εἰπεῖν τῆς δεσποτείας αὐτοῦ γίνεται τὸ ἐπιλεγέν.*

80. Ἐν δὲ τῷ θ´ τί. διαλαμβάνεται περὶ σίτου οἴνου καὶ ἐλαίου λεγατευθέντων, οὗτινος ἐν τῷ α´ κεφ. φησίν· *Οἴνου λεγατευομένου καὶ τὸ ὄξος περιέχεται, ὅπερ ὁ διαθέμενος εἶχεν ἐν ἀριθμῷ οἴνου.*

81. Ἐν δὲ τῷ γ´ κεφ. *Ἐὰν ρ´ κεράμους οἴνου λεγατεύσω, καὶ μὴ καταλίπω οἶνον, ἀναγκάζεται ὁ κληρονόμος ἀγοράσαι καὶ δοῦναι οἶνον, οὐ μὴν τὸ ὄξος, ὃ εἶχον ἐν ἀριθμῷ οἴνου.*

Οἴνου λεγατευομένου καὶ οἱ κέραμοι περιέχονται· οὐχ ὡς μέντοι μέρος ὄντες τοῦ οἴνου, ὥσπερ τὰ ἐμβλήματα τῶν ἀργυρέων σκευῶν καὶ τὰ σπέτλα[1] *τοῦ οἴκου. οὐ μὴν οἱ πίθοι, καὶ μάλιστα οἱ κεχωσμένοι ἢ διὰ τὸ μέγεθος δυσχερῶς μεταφερόμενοι, οὔτε οἱ ἀσκοί. αἱ δὲ βούττεις περιέχονται, εἰ μὴ ἀκίνητοι ἦσαν ὡς ἐξοπλισμὸς τοῦ ἀγροῦ.*

---

[1] Leuncl. emendat σπέκλα, invitis Codicibus MSS.

82. Ἐν δὲ τῷ ε' κεφ. Ἐὰν ῥητὸν οἴνου ποσὸν ἐκ τοῦ γενησομένου ἐν τῷδε τῷ ἀγρῷ λεγατεύσω σοι, καὶ μὴ γένηται τοσοῦτος, οὐδὲν πλέον τοῦ γενομένου λαμβάνεις.

83. Ἐν δὲ τῷ ϛ' κεφ. Ἐὰν εἴπω δοθῆναι τὸν ἐν κεράμοις ἢ κάδδοις οἶνον, καὶ τὰ ἀγγεῖα παρέχονται. καὶ ἐὰν τὸν οἶνον μετὰ τῶν κεράμων λεγατεύσω, καὶ τὸν ἐν πίθοις δοκῶ λεγατεύειν· ὥσπερ ἐὰν πάντας τοὺς δούλους μου μετὰ τῶν πεκουλίων αὐτῶν λεγατεύσω, καὶ οἱ μὴ ἔχοντες πεκούλια δίδονται.

84. Ἐν δὲ τῷ ζ' κεφ. Ἐὰν εἴπω τῇ γυναικί μου λαβεῖν οἶνον ἔλαιον μέλι ἢ ἄλλο τὶ, καὶ μὴ προσθήσω τὸ ποσὸν[1], ὅσον ἐκ τούτων τῶν εἰδῶν κατέλιπον λαμβάνει.

85. Ἐν δὲ τῷ ιδ' κεφ. Ἐκεῖνα τὰ ἀγγεῖα τῷ λεγάτῳ τοῦ οἴνου περιέχεται, ὅσα διὰ τὴν παροῦσαν χρῆσιν αὐτῶν[2] ἔχουσιν, ὡς οἱ κέραμοι καὶ οἱ κάδδοι, οὐ μὴν τὰ διηνεκῶς ἐπὶ τούτοις φυλαττόμενα[3].

86. Ἐν δὲ τῷ ι' τί. διαλαμβάνεται περὶ παρασκευῆς καὶ ἐξοπλισμοῦ καὶ τῶν πρὸς ὑπηρεσίαν λεγατευομένων, οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἀγροῦ μετὰ ἐξοπλισμοῦ λεγατευομένου εἶτα ἐκποιουμένου οὐδὲ ὁ ἐξοπλισμὸς δίδοται.

87. Ἐν δὲ τῷ δ' κεφ. Δύο εἶχον ἀγροὺς συνεζευγμένους, καὶ βόας μένοντας μὲν ἐν τῷ ἑνὶ, ἐν δὲ τῷ ἄλλῳ ἐργαζομένους. ἐὰν τοὺς ἀγροὺς διαφόροις λεγατεύσω παρεσκευασμένους, οἱ βόες ἔνθα κάμνειν εἰώθασιν ἀκολουθοῦσιν.

88. Ἐν δὲ τῷ ε' κεφ. Ἐὰν λεγατεύσω σοι ἀγρὸν μετὰ τοῦ ἐξοπλισμοῦ, καὶ πωλήσω τὸν ἀγρὸν, οὐ δύνασαι διεκδικεῖν τὸν ἐξοπλισμόν. εἰ δὲ οὕτω λεγατεύσω· ἀγρὸν καὶ τὸν ἐξοπλισμὸν, ἢ ἀγρὸν παρεσκευασμένον, δύνασαι τοῦ ἀγροῦ ἐκποιουμένου ἀπαιτεῖν ταῦτα.

89. Ἐν δὲ τῷ η' κεφ. Τῷ ἐξοπλισμῷ τοῦ ἀγροῦ περιέχεται, ὅσα ἐπὶ τῷ γενέσθαι καὶ συλλεγῆναι καὶ φυλαχθῆναι τοὺς καρποὺς παρεσκεύασται. καὶ ἕνεκεν μὲν τοῦ γενέσθαι εἰσὶν οἱ γεωργοῦντες καὶ οἱ προεστῶτες αὐτῶν, καὶ οἱ δεδαμασμένοι βόες, καὶ τὰ διὰ τὸ κοπρίζειν ὄντα θρέμματα, καὶ τὰ πρὸς γεωργίαν ἐργαλεῖα, οἷον ἄροτρα, ἅμαι[4], ὀρυγιαὶ, σκαλίδες, δρέπανοι κλαδευτικοὶ, δίκελλαι καὶ τὰ τοιαῦτα· ἐπὶ δὲ τοῦ συλλεγῆναι τοὺς καρποὺς εἰσι ληνοὶ, κόφινοι, δρέπανοι θεριστικοὶ,

---

[1] Malim πόσον. [2] Heimb. emendat αὐτόν. [3] Lips. φυλάττεσθαι.
[4] Lips. ἅμμαι.

δρέπανοι χόρτου, κάρταλλοι° πρὸς δὲ φυλακὴν πίθοι, βούττεις. εἰ δὲ τὰ οἰκήματα τοῦ ἀγροῦ εὐτρεπῆ εἰσι, καὶ οἱ τὰ μέσαυλα φυλάττοντες καὶ οἱ σαροῦντες ταῦτα τοῦ ἐξοπλισμοῦ εἰσιν. εἰ δὲ ἄλση ἔχει ὁ ἀγρὸς, καὶ οἱ ἀλσοφύλακες. εἰ δὲ καὶ ἕλη καὶ βοσκὰς ἔχει, περιέχονται αἱ ἀγέλαι καὶ οἱ ποιμένες καὶ οἱ τὰ ἕλη φυλάττοντες.

90. Ἐν δὲ τῷ ια΄ τί. διαλαμβάνεται περὶ πεκουλίου λεγατευθέντος, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ἐὰν οἰκέτης λεγατευθεὶς μετὰ τοῦ πεκουλίου τελευτήσῃ ἢ ἐλευθερωθῇ [ἢ ἐκποιηθῇ], σβέννυται τὸ τοῦ πεκουλίου λεγάτον. αἱ γὰρ προσθῆκαι συναναιροῦνται τοῖς πρωτοτύποις.

91. Ἐν δὲ τῷ ιβ΄ κεφ. Ἐὰν ὁ πρὸ τοῦ πεκουλίου λεγατευθεὶς δοῦλος πρὸ τοῦ διαθεμένου τελευτήσῃ, σβέννυται τὸ τοῦ πεκουλίου λεγάτον. εἰ μέντοι μετ᾽ αὐτὸν, οὐ σβέννυται. τὸ ἐναντίον δὲ, ἐὰν δοῦλος ἐνδεδυμένος λεγατευθῇ.

92. Ἐν δὲ τῷ ιβ΄ τί. περὶ κελλαρικοῦ λεγατευθέντος, οὗτινος ἐν τῷ γ΄ κεφ. φησί· Κελλαρικοῦ λεγατευομένου πάντα τὰ βρώσιμα καὶ τὰ πόσιμα περιέχεται, ἅπερ ὁ διαθέμενος εὐτρέπισεν εἰς λόγον ἑαυτοῦ καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων καὶ τῆς περὶ αὐτὸν φαμιλίας καὶ ἀλόγων, καὶ ὅσα καθ᾽ ἑαυτὰ βρωθῆναι ἢ ποθῆναι οὐ δύνανται, ἔλαιον, γάρον, ἅλμην, μέλι καὶ τὰ ὅμοια. καὶ ὅτε τὸ βρώσιμον λεγατευθῇ, ταῦτα[1] περιέχεται, καὶ οἱ ἁλητοὶ[2] ἰχθύες μετὰ τοῦ ἰδίου ἀγγείου. ποσίμου δὲ λεγατευομένου, τὰ ἐν τάξει οἴνου ὄντα παρὰ τῷ διαθεμένῳ περιέχεται. κελλαρικοῦ δὲ καθόλου λεγατευομένου καὶ τὸ ὄξος περιέχεται, εἰ μὴ ἐπὶ κατασβέσει ἐμπρησμοῦ εὐτρέπιστο. καὶ ὅπερ ἦν διὰ τὴν χρῆσιν τῶν φίλων αὐτοῦ ἢ τῶν προσφύγων ἢ πάντων τῶν περὶ αὐτὸν, καὶ τῶν ὑπουργούντων αὐτοῦ τε καὶ τοῖς φίλοις αὐτοῦ, καὶ τῶν ζώων· οὐ μὴν διὰ τὴν ἀγροικικὴν φαμιλίαν, οὔτε τὰ διὰ τὰ ἐν τῷ ἀγρῷ ἐργαζόμενα ἢ μισθούμενα ζῶα. καὶ τὰ ὄσπρια καὶ ὁ σῖτος καὶ ἡ κριθὴ καὶ τὰ ξύλα καὶ οἱ κάρβωνες, οἱ μὴ ἐν ἐκποιήσει ἀλλ᾽ εἰς χρείαν τοῦ διαθεμένου ὄντες, καὶ ὁ λιβανωτὸς, καὶ ὁ πρὸς τὴν χρῆσιν τὴν οἰκιακὴν κηρὸς, καὶ τὰ μύρα, καὶ οἱ ἐπιστολιμαῖοι χάρται καὶ πρὸς[3] τὰ λογοθέσια συγγραφῆναι εὐτρε-

---

° Κάρταλλοί εἰσι κόφινοι τρυγητικοὶ ἢ ὑποδεκτικοὶ, ἐν οἷς αἱ σταφυλαὶ βαστάζονται.

[1] Leuncl. emendat σαῦρα. Forte ταὐτά. [2] Leuncl. legi vult ἁλιστοί. [3] Leuncl. οἱ εἰς.

πισθέντες, καὶ τὰ εὔοσμα πάντα, καὶ τὰ ἀγγεῖα· οὐ μὴν οἱ πίθοι, κατὰ τὴν εἰρημένην ἐπὶ οἴνου διάστιξιν, οὐδὲ τὰ ἐν οἷς ὁ σῖτος καὶ τὸ ὄσπριον βάλλεται.

93. Ἐν δὲ τῷ ιγ' τί. περὶ οἰκοσκευῆς λεγατευθείσης, οὗτινος ἐν τῷ α κεφ. φησίν· Οἰκοσκευή ἐστιν ὁ οἰκιακὸς ἐξοπλισμὸς τοῦ δεσπότου, ὅσπερ[1] οὔτε τῷ ἀργύρῳ οὔτε τῷ ἐσκευασμένῳ χρυσῷ οὔτε τῇ ἐσθῆτι περιέχεται· τουτέστι τὰ κινητὰ ἄψυχα, οἷον τράπεζα, τραπεζοφόροι, οἱ τὰς τραπέζας ἔχοντες δελφῖνες, σουβέλλια[2], σκαμνία, κλίναι, κἂν ὦσιν ἠργυρωμέναι, στρώματα, προσκεφάλαια, σκεύη ὕδρηλα, χερνιβόξεστα, κανδηλάβραι, λύχνοι, τροῦλλαι, χαλκᾶ σκεύη, τὰ πᾶσιν εἰς ὑπηρεσίαν προκείμενα καὶ μὴ ἰδιαζόντως ἀφωρισμένα τινὶ τόπῳ· κάψαι καὶ ἀρμάρια, τὰ μὴ ἕνεκεν βίβλων ἢ ἐσθῆτος ἢ ὅπλων εὐτρεπισθέντα· ταῦτα γὰρ οὐκ εἰσι τῆς οἰκοσκευῆς, ὥσπερ οὔτε αὐτὴ ἡ ἐσθὴς ἢ τὰ βιβλία ἢ τὰ ὅπλα· καὶ τὰ ὑέλινα σκεύη, τὰ πρὸς βρῶσιν καὶ πόσιν, καὶ τὰ ὀστράκινα κἂν ὦσι βαρύτιμα, φιάλαι ἀργυραῖ, κλίναι ἠργυρωμέναι ἢ κεχρυσωμέναι ἢ καὶ ὁλάργυραι καὶ διάχρυσαι καὶ διάλιθοι· σκεύη μύρινα καὶ κρυστάλλινα καὶ ἄλλης τιμιωτέρας ὕλης. ἐὰν δὲ εἰς τὸν ἄργυρον ἀνήνεκται, ἢ ἀργυρᾶ κανδηλάβρα, τῷ ἀργύρῳ περιέχεται. καὶ ἡ πλάνη γὰρ τοῦ χρωμένου νόμον ποιεῖ.

94. Ἐν δὲ τῷ ς' κεφ. Οἰκοσκευή ἐστιν ἐξοπλισμὸς τοῦ οἰκοδεσπότου πραγμάτων εὐτρεπισμένων[3] πρὸς τὴν καθημερινὴν αὐτοῦ χρῆσιν, μὴ μεταπιπτόντων εἰς ἕτερον ὄνομα, τυχὸν εἰς κελλαρικὸν ἢ ἄργυρον ἢ ἐσθῆτα ἢ κόσμια, μηδὲ ὥσπερ εἰς ἐξοπλισμὸν τοῦ ἀγροῦ ἢ τοῦ οἴκου ὄντων. τὴν γὰρ χρῆσιν καὶ οὐ τὴν ὕλην αὐτῶν περιεργαζόμεθα, εἴτε πολύτιμά εἰσιν εἴτε μή. καὶ εἰς μὲν τὰ ἀμφιβαλλόμενα τῇ γνώμῃ τοῦ διαθεμένου προσέχομεν. εἰ δὲ τὸν ὁμολογουμένως ἄργυρον ἢ ἐσθῆτα ὡς οἰκοσκευὴν λεγατεύσει, οὐκ ἔῤῥωται· οὔτε γὰρ δοκεῖ τι λέγειν ὁ μὴ τῷ κυρίῳ χρώμενος ὀνόματι.

95. Ἐν δὲ τῷ ζ' κεφ. Ἐὰν λεγατεύσω τῇ γυναικί μου οἶκον μετὰ παντὸς αὐτοῦ δικαίου καὶ ἐξοπλισμοῦ καὶ οἰκοσκευῆς, τὸν μὲν τῆς οἰκοσκευῆς ἄργυρον ὄντα λαμβάνει, οὐκέτι δὲ καὶ τὸν πρὸς βρῶσιν, εἰ μὴ τοῦτο ἠβουλήθη.

96. Ἐν δὲ τῷ ι' κεφ. Τὰ τὸ ὕδωρ ἀναβλύζοντα χαλκᾶ σκεύη, καὶ τὰ λοιπὰ πρὸς τέρψιν καὶ οὐ χρῆσιν ὄντα, τῆς οἰκοσκευῆς

[1] Lips. ὥσπερ, Leuncl. ὅπερ. [2] Leuncl. emendat σουβσέλλια. [3] Lips. ἐξωπλισμένων.

οὔκ εἰσι. τὰ μέντοι μύρινα καὶ ὑέλινα σκεύη τὰ πρὸς τὸ πίνειν καὶ ἐσθίειν τῆς οἰκοσκευῆς εἰσιν.

97. Ἐν δὲ τῷ ιβ' κεφ. Τῷ λεγάτῳ τῆς οἰκοσκευῆς ἡ οἴκησις, ἐν ᾗ ἀπόκειται, οὐ περιέχεται.

Τῷ λεγάτῳ τοῦ ἀγροῦ ὁ ἐξοπλισμὸς αὐτοῦ οὐ περιέχεται[1], εἰ μὴ ῥητῶς ὁ διαθέμενος εἴπῃ· ὥσπερ οὔτε τῷ λεγάτῳ τοῦ οἴκου ὁ ἐξοπλισμὸς αὐτοῦ ἢ ἡ οἰκοσκευή.

98. Ἐν δὲ τῷ ιδ' τί. [φησὶ] περὶ τροφείων λεγατευθέντων, οὗτινος ἐν τῷ β'[2] κεφ. φησί· Ταῖς διατροφαῖς καὶ ἡ τροφὴ καὶ ἡ ἐσθὴς καὶ ἡ οἴκησις περιέχεται.

99. Ἐν δὲ τῷ ιδ' κεφ. Ἐὰν ἀνήβοις λεγατεύσω διατροφὰς καὶ μὴ δείκνυται ἕως πότε ἠθέλησα λαμβάνειν αὐτοὺς, ἕως οὗ ζῶσι λαμβάνουσιν. εἰ δὲ εἶπα· μέχρι τῆς ἥβης, εἰ μὲν ἄῤῥην, ἕως τοῦ ιη' ἔτους, εἰ δὲ θήλεια, ἕως τοῦ ιδ' λαμβάνει. ἐπὶ μόνων δὲ τῶν διατροφῶν φιλαγάθως οὕτως ἡ ἥβη ὁρίζεται.

Ἐὰν εἴπω δοθῆναι ὅσα ζῶν ἐδίδων, καὶ διάφορός ἐστιν ἡ δόσις, τοῖς ἐν καιρῷ τελευτῆς μου διδομένοις δεῖ προσέχειν.

100. Ἐν δὲ τῷ ις' κεφ. Ὁ εἷς τῶν κληρονόμων κἂν ὀνομαστὶ παρασχεῖν διατροφὰς ἀξιωθῇ, καὶ οἱ κληρονόμοι αὐτοῦ ὑπόκεινται.

101. Ἐν δὲ τῷ ιε' τί. περὶ χρυσοῦ, ἀργύρου, κοσμίων, μύρων καὶ ἀνδριάντων λεγατευθέντων, οὗτινος ἐν τῷ ιθ'[3] κεφ. φησί· Τῷ λεγάτῳ τοῦ χρυσοῦ τὰ μόνον κεχρυσωμένα οὐ περιέχονται, οὔτε τὰ ἐν τῷ ἀργύρῳ χρυσᾶ ἐμβλήματα. δακτύλιοι μέντοι χρυσοὶ περιέχονται.

Τῷ λεγάτῳ τοῦ ἀργύρου οὔτε ἡ ἀργυρᾶ κλίνη οὔτε ὁ ἄλλος τῆς οἰκοσκευῆς ἄργυρος περιέχεται· εἰ μὴ καὶ ταῦτα ὁ διαθέμενος εἶχεν ἐν ἀριθμῷ ἀργύρου. οὐδὲ ὁ τῶν μουλῶν κόσμος, ὅτε μὴ ἐν τῷ ἀργενταρίῳ ἀπόκειται· οὔτε αἱ ἀργυραῖ κανδηλάβραι ἢ λυχνία ἢ ζώδια ἀργυρᾶ ἐν τῷ οἴκῳ κείμενα, οὔτε τὸ ἀργυροῦν ἔσοπτρον, εἰ μὴ εἶχεν αὐτὸ ἐν ἀριθμῷ ἀργύρου ἡ τελευτήσασα.

Ἀργύρου ἐσκευασμένου λεγατευθέντος τὰ σκεύη περιέχονται, οὐ μὴν ἡ οἰκοσκευή· σκευῶν δὲ λεγατευομένων οὐ μόνον τὰ πόσιν καὶ βρῶσιν δεχόμενα περιέχονται, ἀλλὰ καὶ τὰ ὑποβαλλόμενα τοῖς σκεύεσι καὶ σκεύη πλευστικά.

---

[1] Leuncl. οὐχ ἕπεται. [2] Lips. α'. [3] Lips. ια'.

102. Ἐν δὲ τῷ κα' κεφ. Μύρων λεγατευομένων οὐ μόνον τὰ διὰ τέρψιν, ἀλλὰ καὶ τὰ δι' ὑγείαν ἀλειφόμενα περιέχεται.

103. Ἐν δὲ τῷ κη' κεφ. Ἐσκευασμένος ἄργυρός ἐστιν ὁ μὴ ὢν ἐν βώλῳ ἢ λάμναις ἢ σφραγίδι ἢ οἰκοσκευῇ ἢ κοσμίῳ ἢ ἐν κόσμῳ.

104. Ἐὰν λεγατεύσω τὸν πρὸς χρῆσίν μου ἄργυρον ἢ ἐσθῆτα ἢ οἰκοσκευὴν, ἐκεῖνος δηλοῦται, ᾧτινι εἰς τὴν τροφήν μου ἐκεχρήμην, οὐ μὴν ᾧτινι οὐκ εὐχερῶς ἐκεχρήμην, ἀλλ' εἴωθα κιχρᾷν εἰς τὰς κοινὰς εὐωχίας· οἷον τράπεζαι καὶ τοιαῦτα σκεύη.

105. Ἐν δὲ τῷ λβ' κεφ. θέμ. ζ'· Κόσμου γυναικείου λεγατευθέντος οὔτε χρυσᾶ κόσμια οὔτε λίθοι οὔτε δακτύλιοι οὔτε ἐσθὴς περιέχεται· ἀλλ' ὁ τῶν προσβαλλομένων[1] ἄργυρος.

106. Ἐν δὲ τῷ ιϛ' τί. περὶ ἐλευθερίας χρεῶν λεγατευθείσης, οὗτινος ἐν τῷ α' κεφ. φησί· Καλῶς ὁ δανειστὴς λεγατεύει τῷ χρεώστῃ τὸ ἐνέχυρον, καὶ ἀναλαμβάνει αὐτὸ πρὶν ἢ καταβάλλῃ τὸ χρέος. οὐ δοκεῖ δὲ καὶ τὸ χρέος ἐκ τούτου λεγατεύεσθαι, εἰ μὴ καὶ ἑτέρωθεν δειχθῇ.

107. Ἐν δὲ τῷ η' κεφ. Ἐὰν μόνῳ τῷ χρεώστῃ λεγατεύσω ἐλευθερίαν χρέους, οὐ διαβαίνει τὸ λεγάτον εἰς τὸν κληρονόμον αὐτοῦ.

108. Ἐν δὲ τῷ λβ' κεφ. Ἡ πλαστὴ ἀπαρίθμησις οὐδέποτε βλάπτει τὰ λεγάτα. διὰ τοῦτο καὶ εἴ τις λεγατεύσει· δίδωμι τῷδε ρ' νομίσματα, ἅπερ χρεωστῶ αὐτῷ, κἂν μὴ χρεωστῇ, ἔῤῥωται τὸ λεγάτον ὡς ἀπὸ ἀπαριθμήσεως.

109. Ἐν δὲ τῷ λγ' κεφ. Ἐάν τις προῖκα λεγατεύσῃ, εἰ μὲν ποσότητος μνημονεύσει, καὶ μὴ ὑπούσης προικὸς ἔῤῥωται τὸ λεγάτον. εἰ δὲ οὕτως εἴπῃ· τὴν προῖκα δίδωμι καὶ λεγατεύω, ἀναγκάζεται ἡ γυνὴ δεῖξαι πόσην ἐπέδωκε προῖκα[2].

110. Ἐν δὲ τῷ ιζ' τί. περὶ ἀφαιρέσεως καὶ μεταφορᾶς καὶ ἀποκαταστάσεως λεγάτων, οὗτινος ἐν τῷ ιη' κεφ. φησίν· Ἐὰν ὅπερ ἐλεγάτευσά σοι ἑτέρῳ δωρήσωμαι, σβέννυται τὸ λεγάτον, καὶ οὐ κεχρήμεθα τῇ διαστίξει τῇ λεγούσῃ, ὅτι εἰ μὲν ἐξ ἀνάγκης ἐξεποίησα, μένει τὸ λεγάτον ἐῤῥωμένον· εἰ δὲ [ἐκ] προαιρέσεως, σβέννυται. ἐπειδὴ οὐδεὶς ἄκων δωρεῖται.

---

[1] Labbaeus emendat: πρὸς βαλινέων. — Leuncl.: ἀλλ' ὁ τῶν πρὸ τῶν λουτρῶν (conj. πρὸς τὸ λουτρὸν), ὡς θέμ. β' τοῦ λθ' κεφ. τοῦ παρόντος τί., λαμβάνεται ἄργυρος. — Legendum: ἀλλ' ὁ πρὸς βαλινέων λαμβάνεται ἄργυρος. Ad quae illa πρὸ τῶν λουτρῶν, ὡς θέμ. β' τοῦ λθ' (nobis μ') κεφ. τοῦ παρόντος τί. glossema sunt. [2] Leuncl. πόσον — εἰς προῖκα.

111. Ἐν δὲ τῷ ιη' τί. περὶ πραγμάτων ἀμφιβόλων λεγατευομένων καὶ περὶ ἀφανῶν προσώπων. οὗτινος ἐν τῷ ιβ' κεφ. φησίν· Ὁσάκις ἐν ἀγωγαῖς ἢ παραγραφαῖς ἀμφιβάλλεται φράσις, τὴν πρὸς σύστασιν τοῦ ὑποκειμένου πράγματος δέχεσθαι χρή, καὶ οὐ τὴν πρὸς ἀναίρεσιν.

112. Ἐν δὲ τῷ κγ' κεφ. Τὰ ἀμφιβόλως ἢ προπετῶς ἐν διαθήκῃ γραφόμενα φιλαγάθως ἑρμηνευτέον, πρὸς ὃ πιθανόν ἐστιν ἐνθυμηθῆναι τὸν διαθέμενον[p].

113. Ἐν δὲ τῷ κς' κεφ. Ἐὰν ἐκ πολλῶν δούλων ἕνα θελήσω ἐλευθερωθῆναι, καὶ μὴ δείκνυται[1] ποῖον, οὐδεὶς ἐλευθεροῦται.

114. Ἐν δὲ τῷ ιθ' τί. περὶ αἱρέσεως λεγάτων καὶ δηλώσεως [καὶ] αἰτίας καὶ τρόπου αὐτῶν, οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Αἱ ἀδύνατοι αἱρέσεις ἐν ταῖς διαθήκαις ἀντ' οὐδενός εἰσιν.

115. Ἐν δὲ τῷ ιδ' κεφ. Ἐὰν λεγατεύσω εἰς καιρὸν γάμου, εὐθέως ὅτε γαμηθῇ πληροῦται ἡ αἵρεσις, εἰ καὶ μήπω εἰσῆλθεν εἰς τὸ κουβούκλειον τοῦ ἀνδρός. τὸν γὰρ γάμον οὐ τὸ συγκαθευδῆσαι ἀλλ' ἡ συναίνεσις ποιεῖ.

116. Ἐν δὲ τῷ ιη' κεφ. θέμ. ε'· Αἱ αἰσχραὶ αἱρέσεις συγχωροῦνται, καὶ ὡς ἐπὶ τὸ πλεῖστον ὁ ὅρκος.

117. Ἐν δὲ τῷ κ' κεφ. Ἐν ταῖς κληρονομίαις καὶ λεγάτοις καὶ ἐπερωτήσεσιν ἀντὶ πεπληρωμένης ἐστὶν ἡ αἵρεσις, ὁσάκις ἐκεῖνος, ᾧτινι διέφερεν αὐτὴν πληρωθῆναι, ἐνεπόδισε τῇ πληρώσει αὐτῆς.

118. Ἐν δὲ τῷ κζ' κεφ. Ἐὰν πέτρῳ καὶ μαρίᾳ λεγατεύσω ρ' νομίσματα, εἰ συναφθῶσιν ἀλλήλοις πρὸς γάμον, καὶ συμβῇ τὸν ἕνα πρὸ τῆς ἀνοίξεως τῆς διαθήκης ἀποθανεῖν, ἀτονεῖ τῶν δύο τὸ λεγάτον. εἰ δὲ περίεισι, καὶ ὁ μὲν εἰς παραιτεῖται συναφῆναι, ὁ δὲ ἄλλος ἕτοιμός ἐστι, μόνου τοῦ παραιτουμένου τὸ μέρος ἀσθενεῖ.

119. Ἐν δὲ τῷ κθ' κεφ. Ἡ πλαστὴ δήλωσις οὔτε λεγατάριον οὔτε κληρονόμον βλάπτει· οἷον ἐὰν υἱὸν ἢ ἀδελφὸν ὀνο-

---

p Ἔγραψέ τις οὕτως· ἡ μία μερὶς τῶν δούλων μου ἔστωσαν ἐλεύθεροι, ἡ δὲ ἑτέρα ἔστωσαν δοῦλοι τοῦ κληρονόμου μου, πέτρος δὲ ὁ δοῦλός μου ἔστω τῆς μιᾶς μερίδος· ἀμφίβολον δὲ πάντως ποίας. πρὸς τὴν διάθεσιν οὖν τοῦ τεστάτορος τοῦτο κρίνεται, κἄντε ἐλεύθερον αὐτὸν γενέσθαι ἢν κἄντε δοῦλον. τὸ δὲ προπετῶς, οἷον ὁ τεστάτωρ εἶπε· πέτρος οὐκ ἐλευθερωθήσεται, ὁ δὲ γράψας ἔγραψε τοῦτο ἀπόλυτον.

---

1 Leuncl. δείκνυμαι.

μάσῃ τὸν μὴ ὄντα. εἰ δὲ καὶ πολλοὶ τοῦ ὀνόματος φιλονεικοῦσιν, ὁ δεικνὺς περὶ ἑαυτοῦ τὸν διαθέμενον ἐνθυμηθῆναι λαμβάνει τὸ λεγάτον. εἰ δὲ καὶ ἀπελευθέροις λεγατευθῇ καὶ μετὰ ταῦτα τύχωσί τινες αὐτῶν ἀξίας τινὸς, οὐκ ἀπολλύουσι τὸ λεγάτον. τιμὴ γὰρ αὐτοῖς διὰ τούτου περιποιεῖται, οὐ μὴν ἡ αἵρεσις αὐτῶν ἀλλάσσεται.

120. Ἐν δὲ τῷ λγ΄ κεφ. Ἐὰν ὃν οὐκ ἠδυνάμην ἐλευθερῶσαι λεγατεύσω σοι ἐπὶ τῷ ἐλευθερῶσαι, καὶ τὸ λεγάτον λαμβάνεις καὶ οὐκ ἀναγκάζῃ ἐλευθερῶσαι. τότε γὰρ ὀφείλομεν πειθαρχεῖν τῷ διαθεμένῳ, ὅτε μηδὲν ἐκ τοῦ γινομένου συμβαίνει παράνομον. ἰσχύει δὲ τὸ λεγάτον, ἐπειδὴ κέρδος ἠθέλησά [σε] σχεῖν ἐν τῷ δούλῳ, ἤπερ τὸν ἐμὸν κληρονόμον.

121. Ἐν δὲ τῷ λζ΄ κεφ. Τὰ αἱρετικὰ λεγάτα μετὰ τὴν ἔκβασιν τῆς αἱρέσεως κεχρεώστηνται. ὅθεν οὔτε μεταφέρεσθαι ἐν τῷ μεταξὺ δύνανται.

122. Ἐν δὲ τῷ μδ΄ κεφ. Ἐὰν λεγατεύσω σοι, ὅτε εἰς τὸν ις΄ ἐνιαυτὸν ἔλθῃς, οὐχ ἅμα τῷ ἐπιβῆναι τῷ ις΄ τὸ λεγάτον ἀπαιτεῖς.

123. Ἐν δὲ τῷ νβ΄ κεφ. Ἐὰν ἀξιωθῇς ι΄ νομίσματα δοῦναι καὶ λαβεῖν ἀγρὸν, οὐ δύνασαι τὰ ε΄ διδοὺς λαβεῖν τὸ ἥμισυ τοῦ ἀγροῦ. εἰ δὲ πολλοῖς ὑπὸ τὴν αὐτὴν αἵρεσιν καταλειφθῇ, ἕκαστος διδοὺς τὴν ἀναλογίαν λαμβάνει τὸ ἁρμόζον αὐτῷ. ὡς δὲ ὁ εἷς οὐ δύναται διαιρεῖν τὴν αἵρεσιν, οὕτως οὐδὲ οἱ ὑποκαταστάντες αὐτῷ. ἀντὶ γὰρ ἑνὸς προσώπου παραλαμβάνεται.

124. Ἐν δὲ τῷ νς΄ κεφ. Αἱ αἱρέσεις εἰς τρία σκέλη διαιροῦνται, ἢ εἰς τὸ δοῦναι ἢ ποιῆσαι ἢ συμβῆναι, ἢ μὴ δοῦναι ἢ μὴ ποιῆσαι ἢ μὴ συμβῆναι. καὶ αἱ μὲν ἔχουσαι δόσιν ἢ ποίησιν προσώποις ἥνωνται ἢ τοῦ λεγαταρίου ἢ ἑτέρου, αἱ μέντοι ἀπαιτοῦσαί τι συμβῆναι τύχης ἤρτηνται. τὰ οὖν ἔχοντα αἵρεσιν ἐν δόσει ἢ ἐν ποιήσει πληροῖ ὁ δημόσιος διαδεχόμενος τὸν τοιοῦτον λεγατάριον.

125. Ἐν δὲ τῷ ρβ΄ κεφ. Ἡ πολλοῖς προσώποις ἐπικλασθεῖσα αἵρεσις, οἷον ἵνα ποιήσωσιν, εἰ μὴ πάντες ποιήσουσιν, οὐ πληροῦται.

126. Ἐν δὲ τῷ ρε΄ κεφ. Κατελείφθη κόρῃ τινὶ λεγάτον, οὕτως τυχόν· ὅτε γένηται ιε΄ ἐνιαυτῶν, καὶ γενομένη τούτου τοῦ χρόνου ἐτελεύτησε μηδέπω τὸ λεγάτον ἀπαιτήσασα. λέγει οὖν ἡ διάταξις, ὅτι κἂν μὴ ἀπήτησε τὸ λεγάτον, ὅλως δὲ γέγονεν ἐκείνης τῆς ἡλικίας, παρέπεμψεν αὐτὸ ἐπὶ τοὺς ἰδίους κληρονόμους.

127. Ἐν δὲ τῷ κ' τί. [περιέχεται] ποίαις ἡμέραις τὰ λεγάτα προχωρεῖ. οὗτινος ἐν τῷ κβ' κεφ. φησί· *Τὰ μὴ ἔχοντα ἡμέραν λεγάτα παραχρῆμα χρεωστεῖται. εἰ δὲ πρόσκειται χρόνος, εἰ μὲν δῆλος, κἂν εἰ τὰ μάλιστα μακρὸς (ἴσως γὰρ εἶπον μετὰ ρ' ἔτη), παραχρῆμα μὲν ἡ προχώρησις γίνεται, ἡ δὲ ἀπαίτησις μέχρι τοῦ χρόνου ὑπερτίθεται. εἰ δὲ ἄδηλός ἐστιν ἡ ἡμέρα (τυχὸν γὰρ εἶπον, ὅταν ἡβήσῃ, ὅταν γαμήσῃ, ὅταν ἄρξῃ), εἰ μὴ ἐξέλθῃ ἡ αἵρεσις, οὐ γίνεται προχώρησις.*

Εἰ δὲ ὑπὸ αἵρεσιν, ὑφ' ἣν ἔγραψα τὸν κληρονόμον, λεγατεύσω σοι, χωρὶς αἱρέσεώς ἐστι τὸ λεγάτον. ὥσπερ ὅτε λέγω· πέτρος ἐὰν κληρονομήσῃ μου, δότω παύλῳ.

128. Ἐν δὲ τῷ κγ' κεφ. *Ἐὰν λεγατεύσω σοι, ὅτε γένῃ ιδ' ἐτῶν, καὶ πρὸ τῶν ιδ' τελευτήσῃς, οὐ παραπέμπεις. οὐ γὰρ μόνος χρόνος, ἀλλὰ καὶ αἵρεσίς ἐστιν ἡ· ἐὰν γένῃ ιδ' ἐτῶν. τὸ αὐτό ἐστιν, κἂν εἴπω[1] ιδ' ἐτῶν.*

129. Ἐν δὲ τῷ κα' τί. περὶ ἀσφαλείας τῆς γενομένης παρὰ τοῦ κληρονόμου τοῖς λεγαταρίοις. οὗτινος ἐν τῷ α' κεφ. φησί· *Πᾶς κληρονόμος οἱασδήποτε ἀξίας ἢ καὶ ὑποστάσεως δίδωσι τοῖς λεγαταρίοις ἐγγύας, ὅτι δίδωσι καὶ ποιεῖ ὅπερ ὁ διαθέμενος ἐκέλευσεν ἐμπροθέσμως· καὶ περὶ δόλου ἐπερωτᾶται. ὥσπερ γὰρ αὐτός ἐστι τῆς κληρονομίας ἐν νομῇ, οὕτως ὀφείλει καὶ τὸν λεγατάριον ἀσφαλίζεσθαι. εἰ δὲ μὴ ἀσφαλίζεται[2], πέμπεται εἰς νομὴν ὁ λεγατάριος.*

Καὶ τοῖς κληρονόμοις τῶν λεγαταρίων δίδοται ἡ ἀσφάλεια καὶ προκουράτορσιν αὐτῶν.

Καὶ ἐὰν υἱῷ ἢ δούλῳ λεγατευθῇ, τῷ ἔχοντι αὐτὸν ὑπεξούσιον ἡ ἀσφάλεια δίδοται.

Καὶ οἱ διάδοχοι τῶν κληρονόμων καὶ ὁ καθ' ὁμάδα ἀποκατάστασιν λαμβάνων καὶ ὁ διά τινος γινόμενος κληρονόμος δίδωσι τὴν ἀσφάλειαν. ἐὰν δὲ ὁ λεγατάριος ἢ [ὁ] ἀποκατάστασιν λαμβάνων μὴ ὀχλήσας περὶ τῶν ἐγγυῶν προκατάρξηται περὶ τοῦ λεγάτου, ἀργεῖ ἡ ἀσφάλεια.

130. Ἐν δὲ τῷ κβ' τί. [περιέχει] πότε ἀσφαλίζεται ὁ κληρονόμος τοῖς λεγαταρίοις καὶ πότε οὐκ ἀσφαλίζεται. οὗτινος ἐν τῷ γ' κεφ. φησίν· *Ἐὰν ὁ λαβὼν τὴν ἀσφάλειαν λέγῃ τοὺς ἐγγυητὰς ἀπόρους εἶναι καὶ θέλῃ ἄλλους αὐτῷ δοθῆναι, οὐκ ἀκούεται,*

Εἰ μὴ ἄρα καινόν τι συνέβη· ἴσως τῶν ἐγγυητῶν ἀποθανόντων ἢ αἰφνιδίως ἀπορησάντων.

---

[1] Adde cum Fabroto: ἐὰν γένῃ. [2] Leuncl. ἀσφαλίσηται.

131. Ἐν δὲ τῷ δ' κεφ. θέμ. θ'· Ἐὰν μετὰ ἓξ μῆνας τοῦ ἐν βήματι προσελευσθῆναι τὸν ἄρχοντα ὑπέρθηται τὴν ἀσφάλειαν δοῦναι ὁ κληρονόμος, καὶ εἰς νομὴν τῶν ἰδικῶν αὐτοῦ πραγμάτων οἱ λεγατάριοι πέμπονται, καὶ καρποῦνται ἕως οὗ τὸ λεγάτον αὐτοῖς δοθῇ. τὸ δὲ λεχθὲν χώραν ἔχει ἐπὶ παντὸς χρεωστοῦντος ἀποκατάστασιν, κἂν ὁ διαθέμενος ἐκώλυσε τὴν ἀσφάλειαν, διὰ τὴν ἐπὶ τῇ καταβολῇ γενομένην ὑπέρθεσιν. οἱ δὲ ἓξ μῆνες συναπτοὶ ἀριθμοῦνται.

132. Ἐν δὲ τῷ ιβ' κεφ. Εἰ καὶ μικρὸν εἴη τὸ λεγατευθὲν πρᾶγμα, οὐ δίδωσι δὲ αὐτὸ ὁ κληρονόμος, ἢ ὀφείλων ἀσφαλίσασθαι οὐκ ἀσφαλίζεται, πέμπεται ὁ λεγατάριος εἰς νομὴν πάντων τῶν τῆς κληρονομίας πραγμάτων.

133. Ἐν δὲ τῷ κγ'[1] τί. διαλαμβάνεται περὶ τῶν ἀπὸ διαθήκης ἀντιλεγομένης λεγάτων. οὗτινος ἐν τῷ α' κεφ. φησίν· Οὐ μόνον λεγάτων ἐκπίπτει ὁ κινῶν κατὰ τῆς διαθήκης[q], ἀλλὰ καὶ πάντων τῶν ἀπὸ γνώμης τοῦ τελευτήσαντος, καὶ τῆς δι' ἀνηβότητα τοῦ ἀδελφοῦ ὑποκαταστάσεως.

134. Ἐν δὲ τῷ κδ'[2] τί. περὶ τῶν νεμομένων τὸ λεγατευθὲν ἄνευ βουλῆς τοῦ κληρονόμου.

135. Ἐν δὲ τῷ κε' τί. περὶ τῶν διὰ χρήσεως δεσποζομένων λεγάτων. οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὡς λεγατάριος διὰ τοῦ χρᾶσθαι δεσπόζω, ὃ κατελείφθη μοι εἰς λεγάτον, οὐ μὴν ὃ ὑπενόουν λεγατευθῆναί μοι.

Ὥσπερ οὐδὲ εἰ νομίσω ἀγοράσαι, ὃ μὴ ἠγόρασα.

136. Ἐν δὲ τῷ κϛ' τί. περὶ τῶν ἐπὶ [περι]γραφῇ τῶν λεγαταρίων παραιτουμένων κληρονομίαν. οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐάν τις καλούμενος ἐξ ἀδιαθέτου, γραφεὶς δὲ κληρονόμος, ἐπίτηδες παραιτήσηται τὴν κληρονομίαν ἐπὶ τῷ κληθῆναι ἐξ ἀδιαθέτου καὶ μὴ δοῦναι τὰ λεγάτα, ὅτι ὑπόκειται τοῖς λεγάτοις καὶ ταῖς ἐλευθερίαις, τοῦτο μὲν δῆλον. ἡ δὲ [διά]ταξις ἕτερόν τι λέγει, ὅτι ἐάν τις ἔνστατος ὢν ἐπὶ τῷ βλάψαι τοὺς λεγαταρίους ἐπίτηδες παρῃτήσατο τὴν ἔνστασιν, ἵνα ἔλθῃ ἡ κληρονομία πρὸς τὸν ὑποκατάστατον, πάντα τὰ λεγάτα καταβάλλει. ἐὰν δὲ χρήματα λαβὼν παρῃτήσατο τὴν ἔνστασιν, αὐτὸς δίδωσι τὰ λεγάτα.

---

q Οἷς γὰρ δίδοται ἡ κόντρα ταβούλλας τουτέστιν ἡ μέμψις τῆς διαθήκης, τούτοις οὐχ ἁρμόζει ἡ τῶν λεγάτων ἀπαίτησις. χρὴ οὖν ἕκαστον τῶν παίδων διακρίνειν, πότερον συμφέρει αὐτῷ τὴν κόντρα ταβούλλας αἰτῆσαι ἢ μᾶλλον τὰ λεγάτα ἀπαιτῆσαι.

---

[1] Lips. κδ'. [2] Lips. κϛ'.

137. Ἐν δὲ τῷ κζʹ τί. περὶ ἀγωγῆς προσωπικῆς τε καὶ ὑποθηκαρίας ἀπαιτούσης τὸ λεγάτον, καὶ περὶ ἐπιλογῆς τῶν λεγατευθέντων δούλων καὶ διατιμήσεως αὐτῶν.

138. Ἐν δὲ τῷ κηʹ τί. περὶ τῶν ὑπὸ τρόπον λεγάτων. οὗτινος ἐν τῷ αʹ κεφ. φησίν· Ὁσάκις ὑπὸ τρόπον καταλιμπάνεταί τινι λεγάτον, τυχὸν ἐπὶ τόδε τὶ ποιῆσαι, λαμβάνει μὲν τὸ λεγάτον, πλὴν ἐὰν ὁ τρόπος ἀτονήσῃ, ἀπόλλυσιν αὐτό. ὁ γὰρ τρόπος τὰ τῆς αἱρέσεως ἀποτελέσματα ἔχει ἐν τοῖς λεγάτοις καὶ ἐν ταῖς ἀποκαταστάσεσιν. ἐὰν δὲ καταλειφθῇ τινι λεγάτον ἐπὶ τῷ γαμηθῆναι πέτρῳ, καὶ τὸ μὲν λεγάτον ἔλαβεν, ὁ δὲ πέτρος οὐκ ἀνέχεται αὐτῇ γαμηθῆναι, οὐκ ἀναγκάζεται τὸ λεγάτον ἀναδοῦναι. οὐδὲ γὰρ αὐτὴ ἐνεπόδισε τῇ αἱρέσει.

139. Ἐν δὲ τῷ κθʹ τί. περὶ τῶν ὑπὸ αἵρεσιν ἢ ἡμέραν λεγατευθέντων. οὗτινος ἐν τῷ αʹ κεφ. φησίν· Ἐάν τις καταλείψῃ τινὶ λεγάτον ὑπὸ αἵρεσιν τήν· ἐὰν ὁ κληρονόμος ἄπαις τελευτήσῃ, τελευτήσῃ δὲ οὗτος ἐπὶ ἐκγόνῳ ἀπὸ θυγατρὸς, ἠτόνησεν ἡ αἵρεσις. ἰδοὺ[1] γὰρ ἐπὶ παισὶν ἐτελεύτησε, καὶ ἄχρηστόν ἐστι τὸ λεγάτον, εἰ μὴ ἄλλη τοῦ τελευτήσαντος βούλησις φανερῶς ἀποδειχθῇ.

140. Ἐν δὲ τῷ λʹ τί. περὶ λεγάτων ὑπὸ αἵρεσιν καὶ χωρὶς αἱρέσεως καταλειφθέντων, καὶ τίνες ἀτονούσης τῆς αἱρέσεως λαμβάνουσι τὰ λεγάτα διὰ τὸ τὴν αἵρεσιν ἀτονῆσαι. καί φησιν· Ὅτι εἰ μὲν ποιήσει τινὶ ἢ δόσει ἐβεβάρητο τὸ λεγάτον, καὶ δύναται τὸ ἔργον δι᾽ ἑτέρου γενέσθαι· πληρούσθω[2] τοῦτο διὰ τοῦ κερδαίνοντος τὸ λεγάτον.

Καὶ ὅτι εἴτε τῶν συνημμένων ἐστὶ τὸ ἀτονῆσαν μέρος εἴτε τῶν διῃρημένων, προστεθῇ[3] τοῖς συγκληρονόμοις ἢ λεγαταρίοις μετὰ τῶν ἐν αὐτῷ βαρῶν. οὐδὲ γὰρ ἐνδέχεταί, φησι, τὸν καταδεξάμενον μέρος κληρονομίας τὸ ἕτερον μέρος αὐτῆς παραιτήσασθαι.

141. Ἐν δὲ τῷ λαʹ τί. περὶ ἱκανοδοσίας διδομένης τοῖς λεγαταρίοις παρὰ τοῦ κληρονόμου περὶ τῆς ἀποκαταστάσεως. οὗτινος ἐν τῷ ζʹ[4] κεφ. φησί· Τῷ μὲν κληρονόμῳ δυνατὸν συγχωρηθῆναι τὴν τῆς ἀσφαλείας τοῦ λεγάτου καὶ τῆς ἀποκαταστάσεως ἱκανοδοσίαν· ἐὰν δέ τινι χρῆσις λεγατευθῇ, οὐ δύναται αὐτῷ συγχωρεῖσθαι ἡ ἱκανοδοσία, ἣν παρέχει περὶ τοῦ καλῶς χρήσασθαι τῇ χρήσει τῶν καρπῶν, καὶ ἡνίκα περαιωθῇ, ἀποκαθιστᾷν τὸ πρᾶγμα.

142. Ἀνάγν. καὶ βι. μαʹ τί. αʹ, ἐν ᾧ φησι περὶ φαλκιδίου. οὗτινος

---

[1] Leuncl. ἐπειδή. [2] Leuncl. πληροῦσθαι. [3] Leuncl. προστεθῆναι.
[4] Lips. βʹ.

ἐν τῷ α΄ κεφ. φησίν· Ἔξεστι λεγατεύειν μέχρι τοῦ ὀκταουγγίου. τὸ γὰρ τετραούγγιον τῷ γεγραμμένῳ κληρονόμῳ φυλάττεται.

143. Ἐν δὲ τῷ κγ΄ κεφ. θέμ. β΄ φησίν· Ὁ τοκετὸς τῆς λεγατευθείσης δούλης πρὸ τῆς προχωρήσεως τῷ κληρονόμῳ ἁρμόζει, καὶ λογίζεται αὐτὸ εἰς φαλκίδιον καὶ τοὺς καρποὺς αὐτοῦ.

144. Ἐν δὲ τῷ λ΄ κεφ. Οἱ λεγατάριοι λαμβάνοντες ὤφειλον ἐγγύας διδόναι περὶ τοῦ περιττῶς ὡς εἰκὸς αὐτοῖς διδομένου. εἰ καὶ τὰ μάλιστα γὰρ ὑπόκεινται ἀναλήψει, ἀλλ᾽ οὖν δέος ἐστὶ, μήποτε ἀπορήσωσιν ἐλπιζομένων ἁρμόζειν τῶν αἱρετικῶν λεγάτων ἢ τῶν ἐν τῇ ὀρφανικῇ ὑποκαταστάσει.

145. Ἀνάγν. καὶ τί. β΄, οὗτινος ἐν τῷ κεφ. φησίν· Ὅτε ἀμφιβάλλεται εἰ ἔχει χώραν ὁ φαλκίδιος, δίδωσιν ὁ λεγατάριος ἐγγύας τῷ κληρονόμῳ περὶ τοῦ περιττοῦ, καὶ ὅτι δόλον οὐ ποιεῖ. ἀδιάφορον δὲ, εἴτε ἐν τῇ ὀρφανικῇ, εἴτε ἐν τῇ αὐθεντικῇ[r] ἐλεγατεύθη. εἷς γὰρ ἐξ ἀμφοτέρων παρακρατεῖται φαλκίδιος.

Καὶ ἐὰν μὴ λάβωσι τὴν ἀσφάλειαν οἱ ἐπίτροποι, ἐνέχονται τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ τοῖς ὑποκαταστάτοις. ἔσθ᾽ ὅτε καὶ τῷ ἀνήβῳ ἡ τοιαύτη ἐπερώτησις βεβαιοῦται, ἐὰν ζῶντος αὐτοῦ ἁρμόσῃ ὁ φαλκίδιος.

Ὅτε τῶν λεγάτων τὰ μέν εἰσι χωρὶς αἱρέσεως τὰ δὲ ὑπὸ αἵρεσιν, ὁλόκληρα δίδοται τὰ χωρὶς αἱρέσεως, παρεχομένης τῆς περὶ τοῦ περιττοῦ ἀσφαλείας.

Ἀναγκαῖον δέ ἐστιν αὐτὴν δίδοσθαι. κἂν[1] γὰρ δύναται τὸ περιττὸν ἀναλαμβάνεσθαι, ὅμως συμβαίνει ἀπορῆσαι τὸν λαβόντα.

Ἔχει δὲ χώραν καὶ ἐπὶ τῶν θανάτου αἰτίᾳ δωρεῶν ἡ τοιαύτη ἀσφάλεια. ἔστιν ὅτε καὶ τὸ πᾶν ἀνατρέπει, τυχὸν μεγάλου χρέους μετὰ ταῦτα φανέντος, ἢ αἱρετικῶν ἐλευθεριῶν ἁρμοσασῶν. μετὰ γὰρ ὑπεξαίρεσιν τῶν τιμῶν αὐτῶν τὰ λεγάτα δίδονται.

146. Ἀνάγν. καὶ βι. νγ΄ τί. δ΄, ἐν ᾧ διαλαμβάνεται περὶ πλοίου λεγατευομένου [οὗτινος ἐν τῷ β΄ κεφ. φησίν]· Ἐὰν ἰδικῶς ναῦν λεγατεύσω καὶ κατὰ μέρος ἀνανεώσω πᾶσαν, τῆς αὐτῆς τρόπεως μενούσης, κεχρεώστηται τῷ λεγαταρίῳ.

---

[r] Αὐθεντικὴ διαθήκη λέγεται ἐν ᾗ περιέχονται ἁπλῶς τὰ λεγάτα· ὀρφανικὴ δὲ τὸ ἐν τῇ αὐτῇ διαθήκῃ ἐπαγόμενον οὕτως· εἰ δὲ ἄνηβος τελευτήσει ὁ παῖς μου, δοθήτω πέτρῳ τόδε.

[1] Sic Bas. — Leuncl. et Lips. καὶ.

147. Ἀνάγν. καὶ βι. ζ΄ τί. ε΄ κεφ. λζ΄ καὶ ν΄ καὶ να΄ καὶ νβ΄ καὶ π΄ ἐν ᾧ φησιν· Τὸ λεγάτον ἐκεῖ ἀπαιτεῖται, ἔνθα ἡ κληρονομία διάκειται.

148. Ἀνάγν. καὶ βι. ιε΄ τί. α΄ κεφ. νϛ΄ καὶ τί. α΄[1] κεφ. ε΄ θέμ. δ΄ καὶ βι. ιϛ΄ τί. α΄ κεφ. μβ΄ καὶ μγ΄ καὶ τί. β΄ καὶ ϛ΄[2] καὶ θ΄.

[149. Ἀνάγν. καὶ βι. κγ΄ τί. γ΄ κεφ. γ΄, ἐν ᾧ φησιν· Ἐὰν μετὰ ψῆφον καὶ τὴν τετράμηνον ὑπέρθεσιν ποιήσῃ ὁ κληρονόμος περὶ τὴν καταβολὴν τοῦ λεγάτου, τὰ μέχρι ψήφου κέρδη δίδωσι τῷ λεγαταρίῳ.]

150. Ἀνάγν. καὶ βι. κζ΄ τί. α΄ κεφ. ϛ΄.

II.

Περὶ λειτουργιῶν, καὶ τίνες μὲν λειτουργεῖν ἀναγκάζονται καὶ πότε, τίνες δὲ οὐκ ἀναγκάζονται, ἀλλ᾽ ἔχουσιν ἀλειτουργησίαν.

1. Ἀνάγν. βι. νδ΄ τί. α΄ καὶ τί. β΄, οὗτινος ἐν τῷ δ΄ κεφ. φησίν· Ὁ μήτε ἀρχαιογενὴς ὢν μήτε μέτοικος μήτε οἰκῶν ἐν τόπῳ τινὶ, ἀλλὰ κεκτημένος οἶκον ἢ ἀγρὸν, οὐκ ἀναγκάζεται λειτουργεῖν.

2. Ἐν δὲ τῷ ε΄ κεφ. Ὁ οἰκῶν ἐν τῇ πατρίδι τῆς γυναικὸς ἢ ἐν ἑτέρᾳ τινὶ πόλει, ὡς μέτοικος ἀναγκάζεται ἐκεῖ λειτουργεῖν.

3. Ἀνάγν. καὶ τί. γ΄, οὗτινος ἐν τῷ β΄ κεφ. φησίν· Τοὺς μείζονας τιμὰς πράξαντας οὐ χρὴ εἰς ἐλάττονας ἕλκεσθαι· δοκοῦσι γὰρ ὑβρίζεσθαι.

4. Ἀνάγν. καὶ τί. δ΄, οὗτινος ἐν τῷ β΄ κεφ. φησίν· Οἱ ὄντες στρατιῶται ἐν τοῖς στρατοπέδοις οὐ λειτουργοῦσιν. [οἱ δὲ συγγενεῖς αὐτῶν λειτουργοῦσιν.]

Οὐ δύναται ὁ πατὴρ τὸν ὑπεξούσιον ἀφαιρεῖσθαι καλούμενον εἰς λειτουργίαν, εἰ μὴ ἔχει ἐξκουσσατίονα. τὸ γὰρ μὴ συναινεῖν τὸν πατέρα ταῖς λειτουργίαις τοῦ υἱοῦ εἰς τὸ μὴ ἐνέχεσθαι τὴν οὐσίαν αὐτοῦ συμβάλλεται.

5. [Ἐν δὲ τῷ γ΄ κεφ.] Τοῖς μητάτοις τῶν ἐπιδημούντων στρατιωτῶν ὑπόκεινται πάντες, καὶ ἐστὶν οὐσιακὴ λειτουργία.

Ὁ ἔχων δύο παῖδας ὑπεξουσίους οὐκ ἀναγκάζεται κατὰ ταὐτὸν ὑπὲρ τῶν δύο λειτουργεῖν.

6. Ἐν δὲ τῷ ε΄ κεφ. Τὰ λειτουργήματα ἢ προσώπων εἰσὶν ἢ οὐσιῶν. τῶν δὲ οὐσιακῶν οὐδεμία ἐξκουσσατίων ἀπαλλάττει. τὰ δὲ οὐσιακὰ διττά ἐστι. τινὰ γὰρ ἐπιφέρεται τοῖς κεκτη-

---

[1] Legerim δ΄. [2] Leuncl. ζ΄.

μένοις ἀκίνητα, εἴτε πολῖταί εἰσιν εἴτε μή· τινὰ δὲ μόνοις τοῖς πολίταις καὶ τοῖς ἔχουσι κατοίκησιν.

7. Ἐν δὲ τῷ η′ κεφ. Τῷ λειτουργοῦντι καὶ τιμὴ ἐπικλᾶται, οὐ μὴν τῷ πράττοντι τιμὴν ἐπικλᾶται λειτουργία.

8. Ἐν δὲ τῷ ι′ κεφ. Ἡ δοθεῖσα τέκνοις καὶ ἀπογόνοις τινὸς ἀλειτουργησία τοῖς ἐπὶ τῆς φαμιλίας αὐτοῦ ἁρμόζει.

9. Ἐν δὲ τῷ ια′ κεφ. Ὁ ὑπεξούσιος ἰδιώτης καὶ ἄκοντος τοῦ πατρὸς αὐτοῦ κινδύνῳ τοῦ ὀνομά[σαν]τος αὐτὸν κατέχεται.

10. Ἐν δὲ τῷ ιβ′ κεφ. Οὐ δυνατὸν ἀπαργυρίζεσθαι[a] λειτουργίαν ἢ τιμήν.

11. Ἀνάγν. καὶ τί. ε′, οὗτινος ἐν τῷ β′ κεφ. φησίν· Ἡ τοῦ σώματος ἀσθένεια ἤτοι ἀκρωτηριασμὸς ἀτέλειαν δίδωσι λειτουργιῶν τῶν μόνης σωματικῆς λειτουργίας δεομένων, οὐ μὴν φρονήσεως[1] ἢ δαπάνης. τούτων γὰρ εἰ μὴ ἐξ αἰτίας δεδοκιμασμένης οὐδεὶς ἀπαλλάττεται.

12. Ἐν δὲ τῷ ζ′ κεφ. Οἱ ἔχοντες ἀτέλειαν πολιτικῶν τὰ μὲν ἐξ ἀπροόπτου γινόμενα διάγραφα παρὰ τῶν στρατηγῶν καλῶς παραιτοῦνται, οὐκέτι δὲ τὰ κατὰ συνήθειαν.

13. Ἐν δὲ τῷ θ′ κεφ. Τῶν συνημμένων τοῖς πράγμασι λειτουργιῶν οὐδὲ ἓν ἀπαλλάσσει προνόμιον· ὡς ἐπὶ τῶν δημοσίων καὶ ὁδοστρωσιῶν καὶ ἀγγαρειῶν καὶ μητάτων. τούτων γὰρ καὶ τῶν ὁμοίων μόνη ἰδικὴ βασιλέως ἀπαλλάσσει φιλοτιμία.

14. Ἐν δὲ τῷ ιε′ κεφ. Καὶ οἱ ἐπιτυχόντες ἀλειτουργησίας πολιτικῶν λειτουργημάτων τὰς χρηματικὰς λειτουργίας ἀναγκάζονται ὑφίστασθαι. χρηματικὴ δὲ λειτουργία ἐστὶ καὶ τὸ ἀναγκάζεσθαι στρατιώτας ὑποδέχεσθαι.

15. Ἐν δὲ τῷ ιθ′ κεφ. Καὶ οἱ ἐλάττονες ὄντες ἀναγκάζονται τὰς χρηματικὰς λειτουργίας ὑφίστασθαι.

16. Ἐν δὲ τῷ κα′ κεφ. Τὰς χρηματικὰς λειτουργίας καὶ γυναῖκες ἀναγκάζονται λειτουργεῖν.

17. Ἀνάγν. καὶ τί. ς′, οὗτινος ἐν τῷ α′ κεφ. φησίν· Ἡ προσώποις διδομένη ἀτέλεια οὐ διαβαίνει εἰς κληρονόμους. εἰ δὲ γένει ἢ ἀπογόνοις δοθῇ οὐχ ἁρμόζει τοῖς ἀπὸ θηλυγονίας.

18. Ἐν δὲ τῷ γ′ κεφ. Αἱ δοθεῖσαι γενικῶς ἀλειτουργησίαι

---

[a] Διατιμᾶσθαι τουτέστιν οὐ χρὴ τὴν διατίμησιν τῆς λειτουργίας προσφέρειν πρὸς τὸ μὴ λειτουργῆσαι.

[1] Heimb. φροντίσεως.

τινὶ ἐπὶ τῷ διαβῆναι εἰς τοὺς ἀπογόνους αὐτοῦ διηνεκῶς τοῖς διαδεχομένοις ἁρμόζουσιν.

19. Ἐν δὲ τῷ δ' κεφ. Οἱ γέροντες διὰ τιμὴν ἀτέλειαν ἔχουσιν. σχεδὸν γὰρ ὁμοίως τοῖς ἄρχουσιν ἡ ἀρχαιότης ἐτίμησε τοὺς γέροντας. εἰ δέ τις ἐν γήρᾳ εὐπορήσει πρὸ τούτου μὴ λειτουργήσας, οὐκ ἐξκουσατεύεται· μάλιστα εἰ μὴ σκυλμὸν σώματος ἀλλὰ δαπάνην ἐπιζητεῖ τὸ λειτούργημα, καὶ σπάνις ἐστὶ τῶν ὀφειλόντων λειτουργεῖν. δεῖ δὲ προσέχειν καὶ τῷ νόμῳ τῆς πόλεως, ἐὰν τίποτε περὶ τῶν ἐτῶν διατυποῖ.

20. Ἐν δὲ τῷ ε' κεφ. Ὁ ἔχων ις' παῖδας πάντων λειτουργημάτων ἀπαλλάττεται.

21. Ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ γ' κεφ. φησί· Μηδεὶς ἐχέτω ἐξκουσσατίωνα οἰκοδομουμένων τειχῶν ἢ συνωνῆς ἢ ἄλλων εἰδῶν.

22. Ἐν δὲ τῷ λθ' κεφ. Δύο ἐκ τοῦ αὐτοῦ οἴκου εἰς λειτουργίαν οὐ καλοῦνται. διὰ τοῦτο παῖς ὑπεξούσιος καὶ ὁ πατὴρ ἅμα οὐ λειτουργοῦσι. πατὴρ δὲ καὶ παῖς αὐτεξούσιος δύνανται λειτουργεῖν.

23. Ἀνάγν. καὶ τί. η' καὶ τί. θ', οὗτινος ἐν τῷ η' κεφ. φησίν· Ὁ πρεσβεύσας οὐδὲ περὶ τῆς αὐτῆς αἰτίας αὖθις εἴσω τοῦ ὡρισμένου χρόνου πρεσβεύειν ἀναγκάζεται.

Ὁ πρεσβεύσας εἰς[1] βασιλέα εἴτε ἐν ῥώμῃ εἴτε ἐν ἐπαρχίᾳ διάγοντα διετίας ἔχει ἀτέλειαν.

24. Ἐν δὲ τῷ ι' κεφ. Ἐὰν πρεσβευτὴς ἀποθάνῃ πρὶν ὑποστρέψει, τὰς δαπάνας οὐκ ἀναδίδωσιν.

25. Ἀνάγν. καὶ βι. νε' τί. α' κεφ. η', ἐν ᾧ φησιν· Εἴ τις δήποτε ἀτέλειαν ἐδωρήσατό τινι, οὐδὲν ἧττον ἀναγκασθήσεται συντελεῖν.

26. Ἀνάγν. καὶ βι. νς' τί. η', οὗτινος ἐν τῷ ζ' κεφ. φησίν· Ὁ εἰς περιγραφὴν τῶν δημοσίων βασιλέως ἀντιγραφὴν λαβὼν μὴ ὠφελείσθω. χρὴ γὰρ πάντας συντελεῖν τὰ δημόσια.

27. Ἐν δὲ τῷ ι' κεφ. Μηδεὶς προνόμιον ἀξίας προβαλλόμενος μὴ συντελείτω, ἀλλὰ πάντες πρὸς ἀναλογίαν ὧν ἔχουσι κτημάτων συντελείτωσαν.

28. Καὶ τί. ιε' ἀπὸ τοῦ ιζ' κεφ. ἐν δὲ τῷ ιη' κεφ. φησίν· Οἱ ἀγροὶ οἱ ἰδιωτικοὶ τοῦ βασιλέως ἀτελεῖς ἔστωσαν ῥυπαρῶν λειτουργιῶν. μήτε δὲ οἱ μισθωτοὶ αὐτῶν ἢ οἱ γεωργοὶ βάρη

---

[1] Leuncl. πρός.

ἔξω τῶν ὡρισμένων, εἴτε οὖν ὑπὲρ τὸν κανόνα, ὑπομενέτωσαν.

29. Ἐν δὲ τῷ κα' κεφ. Μηδεὶς ἐξαιρείσθω τῶν βαρῶν τούτων, οἷον γεφυρῶν καὶ ὁδοστρωσιῶν, μηδὲ εἰ εὐαγὴς οἶκος ἢ βασιλικὸς εἴη. ἐπειδὴ οὐδὲ ῥυπαρά ἐστι ταῦτα.

30. Ἀνάγν. καὶ τί. ιζ' κεφ. λθ'. ἀνάγν. καὶ βι. γ' τί. γ' κεφ. β' καὶ γ' καὶ δ' καὶ ε', ἐν οἷς φησιν· Κληρικὸς ἢ οἰκέτης αὐτοῦ μὴ βαρείσθω καιναῖς συνεισφοραῖς, μηδὲ μητάτα διδότωσαν.

Ἀπὸ διαγραφῶν καὶ ῥυπαρῶν λειτουργιῶν καὶ ἐξτραορδιναρίων, κἂν ἐμπορεύωνται, οἱ κληρικοὶ μετὰ παίδων καὶ γαμετῶν ἔστωσαν ἀτελεῖς.

Οἱ ἐν ταῖς ἐπαρχίαις κληρικοὶ μὴ μόνον τὰ ἀλλότρια ἀλλὰ μηδὲ τὰ ἴδια κτήματα ἐξκουσσατευέτωσαν τῶν συντελειῶν καὶ τῆς αὐτῶν μετακομιδῆς.

Πᾶς κληρικὸς ἄχρι καὶ τῶν ὀστιαρίων προσωπικῶν ἐξκουσσατευέσθωσαν λειτουργιῶν.

31. Ἀνάγν. καὶ βι. ε' τί. α' κεφ. ι', ἐν ᾧ φησι· Μηδὲ ἀπὸ θείου τύπου ἢ ἀρχιεπισκόπου προστάξεως στρατιωτικὴ σίτησις εἰς εὐκτηρίους οἴκους ἢ κληρικοὺς ἢ [καὶ] μοναστήρια μεταγέσθω, ὡς ἐλλειπόντων δῆθεν τοῖς ἀριθμοῖς σωματείων.

32. Ἀνάγν. καὶ τί. γ' κεφ. β', ἐν ᾧ φησι· Πρὸς τούτοις θεσπίζομεν καὶ πασῶν τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῶν ἄλλων σεβασμίων οἴκων τὰς κτήσεις μηδὲ ῥυπαρὰς λειτουργίας μήτε ἐξτραορδιναρίας διαγραφὰς ὑπομένειν. εἰ μέντοι ὁδοστρωσίας ἢ γεφυρῶν οἰκοδομῆς ἢ ἀνανεώσεως χρεία γένηται, κατὰ μίμησιν τῶν ἄλλων κτητόρων τὸ τοιοῦτον ἔργον πληροῦν, ἡνίκα ὑπ' ἐκείνην κέκτηνται τὴν πόλιν, ὑφ' ἣν καὶ τὸ τοιοῦτον γίνεται ἔργον.

III.

Περὶ λειψάνων ἁγίων καὶ περὶ λειψάνων τῶν τιμωρηθέντων καταδίκων.

1. Ἀνάγν. βι. α' τί. α' κεφ. ε', ἐν ᾧ φησι· Μήτε μοναχὸς μήτε ἕτερός τις ἐν δημοσίῳ τόπῳ, ἢ ἐν ᾧ θέα ἐπιτελεῖται, σταυρὸν ἐπιβαλλέτω ἢ λείψανον ἅγιον.

2. Ἀνάγν. καὶ βι. ε' τί. α' κεφ. δ', ἐν ᾧ φησι· Μηδεὶς λείψανα ἁγίων πιπρασκέτω.

3. Ἀνάγν. καὶ βι. ξ' τί. ξθ' [κεφ. α' καὶ δ'], ἐν ᾧ φησι· Τὰ λείψανα τῶν τιμωρηθέντων ἄνευ αἰτήσεως καὶ ἐπιτροπῆς οὐκ ἔξεστι θάπτειν. ἔσθ' ὅτε δὲ οὐκ ἐπιτρέπεται, ὡς ἐπὶ τῆς

καθοσιώσεως. καὶ τὰ ὀστέα καὶ ἡ κόνις τῶν καυθέντων εἰς ταφὴν αἰτοῦνται.

IV.

Περὶ λῃστῶν.

1. *Ἀνάγν. βι. ξ΄ τί. να΄ κεφ. λ΄ θέμ. β΄, ἐν ᾧ φησιν·* *Οἱ περιβόητοι λῃσταὶ ἐν οἷς ἐλῄστευσαν τόποις φουρκίζονται.*

Ἀρχὴ τοῦ Μ στοιχείου.

I.

Περὶ μαθηματικῶν.

1. *Ἀνάγν. βι. α΄ τί. α΄ κεφ. ιζ΄, ἐν ᾧ φησιν·* *Οἱ μαθηματικοὶ τὰς οἰκείας βίβλους ἐπ᾽ ὄψεσι τῶν ἐπισκόπων καιέτωσαν, οὕτω τε τῇ ὀρθοδόξῳ θρησκείᾳ παραδιδόσθωσαν, μηδεμίαν ἐπανόδου πρὸς τὴν οἰκείαν πλάνην ἐλπίδα φυλάττοντες· μὴ ἀνεχόμενοι δὲ καὶ τῆς ῥώμης αὐτῆς καὶ τῆς ἐν ἑκάστῃ πόλει διαγωγῆς ἐκβληθήσονται. εἰ γὰρ μετὰ ταῦτα ἢ ἐν πόλει φανῶσιν ἢ ταῖς αὐτῶν χρώμενοι διδασκαλίαις, ἐξοριζέσθωσαν.*

2. *Ἀνάγν. καὶ βι. ξ΄ τί. λθ΄ κεφ. κϛ΄*[1]*. ἀνάγν. καὶ νεαρὰν ιδ΄ κεφ. α΄*[2].

II.

Περὶ μανδατόρων.

1. *Ἀνάγν. βι. κϛ΄ τί. α΄ κεφ. λθ΄ θέμ. β΄ καὶ κεφ. μθ΄ θέμ. δ΄, ἐν ᾧ φησιν·* *Ἐκ πολλῶν μανδατόρων τοῦ αὐτοῦ χρέους ἐὰν ὁ εἷς ἐναχθῇ καὶ ἐλευθερωθῇ, οἱ λοιποὶ οὐκ ἐλευθεροῦνται. τῇ μέντοι καταβολῇ πάντες ἐλευθεροῦνται.*

2. *Καὶ κεφ. ξη΄ θέμ. β΄ καὶ κεφ. πα΄, ἐν ᾧ φησιν·* *Ἡ ἐπὶ τῶν μανδάτων ἀγωγὴ προσωπική ἐστι. καὶ διὰ τοῦτο εἴ τι καταβάλλει χρέους ἕνεκεν, ἀπαιτεῖ τὸν χρεώστην ἢ τὸν κληρονόμον αὐτοῦ, οὐ μὴν κατὰ τῶν ἐνεχύρων κινεῖν δύναται· εἰ μὴ καταβαλὼν τὸ χρέος ἠγόρασεν αὐτὰ ἐκχωρηθεὶς τὰς ἀγωγάς. λοιπὸν γὰρ ἐξτραορδιναρίᾳ βοηθεῖται καὶ περὶ αὐτῶν.*

---

[1] Leuncl. *κη΄*. [2] Leuncl. *νεα. δ΄ κεφ. δ΄*. Recte ni fallor. Nempe pertinet haec allegatio ad rubricam tituli sequentis.

3. *Καὶ κεφ. πη΄. ἀνάγν. καὶ τί. β΄, ἐν ᾧ φησι περὶ τοῦ πρότερον κατὰ τῶν χρεωστῶν χωρεῖν τοὺς δανειστάς.*

III.

Περὶ μανιχαίων.

1. *Ἀνάγν. βι. α΄ τί. α΄, οὗτινος ἐν τῷ κε΄ κεφ. φησίν·* Ὁ μανιχαῖος ἐν ῥωμαϊκῷ τόπῳ ὀφθεὶς διάγων ἀποτεμνέσθω.

2. *Ἐν δὲ τῷ κζ΄ κεφ.* Οἱ μανιχαῖοι παῖδας μὲν ἔχοντες ὀρθοδόξους ἐπ᾽ αὐτοὺς καὶ μόνους ἐξ ἀδιαθέτου παραπεμπέτωσαν [τὴν οὐσίαν], μηδενὶ δὲ ἑτέρῳ ζῶντες ἢ τελευτῶντες ἐκποιείτωσαν[1] παντελῶς, τῆς αὐτῶν οὐσίας εἰς τὸν δημόσιον περιελευσομένης λόγον.

IV.

Περὶ μάντεων.

1. *Ἀνάγν. βι. ξ΄ τί. λθ΄ κεφ. κθ΄, ἐν ᾧ φησι·* Μηδεὶς ἐρωτάτω τινὰ μαντικὴν ἐπαγγελλόμενον. οἱ δὲ χαλδαῖοι καὶ οἱ μάγοι μηδὲ ἐν αὐταῖς ταῖς μαντείαις ἑαυτοὺς παρεχέτωσαν, ἀλλὰ καὶ κεφαλικῇ καὶ τῇ διὰ σιδήρου τιμωρίᾳ ὑποκείσθωσαν.

V.

Περὶ μαινομένων.

1. *Ἀνάγν. βι. ς΄ τί. α΄ κεφ. μς΄, ἐν ᾧ φησιν·* Ὅτι ὁ ἄρχων τοὺς μαινομένους ἐν εἱρκτῇ βαλλέτω, εἰ μὴ διὰ τῶν συγγενῶν φυλαχθῆναι δύνανται, ἢ δεσμείτω. εἰ δὲ φονεύσουσι, δεῖ ζητεῖν μήποτε προσεποιήσαντο μαίνεσθαι ἢ ἐν τῷ καιρῷ τῶν ἀνακωχῶν ἐφόνευσαν, καὶ τιμωροῦνται.

2. Δεῖ δὲ καὶ τοῖς φύλαξιν αὐτῶν ἐπεξιέναι ῥαθυμοῦσιν. οὐ γὰρ μόνον διὰ τὸ μὴ αὐτοὺς βλαβῆναι φυλάττουσιν, ἀλλὰ καὶ διὰ τὸ μὴ βλάψαι ἄλλους.

3. *Ἀνάγν. καὶ βι. ιε΄ τί. α΄ κεφ. ξ΄, ἐν ᾧ φησιν·* Ἐὰν νεμόμενος[2] νήπιος ἢ μαινόμενος φθείρῃ τὶ ἢ ἀπολέσῃ, ἀνεκδίκητόν ἐστιν.

4. *Ἀνάγν. καὶ βι. να΄ τί. δ΄ κεφ. ε΄.*

---

[1] Leuncl. addi vult: *ἢ λεγατεύτωσαν ἢ δωρησάτωσαν.* [2] Leuncl. *μαινόμενος.*

VI.

Περὶ μαρτύρων εὐυπολήπτων καὶ ἀτίμων καὶ μαρτυριῶν[1].

1. Ἀνάγν. βι. ϛ' τί. α' κεφ. β', ἐν ᾧ φησιν· Ἡ κατὰ τοῦ ἀδικήσαντος ἐν ἐπαρχίᾳ ἄρχοντος ἀγωγὴ κωλύει μαρτυρεῖν ἢ δικάζειν τὸν δι' αἰσχρότητα τῆς συγκλήτου ἀποκινηθέντα καὶ μὴ ἀποκαταστάντα.

2. Ἀνάγν. καὶ βι. κα' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἀξιοπίστους εἶναι δεῖ τοὺς μάρτυρας.

Καὶ παρέχονται καὶ ἐπὶ χρηματικοῖς καὶ ἐγκληματικοῖς οἱ μὴ κεκωλυμένοι ὑπὸ νόμου ἢ ἐξκουσσατευόμενοι.

Εἰ καὶ πλείονος ἀριθμοῦ μαρτύρων ὁ νόμος μνημονεύσει, τοὺς ἀρκοῦντας ὅμως οἱ δικασταὶ προσδεχέσθωσαν, ἵνα μὴ τῇ τῶν πλειόνων παραγωγῇ σκύλλωνται.

3. Ἐν δὲ τῷ γ' κεφ. Ἐπὶ ἑκάστου μάρτυρος ὀφείλει ζητεῖσθαι πότερον ἄρχων ἢ ἰδιώτης ἐστὶ, τίμιος καὶ ἄμεμπτος ἢ ἄτιμος καὶ ἐπίψογος, εὔπορος ἢ ἐνδεὴς ὥστε διὰ κέρδος τὶ πλημμελῆσαι, φίλος τοῦ παράγοντος ἢ ἐχθρὸς τοῦ καθ' οὗ παράγεται. ὅταν γὰρ ὑποψίας ἐστέρηται, μαρτυρεῖ. τὰ δὲ περὶ τούτου διακρίνει ὁ δικαστὴς, καὶ εἰ ἁπλῶς μαρτυροῦσιν ἢ μίαν μεμελετημένην ὁμιλίαν προσφέρουσι, καὶ εἰ πρὸς τὰς πεύσεις πιθανῶς ἀποκρίνονται. καὶ ποῖα τεκμήρια ὀφείλει προσδέχεσθαι, καὶ τὸ μέτρον τῆς ἀποδείξεως ἑκάστου πράγματος.

Εἰ καὶ μὴ πάντοτε, ἀλλ' οὖν ὡς ἐπὶ τὸ πλεῖστον καὶ χωρὶς δημοσίων ὑπομνημάτων ἡ ἀλήθεια δείκνυται, ποτὲ μὲν διὰ τοῦ ἀριθμοῦ τῶν μαρτύρων, ποτὲ δὲ διὰ τῆς ἀξίας καὶ αὐθεντίας τοῦ δικαστοῦ· πιστεύεται γὰρ ὁ δικαστὴς μόνος ἐρωτώμενος περὶ ὑποθέσεως[2]· ἄλλοτε διὰ τῆς συμφώνου φήμης. καὶ ἁπλῶς τῆς τοῦ δικαστοῦ γνώμης ἤρτηται πιστεῦσαι καὶ μή.

Τοῖς μάρτυσι καὶ οὐ τοῖς ἐκμαρτυρίοις πιστευτέον. αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ὡς ἐπὶ τῶν ἐγκλημάτων, καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθὲν ἐξορίζεται.

Ἄλλη οὖν ἐστιν ἡ αὐθεντία τῶν παρόντων μαρτύρων, καὶ

---

[1] In Paris. 1351 ad marginem adscripta sunt schol. 1 ad Bas. XXI, 1, 1 et schol. Garidae ad Bas. l. l. 40, denique Pselli v. 919—937. [2] Haec verba τοῦ δικαστοῦ — ὑποθέσεως Leuncl. non habet. Eadem a Basil. aliena sunt.

ἄλλη ἡ τῶν ἀναγινωσκομένων ἐκμαρτυρίων. ὁ οὖν θέλων ἐπισχεῖν τοὺς μάρτυρας δαπάνας αὐτοῖς διδότω.

4. Ἐν δὲ τῷ δ′ κεφ.[1] Περὶ βίας οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ πάτρωνος ἢ παιδὸς αὐτοῦ, οὔτε ἄνηβος, οὔτε ὁ δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς καὶ μὴ ἀποκαταστὰς, ἢ ἐν δεσμοῖς ἢ ἐν δημοσίᾳ φρουρᾷ βληθεὶς, οὔτε ὁ πρὸς τὸ θηριομαχῆσαι μισθώσας ἑαυτὸν, οὔτε ἡ φανερῶς πόρον [ποιουμένη ἢ] ποιησαμένη ἐκ τοῦ σώματος, οὔτε ὁ ἐλεγχθεὶς ἢ καταδικασθεὶς λαβεῖν χρήματα ἐπὶ τῷ μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι.

Ἄκων οὐδεὶς μαρτυρεῖ ἐπὶ ἐγκληματικοῦ δικαστηρίου κατὰ τοῦ ἰδίου πενθεροῦ ἢ γαμβροῦ ἢ πατρωοῦ ἢ προγονοῦ ἢ ἀνεψιοῦ ἢ ἀνεψιᾶς ἢ τῶν ἐξ αὐτῶν τεχθέντων ἢ τῶν ἐνδοτέρου βαθμοῦ ὄντων· οὔτε κατὰ πάτρωνος ἢ πατρωνίσσης ἢ παίδων αὐτοῦ ἢ γονέων αὐτοῦ ἢ γυναικὸς τοῦ πάτρωνος ἢ ἀνδρὸς πατρωνίσσης· οὔτε πάτρων ἢ πατρώνισσα κατὰ ἀπελευθέρου.

5. Ἐν δὲ τῷ ς′ κεφ. Οὐκ ἔστιν ἀξιόπιστος μάρτυς ὁ κελεύεσθαι δυνάμενος παρ᾽ ἐμοῦ ἐπὶ τῷ μαρτυρῆσαι.

6. Ἐν δὲ τῷ η′ κεφ. Υἱὸς πατρὶ ἢ πατὴρ υἱῷ οὐ μαρτυρεῖ·

7. Οὔτε οἱοσδήποτε ἐν ἰδίῳ πράγματι.

8. Ἐν δὲ τῷ ι′ κεφ. Ἔνθα μὴ προστίθεται μαρτύρων ἀριθμὸς[a], ἀρκοῦσι δύο. ἡ γὰρ πληθυντικὴ σημασία τὸν δυϊκὸν ἀριθμὸν περιέχει.

9. Ἐν δὲ τῷ ιγ′ κεφ. Ὁ τῷ ἐγκλήματι τῷ περὶ ἀδικίας ἀρχόντων ἢ δικαστῶν καταδικασθεὶς οὔτε ἐν διαθήκῃ οὔτε ἄλλως μαρτυρεῖ.

10. Ἐν δὲ τῷ ιδ′ κεφ. Οἱ πλαστῶς ἢ ἐναντίως ἑαυτοῖς ὑπὲρ τῶν δύο μερῶν μαρτυρήσαντες ὑπὸ τῶν προσφόρων ἀρχόντων τιμωροῦνται.

11. Πατὴρ καὶ υἱὸς ὑπεξούσιος καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι δύνανται μαρτυρεῖν ἐν τῇ αὐτῇ διαθήκῃ καὶ πράγματι. οὐδὲν γὰρ βλάπτει ἐξ ἑνὸς οἴκου πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι μαρτυρεῖν.

12. Ἐν δὲ τῷ ις′ κεφ. Γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ· ἐν ἄλλοις δὲ μαρτυρίαν νέμει ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται.

---

a Ἐπὶ τῶν περιστατικῶν.

---

1 Imo thema quod sequitur ex cap. 3 sumtum est, et id demum quod secundo loco positum est, capiti 4 debetur.

13. Ἐν δὲ τῷ ιθ' κεφ. Κυνηγὸν ἢ τοὺς ὁμοίους[b] χωρὶς βασάνων οὐ πιστεύομεν.

14. Ἐν δὲ τῷ κ' κεφ. Ἐὰν πάντες οἱ μάρτυρες τῆς αὐτῆς τιμῆς καὶ ὑπολήψεως ὦσι, καὶ ἐναντιωθῶσιν ἀλλήλοις, οὐ πάντως τὸ μεῖζον μέρος πιστεύεται, ἀλλὰ τὸ συμβαῖνον τῇ φύσει τοῦ πράγματος, καὶ ὑπονοίας ἔχθρας ἢ φιλίας ἐστερημένον, καὶ βεβαιούμενον ἀπὸ τῆς ψυχῆς τοῦ δικαστοῦ καὶ τεκμηρίων. οὔτε γὰρ τῷ πλήθει δεῖ προσέχειν, ἀλλὰ τῇ πίστει καὶ τῇ ἀκεραιότητι τῶν μαρτύρων.

15. Ἐν δὲ τῷ κβ' κεφ. Ὁ κατά τινος ἤδη μαρτυρήσας οὐ μαρτυρεῖ πάλιν ὑπὲρ αὐτοῦ.

16. Ὁ κατήγορος οἰκειακοὺς αὐτοῦ μάρτυρας οὐ δύναται παραγαγεῖν.

17. Ὁ συνηγορήσας ἢ ἐκβιβάσας ἐν ὑποθέσει οὐ μαρτυρεῖ ἐν αὐτῇ.

18. Ἐν δὲ τῷ κδ' κεφ. Αἱ οἰκειακαὶ μαρτυρίαι ἀποδοκιμάζονται[c].

19. Ἐν δὲ τῷ κς' κεφ. Οἱ μάρτυρες οἱ κατὰ χάριν ἢ δυναστείαν τινὸς μαρτυροῦντες οὐ πιστεύονται.

20. Ἐν δὲ τῷ κζ' κεφ. Οὐδεὶς ἀπαιτεῖται καθ' ἑαυτοῦ μάρτυρας παραγαγεῖν, ἀλλὰ χρὴ τὸν ἐνάγοντα ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας.

21. Τοὺς δούλους μηδὲ ὑπὲρ τοῦ δεσπότου μηδὲ κατὰ τοῦ δεσπότου δύνασθαι ἐρωτηθῆναι οὐκ ἀμφιβάλλεται.

22. Ἐν δὲ τῷ κθ' κεφ.[1] Οἱ ἀνιόντες καὶ κατιόντες κατ' ἀλλήλων οὔτε βουλόμενοι δύνανται μαρτυρῆσαι.

23. Ἐν δὲ τῷ λ' κεφ. Δεῖ τοὺς μάρτυρας πρότερον ὀμνῦναι πρὶν ἢ μαρτυρήσουσι. δεῖ δὲ τοῖς τιμιωτέροις μᾶλλον πιστεύειν. ἑνὸς δὲ μαρτυρία οὐκ ἔστι δεκτὴ ἐν οἱαδήποτε δίκῃ, κἂν συγκλητικὸς εἴη.

---

b Ὀπωροφύλακον τυχὸν ἢ δραγάτην.

c Οἰκειακὴ μαρτυρία οὐκ ἐκ τῆς συγγενείας ἀλλ' ἐκ τῆς ἑνώσεως τῆς ὑπεξουσιότητος λαμβάνεται, ὡς ἐν τῷ ι' τί. τῆς β' ἰνστιτουτίονος διηγόρευται. οἰκειακὴν γάρ φησιν ἐκεῖσε μαρτυρίαν τὸν πατέρα καὶ τοὺς ὑπεξουσίους, οὐ μέντοι τοὺς συγγενεῖς. οἱ γὰρ συγγενεῖς δύνανται μαρτυρεῖν. ὥστε οὖν οὔτε πατὴρ ἐν διαθήκῃ τοῦ υἱοῦ μαρτυρεῖ, οὐδὲ υἱὸς ἐν διαθήκῃ τοῦ πατρός. καὶ τοῦτό ἐστι δομεστίκουμ τεστιμόνιουμ ἤγουν οἰκειακὴ μαρτυρία. συγγενὴς δὲ δύναται μαρτυρεῖν.

---

[1] Nota ordinem capitum turbatum.

24. Ἐν δὲ τῷ λγ′ κεφ. Ἀπελεύθερος κατὰ πάτρωνος μηδὲ ἑκὼν μηδὲ ἄκων μαρτυρείτω[1].

25. Ἐν δὲ τῷ λς′ κεφ. Χρεία δὲ ἐν τῇ ἀποδείξει μαρτύρων πέντε, ἐὰν μὴ ὦσι δικαιώματα πρὸς σύστασιν[d] ἐπιτήδεια. εἰ δὲ εἰσὶ δικαιώματα, ἀρκούμεθα τρισὶ μάρτυσιν. εἰ δὲ τὸ δικαίωμα τοιοῦτόν ἐστιν, ὥστε ἀντὶ πάντων ἀρκεῖν (ἴσως γὰρ ὑπόμνημα δημόσιον ἦν), τότε οὐδὲ δεόμεθα μαρτύρων. ἐπιφέρει δὲ καὶ ἕτερον κεφάλαιον ἡ διάταξις τοιοῦτον· ἐάν τις ἐν ὑπομνήμασι καὶ ἐν συμβολαίῳ προσμαρτυρήσῃ, ἀνάγκην ἐχέτω πᾶσι τρόποις καὶ δίκης ἐπὶ τῷ πράγματι κινουμένης μαρτυρῆσαι, κἂν ἕτερον φόρον ἐπιγράφηται. εἰ γὰρ μὴ τοῦτο εἴπομεν[2], βλάπτεται ὁ δεηθεὶς τῆς αὐτοῦ μαρτυρίας.

26. Ἐν δὲ τῷ λζ′ κεφ. Ἡ διάταξις κελεύει μὴ μόνον ἐν ταῖς ἐγκληματικαῖς δίκαις, ἀλλὰ καὶ ἐν ταῖς χρηματικαῖς ἕκαστον ἀναγκάζεσθαι μαρτυρεῖν ἅπερ ἐπίσταται μεθ᾽ ὅρκου δόσεως, ἢ ὀμνύειν ὡς οὐκ ἐπίσταται· ὑπεξῃρημένων τῶν προσώπων τῶν ἀπὸ νόμου κωλυομένων μαρτυρεῖν, καὶ τῶν ἰλλουστρίων καὶ τῶν ὑπερβεβηκότων αὐτοὺς, εἰ μή γε θεῖος γένηται τύπος. καὶ εἰ μὲν ἐνδημοῦσιν ἐν τῇ βασιλίδι πόλει, δι᾽ οἰκείας φωνῆς μαρτυρεῖν· εἰ δὲ ἀπολιμπάνονται, στέλλεσθαι τοὺς τῶν μερῶν ἐντολέας, ἐφ᾽ ᾧ καταθέσθαι ἅπερ ἐπίστανται ἢ ἐπομόσασθαι ἅπερ ἀγνοοῦσι· δηλονότι καὶ ἐπὶ τῆς ἐν ὑπομνήμασι μαρτυρίας τῶν αὐτῶν προσώπων ὑπεξῃρημένων. πάσας δὲ τὰς ἐπὶ τούτοις διαλαλιὰς καὶ τὰς παραγωγὰς ἀζημίους εἶναι τοῖς μάρτυσιν.

27. Ἐν δὲ τῷ λη′ κεφ. Ὁ προάγων μάρτυρας ἔν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατ᾽ αὐτοῦ προφέροιντο, μὴ ἐχέτω ἐξουσίαν παραιτήσασθαι αὐτοὺς, τυχὸν ὡς εὐτελεῖς ἤ τι τοιοῦτον. εἰ μέντοιγε δείκνυσιν ἐν τῷ μεταξὺ [ἢ] ἔχθραν γενομένην αὐτῷ δεκτὴν τοῖς νόμοις καὶ ποιοῦσαν ὑπόπτους τοὺς μάρτυρας, ἢ πολλάκις ἐλεγχθῇ φανερῶς ἐπὶ λήμματι[3] χρημάτων ἢ ὑποσχέσει γενομένην τὴν μαρτυρίαν, ἐξέστω αὐτῷ παραιτεῖσθαι τοὺς μάρτυρας. εἰ δὲ καὶ δύναται ψευδῆ τὰ παρ᾽ αὐτῶν λεγόμενα δεῖξαι, καὶ τοῦτο ποιείτω. τοῦτο γὰρ μόνον

---

d Δηλονότι τῆς συγγενείας.

---

[1] Leuncl. subjicit: Ἐν δὲ τῷ λδ′ κεφ. τοῦτο τὸ κεφ. εὑρήσεις ἐν τῷ περὶ ψευδομαρτύρων. [2] Leuncl. εἴποιμεν. [3] Lips. λημάτων. Leuncl. λημμάτων.

εἶπεν ἡ διάταξις, μὴ δύνασθαι αὐτοὺς παραιτεῖσθαι, οὐ μὴν ἵνα καὶ πάντως πιστεύομεν τῇ τούτων φωνῇ.

28. Ἐν δὲ τῷ λθ' κεφ. Οἱ ἐγγράφως ὁμολογήσαντες χρεωστεῖν οὐκ εὐχερῶς ἀκούονται λέγοντες, ἢ ὅλον τὸ χρέος ἢ μέρος αὐτοῦ καταβεβληκέναι ἀγράφως ἐπὶ μαρτύρων. ἐὰν οὖν μὴ πέντε μάρτυρες ἀξιόπιστοι πάρεισιν ἐν τῇ ἀγράφῳ καταβολῇ, καὶ ἐνωμότως κατάθωνται, ὡς παρόντων αὐτῶν κατεβλήθη τὸ χρέος ἢ κατάθεσις τῆς καταβολῆς παρὰ τοῦ δανειστοῦ γέγονεν, οὐκ ἄλλως τίς ἐστιν εὐπρόσδεκτος ὁ καταβολὴν ἄγραφον λέγων γεγονέναι. εἰδότες οὖν ἅπαντες τοῦ νόμου τὴν δύναμιν μὴ ἄλλως ἢ τὸ πᾶν χρέος καταβαλλέτωσαν ἢ μέρος αὐτοῦ, εἰ μὴ ἔγγραφος αὐτοῖς ἀπόδειξις γένηται ἢ πέντε μάρτυρες ἀξιόπιστοι καὶ μὴ εὐτελεῖς πάρεισι τῇ καταβολῇ ἢ τῇ καταθέσει. εἰ δὲ γέγονε μὲν ἀπόδειξις ἔγγραφος, κατὰ δὲ τυχηρὰν περίστασιν ἢ ἐμπρησμῷ τυχὸν ἢ ναυαγίῳ ἢ ἄλλως πως ἀπώλετο, ἐξέστω τότε τοῖς καταβεβληκόσιν ἀποδεικνύειν, ὡς ἀπώλετο ἡ γενομένη αὐτοῖς περὶ τῆς καταβολῆς ἀσφάλεια, καὶ μηδὲν ἐκ τῆς τοιαύτης ἀπωλείας ζημιούσθωσαν.

29. [Ἐν δὲ τῷ μγ' κεφ.] Τῶν αἱρετικῶν οἱ μὲν μανιχαῖοι ἢ βορβορῖται ἢ ἕλληνες ἢ σαμαρεῖται ἢ μοντανισταὶ ἢ ἀσκοδρουγῖται ἢ ὀφῖται ἢ οἱ τὴν ἰουδαϊκὴν θρησκείαν σέβοντες ἐν μηδενὶ μαρτυρείτωσαν. οἱ δὲ λοιποὶ πάντες ἐν δικαστηρίῳ μὲν ὀρθόδοξον ἔχοντι ἀντίδικον μὴ δεχέσθωσαν· ἐν δὲ τοῖς λοιποῖς πᾶσι συναλλάγμασιν ἢ διαθήκαις ἢ δικαστηρίοις αἱρετικοὺς ἔχουσιν ἀντιδίκους ἀδιαστίκτως μαρτυρείτωσαν τοῦ πλάτους χάριν τῶν ἀποδείξεων.

30. Ἐν δὲ τῷ μδ' κεφ. Εἰ δὲ καὶ ἤδη μηδεμίαν ἐπὶ χρέεσιν ἐγγράφοις ἀγράφων καταβολῶν ἀπόδειξιν διὰ μαρτύρων δέχεσθαι νενομοθετήκαμεν, πλὴν εἰ μὴ κατὰ τὴν ἐκεῖσε ῥηθεῖσαν παρατήρησιν, ἣν δὴ καὶ κρατεῖν βουλόμεθα, ἀλλ' οὖν καὶ νῦν τοῦτο ἀνανεούμεθα. εἰ γὰρ ἔγγραφον[1] εἴη τὸ χρέος, καὶ ἀγράφου καταβολῆς προτείνοιτο παρὰ τῶν δικαζομένων διὰ[2] τῶν μαρτύρων ἀπόδειξις, τότε δεκτὴν αὐτὴν παρὰ δικασταῖς εἶναι, ἡνίκα ἐπ' αὐτῷ τούτῳ παραλαμβάνοιντο μάρτυρες, ἐφ' ᾧ τῇ γενησομένῃ καταβολῇ ἢ τῇ μνήμῃ τοῦ γενέσθαι[3] τινὰ καταβολὴν ἤδη καὶ τοῦτο ὁμολογεῖσθαι παρὰ τοῦ τὰ χρήματα λαβόντος μαρτυρήσαιεν ἄνδρες ἀξιόπιστοι καθεστῶτες, ἢ καὶ ἐν ἐκμαρτυρίοις ἴσως ποιήσαιεν φανερόν. τὰς δὲ ματαίας

---

[1] Leuncl. καὶ ἐγγρ. [2] Leuncl. ἡ διά. [3] Leuncl. γεγενῆσθαι.

ταύτας καὶ ἐκ τοῦ παρήκοντος γενομένας μαρτυρίας μηδενὶ παντάπασι λόγῳ κρατεῖν, καὶ τοιαύτας τινὰς ἀναπλάττειν μαρτυρίας, ὡς δι᾿ ἄλλην τινὰ χρείαν παρατυχὼν ἀκούσοι τοῦδε λέγοντος εἰληφέναι παρὰ τοῦδε χρυσίον, ἢ ὀφείλειν τῷδε. αὗται γὰρ σαφῶς ἡμῖν ὕποπτοι καθεστᾶσι καὶ οὐδενὸς ἄξιαι λόγου. ὁπότε καί τι τοιοῦτον ἐν τῷ δικάζειν εὕρομεν, ὡς καίτοι πολλῶν χρημάτων [λεγομένων] καταβεβλῆσθαι ταβουλλάριοι δύο μόνοι τοῦτο ἔφασαν ἀκηκοέναι, μάρτυρος παρόντος οὐδενὸς, καίτοι τοῦ χρέους ἐγγράφου τυγχάνοντος καὶ τοῦ κατατιθεμένου δῆθεν γράφειν ἐπισταμένου καὶ δυναμένου δι᾿ οἰκείων γραμμάτων ταῦτα φανερὰ καταστῆσαι. ὅπερ ἐξ ἐκείνου μισήσαντες ἀφορμὴν τοῦ παρόντος εἰλήφαμεν νόμου. καὶ αὖθις παρήχθη τὶς ἕτερος τὸ εἶδος ἐοικὼς τῷ συκοφαντουμένῳ καὶ ἐπὶ μαρτύρων δῆθεν καὶ [ἐπὶ] ταβουλλαρίων κατετίθετο καθ᾿ ἑαυτοῦ χρέα· καὶ ὁ μὲν μισθοῦ τοῦτο πράξας ἀπῆλθεν· ἕτερος δὲ εἰσεπράχθη τὸ χρέος παρ᾿ ἑτέρου τινὸς ὡς παρ᾿ αὐτοῦ δῆθεν ὁμολογηθέν· καὶ τοῦτο ὕστερον οὐ διέλαθε τοῦ θεοῦ τὰ τοιαῦτα μέχρι παντὸς οὐ συγχωροῦντος κατακρύπτεσθαι. οὔτε οὖν ταῖς τοιαύταις πιστεύομεν μαρτυρίαις ἢ ταῖς τῶν ταβουλλαρίων (καθάπερ εἰπόντες ἔφθημεν) καταθέσεσιν, ἡνίκα γραμμάτων ἐπιστήμονες εἶεν οἱ καταθέσθαι λεγόμενοι, παρὸν καὶ γράψαι ἢ ἐν δικαστηρίῳ καταθέσθαι καὶ δοῦναι τῷ πράγματι πίστιν ἀναμφισβήτητον· οὔτε μένειν αὐτὰς τοῖς ἀληθέσι λυμαινομένας συγχωροῦμεν, οὔτε εἴ τι τοιοῦτο γέγονε προσιέμεθα. ἀλλ᾿ ἀπαιτοῦμεν τὸ καὶ παρακεκλῆσθαι παρὰ τοῦ παράγοντος τοὺς μάρτυρας ἐπ᾿ αὐτὸ τοῦτο, καὶ τοῦτο διὰ μαρτυρίας ἀποδείκνυσθαι, καὶ εἶναι καὶ αὐτοὺς (τοῦτο δὴ τὸ τῶν διαθηκῶν) παρακεκλημένους καὶ εὐϋπολήπτους καθεστάναι. καὶ οὕτω τὸ πρᾶγμα δέχεσθαι τὴν ἐξ αὐτῶν ἀπόδειξιν, καὶ μηδὲ ἐκμαρτυρίαν τοῦ λοιποῦ μὴ καὶ μαρτύρων ἔχουσαν καὶ παρουσίαν[1] καὶ κατάθεσιν καὶ ὑπογραφὴν κρατεῖν. εἰ δὲ μὴ τοιοῦτοι καθεστᾶσιν οἱ μάρτυρες ὁποίους ἔμπροσθεν εἰρήκαμεν, καὶ βασάνοις αὐτοὺς ὑποκεῖσθαι κελεύομεν. εἰ δέ τινες καθαρῶς ἐναντία σφισὶν αὐτοῖς ἢ καὶ ἀλλήλοις φθέγξοιντο, τοὺς δικαστὰς μάλιστα τούτῳ προσέχειν τὸν νοῦν, καὶ εἰ περὶ τὰ καιριώτερα τῶν μαρτυρουμένων τὰς ἐναντιότητας εὕροιεν, ἐκβάλλειν τὰς τοιαύτας μαρτυρίας τοῖς παρὰ τῶν ἀξιοπιστοτέρων καὶ πλειόνων προσέχοντας. εἰ δὲ ἐξεπίτηδες φανεῖεν

---

[1] Lips. μαρτυρίαν.

κακουργοῦντες καὶ ἐντεῦθεν ἐκπίπτοντες εἰς ἐναντίωσιν, μηδὲ ἀθώους αὐτοὺς καταλιμπάνειν, εἴπερ μὴ κατά τινα πλάνην (ὡς εἰκὸς) ἀλλ' ἐξεπίτηδες τὰ ἐναντία δειχθεῖεν λέγοντες.

31. *Ἐν δὲ τῷ με' κεφ. Ἐπειδὴ πολλοὶ πολλάκις μάρτυρας παραστησάμενοι καὶ τρισάκις τοῦτο πράξαντες, εἶτα ἐπειδὰν ἀποτάξοιντο καὶ ἐκλάβοιεν τὰς μαρτυρίας, πειρῶνται προσελεύσεσιν ἡμᾶς ἐνοχλεῖν καὶ βούλεσθαι καὶ τετράκις παραγαγεῖν μάρτυρας, θεσπίζομεν τοὺς ἡμετέρους δικαστὰς τούτοις μάλιστα προσέχειν, καὶ εἰ τρισάκις ἤδη παρῆλθον οἱ μάρτυρες, καὶ παρὰ τοῦ τοὺς μάρτυρας παραγαγόντος καὶ ἀποταξαμένου καὶ ἐκλαβόντος*[1] *πάλιν αἰτοῦνται μάρτυρες, τούτους παντελῶς μὴ προσίεσθαι, ὡς ὑποψίας οὔσης, μήποτε παραλιπόντων τὶ τῶν προτέρων καὶ ἤδη φανερῶν τούτων διὰ τῆς μαρτυρίας γινομένων ἐκεῖνος οὐ παραγωγῆς μαρτύρων, ἀλλὰ τῆς τῶν ἔμπροσθεν οὐ μαρτυρηθέντων προσθήκης ἢ μαρτυρηθέντων ἐπανορθώσεως ἐπιθυμεῖ. εἰ δὲ ὁ παραγαγὼν μὲν οὐκ ἐκλάβοι, οὐδὲ ἐντύχοι ταῖς μαρτυρίαις οὐδὲ αὐτὸς οὐδέ τις τῶν συνηγόρων αὐτοῦ, ὁ δὲ ἀντιτεταγμένος ἐκλάβοι μόνος καὶ ποιήσοιτο παραγραφὰς, οὐ μὴν ταύτας ἐκδοίη τῷ τρὶς ἤδη ποιησαμένῳ τὴν τῶν μαρτύρων πάροδον, ὥστε μὴ διὰ τῶν παραγραφῶν μαθόντα τὸν τούτους παραγαγόντα τὰ ἐλλείποντα ταῖς μαρτυρίαις ταῦτα προσθεῖναι· τηνικαῦτα δοτέον καὶ τετάρτην παραγωγὴν μαρτύρων τῷ ταύτην αἰτοῦντι, πρότερον ὅρκου διδομένου παρ' αὐτοῦ, ὡς οὔτε ἐξήλειφεν*[2] *οὐδὲ ἐνέτυχε ταῖς μαρτυρίαις οὐδὲ αὐτὸς οὐδέ τις [ἢ] συνήγορος ἢ ὅλως ὑπὲρ αὐτοῦ πράττων, οὔτε κατά τινα δόλον οὐδὲ μηχανὴν οὐδὲ τέχνην τὴν τετάρτην παραγωγὴν αἰτεῖ ποιήσασθαι τῶν μαρτύρων, ἀλλὰ διὰ τὸ μὴ δυνηθῆναι πρότερον ταῖς ἐπαγγελλομέναις χρήσασθαι μαρτυρίαις. καὶ εἰ τοῦτο γένοιτο, μηδὲ κελεύσεως ὑπὲρ τούτων δεῖσθαι βασιλικῆς, καθάπερ ἔμπροσθεν ἦν. ἐκεῖνο μέντοι τῶν ἀνωμολογημένων ἐστὶν, ὡς εἰ καὶ ἅπαξ τὶς παραγαγὼν μάρτυρας ἢ καὶ δὶς εἶτα ἀποτάξεται, καὶ ἢ ἐκλάβοι τὰς μαρτυρίας καὶ κατασκέψεται, ἢ τοῦ ἀντιτεταγμένου τοῦτο ποιήσαντος αὐτὸς τὰς παραγραφὰς ἐκλάβοι, κἀκεῖθεν μάθοι τὰ μεμαρτυρημένα, οὐχ ἕξει παντελῶς ἄδειαν οὐδεμιᾷ περαιτέρω χρήσασθαι μαρτύρων παραγωγῇ, οὐδ' ἂν εἰ θεία τούτῳ κέλευσις πορισθείη.*

Εἰ μέντοι τὶς φήσειεν ἀπεχθῆ τὸν παριόντα πρὸς μαρ-

[1] Lips. *ἐκβάλλοντος.* [2] Bas. *ἐξείληφεν.*

τυρίαν αὐτῷ καθεστάναι, τυχὸν καὶ ὑπὸ αἰτίασιν παρ᾽ αὐτοῦ γενέσθαι· εἰ μὲν δείξειεν εὐθὺς, ὡς ἐγκληματικὴ μεταξὺ αὐτῶν κινεῖται δίκη, μὴ παρίτω πρὸς μαρτυρίαν ὁ μέχρι τοσούτου δυσμενὴς, ὡς καὶ περὶ ἐγκλημάτων δικάζεσθαι· εἰ δὲ ἄλλως ἀπεχθὴς εἶναι λέγοιτο ἢ καὶ αἰτιάσασθαι χρηματικῶς, προΐτω μὲν τὰ τῆς μαρτυρίας, τῷ δὲ καιρῷ τῶν παραγραφῶν φυλαττέσθω τὰ τῶν τοιούτων ζητήσεων.

Ἐπειδὴ δὲ ἐθήκαμεν νόμον, ὥστε καὶ ἐπὶ χρηματικῶν δικῶν ἄκοντας μαρτυρεῖν, ἐκείνων οὐκ ἀναγκαζομένων τὴν μαρτυρίαν νέμειν ὅσοι μεσῖται γεγόνασιν αὐτοῖς, καί τινες ἀποχρῶνται τούτῳ καὶ μαρτυρίαν οὐ βούλονται νέμειν· θεσπίζομεν, εἴπερ ἑκάτερον μέρος συναινοίη, τὸν μεσίτην αὐτῶν γενόμενον μαρτυρεῖν καὶ ἀρκεσθήσεσθαι τοῖς παρ᾽ αὐτοῦ λεγομένοις, ἀναγκάζεσθαι αὐτὸν καὶ ἄκοντα τὴν μαρτυρίαν νέμειν, τοῦ κωλύματος διόπερ αὐτὸν ἄκοντα μαρτυρεῖν ὁ πρότερος ἡμῶν οὐκ ἐβούλετο νόμος διὰ τῆς συναινέσεως ἑκατέρων τῶν μερῶν ἀνῃρημένου. καὶ τοῦτο δὲ πολλάκις πραττόμενον ἴσμεν, ὥς τινες ἢ παρὰ τοῖς τῶν τόπων ἐκδίκοις ἢ παρὰ τοῖς λαμπροτάτοις τῶν ἐπαρχιῶν ἄρχουσιν ἢ καὶ (ὡς εἰκὸς) ἐνταῦθα παρὰ τῷ λαμπροτάτῳ μαγίστρῳ τῶν κήνσων εἰσιόντες καὶ μεμφόμενοι, ὡς παρὰ τοῦδε πεπονθότες τὶ παράνομον ἢ ἄλλως ἠδικημένοι ἢ ἐζημιωμένοι βούλονται μάρτυρας παραστήσασθαι· καὶ ἵνα μὴ ὕστερον ἀντιτεθείη αὐτοῖς, ὡς κατὰ μίαν μοῖραν τὰ πεπραγμένα συνέστη, δεῖν κἀκεῖνον ἐν αὐτῇ τῇ πόλει καθεστῶτα, ἔνθα αἱ μαρτυρίαι δίδονται, ὑπομνησθέντα παρὰ τοῦ ἄρχοντος ἢ τοῦ ἐκδίκου παραγενέσθαι καὶ ἀκοῦσαι τῶν μαρτυριῶν. εἰ δὲ μὴ βουληθείη παραγενέσθαι, ἀλλὰ διαπτύσειεν, ὥστε ἐκ τοῦ κατὰ μίαν μοῖραν δίδοσθαι τὰς μαρτυρίας κατ᾽ αὐτὸ τοῦτο ἀχρήστους εἶναι, θεσπίζομεν τὰς τοιαύτας μαρτυρίας οὕτω κρατεῖν, ὡσανεὶ μὴ μονομερεῖς ἐτύγχανον οὖσαι ἀλλὰ καὶ αὐτοῦ παρόντος ἐγεγόνεισαν. εἰ γὰρ παραιτήσοιτο καὶ ἐλθεῖν μὴ βουληθείη καὶ ἀκοῦσαι τῶν κατατιθεμένων, καίτοι δημοσιεύων τε καὶ οὐκ ἐξ ἀπαραιτήτου τινὸς ἀνάγκης ἀφικέσθαι μὴ δυνάμενος, ἐν ἴσῳ τοῖς παραγενομένοις ἔσται, καὶ οὐδὲν ὄφελος ἐκ τῆς αὐτοῦ προπετείας αὐτῷ γενήσεται, ἀλλὰ δοκείτωσαν μὲν συστάδην γεγονυῖαι, ὅσα δὲ ἂν ἁρμόσειεν αὐτῷ παραγράφεσθαι περὶ αὐτῶν, ἐξεῖναι τούτοις χρῆσθαι· μόνον τοῦ δοκεῖν αὐτὰς εἶναι μονομερεῖς διὰ τὴν αὐτοῦ προπέτειαν, οἷα κατ᾽ αὐθάδειαν μὴ παραγενομένου ταῖς μαρτυρίαις, ἀντιτίθεσθαι μὴ δυναμένου.

32. Ἀνάγν. καὶ βι. κβ′ τί. α′ κεφ. οε′ καὶ οζ′. ἀνάγν. καὶ βι. ξ′ τί. μα′ κεφ. κζ′, ἐν ᾧ φησιν· Οἱ ἐναντία μαρτυρήσαντες ἀλλήλοις, καὶ ὁ ἐναντιούμενος τῇ οἰκείᾳ ὑπογραφῇ, καὶ ὁ δύο τισὶν ἐναντία προσμαρτυρῶν ὑπόκειται τῷ πλαστῷ.

VII.

Περὶ μεσεγγυητῶν.

1. Ἀνάγν. βι. ιγ′ τί. β′ κεφ. ε′ καὶ ς′, ἐν ᾧ φησι· Μεσεγγυητής ἐστι κυρίως ᾧτινι πολλοὶ εἰς ὁλόκληρον παρέθεντο πρᾶγμα ἐπὶ δήλῳ ὅρῳ τοῦ φυλάξασθαι[1] καὶ ἀποδοῦναι.

2. Καὶ κεφ. ιζ′, ἐν ᾧ φησι· Τῷ μεσεγγυητῇ οὐχ εἷς μόνος, ἀλλὰ καὶ πολλοὶ παρατίθενται φιλονεικίας αὐτοῖς γινομένης. καὶ δοκεῖ ἕκαστος εἰς ὁλόκληρον παρατίθεσθαι. τοὐναντίον δὲ ἐπὶ πολλῶν πρᾶγμα κοινὸν παραθεμένων.

3. Καὶ κεφ. ιη′ καὶ λη′. ἀνάγν. καὶ βι. ξ′ τί. να′ κεφ. λδ′ θέμ. η′.

VIII.

Περὶ μεταθέσεως ἐνοχῆς.

1. Ἀνάγν. βι. κς′ τί. δ′, οὗτινος ἐν τῷ β′ κεφ. φησί· Πᾶν πρᾶγμα μεταφέρεται, ἐὰν ἐπὶ τῷ μεταγαγεῖν ἐπερωτήσωμεν· ἐπείτοιγε δύο εἰσὶν ἐνοχαί.

2. Ἐν δὲ τῷ ε′ κεφ. Ἡ ὑπὸ ἡμέραν ἐνοχὴ καὶ πρὸ τῆς ἡμέρας μεταφέρεται. καὶ ὑπὸ ἡμέραν γίνεται ἐνοχῆς μετάθεσις, ἀλλ᾽ οὐ κινεῖται πρὸ τῆς ἡμέρας ἡ περὶ τούτου συμφωνία.

3. Ἐν δὲ τῷ κε′ κεφ. Ἐὰν ἀντ᾽ ἄλλου δοθεὶς ὑπεύθυνος ὁ ἀγοραστὴς ὁμολογήσῃ κατὰ μετάθεσιν τῆς ἐνοχῆς, ὅσα δοῦναι ἢ παρασχεῖν ἐκ τῆς ἀγορασίας ὀφείλει, οὐδετέρῳ τοῦ μέλλοντος χρόνου τόκους χρεωστεῖ.

IX.

Περὶ μετοίκων.

1. Ἀνάγν. βι. νδ′ τί. β′, οὗτινος ἐν τῷ α′ κεφ. φησίν· Ἐὰν ὁ γενόμενος μέτοικος ἐν τόπῳ τινὶ καὶ λειτουργήσας, πρὶν ἢ εἰς ἑτέραν ἑλκυσθῇ λειτουργίαν, μετήνεγκε τὴν κατοίκησιν ἑαυτοῦ, οὐκέτι ἀναγκάζεται ἐν ἐκείνῳ τῷ τόπῳ λειτουργῆσαι. τὸ γὰρ

---

[1] Leuncl. et Bas. φυλάξαι.

μεταστῆσαί τινα τὴν οἴκησιν τὴν μὲν ἀρχαιογονίαν αὐτοῦ οὐκ ἐναλλάσσει, τὸ δὲ μετοίκιον ἐναλλάσσεται.

X.

Περὶ μετρητῶν ψευσαμένων περὶ τὸ μέτρον.

1. Ἀνάγν. βι. ξ΄ τί. θ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ὁ μετρητὴς ψευσάμενος περὶ τὸ μέτρον[a] τοῦ φιλονεικουμένου ἢ πιπρασκομένου ἀγροῦ ὑπόκειται τῇ τοῦ διπλοῦ ἀπαιτήσει. οὔτε γάρ ἐστι μίσθωσις, ἀλλὰ καὶ ἀχρήστως τὶς κινεῖ τὴν περὶ μισθώσεως ἀγωγήν. τὸ γὰρ διδόμενον τῷ μετρητῇ οὔκ ἐστι μισθὸς, ἀλλ᾽ ἀντίδωρον.

Καὶ ἀπὸ δόλου μόνου ἐνέχεται καὶ μεγάλης ἀμελείας, κἂν ἔλαβεν. ἐκεῖνος ἐνέχεται [ὁ] ἐκφωνήσας δι᾽ ἑαυτοῦ ἢ δι᾽ ἄλλου ἢ διὰ γραμμάτων.

2. Εἰ δὲ καὶ μετρητὴς ἐπι[τρα]πεὶς μετρῆσαι ἑτέρῳ ἐπιτρέψει, κἀκεῖνος δόλον ποιήσει, αὐτὸς ἐνέχεται, ὡς τοιούτῳ καταπιστεύσας.

3. Ἐν δὲ τῷ ε΄ κεφ. Οὐ μόνον ἐπ᾽ ἀγροῦ χώρα τῇ τὸ διπλοῦν ἀπαιτούσῃ ἀγωγῇ, ἀλλὰ καὶ τῶν λοιπῶν πραγμάτων· τυχὸν οἴκου, οἴνου, σίτου, δουλειῶν καὶ λίθων.

4. Καὶ κατὰ μηχανικοῦ ψευσαμένου κατὰ ἀπάτην ἁρμόζει, καὶ κατὰ τοῦ μὴ ὄντος μετρητοῦ, ἀπατήσαντος δὲ περὶ τὸ μέτρον, καὶ ἀρχιτέκτονος καὶ ἐργολάβου, καὶ ταβουλλαρίου περὶ τὸν συμψηφισμὸν ἀπατήσαντος.

XI.

Περὶ μεταλλιζομένων.

1. Ἀνάγν. βι. ξ΄ τί. να΄ κεφ. θ΄ καὶ ια΄, ἐν ᾧ φησι· Ποινὴ μετάλλου ἐστὶ τὸ καταδικασθῆναί τινα ἄσβεστον ποιεῖν ἢ θεῖον ὀρύττειν.

2. Καὶ κεφ. νβ΄, ἐν ᾧ φησιν· Ὅστις εἰς μέταλλον εἴη[1] κατὰ τὴν τῶν ἐγκλημάτων τῶν καταληφθέντων ποιότητα καταδικα-

---

[a] Ἡρόδοτός φησιν ὅτι αἱ ρ΄ οὐργίαι δίκαιαί εἰσι· στάδιον ἑξάπλεθρον, ἐξ ἀπόδου μὲν τῆς οὐργίης μετρουμένης καὶ τετραπήχεος, τῶν ποδῶν δὲ τετραπαλαίστων ἐόντων, τοῦ δὲ πήχεος ἑξαπαλαίστου.

[1] Basil. ἔτι ἤ.

σθεὶς, μηδαμῶς ἡ αὐτοῦ ὄψις ἐπιγραφέσθω. ὁπότε καὶ ἐν ταῖς χερσὶ καὶ ἐν ταῖς κνήμαις δύναται ἡ τιμωρία τῆς καταδίκης μιᾷ γραφῇ περιέχεσθαι· ὥστε ἡ ὄψις, ἥτις πρὸς μίμησιν τῆς ὡραιότητος τῆς οὐρανίας ἐστὶ πεπλασμένη, μηδαμῶς σπιλωθῇ.

XII.

Περὶ μιτάτων ἤτοι ἀπλήκτων, καὶ τίνες οὐχ ὑπόκεινται αὐτοῖς.

1. Ἀνάγν. βι. νζ' τί. ιβ'[1], οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἑκάστη οἰκία ὀφείλουσα παρασχεῖν μιτάτον εἰς τρία μέρη διαιρείσθω. καὶ τὸ μὲν ἓν μέρος ὁ δεσπότης ἐπιλεγέσθω εἰς ἰδίαν καταμονὴν, καὶ τὸ ἄλλο ἓν ὁποῖον βούλεται ὁ στρατιώτης λαμβανέτω, καὶ τὸ ὑπόλοιπον τρίτον τῷ δεσπότῃ παρεχέσθω. ἀτελῆ δὲ ἔστωσαν τῶν μιτάτων τὰ παρακείμενα τῇ οἰκίᾳ παροικικὰ, εἰ μὴ ἄρα ὁ στρατιώτης ἐν τῷ ἐπιλεγέντι παρ' αὐτοῦ τρίτῳ μέρει οὐκ ἔχει σταῦλον[2]. τότε γὰρ ὁ δεσπότης ὁθενδήποτε αὐτῷ ὀφείλει παρέχειν, ἢ εἰ μὴ ἔχει, τότε διδότω ἀπὸ τῶν παροικικῶν· οὐδὲ πάντως οἷον αὐτὸς ὁ στρατιώτης βούλεται, ἀλλ' οἷον ἀπαιτεῖ ὁ ἀριθμὸς ὧν ὁ στρατιώτης ἐπάγεται ζώων. ταῦτα περὶ στρατιωτῶν ἀπαιτούντων μιτάτα. εἰ γὰρ ἰλλούστριος εἴη ᾧτινι μιτάτον μέλλει εὐτρεπίζεσθαι, μηκέτι τὸ τρίτον τῆς οἰκίας, ἀλλὰ τὸ ἥμισυ διδόσθω αὐτῷ· τοῦ μὲν δεσπότου τῆς οἰκίας μερίζοντος, τοῦ δὲ ἄλλου ἐπιλεγομένου. εἰ δέ τι[3] πλέον μέρος τῆς οἰκίας λόγῳ μιτάτου λάβοι, ὁ μὲν ἰλλούστριος λ' χρυσίου λίτρας προστιμάσθω, ὁ δὲ στρατιώτης γυμνούσθω τῆς στρατείας.

2. Ἐν δὲ τῷ δ' κεφ. Οἱ οἶκοι τῶν ἀφωρισμένων ὁπλοποιῶν οἱ ὁπουδήποτε ὄντες οὐχ ὑπόκεινται μιτάτοις.

3. Ἐν δὲ τῷ η' κεφ. Οἱ ἀρίχατροι τοῦ παλατίου καὶ τῆς ῥώμης, καὶ τῶν γραμμάτων διδάσκαλοι ὑπὲρ τῶν ὄντως ἀναγκαίων τεχνῶν καὶ ἐλευθερίων μαθημάτων, οὐ μὴν ἀλλὰ καὶ οἱ τῆς ζωγραφικῆς διδάσκαλοι, ἐὰν μόνον εὐγενεῖς ὦσι, τῆς τῶν μιτάτων ἐπαχθείας ἐφ' ὅσον ζῶσιν ἔστωσαν ἐλεύθεροι.

4. Ἐν δὲ τῷ θ' κεφ. Θεσπίζομεν, ἵνα μηδεὶς ἐν οἱῳδήποτε βαθμῷ ἢ τύχῃ τελῶν καὶ τὴν οἰκίαν αὐτοῦ[4] ἐξκουσσατεύων ἐκδικήσῃ ἑαυτῷ μιτάτον ἐν ἀλλοτρίοις οἰκήμασι διὰ τὸ προσὸν αὐτῷ προνόμιον τῆς στρατείας. τοῦτο δὲ κελεύει κρα-

---

[1] Secundum Heimbach. legendum est ε'. [2] Lips. στάβλον. [3] Leuncl. τις. [4] Leuncl. τὴν ἰδίαν ἐξκ. οἰκίαν.

τεῖν οὐ μόνον ἐν κωνσταντινουπόλει, ἀλλὰ καὶ ἐν πάσαις ταῖς ἐπαρχίαις. οἱ δὲ ἰλλούστριοι πάντες, εἴτε ζωστοί εἰσιν εἴτε ἄζωστοι, μὴ ἐχέτωσαν ἐξκουσσατίονα μιτάτων. εἰ δέ τις ζωστὸς ἰλλούστριος ὑπάρχων ᾔτησε παρὰ βασιλέως μὴ ὑποδέχεσθαι μιτάτον, ἀποστερηθήσεται τοῦ δοθέντος αὐτῷ προνομίου. ἐὰν δὲ ἰδιώτης ἐστὶ, ρ' λίτρας παρέχει τοῖς θείοις θησαυροῖς.

5. [Ἐν δὲ τῷ ι' κεφ.] Ἡ διάταξις ὁρίζει τὸ μέτρον τῶν ἐξκουσσατευομένων οἰκημάτων μιτάτου, καὶ λέγει, ἵνα ὁ μὲν γενόμενος ὑπατικὸς ἢ[1] πατρίκιος γ' οἴκους ἰδίους ἐξκουσσατεύῃ ἀπὸ μιτάτων, ἐν ὅσῳ περίεστιν. οἱ δὲ κληρονόμοι αὐτοῦ, εἴτε παῖδες εἴησαν οἱ κληρονομοῦντες αὐτὸν εἴτε πατὴρ εἴτε μήτηρ εἴτε ἔκγονοι εἴτε ἀδελφοὶ εἴτε ἀδελφαὶ εἴτε γαμετὴ, β' οἴκους. εἴ τις δὲ ὑπατικὸς μόνον ἐστὶ, δύο ἥμισυ οἴκους αὐτὸς ἐξκουσσατεύει, μετὰ δὲ τελευτὴν οἱ κληρονόμοι αὐτοῦ ἕνα ἥμισυ. τὸ δὲ αὐτὸ προνόμιον ἐχέτω καὶ ὁ μόνον γενόμενος πατρίκιος. οἱ δὲ ἀπὸ ἐπάρχων καὶ οἱ στρατηλάται β' οἴκους μόνους ἐξκουσσατεύουσιν, οἱ μέντοιγε κληρονόμοι αὐτῶν α' οἶκον. οἱ δὲ μάγιστροι ἤτοι κοιαίστορες ἕνα ἥμισυ οἶκον, ἡ δὲ κληρονομία αὐτῶν ἕνα. οἱ δὲ κόμητες τῶν δομεστίκων καὶ προτεκτόρων καὶ παροχῶν [καὶ ἰδικῶν] καὶ ὁ πριμμικήριος τῶν νοταρίων ἀνὰ ἕνα οἶκον· οἱ δὲ κληρονόμοι αὐτῶν ἥμισυ οἴκου, τοῦ δὲ ὑπολοίπου ἡμίσεως τὸ τρίτον παρεχέτωσαν εἰς μιτάτον. ἐὰν δὲ ἰλλούστριοι ὦσι μηδὲν πράξαντες, μόνον δὲ ὄντες τετιμημένοι, μηδένα οἶκον ἐξκουσσατευέτωσαν· ὑπεξῃρημένων δηλαδὴ τῶν ἐργαστηρίων αὐτῶν τῶν ἐν ταῖς πλατείαις ἢ ἐν τοῖς στενορυμίοις. μηδεὶς δὲ μήτε ἀπὸ θείου γράμματος μήτε ἀπὸ πραγματικοῦ τύπου ἐξκουσσατευέτω ἑαυτὸν ἀπὸ μιτάτου.

XIII.

Περὶ μισθώσεως καὶ ἐκμισθώσεως καὶ μισθούντων καὶ μισθουμένων, καὶ ὅτι ἐπὶ τῶν πολιτικῶν οἰκήσεων σιωπηρῶς ὑπόκεινται τῷ μισθωτῇ τὰ εἰσαχθέντα[a].

1. *Ἀνάγν. βι. ια' τί. α' κεφ. δ' καὶ βι. ιγ' τί. β' κεφ. α' θέμ. β' καὶ βι. ιε' τί. γ'.*

---

[a] Τουτέστι τὰ ἴνβεκτα καὶ τὰ ἰλλάτα. καὶ ἴνβεκτα μέν εἰσι τὰ κινητὰ, οἷον χρυσὸς, ἐσθὴς, καὶ τὰ λοιπά· ἰλλάτα τὰ αὐτοκίνητα, οἷον βοῦς, ἵππος, ὄϊς, καὶ τὰ ὅμοια.

[1] Leuncl. conj. καὶ. Recte.

2. Καὶ βι. κ΄ τί. α΄, οὗτινος ἐν τῷ η΄ κεφ. θέμ. ε΄ φησίν· Ἐὰν συμφωνηθῇ τοὺς μισθωσαμένους οἶκον ἀβλαβὲς ἔχειν πῦρ, καὶ τυχηρὰ γένηται καῦσις, οὐκ ἐνέχεται ὁ μισθωτός. εἰ δὲ κατὰ ἀμέλειαν αὐτοῦ συνέβη, ἐνέχεται.

3. Ἐν δὲ τῷ θ΄ κεφ. Ὁ μισθωσάμενος ἀγέλην, οὐκ ἐνέχεται, ἐὰν δειχθῇ, ὅτι χωρὶς ἀπάτης αὐτοῦ λησταὶ αὐτὴν ἀφείλοντο. ἀναλαμβάνει δὲ τοὺς μισθοὺς, οὓς ὑπὲρ τοῦ λειπομένου χρόνου δέδωκεν.

Ὁ ποιμὴν καὶ ὁ ῥάπτης καὶ ὁ κναφεὺς ἀπὸ ἀμελείας καὶ ἀπειρίας ἐνέχονται.

4. Ἐν δὲ τῷ ια΄ κεφ. Ἐὰν συμφωνηθῇ μὴ ἔχειν πῦρ καὶ σχῇ, ἐνέχεται εἰ καὶ κατὰ τύχην ἐμπρησμὸς γένηται. ἕτερόν ἐστιν ὅτε συμφωνηθῇ πῦρ ἔχειν ἀβλαβές.

5. Ἐν δὲ τῷ ιβ΄ κεφ. Ἐὰν συνεφώνησεν ὁ μισθωσάμενος μὴ σχεῖν ἐν τῷ οἴκῳ χόρτον καὶ σχῇ, εἶτα δοῦλος αὐτοῦ ἢ ξένος εἰσαγάγῃ πῦρ καὶ καύσῃ, χώρα τῇ περὶ τοῦ συμφώνου ἀγωγῇ.

6. Εἰ δὲ καὶ ἁμαξάριος φιλονεικῶν προλαβεῖν στρέψῃ τὴν ἅμαξαν καὶ κλάσῃ τὸν δοῦλον[1], ἐνέχεται τῇ περὶ τῆς μισθώσεως ἀγωγῇ[b].

7. Ἐν δὲ τῷ ιγ΄ κεφ. Ἐὰν λάβῃ τὶς ἐπὶ τῷ ἐγκλεῖσαι ἢ γλύψαι λιθέαν καὶ κλασθῇ, εἰ μὲν ἐξ ἀπειρίας τοῦ τεχνίτου, χώρα τῇ [περὶ] τῆς μισθώσεως ἀγωγῇ· εἰ δὲ ἀπὸ αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται, εἰ μὴ τὸν κίνδυνον ἀνεδέξατο.

Ἐὰν μυόβρωτον γένηται τὸ δοθὲν τῷ κναφεῖ, χώρα τῇ περὶ τῆς μισθώσεως ἀγωγῇ. καὶ ἐὰν ἑτέρῳ τὸ ἑτέρου παράσχῃ ἢ ἄλλο παλαιὸν, κἂν ἐν ἀγνοίᾳ.

8. Ἐν δὲ τῷ ιδ΄ κεφ. Ἐὰν ἀνεχομένου τοῦ δεσπότου μετὰ περαίωσιν τοῦ χρόνου [ὁ] μισθωτὸς ἐπιμείνῃ, καὶ χωρὶς ῥημάτων ἢ γραμμάτων ἀνανεοῦται τὸ συνάλλαγμα, ὡς ἀπὸ νέας συναινέσεως. ὅθεν ἐὰν ἐν τῷ μεταξὺ τελευτήσῃ ἢ μανῇ ὁ δεσπότης, οὐκ ἀνανεοῦται.

9. Ἐν δὲ τῷ ιε΄ κεφ. Πᾶσαν βίαν, ἥτινι οὐ δυνατὸν ἀντιστῆναι, ὁ δεσπότης ἐπιγινώσκει, οἷον τὴν ἀπὸ τῶν ποταμῶν ἢ γεράνων ἢ ψάρων ἢ κολοιῶν ἢ τῶν ὁμοίων, ἢ ἐπιδρομῆς

---

b Οὐτιλίως καὶ ἀκουιλίως· οὐτιλίως μὲν ἤτοι ὀρθῶς, ὅταν παρὰ γνώμην τοῦ ἁμαξαρίου ὁ δοῦλος κλασθῇ· ἀκουιλίως δὲ ἤτοι εἰς τὸ διπλοῦν, ὅταν ἑκουσίως τὸν δοῦλον κλάσῃ.

---

1 Leuncl. addit: ὃν ἐπὶ μισθῷ ἐφ' ἁμάξης ἦγεν.

πολεμίων, ἢ ἐὰν ἀπὸ ὀλίσθου πάντες ἀρθῶσιν οἱ καρποί[c]. *οὔτε γὰρ πρὸς τῇ ζημίᾳ τοῦ σπόρου καὶ τὸν μισθὸν δίδωσιν ὁ μισθωτός. ὁμοίως ὁ μισθώσας ἐπιγινώσκει τὴν ἀπὸ τῆς ἐρυσίβης εἰς τὴν ἐλαίαν ζημίαν, καὶ τὴν ἀπὸ τοῦ ἀήθους καύσωνος, καὶ τὸ παρὰ τῶν παριόντων στρατιωτῶν καὶ κατὰ βλακείαν ἀφαιρεθὲν, καὶ ἐὰν σεισμῷ ὁ ἀγρὸς ἀπόληται, ὥστε μηκέτι ὑπεῖναι.*

Εἰ δὲ καὶ ὁ γεωργηθεὶς ἀγρὸς ἄφνω καυθῇ, οὐ δίδοται τὸ μίσθωμα. τὰ δὲ ἀπὸ αἰτίας τοῦ πράγματος συμβαίνοντα πρὸς ζημίαν εἰσὶ τοῦ μισθωτοῦ· τυχὸν ἐὰν οἶνος ὀξίσῃ, ἢ ἄγρωστις ἢ ἄλλη βοτάνη βλάψῃ, ἢ ὀλίγοι γένωνται καρποί. ἐπιγινώσκει δὲ καὶ τὰ κατὰ συνήθειαν συμβαίνοντα· καὶ διὰ τὴν παλαιότητα τῶν ἀμπέλων οὐ συγχωρεῖται.

Ἐάν τις ἑνὶ ἐνιαυτῷ συγχωρήσῃ τῷ μισθωτῷ διὰ τὴν ἀφορίαν, καὶ εὐφορία ἐν τοῖς ἑξῆς ἐνιαυτοῖς γένηται, λαμβάνει τὸ συγχωρηθέν. τοῦτο γὰρ καὶ ἐπὶ ἐμφυτευτικοῦ ἐστι, κἂν ὁ δεσπότης χρήσηται ῥήμασι δωρεᾶς. οὐ γάρ ἐστι δωρεὰ, ἀλλὰ διάλυσις. εἰ δὲ ἐν τῷ ὑστέρῳ ἐνιαυτῷ γέγονεν ἡ ἀφορία καὶ ἡ συγχώρησις τῶν πρώτων εὐφορησάντων, ἐὰν οἶδεν ὁ μισθώσας, οὐ συλλογίζεται.

10. *Εἰ καὶ ἐν ἀγνοίᾳ μισθώσω πίθους κεκλασμένους καὶ ἐκχυθῇ ὁ οἶνος, εἰς τὸ διαφέρον ἐνέχομαι. εἰ δὲ τόπον εἰς βοσκὴν μισθώσω καὶ ἐκ τῶν ἐν αὐτῷ κακῶν βοτανῶν βλαβῶσιν ἢ φθαρῶσι τὰ θρέμματα, εἰς τὸ διαφέρον ἐνέχομαι. εἰ δὲ ἠγνόουν, οὐκ ἀπαιτῶ τὸν μισθόν.*

Ἐὰν δίαιταν εἰς ἐνιαυτὸν μισθωσάμενος ὅλον παράσχω τὸν μισθὸν, καὶ πέσῃ ἢ καυθῇ τῷ ἕκτῳ μηνὶ, ἀναλαμβάνω τὸ λοιπὸν, οὐ διὰ τοῦ ἐπὶ τοῖς μὴ χρεωστουμένοις λόγου, ἀλλὰ διὰ τῆς κατὰ τοῦ μισθώσαντος ἀγωγῆς. οὐ γὰρ κατὰ πλάνην, ἀλλ᾿ ἐν προχρείᾳ δέδωκα. ὡς εἴγε τὶς χρεωστῶν ι΄ νομίσματα κατὰ πλάνην παράσχῃ ιε΄, οὐκ ἔχει τὴν κατὰ τῆς μισθώσεως ἀγωγὴν, ἀλλὰ μόνον τὸν ἐπὶ τοῖς μὴ χρεωστουμένοις λόγον.

Ἐὰν νοτάριος ἐπὶ μισθῷ παραμείνῃ μοι καὶ πρὸ τοῦ χρόνου ἀποθάνω, χρεωστεῖται τὸν μισθὸν τοῦ ἐνιαυτοῦ, εἰ μὴ ἐν αὐτῷ τῷ ἐνιαυτῷ μισθὸν ἔλαβε παρ᾿ ἑτέρου.

---

c *Τί γάρ; ὅτι πνοῇ βιαίᾳ πρόσγειοι γεγόνασιν οἱ καρποί. Εἰ τυχὸν ἐπίκλυσις πολλῶν ὑδάτων τὸ γόνιμον τῆς γῆς λαβοῦσα τρόπον τινὰ μετέθηκε καὶ ἐντεῦθεν ἀπώλοντο οἱ καρποί.*

11. Ἐν δὲ τῷ ις' κεφ. Ὡς ἡ πρᾶσις καὶ ἡ μίσθωσις συνίσταται ὑπὸ αἵρεσιν, οὐ μὴν καὶ δωρεᾶς χάριν.

12. Φυσικῶς καὶ ἐν τῇ πράσει καὶ ἀγορασίᾳ καὶ τῇ μισθώσει περιγράφομεν ἀλλήλους ἐν τῷ ποσῷ· καὶ οὐκ ἐκ τούτου ἀνατρέπεται ἡ μίσθωσις, εἰ μὴ γέγονε δόλος.

13. Ἐν δὲ τῷ κα' κεφ. θέμ. β'· Ὁ μισθωτὸς πρὸ τῆς πενταετίας ἐκβαλλόμενος παραχρῆμα περὶ πάσης τῆς πενταετίας ἐνάγει, εἰ καὶ ἀνέχεται αὐτὸν ὁ δεσπότης εἰς τοὺς ἑξῆς ἐνιαυτοὺς νεμηθῆναι. εἰ γὰρ ὑπῆλθεν ἑτέραν μίσθωσιν, καὶ πρὸς τὰς δύο ἱκανὸς οὐκ ἐστὶν, αὐτὸς μὲν οὐ δίδωσι τὸ μίσθωμα, λαμβάνει δὲ τὸ διαφέρον. εἰ δὲ πρὸς ὀλίγας ἡμέρας ἐκωλύθη καὶ οὐδὲν ἐβλάβη, οὐδὲν κουφίζεται.

Κινεῖται ἡ κατὰ τοῦ μισθώσαντος ἀγωγὴ καὶ ἔνθα μὴ φυλάττει τὰ συμφωνηθέντα ὁ μισθώσας, ἢ κωλύει νεμηθῆναι τὸν μισθωτὸν, ἢ ἕτερος δυνάμενος ὑπὸ τοῦ μισθώσαντος κωλύεσθαι.

14. Ἐν δὲ τῷ κδ' κεφ. Ὁ μισθώσας ἀγρὸν ἢ οἶκον ἐὰν ἐκποιήσῃ αὐτὸν, ὀφείλει συμφωνεῖν μετὰ τοῦ ἀγοραστοῦ φυλάττειν τὴν μίσθωσιν· ἐπείτοιγε κωλυόμενοι κινοῦσι κατ' αὐτοῦ τὴν διὰ τὴν μίσθωσιν ἀγωγήν.

15. Ἐν δὲ τῷ κε' κεφ. Ἀμέλεια τοῦ μισθωτοῦ ἐστιν, ἐὰν δι' ἔχθραν αὐτοῦ ὁ γείτων ἐκκόψῃ τὰ δένδρα. αὐτὸς μέντοι ἐκκόπτων ὑπόκειται πρὸς τῇ ἐπὶ τῇ μισθώσει ἀγωγῇ καὶ [τῇ] περὶ τῶν δένδρων τῶν κλοπιμαίως ἐκτεμνομένων ἀγωγῇ, καὶ τῇ περὶ βίας ἢ λάθρα.

16. Ἐν δὲ τῷ κς' κεφ. Ὁ ἐπὶ χρήμασι μισθωσάμενος τὴν συμβαίνουσαν τοῖς καρποῖς ἄμετρον βλάβην ἐκ τῆς λεγομένης θεομηνίας οὐκ ἐπιγινώσκει, ἀλλὰ τὴν μετρίαν. ὁ δὲ τοὺς καρποὺς μεριζόμενος μισθωτὸς, ὡσανεὶ δικαίῳ κοινωνίας καὶ τὸ κέρδος καὶ τὴν ζημίαν συμμερίζεται τῷ δεσπότῃ.

17. Ἐν δὲ τῷ λγ' κεφ. Ἐὰν μισθώσωμαι βαλανεῖον ἐπὶ τῷ λοῦσαι ἐνιαυτὸν, καὶ καυθῇ ἢ πέσῃ τῷ τρίτῳ μηνὶ, τοῦ λειπομένου χρόνου τὸν μισθὸν ἀναλαμβάνω.

Ὁ μισθωσάμενος ἄλογον ἐπὶ τῷ βαστάσαι τὶ δῆλον καὶ βαρύτερον ἐπιθεὶς, βλαπτομένου αὐτοῦ ἐνάγεται τῇ περὶ τῆς μισθώσεως ἀγωγῇ, ὅστις δήποτε εἰ ἔβλαψε. καὶ τῷ ἀκουϊλίῳ δὲ χώρα κατὰ μόνου τοῦ ἀκολουθοῦντος τὸ ἄλογον.

18. Ἐν δὲ τῷ λη' κεφ. Ὁ μισθώσας τὰς ἰδίας ὑπηρεσίας καὶ μὴ ἐμποδίσας ἐργάσασθαι τοῦ χρόνου παντὸς λαμβάνει τὸν μισθόν.

Καὶ ὁ συνήγορος μὴ ἐμποδίσας τῇ διαγνώσει οὐκ ἀναδίδωσι τὸ μίσθωμα.

19. Ἐν δὲ τῷ μ′ κεφ. *Ὁ λαβὼν μισθὸν ἐπὶ φυλακῇ πράγματος ἐγκινδυνεύει περὶ τὴν αὐτοῦ φυλακὴν χωρὶς τῆς ἐξ ἑτέρου γινομένης εἰς αὐτὸ βλάβης· εἰ μὴ ἄρα ἠδύνατο φυλαχθῆναι. εἰ δὲ καὶ αὐτὸς ὁ φύλαξ βλάψει αὐτὸ, ἐνέχεται.*

20. Ἐν δὲ τῷ με′ κεφ. *Ὁ μισθωσάμενος κινητὸν ἢ αὐτοκίνητον καὶ μὴ ἀποδιδοὺς αὐτὸ, τῷ ἐνδίκῳ ὅρκῳ ὑπόκειται.*

21. Ἐν δὲ τῷ νβ′ κεφ. *Ἐὰν χωρὶς αἰτίας καταλίπῃ τὸν ἀγρὸν ὁ μισθωτὸς πρὸ συμπληρώσεως τοῦ χρόνου, δίδωσιν ὅλου τοῦ χρόνου τὸν μισθὸν, ἐφ᾽ ὅσον διαφέρει τῷ μισθώσαντι.*

22. Ἐν δὲ τῷ νθ′ κεφ. *Ἐὰν χωρὶς συμφώνου φυτεύσας ὁ μισθωτὸς πλείονα περιποιήσῃ πρόσοδον, λαμβάνει τὰς δαπάνας ἢ συλλογίζεται εἰς τὸ μίσθωμα.*

23. Ἐν δὲ τῷ ξϛ′ κεφ. *Οὐδεὶς κεκώλυται τὸν ἀγρὸν, ὃν ἐπὶ τῷ καρπώσασθαι ἐμισθώσατο, πάλιν καὶ αὐτὸς ἄλλῳ μεταμισθῶσαι.*

24. Ἐν δὲ τῷ ξζ′ κεφ. *Ὁ μισθωσάμενος ἐπί τινα χρόνον καὶ μετὰ τὴν τοῦ χρόνου συμπλήρωσιν ἐπιμείνας δοκεῖ καὶ ἄλλον ἐνιαυτὸν ἐπιμισθοῦσθαι. ὁ δὲ ἐγγυητὴς αὐτοῦ ἅμα τῷ συγχωρηθῆναι*[1] *τὸν χρόνον τῆς μισθώσεως, οὐκέτι κατέχεται, εἰ μὴ ἄνωθεν μισθώσηται*[2] *καὶ ὑποπέσῃ αὖθις ὁ ἐγγυητής.*

25. Ἐν δὲ τῷ ξη′ κεφ. *Ἡ διάταξις βούλεται τὴν ἀπὸ τοῦ οὐρανοῦ γενομένην ἀφορίαν μὴ τῷ μισθωτῷ κινδυνεύεσθαι, ἀλλὰ τῷ δεσπότῃ· εἰ μὴ τὸ ἐναντίον συμπεφώνηται ἢ τὸ ἔθος τοῦ κλίματος τοῦτο βούλεται. χρὴ μέντοι πρὸς τὰς γενομένας ἤδη εὐφορίας τὴν συμβᾶσαν ἀφορίαν ἀναλογισθῆναι, καὶ οὕτως ἐπικουφισθῆναι τὸν μισθωτὸν μετὰ τὰς εὐφορίας τὴν ἀπομένουσαν βλάβην.*

26. Ἐν δὲ τῷ ξθ′ κεφ. *Ἐάν τις πωλήσῃ ἀγρὸν ἔχων ἐν αὐτῷ μισθωτὸν, οὐκ ἀναγκάζεται ὁ ἀγοραστὴς συγχωρῆσαι τῷ μισθωτῷ μένειν ἐν τῷ ἀγρῷ, εἰ μὴ ἄρα ἐπὶ τοιούτῳ συμφώνῳ ἠγόρασεν.*

27. Ἐν δὲ τῷ οε′ κεφ. *Ἐφ᾽ ὅσον ὁ τῆς μισθώσεως παρεκτείνεται χρόνος, οὐ δύναται ὁ δεσπότης αὐξῆσαι τὸν κανόνα ἢ ἐκβάλλειν τὸν μισθωσάμενον. τοῦ δὲ χρόνου παραδραμόν-*

---

[1] Basil. *συμπληρωθῆναι.* [2] Basil. *ἐγγυήσηται.* Verba *καὶ ὑποπ. αὖθις ὁ ἐγγ.* nec Leuncl. nec Basil. agnoscunt.

τος δύναται τοῦτο ποιεῖν, εἰ μὴ ἄρα ἀνενεώθη ἡ μίσθωσις ἢ ῥητῶς ἢ σιωπηρῶς.

28. Ἐν δὲ τῷ πα' κεφ. Οὐ δύναταί τις διὰ τοῦτο μόνον ἐκβάλλειν τὸν μισθωσάμενον, ὅτι ἦλθεν ἕτερος πλείονα μισθὸν ἐπαγγελλόμενος παρασχεῖν.

29. Ἐν δὲ τῷ ϙ' κεφ. Στρατιώτης οὔτε μισθωτὸς οὔτε διοικητὴς μισθωτοῦ δύναται γενέσθαι, οὐδὲ ἐγγυητὴς ἢ μανδάτωρ, ἵνα μὴ καὶ αὐτὸς ἀπησχόληται περὶ ταῦτα, καὶ βαρύς ἐστι τοῖς γειτνιῶσιν ἐκ τοῦ τῆς ζώνης προνομίου.

30. Ἐν δὲ τῷ ϙβ' κεφ. Οἱ μισθωσάμενοι πρᾶγμα καὶ μετὰ τὴν συμπλήρωσιν τῆς μισθώσεως μὴ ἀποκαθιστῶντες πρὸ καταδίκης, ἀλλ' ἀναμένοντες ἄχρι αὐτοτελοῦς ἀποφάσεως, καὶ τὸ πρᾶγμα ἀποδιδότωσαν καὶ καταβαλλέτωσαν ἔξωθεν τὴν τοῦ πράγματος διατίμησιν.

31. Ἐν δὲ τῷ ϙγ' κεφ. Ἑκατέρῳ ἡ διάταξις ἐπιτρέπει, καὶ τῷ μισθώσαντι καὶ τῷ μισθωσαμένῳ, ἐξεῖναι ἐντὸς ἐνιαυτοῦ λύειν τὴν μίσθωσιν καὶ ἐν ἰταλίᾳ καὶ ἐν πάσαις ταῖς ἐπαρχίαις· καὶ μηδὲ διδόναι πρόστιμον ὡς ἐκ παραβασίας, εἰ μὴ ἐν ἀρχῇ τοῦ συναλλάγματος ἀπετάξαντο ἰδικῶς τῷ τοιούτῳ συμφώνῳ ἢ ἀγράφως ἀπεῖπον.

32. Ἀνάγν. καὶ βι. κε' τί. β' κεφ. λγ' καὶ κεφ. ξα', ἐν ᾧ φησι· Τὰ εἰσαχθέντα πράγματα ὑπὸ τοῦ μισθωσαμένου ὑπόκεινται. οὐ μόνον ἐν ἑκατέρᾳ ῥώμῃ, ἀλλὰ καὶ ἐν πάσαις ταῖς ἐπαρχίαις τὰ αὐτὰ κρατεῖν βουλόμεθα.

33. Ἀνάγν. καὶ βι. λ' τί. α' κεφ. μγ' καὶ βι. νε' τί. η' καὶ θ', ἐν οἷς φησι περὶ πατριμοναλίων μισθωτῶν.

34. Ἀνάγν. καὶ βι. νϛ' τί. α' κεφ. η' θέμ. γ' καὶ βι. νη' τί. ιη', ἐν ᾧ φησι περὶ ὑπερῴου κειμένου ἐν τῷ μισθωθέντι ἐδάφει.

XIV.

Περὶ μισθοῦ παιδευτῶν ἤτοι διδασκάλων, φιλοσόφων τε καὶ ἰατρῶν καὶ λοιπῶν.

1. Ἀνάγν. βι. νδ' τί. ιδ', οὗτινος ἐν τῷ α' κεφ. φησί· Τοῖς παιδευταῖς μόνον τῶν ἐλευθερίων σπουδασμάτων, οἷον ῥήτορσι καὶ γραμματικοῖς καὶ γεωμέτραις καὶ ἰατροῖς καὶ ἰατρίναις, κἂν ἑνὸς μέλους ἰατρείαν ἐπίστανται, οὐ μὴν τοῖς ἐπικαλοῦσιν ἢ ἐξορκίζουσιν (οὗτοι γὰρ οὐκ εἰσιν ἰατροί, κἂν ὠφεληθῆναί τινες ἐξ αὐτῶν διαβεβαιῶνται), περὶ μισθῶν ἐξτραορδιναρίως ὁ ἄρχων δικαιοδοτεῖ. οἱ δὲ φιλόσοφοι τοῖς παιδευταῖς οὐ συναριθμοῦνται. τὸ μὲν γὰρ πρᾶγμά ἐστιν ἱερόν,

καταφρονεῖν δὲ χρημάτων ὀφείλουσιν. οὔτε δὲ τοῖς ἐξηγηταῖς τῶν νόμων δικάζει περὶ μισθῶν, διὰ τὸ μὴ ὀφείλειν τὴν τοιαύτην σπουδὴν ἀποτιμᾶσθαι χρήμασιν.

XV.

Περὶ μνηστείας καὶ συστάσεως καὶ λύσεως αὐτῆς, καὶ περὶ τῶν ὀνόματι αὐτῆς γινομένων ἀῤῥαβώνων καὶ δωρεῶν.

1. Ἀνάγν. βι. κη΄ τί. α΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Μνηστεία ἐστὶ μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γάμων.

2. Ἐν δὲ τῷ β΄ κεφ. Καὶ ψιλῇ συναινέσει γίνεται μνηστεία, καὶ μεταξὺ ἀπόντων, ἐὰν μέντοι γινώσκωσιν οἱ ἀπόντες ἢ δεκτὸν ἡγήσωνται.

3. Ἐν δὲ τῷ δ΄ κεφ. Οἱ συναινοῦντες τῷ γάμῳ καὶ τῇ μνηστείᾳ συναινοῦσιν. ἀεὶ δὲ συναινεῖν ὁ πατὴρ δοκεῖ τῇ θυγατρὶ, εἰ μὴ ῥητῶς ἐναντιοῦται.

4. Ἐν δὲ τῷ ε΄ κεφ. Ἡ μανία ἐμποδίζει τὴν μνηστείαν. ἐπιγενομένη δὲ οὐ λύει τὴν συστᾶσαν.

5. Ἐν δὲ τῷ ζ΄ κεφ. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται πέμπειν καὶ μὴ συναινούσης[1] διαζύγιον καὶ λύειν τὴν μνηστείαν. εἰ δὲ μετὰ τὴν μνηστείαν αὐτεξουσία γέγονεν ἡ θυγάτηρ, οὐ δύναται λοιπὸν ὁ πατὴρ τὴν ἤδη γενομένην καταλύειν μνηστείαν. ὅθεν κἂν τινα λόγῳ προικὸς ἐπιδέδωκεν ἐν τῇ τοιαύτῃ μνηστείᾳ, οὐδὲ ταῦτα ἀναλαμβάνεσθαι δύναται αὐτεξουσίας ὡς εἴρηται γενομένης τῆς κόρης. μετὰ γὰρ τὴν αὐτεξουσιότητα καὶ τελειότητα ἡ κόρη κατ᾽ οἰκείαν πράττουσα γνώμην καὶ τῷ μνηστευσαμένῳ συναπτομένη πρὸς γάμον προῖκα τὰ ἐπιδοθέντα ποιεῖ, καὶ ἀποπαύει τὸν πατέρα ταῦτα ἀναλαμβάνεσθαι.

6. Ἐν δὲ τῷ θ΄ κεφ. Ὡς ἐπὶ τῶν γάμων, οὕτω καὶ ἐπὶ τῆς μνηστείας οἱ συναπτόμενοι συναινοῦσι. δεῖ οὖν καὶ τὴν ὑπεξουσίαν συναινεῖν.

7. Ἐν δὲ τῷ ιβ΄ κεφ. Ὁ τὸ γινόμενον νοῶν καλῶς μνηστεύεται, τουτέστιν ὁ μὴ ὢν ἥττων τῶν ἑπτὰ ἐτῶν.

8. Ἐν δὲ τῷ ιδ΄ κεφ. Μνηστεύεταί τις παρὼν δι᾽ ἑαυτοῦ καὶ διὰ μέσου καὶ δι᾽ ἐπιστολῆς[2].

---

[1] Verba καὶ μὴ συν. tam apud Leuncl. quam in Basil. desunt. [2] Hoc caput Leuncl. non habet.

9. *Ἐν δὲ τῷ ιε΄ κεφ.* Ἡ ἄλλῳ μνηστευθεῖσα ἀπαγορεῦσαι τὴν μνηστείαν καὶ ἄλλῳ γαμηθῆναι οὐ κεκώλυται.

10. *Ἐν δὲ τῷ ις΄ κεφ.* Ὁ μνηστευσάμενος κόρην καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγει, εἴσω διετίας γαμεῖν· εἰ δὲ ἐν ἀπουσίᾳ, εἴσω τριετίας. εἰ δὲ ὑπερθήσεται, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι.

11. *Ἐν δὲ τῷ ιζ΄ κεφ.* Ἐξ εὐλόγου δὲ αἰτίας καὶ περαιτέρω τετραετίας ὑπερτίθεται ἡ μνηστεία· τυχὸν διὰ νόσον τοῦ μνηστῆρος ἢ τῆς μνηστῆς ἢ θάνατον τῶν γονέων ἢ [διὰ] κεφαλικὰ ἐγκλήματα ἢ μακρὰς ἀποδημίας ἐξ ἀνάγκης γινομένας.

12. *Ἐν δὲ τῷ κ΄ κεφ.* Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας, ἧς ἄρχουσι, μνηστεύσασθαι. εἰ δὲ τοῦτο ποιήσουσιν, ἔξεστι τῇ κόρῃ καὶ τοῖς γονεῦσιν αὐτῆς ἢ ἐπιτρόποις ἢ κουράτορσι παραιτεῖσθαι τὸν γάμον καὶ κερδαίνειν τοὺς ἀῤῥαβῶνας[a]· τοῦ αὐτοῦ κρατοῦντος καὶ ἐπὶ υἱῶν καὶ ἐκγόνων καὶ συγγενῶν καὶ δομεστίκων καὶ συγκαθέδρων καὶ ἐπὶ πάντων τῶν οἰκείων αὐτοῦ, ἐὰν κατὰ σπουδὴν τοῦ ἄρχοντος ἐμνηστεύσαντο. εἰ μέντοι καὶ μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναφθῆναι αὐτῷ, ἔῤῥωται ὁ γάμος.

13. *Ἀνάγν. καὶ τί. β΄, ἐν ᾧ διαλαμβάνεται περὶ ἀῤῥαβώνων μνηστείας. οὗτινος ἐν τῷ α΄ κεφ. φησίν·* Ἀῤῥαβώνων δὲ ὀνόματι μνηστείας δοθέντων ἐὰν ἐν τῷ μεταξὺ ὁ μνηστὴρ ἢ ἡ μνηστὴ τελευτήσῃ, τὰ δοθέντα κελεύομεν ἀποκαταστῆναι, εἰ μὴ ἄρα αἰτίαν εἰς τὸ μὴ ἐπιτελεσθῆναι τοὺς γάμους τὸ τελευτῆσαν πρόσωπον ἤδη παρέσχεν.

14. Ἐὰν γυνὴ αὐτεξουσία, τελείαν ἄγουσα τὴν ἡλικίαν, ἀῤῥαβῶνας δεξαμένη παραιτήσηται τὸν γάμον, διπλοῦς ἀναδιδότω τοὺς ἀῤῥαβῶνας. εἰ δὲ καὶ ἐλάττων οὖσα συγγνώμην ἡλικίας ᾔτησε καὶ ἀῤῥαβῶνας ἔλαβε, πάλιν τὸ διπλάσιον ἀναδιδότω. ἐὰν δὲ καὶ ἀφῆλίξ ἐστι, καὶ αὕτη συγγνώμην ἡλικίας οὐκ ᾔτησεν, αὐτὸ τὸ ἁπλοῦν, ὅπερ ἔλαβεν, ἀποκαταστήσει. εἰ δὲ καὶ πατὴρ κόρης ἢ μήτηρ ἀῤῥαβῶνας ἔλαβεν ὑπὲρ θυγατρὸς τελείας ὄντες ἡλικίας, ἢ πάππος ὑπὲρ ἐκγόνης, καὶ αὐτοὶ εἰς

---

[a] *Ἐνταῦθα μὲν ζημιοῦσθαι καὶ ἐκπίπτειν τῶν ἀῤῥαβώνων λέγει ὁ νόμος τὸν ἄρχοντα, ἐν δὲ τῷ ιθ΄ κεφ. τοῦ δ΄ τί. τοῦ κη΄ βι. τὸν ὀφφίκιον ἐν ἐπαρχίᾳ χειρίζοντα ἀπολαμβάνειν τοὺς ἀῤῥαβῶνας, ἐὰν ἡ μνηστευθεῖσα γυνὴ μετὰ τὴν ἀπόθεσιν τοῦ ὀφφικίου οὐ θέλει γαμηθῆναι αὐτῷ· ὅτι τὸν μὲν χειρίζοντα τὸ ὀφφίκιον μὴ πάνυ δυνάμενον ἐκφοβεῖν θεματίζει, τὸν δὲ ἄρχοντα καθ᾽ ὑπερβολὴν φοβερὸν εἶναι τίθεται.*

τὸ διπλάσιον κατεχέσθωσαν, εἴπερ δυνάμενον προβῆναι τὸν γάμον παραιτοῦνται ποιῆσαι. εἰ δὲ καὶ ἀνυπόστατος μέλλει ὁ γάμος εἶναι, αὐτοὶ οἱ ἀῤῥαβῶνες ἀναδιδόσθωσαν ἁπλοῖ. εἰ δὲ καὶ μὴ ἦν ἀνυπόστατος ὁ γάμος, δι᾽ εὔλογον δὲ αἰτίαν παραιτοῦνται, εἰ μὲν ᾔδεισαν καὶ πρὸ τῆς μνηστείας τὴν αἰτίαν, ἑαυτοὺς ἐγκαλείτωσαν διὰ τί τὸν τοιοῦτον ἐμνηστεύσαντο· εἰ δὲ ἠγνόουν ἢ πολλάκις ἡ αἰτία μετὰ τὴν μνηστείαν συνέβη, τὸ ἁπλοῦν ἀποδιδόσθω. τὰ δὲ αὐτὰ καὶ ἐπὶ τοῦ μνηστῆρος λέγομεν τοῦ τὴν μνηστείαν παραιτησαμένου.

15. Ἐν δὲ τῷ γ΄ κεφ. Μνηστείας μεταξύ τινων κατὰ νόμον γινομένης, εἴτε ὁ μνηστὴρ εἰς μοναστήριον εἰσέλθοι, ἀναλαμβανέτω τὰ ὑπὲρ τῆς μνηστείας ἀῤῥαβώνων ὀνόματι δεδομένα· εἴτε ἡ μνηστὴ τὸν μοναχικὸν βίον ἐπιλέξεται, ἐκεῖνα μόνον ἀποδιδότω, ἅτινα ὁμοίως ἀῤῥαβώνων ὀνόματι ἔλαβε· τῆς ποινῆς ἑκατέρῳ μέρει συγχωρουμένης[b].

16. Ἀνάγν. καὶ τί. γ΄, ἐν ᾧ διαλαμβάνεται περὶ μνηστείας δωρεῶν, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα βούληται τὸ ἐν τῇ συνηθείᾳ γινόμενον προῖκα ποιῆσαι τῇ ἰδίᾳ μνηστῇ μελλούσῃ γαμεῖσθαι αὐτῷ, εἰ μὲν δωρήσηται αὐτῇ πράγματα ἰδικῶς καὶ μετὰ ταῦτα δέξηται αὐτὰ παρ᾽ αὐτῆς εἰς προῖκα, καὶ ἡ δωρεὰ τελεία ἐστὶν ὡς πρὸ τοῦ γάμου γενομένη, καὶ ἡ προὶξ συνίσταται ὡς ἐπιδόσεως προελθούσης[1]. ἐὰν δὲ γράψῃ μόνον ὅτι ὑπεδέξατο προῖκα μηδὲν ὑποδεξάμενος, οὐδεμία ἐστὶν ἀπαίτησις τῶν μὴ ἐπιδοθέντων αὐτῷ πραγμάτων. εἰ γὰρ γαμετῇ τις ἐχαρίσατο, κἂν παρέδωκεν αὐτῇ τὰ δοθέντα, εἰ μὴ ἐπιμείνῃ τῇ αὐτῇ βουλῇ μέχρι τέλους ζωῆς αὐτοῦ, ἐκ μεταμελείας ἀνατρέπεται ἡ δωρεά[c].

17. Ἐν δὲ τῷ β΄ κεφ. Ὅσα ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσι τῆς μνηστῆς ἐπὶ τῷ γενέσθαι τοὺς γάμους, ταῦτα μὴ γενομένων τῶν γάμων ἀναδίδοται αὐτῷ.

18. Ἐν δὲ τῷ ε΄ κεφ. Ἐάν τις γαμετὴν ἔχων ἀπατήσῃ γυναῖκα ἑτέραν ὡς δῆθεν οὐκ ἔχων γαμετήν, καὶ μνηστεύσηται

---

[b] Περὶ τῶν λυόντων τὴν μνηστείαν ἐπὶ τῷ μονάσαι ὁμοίως φησὶ καὶ ἐν τῷ θ΄ κεφ. τοῦ α΄ τίτλου τοῦ δ΄ βι. ὅπερ εὑρήσεις ἐν τῷ περὶ προικὸς δωρεᾶς[2].

[c] Εἰ γὰρ καὶ τὰ παρ᾽ αὐτοῦ σωματικῶς παραδοθέντα τῇ γυναικὶ μετὰ τὸν γάμον δύναται ὁ ἀνὴρ ἐκ μεταμελείας ἀπολαμβάνειν, πολλῷ μᾶλλον οὐκ ἀπαιτηθήσεται ἅπερ οὐκ ἔλαβε.

---

[1] Corrector in Lips. ad marginem addit καὶ γενομένης. [2] Cf. infra c. 27.

αὐτὴν καί τινα λόγῳ μνήστρων ἐπαγγείληται αὐτῇ διδόναι καὶ δῷ, μὴ παρακολουθούντων τῶν γάμων οὐ δύναται ταῦτα ἐπαναλαβεῖν. εἰ μὲν γὰρ μνηστεία συνέστη, ὁ δὲ γάμος οὐκ ἐγένετο, χώραν ἐλάμβανεν ἡ τῆς ἀπαιτήσεως ἀγωγή· νῦν δὲ ἡ τοῦ πράγματος αἰσχρότης οὐ συνεχώρησε τὴν μνηστείαν συστῆναι, καὶ ὡς αἰσχρᾶς οὔσης τῆς τοῦ δεδωκότος αἰτίας· δέδωκε γὰρ ἐπὶ παρανόμῳ γάμῳ· ἐπὶ παρανόμων δὲ γάμων οὐ τρακταΐζεται ἀπαίτησις.

19. Ἐν δὲ τῷ ϛ' κεφ. Ἐὰν γένηται δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῶν γάμων, εἰ μὲν ἐν τῷ οἴκῳ τῷ ἰδίῳ ἦν ἡ γυνὴ, δοκεῖ πρὸς μνηστὴν ἡ δωρεὰ γεγονέναι· εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς, πρὸς γαμετὴν, καὶ διὰ τοῦτο οὐκ ἔῤῥωται.

20. Ἐν δὲ τῷ θ' κεφ. Ἡ γενομένη παρὰ τοῦ πενθεροῦ πρὸς τὴν μνηστὴν τοῦ παιδὸς δωρεὰ οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται.

21. Ἐν δὲ τῷ ι' κεφ. Ἐὰν ὁ μνηστὴρ δωρήσηταί τινα τῇ οἰκείᾳ[1] μνηστῇ, καὶ ὁ πενθερὸς ἀντιδωρήσηται αὐτῷ τινα, μὴ γενομένων δὲ τῶν γάμων ὁ μνηστὴρ ἀφέληται ἅπερ ἐδωρήσατο, οὐ καλῶς ὁ πενθερὸς τὴν ἰδίαν δωρεὰν ἀνατρέπει, ἀλλὰ μᾶλλον ὀφείλει τὰ ἁρπαγέντα παρὰ τοῦ μνηστῆρος ἀναζητεῖν.

22. Ἐν δὲ τῷ ιβ' κεφ. Ἡ πενθερὰ δύναται δωρεῖσθαι τῷ ἰδίῳ γαμβρῷ ἢ τῷ μνηστῆρι τῆς ἰδίας θυγατρός· κἂν διαλυθῇ ὁ γάμος, οὐκ ἀνατρέπεται ἡ δωρεά[d].

23. Ἐν δὲ τῷ ιγ' κεφ. Οἱ προγενέστεροι δανεισταὶ τοῦ ἀνδρὸς, εἰ μὴ ὑποθήκας ἔχουσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα παρ' αὐτοῦ πράγματα ἀποσπᾶν[e].

24. Ἐν δὲ τῷ ιε' κεφ. Εἴτε αὐτεξούσιοι ὄντες ἀφ' ἑαυτῶν δωρήσονται, εἴτε ὑπεξούσιοι ὄντες συναινέσει τῶν ἐχόντων αὐτοὺς ὑπεξουσίους ὁ ἀνὴρ τῇ γυναικὶ ἢ ἡ γυνὴ τῷ ἀνδρὶ, εἰ μὲν ὁ λαβὼν τὴν δωρεὰν ἐνεπόδισε γενέσθαι τὸν γάμον, πᾶσι τρόποις ἀναδίδοται τῷ μνηστῆρι· ἐὰν δὲ ὁ δωρησάμενος ἐνεπόδισε, πᾶσι τρόποις ἡ δωρεὰ μένει παρὰ τῷ ταύτην δεξα-

---

d Ὅτι ἡ τῆς πενθερᾶς δωρεὰ καὶ διαλυομένων τῶν γάμων οὐκ ἀνατρέπεται.

e Εἰ γὰρ εἶχον ὑποθήκας κατὰ τῶν πραγμάτων, ἀμάχως ἠδύναντο ταῦτα ἀποσπᾶν. τὸ γὰρ προνόμιον αἱ γυναῖκες τὸ κατὰ τῶν προγενεστέρων δανειστῶν τότε ἔχουσιν, ἡνίκα ἂν προῖκα ἀπαιτῶσιν.

---

1 Leuncl. ἰδίᾳ.

μένῳ προσώπῳ[f]. εἰ δὲ μὴ δέδωκεν ὁ μνηστὴρ, ἐρωτηθεὶς δὲ ἐπηγγείλατο, ἀπαιτείσθω αὐτήν.

25. Ἐν δὲ τῷ ις' κεφ. Ἐὰν ἐφίλησεν ὁ μνηστὴρ τὴν μνηστὴν ἐν τῷ τῆς μνηστείας καιρῷ, καὶ μετὰ τοῦτο ἕνα τῶν ἀμφοτέρων τελευτῆσαι συνέβη, τὸ ἥμισυ τῆς δωρεᾶς ἀνατρέπεται καὶ τὸ ἥμισυ ἔχει ὁ ζῶν. εἴτε γὰρ ὁ μνηστὴρ ἀπέθανε, κατέχει τὸ ἥμισυ τῆς δωρεᾶς ἡ μνηστευθεῖσα, καὶ τὸ ἥμισυ δίδωσι τοῖς ἐκείνου κληρονόμοις· εἴτε αὐτὴ ἡ μνηστὴ ἀποθάνῃ, τὸ ἥμισυ ἀναδίδοται τῷ μνηστῆρι, τὸ δὲ ἕτερον ἥμισυ μένει παρὰ τοῖς κληρονόμοις τῆς γυναικός. φιλήματος δὲ μὴ γενομένου εἴτε ὁ μνηστὴρ τελευτήσει εἴτε ἡ μνηστὴ, πᾶσι τρόποις ἀναδίδοται ἡ δωρεὰ, ἢ τῆς μνηστῆς τελευτησάσης τῷ μνηστῆρι, ἢ τοῦ μνηστῆρος τελευτήσαντος τοῖς κληρονόμοις αὐτοῦ. ταῦτα μὲν περὶ τῶν ἐκ τοῦ μνηστῆρος τῇ μνηστῇ δωρηθέντων. ἐὰν δὲ ἡ μνηστὴ ἐδωρήσατο τῷ μνηστῆρι, καὶ συνέβη ἕνα τούτων τελευτῆσαι, ἀναδίδοται πάντως ἡ δωρεά· τουτέστι μὴ ζητούντων ἡμῶν, εἴτε γέγονεν εἴτε μὴ γέγονε φίλημα.

26. Ἀνάγν. καὶ τί. ζ' κεφ. ιε', ἐν ᾧ φησι· Καὶ ἐπὶ τῇ διαλύσει τῆς μνηστείας δεῖ στέλλεσθαι διαζύγιον, καὶ οὕτω συντίθεται.

27. Ἀνάγν. καὶ βι. δ' τί. α' κεφ. θ', ἐν ᾧ φησι· Μνηστείας δὲ μεταξύ τινων γινομένης κατὰ νόμον εἴτε ὁ μνηστὴρ εἰς μοναστήριον εἰσέλθοι, ἀναλαμβανέτω τὰ ὑπὲρ τῆς μνηστείας ἀῤῥαβώνων ὀνόματι δεδομένα, εἴτε ἡ μνηστὴ τὸν μοναχικὸν βίον ἐπιλέξεται, ἐκεῖνα μόνον ἀποδιδότω, ἅτινα ὁμοίως ἀῤῥαβώνων ὀνόματι ἔλαβε, τῆς ποινῆς ἑκατέρῳ μέρει συγχωρουμένης.

28. Ἀνάγν. καὶ βι. ιε' τί. β' κεφ. ιβ', ἐν ᾧ φησιν· Ἐὰν μνηστὴρ μνηστῇ δωρήσηται δοῦλον καὶ πρὸ τοῦ κυριευθῆναι διὰ χρήσεως ὑποδέξηται αὐτὸν ἐν προικὶ, καὶ λυθῇ ὁ γάμος, ἀποκαθίστησιν αὐτόν.

---

f Τὸ πάλαι εἴ τις ἐδωρήσατο τῇ ἰδίᾳ μνηστῇ μὴ συμφωνήσας τὴν δωρεὰν ἐπαναλαβεῖν μὴ γενομένων τῶν γάμων, πᾶσι τρόποις ἀπέμεινειν ἡ δωρεὰ παρὰ τῷ ταύτην λαμβάνοντι προσώπῳ, εἰ καὶ παρ' αἰτίαν αὐτοῦ τοῦ προσώπου συνέβη μὴ γενέσθαι τὸν γάμον. εἰ δὲ ἐν τῷ διδόναι τὴν δωρεὰν εἶπε, δίδωμι ἐφ' ᾧ γενέσθαι ἀγχιστείαν, εἰ μὲν ὁ δεξάμενος ἐνεπόδισε τὸν γάμον ἢ ἐτελεύτησεν, ἀφηρεῖτο τὰ δοθέντα· εἰ δὲ παρ' αἰτίαν τοῦ δεδωκότος ὁ γάμος ἐνεποδίσθη, ἔμενεν ἡ δωρεὰ παρὰ τῷ ταύτην δεξαμένῳ προσώπῳ. σήμερον δὲ καινίζει ἡ διάταξις τὸ ἁπλῆν οὖσαν δωρεὰν ἀνατρέπεσθαι, ἐν ᾧ παρ' αἰτίαν τοῦ ταύτην δεξαμένου ὁ γάμος οὐκ ἐγένετο.

29. *Ἀνάγν. καὶ βι. λη' τί. θ' κεφ. μβ', ἐν ᾧ φησιν·* Ἐὰν ὁ μνηστὴρ χωρὶς ἀποφάσεως ἐδωρήσατο ἀγροὺς τῇ μνηστῇ, δεσπότης μένει καὶ δύναται αὐτοὺς διεκδικῆσαι.

[30. *Ἀνάγν. καὶ βι. με' τί. δ' κεφ. η', ἐν ᾧ φησι περὶ τῶν ἀπὸ μνηστῆρος κερδῶν, ὅτι οὐ προσπορίζονται, ὥσπερ οὐδὲ τὰ ἀπὸ γαμικῆς αἰτίας. εἴρηται δὲ ἐν τῷ περὶ κληρονομίας.*]

XVI.

Περὶ μοιχείας καὶ πάσης τῆς κατ' αὐτὴν ἐνοχῆς καὶ ἀγωγῆς.

1. *Ἀνάγν. βι. ξ' τί. λζ', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Ὁ γήμας τὴν ἐπὶ μοιχείᾳ καταδικασθεῖσαν ὑπόκειται τῷ περὶ μοιχείας ἐγκλήματι, οὐ μὴν ὁ παλλακευόμενος αὐτήν.

2. *Ἐν δὲ τῷ δ' κεφ.* Ὁ λαβὼν ὑπὲρ μοιχείας τῆς αὐτοῦ γυναικὸς ἐνέχεται τῷ νόμῳ. καὶ ὁ τὴν ἐπὶ μοιχείᾳ φωραθεῖσαν μὴ ἀποπεμψάμενος, οὐ μὴν ὁ ἀνασχόμενος ἁμαρτάνειν αὐτὴν, ἢ μὴ ἀγανακτήσας[1] ἐπὶ τῷ μύσει.

Οὐ καλῶς ὁ μοιχὸς ἀντιτίθησι τῷ ἀνδρὶ, ὡς αὐτοῦ προαγωγοῦ γενομένου τὴν μοιχείαν ἥμαρτεν· οὔτε μὴν μετὰ τὸ κατηγορηθῆναι δύναται τοῦ ἀνδρὸς ὡς προαγωγοῦ ἀντικατηγορεῖν. ἡ δὲ γυνὴ κατηγορουμένη καὶ ἀντιτιθεῖσα τῷ ἀνδρὶ τὴν τῆς προαγωγίας παραγραφὴν ἑαυτὴν μὲν οὐκ ἐλευθεροῖ, δύναται δὲ ὁ δικαστὴς ὁρίζειν κατ' αὐτοῦ ὡς προαγωγοῦ καὶ χωρὶς κατηγόρου. ἐξωτικὸς δὲ περὶ μοιχείας κατηγορούμενος, καὶ ἀντιτιθεὶς τῷ ἀνδρὶ τὸ προαγωγὸν αὐτὸν γενέσθαι, ἑαυτὸν οὐκ ἐλαφρύνει, οὔτε τὸν ἄνδρα ποινῇ ὑποβάλλει.

3. *Ἐν δὲ τῷ η' κεφ.* Λέγεται μὲν μοιχεία καὶ ἡ πρὸς παρθένον ἢ χήραν φθορά. καὶ κυρίως μὲν μοιχεία ἐστὶ ἡ τῆς ὑπάνδρου, φθορὰ δὲ τῆς παρθένου καὶ χήρας.

4. *Ἐν δὲ τῷ ι' κεφ.* Ὁ διδοὺς ἐν εἰδήσει τὸν οἶκον αὐτοῦ ἢ τὴν οἴκησιν ἐπὶ τὸ γενέσθαι ἐκεῖ μοιχείαν ἢ φθορὰν πρὸς ἄνδρα ἢ γυναῖκα, καὶ ὁ λαμβάνων τὶ ὑπὲρ μοιχείας τῆς αὐτοῦ γυναικὸς, οἱασδήποτε αἱρέσεώς ἐστιν, ὡς μοιχὸς τιμωρεῖται[a].

5. *Ἐν δὲ τῷ κγ' κεφ.* Ἐφεῖται τῷ πατρὶ, οὐ μὴν τῷ ἀνδρὶ, πάντα μοιχὸν φονεύειν, πολλῷ δὲ μᾶλλον καὶ ἐνυβρίζειν. φονεύει δὲ ἐν τῷ οἴκ ἐν ᾧ μένει, κἂν μὴ συνοικῇ αὐτῷ ἡ θυ-

---

[a] *Περὶ προαγωγῶν ὁμοίως φησὶ καὶ ἐν τῷ ια' καὶ ἐν τῷ ιβ' κεφ.*

---

[1] Lips. *ὁ μὴ ἀνασχ.... ἢ μὴ ἀγνοήσας.*

γάτηρ· καὶ ἐν τῷ οἴκῳ τοῦ γαμβροῦ, ἐὰν ἐν αὐτῷ τῷ ἔργῳ τῆς μοιχείας αὐτὴν καταλάβῃ. ἀρκεῖ δὲ αὐτὴν ὑπεξουσίαν εἶναι, ὅτε ἐφονεύετο, κἂν ἐν τῷ καιρῷ τοῦ γαμεῖν μὴ ἦν αὐτοῦ ὑπεξουσία. ἀλλαχοῦ δὲ φονεύειν, εἰ μὴ ἔνθα μένει καὶ ἐν τῷ τοῦ γαμβροῦ, οὐ δύναται, οὔτε ἐν ἰδίῳ οἴκῳ ἐν ᾧ μὴ μένει. ἅμα δὲ τοὺς δύο φονεύειν ὀφείλει, οὐ μὴν τὸν μὲν νῦν, τὴν δὲ μεθ' ἡμέρας. εἰ δὲ ἐν ὅσῳ φονεύσει[1] τὸν μοιχὸν, ἔφυγεν ἡ θυγάτηρ αὐτοῦ μὴ προσποιησαμένου, καὶ ἐπιδιώξας ἐκράτησε μετά τινας ὥρας, παραχρῆμα δοκεῖ φονεύειν.

6. Τῷ δὲ ἀνδρὶ ἔξεστιν ἐν μόνῳ τῷ ἰδίῳ οἴκῳ φονεύειν τὸν μοιχὸν, ἀλλ' οὐ πάντα· ἀλλὰ τὸν προαγωγὸν, καὶ τὸν προεπιδειξάμενον πρώην παιγνικὴν τέχνην, ἢ τὸν ἐν σκηνῇ προελθόντα ἐπὶ τῷ ᾆσαι ἢ ὀρχήσασθαι, καὶ τὸν ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθέντα καὶ μὴ ἀποκαταστάντα, καὶ τὸν ἀπελεύθερον αὐτοῦ ἢ τῆς γυναικὸς ἢ γονέων ἢ παίδων αὐτῶν, εἰ καὶ μέρος ἐπ' αὐτοῖς ἔχουσιν ἕτεροι, καὶ δοῦλον.

Κελεύει δὲ ὁ νόμος τὸν φονεύοντά τινα τῶν εἰρημένων λύειν τὸν πρὸς τὴν γαμετὴν γάμον.

Ἀδιάφορον δέ ἐστιν, εἴτε αὐτεξούσιος εἴτε ὑπεξούσιός ἐστιν ὁ ἀνήρ[2].

Εἴτε προαγωγός ἐστιν ὁ πατὴρ καὶ ὁ ἀνὴρ εἴτε ἄλλως ἄτιμοι, εἴτε καὶ ἡ γυνὴ ἄτιμος, ἔχουσι τὸ δίκαιον τοῦ φονεύειν, κἂν ἄρχων ἐστὶν ὁ μοιχὸς, ἐπὶ μέντοι τῶν γάμων ἐκείνων, ἐφ' ὧν δικαίῳ ἀνδρὸς δύναται κινεῖν[3].

7. Ἐν δὲ τῷ κδ' κεφ. Ἐὰν ὁ ἀνὴρ συσχῇ μοιχὸν, ὃν οὐκ ἐφεῖται φονεύειν ἢ οὐ θέλει, δύναται παρακρατεῖν αὐτὸν ἐπὶ κ' ὥρας συναπτὰς, καὶ μάρτυρας εἰσάγειν τοὺς ὀφείλοντας ἐν τῇ κατηγορίᾳ μαρτυρῆσαι, ὡς ἐν τῇ μοιχείᾳ συνεσχέθη. εἰ δὲ ἀπολύσει αὐτὸν, οὐκέτι δύναται κρατεῖν αὐτόν. εἰ δὲ ἀποφύγῃ, δύναται ἐπανάγεσθαι καὶ φυλάττεσθαι τὰς κ' ὥρας. τὰ αὐτὰ καὶ ὁ πατὴρ τῆς γυναικὸς δύναται ποιεῖν.

8. Συνεστῶτος τοῦ γάμου κατηγορεῖν ἕτερος οὐ δύναται τῆς γυναικὸς, εἰ μὴ πρότερον τοῦ ἀνδρὸς ὡς προαγωγοῦ κατηγορήσει. τὴν μέντοι παρὰ τοῦ ἀνδρὸς ἐγκαταλειφθεῖσαν κατηγορίαν ἀνανεοῦν ἕτερος δύναται.

9. Ἐν δὲ τῷ κη' κεφ. Ὁ τὴν γυναῖκα καταλαβὼν ἐπ' αὐτοφόρῳ μοιχευομένην, καὶ τὴν μὲν παρακρατῶν, τὸν δὲ μοιχὸν

---

[1] Lips. φονεύειν. [2] Sic Basil. — Lips. et Leuncl. πατήρ. [3] Lips. in margine adscriptum habet locum Peirae XXV, 23.

ἀπολύων, ὡς προαγωγὸς τιμωρεῖται. καὶ ὁ τὴν ἐπὶ μοιχείᾳ ἢ ἐπὶ φθορᾷ παρθένον ἢ χήραν καταδικασθεῖσαν λαμβάνων γαμετὴν, τούτῳ τῷ νόμῳ ὑποπίπτει· οὐ μὴν ὁ τὴν ἐξ ἑτέρου κεφαλαίου τῷ περὶ μοιχείας κατακαδιζομένην.

Καὶ ὁ κέρδος διὰ μοιχείαν λαβὼν, εἴτε ἀνήρ ἐστιν εἴτε ἄλλος. ὁ δὲ κατὰ χάριν ἀπολύων οὐχ ὑπόκειται τῷ νόμῳ.

Πόρον δὲ λαμβάνει ἀπὸ μοιχείας τῆς αὐτοῦ γυναικὸς ὁ λαμβάνων ἐπὶ τὸ πορνεῦσαι αὐτήν. εἰ δὲ πλημμελεῖν αὐτὴν ἀνέχεται οὐ διὰ πόρον, ἀλλὰ διὰ ῥαθυμίαν ἢ ἀμέλειαν ἢ ἀνεξικακίαν ἢ ὠμότητα, οὐχ ὑποπίπτει τῷ νόμῳ, ἀλλὰ τυπτόμενος ἐξορίζεται.

10. Ἐν δὲ τῷ λ' κεφ. Ἐὰν ὡς κατηγορουμένης τῆς γυναικὸς μὴ δυνηθῇ καὶ τοῦ μοιχοῦ κατὰ τὸν αὐτὸν χρόνον κατηγορῆσαι, καὶ παρέλθῃ ἡ πενταετία[b], ἢ ἐὰν εἴσω τῆς πενταετίας αἰτιάσηταί τις καὶ μὴ ἐπεξέλθῃ ἢ συμπαίξῃ καὶ παρέλθῃ ἡ πενταετία, καὶ βούληται κατηγορῆσαι ἕτερος, ὑπεξαιρεῖται τῆς πενταετίας ὁ εἰς τὴν πρώτην κατηγορίαν δαπανηθεὶς χρόνος.

11. Ἀδιάφορον, εἴτε πρῶτον τὸν μοιχὸν φονεῦσαι[1], εἴτε τὴν θυγατέρα. εἰ δὲ μόνον τὸν ἕνα φονεύσει, ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ, εἰ μὴ τυχηρῶς συνέβη βαρέως τὸν ἕνα τραυματισθέντα διαφυγεῖν.

12. Ἐν δὲ τῷ μδ' κεφ. Ἐάν τις καταλάβῃ ἐν νυκτὶ μοιχὸν, ὃν ἔξεστι φονεύειν ἀκινδύνως, καὶ τοῦτον φονεύσῃ, οὐ τιμωρεῖται. εἰ δὲ καὶ παῖδες αὐτοῦ πεισθέντες φονεύσουσιν, ἀνεύθυνοί εἰσιν. εἰ δὲ μὴ κελεύοντος τοῦ νόμου τοῦτο ἐποίησε, συγγινώσκομεν αὐτῷ, ὅτι καὶ ἐν νυκτὶ ἥμαρτε, καὶ ὡς ἀπὸ πεπραγμένου ὀδυνηθεὶς μόνον ἐξορίζεται.

13. Ἐν δὲ τῷ με' κεφ. Ὁ μοιχὸς μετὰ πενταετίαν, εἴπερ[2] ἁμαρτηθεῖσα ἡ μοιχεία λέγεται (ἥτις συναπτῶς ἀριθμεῖται) κατηγορεῖσθαι οὐ δύναται.

14. Ἐν δὲ τῷ μθ' κεφ. Περὶ τοῦ ἐγκλήματος τῆς μοιχείας συμφωνεῖν οὐκ ἔξεστιν· καὶ ἴσον ἔγκλημα τοῦ κατηγόρου τοῦ τε προδεδωκότος καὶ τοῦ φεύγοντος τὴν τῆς ἀληθείας ζήτησιν οὐκ ἐστίν. ὅστις δὲ ὑπὲρ τῆς εὑρεθείσης ἔλαβε τίμημα, τῇ τιμωρίᾳ τοῦ νόμου τοῦ περὶ μοιχείας κατέχεται.

---

b Σημείωσαι, ὅτι ἡ περὶ μοιχείας ἀγωγὴ ἐν τῷ ε' ἐνιαυτῷ κινεῖται. ἐν δὲ τῷ κθ' κεφ. φησὶν, ὅτι οὐ περικλείεται τῷ χρόνῳ τούτῳ ἡ κατὰ βίαν γινομένη φθορὰ ἀνδρὶ ἢ γυναικί.

---

1 Bas. φονεύσει. 2 Leuncl. conj. ἤπερ. Heimb. ᾗπερ.

15. Ἐν δὲ τῷ νη' κεφ. Ἐάν τις μοιχείαν ἁμαρτήσῃ πρὸς ἐκείνην, πρὸς ἣν ἐπόρνευσαν ἤδη πολλοὶ, οὐκ ἐγκαλεῖται περὶ μοιχείας.

16. Ἐν δὲ τῷ ξγ' κεφ. Τὴν ἐν ἐργαστηρίῳ προενεχθεῖσαν ποτὲ μὲν ἀκινδύνως, ποτὲ δὲ ἐπικινδύνως μοιχεύει τίς. εἰ γὰρ μόνον δέσποινα ᾖ τοῦ ἐργαστηρίου, ἄλλους ἔχουσα τοὺς ὑπηρετοῦντας τοῖς εἰσιοῦσιν, ἐπικινδύνως ἡ πρὸς αὐτὴν μοιχεία. εἰ δὲ αὐτὴ δι' ἑαυτῆς ὑπηρέτει καὶ τὸν οἶνον παρεῖχε τοῖς πίνουσι, τὸ τηνικαῦτα διὰ τὴν εὐτέλειαν καὶ τὴν δουλικὴν ὑπηρεσίαν οὔτε αὐτὴ οὔτε ὁ μετ' αὐτῆς ἁμαρτήσας μοιχοὶ κρίνονται. οἱ γὰρ νόμοι περὶ τῆς τῶν εὐϋπολήπτων γυναικῶν σωφροσύνης διενοήσαντο, οὐδένα λόγον θέμενοι τῶν οἰκτρῶν καὶ εὐτελῶν γυναικῶν.

17. Ἐν δὲ τῷ ξζ' κεφ. Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβήματι γεγονότες τυπτόμενοι διηνεκῶς ἐξοριζέσθωσαν.

18. Γυνὴ ὕπανδρος τῷ ἰδίῳ δούλῳ μοιχευθεῖσα αὐτὴ μὲν τυπτομένη καὶ κουρευομένη ῥινοκοπείσθω, ἀπελαυνομένη δὲ καὶ τῆς πολιτείας, ἐν ᾗ κατοικεῖ, καὶ ἐκ πάσης τῆς οἰκείας ἐκπιπτέτω περιουσίας, καὶ κληρονομείτωσαν αὐτὴν οἱ νόμιμοι παῖδες αὐτῆς ἢ ἐγγίζοντες αὐτῇ ἤ τις ἕτερος, ὃν ὁ νόμος καλεῖ· δυναμένων αὐτῶν διεκδικεῖν καὶ εἴ τι ὁ δοῦλος εὑρεθείη λαβὼν ἀπὸ τῆς ὑποστάσεως αὐτῆς. ἔστω δὲ πᾶσιν εὐχέρεια τοῦ κινεῖν κατ' αὐτῆς τοῦτο τὸ ἔγκλημα, καὶ τῇ τάξει τοῦ[1] προσαγγέλλειν. εἰ δὲ καὶ δοῦλος τοιουτόν τι ἀπελέγξει, ὑπὲρ ἐπάθλου γινέσθω ἐλεύθερος, καὶ οἱ παῖδες δὲ αὐτῶν ἐλεύθεροι γινέσθωσαν[c].

19. Ἀνάγν. καὶ τί. μβ' κεφ. ιγ', ἐν ᾧ φησιν· Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτὴν, εἰ καὶ αὐτὴ[2] κατεδικάσθη, οὔτε ὁ γάμος ἔῤῥωται, ἀλλ' εἰ καὶ κληρονόμον αὐτὴν γράψω ἢ αὐτὴ ἐμὲ, δημεύεται ἡ κληρονομία[d].

20. Ἀνάγν. βι. ϛ' τί. ιθ' κεφ. ι', ἐν ᾧ φησιν· Εἴ τις δὲ κατη-

---

c Νόμος ἰούλιος περὶ τῶν ἐν μοιχείᾳ ἐνεχομένων[3]. Ἡ ἐπὶ τῷ τῆς μοιχείας ἐγκλήματι κατηγορουμένη οὐ δύναται εἰπεῖν τῷ ἀνδρὶ, τέως δός μοι τὴν προῖκα, ἀλλὰ κρίνεται τὸ ἔγκλημα τὸ περὶ μοιχείας, ὥστε μετὰ ταῦτα ζήτησιν γενέσθαι τῇ περὶ προικὸς ἀπαιτήσει[4].

d Νεαρὰ ρλδ' κεφ. ιδ' ἀνάγν. καὶ τὸ ιβ' κεφ.

---

1 Leuncl. conj. τοῦτο. 2 Leuncl. addi vult μή. Ita Basil. 3 Basil. LX, 37, 70. 4 In Lips. et Paris. 1351. 1357 A additur locus τῆς Πείρας XXV, 24. 25.

γορηθεὶς ἐπὶ μοιχείᾳ προδοσίᾳ τῶν δικαστῶν ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ τὰς ἀπὸ τοῦ νόμου ποινὰς ἀποφύγοι, καὶ μετὰ ταῦτα εὑρεθείη τῇ γυναικὶ, περὶ ἧς κατηγορήθη, αἰσχρῶς συναναστρεφόμενος ἢ εἰς γάμον λαμβάνων αὐτὴν, καὶ τοῦτο γένηται ζῶντος τοῦ ἀνδρὸς ἢ καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν, οὐδὲ τὸν γάμον ἐῤῥῶσθαι κελεύομεν, ἀλλὰ καὶ τὸν τοιοῦτο πλημμελῆσαι τολμήσαντα, εἰ καὶ πρότερον διέφυγεν, ὅμως ἄδειαν δίδομεν παντὶ δικαστῇ καὶ συνέχειν αὐτὸν καὶ μετὰ βασάνους ταῖς νομίμοις τιμωρίαις ὑποτιθέναι, μηδεμιᾶς ἄλλης ἀποδείξεως ἢ κατηγορίας δεομένῳ. καὶ τὴν γυναῖκα σωφρονισθεῖσαν καὶ καρεῖσαν μοναστηρίῳ ἐμβληθῆναι κελεύομεν, κἀκεῖ μένειν ἐπὶ ὅλον τὸν χρόνον τῆς οἰκείας ζωῆς. τὴν ἑκατέρου δὲ περιουσίαν κατὰ τὴν προειρημένην τάξιν διαιρεῖσθαι κινδύνῳ, καθὼς προείπομεν, τοῦ τε κόμητος τῶν πριβάτων καὶ τῶν κατὰ τὸν τόπον ἀρχόντων.

21. *Ἀνάγν. καὶ βι. ι' τι. β' κεφ. ζ'. ἀνάγν. καὶ βι. κη' τί. ζ' κεφ. β'*[1], *ἐν ᾧ φησιν· Εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσοι δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλεγχθῆναι, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν γυναῖκα ἢ καὶ τὸν μοιχόν· καὶ εἴπερ τὸ τῆς μοιχείας ἔγκλημα φανερῶς ἀποδειχθείη, τηνικαῦτα διαζυγίου διαπεμπομένου κελεύομεν ἐκείνας τὰς ποινὰς τοῖς ἁμαρτάνουσιν ἐπάγεσθαι, ἃς οἱ νόμοι διατυποῦσι· κἀκείνων τὰς ὁμοίας*[2] *ὑπομενόντων ποινὰς, οἵτινες μέσοι ἢ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβεῖ ἐγκλήματι γεγόνασιν. ἐκ τῆς οὐσίας δὲ τοῦ μοιχοῦ, εἰ ἔχοι γαμετὴν, τὴν προῖκα καὶ τὴν πρὸ γάμου δωρεὰν αὐτῇ περισώζεσθαι, ἢ τὴν ἀπὸ τοῦ ἡμετέρου νόμου μοῖραν, τὸ τέταρτον δηλαδὴ τῆς οὐσίας τοῦ ἁμαρτήσαντος, ὅπερ ταῖς ἀπόροις γυναιξὶ δίδοται*[3], *εἰ προικῷα συμβόλαια μὴ παρηκολούθησαν· τὴν δὲ λοιπὴν αὐτοῦ περιουσίαν, εἰ μέν εἰσι κατιόντες ἢ ἀνιόντες, ἕως τρίτου βαθμοῦ λαμβάνειν αὐτοὺς κατὰ τὰς τάξεις καὶ τοὺς βαθμούς· εἰ δὲ μή εἰσι τοιοῦτοί τινες, τῷ δημοσίῳ προσκυροῦσθαι ταύτας κελεύομεν· τὴν δὲ μοιχευθεῖσαν γυναῖκα ταῖς προσηκούσαις ὑποβαλλομένην ποιναῖς ἐν μοναστηρίῳ ἐμβάλλεσθαι. καὶ εἰ μὲν εἴσω διετίας ἀναλαβεῖν αὐτὴν ὁ ἀνὴρ βουληθείη, ἐξουσίαν αὐτῷ δίδομεν τοῦτο ποιεῖν καὶ συνοικεῖν αὐτῇ, μηδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ, μήτε διὰ τῶν ἐν μέσῳ γινομένων καταβλαπτομένου τοῦ γάμου.*

---

[1] Leuncl. *τί. β' κεφ. ζ'.* [2] Leuncl. et Basil. *νομίμους.* [3] Haec verba *τὸ τέταρτον — δίδοται* nec Leuncl. nec Bas. habent. Glossema sapiunt.

εἰ δὲ ὁ προειρημένος χρόνος παρέλθοι ἢ ὁ ἀνὴρ πρὶν ἀναλαβεῖν τὴν γυναῖκα τελευτήσει, κελεύομεν κουρεύεσθαι αὐτὴν καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν, καὶ οἰκεῖν ἐν τῷ μοναστηρίῳ ἐπὶ ὅλον [τὸν] χρόνον τῆς οἰκείας ζωῆς. καὶ εἰ μὲν ἔχει κατιόντας, τὰ δύο μέρη λαμβάνειν αὐτοὺς τῆς περιουσίας αὐτῆς κατὰ τὴν τῶν νόμων διαιρούμενα τάξιν, τὸ δὲ λοιπὸν τρίτον μέρος τῷ μοναστηρίῳ ἐν ᾧ ἐμβάλλεται δίδοσθαι· εἰ δὲ κατιόντες μὴ εἴησαν, ἀλλ᾽ ἀνιόντες εὑρεθῶσι μὴ συμπράξαντες τῷ τοιούτῳ ἀσεβήματι, δ′ οὐγκίας αὐτοὺς κατὰ τὴν τοῦ νόμου διάταξιν διαιρουμένας λαμβάνειν, τὰς δὲ η′ οὐγκίας δίδοσθαι τῷ μοναστηρίῳ, ἐν ᾧ ἐγκλείεται ἡ τοιαύτη γυνή. εἰ δὲ μήτε κατιόντας μήτε ἀνιόντας ἔχοι, ἢ καὶ ἀνιόντες συνέπραξαν τῇ αὐτῇ ἀσεβείᾳ, πᾶσαν αὐτῆς τὴν οὐσίαν λαμβάνειν τὸ μοναστήριον· ἐκείνου παραφυλαττομένου, ὥστε δι᾽ ὅλων τῶν θεμάτων τῷ ἀνδρὶ τὰ σύμφωνα τὰ τοῖς γαμικοῖς συμβολαίοις ἐμφερόμενα φυλάττεσθαι[e].

XVII.

Περὶ μοναστηρίων οἰκοδομῆς, καὶ περὶ μοναζόντων καὶ τῆς διαγωγῆς αὐτῶν καὶ προνομίων.

1. Ἀνάγν. βι. γ′ τί. α′ κεφ. ια′, ἐν ᾧ φησι τοῦ μήτε ἐπίτροπον μήτε κουράτορα οἱουδήποτε προσώπου γίνεσθαι μοναχὸν, ἀλλ᾽ οὐδὲ ἐκλήπτορα ἢ ἀπαιτητὴν δημοσίων συντελειῶν ἢ μισθωτὴν τελῶν ἢ ἀλλοτρίων κτήσεων ἢ κουράτορα οἴκου ἢ ἐντολέα δίκης ἢ ἐγγυητήν. ἀνάγν. καὶ κεφ. ιβ′ καὶ ιθ′ καὶ κθ′ καὶ λη′ καὶ λθ′ καὶ μ′.

2. Ἀνάγν. καὶ βι. δ′ τί. α′· διαλαμβάνει γὰρ ἐν μὲν τῷ α′ κεφ., ὥστε τὸν οἰκοδομεῖν βουλόμενον μοναστήριον προσκαλεῖσθαι τὸν ἐπίσκοπον καὶ ποιεῖν σταυροπήγιον. — ἐν δὲ τῷ β′ κεφ. περὶ τοῦ γίνεσθαι τὸν ἡγούμενον οὐ κατὰ βαθμὸν, ἀλλ᾽ ὃν πάντες οἱ καλλίονος ὑπολήψεως μοναχοὶ ἐκλέξονται. — ἐν δὲ τῷ γ′ κεφ. περὶ τοῦ ἐντὸς τριῶν ἐνιαυτῶν μὴ λαμβάνειν τὸ ἅγιον σχῆμα τὸν μονάσαι βουλόμενον, εἰ μὴ τῶν γνωρίμων ἐστίν. — ἐν δὲ τῷ δ′ κεφ. τοῦ ἐνὶ οἴκῳ οἰκεῖν πάντας τοὺς μοναχοὺς καὶ καθεύδειν καὶ [κοινῶς] διατρέφεσθαι. — ἐν δὲ τῷ ς′[1] κεφ. ὅτι ἐὰν ἐπὶ αἱρέσει γάμου ἢ παιδοποιΐας καταλειφθῇ τινι λεγάτον ἢ κληρονομία, καὶ τὸ τοιοῦτο πρόσωπον μοναχὸς ἢ κληρικὸς γένηται, ἀνίσχυρός ἐστιν ἡ τοιαύτη αἵρεσις, εἰ μήτιγε πρὸς ἀνάῤῥυσιν αἰχμαλώτων ἢ τροφὴν πενήτων ἀφωρίσθησαν. — ἐν δὲ τῷ η′ κεφ. καὶ μέχρι τοῦ ια′ κεφ. περὶ τῶν ἐπὶ τῷ

---

e) Ἀνάγνωθι καὶ τὸ περὶ λύσεως γάμου, ἐν ᾧ φησιν, ὅτι καὶ τὴν προῖκα τῆς γυναικὸς ὁ ἀνὴρ ἀποκερδαίνει.

---

1 Leuncl. ε′.

μονάσαι διαλυσάντων τὸν γάμον ἢ τὴν μνηστείαν. — ἐν δὲ τῷ ιβ' κεφ. περὶ γονέων καὶ παίδων μονασάντων φησίν, τοῦ μὴ ὡς ἀχαρίστους αὐτοὺς ἀποκλείεσθαι τῆς ἰδίας κληρονομίας.

3. *Ἐν δὲ τῷ ιγ' κεφ. Ἐὰν μοναχὸς καταλείψῃ τὸ ἴδιον μοναστήριον καὶ εἰς ἄλλο ἔλθῃ, εἴ τινα πράγματα ἐν τῷ καιρῷ, καθ' ὃν τὸ μοναστήριον καταλέλειπεν ἔχειν φανείη, τῷ πρώτῳ μοναστηρίῳ, ἐν ᾧ ἐξ ἀρχῆς εἰσῆλθε, ταῦτα διαφέρειν κελεύομεν.*

4. *Ἐν δὲ τῷ ιε' κεφ. Ἐὰν μοναχὸς καταλείψῃ τὸ μοναστήριον καὶ εἰς κοσμικὸν βίον μετέλθῃ, τοῦτον τῆς στρατείας καὶ τῆς τιμῆς, εἴ τι[να] ἔχει, πρῶτον γυμνωθέντα ἐκ τοῦ ἐπισκόπου τῶν τόπων καὶ τοῦ τῆς ἐπαρχίας ἄρχοντος εἰς μοναστήριον βάλλεσθαι, καὶ τὰ πράγματα, ὅσα ἔχειν μετὰ ταῦτα δειχθείη, τῷ μοναστηρίῳ, ἐν ᾧ ἐμβάλλεται, διαφέρειν. εἰ δὲ καὶ πάλιν καταλείψει τὸ μοναστήριον, τότε αὐτὸν ὁ ἄρχων τῆς ἐπαρχίας, ἐν ᾗ ἂν εὑρεθῇ, κρατείτω καὶ τῇ ὑποκειμένῃ αὐτῷ τάξει συναριθμείτω.*

5. *Ἐν δὲ τῷ ιζ' κεφ. Πᾶσι δὲ καθάπαξ τοῖς ἐν κοσμικῷ ἀναστρεφομένοις καὶ μάλιστα τοῖς τὰ σκηνικὰ μετερχομένοις ἀνδρᾶσί τε καὶ γυναιξὶ καὶ μὴν καὶ ταῖς προϊσταμέναις ἀπαγορεύομεν κεχρῆσθαι σχήματι μοναχοῦ ἢ ἀσκητρίας ἢ οἱῳδήποτε τρόπῳ τοῦτο μιμεῖσθαι· ἐπισταμένων πάντων τῶν τολμώντων ἢ χρήσασθαι τῷ τοιούτῳ σχήματι ἢ μιμήσασθαι, ἢ ἐμπαίζειν οἱανδήποτε ἐκκλησιαστικὴν κατάστασιν, ὅτι καὶ σωματικὰς τιμωρίας ὑποστήσονται καὶ ἐξορίᾳ παραδοθήσονται.*

6. [*Ἐν δὲ τῷ ιη' κεφ.*] *Θεσπίζομεν μηδένα παντελῶς ἰδίαν ἔχειν οἴκησιν, μηδὲ τὸ καλούμενον κελλίον εἴη κατὰ τὸ μοναστήριον ἑνὶ τυχὸν ἢ δύο χρώμενον ὑπουργοῖς κατὰ τὸν τῶν ἐν θεωρίᾳ τε καὶ ἡσυχίᾳ διαζῆν βίον, ἀλλ' ὅλως ὄντων πλειόνων ἀνδρῶν μίαν εἶναι τὴν αὐτῶν συνέλευσιν καὶ εὐχομένων καὶ τὰ τῆς φύσεως ἔργα πραττόντων, ὁπόσα ἄμεμπτά τε καὶ ἀδιάβλητα καθέστηκε, καὶ κοινῇ μὲν (ὡς εἴρηται) σιτεῖσθαι, κοινῇ δὲ καθεύδειν· καὶ[1] εἰ μὲν τοσοῦτον εἴη τὸ πλῆθος, ὅσον εἰς ἕνα οἶκον χωρεῖσθαι· ἐπείτοιγε τυχὸν δύο ἢ τρεῖς οἴκους εἶναι τοὺς δεχομένους αὐτούς. μηδενὶ μέντοι παντελῶς ἴδιον ἔχειν μηδὲν, ἀλλ' ἐν κοινῷ ζῆν νύκτωρ τε καὶ μεθ' ἡμέραν, ἵνα αἱ νύκτες αὐτοῖς τὴν αὐτὴν ταῖς ἡμέραις ἔχοιεν παρατήρησιν· οὐ γὰρ καθεύδουσιν ἅπαντες ἀεὶ, ἀλλὰ πρόδηλον, ὡς οἱ μὲν ἐν*

---

[1] Leuncl. *καὶ* omittit.

τῷ καθεύδειν εἰσὶν, οἱ δὲ ἐγρηγόρησαν[1], καὶ πάντως ἔσονταί τινες οἱ τοὺς καθεύδοντας ἐποπτεύοντες. μὴ πολλὰς δὲ ἔχειν τὰς εἰς τὸ μοναστήριον εἰσόδους, ἀλλὰ μίαν ἢ δύο τυχόν. ἐφεστάναι τε τῇ πυλίδι ἄνδρας γεγηρακότας καὶ σώφρονας καὶ μεμαρτυρημένους ἐξ ἁπάντων, οἵπερ οὔτε τοῖς εὐλαβεστάτοις μοναχοῖς συγχωρήσουσι χωρὶς τῆς τοῦ ἡγουμένου γνώμης ἐκφοιτᾶν ἐκ τοῦ μοναστηρίου, ἀλλ᾽ εἴσω τούτους καθέξουσι τὰ πρὸς θεὸν ζητοῦντας καὶ μὴ διασπῶντας ἑαυτούς· οὔτε ἑτέρους τινὰς γενέσθαι κατὰ τὸ μοναστήριον νύκτωρ τε καὶ καθ᾽ ἡμέραν ἐάσουσιν. οὐκ εἰσελεύσεται δὲ οὔτε γυνὴ παντελῶς εἰς ἀνδρικὸν μοναστήριον, οὔτε ἀνὴρ εἰς γυναικεῖον, ἢ προφάσει τελευτήσαντος κἀκεῖσε κειμένου μνήμης ἢ κατὰ ἄλλην τινὰ αἰτίαν, καὶ μάλιστα εἴ τις ἀδελφὸν τυχὸν ἢ ἀδελφὴν ἤ τινα τῶν ἐκ τοῦ γένους ἔχειν ἐν τῷ μοναστηρίῳ φήσειε. συγγένεια γὰρ τοῖς μοναχοῖς ἐπὶ γῆς οὐκ ἐστὶ τοῖς γε τὸν ἐν οὐρανῷ ζηλώσασι βίον. καὶ μήτε ἄνδρες ἐν γυναικείων μοναστηρίων τάφοις ἀποτιθέσθωσαν, μήτε γυναῖκες ἐν ἀνδρικοῖς ἀσκητηρίοις κατορυττέσθωσαν, ἵνα μὴ πάροδος ἐντεῦθεν γένοιτο τῇ φύσει πρὸς ἑαυτὴν, ἃ [μὴ] θέμις, τρυφᾶν τε καὶ παίζειν καὶ τὰ θεῖα καταισχύνειν πράγματα. ἀλλ᾽ εἰ καὶ γυνή τις ἐν γυναικείῳ θάπτεσθαι μέλλει μοναστηρίῳ, μόνους τοὺς τὴν κλίνην φέροντας καὶ τοὺς ὀρύττοντας εἰσφοιτᾶν εἰς τὸ μοναστήριον, καὶ τὰς μὲν μοναχὰς ἐν τῷ ἰδίῳ μένειν καταγωγίῳ, μόνην δὲ τὴν θυρωρὸν καὶ τὴν ἡγουμένην, εἴγε βουληθείη, παρεῖναι τοῖς γινομένοις· καὶ θᾶττον ἐκείνους πράξαντας τὰ περὶ τὴν ὁσίαν νενομισμένα καὶ τὸν τάφον ὀρύξαντας καὶ τὸ σῶμα καλύψαντας εὐθὺς ἀποχωρεῖν, μήτε θεασαμένους τινὰς τῶν εὐλαβεστάτων γυναικῶν μήτε παρά τινος αὐτῶν θεαθέντας. ἀλλὰ μηδὲ προφάσει τῶν περὶ τὴν ὁσίαν πραττομένων, ἃς δὴ μνήμας καλοῦσιν, εἰς τρίτην καὶ ἐννάτην συνιόντες ἡμέραν ἢ ἡνίκα μ' ἐξήκοιεν ἢ καὶ ἐνιαυτὸς, τὴν εἰς τὰ γυναικεῖα πάροδον ἄνδρες ἐπινοείτωσαν μοναστήρια· ἐξὸν, εἰ μὲν γυναικεῖον εἴη τὸ μοναστήριον, γυναῖκας ἅπαντα πράττειν, εἰ δὲ ἀνδρεῖον, ἄνδρας. κἀκεῖνο μέν γε πᾶσι φυλάττεσθαι βουλόμεθα τρόποις, ὥστε εἰ φανείη τὶς τῶν εὐλαβεστάτων μοναχῶν εἴς τι καπηλεῖον ἀναστρεφόμενος, τοῦτον εὐθὺς παραδίδοσθαι τοῖς τῶν πόλεων ἐκδίκοις ἢ ἐνταῦθα τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς, σωφρονίζεσθαί τε διελεγχόμενον καὶ

[1] Lips. ἐγρηγόρησι.

μηνύεσθαι τοῦτο τῷ ἡγουμένῳ, ὥστε αὐτὸν ἐξελαύνειν τοῦ μοναστηρίου τὸν ταῦτα πλημμελήσαντα καὶ τὸν ἐν αἰσχύνῃ βίον τῆς ἀγγελικῆς ταύτης καταστάσεως ἀλλαξάμενον. δεῖ γὰρ διπλοῦν τοῦτο ἔργον τοῖς μοναχοῖς καθεστάναι, ἢ ταῖς θείαις ἐνασχολεῖσθαι γραφαῖς ἢ τὰ μοναχοῖς πρέποντα ἐργόχειρα[1] *μελετᾶν τε καὶ ἐργάζεσθαι. διάνοια γὰρ μάτην σχολάζουσα οὐδὲν ἂν τῶν ἀγαθῶν ἀποτέκοι*[a].

XVIII.

Περὶ μονιταρίων [ἤτοι χαρακτῶν].

1. *Ἀνάγν. βι. νδ' τί. ις'*[2]*, οὗτινος ἐν τῷ α' κεφ. φησίν· Οἱ μονιτάριοι τῇ ἰδίᾳ ὑποκείσθωσαν τύχῃ, καὶ μηδεὶς ὑπὸ ἀξίωμα ἐλευθερούσθω.*

2. *Ἀνάγν. καὶ βι. ξ' τί. με' κεφ. ζ', ἐν ᾧ φησιν· Οἱ τὴν μονίταν ἐργαζόμενοι, εἰ ἔξωθεν ἑαυτοῖς ποιήσουσι νούμους ἢ τοὺς γενομένους ἀποκλέψουσιν, οὐ δοκοῦσι νόθην μονίταν ποιεῖν, ἀλλὰ περιορίζονται.*

Ἀρχὴ τοῦ Ν στοιχείου.

I.

Περὶ ναυτικῶν ἐνοχῶν καὶ παντοίων ἀγωγῶν τῶν κινουμένων περὶ πλοίων καὶ πάντων τῶν ἐν αὐτοῖς ἐμπλεόντων, ναυκλήρων, πιστικῶν, ναυτῶν, ἐμπόρων τε καὶ λοιπῶν ἐπιβατῶν, καὶ περὶ ναυαγίου.

1. *Ἀνάγν. βι. νγ', οὗτινος ἐν τῷ α' τί. διαλαμβάνεται ἐν οἷς ἐνέχονται οἵ τε ναύκληροι καὶ οἱ πιστικοὶ καὶ οἱ προστήσαντες αὐτοὺς ἀπωλείας ἢ ναυαγίου γινομένου*[a].

---

[a] *Ἀνάγνωθι νεαρὰν ρε' καὶ ος', ἐν ᾗ φησι πῶς ὀφείλουσι διατίθεσθαι. καὶ νεαρὰν οθ', ἐν ᾗ φησὶ παρὰ τίσιν ὀφείλουσι δικάζεσθαι. καὶ νεαρὰν ρκα' ἀπὸ τοῦ μθ' κεφαλ., ἐν ᾗ φησι καὶ περὶ τοῦ μὴ ἐξεῖναι τὸν ἐν κοσμικῷ ἀναστρεφόμενον σχήματι μοναχῶν ἢ ἀσκητρίας χρῆσθαι ἢ καθ' οἱονδήποτε τρόπον μιμεῖσθαι. καὶ νεαρὰν ρλγ'.*

[a] *Κεφ. δ' τοῦ α' τί. τοῦ νγ' βι. Ναύκληρός ἐστι, πρὸς ὃν ἀνήκει ὁ πόρος τοῦ πλοίου καὶ τὰ συμβαίνοντα, εἴτε ὁ δεσπότης ἐστὶν εἴτε παρὰ δεσπότου τὸ πλοῖον ἐμισθώσατο ἐν ὁμάδι. — κεφ. β' · Πιστικός ἐστιν ὁ πᾶσαν ἐπιμέλειαν τοῦ πλοίου ἐπιτραπείς.*

---

[1] Lips. *ἐνέχυρα.* [2] Lips. *ιβ'.*

2. Ἐν δὲ τῷ ϛ' κεφ. τοῦ αὐτοῦ α' τί. φησίν· Ὅπερ ἂν λάβωσιν ἐπὶ τῷ φυλάξαι οἱ ναύκληροι καὶ οἱ πανδοχεῖς, εἰ μὴ ἀποκαθιστῶσιν, ἐνέχονται[1]. ἐν αὐτοῖς δέ ἐστι μηδένα ὑποδέξασθαι.

3. Ἐν δὲ τῷ ζ' κεφ. Ἐνέχονται δὲ καὶ διὰ τῶν προβεβλημένων εἰς παραφυλακὴν, οἷον ναυφυλάκων καὶ διαιταρίων, εἰς ὅπερ καὶ ὑποδέξονται, κἂν αὐτὸς ποιήσῃ τὸ χειρέμβολον.

4. Ἐν δὲ τῷ ιε' κεφ. Ἀπὸ τῶν συναλλαγμάτων τῶν ναυτῶν ὁ ναύκληρος οὐκ ἐνάγεται· ἀπὸ δὲ τῶν ἁμαρτημάτων αὐτῶν ἐνάγεται. προνοεῖν γὰρ ὀφείλει τοῦ χηρεύειν αὐτοὺς δόλου καὶ ῥᾳθυμίας ἤτοι κακίας.

5. Ἐν δὲ τῷ ιϛ' κεφ. Ὁ προστησάμενος τὸν πιστικὸν τοῦ πλοίου ἐνάγεται ὥσπερ ὁ προστήσας πρωτεύοντα ἐργαστηρίου ἢ πραγματείας.

Ἀπὸ μόνων τῶν προσφόρων συναλλαγμάτων τῇ προστασίᾳ τοῦ πιστικοῦ ἐνέχεται ὁ ναύκληρος. εἰ δὲ δανεισάμενος εἰς ἀνανέωσιν τοῦ πλοίου ἢ δαπάνην τῶν ναυτῶν στρέψει τὰ χρήματα εἰς ἰδίας χρείας, ἐνέχεται ὁ ναύκληρος· οὐ μὴν εἰ ἐξ ἀρχῆς ἀπατηλὴν ἔσχε γνώμην, καὶ οὐκ ἐξεφώνησε προφάσει τοῦ πλοίου λαμβάνειν. εἰ δὲ καὶ εἰς τὰ τιμήματα τῶν ἀγορασθέντων πράγματων ἀπατήσει, ζημιοῖ τὸν ναύκληρον[b].

6. Ἐν δὲ τῷ λα' κεφ. Ἐὰν κλαπῇ τι ἐν πλοίῳ ἢ καπηλείῳ ἢ πανδοχείῳ παρὰ τῶν ὄντων ἐν αὐτοῖς, εἴτε συμβουλῇ καὶ συνεργείᾳ τοῦ ναυκλήρου εἴτε τῶν ναυτῶν, ἐξουσίαν ἔχει ὁ κλαπεὶς τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀπαιτοῦσαν ἀγωγὴν κινῆσαι κατὰ τοῦ κλέπτου ἢ τοῦ προεστῶτος τοῦ πλοίου ἢ τοῦ καπηλείου ἢ τοῦ πανδοχείου. εἰ μέντοι τὴν φυλακὴν τοῦ πράγματος ὁ ναύκληρος ἢ ὁ κάπηλος ἀνεδέξατο, αὐτὸς ἔχει τὴν ἀγωγὴν, καὶ οὐχ ὁ δεσπότης.

7. Ἐν δὲ τῷ λθ' κεφ. Εἰ καὶ παρὰ γυναικὸς προβληθῇ ναύκληρος, ἐκ τῶν πρὸς αὐτὸν συναλλαγμάτων κατέχεται ἡ γυνὴ τῇ περὶ αὐτῶν[2] ἀγωγῇ. κἂν γὰρ προεστῶτα ἐργαστηρίου προβάλληται ἡ γυνὴ, τῇ περὶ αὐτοῦ ἀγωγῇ κατέχεται[3]. οὐδὲ

---

b Ἐν δὲ τῷ ιζ' κεφ. Προβάλλεται ὁ πιστικὸς ἐπὶ τὸ ναυλοῦν τὸ πλοῖον καὶ ἀγοράζειν τὰ ἐξάρτια αὐτοῦ. εἰ δὲ καὶ πρὸς τὸ ἀγοράζειν καὶ πωλεῖν φορτία προβληθῇ, ἐνέχεται καὶ ἐκ τούτου ὁ ναύκληρος.

[1] Leuncl. ἐνάγονται. [2] Ita Labbaeus. Bas. αὐτὸν. Leuncl. αὐτοῦ. [3] Haec verba: κἂν γὰρ — κατέχεται Leuncl. non habet. Et sane scholium sapiunt. Videsis Basil. XVIII, 1, 24 c. scholia Thalelaei.

γὰρ ἀλλότριά εἰσι ταῦτα τὰ συναλλάγματα, ἀλλ' αὐτῆς τῆς γυναικός· ἐπειδὴ ἄλλον ἐγγυησαμένη γυνὴ οὐ κατέχεται. οὔτε γὰρ δεῖ τὰς γυναῖκας ὑπὲρ ἀλλοτρίων συναλλαγμάτων ἐνέχεσθαι.

8. Ἐν δὲ τῷ β' τί. διαλαμβάνεται περὶ πλοίου ἐκδικουμένου, οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ἀμέλεια καὶ δόλος ἐστὶ τὸ πλοῖον ἐν ἀνεπιτηδείῳ καιρῷ πλωΐσαι.

9. Ὁ πλοῖον τρυπήσας ὑπόκειται τῇ ἀγωγῇ τῇ ἀπαιτούσῃ ἐξ ὁμολογίας μὲν τὸ ἁπλοῦν, ἐξ ἀρνήσεως δὲ τὸ διπλάσιον.

10. Ἐν δὲ τῷ ε' κεφ. Ἐὰν πλοῖόν σου ἐμπεσὸν εἰς ἐμὸν ζημιώσῃ με, εἰ μὲν ἠδύναντο οἱ ναύκληροι τοῦτο κωλύσαι γενέσθαι, ἐνάγονται τῇ προειρημένῃ ἀγωγῇ, ὥσπερ ἐν χειρὶ ἢ κοντῷ ζημιώσαντες. εἰ δὲ τοῦ σχοίνου ῥαγέντος ἢ μηδενὸς ἰθύνοντος ἐνέπεσεν, οὐχ ὑπόκειται ὁ δεσπότης. εἰ δὲ καὶ τῇ βίᾳ τῶν ἀνέμων ἐμπέσῃ τὸ πλοῖον εἰς ἀλλοτρίας ἀγκύρας, καὶ κόψουσιν αὐτὰς οἱ ναῦται, οὐκ ἐνέχονται· εἴγε ἄλλως ἑαυτοὺς εὐλυτῶσαι οὐκ ἠδύναντο. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐμπεσόντων εἰς δίκτυα.

Εἰ δὲ ῥαθυμίᾳ καὶ ἀμελείᾳ τῶν ναυτῶν συνέβη, χώρα τῇ προειρημένῃ ἀγωγῇ διὰ τὴν ἀπώλειαν[1] τῶν δικτύων, οὐ μὴν τῶν ἁλιευθέντων ἰχθύων. τὸ αὐτὸ καὶ ἐπὶ κυνηγῶν καὶ ἰξευτῶν.

Ἐὰν ναῦς ναῦν βυθίσῃ, ὁ κυβερνήτης ἢ ὁ πρωρεὺς ἐνάγεται ἢ οἱ ναῦται ἐξ ἀμελείας· εἰ μὴ πολλὴ ἦν ἡ βία τῶν ἀνέμων.

Ἐὰν πλοῖον καταποντίσῃ ἕτερον ἐρχόμενον κατ' αὐτοῦ, ἐνάγεται ὁ πρωρεὺς ἢ ὁ κυβερνήτης. εἰ δὲ ἐξ ὑπερβολῆς χειμῶνος τοῦτο γέγονεν, οὐκ ἐνέχεται ὁ δεσπότης. εἰ δὲ δι' ἀμέλειαν τῶν ναυτῶν συνέβη, ἀρκεῖ ὁ ἀκουΐλιος.

Ἐὰν τὸν σχοῖνον, εἰς ὃν τὸ πλοῖον ἐδέδετο, κόψῃ τὶς καὶ ἀπόληται, εἰς τὸ διπλοῦν καταδικάζεται.

11. Ἐν δὲ τῷ ια' κεφ. Ἐὰν ἀγοράσω πλοῖον μετὰ τῆς ἐξαρτίας, τὴν σκάφην[c] οὐ λαμβάνω. οὔτε γάρ ἐστιν αὐτοῦ ἐξαρτία. ἑκάτερον γὰρ τοῦ αὐτοῦ γένους ἐστὶ, τῷ δὲ μεγέθει διαλλάττουσιν· ἄλλου δὲ δεῖ γένους εἶναι τὴν ἐξαρτίαν καὶ ἄλλου τὸ πρωτότυπον.

12. Ἐν δὲ τῷ γ' τί. διαλαμβάνεται περὶ ναυαγίου καὶ ἁρπαγῆς καὶ ἀποβολῆς καὶ συνεισφορᾶς, οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν διὰ τὸ κουφισθῆναι

---

c Τὸ σανδαλίον.

---

1 Leuncl. ζημίαν. Idem mox ἰχθύων omittit.

τὸ πλοῖον ἀποβληθῶσι φορτία, πάντων συνεισαγόντων ἀποθεραπεύεται τὸ ῥιφέν.

Πάντα τὰ πράγματα, καὶ τὰ μὴ βαροῦντα τὸ πλοῖον καὶ αὐτό γε μὴν τὸ πλοῖον, πρὸς τὴν ἀποτίμησιν αὐτῶν ὑπόκεινται τῇ συνεισφορᾷ· ἐξῃρημένων τῶν ἐλευθέρων κεφαλῶν καὶ τῆς σιταρκίας. συνεισάγεται γὰρ αὕτη τοῖς ἐν τῷ πλοίῳ μὴ ἔχουσι δαπάνην. ἁρμόζει δὲ κατὰ τοῦ πιστικοῦ τοῖς δεσπόταις τῶν ἀποβληθέντων ἡ ἀγωγή.

13. Ἐν δὲ τῷ γ′ κεφ. Ἐν τῇ συνεισφορᾷ τὰ μὲν ἀποβληθέντα πρὸς ὅπερ ἠγοράσθησαν ἀποτιμῶνται, οὐ μὴν πρὸς ὃ πραθῆναι ἠδύναντο. οὐ γὰρ κέρδους, ἀλλὰ ζημίας γίνεται λόγος. τὰ δὲ σωθέντα πρὸς ὃ δύνανται πραθῆναι ἀποτιμῶνται.

14. Ἐν δὲ τῷ ιβ′ κεφ. Ἀπολλυμένου τοῦ πλοίου οἱ σώσαντες ἐκ τοῦ ναυαγίου τὰ ἴδια οὐ συνεισάγουσι. τότε γὰρ γίνεται συνεισφορά, ὅτε διὰ τὸ σωθῆναι τὰ λοιπὰ σώου τοῦ πλοίου ὄντος ἀποβληθῶσι.

Τοῦ ἱστοῦ τμηθέντος, διὰ τὴν σωτηρίαν τοῦ πλοίου καὶ τῶν φορτίων, ἡ συνεισφορὰ γίνεται.

15. Τῆς ἐξαρτίας ὑπὸ τοῦ χειμῶνος ἀπολλυμένης ἑτέραν ὁ ναύκληρος ὠνήσατο, καὶ οὕτω πλεύσας ἔσωσε τὰ φορτία. οὐ χρεωστοῦσιν οἱ δεσπόται αὐτῷ συνεισάγειν.

16. Ἐν δὲ τῷ ιδ′ κεφ. Ναυαγήσαντος τοῦ πλοίου, ὅπερ ἄν τις ἐκ τῶν ἰδίων σώσῃ, ἑαυτῷ ἔχει, ὡσανεὶ ἐξ ἐμπρησμοῦ.

17. Ἐν δὲ τῷ ιθ′ κεφ. Ὁ τὰ ἐκ τῆς ἀποβολῆς τῶν πλοίων ἐπαίρων διὰ κέρδος κλοπὴν ἁμαρτάνει.

18. Ἐν δὲ τῷ κβ′ κεφ. Τὸ ἀπὸ ναυαγίου ἢ ἀποβολῆς διὰ χρονίας χρήσεως οὐ δεσπόζεται. οὐδὲ γάρ ἐστιν ἀδέσποτον.

19. Ἐν δὲ τῷ λθ′ κεφ. Ὁ τὸ ἐκριφὲν ἀπὸ ναυαγίου λαμβάνων, εἰ μέν τινος παρεντεθέντος χρόνου, κλέπτης ἐστίν. εἰ δὲ κατὰ τὸν ναυαγίου καιρὸν, ἀδιάφορόν ἐστιν, εἴτε ἀπὸ θαλάσσης εἴτε ἀπὸ τοῦ αἰγιαλοῦ λάβῃ αὐτό.

20. Ἐν δὲ τῷ μβ′ κεφ. Ἐάν τις ἀπὸ ναυαγίου ἀφέληταί τι ἢ μειώσῃ, ἐντὸς ἐνιαυτοῦ εἰς τὸ τετραπλάσιον κατέχεται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν.

21. Ἐν δὲ τῷ η′ τί. περιέχεται τὰ κεφάλαια τοῦ ῥοδίου νόμου, οὗτινος ἐν τῷ β′ κεφ. φησίν· Ἐὰν βουλήσει τοῦ ναυκλήρου οἱ ναῦται σύλα ποιήσωσιν, ἀγκύρας πλοίου ἑτέρου ὁρμῶντος ἐν λιμένι ἢ ἐν ἀκτῇ ἀφελόμενοι, καὶ συμβῇ ἐντεῦθεν ἀπώλειαν γενέσθαι τοῦ πλοίου τοῦ τὰς ἀγκύρας συληθέντος, καὶ τούτων οὕτως ἐν ἀκριβείᾳ ἀποδεικνυμένων, πᾶσαν τὴν προσγενομένην

ζημίαν ἐν τῷ πλοίῳ καὶ τὰ ἐν τῷ πλοίῳ σῶα ἀποδιδότω ὁ ναύκληρος ὁ τὰ σύλα ἐπιτρέψας γενέσθαι. ἐὰν δέ τις κλέψῃ σκεύη πλοίου ἤ τι τῶν ἐν τῷ πλοίῳ χρηματιζόντων, τουτέστι σχοίνων τε καὶ καναβίων καὶ ἀρμένων ἢ διφθερῶν καὶ καράβων καὶ λοιπῶν, διπλᾶ ἀποδιδότω ὁ τὰ σύλα ποιήσας.

22. Ἐν δὲ τῷ γ' κεφ. Ἐὰν ναύτης κελεύσει τοῦ ναυκλήρου κλοπὴν ποιήσῃ ἐμπόρου ἢ ἐπιβάτου, καὶ καταληφθεὶς κατασχεθῇ, ὁ ναύκληρος διπλᾶ ἀποδιδότω τοῖς τὰ σύλα παθοῦσιν. ὁ δὲ ναύτης λαμβανέτω ξυλαγώγια ρ'. ἐὰν δὲ ναύτης αὐτοβούλως συλήσας κατασχεθῇ ἢ καὶ διὰ μαρτύρων ἐλεγχθῇ, σφοδρῶς βασανιζέσθω, καὶ μάλιστα ἐὰν τὰ σύλα χρυσίον ἦν· καὶ τὴν ἀποκατάστασιν τῷ συληθέντι ποιείτω.

23. Ἐν δὲ τῷ ζ' κεφ. Ἐάν τις τῶν ναυκλήρων ἢ ἐμπόρων ἢ ναυτῶν τρώσῃ τινὰ γρόνθῳ καὶ πηρώσῃ, ἢ λὰξ δῷ καὶ συμβῇ κήλην ποιῆσαι, δώσει ὁ κρούσας τὰ ἰατρεῖα, καὶ ὑπὲρ μὲν τοῦ ὀφθαλμοῦ χρυσίνους ιβ', ὑπὲρ δὲ τῆς κήλης χρυσίνους ι'. εἰ δὲ ὁ λὰξ κρουσθεὶς ἀποθάνῃ, ἔνοχος ἔσται ὁ κρούσας τῆς δίκης τοῦ θανάτου.

24. Ἐν δὲ τῷ θ' κεφ. Ἐὰν περὶ ἐκβολῆς βουλεύσηται ὁ ναύκληρος, ἐρωτάτω[1] τοὺς ἐπιβάτας οἷς χρήματά ἐστιν ἐν τῷ πλοίῳ. ὅτι δὲ ἐὰν γένηται τοῦτο, ψῆφον ποιείτωσαν. συμβαλλέσθωσαν δὲ εἰς συμβολὴν καὶ τὰ χρήματα. στρώματα δὲ καὶ ἱμάτια καὶ σκεύη πάντα ἐκτιμάσθω. καὶ ἐὰν γένηται ἐκβολή, τῷ ναυκλήρῳ καὶ τοῖς ἐπιβάταις μὴ πλέον λίτρας μιᾶς, κυβερνήτῃ δὲ καὶ πρωρεῖ μὴ πλέον ἡμιλίτρου, ναύτῃ γράμματα τρία. παῖδες δέ, καὶ εἴ τις ἄλλος συμπλέει μὴ ἐπὶ πράσει ἀγόμενος, κατὰ τιμὴν ὤν.

25. Ἐν δὲ τῷ ι'[2] κεφ. Ἐὰν ναύκληρος ἅμα τοῖς ναύταις ἀμελήσῃ, καὶ συμβῇ ζημία ἢ ναυάγιον, ὁ ναύκληρος καὶ οἱ ναῦται ὑποκείσθωσαν τῷ ἐμπόρῳ εἰς τὴν ἀπόδοσιν τῆς ζημίας. εἰ δὲ ἀπὸ ἀμελείας τοῦ ἐμπόρου συμβῇ ἀπώλειαν τοῦ πλοίου καὶ τοῦ γόμου γενέσθαι, ὑποκείσθω ὁ ἔμπορος ἐν τῇ ζημίᾳ τοῦ ναυαγίου καὶ τῇ τοῦ πλοίου. εἰ δὲ τοῦ ναυκλήρου μὴ ἐμποδίσαντος, μηδὲ τῶν ναυτῶν μηδὲ τοῦ ἐμπόρου, συμβῇ ζημία ἢ ναυάγιον, τὰ σωζόμενα μέρη τοῦ πλοίου καὶ τῶν φορτίων εἰς συμβολὴν ἐρχέσθωσαν.

26. Ἐν δὲ τῷ ια'[3] κεφ. θέμ. ε'· Ἐὰν εἰσέλθῃ ὁ ἐπιβάτης εἰς πλοῖον καὶ ἔχῃ χρυσίον ἢ ἕτερόν τι, παρατιθέσθω αὐτὸ τῷ

---

[1] Lips. ἐπερωτ. [2] Leuncl. ιζ'. [3] Idem κα'.

ναυκλήρῳ. εἰ δὲ μὴ παραθέμενος εἴπῃ, ὅτι χρυσίον ἀπώλεσα ἢ ἀργύριον, ἄκυρα ἔστω τὰ παρ᾽ αὐτοῦ λεγόμενα. ὁ δὲ ναύκληρος καὶ οἱ ναῦται, ὁμοῦ οἱ ἐμπλέοντες ὅρκον παρεχέτωσαν.

27. Ἐν δὲ τῷ κη´ κεφ. Ἐὰν πλοῖον ἐν τῇ ἐμβολῇ ἐμποδισθῇ ὑπὸ ἐμπόρου ἢ κοινωνοῦ πληρωθείσης τῆς προθεσμίας, καὶ συμβῇ ἀπὸ πειρατείας ἢ πυρκαϊᾶς ἢ ναυαγίου ἀπώλειαν γενέσθαι τοῦ πλοίου, ὁ τὸ ἐμπόδιον ποιήσας ἐμφερέτω τὰς ζημίας.

28. Ἐν δὲ τῷ λα´ κεφ. Ἐὰν ὁ ἔμπορος φορτώσῃ τὸ πλοῖον καί τι συμβῇ τῷ πλοίῳ, τὰ σωζόμενα πάντα εἰς συμβολὴν ἐρχέσθωσαν ἑκάτερα. τὸ δὲ ἀργύριον ἐὰν σώζηται, πέμπτας ἐπιδιδότω. ὁ δὲ ναύκληρος καὶ οἱ ναῦται βοηθείας παρεχέτωσαν εἰς τὸ σῶσαι.

29. Ἐν δὲ τῷ λδ´ κεφ. Ἐὰν πλοῖον ὀθόνην ἢ βέστην κομίζῃ, ὁ ναύκληρος διφθέρας καλὰς παρεχέτω, ἵνα μὴ ὑπὸ χειμῶνος τῇ ἐπικλάσει τῶν κυμάτων τὰ φορτία ἀδικηθῇ. ἐὰν δὲ τὸ πλοῖον ὑπεραντλήσῃ ὁ ναύκληρος, εὐθὺς λεγέτω τοῖς τὰ φορτία ἔχουσιν ἐν τῷ πλοίῳ, ἵνα ἡ ἔκθεσις γένηται τῶν φορτίων. ἐὰν δὲ οἱ ναῦται φανερὸν[1] ποιήσωσι τῷ ναυκλήρῳ, καὶ εἶθ᾽ οὕτως βλαβῇ τὰ φορτία, ὑπεύθυνον εἶναι τὸν ναύκληρον ἅμα τοῖς ναύταις. εἰ δὲ προδιαμαρτύρηται ὁ ναύκληρος ἅμα τοῖς ναύταις, ὅτι τὸ πλοῖον ὑπερήντλησε καὶ ἔκθεσθε, οἱ δὲ ἐμβαλλόμενοι τὰ φορτία ἀμελήσουσι τοῦ ἐκθέσθαι, ἀζήμιοι ἤτωσαν[2] ὅ τε ναύκληρος καὶ οἱ ναῦται.

30. Ἐν δὲ τῷ λε´ κεφ. Ἐὰν πλοῖον ἐκβολὴν ποιήσηται τῆς καταρτίας αὐτομάτως ἀποβαλλομένης ἢ κοπτομένης, πάντες οἱ ναῦται καὶ οἱ ἔμποροι καὶ τὰ φορτία καὶ τὸ πλοῖον σωθέντα εἰς συμβολὴν ἐρχέσθωσαν.

31. Ἐν δὲ τῷ λζ´ κεφ. Ἐάν τι πάθῃ τὸ πλοῖον, καὶ σωθῇ τὰ τῶν ἐμπόρων ἢ ἐπιβατῶν, τὸ δὲ πλοῖον ἀπόληται, τὰ μὲν γραμματεῖα σωζόμενα πέντε καὶ δεκάτας παρεχέτωσαν, ὁ δὲ ἔμπορος καὶ οἱ ἐπιβάται μὴ δότωσαν τῷ ναυκλήρῳ τὸ πλοῖον.

32. Ἐν δὲ τῷ μα´ κεφ. Ἐὰν πλέωσιν ἐν πλοίῳ ἐπιβάται, καὶ ἢ διαφθαρῇ ἢ ἀπόληται τὸ πλοῖον, τὰ δὲ τῶν ἐπιβατῶν σωθῇ, ἐπιφερέτωσαν οἱ ἐπιβάται τὴν[3] ἀπώλειαν τοῦ πλοίου. ἐὰν δὲ ἐπιβάται δύο ἢ τρεῖς ἀπολέσωσι τὸ χρυσίον αὐτῶν ἢ τὰ εἴδη, ἀπὸ πάντων λαμβανέτωσαν κατὰ τὴν δύναμιν πρὸς τὴν ἀπώλειαν ἅμα τῇ συμβολῇ τοῦ πλοίου.

33. Ἐν δὲ τῷ μδ´ κεφ. Ἐὰν πλοῖον ἔχῃ γόμον καὶ ἐν ζάλῃ

[1] Basil. μὴ φανερόν. [2] Ibid. ἔστωσαν, [3] Labbaeus: εἰς τὴν.

ἐκβολὴ τῆς καταρτίας γένηται, ἢ τῶν αὐχένων κλάσις ἢ ἀπώλειά τινος τῶν ἐφολκίων, ἐὰν μὲν ἐκ τῆς ζάλης συμβῇ τὸν γόμον βραχῆναι, ἀνάγκη πᾶσα εἰς συμβολὴν ταῦτα ἔρχεσθαι. εἰ δὲ ὁ γόμος ἐκ τῆς ἀντλίας πλεῖον βλαβῇ καὶ οὐχὶ ἐκ τῆς ζάλης, τὰ ναῦλα λαμβανέτω ὁ ναύκληρος, καὶ τὰ εἴδη παραδιδότω ξηρὰ μέτρῳ καθὼς παρέλαβεν.

34. Ἐν δὲ τῷ μζ' κεφ. Ἐὰν χρυσίον ἢ ἀργύριον ἢ ἕτερόν τι ἐκ βυθοῦ ἐπαρθῇ ἀπὸ οὐργυιῶν ὀκτώ, λαμβανέτω ὁ ἀποσώζων τὸ τρίτον μέρος· εἰ δὲ ἀπὸ οὐργυιῶν ιε', λαμβανέτω ὁ ἀποσώζων τὸ ἥμισυ διὰ τὸν κίνδυνον τοῦ βυθοῦ. τῶν δὲ ἐκριπτομένων ἀπὸ θαλάσσης εἰς γῆν καὶ εὑρισκομένων ἢ ἐπιφερομένων ἐπὶ πῆχυν ἕνα, λαμβανέτω ὁ ἀποσώζων δέκατον μέρος τῶν ἀποσωζομένων.

II.

Περὶ τῶν νεμομένων τὸ ἀλλότριον εἴτε καλῇ πίστει εἴτε κακῇ.

1. Ἀνάγν. βι. ς' τί. α' κεφ. νδ', ἐν ᾧ φησιν· Ὁ τὸν μὴ κεχρεωστημένον τόπον ὑπεισελθὼν ἱεροσυλίᾳ ὑποκείσθω, μὴ δυνάμενος ἄγνοιαν προβαλέσθαι[1].

2. Ἀνάγν. καὶ βι. θ' τί. γ' κεφ. ξζ', ἐν ᾧ φησιν[a]· Ὁ κακῇ πίστει νομεὺς οὐ μόνον τὸ πρᾶγμα ἀποδίδωσι καὶ τοὺς καρποὺς οὓς ἔλαβεν, ἀλλὰ καὶ οὓς ἠδύνατό τις λαβεῖν καρπούς, καὶ δίδωσι τούτους μετὰ προκάταρξιν. ταῦτα δὲ νόησον μὴ ἐπὶ τῆς ἀπαιτήσεως τῆς κληρονομίας· ἐπὶ ἐκείνης γὰρ καὶ οἱ πρὸ τῆς προκατάρξεως καρποὶ καταφέρονται. εἰ δὲ καὶ τελευτήσει οὕτως ἐπὶ κληρονόμῳ, καὶ ὁ κληρονόμος αὐτοῦ εἰς τὸ ἐλάττωμα αὐτοῦ ὑπεισιὼν τὰ αὐτὰ ἀπαιτεῖται.

3. Ἀνάγν. καὶ βι. ιε' τί. α' κεφ. ξα', ἐν ᾧ φησιν· Ὁ κακῇ πίστει νομεὺς τοὺς καρπούς, οὓς ἠδύνατο λαβεῖν ὁ ἐνάγων, δίδωσι τοῦ πλοίου καὶ τοῦ ἐργαστηρίου καὶ τοῦ μεσαύλου, τῶν εἰωθότων μισθοῦσθαι· καίτοι τοῦ κληρονόμου μὴ διδόντος τόκους τῶν εὑρεθέντων χρημάτων, ἐὰν μὴ ἥψατο αὐτῶν. διότι τὸ πλοῖον οὐκ ἐκκινδυνεύεται τῷ νομεῖ, ὡς τὰ χρήματα τῷ δανείζοντι. καὶ κεφ. ξδ' καὶ ξε' καὶ τί. δ' κεφ. δ' καὶ ε' θέμ. ς' καὶ κεφ. ζ' θέμ. γ' καὶ κεφ. ια' θέμ. γ'.

---

[a] Ἀνάγνωθι καὶ τὸ περὶ δεσποτείας καὶ τὸ περὶ ἐκδικουμένων πραγμάτων.

---

[1] Leuncl. προβάλλεσθαι.

4. Ἀνάγν. καὶ βι. κγ' τί. γ' κεφ. κγ', ἐν ᾧ φησιν· Ὁ καλῇ πίστει νομεὺς τοὺς καρποὺς λαμβάνων δεσπόζει αὐτῶν, κἂν ἄλλος αὐτοὺς ἔσπειρεν. ἐοίκασι γὰρ τοῖς ἐκ τῶν ὑπηρεσιῶν τοῦ δούλου προσπορίζομένοις, καὶ ἐν τῇ λήψει τῶν καρπῶν[1] δίκαιον ἔχει δεσπότου τοῦ ἀγροῦ. ὁ δὲ δεσπότης λαμβάνει τοὺς καρποὺς, κἂν ἀλλότριον σῖτον σπείρῃ. μεῖζον δὲ δίκαιον ὁ καλῇ πίστει νομεὺς ἔχει παρὰ [τὸν] τὴν χρῆσιν ἔχοντα. εἰ γὰρ μὴ αὐτὸς ὁ τὴν χρῆσιν ἔχων λάβῃ τοὺς καρποὺς, οὐ δεσπόζει αὐτῶν. οἱ δὲ ὁπωσοῦν ληφθέντες τοῦ καλῇ πίστει εἰσὶν, ὡς καὶ τοῦ ἔχοντος ἐμφυτευτικὸν ἀγρόν.

5. Ἀνάγν. καὶ βι. νη' τί. ιζ', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὁ ἐξ ἄλλου λαβὼν, κἂν βίᾳ ἢ λάθρα ἢ παρακλήσει, νικᾷ σε ἐνάγοντα, οὐ μὴν εἰ ἀπὸ σοῦ ἔλαβε. παρὰ σοῦ γὰρ νέμεται. πρὸς ἄλλους γὰρ, εἴτε δικαίως εἴτε ἀδίκως νέμομαι, πλέον ἔχω τοῦ μὴ νεμομένου.

Ἐμοῦ καὶ σοῦ τὸ αὐτὸ εἰς ὁλόκληρον νεμομένων, εἰ σὺ ἐξ ἐμοῦ ἀδίκως νέμῃ, ἐγὼ καλλίων εἰμί. εἰ δὲ μὴ ἐξ ἐμοῦ, κἂν ἀδίκως νέμῃ, οὐδεὶς ἡμῶν ἡττᾶται τῷ ἄλλῳ.

III.

Περὶ νηπίων ἐκτιθεμένων ἤτοι ῥιπτομένων, ἐλευθέρων τε καὶ δούλων.

1. Ἀνάγν. βι. λα' τί. ς' κεφ. δ', ἐν ᾧ φησι· Φονεύει τὸ τικτόμενον οὐ μόνον ὁ πνίγων, ἀλλὰ καὶ ὁ ῥίπτων καὶ ὁ μὴ τρέφων καὶ ὁ ἐν δημοσίοις τόποις ἐκτιθέμενος ἐπὶ ἐλεημοσύνῃ ἣν αὐτὸς οὐκ ἔχει.

2. Ἀνάγν. βι. λγ' τί. β', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Εἷς ἕκαστος τὴν ἰδίαν γονὴν τρεφέτω. εἰ δὲ ἔκθηται αὐτὴν, ἀξίως τιμωρηθήσεται. οὐκέτι δὲ ἢ δεσπότης ἢ πάτρων ἐκδικῆσαι δύναται, ὅπερ ἂν ἔκθηται.

3. Ἐν δὲ τῷ δ' κεφ. Θεσπίζομεν, ὅσοι ἐν ἐκκλησίαις ἢ ἐν ῥύμαις ἢ ἄλλοις τόποις ἀποῤῥιφέντες δειχθῶσι, τούτους πᾶσι τρόποις ἐλευθέρους εἶναι παρακελευόμεθα[2], εἰ καὶ ἀκριβής τις ἀπόδειξις ὑπάρχει τῷ ἐνάγοντι εἰς τὸ δεῖξαι τὸ τοιοῦτον πρόσωπον τῇ αὐτοῦ διαφέρειν δεσποτείᾳ. εἰ γὰρ τοῖς ἡμετέροις προτέτακται νόμοις, ὥστε τοὺς νοσοῦντας οἰκέτας παρὰ τῶν δεσποτῶν καταφρονηθέντας καὶ ὡς τῆς αὐτῶν ὑγείας ἀπελπισθείσης ἐκ τῶν κεκτημένων ἐπιμελείας μὴ ἀξιουμένους πάν-

---

[1] Lips. τοῦ ἀγροῦ. [2] Illud παρακελ. abundat, nec habet Leuncl.

τως εἰς ἐλευθερίαν ἀναρπάζεσθαι, πῶς ἄρα γε τοὺς ἐν αὐτῇ τῇ τῆς ζωῆς ἀρχῇ τῇ τῶν ἄλλων ἀνθρώπων καταλειφθέντας εὐσεβείᾳ καὶ παρ᾽ αὐτῶν ἀνατραφέντας ἀνεξόμεθα εἰς ἄδικον δουλείαν καθέλκεσθαι; ἀλλὰ τούτους ἐλευθεροῦσθαι θεσπίζομεν, μήτε τὰς ἐκ τῶν ἡμετέρων νόμων τῶν ταῦτα πραττόντων διαφευγόντων ποινάς, οἷα πάσης ἀπανθρωπίας καὶ ὠμότητος πεπληρωμένων, καὶ τοσοῦτον πάσης μιαιφονίας χείρονος, ὅσον ταύτην τοῖς ἀθλιωτέροις ἐπάγουσι[1].

IV.

Περὶ τῶν εἰς νομὴν ἤτοι διακατοχὴν πεμπομένων, καὶ ἐκ ποίων αἰτιῶν πέμπονται, καὶ πότε τὰ εἰς νομὴν δοθέντα πιπράσκονται, καὶ περὶ παραγραφῆς τῶν εἰς νομὴν μὲν πεμφθέντων, βίᾳ δὲ ἢ δόλῳ ἐκβληθέντων ἢ κωλυθέντων.

1. Ἀνάγν. βι. θ´ τί. ϛ´ [κεφ. α´], ἐν ᾧ διαλαμβάνεται, ὅτι ἐκ τριῶν σχεδὸν αἰτιῶν πέμπεταί τις εἰς νομὴν, ἢ λεγατάριος ἐπὶ φυλακῇ τῶν πραγμάτων ἢ τῶν λεγάτων, ἢ γυνὴ γαστρὸς ὀνόματι, ἢ ἐπὶ μελλούσης διὰ συμπτώσεως ζημίας ἀγωγῇ.

2. Καὶ ὁ χρεωστούμενος παρὰ ἀνήβου μὴ ἐκδικουμένου πέμπεται εἰς νομήν.

3. Εἰ γὰρ ἐκδικεῖται ὑπὸ κηδεμόνος ἢ ἄλλου τινὸς, ἀργεῖ ἡ πομπή. ὁμοίως καὶ ἐπὶ μαινομένου.

4. Πιπράσκονται δὲ τὰ πράγματα τοῦ ὑφισταμένου νομὴν, εἰ μὴ ἄνηβος ᾖ ἢ διὰ πρᾶγμα δημόσιον δίχα δόλου ἀπέστιν.

5. Ἐν δὲ τῷ ζ´ κεφ. φησίν· Εἴ τις διὰ περιγραφὴν κρύπτεται καὶ μὴ ἐκδικεῖται, καὶ νομὴν καὶ διάπρασιν ἐπὶ τοῖς οἰκείοις ὑφίσταται.

6. [Ἐν δὲ τῷ η´ κεφ. Ὁ] ὑπὸ ἡμέραν ἢ αἵρεσιν χρεωστῶν κἂν λανθάνῃ, οὐ πάσχει διάπρασιν πρὸ τῆς ἡμέρας ἢ τῆς αἱρέσεως. οὐ γάρ ἐστι χρέος· ὥσπερ οὐδ᾽ ὁ ὑποκείμενος ἀγωγῇ, ἣν ἐκβάλλει παραγραφῇ.

7. Ἐν δὲ τῷ θ´ κεφ. Ὁ κωλύων με ἐπιβῆναι τῆς νομῆς τῶν τοῦ χρεώστου μου ὑπόκειταί μοι εἰς τὸ διαφέρον. εἰ δὲ καὶ λεγατάριος ὢν πεμφθῶ καὶ κωλυθῶ, κἂν δύνηται ἀσθενεῖν τὸ αἱρετικὸν λεγάτον, ὅμως διατιμᾶται ἡ ἀσφάλεια. δανειστὴς δὲ αἱρετικὸς οὐ πέμπεται[2], ὁ δυνάμενος καὶ πωλεῖν. ἀνάγν. καὶ τί. ζ.

8. Καὶ βι. νϛ´ τί. κα´, ἐν ᾧ φησι, πῶς δεῖ γενέσθαι τὴν παράδοσιν πρὸς τὸν ἐπὶ νομῇ στελλόμενον.

---

[1] Labb. ἐπεισάγ. [2] Basil. addunt: ἐκεῖνος γὰρ πέμπεται ὁ δυν.

9. *Ἀνάγν. καὶ βι. να΄ τί. ε΄*[1]*, οὗτινος ἐν τῷ α΄ κεφ. θέμ. β΄*[2] *φησίν* Εἴτε δανειστὴς εἴτε λεγατάριος εἴτε γαστὴρ εἰς νομὴν πεμφθῶσι, κινοῦσι τὴν ἰμφακτοὺμ[a], εἴτε δόλῳ εἴτε ἄλλως κωλυθῶσιν. ἐνάγεται δὲ καὶ ὁ κωλύων καὶ ὁ ἐξωθῶν, κἂν μὴ βίαν ἐποίησε, πλὴν εἰ μὴ ἴδιον ἐνόμισε τὸ πρᾶγμα, ἢ ὑποκεῖσθαι αὐτῷ ἢ μὴ εἶναι τοῦ χρεώστου.

10. Ἐνάγεται δὲ εἰς ὅσον διέφερε τῷ δανειστῇ κατασχεῖν τὸ πρᾶγμα. ὥστε εἰ ψευδὲς ἦν τὸ χρέος, δι᾽ ὃ ἐπέμφθη εἰς νομήν, ἢ καὶ ὑπὸ παραγραφῆς σου ἐξεβάλλετο, οὐχ ἕξει τὴν ἀγωγήν.

11. *Ἀνάγν. καὶ βι. νη΄ τί. ι΄ κεφ. λβ΄ καὶ μβ΄ καὶ μγ΄ καὶ μδ΄, ἐν οἷς φησι περὶ τῶν διὰ μέλλουσαν ζημίαν πεμπομένων εἰς νομήν.* Οἷον ἐὰν ὁ γείτων τὸν σαθρωθέντα οἶκον αὐτοῦ καὶ ἀπειλοῦντα πτῶσιν μὴ ἀνανεοῖ, ἢ μὴ ἀσφαλίζεταί με τοῦ μήτινα καινοτομίαν παθεῖν ἐξ αὐτοῦ, πέμπομαι εἰς νομήν.

V.

Περὶ νομῶν ἤτοι βοσκῶν.

1. *Ἀνάγν. βι. νε΄ τί. ζ΄, οὗτινος ἐν τῷ β΄ κεφ. φησί·* Τοὺς λειμῶνας τῶν ἐπαρχεωτῶν καὶ μάλιστα τῶν ἡμετέρων πραγμάτων οὐ βουλόμεθα ὑπὸ στρατιωτῶν καταπονεῖσθαι. τοῦτο οὖν κωλύοντες τοῦ λοιποῦ ἐπιτρέπομεν, μήτε κτήτορας μήτε γεωργοὺς ἀδικεῖσθαι.

VI.

Περὶ νόμου καὶ μακρᾶς συνηθείας.

1. *Ἀνάγν. βι. β΄ τί. α΄, οὗτινος ἐν τῷ ιγ΄*[3] *κεφ. φησί·* Νόμος[a] ἐστὶ κοινὸν παράγγελμα, φρονίμων ἀνδρῶν[b] δόγμα, ἑκουσίων καὶ

---

[a] Ἀγωγὴ ἀπαιτοῦσα τὸ ἁπλοῦν.

[a] Πόθεν νόμος; παρὰ τὸ νέμειν ἑκάστῳ τὸ ἴδιον. ὤφειλεν ὁ νόμος ἀπὸ τοῦ νέμω ὠνομάσθαι. καί φαμεν ὅτι ἴους παρὰ ῥωμαίοις λέγεται ἡ δικαιοσύνη καὶ τὸ νόμιμον. πρὸς ἐκείνους δὲ ἀναφέρων τὸν λόγον ὁ νομοθέτης οὕτω φησίν.

[b] Σημείωσαι, ὅτι δώδεκα σοφοὶ νομοθέται πάλαι ἀπὸ ῥώμης ἐπέμφθησαν κατά τε τὰς λοιπὰς ἐπαρχίας καὶ κατὰ τὴν τῶν ἀθηνῶν καὶ ἐνομοθέτουν. τὰ γοῦν τούτων νομικὰ ποιήματα ἐκαλοῦντο δυοδεκάδελτος. τὰ δὲ ὀνόματα τῶν νομοθετῶν τῆς δυοδεκαδέλτου εἰσὶ ταῦτα· γάϊος, πομπώνιος,

---

[1] Lips. et Leuncl. α΄. [2] Leuncl. λβ΄. [3] Lips. α΄.

ἀκουσίων ἁμαρτημάτων ἐπιστροφὴ, πόλεως συνθήκη κοινή. ἐστὶ δὲ καὶ θεῖον εὕρημα.

2. Ἐν δὲ τῷ α΄[1] κεφ. φησίν· Ὁ νόμος ἀπὸ τῆς δικαιοσύνης ὠνόμασται. ἐστὶ γὰρ τέχνη τοῦ καλοῦ καὶ ἴσου. διαιρεῖται δὲ εἰς δημόσιον καὶ ἰδιωτικόν. καὶ τὸ μὲν δημόσιον τὴν πολιτείαν ὁρᾷ, καὶ συνίσταται ἐν ἱερεῦσι καὶ ἄρχουσι. τὸ δὲ ἰδιωτικὸν πρὸς τὸ ἑκάστου χρήσιμον, καὶ σύγκειται ἢ ἀπὸ φυσικοῦ νόμου ἢ ἐθνικοῦ ἢ πολιτικοῦ. καὶ φυσικὸς μέν ἐστι νόμος, ᾧτινι πάντα τὰ ζῶα καὶ οὐκ ἄνθρωποι μόνοι κέχρηνται, ὡς ἡ τοῦ ἄῤῥενος καὶ ἡ τοῦ θήλεος συνάφεια καὶ ὁ τοκετὸς καὶ ἡ ἀναγωγὴ τῶν παίδων. τοῦ ἐθνικοῦ δὲ νόμου ἐστὶν ἡ περὶ τὸ θεῖον θρησκεία καὶ τὸ πείθεσθαι γονεῦσι καὶ πατρίδι καὶ τὸ ἀπωθεῖσθαι τὴν ἐπιφερομένην βίαν καὶ ὕβριν· ὅσα γάρ τις εἰς φυλακὴν τοῦ ἰδίου σώματος ποιεῖ, νομίμως ποιεῖ. καὶ τὴν ἐλευθερίαν ὁ ἐθνικὸς εἰσηγήσατο νόμος· πάντας γὰρ ἐξ ἀρχῆς ἡ φύσις ἐλευθέρους προήγαγε. καὶ τὰ συναλλάγματα καὶ αἱ ἐνοχαὶ πάντα σχεδὸν τοῦ ἐθνικοῦ ἐστι. τινὰ δὲ καὶ ὁ πολιτικὸς ἐφεῦρεν, ὡς τὴν ἀγωγὴν τὴν μετατιθεῖσαν παλαιὸν χρέος εἰς καινὸν καὶ τὴν περὶ ἐμφυτεύσεως[c]. τὸ δὲ πολιτικὸν νόμιμον οὔτε τελείως ἀπᾴδει τοῦ φυσικοῦ καὶ τοῦ ἐθνικοῦ οὔτε τελείως αὐτοῖς ἕπεται. καὶ ἐστὶν ἔγγραφος ἢ ἄγραφος. εἰσήχθη δὲ ἢ ἀπὸ τοῦ δυοδεκαδέλτου ἢ τῶν τοῦ δημοσίου δογμάτων ἢ τῶν τῆς συγκλήτου θεσπισμάτων ἢ βασιλικῶν δογμάτων ἢ τῆς αὐθεντίας τῶν σοφῶν. καὶ τὸ πραιτώριον δὲ νόμιμον ζῶσα φωνὴ τοῦ πολιτικοῦ ἐστι.

ἄπριος κλαύδιος, σέξστος ἀέλιος, θαλέλαιος, παῦλος, στέφανος καὶ οὐλπιανός. δυοδεκάδελτος εἴρηται τοῦτον τὸν τρόπον. μετὰ τὸ ἐξελάσαι τοὺς ῥῆγας οἱ ῥωμαῖοι νόμον ἔθεντο, ὥστε τοὺς νόμους αὐτῶν μὴ πολιτεύεσθαι, καὶ τοῦτο ἐκράτει κ΄ ἔτη. ἐλθόντες οὖν πρὸς ἀθηναίους καὶ λακεδαιμονίους οἱ ἄνδρες ἔλαβον τοὺς ἐκεῖθεν νόμους. εἶτα νοήσαντες τούτους ἐλλείπειν, ἦσαν γὰρ ἐν δέκα δέλτοις ἐλεφαντίνοις γραφέντες, ἑτέρους προστεθείκασι δύο· καὶ οὕτως ἐκλήθη δυοδεκάδελτος.

c Τὸ τῆς ἐμφυτεύσεως συνάλλαγμα τοιοῦτόν ἐστιν· ἐκδίδοται ἔδαφος ἢ οἴκημα εἰς τελείαν καὶ ἀναφαίρετον διακατοχὴν ἢ εἰς ἀριθμὸν ἑνὸς ἢ β΄ ἢ γ΄ προσώπων, ὥστε κατ᾽ ἔτος τοσόνδε τὶ τελεῖσθαι πρὸς τὸν ἐκδόντα χάριν ἐμφυτεύματος. καὶ κοινωνεῖ μὲν τῇ μισθώσει διὰ τὸ κατ᾽ ἔτος τελεῖσθαι τὸν ἐμφυτευτικὸν κανόνα· διαφέρει δὲ διὰ τὸ διηνεκῆ εἶναι πολλάκις τὴν διακατοχὴν, ἐφ᾽ ᾧ καὶ μᾶλλον ἔοικε τῇ πράσει.

---

[1] Lips. ια΄. Leun cl. ιδ΄.

Πολιτικόν ἐστι νόμιμον καὶ ὅπερ ἑκάστη πόλις ἑαυτῇ ὁρίσει· καὶ ἐστὶν αὐτῆς ἰδικόν.

3. Ἐν δὲ τῷ ιε' κεφ. *Τοὺς νόμους ἀπὸ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων, [οὐ μὴν τῶν σπανίως εἰσ]άγεσθαι δεῖ.*

4. *Οὐδὲ ἀπὸ τῶν δυναμένων ἐν ἑνὶ συμβῆναι θέματι.*

5. *Παραβαίνουσι γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ δίς.*

6. *Ἀρετὴ νόμου τὸ κελεύειν, τὸ κωλύειν, τὸ ἐπιτρέπειν, τὸ τιμωρεῖσθαι.*

7. *Οὐ περὶ τοῦ καθ' ἕκαστον, ἀλλὰ κοινῶς οἱ νόμοι τίθενται.*

8. *Καὶ ἡ σύγκλητος νομοθετεῖ*[d].

9. *Οὐ πάντα τὰ θέματα περιλαμβάνει ὁ νόμος, ἀλλὰ τὰ ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνοντα.*

10. *Τὰ ἐν πρώτοις νομοθετούμενα τὸν βασιλέα δεῖ ἑρμηνεύειν.*

11. *Ἐκ τῶν ὁμοίων τέμνεσθαι δεῖ τὰ περὶ ὧν οὐ κεῖται νόμος*[e].

12. *Τὸ δὲ παρὰ κανόνας εἰσαχθὲν οὐχ ἕλκεται πρὸς ὑπόδειγμα.*

13. *Ἰδικὸς νόμος ἐστὶν ὁ διά τι χρήσιμον παρὰ κανόνας εἰσαγόμενος αὐθεντίᾳ τοῦ νομοθετοῦντος.*

14. Ἐν δὲ τῷ ιζ' κεφ. *Εἰδέναι νόμους ἐστὶν οὐ τὸ γινώσκειν τὰ ῥήματα, ἀλλὰ τὴν δύναμιν αὐτῶν.*

15. Ἐν δὲ τῷ ιη' κεφ. *Φιλαγάθως δεῖ τοὺς νόμους ἑρμηνεύειν.*

16. *Ἐν τοῖς ἀμφιβόλοις τὴν ἀνεπίληπτον ἑρμηνείαν προσιέμεθα*[f].

---

d *Ἓξ παρὰ ῥωμαίοις ἦσαν νομοθέται, δῆμος, χυδαῖος δῆμος, σύγκλητος, βασιλεία, ἄρχοντες τῆς ῥώμης, καὶ σοφοί. δῆμός ἐστι κοινῆς τύχης σύνοδος κατὰ ταὐτὸ συναριθμουμένων τοῖς ἰδιώταις τῶν συγκλητικῶν· τὸ δὲ παρὰ τοῦ δήμου νομοθετούμενον λέγεται λέξ. χυδαῖος δῆμός ἐστι τὸ λοιπὸν ἅπαν πλῆθος ὑπεξῃρημένων τῶν συγκλητικῶν· τὸ δὲ παρ' αὐτοῦ νομοθετούμενον λέγεται πλεβίσκιτον ἤτοι τὸ ὑπὸ τοῦ δήμου κυρωθέν. σύγκλητος δέ ἐστι σύγκλημα ἐξ ἐπιλέκτων ἀνδρῶν καθαρεῦον ἰδιώτου· τὸ δὲ παρ' αὐτοῦ νομοθετούμενον λέγεται σενάτους κονσούλτουμ ἤγουν τὸ θέσπισμα τῆς συγκλήτου.*

e *Οἷον νόμος ἐστὶ τὸν ἱερέα μὴ εἰς δεύτερον ἔρχεσθαι γάμον· περὶ δὲ διακόνων ῥητῶς ὁ νόμος οὐκ ἐμνημόνευσεν. ἐπεὶ οὖν ἐοίκασιν ἱερεῦσιν οἱ διάκονοι, δεῖ τὸν τοιοῦτον νόμον κρατεῖν καὶ ἐπὶ διακόνων.*

f *Οἷον βιασάμενός τις δύο γυναῖκας, τῆς μὲν μιᾶς θάνατον αἱρουμένης αὐτῆς, τῆς δ' ἄλλης γάμον, ἂν φονευθῇ, ταῖς δυσὶ δέδωκε δίκας· εἰ δὲ γα-*

17. Οὐ δυνατὸν πάντων τῶν νόμων ἀποδιδόναι λογισμόν[g].

18. Οὐ δεῖ οὖν ζητεῖν αὐτῶν λογισμούς.

19. Οὐ δεῖ μεταποιεῖν τὰ πρόδηλον ἑρμηνείαν ἔχοντα[h].

20. Τὰ ὑπέρ τινος εἰσαχθέντα κατ᾽ αὐτοῦ οὐχ ἑρμηνεύεται[i].

21. Ἐν δὲ τῷ λβ′ κεφ. Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν. εἰ δὲ καὶ τοῦτο ἐκλείπει, ἀκολουθεῖν δεῖ τοῖς πλησιάζουσι καὶ ἐοικόσι τῷ ζητουμένῳ. εἰ δὲ μήτε ταῦτα εὑρίσκεται, τότε [τὸ] νόμιμον, ᾧτινι ἡ ῥώμη κέχρηται, παραφυλάττειν δεῖ.

Ἡ παλαιὰ συνήθεια ἀντὶ νόμου φυλάττεται.

Ὥσπερ ἡ θέσις τοῦ νόμου ἢ ἔγγραφός ἐστιν ἢ ἄγραφος, οὕτω καὶ ἡ ἀναίρεσις αὐτοῦ ἢ δι᾽ ἐγγράφου γίνεται νόμου ἢ δι᾽ ἀγράφου, τουτέστι [τῆς] ἀχρησίας.

μηθῇ τῇ μιᾷ, ἡ ἑτέρα οὐ βοηθεῖται. ἐνταῦθα γὰρ ὁ θάνατος ὁρισθήσεται διὰ τὸ ἀνεπίληπτον.

g Στεφάνου. Διὰ τοῦτο οὐ χρὴ τῶν νομοθετουμένων ζητεῖν λογισμὸν, ἐπειδὴ καὶ τὰ λίαν ὡμολογημένα διὰ τῆς τοιαύτης ἀμφιβολίας ἀνατρέπεται.

h Οἷον νόμου κειμένου τοῦ κελεύοντος, ὡς ἐάν τις κατὰ ταὐτὸν ἐν δυσὶ δικαστηρίοις ἑλκύσῃ τὸν ἀντίδικον αὐτοῦ, ἐκπίπτει τῆς ἀνηκούσης αὐτῷ δίκης, ἐπιχειρήσῃ τὶς μεταποιεῖν τὸν τοιοῦτον νόμον πρόδηλον τὴν ἑρμηνείαν ἔχοντα.

i Τὰ ὑπέρ τινος εἰσαχθέντα οὐκ ὀφείλει αὐτὸν βλάπτειν ἐκ περιόδου καὶ ἐξ ἀποτελέσματος. οἷον κελεύουσιν αἱ διατάξεις καταβάλλοντα τὸν χρεώστην μέρος τοῦ χρέους λαμβάνειν παρὰ τοῦ δανειστοῦ ἀποχὴν, διδόναι δὲ καὶ αὐτὸν ἀνταποχήν. ἐπειδὴ γὰρ διὰ λ′ετίας αἱ προσωπικαὶ σβέννυνται ἀγωγαὶ μήτε προκατάρξεως μήτε μερικῆς γενομένης καταβολῆς ἤ τινος ἑτέρου διακόπτειν δυναμένου τὸν χρόνον· διὰ τοῦτο κελεύει ὁ νόμος γίνεσθαι τὰς ἀνταποχὰς, ἵνα τῶν χρεωστῶν τὴν λ′ετίαν προβαλλομένων εἰς παραγραφὴν ἔχοιεν οἱ δανεισταὶ δι᾽ ἑαυτῶν ἀποδεικνῦναι, ὅτι καὶ μερικὴ γέγονε τοῦ χρεώστου καταβολὴ ἀναιροῦσα τὴν προτεινομένην τῆς λ′ετίας παραγραφήν. εἰ οὖν μὴ γένωνται ἀνταποχαὶ παρὰ τῶν χρεωστῶν, δύνανται δὲ οἱ δανεισταὶ ἑτέρωθεν ἀποδεῖξαι, ὅτι γέγονε καταβολὴ μερικὴ, καλῶς καὶ οὕτω κινοῦσι, μὴ ὑφιστάμενοι παντελῶς πρόκριμα ἐκ τοῦ μὴ γενέσθαι τὰς ἀνταποχάς· ἐπειδὴ ὑπὲρ αὐτῶν ἡ γένεσις αὐτῶν ἐνομοθετήθη, καὶ οὐκ ὀφείλει κατ᾽ αὐτῶν μὴ προβᾶσα λαμβάνεσθαι. — Νόμος τὸν ἀπελεύθερον κινοῦντα κατὰ τοῦ πάτρωνος αὖθις ἀναδουλοῦσθαι. ἀπελεύθερός τις ἀποθανόντος τινὸς ὑπεισέδυ κληρονομίαν ἐπιζήμιον, εἶτα τῷ πάτρωνι ἀναδεδούλωται ἐπαναστὰς κατ᾽ αὐτοῦ, καὶ βούλονται εὐθύνειν τὸν πάτρωνα ὡς δεσπότην εἰς τὰ ἀπὸ κληρονομίας ὀφειλόμενα χρέα· ὁ δὲ τὸν νόμον τῆς ἀναδουλώσεως ὑπὲρ ἐμοῦ φησιν εἶναι, οὐχὶ κατ᾽ ἐμοῦ.

22. Ἐν δὲ τῷ λγ' κεφ. Ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ, ἐν οἷς οὐκ ἔστιν ἔγγραφος νόμος[k].

23. Ἐν δὲ τῷ λδ' κεφ. Τότε κεχρήμεθα τῇ συνηθείᾳ τινὸς πόλεως ἢ ἐπαρχίας, ὅτε ἀμφισβητηθεῖσα ἐν δικαστηρίῳ ἐβεβαιώθη.

24. Ἐν δὲ τῷ λε' κεφ. Καὶ τὰ μακρᾷ συνηθείᾳ δοκιμασθέντα καὶ ἐπὶ πολλοῖς ἐνιαυτοῖς φυλαχθέντα οὐχ ἧττον τῶν ἐγγράφων κρατοῦσιν,

25. Ὡς τοσοῦτον δοκιμασθέντα, ὥστε καὶ μὴ δεηθῆναι ἐγγράφου.

26. Ἐν τῇ τῶν νόμων ἑρμηνείᾳ τῇ συνηθείᾳ δεῖ προσέχειν τῆς πόλεως, καὶ ὅπως ἐπὶ τῶν ὁμοίων διὰ παντὸς ἐψηφίσθη.

27. Ἐν δὲ τῷ λθ' κεφ. Τὸ μὴ μετὰ λογισμοῦ εἰσενεχθὲν, ἀλλὰ κατὰ πλάνην καὶ συνηθείᾳ κρατῆσαν, οὐ δεῖ κρατεῖν ἐν τοῖς ὁμοίοις.

28. Ἐν δὲ τῷ μ' κεφ. Πᾶς νόμος ἢ ἀπὸ συναινέσεως ἐτέθη ἢ ἀνάγκης, ἢ ἀπὸ συνηθείας ἐβεβαιώθη.

29. Ἐν δὲ τῷ μγ' κεφ. Ὁ ἄρχων ὃ εὕροι συχνάζον ἐν πόλει ἐπί τινος πράγματος, φυλάξει αὐτό. καὶ γὰρ καὶ ἡ συνήθεια ἡ προλαβοῦσα καὶ ὁ λογισμὸς ὁ εἰσάγων αὐτὴν φυλακτέα ἐστὶ, καὶ οὐκ ἐάσει τὶ παρὰ τὴν μακρὰν συνήθειαν γίνεσθαι.

30. Ἐν δὲ τῷ με' κεφ. Τῆς συνηθείας καὶ τῆς χρήσεως ἡ αὐθεντία οὐκ ἐπὶ τοσοῦτον ἰσχύει, ὡς καὶ τὸν λογισμὸν καὶ τὸν νόμον ὑπερνικᾶν.

31. Ἡ μακρὰ συνήθεια καὶ δοκιμασθεῖσα τάξιν ἔχει νόμου· καὶ ὅτι τὰ δοθέντα ὀφφικίοις ἢ πόλεσιν ἢ ἄρχουσιν ἢ συστήμασιν ἰσχυρά ἐστι καὶ βέβαια εἰς τὸ διηνεκὲς ἰσχύοντα[l].

---

[k] Στεφάνου. Μὴ νόμιζε τῆς τοιαύτης συνηθείας προϋπούσης, εἶτα νόμου πρὸς ἀνατροπὴν ταύτης εἰσαχθέντος, δυνατὸν ὑπὸ τῆς ἀχρησίας τοῦτον ἀναιρεθῆναι καὶ τὴν πρότερον συνήθειαν ἐνεργεῖν. στερχθέντος δέ τε καὶ ἐνεργήσαντος οὐ δυνατὸν διὰ τῆς συνηθείας ἀναιρεθῆναι τοῦτον, εἰ μὴ διὰ βασιλικῆς διασκέψεως.

[l] Ἀνάγνωθι καὶ ξς' νεαρὰν, ἐν ᾗ φησι τὰς νεαρὰς διατάξεις μετὰ β' μῆνας τῆς ἐμφανίσεως κρατεῖν. ἀνάγνωθι καὶ νεαρὰν κα', ἐν ᾗ φησι περὶ ἀρμενίων τοῦ ἀκολουθεῖν αὐτοὺς τοῖς ῥωμαίων νόμοις.

VII.

Περὶ νομισμάτων παλαιῶν.

1. *Ἀνάγν. βι. νδ´ τί. ιη´ [κεφ. α´], ἐν ᾧ φησι·* Τὰ νομίσματα ἐὰν ἔχῃ τύπον βασιλέως, ἀδιαστρόφως καὶ πιπρασκέσθω καὶ ἀγοραζέσθω, μόνον ἵνα τὸν σταθμὸν καὶ τὸ εἶδος καλὸν ἔχῃ. εἰ δέ τις ἀμφισβητήσει πρὸς τοῦτο, ἰσχυρῶς τιμωρηθήσεται.

2. *[Ἐν δὲ τῷ β´ κεφ.]* Κατὰ τὴν μείωσιν τῶν νομισμάτων καὶ τὸ τίμημα τῶν ὠνίων μειούσθω.

3. *[Ἐν δὲ τῷ γ´ κεφ.]* Μηδεὶς εἰς τὰ ὄβρυζα διαφορὰν ἡγείσθω τιμήματος· ἐπεὶ κεφαλικῶς τιμωρηθήσεται, ὅστις τὰ παλαιὰ ὄβρυζα ὄντα εὐτελεστέρως διατιμᾶται.

Ἀρχὴ τοῦ Ξ στοιχείου.

I.

Περὶ [τοῦ] ξενῶνος τοῦ ὁσίου σαμψών.

1. *Ἀνάγν. βι. ε´ τί. γ´ κεφ. ιβ´ θέμ. β´, ἐν ᾧ φησι·* Φυλάττεσθαι δὲ κελεύομεν τῷ εὐαγεῖ ὀρφανοτροφείῳ ταύτης τῆς βασιλίδος πόλεως καὶ τῷ ξενῶνι τῷ καλουμένῳ τῆς ὁσίας μνήμης σαμψὼν καὶ τοῖς ὑπὸ τὴν αὐτοῦ διοίκησιν καθεστῶσιν εὐκτηρίοις ἢ ξενοδοχείοις ἢ ἄλλοις σεβασμίοις οἴκοις πάντα τὰ προνόμια, ἅπερ ἔχει ἡ ἁγιωτάτη [μεγάλη] ἐκκλησία κωνσταντινουπόλεως.

Ἀρχὴ τοῦ Ο στοιχείου.

I.

Περὶ ὁδοῦ δημοσίας καὶ ἀγροικικῆς καὶ ἰδιωτικῆς καὶ πλατείας.

1. *Ἀνάγν. βι. νη´ τί. γ´ κεφ. α´, ἐν ᾧ φησιν·* Ἀγροικικαὶ δουλεῖαί εἰσι μονοπάτιον, πάροδος, ὁδὸς πλατεῖα, ὑδραγώγιον. μονοπάτιόν ἐστι τὸ παριέναι καὶ διακινεῖν ἄνθρωπον χωρὶς ὑποζυγίου. πάροδός ἐστι τὸ ἐλαύνειν θρέμμα ἢ ὑποζύγιον· ὁ

ἔχων οὖν τὴν πάροδον ἔχει καὶ τὸ μονοπάτιον. πλατεῖα ὁδός ἐστι τὸ παριέναι καὶ διακινεῖν καὶ διελαύνειν· περιέχει γὰρ ἡ πλατεῖα ὁδὸς τὸ μονοπάτιον καὶ τὴν πάροδον. κατὰ νόμον δὲ ἡ πλατεῖα ὁδὸς, ὡς ἐν τῷ η′ [1] κεφ. φησὶν, εἰς μὲν ὀρθὸν ὀκτὼ ποδῶν ἐστιν, εἰς δὲ κάμψιν ις′.

2. Ἀνάγν. καὶ τί. ς′ κεφ. ιε′, ἐν ᾧ φησιν· Ἐὰν ἡ δημοσία ὁδὸς ὑπὸ τοῦ ποταμοῦ ἢ καταπτώσεως ἀπόληται, ὁ πλησιάζων γείτων παρίστησιν αὐτήν.

II.

Περὶ ὅρκου ἐπακτοῦ καὶ ἀντεπαγομένου καὶ δικαστικοῦ καὶ τοῦ περὶ συκοφαντίας, καὶ τίνες οὐ δύνανται ὅρκον ἐπάξαι ἢ ἀντεπάξαι, καὶ πότε οὐκ ἔχει παραγραφὴν ὁ ὀμνὺς, καὶ ὅτι οἱ ἔνδοξοι καὶ οἱ ἀσθενεῖς οἴκοι ὀμνύουσιν [a].

1. Ἀνάγν. βι. κβ′ τί. ε′, οὗτινος ἐν τῷ α′ κεφ. φησίν· Ὅρκος ἐπιφερόμενος εἴτε παρὰ τοῦ δικαστοῦ εἴτε παρὰ τοῦ ἀντιδίκου τέμνει τὴν ἀμφισβήτησιν.

2. Ἔοικε γὰρ διαλύσει, καὶ μείζων ἐστὶ ψήφου.

Ὁ μηδενὸς ἐνάγοντος [2] ὀμνὺς οὐκ ὠφελεῖται.

3. Ἐν δὲ τῷ β′ κεφ. Ἐφ᾿ οἱαδήποτε ἀγωγῇ ὀμνύς τις ἐλευθεροῦται.

4. Ἐν δὲ τῷ γ′ κεφ. Ὡς ἐπιφέρεται ὁ ὅρκος, οὕτως ὀφείλει ὄμνυσθαι. εἰ γὰρ ἐμοῦ κατὰ [τοῦ] θεοῦ ἐπάγοντος ὀμόσεις κατὰ τῆς κεφαλῆς σου ἢ κατὰ τῶν τέκνων σου, οὐκ ἔῤῥωται.

5. Ἐν δὲ τῷ ζ′ κεφ. Ἐὰν ἀφῆλιξ περιγραφῇ καθ᾿ ὃ μὴ ὀφείλων ὅρκον ἐπήγαγεν, ἀποκαθίσταται εἴσω τοῦ ὡρισμένου χρόνου.

6. Ἐν δὲ τῷ η′ κεφ. Εἰ δέ τις ἐπὶ παραγραφῇ τῶν ἰδίων δανειστῶν ἐπαγάγῃ τῷ ἰδίῳ χρεώστῃ ἵνα ποιήσῃ ἑαυτὸν ἀπορώτερον [3], ἔχουσιν ἀντιπαραγραφὴν οἱ δανεισταὶ τοῦ ἐπαγαγόντος κατὰ τοῦ ὀμόσαντος. τὸ αὐτὸ κἂν ἐπαγάγῃ ἑτέρῳ μὴ ὄντι δανειστῇ, κἀκεῖνος ὀμόσῃ χρεωστεῖσθαι παρ᾿ αὐτοῦ.

---

[a] Ἰουδικιάλιος ὅρκος ἐστὶν ὁ παρὰ τοῦ κριτοῦ διδόμενος· βουλουντάριος, ὁ κατὰ συναίνεσιν ἀμφοτέρων τῶν μερῶν· νεκεσσάριος, ὁ ἐντὸς τοῦ δικαστηρίου ἐξ αἰτήσεως τοῦ ἀντιδίκου· ὁ περὶ καλουμνίας ἤτοι ὁ περὶ συκοφαντίας, καὶ ὁ ἰν λίτεμ ἤτοι ὁ ἐν δίκῃ, ὡς ὅταν ἀπολέσας τὶς ἴδιον τίποτε ὀφείλει ὀμνύειν πόσον ἦν.

---

[1] Leuncl. κ′. [2] Leuncl. emendat ἐπάγ. Ita Basil. [3] Haec verba: ἵνα — ἀπορώτερον nec Leuncl. nec Bas. agnoscunt.

Ἐὰν ὁ ἐνάγων ὀμόσῃ αὐτοῦ εἶναι τὸ πρᾶγμα, κατὰ μόνου τοῦ νομέως τοῦ καὶ ἐπαγαγόντος καὶ τῶν αὐτοῦ διαδόχων ἔχει ἀγωγὴν, οὐ μὴν καθ᾽ ἑτέρου. τὰ γὰρ μεταξὺ ἀλλήλων[1] *γινόμενα ἑτέρους οὐ βλάπτει.*

7. *Ἐν δὲ τῷ ια´ κεφ. Οἴκοι ὀμνύουσιν οἱ ἔνδοξοι καὶ οἱ ἀσθενεῖς.*

8. *Ὅρκος ἔξωθεν δικαστηρίου ἐπιφερόμενος οὐκ ἀντεπάγεται.*

9. *Ἐν δὲ τῷ κ´ κεφ. Οἱασδήποτε ἡλικίας ἢ φύσεως εἴη ὁ ὀμόσας, ἔῤῥωται. δοκεῖ δὲ μὴ ἐπιορκεῖν ὁ ἄνηβος, ἐπειδὴ ἐν εἰδήσει οὐ δοκεῖ ἀπατᾷν.*

10. *Ἐν δὲ τῷ κς´ κεφ. Ἐὰν ὀμόσω χρεωστεῖσθαι ἐξ ἀγωγῆς διπλασιαζομένης τῇ ἀρνήσει, τὸ ἁπλοῦν μόνον ἐκ τοῦ ὅρκου ἀπαιτῶ*[b]*. δύναμαι δὲ μετὰ τὸν ὅρκον κινῆσαι τὴν πρωτότυπον, καὶ δεικνὺς ἄλλως τὸ χρέος ἀπαιτῶ τὸ διπλάσιον.*

11. *Ἐν δὲ τῷ κη´ κεφ. Ἐν τοῖς ἀμφιβόλοις εἴωθεν ὁ δικαστὴς ὅρκον ἐπιφέρειν καὶ οὕτω ψηφίζεσθαι*[c]*. ἐὰν οὖν ὁ καταδικασθεὶς εὑρηκέναι λέγῃ μετὰ ταῦτα δικαιώματα καὶ μόνοις αὐτοῖς θέλῃ χρήσασθαι, ἄνωθεν κινεῖ. εἰ δὲ ἀντίδικος ἐπαγάγῃ τὸν ὅρκον, οὐκ ἀναψηλαφᾶται ἡ ὑπόθεσις.*

12. *Ἐν δὲ τῷ κθ´ κεφ. Ὁ ἄνηβος παραχωρεῖν .ὅρκον οὐ δύναται.*

13. *Ἐν δὲ τῷ λ´ κεφ. Ὁ κατὰ τῆς ἑαυτοῦ σωτηρίας ὀμνὺς δοκεῖ μὲν ὀμνύναι κατὰ τοῦ θεοῦ· εἰ δὲ καὶ μὴ οὕτως ἐξενεχθῇ*[2]*, ἄνωθεν ὄμνυσιν.*

14. *Ἐν δὲ τῷ λα´ κεφ Καὶ περὶ χρημάτων καὶ πραγμάτων καὶ ἔργων ἔξεστιν ἐπάγειν καὶ ἀντεπάγειν.*

Ὅρκος οὐκ ἐπιφέρεται ἀνήβῳ.

Οὔτε συνήγορος οὔτε ἐκδικητὴς ἀναγκάζεται ὀμόσαι.

15. *Ἐν δὲ τῷ λβ´ κεφ. Ὁ ἐπάγων πρῶτος ὄμνυσι τὸν περὶ συκοφαντίας, ἐὰν ἀπαιτηθῇ· ὃν οὐκ ὄμνυσι πατὴρ ἢ πάτρων.*

Ἐὰν ὅρκος ἐπαχθῇ τῷ ἐναγομένῳ, ἢ ὄμνυσιν ἢ καταβάλλει, εἰ μὴ βούλεται ἀντεπαγαγεῖν. εἰ δὲ παραιτήσεταί τις τὴν ἀντ-

---

b *Σημείωσαι, ὅτι οὐδεὶς ἀπὸ ὅρκου ἀπαιτεῖ τὸ διπλάσιον.*

c *Οἷον ἐπὶ γυναικὸς τῆς ποιησάσης ἀπογραφὴν εἰς τὰ ἀνδρῷα πράγματα. τότε γὰρ ἀμφιβολίας οὔσης, μὴ ἀπέκρυψέ τε, δίδωσι ταύτῃ τὸν ἰουδικιάλιον ὅρκον.*

---

1 Leuncl. *τινων*. Basil. *ἑτέρων*. 2 Leuncl. *ἀπεν*. Bas. *ἐπεν*.

ἐπιφορὰν, καταδικάζεται. καὶ ὁ ἐξ ἀντεπιφορᾶς ὀμνὺς οὐκ ἀπαιτεῖ τὸν περὶ τῆς συκοφαντίας.

Οὐ πάντως δὲ ὡς ἐπάγεται ὁ ὅρκος, οὕτω καὶ ἀντεπιφέρεται. τὴν οὖν περὶ τούτου ζήτησιν ὁ δικαστὴς διατίθησιν. Ὁ ἄσωτος καὶ οἱ ἐοικότες αὐτῷ οὐκ ἐπάγουσιν ὅρκον. μόνοι γὰρ ἐπάγουσιν οἱ δυνάμενοι συμφωνεῖν ἢ καταβάλλειν ἢ δικάζεσθαι.

16. Ἐν δὲ τῷ λδʹ κεφ. Ὁ ἐπαγαγὼν ὅρκον καὶ μὴ ὀμνὺς τὸν τῆς συκοφαντίας ἔοικε τῷ παραχωροῦντι τὸν ὅρκον, καὶ ἐκπίπτει τῆς ἀγωγῆς.

17. Ἐν δὲ τῷ λεʹ κεφ. Ἀντὶ ὁμολογοῦντός ἐστιν ὁ μὴ ὀμνὺς μήτε ἀντεπάγων.

18. Ἐν δὲ τῷ μʹ κεφ. Ἡ δίκη τοῦ ὅρκου κατὰ συναίνεσιν ἑκατέρου μέρους ἢ τοῦ διαδίκου ἐπιφέροντος ἐπενεχθέντος καὶ παρασχεθέντος ἢ συγχωρηθέντος τμηθεῖσα, οὐδὲ τῷ προσχήματι τῆς ἐπιορκίας ἀναζητεῖσθαι δύναται, εἰ μὴ ἄρα ἰδικῶς τοῦτο νόμῳ ὑπεξαιρεῖται.

19. Ἐν δὲ τῷ μβʹ κεφ. Ἐπὶ τῶν καλῇ πίστει καὶ τῶν ἄλλων ἀγωγῶν δύναται ὁ δικαστὴς ἐν ἀπορίᾳ τῶν ἀποδείξεων ὅρκον ἐπιφέρειν.

20. Ἐν δὲ τῷ μηʹ κεφ. Ἐπενεχθέντος τοῦ ὅρκου ὀφείλει ὁ ἐναγόμενος ἢ ὀμόσαι ἢ καταβαλεῖν ἢ ἀντεπαγαγεῖν, εἰ μὴ ἄρα ὁ ἐνάγων ἐμποδίζει, μὴ ἀνεχόμενος αὐτὸς[1] παρασχεῖν τὸν περὶ συκοφαντίας ὅρκον. χρὴ γὰρ πρότερον τὸν ἐπιφέροντα τὸν ὅρκον αὐτὸν ὀμόσαι τὸν περὶ συκοφαντίας ὅρκον, ὅτι οὐχ ὡς συκοφαντῶν σε βούλομαι λαβεῖν παρὰ σοῦ τὸν ὅρκον, ἀλλ᾽ ὡς νομίζων δικαίως ἐνάγειν.

21. Ἐν δὲ τῷ νʹ κεφ. Ἐάν τις ἐπαγαγὼν ὅρκον πρὶν ὀμοθῆναι τὸν ὅρκον μεταμεληθεὶς μηκέτι βουληθείη δοθῆναι τὸν ὅρκον ὡς εὐπορήσας ἑτέρων ἀποδείξεων, μηκέτι ἐξέστω αὐτῷ ἐκ δευτέρου ἐπιφέρειν τὸν ὅρκον, ἐπεὶ ἅπαξ ἀπηγόρευσε· καὶ οὐκ ἔστι δίκαιον ἀποτυχίᾳ τῶν ἄλλων ἀποδείξεων πάλιν εἰς τὸν ὅρκον ἐπιστρέφειν. μέχρι δὲ τότε ἔξεστι τῷ ἐπαγαγόντι τὸν ὅρκον καὶ μήπω αὐτὸν λαβόντι μεταμελεῖσθαι, ἕως ὅτε ἀπόφασις ἐξέλθῃ ἐπιτρέπουσα δοθῆναι τὸν ὅρκον[d]. ἀποφά-

[d] Σημ. ἐντεῦθεν ὡς ἔξεστι τῷ δικαζομένῳ πρὸ ἀναγνώσεως τῆς ψήφου ἐναλλάσσειν τὰς ἰδίας δικαιολογίας.

[1] Lips. αὐτόν.

σεως γὰρ ἅπαξ ἐνεχθείσης καὶ ἐκκλήτου μὴ ἐπιδοθείσης, ἢ γενομένης μὲν ἐκκλήτου, βεβαιωθείσης δὲ τῆς πρώτης ἀποφάσεως ἐν τῷ δικαστηρίῳ τῆς ἐκκλήτου οὐκέτι ἔξεστι μεταμέλεσθαι τῷ ἐπενεγκόντι τὸν ὅρκον καὶ μεταπηδᾶν πρὸς ἑτέρας ἀποδείξεις, ἵνα μὴ ἄνωθεν δικαζόμενος τὸ τέλος τῆς πρώτης ὑποθέσεως ἀρχὴν δευτέρου δικαστηρίου ποιήσηται.

22. Ἀνάγν. καὶ βι. ιε τί. β' κεφ. ζ'[1] θέμ. δ'. ἀνάγν. καὶ βι. να' τί. α' κεφ. ιε', ἐν ᾧ φησι· Κατὰ τῆς τοῦ ὅρκου παραγραφῆς οὐκ ἀντιτίθεται δόλου ἀναπλοκὴ ἤτοι ἀνάλυσις. οὐ γὰρ ἀναψηλαφᾶται ὁ ὅρκος. ἀναπλοκὴ δὲ ἤτοι ἀνάλυσίς ἐστι παραγραφὴ παραγραφῆς.

23. Ἀνάγν. καὶ τί. ς' κεφ. α', ἐν ᾧ φησιν· Ὁ ὅρκος δύναμιν ἀποφάσεως ἔχει. οὐκ ἀντίκειται δὲ τῷ ἀνήβῳ ὁ παρ' αὐτοῦ ἐπαχθεὶς ὅρκος, εἰ μὴ σὺν αὐθεντίᾳ τοῦ ἐπιτρόπου ἐν δικαστηρίῳ ἐπαγάγῃ.

III.

Περὶ ὅρκου ἐνδίκου[a], καὶ τίνες οὐκ ἀναγκάζονται ὑπέχειν αὐτὸν, καὶ πότε καὶ δοθέντος αὐτοῦ κουφίζεται ὁ ἐναγόμενος.

1. Ἀνάγν. βι. κβ' τί. ς' κεφ. α', ἐν ᾧ φησιν· Οὐκ ἐπειδὴ τὸ πρᾶγμα πλείονος ἀποτιμᾶσθαι διὰ τοῦ ἐνδίκου ὅρκου δύναται ἐκ τῆς τοῦ ἐναγομένου προπετείας[b], διὰ τοῦτο καὶ πλείονος γίνεται.

---

[a] Ἀνάγν.[2] βι. κβ' τί. ς' κεφ. α', ἐν ᾧ φησιν· Ὁ ἔνδικος ὅρκος τοιοῦτός ἐστιν· ὅταν τὶς ἀπελεγχθῇ βιαίαν ἁρπαγὴν ποιησάμενος πραγμάτων ἢ ἐπέλευσιν κατὰ οἰκίας τινὸς ἢ κλοπὴν ἢ ζημίαν ἄδικον, τότε ὀμνύει ὁ ἀντίδικος, ὅτι τόσα ἐζημιώθη καὶ ἀπώλεσεν ἐν τῇ γενομένῃ κατ' αὐτοῦ ἐπιθέσει ἢ βίᾳ ἢ κλοπῇ ἢ ἀναισχύντῳ ζημίᾳ, καὶ ἀπολαμβάνει ταῦτα εἰς τὸ διπλοῦν ἀπὸ τοῦ ἀντιδίκου. πλὴν οὐκ ἀβασανίστως πάντα ὅσα ὀμόσει λαμβάνει, ἀλλὰ μετὰ ταξατίωνος· ὁρίζει γὰρ ὁ δικαστὴς καὶ τὸ ποιὸν τήν τε εὐπορίαν τοῦ ἐνάγοντος καὶ τὸν τόπον ἐν ᾧ ἡ ἀπώλεια γέγονε, καὶ κατ' ἐκεῖνα παριστᾷ τὸ ποσὸν, καὶ τότε προτρέπει αὐτὸν ἐπομόσασθαι, ὅτι οὐχ ἧττονα τῶν τοσούτων ἀπώλεσεν.

[b] Στεφάνου. Τυχὸν γὰρ ἄξιον ὂν τὸ πρᾶγμα νομισμάτων ν' τετίμηται νομισμάτων ρ' διὰ τὴν προπέτειαν καὶ ἀπείθειαν τοῦ ἐναγομένου.

Στεφάνου. Διατιμᾶται δὲ οὐ πρὸς τὴν τοῦ πράγματος διατίμησιν, ἀλλ' εἰς τὸ διαφέρον τῷ κινοῦντι. ἔγνως γὰρ ἐν τῷ β' διγ. τοῦ παρόντος

---

[1] Leuncl. β'. [2] Scholia a et b Lips. rubricae subjicit. In compluribus autem Codicibus ad marginem adscripta occurrunt. Leuncl. non habet.

2. Ἐν δὲ τῷ β' κεφ. Εἰ μὲν κατὰ ῥᾳθυμίαν οὐκ ἀποκαθίστησιν ἢ παρίστησιν ὁ ἐναγόμενος, τῇ περὶ πράγματος ἀπαιτήσεως ἀγωγῇ ἢ τῇ περὶ παραστάσεως ἀγωγῇ εἰς τὸ διαφέρον τῷ ἐνάγοντι καταδικάζεται. εἰ δὲ κατὰ δόλον, εἰς ὅσον ὀμόσει ὁ ἐνάγων.

3. Ἐν δὲ τῷ δ' κεφ. Μόνος ὁ δικαστὴς ἐπάγει τὸν ἐν δίκῃ ὅρκον, καὶ ἐν αὐτῷ ἐστιν ἐπαγαγεῖν αὐτὸν καὶ ὑπερθέσθαι καὶ ταξατεῦσαι. δύναται δὲ μετὰ τὸν ὅρκον ἐκ μεγάλης αἰτίας ἢ ἀποδείξεων ὕστερον εὑρεθεισῶν ἐν μέρει ἢ εἰς τὸ παντελὲς κουφίσαι τὸν ἐναγόμενον.

Ἀπὸ ῥᾳθυμίας οὐκ ἐπάγεται ὁ ἔνδικος ὅρκος, ἀλλ' ὁ δικαστὴς ποιεῖται τὴν ἀποτίμησιν.

4. Ἐν δὲ τῷ θ' κεφ. Ἐπὶ τῆς περὶ κλοπῆς ἀγωγῆς δεῖ ὀμνύειν, ὅτι τοσοῦδε ἦν τὸ πρᾶγμα ὅτε ἐκλάπη, οὐ μὴν ὅτι καὶ πλείονος.

5. Ἐν δὲ τῷ ι' κεφ. Καὶ ὁ περὶ δικαιωμάτων ἐνάγων ὄμνυσι τὸν ἐν δίκῃ ὅρκον, ὅτι διαφέρει αὐτῷ προκομισθῆναι αὐτά, καὶ εἰς τοσοῦτον ὁ ἐναγόμενος καταδικάζεται.

6. Ἐν δὲ τῷ ια' κεφ. Οὐκ εὐχερῶς ζητεῖται περὶ τῆς ἐπιορκίας τοῦ τὸν ἐν δίκῃ ὅρκον ὀμόσαντος.

7. Ἀνάγν. καὶ βι. ιγ' τί. β' κεφ. β', ἐν ᾧ φησι· Χώρα τῷ ἐνδίκῳ ὅρκῳ ἐπὶ τῆς παραθήκης ἀγωγῆς.

8. Ἀνάγν. καὶ βι. ιε' τί. α' κεφ. μς' καὶ ρα' καὶ τί. δ' κεφ. γ', ἐν ᾧ φησιν· Ὁ μὴ πειθαρχῶν ἐναγόμενος ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ μετὰ προθεσμίας. καὶ κεφ. κδ'.

9. Ἀνάγν. καὶ βι. λη' τί. ιε', ουτινος ἐν τῷ δ' κεφ. φησίν· Ὁ ἐπίτροπος μὴ ποιήσας ἀπογραφὴν ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ, ὁμοίως δὲ καὶ μὴ προφέρων τὰ δικαιώματα. ἐν αὐτῷ γὰρ τούτῳ δοκεῖ δόλον ποιεῖν, ὅτε τὰ εὑρεθέντα ἐν τῇ οὐσίᾳ συμβόλαια κρύπτει. ἐὰν δὲ μετὰ προκάταρξιν τοῦ ἐπιτρόπου τελευτήσαντος οἱ κληρονόμοι μὴ πληρώσωσι τὸ δικαστήριον τῆς κατὰ τῶν ἐπιτρόπων ἀγωγῆς, ὑπόκεινται καὶ αὐτοὶ τῷ ἐνδίκῳ ὅρκῳ.

10. Ἀνάγν. καὶ βι. μα' [1] τί. α κεφ. ν'.

τίτλον, ὅτι ἔνθα κατὰ κοῦλπαν τοῦ ῥέον τὸ πρᾶγμα μὴ ἀποκαθίσταται, τότε ὁ δικαστὴς τὸ διαφέρον σκοπεῖ.

---

[1] Lips. μδ'. Sed videtur indicari Basil. XLI, 1, 59 th. 2.

IV.

Περὶ ὅρκου δοθέντος παρὰ τοῦ τελευτῶντος ἕνεκεν τοῦ μέτρου τῆς αὐτοῦ οὐσίας.

1. *Ἀνάγν. βι. μα΄ τί. ς΄, ἐν ᾧ φησιν·* Θεσπίζομεν, εἴ τις ἀπογραφὴν πεποιηκὼς εἴτε οἰκειόχειρον[1], εἴτε δι᾿ ἑτέρου μὲν γραφεῖσαν, παρ᾿ αὐτοῦ δὲ ὑπογραφεῖσαν[2], ἢ ἐν ταῖς ἑαυτοῦ διαθήκαις τὸ τῆς οὐσίας τῆς αὐτοῦ μέτρον ποιήσει φανερὸν, τῶν κληρονόμων ἴσως τῶν μὲν ἀπόντων τῶν δὲ παρόντων ἢ καὶ πάντων παρόντων, μὴ ἐξεῖναι τοῖς κληρονόμοις πρὸς ταῦτα ἀνανεύειν μηδὲ λέγειν, ὅστις[3] τῶν κληρονόμων ἀπέκρυψε πράγματα ἔξω τῶν ῥηθέντων παρὰ τοῦ τελευσήσαντος. ἀλλ᾿ εἴπερ ὅρκον ὁ τελευτῶν ὑπόσχοι ἢ διομόσοιτο κατὰ τὰς ἑαυτοῦ διαθήκας, ὡς οὐδέν ἐστιν ἕτερον αὐτῷ παρὰ ταῦτα, τοῦτο στέργειν τοὺς κληρονόμους, εἴτε παῖδες εἴτε καὶ ἐξωτικοὶ εἶεν, καὶ μὴ πολυπραγμονεῖν μηδὲ συκοφαντεῖν τοὺς ἑαυτῶν συγκληρονόμους. ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς κληρονόμους[4], οἵπερ τὸ αὐτό που δοκοῦσι τοῖς τελευτῶσιν εἶναι, κρατεῖν βουλόμεθα· οὐ μὴν τοῦτο κύριον εἶναι καὶ πρὸς δανειστὰς, διότι τοῖς ἡμετέροις εἴρηται νόμοις, ὁπόσα ἄν τις ὑπὲρ ἑαυτοῦ φήσειεν ἢ γράψειεν[a], ταῦτα μηδὲν αὐτὸν ὠφελεῖν μήτε τοῖς δανεισταῖς προκρίνειν, ἀλλ᾿ ἐκείνοις ἄδεια ἔστω πάντα ἀνερευνᾶν, ὃν ἂν βούλωνται τρόπον, τοὺς κληρονόμους δὲ ἐμμένειν τοῖς παρὰ τοῦ διατιθεμένου ῥηθεῖσι. καὶ ἔστω γε ποινὴ τοῦ πράγματος ἐν αὐτοῖς τοῖς κληρονόμοις τὸν ἐναντιούμενον τούτοις μὴ δύνασθαι τῶν ἐγκαταλελειμμένων αὐτῷ παντελῶς ἀπολαύειν· ἀνάγκης ὑπούσης ἢ πείθεσθαι πᾶσιν ἢ πάντα διαπτύειν, καὶ μὴ τὰ μὲν αἱρεῖσθαι, τοῖς δὲ διαμάχεσθαι, ἀλλὰ τὴν τοῦ τελευτήσαντος βουλὴν ὑπὸ τῶν αὐτοῦ διαδόχων οὕτω φυλάττεσθαι, ὡς κατὰ μηδὲν ἐναντιοῦσθαι ταύτῃ θαῤῥεῖν.

V.

Περὶ ὅρκου τοῦ διδομένου παρὰ τῶν χειροτονουμένων ἐπισκόπων. Ἀνάγν. βι. γ΄ τί. α΄ κεφ. ζ΄ θέμ. β΄. καὶ περὶ ὅρκου διδομένου παρὰ τῶν δικαζο-

---

[a] *Σημ. πότε τὰ μεταξὺ ἑτέρων γινόμενα ἑτέρους ὠφελεῖ.*

[1] Leuncl. *ἰδιόχ.* [2] Idem *ὑποσημειωθεῖσαν.* [3] Basil. *ὥς τις.* [4] Lips. *συγκληρ.*

μένων. ἀνάγν. βι. ζ' τί. δ' κεφ. ϛ' καὶ τί. ιδ' κεφ. ιϛ', ἐν ᾧ φησι [καὶ περὶ τῶν δικαζομένων, ἵνα ἐν ἀρχῇ τῆς δίκης ὅρκον παρέχωσι], καὶ περὶ τῶν δικαστῶν, ἵνα προκειμένων τῶν ἁγίων εὐαγγελίων δικάζωσι· καὶ περὶ τῶν συνηγόρων, ἵνα καὶ αὐτοὶ ὑπέχωσιν ὅρκον ἐν τῷ προοιμίῳ τῆς δίκης. καὶ ἐν τῷ ϛ' τί. κεφ. ιδ'. ὁμοίως γάρ φησι περί τε τῶν δικαστῶν καὶ τῶν συνηγόρων. περὶ δὲ τοῦ ὅρκου ὃν ὑπέχουσιν οἱ τὰς ἀρχὰς λαμβάνοντες ἀνάγν. βι. ϛ' τί. γ' κεφ. λα'. ἕκαστον τούτων προείρηται ἐν τῷ ἰδίῳ στοιχείῳ.

VI.

Περὶ ὁμολογησάντων, καὶ πότε εὐθύνονται καὶ πότε οὐκ εὐθύνονται.

1. Ἀνάγν. βι. θ' τί. δ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ὁ τὸν φονευθέντα δοῦλον ἀνελεῖν ὁμολογῶν, εἰ καὶ μὴ ἀνεῖλεν, ὡς ὁμολογῶν κρατεῖται.

2. Ἐν δὲ τῷ ϛ' κεφ. Ὁ ὁμολογήσας ἀντὶ κατακριθέντος ἐστὶ, καὶ ἔχει τὴν τετράμηνον, ἧς ἐντὸς εἰ μὴ παράσχοι, ἡ δίκη κατ' αὐτοῦ ἀποτιμᾶται.

3. Ἐν δὲ τῷ ζ' κεφ. Οὐ πάντως ὁ ὁμολογῶν καταδικάζεται εἰς τὸ πρᾶγμα περὶ οὗ συνέθετο, ἀλλ' ἀμφιβάλλεται εἰ ἔστιν[1].

4. [Ἐν δὲ τῷ η' κεφ.] Ὁ ἐν βήματι ὁμολογήσας ὡς ὁ καταδικασθείς ἐστιν.

5. Ἀνάγν. καὶ βι. ιδ' τί. α' κεφ. νβ', ἐν ᾧ φησιν· Ὁ ὁμολογῶν σῖτον καὶ μὴ προστιθεὶς καλὸν, οἱονδήποτε διδοὺς ἐλευθεροῦται. ὁ οὖν ἐγγυητὴς αὐτοῦ εἰ καὶ καλὸν παράσχῃ, οὐκ ἀπαιτεῖ εἰ μὴ ὃν αὐτὸς διδοὺς ἠλευθεροῦτο.

6. Ἀνάγν. καὶ βι. να' τί. ϛ' κεφ. β' καὶ δ'. ἀνάγν. καὶ βι. ζ' τί. ϛ' κεφ. κγ', ἐν ᾧ φησιν· Ἐάν τις ρ' λόγου χάριν νομίσματα χρεωστούμενος κατὰ δόλον καὶ μηχανὴν παρασκευάσῃ τὸν χρεώστην σ' νομισμάτων ὁμολογίαν αὐτῷ ἐκθέσθαι, καὶ περὶ τῶν σ' αὐτὸν αἰτιάσηται, εἰ μὲν πρὸ τῆς προκατάρξεως μεταμεληθείη καὶ συνομολογήσει τὸν δόλον αὐτοῦ, μηδὲν ζημιούσθω, ἀλλὰ τὰ ρ' τὰ ἀληθῶς αὐτῷ κεχρεωστημένα λαμβανέτω· ἐὰν δὲ καὶ προκατήρξατο καὶ ἠγωνίσατο καὶ διηλέγχθη τὸν δόλον πεποιηκὼς, μὴ μόνον τῶν ρ' τῶν ἐκ περισσοῦ προστεθέντων, ἀλλὰ καὶ τῶν ἀληθῶς κεχρεωστημένων ἑτέρων ρ' ἐκπιπτέτω, εἰ μὴ ἄρα ἢ διάλυσις γέγονεν ἢ δευτέρα ὁμολογία ἐπὶ τοῖς διακοσίοις νομίσμασιν. οὔτε γὰρ μετὰ διάλυσιν οὔτε μετὰ τὴν δευτέραν ὁμολογίαν ἔξεστί τινι διαβάλλειν τὴν ἤδη ὑπ' αὐτοῦ γεγενημένην ὁμολογίαν.

[1] Bas. εἰ τὸ πρ. π. οὗ συνέθετο ἀμφιβ. εἰ ἔστι.

VII.

Περὶ ὅπλων καὶ ὁπλοποιῶν, καὶ τοῦ μηδένα τῶν ἰδιωτῶν ἐργάζεσθαι ἢ ἀγοράζειν ἢ ἐπιφέρεσθαι ἢ ἔχειν ὅπλα[a].

1. Ἀνάγν. βι. νζ' τί. θ'[1], οὗτινος ἐν τῷ α' κεφ. φησί· Κελεύομεν τὸ τῆς ὁπλοποιΐας ἔργον μηδένα μὲν ἰδιώτην ἐργάζεσθαι, μόνους δὲ ἐκείνους τὰ ὅπλα κατασκευάζειν τοὺς ἐν ταῖς δημοσίαις καταλεγομένους ὁπλοποιΐαις. τοὺς δὲ ἐργαζομένους τὰ ὅπλα μηδενὶ πιπράσκειν ἰδιώτῃ· ἀλλ' οὐδὲ τοὺς ἐν τοῖς ἀριθμοῖς καταλεγομένους[2], οὓς ὁπλοποιοὺς καὶ διποτάτους καλοῦσι, τοὺς παρὰ τοῦ δημοσίου κομιζομένους σιτήσεις, συγχωροῦμεν ἐργάζεσθαι ἤ τινι πιπράσκειν ὅπλα, ἀλλὰ μόνων ἐπιμελεῖσθαι τῶν ὅπλων τῶν στρατιωτῶν [τῶν] ἐν τοῖς ἀριθμοῖς καταλεγομένων, ἐν οἷς στρατεύονται.

2. Ἀνάγν. καὶ βι. ξ' τί. ιη' κεφ. α', ἐν ᾧ φησι· Τῷ περὶ βίας δημοσίας νόμῳ κατέχεται ὁ ἔχων ὅπλα ἐν τῷ οἴκῳ αὐτοῦ ἢ ἐν ἀγρῷ ἢ ἐν χωρίῳ,

3. Μὴ διὰ θήραν ἢ ὁδοιπορίαν ἢ πλοῦν ἢ ἐμπορίαν ἢ ἀπὸ κληρονομίας εἰς αὐτὸν ἐλθόντα.

4. Κεφ. η'. Ἔνοπλοί εἰσιν οἱ ὁτιοῦν βλαπτικὸν ἐπιφερόμενοι.

5. Κεφ ι' φησιν· Ἀκόντιον λέγεται πᾶν τὸ βλάψαι τινὰ δυνάμενον.

Ὁ δὲ πρὸς οἰκείαν ἀσφάλειαν ἀκόντιον ἐπιφερόμενος οὐ δοκεῖ διὰ τὸ φονεῦσαι ἐπιφέρεσθαι. καὶ κεφ. ιδ' θέμ. β'.

VIII.

Περὶ ὅρων ἀποκινηθέντων καὶ περὶ ζητήσεως αὐτῶν.

1. Ἀνάγν. βι. νη' τί. θ', οὗτινος ἐν τῷ α' κεφ. φησί· Τὸ περὶ ὅρων ἰθυντέων προσωπικόν ἐστιν, εἰ καὶ πράγματος ἐκδίκησιν ἔχει.

2. Καὶ χώραν ἔχει ἐπὶ τῶν ἀγρῶν, εἰ καὶ οἰκήματα παρεντίθενται. ἀδιάφορον γάρ, εἴτε δένδροις εἴτε οἰκήμασί τις ὁροθετεῖ.

3. Ἐν δὲ τῷ η' κεφ. Ἐὰν ἐπίκλυσις ἀφανίσῃ ὅρους, διὰ τοῦ

---

[a] Ἀνάγνωθι νεαρὰν πε'.

---

[1] Lips. β'. [2] Lips. τοῖς — καταλεγομένοις.

ἄρχοντος φανεροῦνται διδομένου μετρητοῦ. τοῦ γὰρ δικαστοῦ ἐστι διδόναι μετρητήν.

4. Ἐν δὲ τῷ ια' κεφ. Ἐν ταῖς περὶ ὅρων ζητήσεσιν ἀκολουθοῦμεν τῷ κήνσῳ, εἰ μὴ δειχθῇ παρὰ τῶν κτησαμένων ἐναλλαγὴν ἐν τοῖς ἀγροῖς γενέσθαι διὰ προσθήκης ἢ μειώσεως.

5. Ἐν δὲ τῷ ιδ' κεφ. Ἔξεστι τοῖς δεσπόταις τοὺς ὅρους ἀμείβειν τῶν οἰκείων ἀγρῶν καὶ οὕτως αὐτοὺς ἐκποιεῖν.

6. Ἐν δὲ τῷ ιη' κεφ. Ἐάν τις ζήτησιν περὶ ὅρων ἐπαγαγὼν βουληθῇ κατὰ βίαν ἀφελέσθαι τὸ ἀλλότριον μέρος, μὴ μόνον αὐτὸ ἀναδιδότω, ἀλλὰ καὶ τοσοῦτον ἕτερον μέτρον γῆς παρεχέτω.

7. Ἐν δὲ τῷ κ' κεφ. Ἡ διάταξις βούλεται τῇ περὶ τῶν ὅρων ζητήσει μήτε τὴν τῆς τριετίας μήτε τὴν τῆς δεκαετίας παραγραφὴν ἀντικεῖσθαι, ἀλλὰ μόνον τῶν λ' ἐνιαυτῶν.

8. Ἀνάγν. βι. ξ' τί. λα', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἡ τῶν ἀποκινηθέντων ὅρων τιμωρία ἐπεξέλευσίς ἐστι πρὸς τὴν αἵρεσιν τοῦ ἁμαρτήσαντος καὶ τὴν αὐτοῦ γνώμην. ὁ γὰρ εὔπορος ἀποκινῶν δῆλός ἐστι θέλων ἐπιλαβέσθαι τῶν ἀλλοτρίων ὅρων. καὶ πρὸς τὴν ἡλικίαν οἱ πλημμελοῦντες τιμωροῦνται· ὁ μὲν γὰρ νεώτερος εἰς μακρότερον ἐξορίζεται χρόνον, ὁ δὲ γέρων εἰς ἥττονα. ὁ δὲ ὑπουργήσας ἑτέρῳ τύπτεται καὶ ἐπὶ διετίαν εἰς ἔργον δημόσιον πέμπεται. ὁ δὲ κατὰ ἄγνοιαν ἢ τυχηρῶς τοὺς ὁρίους λίθους ἀποσυλήσας μαστιγοῦται μόνον.

9. Ἐν δὲ τῷ β' κεφ. Ὁ δόλῳ τοὺς ὅρους μεταθεὶς καθ' ἕκαστον ὁροθέσιον δίδωσι ν' νομίσματα τῷ δημοσίῳ, καὶ ὁ βουλόμενος κινεῖ τὴν περὶ τούτου ἀγωγήν.

Εἰ δὲ δοῦλος ἢ δούλη ταῦτα πλημμελήσουσι, κεφαλικῶς κολάζονται, εἰ μὴ ὁ δεσπότης αὐτῶν τὴν ποινὴν δοῦναι βουληθείη.

10. Ἐν δὲ τῷ γ' κεφ. Ὁ περὶ ὅρων ἀμφισβητῶν ἐὰν πρὸ τοῦ τμηθῆναι τὴν ζήτησιν ἀπελθὼν τὸν ἀμφιβαλλόμενον κατάσχῃ τόπον καὶ μετὰ ταῦτα ἡττηθῇ, διδότω ἕτερον τοσοῦτον τόπον τῷ νενικηκότι. εἰ δὲ ἴδιος ἦν αὐτοῦ τόπος, ἀρκεῖ τὸ ἐκπεσεῖν αὐτοῦ.

IX.

Περὶ ὀρφανοτρόφων[a].

1. Ἀνάγν. βι. ε' τί. γ' κεφ. ιβ', ἐν ᾧ φησιν· Οἱ δὲ ὀρφανοτρό-

---

[a] Περὶ ὀρφανοτρόφων νεαρὰ ρλγ' κεφ. ιβ'.

φοι ἐπιτρόπων καὶ κουρατόρων τάξιν ἐχέτωσαν, οὕτω μέντοι ἵνα καὶ χωρὶς ἱκανοδοσίας καὶ ἐνάγωσι καὶ ἐνάγωνται περὶ τῶν πραγμάτων τῶν τοῖς ὀρφανοῖς κυρίως καὶ αὐτοῖς τοῖς ὀρφανοτροφείοις ἀνηκόντων. τὰ δὲ πράγματα, ἅπερ ἔτυχόν τινι τῶν ὀρφανῶν διαφέρειν, δημοσίων ταβουλλαρίων παρόντων καὶ ὑπομνημάτων πραττομένων, ἐν μὲν τῇ βασιλίδι πόλει παρὰ τῷ μαγίστρῳ τῶν κήνσων, ἐν δὲ ταῖς ἐπαρχίαις παρὰ τοῖς ἄρχουσιν αὐτῶν ἢ τοῖς ἐκδίκοις τῶν τόπων, λαμβάνειν τοὺς ὀρφανοτρόφους καὶ φυλάττειν. καὶ εἰ ἀναγκαῖον νομίσουσι καὶ ἐκποιεῖν, καὶ τὸ τούτων τίμημα τοῖς ὀρφανοῖς φυλάττειν ἢ ἕτερα πράγματα ἀντ᾽ ἐκείνων ἀγοράζειν. μὴ ὑποκεῖσθαι δὲ ἐπιτροπικοῖς ἢ κουρατορικοῖς λογισμοῖς.

Ἀρχὴ τοῦ Π στοιχείου.

I.

Περὶ παίδων φυσικῶν ἤτοι νόθων, καὶ τῶν ἐκ νόθων γνησίων γινομένων, καὶ περὶ παλλακῶν τῶν καὶ γνησίων γινομένων τῇ τῶν προικῴων συμβολαίων ποιήσει[a].

1. Ἀνάγν. βι. κη′ τί. δ′ [κεφ. νζ′], ἐν ᾧ φησι· Πρὸς τούτοις δὲ κἀκεῖνο νομοθετῆσαι συνείδομεν, ὥστε εἴ τις υἱὸν ἢ θυγατέρα ἐξ ἐλευθέρας ἔχων γυναικός, μεθ᾽ ἧς γάμος συνίστασθαι δύναται, εἴποι ἐν συμβολαίῳ εἴτε ἀγοραίῳ εἴτε ἰδίᾳ χειρὶ συγγεγραμμένῳ καὶ ἔχοντι ὑπογραφὰς τριῶν μαρτύρων ἀξιοπίστων εἴτε ἐν διαθήκῃ εἴτε ἐπὶ πράξεως ὑπομνημάτων, τοῦτον ἢ ταύτην υἱὸν αὐτοῦ εἶναι ἢ θυγατέρα, καὶ μὴ προσθῇ καὶ φυσικὸν ἢ φυσικήν, τοὺς τοιούτους παῖδας γνησίους εἶναι, καὶ μηδεμίαν ἑτέραν ἀπόδειξιν παρ᾽ αὐτοῦ[1] ζητεῖσθαι· ἀλλὰ πάντων ἀπολαύειν αὐτοὺς τῶν δικαίων, ὅσα τοῖς γνησίοις παισὶν οἱ ἡμέτεροι παρέχουσι νόμοι, οἷα αὐτοῦ τοῦ πατρὸς ὡς εἴρηται παῖδας ἰδίους αὐτοὺς ἀποκαλέσαντος. ἐντεῦθεν γὰρ

---

[a] Ἀνάγνωθι καὶ τὸ περὶ κληρονομιῶν καὶ νεαρὰν ιβ′ κεφ. β. καὶ νεαρὰν ιη′ κεφ. θ′, ἐν ᾧ καὶ περὶ ἀπελευθέρας φησὶ γινομένης γνησίας τῇ τῶν προικῴων ποιήσει. καὶ νεαρὰν ιθ′, ἐν ᾗ φησι περὶ τῶν πρὸ τῆς ποιήσεως τῶν προικῴων τεχθέντων. καὶ νεαρὰν ρδ′· φησὶ γὰρ περὶ τῶν ἐκ νόθων γνησίων γινομένων. καὶ νεαρὰν οη′ καὶ πθ′ καὶ ρις′.

---

[1] Bas. αὐτῶν.

καὶ μετὰ τῆς αὐτῶν μητρὸς νόμιμον ἐσχηκέναι δείκνυται γάμον, ὥστε μηδὲ παρ᾽ αὐτῆς πρὸς τὴν τοῦ γάμου πίστιν ἑτέραν ἀπόδειξιν ζητεῖσθαι. εἰ δὲ ὁ πατὴρ μετὰ τῆς αὐτῆς γυναικὸς πολλοὺς παῖδας ἔχων ἑνὶ ἐξ αὐτῶν μαρτυρίαν καθ᾽ οἱονδήποτε τῶν εἰρημένων παράσχοι τρόπων, ἀρκεῖν καὶ τοῖς ἄλλοις τοῖς ἐκ τῆς αὐτῆς γυναικὸς τεχθεῖσι πρὸς τὰ τῶν νομίμων δίκαια τὴν τῷ ἑνὶ διδομένην[1] τοῦ πατρὸς μαρτυρίαν. περὶ τούτων δὲ προείρηται πλατύτερον ἐν τῷ περὶ κληρονόμων.

2. Ἀνάγν. καὶ βι. ξ' τί. λζ' κεφ. β', ἐν ᾧ φησιν· Ὁ γυναῖκα σεμνὴν καὶ εὐγενῆ παλλακευόμενος καὶ μὴ ποιῶν ἐν ἐκμαρτυρίῳ τοῦτο κατάδηλον ἢ γαμετὴν αὐτὴν ἔχει, ἢ τοῦτο παραιτούμενος ἀσέλγειαν εἰς αὐτὴν πλημμελεῖ, οὐ μὴν καὶ μοιχείαν· δηλονότι ἐν ᾧ πόρον ἐκ τοῦ ἰδίου σώματος οὐκ ἐποίησεν.

II.

Περὶ παιδεύσεως συγγενῶν[a].

1. Ἀνάγν. βι. ξ' τί. νθ' κεφ. γ', ἐν ᾧ φησιν· Ὥσπερ οἱ πατέρες δύνανται τοὺς ἑαυτῶν παῖδας πταίοντάς τι καὶ τὸν ἑαυτῶν βίον οὐκ ὀρθῶς μετιόντας ἐπιστρέφειν, οὕτω καὶ τοῖς συγγενέσιν ἡ παροῦσα διάταξις ἐπιτρέπει τὸν ἀφήλικα σωφρονίζειν ἀτακτοῦντα καὶ διαβεβλημένως βιοῦντα. τοῦτον δὲ τὸν σωφρονισμὸν προστάττει ἡ διάταξις μεμετρημένον εἶναι καὶ πατρὶ πρέποντα. εἰ δὲ παρὰ τοῦ ἀφήλικος πταίσματα τραχύτερα ὄντα αὐστηροτέρας δέονται διορθώσεως, τὸ τηνικαῦτα ἀρχικῆς ἀγανακτήσεως χώραν ἔχει τὸ πρᾶγμα.

III.

Περὶ παραγραφῶν καὶ ἀντιπαραγραφῶν[a].

1. Ἀνάγν. βι. να', οὗτινος ἐν τῷ α' τί. κεφ. α' καὶ γ' φησίν· Ὁ ἐναγόμενος ἐν ταῖς παραγραφαῖς ἐνάγων ἐστίν.

---

[a] Περὶ δούλων παιδεύσεως προείρηται ἐν τῷ περὶ δούλων.

[a] Μακροῦ χρόνου παραγραφὴ λέγεται ἡ ι'ετία καὶ ἡ κ'ετία. ἡ δὲ λ'ετία καὶ ἡ μ'ετία παραδρομὴ λέγεται. — Παραγραφή ἐστιν ἀπόκλεισμός τις, ὃς εἴωθε προεντίθεσθαι τῇ περὶ ἑκάστου πράγματος ἀγωγῇ εἰς τὸ ἀποκλεισθῆναι τὰ ἐν τῇ ἐπιτάσει τοῦ ἐνάγοντος καὶ τῇ καταδίκῃ κατενηνεγμένα.

---

[1] Leuncl. δεδομ.

Ἡ παραγραφὴ ἀποκλείειν εἴωθε τὰ ἐν τῇ ἐπιτάσει καὶ τῇ καταδίκῃ κατενηνεγμένα.

Ἡ ἀντιπαραγραφὴ οὐδὲν ἕτερόν ἐστιν ἢ παραγραφὴ ἀντιτιθεμένη τῇ παραγραφῇ τοῦ ἐναγομένου. καὶ πολλαὶ δίδονται ἀντιπαραγραφομένων ἀλλήλους τῶν δικαζομένων.

2. Ἐν δὲ τῷ δ' κεφ. Τῶν παραγραφῶν αἱ μέν εἰσι πρόσκαιροι μέχρι φανεροῦ χρόνου ἀντικείμεναι, αἵτινες καὶ ὑπέρθεσιν παρέχουσιν, ὡς αἱ ἀναβαλλόμεναι τὴν ἀγωγὴν, ὁποῖαί εἰσιν αἱ περὶ συμφώνων παραγραφαί. αἱ δὲ διηνεκῶς ἀντικείμεναι τῷ ἐνάγοντι, ἀεὶ τὴν ὑπ' αὐτοῦ κινουμένην ἀγωγὴν ἀναιροῦσαι· οἷον ἡ τοῦ δόλου παραγραφὴ καὶ ἡ τοῦ φόβου καὶ ἡ περὶ πράγματος κεκριμένου, καὶ αἱ τὸ γεγονὸς ὡς παράνομον διαβάλλουσαι, καὶ αὐτὸ [τὸ] χρέος εἰς τέλειον συγχωροῦσαι τοῦ συμφώνου. αἱ δὲ πρόσκαιροι καὶ μηνυτικαὶ, ὡς ἡ τοῦ προσκαίρου συμφώνου, καὶ αἱ περὶ φροντιστῶν ἤτοι ἐντολέων.

3. Ἐν δὲ τῷ η' κεφ. θέμ. γ'· Οὐ πάντως ὁ παραγραφόμενος δοκεῖ συντίθεσθαι τῇ ἐπιτάσει τοῦ ἀντιδίκου.

4. Ἐν δὲ τῷ β' τί. κεφ. κϛ'· Ἐὰν ὁ διοικῶν ἀλλότρια παρὰ γνώμην τοῦ δεσπότου ἐναγάγῃ καὶ μὴ δεκτὸν ἡγήσηται, ἀλλ' ἄνωθεν ἐντείληται αὐτῷ κινῆσαι, οὐκ ἀντίκειται ἡ περὶ κεκριμένων παραγραφή.

5. Ἐὰν κινήσω κατά σου ὡς ἔχων δίκαιον ἐπὶ ι' πόδας ὑψοῦν τὸν οἶκόν μου, καὶ μετὰ ταῦτα κινῶ ὡς ἔχων δίκαιον ἐπὶ κ' πόδας ὑψοῦν, ἐκβάλλομαι τῇ περὶ τῶν κεκριμένων παραγραφῇ.

6 Ἐν δὲ τῷ γ' τί. διαλαμβάνεται περὶ τῶν ὡς ἀπὸ χρονίας νομῆς παραγραφομένων, περὶ ὧν ἐν τῷ περὶ δεσποτείας προείρηται.

7. Ἐν δὲ τῷ δ' τί. περὶ τῆς δόλου καὶ φόβου παραγραφῆς, καὶ τόκου καταβληθέντος, καὶ περὶ τῆς τοῦ ἐν εἰδήσει φυγάδα ἀγοράζοντος, καὶ περὶ τῆς τῶν ἐναγόντων καὶ δικολόγων καὶ λοιπῶν παραγραφῆς.

8. Ἐν δὲ τῷ ε' τί. περὶ τῆς τῶν βίᾳ ἢ δόλῳ τῆς νομῆς κωλυθέντων παραγραφῆς.

9. Ἐν δὲ τῷ ϛ' τί. περὶ πραγμάτων καθ' ὧν ἀγωγὴ οὐ δίδοται, οἷον περὶ ὅρκου καὶ ἀνισχύρων ἐπερωτήσεων παραγραφῆς.

IV.

Περὶ παραγγελιῶν[a].

1. Ἀνάγν. βι. νη' τί. ιδ', οὗτινος ἐν τῷ α' κεφ. φησι· Τὰ νόμιμα

[a] Τρία εἰσὶ πραιτώρια παραγγέλματα, προνιβιτόριον τὸ κωλυτικὸν, ῥεστιτουτόριον τὸ ἀποκαταστατικὸν, ἐξνιβιτόριον τὸ παραστατικόν.

παραγγέλματα ἢ παραστατικὰ ἢ κωλυτικὰ ἢ ἀποκαταστατικά εἰσιν, ἢ μικτὰ κωλυτικὰ καὶ παραστατικά.

Τὰ νόμιμα παραγγέλματα ἢ εἰς τὸ ἐνεστὸς, ὡς τὸ περὶ διακατοχῆς, ἢ εἰς τὸ παρεληλυθὸς ἀναφέρεται, ὡς τὸ περὶ ὁδοῦ καὶ ἐλασίας καὶ περὶ ὕδατος θερινοῦ.

Τὰ νόμιμα παραγγέλματα, κἂν ἐν πράγματι δοκῶσιν εἶναι, δυνάμει προσωπικά εἰσι.

Τινὰ δὲ αὐτῶν ἐτήσια, τινὰ δὲ διηνεκῆ. Προείρηται περὶ παραγγελιῶν καὶ εἰς τὸ περὶ καινοτομιῶν καὶ εἰς τὸ περὶ νομῆς.

V.

Περὶ παρακαταθήκης[a].

1. Ἀνάγν. βι. ιγ' τί. α' κεφ. ε' καὶ τί. β' κεφ. α', ἐν ᾧ φησι· Παρακαταθήκη ἐστὶ τὸ ἐπὶ παραφυλακῇ τινι διδόμενον.

Καὶ ἐπὶ τῶν ἀπὸ θορύβου ἢ ἐμπρησμοῦ ἢ συμπτώσεως ἢ ναυαγίου παρατιθεμένων κατὰ μὲν τοῦ λαβόντος εἰς τὸ διπλοῦν ἀγωγὴ ἁρμόζει, κατὰ δὲ [τοῦ] κληρονόμου ἀπὸ μὲν δόλου τοῦ διαθεμένου εἰς τὸ ἁπλοῦν, ἀπὸ δὲ οἰκείου εἰς τὸ διπλοῦν· ἐπὶ δὲ τῶν λοιπῶν τῶν παρατιθεμένων εἰς τὸ ἁπλοῦν ἡ ἀγωγὴ δίδοται.

Ἐκ δὲ τῶν εἰρημένων τεσσάρων αἰτιῶν δοκεῖ παρατίθεσθαι ὁ διὰ μόνον τὸν ἐξ αὐτῶν ἐπηρτημένον κίνδυνον καὶ οὐ δι' αἰτίαν ἑτέραν παρατιθέμενος.

Τὰ παρακολουθήματα τῆς παρα[κατα]θήκης οὐκ ἔστι παραθήκη, οἷον ἡ ἐσθὴς τοῦ δούλου καὶ ὁ χαλινὸς τοῦ ἵππου.

Ἐὰν ἐπὶ παραφυλακῇ δοθῇ ἱμάτια βαλανεῖ καὶ ἀπόληται, εἰ μὲν ἄνευ μισθοῦ, χώρα τῇ περὶ παραθήκης ἀγωγῇ ἀπὸ μόνου δόλου· εἰ δὲ μετὰ μισθοῦ, ἡ περὶ μισθώσεως ἀγωγὴ ἁρμόζει, ἥτις ἔχει τὴν ἀπαίτησιν εἰς τὸ διπλοῦν[1].

---

[a] Ἀνάγν. καὶ βι. ιγ' τί. β' κεφ. με'. φησὶ γὰρ περὶ τῶν ἐπιφωνήσεις ποιούντων καὶ κωλυόντων ἀποδοθῆναι τὰ παρατεθέντα ἢ τὰ ὀφειλόμενα παρὰ τῶν ἐνοίκων στεγονόμια. [τὸν γὰρ τοιοῦτόν τι ποιεῖν τολμήσαντα, φησὶν αὐτὸν ἀποθεραπεύειν τῷ κυρίῳ τῶν πραγμάτων πᾶσαν τὴν ἐπὶ τούτοις μετὰ τὴν διαμαρτυρίαν συμβησομένην ζημίαν, παρέχοντα καὶ τόκον ἀπὸ τρίτης ἑκατοστῆς.] ἀνάγν. καὶ νεαρὰν πη' [2].

---

[1] Haec verba ἥτις ἔχει κτλ. a Basil. aliena sunt. [2] Haec titulo praecedenti subjicit Lips. quasi partem textus efficiant. Sed aperte ex margine irrepserunt. Pertinent enim ad tit. V.

Ἐὰν παρακαλέσω σε πρᾶγμά μου πρὸς πέτρον ἀπαγαγεῖν ἐπὶ τῷ φυλαχθῆναι, κατὰ σοῦ μὲν ἔχω τὴν περὶ ἐντολῆς ἀγωγήν, κατὰ δὲ πέτρου δεξαμένου τὴν περὶ παρα[κατα]θήκης ἀγωγήν· καὶ ἐκχωρεῖς μοι αὐτὴν διὰ τῆς περὶ ἐντολῆς ἀγωγῆς. Εἰ δὲ εἴπω σοι, φυλάξαι τὸ πρᾶγμα μὴ δεχομένου πέτρου, καὶ μὴ δέξηται, μόνον ἔχω κατὰ σοῦ τὴν περὶ ἐντολῆς ἀγωγήν.

Ὥσπερ ἐὰν ἐπιτρέψω σοι ὀνόματί μου πρᾶγμα παρά τινος λαβεῖν καὶ φυλάξαι. προτερεύει[1] *γὰρ τὸ τῆς ἐντολῆς συνάλλαγμα.*

Ἐὰν θέλοντί μοι παραθέσθαι σοι πρᾶγμα ἐπιτρέψῃς αὐτὸ παρασχεῖν τῷ ἀπελευθέρῳ σου, εἰ μὲν ὡς σοῦ μέλλοντος φυλάττειν ἔδωκα, κατὰ σοῦ ἔχω τὴν περὶ παρα[κατα]θήκης ἀγωγήν. εἰ δὲ συνεβούλευσάς μοι μᾶλλον τῷ ἀπελευθέρῳ παραθέσθαι, κατ᾽ αὐτοῦ μὲν ἔχω τὴν περὶ παρα[κατα]θήκης ἀγωγήν, κατὰ σοῦ δὲ οὔτε τὴν περὶ παρα[κατα]θήκης ἀγωγὴν οὔτε τὴν περὶ ἐντολῆς ἀγωγὴν, εἰ μὴ ἐνετείλω μοι κινδύνῳ σου αὐτὸ παραθέσθαι.

Δοῦλος λαβὼν παραθήκην οὐκ ἐνάγεται μετ᾽ ἐλευθερίαν τῇ περὶ παραθήκης ἀγωγῇ, κἂν εἰ ἀπὸ δόλου καὶ τῶν ἐν δουλείᾳ πλημμελημάτων ἐνάγεται· ἐπειδὴ τὰ ἁμαρτήματα τῇ κεφαλῇ ἕπονται. χρηστέον οὖν ἑτέραις προσφόροις ἀγωγαῖς.

Ἡ περὶ παραθήκης ἀγωγὴ τῶν καλῇ πίστει ἐστίν. ὅθεν καὶ καρποὺς καὶ τοκετοὺς καὶ πᾶν πρᾶγμα ἀπαιτεῖ.

2. Ἐν δὲ τῷ γ' κεφ. *Ἐὰν δυσὶ παρατεθῇ καὶ ὁ εἷς ἐνάγηται εἰς ὁλόκληρον, ὁ ἄλλος οὐκ ἐλευθεροῦται τῇ προκατάρξει, ἀλλὰ τῇ καταβολῇ. ἐὰν οὖν τῶν δύο δόλον ποιησάντων ὁ εἷς δῷ τὸ διαφέρον, ὁ ἄλλος ἐλευθεροῦται καθ᾽ ὑπόδειγμα τῶν ἐπιτρόπων.*

3. Ἐν δὲ τῷ κη' κεφ. *Εἴτε τόκον ὁ τὴν παραθήκην λαβὼν ἐκ τῶν παρατεθέντων αὐτῷ λάβῃ ἢ συγχρήσεται τοῖς παρατεθεῖσι, δίδωσι τόκους. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων τῶν καλῇ πίστει ἀγωγῶν.*

4. *Ἐὰν ὁ λαβὼν ἄργυρον εἰς*[2] *σάκκον ἐσφραγισμένον παρ᾽ ἐμοῦ χρήσηται αὐτῷ παρὰ γνώμην μου, ἐνέχεται τῇ περὶ παραθήκης ἀγωγῇ καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ.*

5. Ἐν δὲ τῷ λβ' κεφ. *Ὁ μὴ τῆς παραθήκης ὡς τῶν ἰδίων ἐπιμελούμενος δόλον ποιεῖ.*

---

[1] Lips. *προτεύει.* [2] Leuncl. *ἢ σάκκον.*

6. Ἐν δὲ τῷ λε΄ κεφ. Ἡ μὲν τυχηρὰ περίστασις οὐ κινδυνεύεται τῷ λαβόντι τὴν παραθήκην. μόνον γὰρ δόλον καὶ μεγάλην ἀμέλειαν ἀπαιτεῖται, ἐν ᾧ μηδὲν ἰδικώτερον συνεφωνήθη. εἰ δὲ νεμόμενος τὰ πράγματα ὁ κληρονόμος τοῦ λαβόντος τὴν παραθήκην κρύπτει αὐτὴν ἢ δόλῳ ἐπαύσατο νέμεσθαι, κατέχεται καὶ τῇ περὶ παραθήκης ἀγωγῇ καὶ τῇ περὶ ἀποκρυβέντων πραγμάτων ἀγωγῇ.

7. Ἀνάγν. καὶ βι. κς΄ τί. ε΄ κεφ. οη΄ καὶ βι. νβ΄[1] τί. α΄ κεφ. β΄[b].

VI.

Περὶ παραστάσεως ἤτοι ἐπιδείξεως πραγμάτων καὶ ἀποκαταστάσεως αὐτῶν καὶ ἀγωγῆς[2].

1. Ἀνάγν. βι. ιε΄ τί. δ΄, οὗτινος ἐν τῷ β΄ κεφ. Παραστῆσαί ἐστιν ἀγαγεῖν δημοσίᾳ, ἐφ᾿ ᾧ σχεῖν εὐχέρειαν τὸν βουλόμενον ἐναγαγεῖν.

2. Ἐν δὲ τῷ γ΄ κεφ. [Ἡ] παραστατικὴ τῶν πραγμάτων ἀγωγὴ ἁρμόζει τοῖς ἔχουσι τὴν ἐπὶ πράγματι ἀγωγὴν, καὶ τὴν τῆς ἀσφαλείας, καὶ τῷ ἔχοντι χρῆσιν, καὶ τῷ ἔχοντι παραγγελίαν κριτοῦ, ἢ ἐπιλογὴν, ἢ νοξαλίαν ἐπὶ τῷ παραστῆναι τὴν φαμιλίαν. ἴσως γὰρ ἀγνοεῖ τὸν ἁμαρτήσαντα δοῦλον ἢ τὸ ὄνομα αὐτοῦ.

Πλὴν τοῦ κληρονόμου διαθήκην ἢ κωδίκελλον ἢ ἑτέραν τελευταίαν βούλησιν οὐδεὶς ἀπαιτεῖ διὰ τῆς παραστατικῆς τῶν πραγμάτων ἀγωγῆς, ἀλλὰ διὰ παραγγελιῶν δικαστῶν.

Ἁρμόζει καὶ οἷς διαφέρει, κἂν μὴ αὐτῶν ἐστι τὸ πρᾶγμα, Μήτε τὴν ἐπ᾿ αὐτῷ ἀγωγὴν ἔχωσιν, ὡς ἔνθα λεγατευθῇ μοι δοῦλος ὃν πέτρος ἐπιλέξεται. κινῶ γὰρ ἐπὶ τῷ παραστῆναι, ἵνα ἐπιλέξηται.

Οὐ πᾶς δὲ ᾧτινι διαφέρει, ἀλλ᾿ ᾧτινι διαφέρει δικαίως, κινεῖ.

3. Ἐν δὲ τῷ δ΄ κεφ. Ὁ πολιτικῶς καὶ ὁ φυσικῶς νεμόμενος ἐνάγεται τῇ παραστατικῇ τῶν πραγμάτων ἀγωγῇ. ὅθεν καὶ λαβὼν τὸ πρᾶγμα εἰς ἐνέχυρον ἢ παραθήκην ἢ ἐν χρήσει ἢ μισθώσει ἐνάγεται.

---

b Περὶ παραθήκης ζήτει καὶ εἰς τὸ περὶ βεβαιώσεως τῶν δικαιωμάτων.

1 Leuncl. ιβ΄. 2 Paris. 1351 hoc loco ad marginem haec habet: Ἡ ἐν τῷ κα΄ τί. τοῦ ς΄ βι. ξθ΄ νεαρά φησι ταῦτα· Προσαγορεύομεν — χρυσίου ζημία.

4. Ἐν δὲ τῷ ε' κεφ. Εἰ καὶ νέμεταί τις, οὐ μὴν δύναται παραστῆσαι, οὐκ ἐνάγεται τῇ παραστατικῇ ἀγωγῇ, ὡς ἐπὶ τοῦ φυγάδος. δίδωσι δὲ ὁ δεσπότης ἀσφάλειαν, ὡς ὅταν δυνηθῇ, παρίστησιν αὐτόν. τὸ αὐτὸ κἂν μή ἐστι φυγὰς, ἐπετράπη δὲ παρὰ τοῦ δεσπότου διάγειν ἔνθα θέλει, ἢ ἐπὶ ξένης ἐπέμφθη ἢ εἰς τὰ χωρία αὐτοῦ. χώρα γὰρ τῇ ἀσφαλείᾳ.

5. Ἐν δὲ τῷ ια' κεφ. Ἔνθα ἐστὶ τὸ πρᾶγμα κατὰ τὸν καιρὸν τῆς προκατάρξεως ὀφείλει παρίστασθαι, καὶ φέρεται πρὸς τὸν δικαστὴν κινδύνῳ καὶ δαπανήμασι τοῦ ἐνάγοντος. [καὶ] τρέφει δὲ καὶ ἐνδύει αὐτὸν ὁ ἐναγόμενος, εἰ μὴ ἄρα τεχνίτης ὢν εἰώθει ἐκ τῆς ἐργασίας αὐτοῦ τρέφεσθαι καὶ νῦν σχολάζει. εἰ δὲ ἐπίτηδες αὐτὸν εἰς ἕτερον τόπον μετέστησε, φέρει αὐτὸν οἰκείῳ κινδύνῳ καὶ δαπανήμασιν ἔνθα ἐγένετο. εἰ δὲ καὶ ἀδόλως τὶς παύσεταί τινα μετὰ προκάταρξιν νέμεσθαι, καταδικάζεται ἀποκαθιστῶν τὰ ὄντα παρ' αὐτῷ.

6. Ἐν δὲ τῷ ιβ' κεφ. Καὶ ὁ θέλων ἐκδικῆσαί τινα εἰς ἐλευθερίαν ἢ [εἰς] ὑπεξουσιότητα ἔχει τὴν παραστατικὴν ἀγωγήν. Εἰ δὲ χωρὶς δόλου καὶ ἀμελείας ἀποθάνῃ μετὰ προκάταρξιν ὁ δοῦλος, ἔσθ' ὅτε καταδικάζεται ὁ ἐναγόμενος εἰς ὃ διαφέρεται τῷ ἐνάγοντι μὴ ἐμποδίσαι αὐτὸν ἐν τῇ προκατάρξει ἀπαιτῆσαι[1], καὶ μάλιστα εἰ μὴ[2] ἀπέθνησκεν εἴγε παρέστη.

7. Ἐν δὲ τῷ κη'[3] κεφ. Ὁ χρεώστης καταβαλὼν ἅπερ ἐποφείλει κινεῖ τὴν ἀποκαταστατικὴν ἀγωγὴν, ἀπαιτῶν καὶ τὸ χειρόγραφον αὐτῷ ἀναδοθῆναι καὶ τὰ ἄλλα δικαιώματα τὰ ἀνήκοντα τῷ συναλλάγματι.

8. Ἀνάγν. καὶ βι. λα' τί. β' κεφ. ιθ', ἐν ᾧ φησιν· Οὐ δύναται ο πατὴρ ἀπαιτεῖν τὸν γαμβρὸν παραστῆσαι τὴν αὐτοῦ θυγατέρα.

9. Τὸ δὲ ἐναντίον ὁ γαμβρὸς[4] ἐνάγει τῷ πατρὶ, ἵνα ἀγάγῃ τὴν ζευχθεῖσαν αὐτῷ.

10. Ἀνάγν. βι. λε' τί. θ'[5], ἐν ᾧ διαλαμβάνεται περὶ παραστάσεως διαθήκης. εἴρηται περὶ αὐτοῦ ἐν τῷ περὶ διαθηκῶν.

VII.

Περὶ παροίκων.

1. Ἀνάγν. νδ' τί. α' κεφ. κζ', ἐν ᾧ φησιν· Ὁ πάροικος λειτουρ-

---

[1] Bas. παραστῆσαι. [2] Lips. καί. [3] Leuncl. ιη'. [4] Lips. πατήρ. [5] Lege ε'.

γεῖν ἀρξάμενος οὐ δύναται ἀποστῆναι τῆς μετοικίας πρὶν πληρώσει τὴν λειτουργίαν.

2. Ἀνάγν. καὶ βι. νε' τί. γ'.

VIII.

Περὶ παραχαρακτῶν καὶ παραψαλιστῶν.

1. Ἀνάγν. βι. ξ' τί. μα' [1] κεφ. η', ἐν ᾧ φησιν· Οἱ τὰ νομίσματα ξέοντες ἢ περικόπτοντες ἢ χαράσσοντες χειροκοπείσθωσαν.

2. Ὑπόκειται τῷ νόμῳ καὶ ὁ προσμίξας ἐπίψογόν τι τῷ χρυσῷ ἢ νόθους ἀργυροῦς νούμμους ποιήσας.

Καὶ ὁ δυνάμενος τοῦτο κωλύσαι καὶ μὴ κωλύσας.

Καὶ ὁ κατὰ δόλον κασσιτερίνους ἢ μολιβδίνους νούμμους πωλῶν ἢ ἀγοράζων.

3. Ἀνάγν. καὶ τί. ξ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ πλαστὴν μονίταν ποιῶν μετὰ τῶν ὑπουργησάντων αὐτῷ χειροκοπείσθω. ὁ δὲ δεσπότης τοῦ ἀγροῦ ἢ τοῦ οἴκου, ἐν ᾧ ταῦτα γέγονεν, εἰ φανείη συνειδὼς τῷ γενομένῳ, περιορισμῷ καὶ δημεύσει τῆς ὅλης αὐτοῦ περιουσίας ὑποβληθήτω· εἰ δὲ ἀγνοοῦντος αὐτοῦ τοῦτο γέγονεν, ἡ οἰκία ἤτοι ὁ ἀγρὸς δημευέσθω. ὁ δὲ τοῦ ἀγροῦ διοικητὴς εἴτε γεωργὸς εἴτε δοῦλος εἴτε ἔνοικος εἴτε πάροικος ὑπερητήσας τῷ ἁμαρτήματι μετὰ τοῦ ἁμαρτήσαντος χειροκοπείσθω. εἰ δὲ ὁ δεσπότης ἐξ ἀρχῆς ἀγνοῶν, μετὰ ταῦτα δὲ μαθὼν κατεμήνυσεν, αὐτὸς μὲν οὐ ζημιωθήσεται, ὁ δὲ τοῦ πράγματος αὐτουργὸς μετὰ τῶν ὑπηρετῶν χειροκοπείσθω.

4. Οὐδένα χρὴ παρὰ βασιλέως ἐξαιτεῖν ἐπὶ τῷ ἐκτυποῦν νούμμους· καὶ ὁ τούτου τετυχηκὼς οὐ μόνον τὸν καρπὸν τῆς ἰδίας αἰτήσεως ἀπολλυέτω, ἀλλὰ καὶ τὴν τιμωρίαν, ἧς ἄξιος νομίζεται, ὑποδεχέσθω ὡς παραχαράκτης.

IX.

Περὶ τῶν παρακλήσει συγχωρουμένων ποιεῖν τι ἢ νέμεσθαι.

1. Ἀνάγν. βι. νη' τί. κδ', οὗτινος ἐν τῷ ιζ' κεφ. φησίν· Εἰ δώσω σοι παρακλήσει δοῦλον, ἐγὼ μὲν ψυχῇ, σὺ δὲ σώματι νέμῃ.

Ἀδιάφορον ποῦ τις νέμεται τὸ κατὰ παράκλησιν.

---

[1] Leuncl. μδ'.

X.

Περὶ πατριάρχου.

1. *Ἀνάγν. βι. γ' τί. α' κεφ. ε', ἐν ᾧ φησιν·* Δυνατὸν καὶ παρὰ τῷ πατριάρχῃ πρῶτον αἰτιάσασθαι, καὶ αἰτεῖν διὰ γραμμάτων αὐτοῦ δοθῆναί τινα[1] δικαστὴν τῶν κατὰ τόπον ἐπισκόπων· οὗ παραιτηθείσης τῆς ψήφου πάλιν ὁ πατριάρχης δικάσει[2].

XI.

Περὶ πατρώνων καὶ ἀπελευθέρων[a].

1. *Ἀνάγν. βι. ζ' τί. η', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Ὅτι οὐ χρὴ καλεῖν εἰς δίκην ἀπελεύθερον[3] τὸν πάτρωνα ἢ παῖδας αὐτοῦ ἄνευ τοῦ αἰτῆσαι συγγνώμην παρὰ τοῦ πραίτωρος.

2. *Ἐν δὲ τῷ η' κεφ.* Ὅτι ἐὰν ὁρκώσω τὸν ἀπελεύθερον μὴ γαμῆσαι, καλεῖ με ἀζημίως, οὐ μὴν τὸν υἱόν μου, ὡς ἀναίτιον.

3. *Ἐν δὲ τῷ ιε' κεφ.* Οὐχ ὑποπίπτει τῇ ποινῇ ὁ λίβελλον ἐπιδοὺς κατὰ τοῦ πάτρωνος καὶ μὴ ἀποκρύψας τὸ εἶναι ἀπελεύθερος αὐτοῦ.

4. *Ἀνάγν. καὶ βι. ιζ' τί. β' κεφ. με' καὶ βι. μη' τί. κ' κεφ. ιθ'*[4] *καὶ τί. κϛ', οὗτινος ἐν τῷ α' κεφ. φησί* τοῦ πᾶσαν αἰδῶ καὶ τιμὴν ἔχειν τοὺς ἀπελευθέρους πρὸς τοὺς πάτρωνας καὶ τοῦ ὀψικεύειν αὐτοὺς, καὶ μήτε ὕβριν ἢ πληγὰς ἢ μεγάλην ζημίαν ἐπιφέρειν αὐτοῖς. εἰ γὰρ τοιοῦτόν τι ποιήσαντες ἀπελεγχθεῖεν, ἀναδουλοῦνται.

5. *Ἀνάγν. βι. μθ', οὗτινος ἐν τῷ α' τί. κεφ. α' φησίν·* Ἐὰν μόνον ἀκαθήκοντες φανῶσιν οἱ ἀπελεύθεροι πρὸς τοὺς πάτρωνας ἢ παῖδας αὐτῶν, ὀφείλει μαστιγοῦν αὐτοὺς ὁ ἄρχων καὶ ἀπολύειν ἀπειλῶν σφοδροτέραν ἐπεξέλευσιν, ἐὰν πάλιν αἰτιαθῶσιν· εἰ δὲ ὕβρισαν, ἐξορίζειν προσκαίρως· εἰ δὲ χεῖρας ἐπέβαλον, μεταλλίζειν. τὸ αὐτό ἐστι κἂν συκοφαντίαν τινὰ κατεσκεύασαν αὐτῷ ἢ καταμήνυσιν, ἢ ἄλλως πράγμασιν αὐτὸν περιβαλεῖν ἐπεχείρησαν.

---

[a] *Ἀνάγνωθι καὶ περὶ ἀπελευθέρων νεαρὰν οη'. τί δέ ἐστιν ἀπελεύθερος, ἐν τῷ περὶ ἀνθρώπων ὡρίσατο.*

[1] Leuncl. παρὰ. [2] Lips. et Paris. 1351 Epanagoges tit. III c. 1—6. 8 hoc loco in margine adscripta habent. [3] Lips. ἀπελεύθερος. [4] Leuncl. κθ'.

6. Ἐν δὲ τῷ ε΄ κεφ. Ὁ ἀπελεύθερος ὑποβαλὼν τινα περὶ τύχης ἐναγαγεῖν τῷ πάτρωνι ἀναδουλοῦται. καὶ ὁ πάτρων μὴ τρέφων τὸν ἀπελεύθερον πενόμενον ἐκπίπτει τῶν πατρωνικῶν δικαίων.

7. Ἐν δὲ τῷ ι΄ κεφ. Ὁ πάτρων κεφαλικῶς τοῦ ἀπελευθέρου κατηγορῶν ἐκπίπτει τῆς κατὰ τῆς αὐτοῦ διαθήκης ἐναντιώσεως. Οὐδὲ γὰρ ἐξ ἀδιαθέτου κληρονομεῖ.

8. Ἐν δὲ τῷ λ΄ κεφ. Ὅτι εἰ μὲν ἐλάττονα τῶν ρ΄ νομισμάτων ἔχοιεν περιουσίαν οἱ ἀπελεύθεροι, οὐ περιεργάζονται, ἀλλὰ διατίθενται ὡς ἂν βουληθῶσιν· ἀδιαθέτων δὲ καὶ ἀπαίδων αὐτῶν τελευτώντων κληρονομοῦσιν οἱ πάτρωνες. τῶν δὲ ὑπὲρ τὰ ρ΄ νομίσματα ἐχόντων οὐσίαν, εἰ μὲν εἴησαν παῖδες ἢ ἔκγονοι ἢ προέκγονοι ἢ ἀπέκγονοι, αὐτοὶ καλοῦνται πρὸς τὴν διαδοχήν· ἀπαίδων δὲ αὐτῶν ὄντων καὶ ἀδιαθέτων καλοῦνται οἱ πάτρωνες. εἰ δὲ διάθωνται ἄπαιδες ὄντες οἱ ἀπελεύθεροι, ἀνάγκην ἐχέτωσαν τὸ τρίτον τῆς περιουσίας αὐτῶν καταλιμπάνειν τοῖς πάτρωσιν. καλοῦνται δὲ πρὸς μὲν τὴν ἐξ ἀδιαθέτου κληρονομίαν οἵ τε κατιόντες τοῦ πάτρωνος καὶ οἱ ἐκ πλαγίου, δηλονότι κατιόντων μὴ ὄντων, μέχρι ε΄ βαθμοῦ· πρὸς μὲν[1] τὴν μέμψιν τῆς διαθήκης τοῦ ἀπελευθέρου μόνοι οἱ πάτρωνες καὶ παῖδες αὐτῶν καὶ ἔκγονοι ἕως πεμπτοῦ βαθμοῦ μόνον. οἱ δὲ ἐκ πλαγίου οὐκ ἔχουσι τὴν ἐναντίωσιν τῆς διαθήκης ἐπὶ τῷ λαβεῖν τὸ τρίτον ἐξωτικῶν γραφομένων.

9. Ἐν δὲ τῷ β΄ τί. διαλαμβάνεται περὶ τῆς ὀφειλομένης τιμῆς παρὰ τῶν ἀπελευθέρων τοῖς πάτρωσιν. οὗτινος ἐν τῷ η΄[2] κεφ. φησιν· Ἀπελεύθερος κατὰ πάτρωνος ἀτιμοποιὸν ἀγωγὴν οὐ δύναται κινῆσαι.

10. Καὶ ὅτι εἰ καὶ παρέσχε χρήματα τῷ δεσπότῃ ὁ δοῦλος καὶ ἠλευθερώθη, ὅμως ὀφείλει τιμᾶν αὐτόν.

11. Ἐν δὲ τῷ ιθ΄ κεφ. Ὁ ἀπελεύθερος εἰ ἀχάριστος φανῇ περὶ τὸν πάτρωνα καὶ ὑβρίσῃ αὐτὸν ἢ προπετὴς κατ᾽ αὐτοῦ γένηται ἢ ὅλως αἰτίαν ἀγανακτήσεως δικαίαν παράσχῃ τῷ πάτρωνι, πάλιν γινέσθω δοῦλος. καὶ οἱ παῖδες αὐτοῦ οἱ μετὰ ταῦτα τικτόμενοι ἔστωσαν δοῦλοι.

12. Ἐν δὲ τῷ κ΄[3] κεφ. Ὁ ἀπελεύθερος ἢ ὁ τοῦ ἀπελευθέρου παῖς, ἐὰν στρατεύσωνται, ὡς ἐξ αὐτοῦ τούτου ἀχάριστοι γενόμενοι περὶ τὸν πάτρωνα ἀναδουλούσθωσαν.

13. Ἐν δὲ τῷ ιγ΄ τί. διαλαμβάνεται περὶ ὑπηρεσίας καὶ ἐργασίας[4]

---

[1] Legerim δέ. [2] Leuncl. α΄. [3] Leuncl. ια΄. [4] Idem ἀγγαρίας.

τῶν ἀπελευθέρων τῶν ταύτας παρέχειν ἐπερωτηθέντων, οὗτινος ἐν τῷ να΄ κεφ. φησίν· Ὅτι ἐὰν ἐστὶν ὅλως ἄπορος ὁ πάτρων, ἀναγκάζεται ὁ ἀπελεύθερος τρέφειν αὐτόν.

14. Ἐν δὲ τῷ δ΄ τί. [διαλαμβάνει] περὶ διακατοχῆς, ἣν ἔχουσιν οἱ πάτρωνες τῶν ἀπελευθέρων τελευτώντων εἰς τὴν οὐσίαν αὐτῶν τὴν ἐναντίωσιν κινοῦντες κατὰ τῆς διαθήκης αὐτῶν. οὗτινος ἐν τῷ γ΄ κεφ. φησίν· Ὁ διὰ τὸ καταμηνύσαι τὴν ἀναίρεσιν τοῦ ἰδίου δεσπότου ἐλευθερωθεὶς οὐδενός ἐστιν ἀπελεύθερος.

15. Ἐν δὲ τῷ ϛ΄ κεφ. Ὁ τὸν πατρῷον ἀπελεύθερον δουλαγωγήσας οὔτε ὀνόματι τῶν ἰδίων παίδων ἔχει τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν.

16. Ἐν δὲ τῷ ιγ΄ κεφ. Ἐὰν ὁ πάτρων κεφαλικῶς κατηγορήσῃ τοῦ ἀπελευθέρου ἢ δουλαγωγήσῃ αὐτὸν, ἐκπίπτει τῆς κατὰ τῆς διαθήκης αὐτοῦ ἐναντιώσεως.

Ὁ δὲ ἀφήλιξ κατηγορήσας ἢ δι᾽ ἑαυτοῦ ἢ διὰ τοῦ ἐπιτρόπου ἢ τοῦ κουράτορος συγγινώσκεται, κἂν εἰ τέλειος γενόμενος κατεδικάσθη. οὔτε γὰρ ἠδύνατο τῆς κατηγορίας ἀποστῆναι διὰ τὸ μὴ ἐμπεσεῖν εἰς τὸ κατὰ τῶν συκοφαντῶν δόγμα, οὔτε ἄφεσις εὐχερῶς τῷ βουλομένῳ δίδοται. εἰ δὲ δημοσίας δοθείσης ἀφέσεως μείζων γενόμενος ἀνενεώσατο αὐτὴν, ἀπωθεῖται τῆς κατὰ τῆς διαθήκης τοῦ ἀπελευθέρου ἐναντιώσεως. ἠδύνατο γὰρ αὐτὴν ἀκινδύνως μὴ ἀνανεώσασθαι.

Κεφαλικῶς δὲ κατηγορεῖ ὁ κινῶν ἔγκλημα, ἐξ οὗ θάνατος ἢ πολιτείας ἔκπτωσις ἐπιφέρεται.

17. Ἐν δὲ τῷ ιϛ΄ κεφ. Οἱ τῆς πατρωνίσσης παῖδες καὶ πορνογενεῖς ὄντες ἔχουσι κατὰ τοῦ ἀπελευθέρου αὐτῆς τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν, οἱ δὲ τοῦ πάτρωνος νόμιμοι ὄντες.

18. Ἐν δὲ τῷ ιζ΄ κεφ. Ἐὰν εἰς ἧττον τοῦ νομίμου γραφεὶς ὁ πάτρων πλαστὴν εἴπῃ τὴν διαθήκην καὶ ἡττηθῇ, ἐκπίπτει τῆς κατὰ τῆς διαθήκης ἐναντιώσεως. ἰδίᾳ γὰρ βουλήσει τὴν κληρονομίαν ἀπώλεσεν.

19. Ἐν δὲ τῷ λε΄ κεφ. Ὁ πάτρων καὶ ἡ πατρώνισσα μὴ ἐκδικοῦντες τὴν ἀναίρεσιν τοῦ ἀπελευθέρου τῆς κατὰ τῆς διαθήκης ἐναντιώσεως τοῦ ἀπελευθέρου ἐκπίπτουσιν.

20. Ἐν δὲ τῷ ε΄ τί. φησὶ περὶ προσκυρώσεως ἀπελευθέρου. οἷον, ἔχων τὶς δύο υἱοὺς ἢ πλείους ἀπὸ νομίμων γάμων δύναται τῷ ἑνὶ αὐτῶν ἐν ζωῇ ἢ κατὰ διαθήκας προσκυροῦν τὸν ἴδιον ἀπελεύθερον· κἀκεῖνος εὑρίσκεται μετὰ θάνατον τοῦ πατρὸς μόνος πάτρων.

21. Ἐν δὲ τῷ ϛ΄ τί. περὶ τοῦ μὴ ἐξεῖναι αὐτοῖς τὰς ἰδίας περιουσίας

μειοῦν εἰς βλάβην τῶν πατρώνων. οὗτινος ἐν τῷ δ' κεφ. φησί· Πάντα τὰ εἰς περιγραφὴν ἐμποιούμενα[1] ἀνατρέπεται.

22. Ἀνάγν. καὶ βι. κδ' τί. ε', ἐν ᾧ φησι περὶ ἀπελευθέρων ἐνεχομένων ἀπὸ τῶν εἰς δουλείας[2] συναλλαγμάτων ἢ χρεῶν ἢ ἁμαρτημάτων. οὗτινος ἐν τῷ β' κεφ. φησί· Τοῖς σοῖς δανεισταῖς, οἵτινες ἐν τῇ δουλείᾳ σοι ἐδάνεισαν, οὐδεμία κατά σου ἁρμόζει ἀγωγή, μάλιστα ἐπειδὴ τὸ πεκούλιον μὴ λεγατευθῆναί [σοι] θεματίζεις.

23. Ἐν δὲ τῷ δ' αὐτοῦ κεφ.[3] Ἐκ τῶν ἐν δουλείᾳ συναλλαγμάτων μετὰ τὴν ἐλευθερίαν οὐδεὶς κατέχεται, ἐκ δὲ τῶν ἁμαρτημάτων ἐνάγεται, διὰ τὸν κανόνα τὸν λέγοντα· τὰ πταίσματα τῇ κεφαλῇ ἀκολουθεῖ.

24. Ἀνάγνωθι καὶ βι. λα' τί. β' καὶ τί. ς' κεφ. ς' καὶ θ', ἐν οἷς φησι τοῦ τρέφεσθαι τοὺς πάτρωνας παρὰ τῶν ἀπελευθέρων.

25. Ἀνάγν. καὶ βι. λζ' τί. δ' κεφ. γ', ἐν ᾧ φησι περὶ πατρώνων καὶ ἀπελευθέρων διαδόχων καὶ ἐπιτρόπων.

26. Ἀνάγν. καὶ βι. μ' τί. ζ' κεφ. δ' καὶ ε'. ἀνάγν. καὶ βι. με' τί. α' κεφ. ις', ἐν ᾧ φησιν· Ἀπελευθέρου τελευτῶντος οἱ κατιόντες πρῶτοι καλοῦνται, καὶ μετ' αὐτοὺς οἱ ἀνιόντες τοῦ ἀπελευθέρου καὶ ἀδελφοὶ ἐλεύθεροι ὄντες. τούτων δὲ μὴ ὑπόντων οἱ πάτρωνες, εἴτε ἑκόντες ἠλευθέρωσαν εἴτε δι' ἀποκαταστάσεως, εἴτε προικιμαῖον ὁ ἀνὴρ ἐλευθερώσει δοῦλον, εἴτε ἐπὶ ὅρῳ ἐλευθερίας ἠγόρασε καὶ ἀναρπαγῇ ἀπὸ τῆς διατάξεως. εἰ δέ τις ἐλέγξει τὴν τοῦ ἰδίου δεσπότου ἀναίρεσιν, εἰ μὲν ὡς ἀπελεύθερον αὐτὸν ὁ ἄρχων τινὶ προσκυρώσει, αὐτὸς ἔσται πάτρων καὶ νόμιμος κληρονόμος· εἰ δὲ μὴ προσκυρωθῇ τινι, ἀπελεύθερος ἔσται τοῦ πρώην αὐτοῦ δεσπότου· κἀκεῖνος αὐτοῦ κληρονομεῖ ἐξ ἀδιαθέτου, εἰ μὴ ἀνάξιός ἐστιν, ὥστε καὶ τὴν κληρονομίαν ἀφαιρεθῆναι.

27. Ἀνάγν. καὶ βι. να' τί. ς' κεφ. α' θέμ. ε' καὶ κεφ. β' καὶ δ'. ἀνάγν. καὶ βι. νθ' τί. α' κεφ. γ'. ἀνάγν. καὶ βι. ξ' τί. μα' κεφ. ς'.

XII.

Περὶ πεκουλίου[4].

1. Ἀνάγν. βι. νζ' τί. β', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν τὸ στρατιωτικὸν πεκούλιον τοῦ παιδὸς μείνῃ παρὰ τῷ πατρί, μὴ

---

[1] Leuncl. conj. ἐκποι. [2] Leuncl. ἐν δουλείᾳ. [3] Lips. et Labb. hoc caput praecedenti praeponunt. [4] In nonnullis Codicibus Mss. hoc loco in margine habetur Epanagoges XXXI, 1—4 praeposita inscriptione: Περὶ καν̃στρεσίου καὶ παγανικοῦ πεκουλίου καὶ τῆς διαφορᾶς αὐτῶν. Videsis Labbaei Obss. p. 182.

διατιθεμένου αὐτοῦ μὲν οὐ γίνεται κληρονόμος, τῶν δὲ παρὰ τοῦ παιδὸς κληρονομηθέντων κληρονόμος γίνεται.

2. Ἐν δὲ τῷ β' κεφ. Ἐὰν ἀδιάθετος στρατιώτης ἀποθάνῃ, τὰ πράγματα αὐτοῦ παρὰ τῷ πατρὶ αὐτοῦ μένει ὡς πεκούλιον. εἰ δὲ διάθηται, ὡς κληρονομία ἐστὶ τὸ στρατιωτικὸν πεκούλιον.

3. Ἐν δὲ τῷ δ' κεφ. Στρατιωτικά εἰσιν, ὅσα συγχωροῦντος τοῦ πατρὸς ἀπαγάγῃ εἰς τὰ κάστρα ἤτοι φοσσάτα. καὶ ἄκοντος τοῦ πατρὸς ἔχει τὰς περὶ τοῦ στρατιωτικοῦ ἀγωγάς· κἂν αὐτεξούσιος ἐκτήσατο, καὶ δέδωκεν ἑαυτὸν εἰς θέσιν.

4. Ἐν δὲ τῷ ι' κεφ. Οὐδὲν τοῖς πατρᾶσιν ἐκ τοῦ στρατιωτικοῦ πεκουλίου τῶν ὑπεξουσίων κεχρεώστηται.

5. Στρατιωτικὸν πεκούλιόν ἐστι τὸ δωρούμενον ἀπὸ γονέων ἢ συγγενῶν τοῖς οὖσιν ἐν στρατείᾳ, καὶ ὅπερ αὐτὸς ὁ ὑπεξούσιος ἐν τῇ στρατείᾳ κτήσεται.

6. Ἐν δὲ τῷ ια' κεφ. Οὔτε μένοντος ὑπεξουσίου τοῦ στρατιώτου, οὔτε αὐτεξουσίου γινομένου, οὔτε εἰς θέσιν παρὰ τοῦ πατρὸς διδομένου, δύναται ὁ πατὴρ ἀφαιρεῖσθαι τὸ στρατιωτικὸν πεκούλιον.

7. Ἐν δὲ τῷ κα' κεφ. Ἡ διάταξις δίδωσι πᾶσι τοῖς ἐν τῷ παλατίῳ στρατευομένοις δίκαιον στρατιωτικοῦ πεκουλίου εἰς τὰ κτηθέντα αὐτοῖς ἐν καιρῷ τῆς στρατείας, ἢ ἀπὸ βασιλικῶν δωρημάτων ἢ ἐξ ὧν μὴ δαπανῶσι, καὶ ἐφ' ὅσον στρατεύονται καὶ μεθ' ὃ πληρώσουσιν.

8. Ἐν δὲ τῷ κς' κεφ. Δίκαιον στρατιωτικοῦ πεκουλίου ἔχουσι καὶ οἱ σκρινιάριοι καὶ οἱ ἐξσκέπτορες τοῦ ἐπάρχου τῶν πραιτωρίων. δοκοῦσι γὰρ τῆς πρώτης λεγεῶνος εἶναι τῆς τῷ βασιλεῖ βοηθούσης.

XIII.

Περὶ πενθίμου, καὶ τίνες οὐ πενθοῦνται.

1. Ἀνάγν. βι. κα' τί. β' κεφ. ε', ἐν ᾧ φησιν· Ὁ ἀνὴρ οὐ πενθεῖ τὴν γαμετὴν, οὐδὲ ἡ μνηστὴ τὸν μνηστῆρα.

2. Κατὰ κέλευσιν βασιλέως δύναται ἡ γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖν.

Ἡ πενθοῦσα καλῶς μνηστεύεται.

3. Εἰ καὶ τοιοῦτός ἐστιν ὁ ἀνὴρ ὥστε μὴ πενθεῖσθαι, ὡς ὁ αὐτόμολος καὶ ὁ κατακριθεὶς ἐπὶ τυραννίδι καὶ ὁ προδότης καὶ ὁ ἀπαγχόμενος, καὶ ὁ χεῖρας ἐπιβαλὼν ἑαυτῷ μὴ μίσει

τῆς ζωῆς, ἀλλὰ κακῇ συνηθείᾳ[1], ὅμως διὰ τὴν σύγχυσιν τῆς γονῆς ἡ πρὸ πενθίμου γαμοῦσα ἀτιμοῦται, καὶ ὁ ἐν εἰδήσει ἀγαγόμενος αὐτήν. ἡ δὲ τοῦ φάκτου ἄγνοια, οὐ μὴν ἡ τοῦ νόμου συγγινώσκεται. ἡ δὲ τεκοῦσα ἐν τῷ πενθίμῳ παραχρῆμα δύναται γαμεῖν[a].

Ὁ ὑπεξούσιος κελεύσει τοῦ πατρὸς ἀγαγόμενος τὴν πενθοῦσαν συγγινώσκεται· ὁ δὲ πατὴρ ἀτιμοῦται.

4. Κἂν μετὰ τὸ γενέσθαι αὐτὸν αὐτεξούσιον μείνῃ ἔχων αὐτήν, οὐκ ἀτιμοῦται.

5. Εἰ μὴ κατ' ἀρχὰς γνῷ ὁ πατήρ, ἀλλ' ὕστερον ἀποδέξηται τὸν γάμον, οὐκ ἀτιμοῦται.

6. Ἀνάγν. καὶ τί. γ' κεφ. ιγ'. ἀνάγν. καὶ βι. κη' τί. ε' κεφ. ιζ', ἐν ᾧ φησιν· Αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ κωλύονται ἐν τῷ πενθίμῳ καιρῷ γαμεῖσθαι. ἡ δὲ τεκοῦσα ἐν τῷ πενθίμῳ παραχρῆμα δύναται λαβεῖν[2].

7. Ἀνάγν. καὶ τί. ιε' κεφ. β', ἐν ᾧ διαλαμβάνεται περὶ τῆς τεκούσης τῷ ια' μηνί. καί φησι ἐν τῷ ε' αὐτοῦ θέμ. Ὅτι θεσπίζομεν, εἴ τι τοιοῦτον συμβαίη καὶ πρὸ τοῦ πενθίμου χρόνου τέκοι γυνὴ πρὸς τῷ πέρατι τοῦ ἔτους, ὥστε ἀναμφισβήτητον εἶναι τὸ μὴ τὴν γονὴν ἐκ τοῦ προτέρου καθεστάναι συνοικεσίου, παντοίως αὐτὴν στερεῖσθαι τῆς προγαμιαίας δωρεᾶς καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν, ὑποκειμένην καὶ τοῖς ἄλλοις ἅπασιν ἐπιτι-

---

[a] Σχόλιον. Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα κωλύεται γάμῳ προσελθεῖν, ἡ δὲ ἐν τῷ πενθίμῳ χρόνῳ τεκοῦσα οὐ κωλύεται γαμεῖν. οὐκ ἐναντία ἡ τῶν νόμων διάνοια, ἀλλὰ καὶ λίαν σύμφωνος, κατ' ἄλλο καὶ ἄλλο σημαινομένη. ὅρα γὰρ τοῦ πρωτοτύπου τὸν νοῦν· ἡ ἐν τῷ πενθεῖν τεκοῦσα κωλύεται γαμεῖν. τῶν γὰρ ἀξίων πενθεῖσθαι αἱ γυναῖκες, ἤτοι τῶν ἀνεπιλήπτως βιούντων καὶ ἁπλῶς τῶν μὴ τῷ νόμῳ μεμισημένων, καὶ τεκοῦσαι κωλύονται ἕως οὗ ὁ τοῦ πένθους καιρὸς πληρωθῇ. κατὰ γὰρ δύο τρόπους ὁ πένθιμος καιρὸς εἴωθε τυποῦσθαι, διὰ τὸ μὴ σύγχυσιν γίνεσθαι τῆς γονῆς καὶ διὰ τὴν ὀφειλομένην τιμὴν τοῖς ἀνδράσιν, ὧν η μὲν μία λύεται διὰ τοῦ τοκετοῦ, ἡ δὲ ἑτέρα ἐπιφέρεται διὰ τὴν τιμήν, ἥτις καὶ περιλυθεῖσα τῷ τόκῳ μένει δι' αἰδῶ καὶ τιμὴν τοῦ ἀνδρός. ἡ δὲ τοῦ ἑτέρου οὕτως· ἡ ἐν τῷ πενθεῖν τεκοῦσα οὐ κωλύεται γαμεῖν· οὐ γὰρ ἄξιοι τοῦ πενθεῖσθαι οἱ ἄνδρες οἷον αὐτόμολοι προδόται ἀπαγχόμενοι καὶ οἱ λοιποί, οὓς ὁ νόμος ἀνατάττεται διὰ τὸ μὴ εἶναι ἀξίους πένθους· τούτων γὰρ παραυτίκα τέξασαι αἱ γυναῖκας γαμοῦσιν. τοῦ γὰρ χρόνου τῆς συγχύσεως λυθέντος ἀκωλύτως γαμοῦσι τῆς παρὰ τῶν νόμων τιμῆς ὑπεξαιρουμένων τῶν αὐτομόλων καὶ τῶν ἄλλων τῶν μὴ πενθουμένων. ὁ γὰρ νομοθέτης ἐπὶ τὸν χρόνον τρέψας τὸ πένθος ἀναξίους αὐτοὺς τοῦ πενθεῖσθαι παρεδήλωσεν.

---

[1] Basil. συνειδήσει. [2] Leuncl. γαμεῖν.

μίοις, ὡσανεὶ δευτέροις ἔτυχε πρὸ τοῦ πενθίμου χρόνου νομίμοις ὁμιλήσασα γάμοις. μὴ γάρ ποτε πλεῖον ἐχέτω σωφροσύνης ἀσέλγεια· ἀλλ' ὑποκείσθω μὲν καὶ αὐτὴ ταῖς αὐταῖς ποιναῖς, κινδυνευέτω δὲ καὶ περὶ τὴν ἐλπίδα τῆς ἀπὸ τῆς μοιχείας γραφῆς, ὅπως ἂν μηδὲ γάμων ἀώρων ἐπιθυμοίη μηδὲ τοὺς νομίμους γάμους μείζονι κακῷ σοφίζοιτο.

8. Ἀνάγν. καὶ βι. νθ' τί. α' κεφ. κθ' [1], ἐν ᾧ φησιν· Ὁ προδότης τῆς ἰδίας πατρίδος οὐ πενθεῖται, ἀλλὰ καὶ ἀψόγως παῖς πατέρα τοιοῦτον ἀναιρεῖ, καὶ τοὔμπαλιν, καὶ ἄθλων ἀξιοῦται. προείρηται δὲ περὶ τῶν πρὸ τοῦ πενθίμου ἐρχομένων εἰς δεύτερον γάμον καὶ ἐν τῷ περὶ δευτερογαμούντων πλατύτερον.

XIV.

Περὶ [τῶν] περιοριζομένων.

1. Ἀνάγν. βι. ξ' τί. να' κεφ. β' θέμ. γ' καὶ κεφ. με', ἐν ᾧ φησι· Τῶν μὲν περιοριζομένων τὰ πράγματα, ἐὰν οἱ δυνάμενοι περιορίζειν ἐπαγάγωσι τὴν τιμωρίαν, τῷ δημοσίῳ διαφέρουσιν· ἐπειδὴ καὶ σιωπηρὰ δήμευσις ἐπακολουθεῖ τῇ τιμωρίᾳ. τὰ δὲ πράγματα τῶν ἐξορίστων ὑπὸ τὴν δεσποτείαν αὐτῶν μένουσιν.

2. Ἀνάγν. καὶ τί. νγ' κεφ. β' καὶ τί. νδ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ὁ ἔπαρχος τῆς πόλεως δύναται περιορίζειν, οὐ μὴν οἱ τῶν ἐπαρχιῶν ἄρχοντες. ἀλλ' ὁσάκις νομίσουσιν ὀφείλειν περιορισθῆναί τινα, τελείως τὰ περὶ αὐτοῦ καὶ τὴν οἰκείαν γνώμην ἀναφέρουσι βασιλεῖ, καὶ αὐτὸς δοκιμάζει εἰ δεῖ τῇ ψήφῳ τοῦ ἄρχοντος ἀκολουθῆσαι. ἐν ὅσῳ δὲ ὁ βασιλεὺς ἀντιγράφει, ἐν φυλακῇ βάλλεται.

3. Ἐν δὲ τῷ ιε' κεφ. Ὁ χωρὶς βασιλέως ὑπὸ ἄρχοντος περιορισθεὶς καὶ κληρονομεῖ καὶ δωρεὰς κατὰ διαθήκας λαμβάνει.

4. Οἱ δὲ περιοριζόμενοι οὐδὲ κληρονομίαν οὐδὲ λεγάτον λαμβάνουσι. καταλιμπάνεται δὲ αὐτοῖς ἐν διαθήκῃ τὰ πρὸς ἀποτροφὴν καὶ τὰς ἄλλας ἀναγκαίας χρείας ἀρκοῦντα.

5. Ἀνάγν. καὶ βι. κη' τί. ζ' κεφ. κβ' [a].

---

[a] Ἀνάγνωθι καὶ βι. μδ' τί. γ' κεφ. α' θέμ. γ', ἐν ᾧ φησιν, ὅτι οἱ περιορισθέντες οὔτε λεγάτα διδόναι δύνανται· ἀπόλιδες γάρ εἰσιν. ἀνάγνωθι καὶ κεφ. ζ'.

---

[1] Leuncl. νζ'.

XV.

Περὶ τῶν περισσοπρακτούντων, τουτέστι τῶν περιττὸν ἀπαιτούντων.

1. *Ἀνάγν. βι. νϛ΄ τί. η΄ κεφ. κε΄, ἐν ᾧ φησιν·* Ὁ περισσοπρακτήσας, εἴτε πολίτης ἐστὶν εἴτε ταξεώτης, ἀναγκάζεται τὸ διπλάσιον ἀποκαταστῆσαι τῷ περισσοπρακτηθέντι. εἰ δὲ ἐπιμείνει περισσοπρακτῶν, κεφαλικῶς τιμωρεῖται.

XVI.

Περὶ πλάνης, ὡς ὅτε [ὁ] διατιθέμενος εἴπῃ περὶ οἰκογενοῦς δούλου· τόνδε τὸν ἀγοραστόν[1].

1. *Ἀνάγν. βι. ιε΄ τί. α΄ κεφ. ϙη΄, ἐν ᾧ φησι·* Τῆς τοῦ πράγματος δεσποτείας παρά τινι μενούσης ἡ πλάνη εἰς οὐδὲν ἀντίκειται. ὁμοίως περὶ λεγάτων ἔγνως ἐν τῇ β΄ ἰνστιτουτίονι, ὅτι οὐ βλάπτει τὸ λεγάτον τὸ εἰπεῖν τὸν διαθέμενον περὶ οἰκογενοῦς δούλου· τόνδε τὸν ἀγοραστὸν, ἢ τοὐναντίον.

XVII.

Περὶ πλαστῶν καὶ τῶν εὐθυνομένων τῷ τοιούτῳ ἐγκλήματι.

1. *Ἀνάγν. βι. ξ΄ τί. μα΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν·* Ὁ ποιήσας ἐκμαρτύρια πλαστὰ ἢ διαθήκας, ἢ ἐκδεδωκὼς ἢ ὑποβαλὼν εἰς ἀνάγνωσιν, τῷ περὶ πλαστογραφίας νόμῳ ὑπόκειται.

Καὶ ὁ χρήματα λαβὼν ἢ συμφωνήσας ἢ κοινωνίαν ποιήσας ἐπὶ τῷ συνθῆναι συνηγορίαν[2] ἢ μαρτυρίαν κατὰ τῶν ἀνευθύνων.

Καὶ ὁ λαβὼν χρήματα ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι, μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι.

Ἡ τοῦ πλαστοῦ καὶ τοῦ ὡσανεὶ πλαστοῦ τιμωρία περιορισμός ἐστι καὶ τελεία δήμευσις, κατὰ δὲ δούλων ἐσχάτη.

2. *Ἐν δὲ τῷ μζ΄ κεφ.* Τὸ τοῦ πλαστοῦ ἔγκλημα χρόνῳ οὐκ ἐκβάλλεται, εἰ μὴ ἄρα κ΄ ἐνιαυτοῖς, ὥσπερ καὶ τὰ ἄλλα πάντα σχεδὸν τὰ ἐγκλήματα.

3. *Ἐν δὲ τῷ νγ΄ κεφ.* Ἀπὸ πλαστοῦ νομὴν οὐδεὶς δύναται ἑαυτῷ κατασκευάσαι. διὰ τοῦτο κατὰ τῶν λεγόντων ἑαυτοὺς εἶναι δεσπότας δύναταί τις τὴν περὶ τοῦ πλαστοῦ κατηγορίαν

---

[1] Lips. et Leuncl. hic et mox infra *ἀγοραστήν*. [2] Lips. *κληρονομίαν*. Basil. *κατηγορίαν*.

κινῆσαι, λέγων αὐτοὺς ἀπὸ πλαστῶν δικαιωμάτων κατασκευάζειν ἑαυτοῖς τὴν δεσποτείαν τοῦ πράγματος.

4. Ἐν δὲ τῷ νς' κεφ. Ἡνίκα δὲ συστῇ τὸ περὶ τῆς πλαστογραφίας ἔγκλημα, εἰ μὲν μέγιστόν τι ἐκ τούτου ἁμαρτάνεται, ἀποτεμνέτω αὐτὸν ἢ περιοριζέτω.

5. Ἐν δὲ τῷ νζ' κεφ. Ἐὰν προενεχθέντος ἐπὶ τῇ δίκῃ συμβολαίου τινὸς, οἷον διαθήκης ἤ τινος ἑτέρου, ἐπιλαμβάνηταί τις αὐτοῦ ὡς πλαστοῦ, οὐ χρὴ εὐθὺς τὸ ἔγκλημα κινεῖσθαι, ἀλλὰ δίδοσθαι προθεσμίαν, ἵνα ἐγκληματικῶς ἢ χρηματικῶς κινήσῃ. δῆλον δὲ ὅτι ἡ χρηματικὴ κατηγορία πρότερον ἐξετάζεται.

6. Ἡ διάταξις κελεύει ἐξουσίαν ἔχειν ἕκαστον, ἢ χρηματικῶς ἢ ἐγκληματικῶς διελέγξαι τὸ πλαστόν. φησὶ δὲ ὅτι ἐπὶ παντὸς συμβολαίου ζητοῦμεν πρότερον τὰς ἀποδείξεις ἐκ τοῦ προσενεγκόντος, καὶ μετὰ ταῦτα ἐκ τοῦ λέγοντος πλαστὸν εἶναι τὸ συμβόλαιον.

7. Ἀνάγν. καὶ βι. ια' τί. β' κεφ. η'[1], ἐν ᾧ φησιν· Ὅτι καὶ χωρὶς ἐγγραφῆς δύναταί τις κινεῖν τὸ περὶ πλαστοῦ συμβολαίου.

XVIII.

Περὶ ποινῶν.

1. Ἀνάγν. βι. ξ' τί. να', οὗτινος ἐν τῷ α' κεφ. φησί· Τοῦ κρινομένου τὴν αἵρεσιν δεῖ σκοπεῖν, οὐχ οἵαν ἔχει ἐν τῷ καιρῷ τῆς ἀποφάσεως, ἀλλ' οἵαν εἶχεν ἁμαρτάνων.

Ὅθεν ἐάν τις δοῦλος ἁμάρτῃ καὶ ἐλευθερωθεὶς καταδικασθῇ, ὡς δοῦλος τιμωρεῖται, καὶ ἐκ τοῦ ἐναντίου.

2. Ἐν δὲ τῷ β' κεφ. Οἱ δημόσιον ἢ ἰδιωτικὸν ἔγκλημα ἐξτραορδινὲμ διαγινώσκοντες τὸν μὴ δυνάμενον δοῦναι χρηματικὴν ποινὴν ἐξτραορδινὲμ κολάζουσι.

Κεφαλικὴ καταδίκη ἐστὶν ἢ θάνατον ἢ ὑπεύθυνον ποινῆς ἢ πολιτείας ἔκπτωσιν ἐπάγουσα.

3. Ἐν δὲ τῷ γ' κεφ. Ἔγκυος πρὶν ἢ τέκῃ οὐ τιμωρεῖται, οὐδὲ βασανίζεται.

4. Ἐν δὲ τῷ ε' κεφ. Ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ ζητεῖν, εἰ ἐκ προνοίας τὶς ἢ κατὰ τύχην ἥμαρτε, καὶ οὕτως ἢ πρὸς τὸν νόμον ἢ πρᾳοτέραν ἐπιφέρειν τιμωρίαν.

5. Ἐν δὲ τῷ ς' κεφ. Τῶν ποινῶν αἱ μὲν θάνατον ἐπάγου-

---

[1] In edit. Heimb. est c. 59.

σιν, αἱ δὲ δουλείαν, αἱ δὲ πολιτείας ἔκπτωσιν, αἱ δὲ ἐξορίαν, αἱ δὲ σωφρονισμὸν εἰς σῶμα (τουτέστι πληγὰς ἢ δεσμὰ), ἢ ζημίαν σὺν ἀτιμίᾳ, ἢ στέρησιν ἀξίας, ἤ τινος πράγματος κώλυσιν.

Μόνῳ δὲ ξίφει καὶ οὐχ ἑτέρῳ ὀργάνῳ ἢ φαρμάκῳ δεῖ φονεύειν.

6. Ἐν δὲ τῷ κε' κεφ. Ἐσχάτη τιμωρία ἐστὶ τὸ φουρκισθῆναι ἢ καυθῆναι ἢ ἀποκεφαλισθῆναι καὶ τὸ μεταλλισθῆναι καὶ περιορισθῆναι. ταῦτα γὰρ πλησιάζει καὶ μιμεῖται θάνατον.

Τὸ δὲ προσκαίρως ἢ διηνεκῶς ἐξορισθῆναι ἢ ἄλλως ὑποστῆναι ποινὴν ἢ εἰς δημόσιον ἔργον δοθῆναι ἢ ῥοπαλισθῆναι[1] οὐκ ἐστι κεφαλικόν.

7. Ἐν δὲ τᾷ κϛ' κεφ. Μόνοι οἱ εὐτελεῖς ἐλεύθεροι ῥοπαλίζονται.

8. Ἐν δὲ τῷ λζ' κεφ. Διὰ τῆς ἑρμηνείας τῶν νόμων πραΰνεσθαι δεῖ τὰς τιμωρίας, οὐ μὴν τραχύνεσθαι.

9. Ἐν δὲ τῷ μδ' κεφ. Οὐδέποτε συγχωρεῖται διὰ τὴν ἡλικίαν ἡ τιμωρία τοῦ ἁμαρτήματος· μόνον ἐάν ἐστι πλησιάζων τῇ ἥβῃ τὶς, ὅτε καὶ αἰσθάνεται τῶν παρ' αὐτοῦ ἁμαρτανομένων.

10. Ἐν δὲ τῷ νγ' κεφ. Ἡνίκα ὁ κατηγορούμενος ἐπὶ φόνῳ ἢ ἄλλῳ τινὶ τοιούτῳ ἐγκλήματι δι' ἐναργῶν ἀποδείξεων ἐλεγχθῇ, μὴ ὑπερτιθέσθω ὁ ἄρχων τὴν κατ' αὐτοῦ τιμωρίαν. εἰ δὲ καὶ ἐν τῷ μεταξὺ ἐδεήθη, ἄχρηστός ἐστιν ἡ δέησις αὐτοῦ.

11. Ἐν δὲ τῷ νε' κεφ. Θεσπίζομεν ἐκεῖσε εἶναι τὴν τιμωρίαν, ὅπου καὶ τὸ ἁμάρτημά ἐστι. τοὺς δὲ συγγενεῖς, τοὺς ἐγνωσμένους, τοὺς οἰκειακοὺς μακρὰν ἀπὸ τῆς συκοφαντίας ἐκβάλλομεν, οὕστινας ὑπευθύνους ἡ τοῦ μύσους κοινωνία μὴ ποιεῖ· οὐδὲ γὰρ ἡ συγγένεια ἢ ἡ φιλία ἄδικον ἔγκλημα προσδέχονται. τὰ οὖν ἁμαρτήματα τοὺς ἰδίους κατεχέτω αὐθέντας, καὶ μηδὲ περαιτέρω προέλθῃ φόβος, εἴπερ[2] εὑρίσκεται τὸ ἁμάρτημα. τοῦτο ἑκάστοις δικασταῖς ἐμβασανιζέσθω[3].

12. Ἀνάγν. καὶ βι. ϛ' τί. ιθ' κεφ. ια.

---

[1] Haec verba ἢ εἰς — ῥοπαλισθῆναι nec Leuncl. nec Basil. agnoscunt.
[2] Bas. ἤπερ. [3] Bas. ἐμφανιζέσθω.

XIX.

Περὶ πόλεων καὶ προνομίων αὐτῶν, καὶ τῶν ἀπό τινος πολιτικῆς διοικήσεως ἢ φάκτου εὐθυνομένων αὐτοῖς.

1. *Ἀνάγν. βι. νδ' τί. ι', οὗτινος ἐν τῷ β' κεφ. θέμ. ζ' φησί·* Τὰ τῶν πόλεων δίκαια διὰ συμφώνων οὐκ ἐναλλάσσεται. ὅθεν ἐάν τις συμφωνήσῃ ἀπολογεῖσθαι ὑπὲρ τοῦ κοντουβερναρίου αὐτοῦ, ἐν οἷς αὐτὸν ὁ νόμος ὑποβάλλει, οὐκ ἔῤῥωται. ἐφ' οἷς δὲ καταβάλλει ὑπὲρ τοῦ κοντουβερναρίου αὐτοῦ, ἔχει ἀγωγὴν κατ' αὐτοῦ καὶ τῶν αὐτοῦ κληρονόμων.

2. *Ἀνάγν. καὶ τί. ια'* [1], *οὗτινος ἐν τῷ β' κεφ. φησίν·* Ἐὰν πρὸς χάριν οἱ τῆς πόλεως κτήτορες ψηφίσωνται χρεώστην ἐλευθερωθῆναι ἢ φιλοτιμίαν δοθῆναι ἀπὸ τῆς πόλεως, τυχὸν ἢ ἀγρὸν ἢ οἶκον ἢ ποσὸν ἢ σιτηρέσιον δοθῆναι ἰατροῖς ἢ παιδευταῖς (εἰς τὰς δύο γὰρ ταύτας αἰτίας ἐφεῖται τοῖς κτήτορσι ψηφίζεσθαι σιτηρέσιον), οὐκ ἰσχύει τὸ γεγονός.

3. *Ἀνάγν. καὶ τί. ιβ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν·* Ὁ ἄρχων μὴ συγχωρείτω δημοσίους ὅρους ἢ τοὺς πολιτικοὺς ὑπὸ ἰδιωτῶν κατέχεσθαι, ἀλλ' ἢ διεκδικείτω τούτους, ἢ τέλος αὐτοῖς ἐπιτιθέτω πρὸς τὸ συμφέρον τῇ πόλει.

4. *Ἐν δὲ τῷ ε' κεφ.* Περὶ τῶν γινομένων ἔργων ἐν τοῖς τείχεσιν ἢ ταῖς πόρταις ἢ τῷ δημοσίῳ, καὶ περὶ τῆς τῶν τειχῶν ἀνανεώσεως ἐρωτᾶσθαι δεῖ τὸν βασιλέα παρὰ τοῦ ἄρχοντος.

5. *Ἀνάγν. καὶ τί. κγ', ἐν ᾧ φησιν·* Ἡ κωνσταντινούπολις μὴ μόνον τοῖς τῆς ἰταλίας, ἀλλὰ καὶ αὐτῆς τῆς ῥώμης τοῖς προνομίοις κεχρήσθω.

6. *Ἀνάγν. καὶ τί. κη', οὗτινος ἐν τῷ β' κεφ. φησίν·* Ἡ πόλις ὡς ἄνηβος ἐξτραορδινὲμ δύναται βοηθεῖσθαι.

7. *Ἀνάγν. καὶ τί. κθ' καὶ λ' καὶ λα' καὶ λβ' καὶ λγ' καὶ λε' καὶ λϛ'. καὶ βι. νε' τί. ιγ' κεφ. β', ἐν ᾧ φησι·* Θεσπίζομεν ὥστε τῇ νικαέων πόλει ἀποδοθῆναι τὴν πρόσοδον τὴν κατὰ ἀπάμειαν, τὴν εἰς ἑτέρας χρείας ἀφορισθεῖσαν ὑπὸ μαρκιανοῦ· καὶ εἴ τι δὲ ἄλλο ταῖς πόλεσι [2] πρόκριμα γέγονεν ἐκ τῆς μαρκιανοῦ διατυπώσεως, καὶ τοῦτο ἀνίσχυρον ἔστω. ὁ δὲ παραβαίνων βαρέως τιμωρείσθω.

8. *Ἀνάγν. καὶ βι. νϛ' τί. γ' κεφ. α' καὶ ϛ' καὶ ζ' καὶ η'.*

---

[1] Lips. ιδ'. [2] Leuncl. τῆς πόλεως.

XX.

Περὶ πολιτῶν καὶ προνομίων αὐτῶν καὶ λειτουργιῶν.

1. *Ἀνάγν. βι. νδ' τί. α', οὗτινος ἐν τῷ δ' κεφ. φησίν·* Οὐκ ἀναγκάζονται οἱ πολιτευόμενοι ἥττονος τιμήματος τῇ πόλει πιπράσκειν τὸν σῖτον.

2. *Ἐν δὲ τῷ ς' κεφ. τί. β'*[1]· Ἡ διάταξις λέγει, ὅτι πολίτας μὲν ποιεῖ τὸ ἐκεῖθεν ὁρμᾶσθαι, καὶ τὸ ἐλευθερωθῆναι παρά τινος ὄντος ἐξ ἐκείνης τῆς πόλεως, τὸ ἐναπογραφῆναι τοῖς πολίταις, τὸ εἰς θέσιν ἐν ἐκείνῃ τῇ πόλει ληφθῆναι.

3. *Ἀνάγν. καὶ τί. ιθ' καὶ βι. ξ' τί. μδ' κεφ. β'.*

XXI.

Περὶ πορνευόντων εἰς ἰδίας δούλας ἢ ἀλλοτρίας καὶ ἐλευθέρας, εἴτε γυναῖκας ἐχόντων αὐτῶν εἴτε μή, καὶ περὶ τῶν πειρωμένων β' γυναῖκας ἔχειν[a].

1. *Ἀνάγν. βι. ξ' τί. λζ' κεφ. ος' καὶ οζ', ἐν οἷς φησιν·* Ὁ ἔχων γυναῖκα καὶ πορνεύων διὰ ιβ' ἀλλακτῶν σωφρονιζέσθω· καὶ ὁ μὴ ἔχων δὲ καὶ τῇ αὐτῇ περιπίπτων ἁμαρτίᾳ διὰ ἓξ ἀλλακτῶν σωφρονιζέσθω. ὁ μέντοι γυναῖκα ἔχων καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος, διαγινωσκομένης τῆς πράξεως, οὗτος μὲν τυπτόμενος σωφρονιζέσθω, ὁ δὲ κατὰ τὸν τόπον ἄρχων ἀναλαμβάνων τὴν δούλην ὑπὲρ ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης. ὁ δὲ εἰς ἀλλοτρίαν δούλην πορνεύων, τῶν μὲν εὐπόρων, ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης νομίσματα λς'. εἰ δὲ εὐτελὴς εἴη, τυπτέσθω, καὶ καθ' ὅσον εὐπορεῖ, κατ' ἀναλογίαν τῶν λς' νομισμάτων διδότω.

---

[a] *Ἀνάγν. καὶ βι. ξ' τί. ια' κεφ. β', ὅπερ εἴρηται ἐν τῷ περὶ κλοπῆς. καὶ τί. ιβ' κεφ. λζ' τοῦ αὐτοῦ ξ' βι. φησὶ γὰρ ὅτι ὁ ἁρπάζων ἢ ἀποκρύπτων ἀλλοτρίαν δούλην πόρνην οὖσαν οὔτε μεταλλίζεται οὔτε τῇ περὶ κλοπῆς ἀγωγῇ εἰς τὸ διπλοῦν κατέχεται. οὐ γὰρ κλοπῆς, ἀλλ' ἡδονῆς χάριν ἐποίει τοῦτο. ἐν δὲ τῷ οζ' κεφ. τοῦ αὐτοῦ ιβ' τί. καὶ βι. φησὶ, ὅτι δι' ἡδονὴν δούλην μὴ οὖσαν πόρνην κλέψας ἐνέχεται τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ· εἰ δὲ κρύψει, καὶ τῇ τῶν ἀνδραποδιστῶν ἀγωγῇ. ἀνάγν. καὶ νεαρὰν ιδ' καὶ να', ἐν ᾗ φησι τοῦ μήτε ἐγγυητὴν μήτε ὅρκον διδόναι τὰς εἰς σκηνὴν κατιούσας γυναῖκας.*

---

[1] Verba *τί. β'* Leuncl. non habet. Ideoque Heimb. hunc locum perperam titulo I tribuit.

2. Ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς, οὐ νόμῳ, ἀλλὰ φάκτῳ καὶ προαιρέσει, καλῶς ὑποστήσεται[1] τῷ τῆς μοιχείας ἐγκλήματι. ἡ δὲ ὕστερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετὴν, συγγινώσκεται[2].

XXII.

Περὶ πορνοβοσκῶν.

1. Ἀνάγν. βι. ξ' τί. λη', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὅτι ἐὰν πατὴρ θυγατέρα ἢ δεσπότης δούλην πορνοβοσκῇ, ἀπολλύτωσαν τὴν ἐπ' αὐταῖς ἐξουσίαν. λοιπὸν δὲ αὗται βουλόμεναι ἐλευθερωθῆναι τοῦ πάθους τούτου προσίτωσαν τῷ ἐπισκόπῳ καὶ τῷ ἄρχοντι καὶ τῷ ἐκδίκῳ, βοηθείας τευξόμεναι. εἰ δὲ πρὸς τοῦτο ἀντιστῇ ὁ πατὴρ ἢ ὁ δεσπότης, πρὸς τῇ ὑπεξουσιότητι καὶ δήμευσιν καὶ ἐξορίαν εἰς μέταλλον ὑπομένουσι.

2. Μηδεὶς πορνοβοσκείτω τοῦ λοιποῦ, μηδὲ πόρος ἐντεῦθεν ταῖς λαργιτιόσιν εἰσαγέσθω. μήτε οὖν δούλην ἢ ἐλευθέραν προϊστάτω τὶς, ἐπεὶ εὐτελὴς μὲν ὢν ὁ τοῦτο ποιῶν πρὸς τῷ τιμωρηθῆναι καὶ μεταλλίζεται ἢ ὑπερορίως ἐξορίζεται· στρατείαν δὲ ἔχων ἢ ἐπιτήδευμα σεμνὸν ἀπόλλυσι καὶ αὐτὴν σὺν τῇ οὐσίᾳ. ὡσαύτως καὶ οἱ θυμελικοὶ τούτων ἀπεχέσθωσαν. εἰ δὲ δούλη[3] εἴη τὸ προσταθὲν, παρὰ παντὸς ἐκδικείσθω. προῖκα δὲ εἴτε ἀνὴρ εἴτε γυνὴ εἴτε κληρικὸς εἴτε μοναχὸς τοῦτο[4] ἐκδικεῖ.

3. Ἀνάγν. καὶ βι. κδ' τί. β' κεφ. ια' καὶ βι. κη' τί. δ' κεφ. ια', ἐν ᾧ φησιν· Ἡ πορνοβοσκία οὐκ ἔστιν ἧττων τῆς ἐν φανερῷ ἐπὶ πόρῳ πορνείας. πορνοβοσκὸς δέ ἐστιν ἡ προϊστῶσα γυναῖκας ἐπὶ μισθῷ τοῖς παρατυχοῦσι συμφθειρομένοις[5]· κἂν ἑτέρῳ προσχήματι, τυχὸν δι' ὑπηρεσίαν ἐν καπηλείῳ.

XXIII.

Περὶ ποταμοῦ καὶ τῆς ὄχθης αὐτοῦ, καὶ περὶ τῆς ἐν αὐτῷ φυομένης νήσου.

1. Ἀνάγν. βι. νη' τί. ις', οὗτινος ἐν τῷ α' κεφ. φησί· Ποταμὸν ἀπὸ ὀχετοῦ τὸ μέγεθος διακρίνει, ἢ ἡ ὑπόνοια τῶν πέριξ γεωργῶν.

Ἡ ὄχθη τῷ φυσικῷ δρόμῳ τοῦ ποταμοῦ ὁρίζεται, οὐχ

---

[1] Bas. ὑποκείσεται. [2] Leuncl. συγγνωσθήσεται. [3] Lips. δοῦλος. Bas. δοῦλον. [4] Lips. et Leuncl. τούτου. [5] Basil. συμφθειρομένας.

ὅτε ὄμβροις ἢ ἐκ θαλάσσης ἢ ἄλλως αὐξηνθῇ. οὔτε γὰρ ὁ νεῖλος ἐν τῷ θέρει σκέπων τὴν αἴγυπτον ἐναλλάσσει τὰς ὄχθας, ἐπειδὴ ὑποστρέφει.

Εἰ ἐν δημοσίῳ ποταμῷ νῆσος φυῇ, καὶ γένηταί τι ἐν αὐτῇ, οὐχ ἁρμόζει τὸ παράγγελμα τοῦτο. αὕτη γὰρ ἡ νῆσος ἢ τοῦ προκαταλαμβάνοντός ἐστιν, ὅτε δημόσιοί εἰσιν ἀγροί, ἢ τοῦ ἐγγὺς τῆς ὄχθης κεκτημένου. εἰ δὲ ἐν τῷ μέσῳ φυῇ, τῶν ἑκατέρωθεν κεκτημένων ἐστί.

XXIV.

Περὶ πραγματευτῶν τῶν ἐν τῇ εὐθηνίᾳ ἐπιβουλευόντων ἐκ τοῦ ἀγοράζειν καὶ ἀποτίθεσθαι φορτία ἢ σταθμοῖς νόθοις χρᾶσθαι, καὶ περὶ τοῦ μὴ ἐξεῖναι αὐτοῖς συμφωνεῖν πρὸς ἀλλήλους περὶ τῶν εἰδῶν, ἐφ᾽ ᾧ μὴ ἐλάττονος οὗ πρὸς ἀλλήλους διέταξαν πραθῶσι, καὶ τοῦ μὴ ἔχειν μονοπώλιον.

1. Ἀνάγν. βι. ιθ′ τί. ιη′, οὗτινος ἐν τῷ α′ κεφ. φησί· Κελεύομεν, ἵνα μήτις οἱασδήποτε ἐσθῆτος ἢ ἰχθύος ἢ κτενίου ἢ ἐχίνου, ἢ [οἱουδήποτε ἄλλου εἰς ἀποτροφὴν ἢ εἰς οἱανδήποτε κτῆσιν] ἀνήκοντος εἴδους ἢ οἱασδήποτε ὕλης, ἐξ οἰκείας αὐθεντίας ἢ θείου ἤδη ἐκφωνηθέντος ἢ τοῦ λοιποῦ ἐκφωνουμένου διατάγματος ἢ πρα[γμα]τικοῦ[1] τύπου ἢ θείας ὑποσημειώσεως μονοπώλιον ἔχειν τολμάτω. μήτε τὶς ἀθεμίτων γενομένων συμφώνων συνομνυέτω ἢ συμφωνείτω, ἵνα τὰ εἴδη διαφόρων σωματείων τῆς πραγματείας μὴ ἐλάττονός τις εἴπῃ οὗ πρὸς ἀλλήλους διέταξαν πραθῆναι.

2. Ἀνάγν. καὶ βι. νς′[2] τί. α′ κεφ. ιθ′ καὶ κ′ καὶ κα′, ἐν ᾧ φησι· Τοὺς ἐπισήμους τῇ γεννήσει καὶ τῷ τῶν τιμῶν φωτὶ προλάμποντας καὶ ἐν οὐσίᾳ πλουσιωτέρους τῆς ὀλεθρίας τῶν ἐν ταῖς πόλεσιν ἐμπορίας κωλύομεν, ἵνα μεταξὺ τοῦ ἰδιώτου καὶ τοῦ πραγματευτοῦ εὐχερὲς εἴη τὸ τοῦ πιπράσκειν καὶ ἀγοράζειν συνάλλαγμα.

3. Ἀνάγν. καὶ βι. ξ′ τί. κβ′[3] κεφ. ς′, ἐν ᾧ φησιν· Οἱ τῇ εὐθηνίᾳ ἐπιβουλεύοντες διὰ τοῦ ἀγοράζειν τὰ φορτία ἢ προαποτίθεσθαι καὶ καιρὸν ἀφορίας ἐκδέχεσθαι, πραγματευταὶ μὲν ὄντες εἴργονται τῆς πραγματείας ἢ ἐξορίζονται· οἱ δὲ εὐτελεῖς εἰς τὸ δημόσιον ἔργον καταδικάζονται.

Καὶ οἱ σταθμοῖς νόθοις χρώμενοι τῇ τοῦ πλαστοῦ τιμωρίᾳ ὑπόκεινται. καὶ ὁ πλαστὰ μέτρα ἔχων ἐξορίζεται.

[1] Lips. πρακτικοῦ. [2] Lips. κς′. [3] Lips. ξθ′.

4. Ἀνάγν. καὶ τί. μδ´[1], οὗτινος ἐν τῷ α´ κεφ. φησί· Καὶ δοῦλος κατηγορεῖ δεσπότου τὴν δημοσίαν εὐθηνίαν ἀδικήσαντος.

5. Ἀνάγν. καὶ τί. να´ κεφ. λγ´, ἐν ᾧ φησιν· Οἱ κατὰ τῆς εὐθηνίας πλαστοῖς μέτροις χρώμενοι αὐστηροτέρως πρὸς τὸ ἁμάρτημα τιμωροῦνται.

XXV.

Περὶ πραγμάτων ποιότητος καὶ τῆς διαιρέσεως αὐτῶν.

1. Ἀνάγν. βι. μς´ τί. γ´, οὗτινος ἐν τῷ α´ κεφ. φησί· Τῶν πραγμάτων τὰ μέν ἐστι θείου δικαίου, τὰ δὲ ἀνθρωπείου. θείου μὲν, ὡς τὰ ἱερὰ καὶ μνημεῖα καὶ τείχη καὶ πόρται· καὶ ὑπ᾿ οὐδενὸς δεσπόζονται· εἰσὶ γάρ τινα μὴ δεσποζόμενα, ὡς ἡ ἀκληρονόμητος κληρονομία. τὰ δὲ ἀνθρώπεια ἢ δημόσιά εἰσιν ἢ ἰδιωτικά. τὰ δημόσια οὐδενός εἰσιν, ἀλλὰ τῆς κοινότητος. τὰ δὲ ἰδιωτικὰ τῶν καθ᾿ ἕκαστόν εἰσι. καί τινα μὲν αὐτῶν εἰσι σωματικὰ, ὡς τὰ ὑποπίπτοντα ἁφῇ, τὰ δὲ ἀσώματα, ὡς τὰ ἐν δίκαις καὶ ἀγωγαῖς καὶ δουλείαις· κἂν εἰ τὰ μάλιστα ὡς ἐπὶ τὸ πολὺ σωματικὰ διὰ τῶν δικαίων καὶ τῶν ἀγωγῶν ἡμῖν περιποιεῖται.

2. Ἐν δὲ τῷ η´ κεφ. Ὁ τόπος ἐν ᾧ τὰ ἱερὰ ἀποτίθεται οὐκ ἔστιν ἱερὸς, ἀλλὰ χρήσιμος τοῖς ἱεροῖς, καὶ μεταφερομένων τῶν ἱερῶν ἐλευθεροῦται.

XXVI.

Περὶ προδιδόντων ἀλλότρια δικαιώματα.

1. Ἀνάγν. βι. ξ´ τί. κβ´ κεφ. η´, ἐν ᾧ φησι· Καὶ ὁ προδεδωκὼς ἀλλότρια δικαιώματα σωφρονίζεται διὰ τοῦ ἄρχοντος.

2. Ἔσθ᾿ ὅτε καὶ πρὸς τὴν συνήθειαν τῆς ἐπαρχίας ἡ ἐπεξέλευσις γίνεται.

XXVII.

Περὶ προδότου καὶ αὐτομόλου.

1. Ἀνάγν. βι. νζ´ τί. α´ κεφ. ις´ θέμ. β´ καὶ τί. γ´ κεφ. θ´, ἐν ᾧ φησιν· Ἐάν τις συμφατριάσῃ[2] βαρβάροις εἰς τὸ πραιδευθῆναι ῥωμαϊκὸν ἔδαφος, ἢ μετὰ τὸ γενέσθαι τὴν πραῖδαν διέληται μετ᾿ αὐτῶν, ζῶν καιέσθω.

---

[1] Lips. μα´. [2] Leuncl. conj. συμφρατρ.

XXVIII.

Περὶ προθεσμιῶν τῶν διδομένων τοῖς δικαζομένοις παρὰ τῶν δικαστῶν.

1. *Ἀνάγν. βι. ζʹ τί. ιζʹ ἀπὸ τοῦ ιαʹ κεφ. ἕως τοῦ δεκάτου ὀγδόου, ἐν οἷς φησιν·* *Ἡ διάταξις κελεύει, ἐξουσίαν ἔχειν τὸν δικαστὴν ἕνεκεν συμβολαίων ἢ προσώπων συμβαλλομένων τῇ δίκῃ παρέχειν τοῖς δικαζομένοις προθεσμίαν εἰς παρασκευὴν τῶν οἰκείων δικαιολογιῶν πρὸς τὸ διάστημα τῶν τόπων, ἐν οἷς λέγει ὁ αἰτῶν τυγχάνειν τὰ πρόσωπα ἢ τὰ συμβόλαια. εἰ μὲν γὰρ ἐν αὐτῇ τῇ ἐπαρχίᾳ καθ᾽ ἣν ἡ δίκη λέγεταί φησι ταῦτα τυγχάνειν, μὴ περαιτέρω τριῶν μηνῶν αὐτῷ παρεχέσθω· εἰ δὲ ἐν ἑτέρᾳ ἐπαρχίᾳ λέγει τυγχάνειν τὰ πρόσωπα ἢ τὰ συμβόλαια, εἰ μὲν πλησιάζει ἐκείνῃ τῇ ἐπαρχίᾳ καθ᾽ ἣν ἡ δίκη λέγεταί [φησιν], ἓξ μῆνες λόγῳ τῆς προθεσμίας παρασχεθήσονται· εἰ δὲ διαπόντιος εἴη ἐπαρχία, ἐννέα μηνῶν τότε λαμβανέτω προθεσμίαν. [οὐ βούλεται δὲ τοὺς δικαστὰς ἔχειν ἐξουσίαν ὡς ἔτυχε παρέχειν προθεσμίαν,] ἀλλὰ τοὺς αὐτοὺς συναινεῖν, ἡνίκα σφοδρὰ καὶ ἀπαραίτητος χρεία ἀπαιτεῖ. καὶ ἀναγκαίας δὲ οὔσης [τῆς] αἰτίας πλέον ἢ ἅπαξ μὴ παρεχέσθω προθεσμία, εἰ μὴ ἄρα ἀνάγκη τὶς ἀπαιτήσει καὶ εἰς δεύτερον παρασχεθῆναι αὐτήν.*

2. *Ὁ ἀπὸ θείας ἀντιγραφῆς εἰς ἄλλον φόρον ἕλκων τὸν ἴδιον ἀντίδικον μὴ λαμβανέτω προθεσμίαν. ὁ δὲ παρ᾽ αὐτοῦ ἐναγόμενος, εἰ βούλεται ἐλέγξαι τὸ τῶν δεήσεων ψεῦδος ἢ δικαιώματα ἀγαγεῖν ὑπὲρ ἑαυτοῦ ἢ μάρτυρας, λαμβανέτω προθεσμίαν ὡς ἀπροσδοκήτως εἰς ἀπρόσφορον ἑλκόμενος δικαστήριον, καὶ διὰ τοῦτο ἀπαράσκευος ὑπάρχων πρὸς τὸ δικάσασθαι.*

3. *Οὐδὲ τοῖς περὶ τύχης καὶ περὶ οὐσίας δικαζομένοις ἔξεστιν ὑπὲρ τοὺς ἐννέα μῆνας αἰτεῖν προθεσμίαν ἐν ταῖς διαποντίοις διακειμέναις ἐπαρχίαις.*

4. *Ἀνάγν. καὶ τί. αʹ κεφ. ζʹ καὶ τί. δʹ κεφ. αʹ, ἐν οἷς φησι περὶ τῶν εἴκοσι ἡμερῶν ἐν τῇ προκατάρξει τῆς δίκης διδομένης προθεσμίας. περὶ ἧς καὶ ἐν τῷ περὶ [δια]δικαζομένων προείρηται. ἀνάγν. καὶ βι. θʹ τί. γʹ κεφ. αʹ, ἐν ᾧ φησι·* *Δύναται ὁ δικαστὴς καὶ στενοῦν τὴν τετράμηνον καὶ ἐπεκτείνειν πρὸς τὴν ποιότητα τοῦ πράγματος καὶ τῶν προσώπων. σπανίως δὲ πρὸ τοῦ τεταγμένου χρόνου ἐκβιβάζονται αἱ ψῆφοι.*

5. *Καὶ κεφ. βʹ, ἐν ᾧ φησιν·* *Εἰ ἧττονα τῶν τεσσάρων μηνῶν ἔδωκε προθεσμίαν ὁ δικαστής, ἀναπληροῦται ἡ τετράμηνος.*

εἰ δὲ πλείονα, περιμένειν δεῖ τὸν ἐν τῇ ψήφῳ ὁρισθέντα καιρόν.

6. Ἀνάγν. καὶ κεφ. λα΄, ἐν ᾧ φησι· Τοῖς χρεώσταις αἰτοῦσι δεῖ δίδοσθαι προθεσμίαν, εἰ δὲ δεήσει, καὶ ἐπεκτείνεσθαι. τῶν δὲ ἀγνωμόνως ὑπερτιθεμένων καὶ ἐνέχυρα λαμβάνονται. καὶ τῷ κατακριθέντι δὲ προθεσμία δίδοται. τῶν δὲ μετὰ τὴν προθεσμίαν μὴ διδόντων ἐνέχυρα λαμβάνονται, καὶ εἰ ἐντὸς δύο μηνῶν μὴ δῶσι, πιπράσκονται, καὶ εἴ τι περιττεύει ἐκ τῆς τιμῆς, ἀναλαμβάνουσι.

7. Καὶ κεφ. πθ΄, ἐν ᾧ φησιν, ὅτι οὐ μόνον τοῖς καταδικαζομένοις πρωτοτύποις δίδοται ἡ τῶν τεσσάρων μηνῶν προθεσμία, ἀλλὰ καὶ τοῖς ἐγγυηταῖς αὐτῶν.

8. Ἀνάγν. καὶ βι. ς΄ τί. κα΄ [κεφ. α΄], ἐν ᾧ φησι περὶ τῆς διδομένης προθεσμίας τῷ αἰτιαθέντι εἰ μὴ ἐνδημοίη τῇ χώρᾳ.

XXIX.

Περὶ προικὸς καὶ προνομίου αὐτῆς καὶ δικαίου, καὶ τῶν περὶ αὐτὴν πάκτων ἤτοι συμφώνων, καὶ ποῖα αὐτῶν ἔῤῥωται καὶ ποῖα οὐκ ἔῤῥωται, καὶ περὶ ἀπαιτήσεως καὶ ἐκδικήσεως αὐτῆς, καὶ περὶ τῶν εἰς αὐτὴν γενομένων δαπανημάτων, καὶ ποῖα τῶν δαπανημάτων μειοῦσιν αὐτὴν καὶ ποῖα οὐ μειοῦσι, καὶ περὶ ἀπαιτήσεως πρώτης καὶ δευτέρας προικὸς, καὶ περὶ τῆς ὑποσχεθείσης καὶ μὴ ἐπιδοθείσης· ἔνθα καὶ περὶ τῆς πρὸ γάμου δωρεᾶς φησι, καὶ ὅτι ὁ ἀνὴρ οὔτε ἐγγυητὴν οὔτε μανδάτορα ἐπὶ τῷ φυλάξαι τὴν προῖκα δίδωσι.

1. Ἀνάγν. βι. κθ΄ τί. α΄, οὗτινος ἐν τῷ γ΄ κεφ. φησί· Τελευτώσης τῆς θυγατρὸς ἀποδίδοται τῷ πατρὶ ἡ παρ᾿ αὐτοῦ δοθεῖσα προίξ.

Καὶ οἱ μείζους τῶν κε΄ ἐτῶν, ἐὰν ἀλλήλους περιγράψωσιν ἐν τῇ δόσει τῆς προικὸς, βοηθοῦνται. οὐ συνᾴδει γὰρ τῷ ἀγαθῷ καὶ τῷ δικαίῳ τινὰ κερδαίνειν ἐκ τῆς ἑτέρου ζημίας ἢ ζημιοῦσθαι κερδαίνοντος ἑτέρου.

2. Ἐν δὲ τῷ δ΄ κεφ. Ὁ ἀνὴρ τοὺς καρποὺς τῆς προικὸς λαμβάνει διὰ τὰ βάρη τοῦ γάμου.

Οἱ μέντοι πρὸ γάμου ληφθέντες τῆς προικὸς γίνονται, εἰ μὴ τὸ ἐναντίον συνεφωνήθη. τότε γὰρ ὡς δωρεᾶς γινομένης οὐκ ἀποδίδονται.

Καὶ ὅτι ἡ προὶξ ἐν συνεστῶτι γάμῳ τοῦ ἀνδρὸς γίνεται.

3. Ἐν δὲ τῷ ζ΄ κεφ. Ἡ διατετιμημένη προὶξ[a] τῷ ἀνδρὶ κιν-

---

[a] Πᾶσα προὶξ ἢ διατετιμημένη ἐστὶν ἢ ἀδιατίμητος. ἐπὶ μὲν οὖν τῆς διατετιμημένης, ἐπειδὴ ἀγοραστής ἐστιν ὁ ἀνὴρ, πᾶσαν αὔξησιν καὶ ζημίαν

δυνεύεται. κἂν ἀποθάνωσι τὰ ζῶα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν[1] δίδωσι.

Τῆς ἀδιατιμήτου δὲ καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ.

Καὶ αὐτὴ λαμβάνει τὸν τοκετὸν τῶν δούλων. τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει, πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγεννωμένων.

Ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται. μετὰ γὰρ τὸν γάμον ἀληθής ἐστι πρᾶσις, πρὸ δὲ τοῦ γάμου ὑπὸ αἵρεσιν· καὶ ἠρτημένης τῆς αἱρέσεως ἐὰν συμβῇ τελευτῆσαι, σβέννυται ἡ πρᾶσις.

Εἰ δὲ συμφωνηθῇ τὰ πράγματα ἢ τὴν διατίμησιν ἀποδοθῆναι, εἰ μὲν καὶ περὶ τοῦ ὀφείλοντος ἔχειν τὴν ἐπιλογὴν ἐκφωνηθῇ, αὐτὸς ἔχει· εἰ δὲ μὴ λεχθῇ, ὁ ἀνὴρ ὃ βούλεται δίδωσιν. ἐπὶ γὰρ τῆς ἑτερογενοῦς καὶ ὁ ἐναγόμενος ἔχει τὴν ἐπιλογὴν ὃ βούλεται διδόναι. εἰ δὲ μὴ φαίνονται τὰ πράγματα, δίδωσι πάντως τὴν διατίμησιν.

4. Δύναται δὲ τὸ πρᾶγμα γενόμενον χεῖρον ἀποδοῦναι.

5. Ἐν δὲ τῷ ιγ' κεφ. Ἐπὶ τοῖς προικιμαίοις πράγμασι χρεω-

ἐπιγινώσκει· ἐπὶ δὲ τῆς ἀδιατιμήτου πάλιν ἡ γυνή, ὥς φησι τὸ παρὸν ζ' κεφάλαιον. εἰσὶ δὲ καὶ ἕτερα εἴδη προικῶν τὰ λεγόμενα διατετιμημενο-αδιατίμητα. ἓν μὲν τοιοῦτον, ὡς ὅταν ὁ ἀνὴρ λάβῃ προῖκα καὶ συμφωνήσῃ, ὅτι εἰ μὲν σώζονται ὅλως, κἂν χείρονα γένωνται τὰ προικιμαῖα πράγματα, αὐτὰ ἀποδοῦναι, εἰ δὲ φθαρῶσι, τὴν τούτων διατίμησιν παρασχεῖν· ἐφ' οὗ θέματος καὶ τοὺς τοκετοὺς ἡ γυνὴ κερδαίνει τῶν ἀνδραπόδων. διὰ γὰρ τὸ ὑφίστασθαι ταύτην τοιοῦτον βάρος, ὥστε καὶ χείρονα γενόμενα τὰ προικιμαῖα πράγματα, εἰ τέως ὅλως καὶ σώζονται, αὐτὰ ἀναλαβεῖν, ἔχει καὶ κέρδος τοὺς τοκετούς, ὡς βι. κη' τί. η' κεφ. ξε' διατάττεται. ἕτερον δὲ εἶδος διατετιμημενο-αδιατιμήτου προικός ἐστιν, ὡς ὅταν ὁ ἀνὴρ λαμβάνων προῖκα συμφωνήσῃ ἀποδοθῆναι τὰ προικιμαῖα πράγματα τοῦ αὐτοῦ τιμήματος, οὗτινός εἰσι νῦν. ἐπὶ γοῦν τούτου τοῦ θέματος ὁ ἀνὴρ κερδαίνει τοὺς τοκετοὺς διὰ τὸ ὑπομεῖναι τοσοῦτον βάρος, ὥστε τὰ διατετιμημένα δοῦναι τοῦ αὐτοῦ τιμήματος ἄξια, κἂν χείρονα γένωνται, ὥς φησι τὸ κεφ. τοῦ η' τί. τοῦ κη' βι. [διὰ τοῦτο δὲ λέγονται τὰ τοιαῦτα θέματα] διατετιμημενο-αδιατίμητα ὡς καὶ ἀμφοτέρων μετέχονται. καθὸ μὲν γὰρ καὶ ἐπὶ τῶν δύο θεμάτων αὐτὰ τὰ πράγματα εἰ σώζονται ἀναδίδονται, μετέχουσι τῆς ἀδιατιμήτου προικός· καθὸ δὲ πάλιν φθαρέντων αὐτῶν τὰ τιμήματα ἀποδίδονται, μετέχουσι τῆς διατετιμημένης.

[1] Leuncl. addit αὐτῶν.

στεῖ ὁ ἀνὴρ δόλον καὶ ῥᾳθυμίαν, καὶ ἐπιμέλειαν ἔχειν, οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν.

6. Ἐν δὲ τῷ ιδ' κεφ. *Τῶν γάμων μὴ γενομένων οὐ τὴν διατίμησιν τῶν διατετιμημένων, ἀλλὰ τὰ πράγματα ἡ γυνὴ ἀπολαμβάνει.*

7. Ἐν δὲ τῷ κβ' κεφ. *Μετὰ τὸν γάμον οὐ δύναται χείρονα τὴν αἵρεσιν ὁ πατὴρ ποιῆσαι τῆς θυγατρός· ἐπειδὴ οὔτε καταβάλλεται αὐτῷ ἡ προὶξ ἀκούσης τῆς θυγατρός.*

8. Ἐν δὲ τῷ μη' κεφ. *Τὰ ἐκ τῶν προικιμαίων χρημάτων ἀγορασθέντα προικιμαῖά ἐστιν.*

9. Ἐν δὲ τῷ να' κεφ. *Ὅπου τὰ βάρη τοῦ γάμου, ἐκεῖ καὶ ἡ προὶξ ὀφείλει εἶναι. παραχρῆμα δὲ τοῦ ἀποθανεῖν τὸν πατέρα τῷ υἱῷ ἕπονται, ὥσπερ καὶ οἱ παῖδες καὶ ἡ γυνή*[1].

10. Ἐν δὲ τῷ ξς' κεφ. *Ὁ τοκετὸς τῶν προικιμαίων δούλων τῆς γυναικός ἐστι. καὶ ἀνισχύρως συμφωνοῦσι μερισθῆναι αὐτοὺς μεταξὺ τοῦ ἀνδρὸς καὶ αὐτῆς.*

11. *Ἐν τοῖς ἀμφιβόλοις ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα*[b].

12. *Ἡ παρὰ ἐξωτικοῦ ὁμολογηθεῖσα προὶξ τῇ γυναικὶ ἐγκινδυνεύεται. εἰ δὲ τόκον ἀναλάβῃ ὁ ἀνήρ, λοιπὸν αὐτῷ κινδυνεύει.*

13. Ἐν δὲ τῷ πγ' κεφ. *Ἐάν τις ὑποδεξάμενος προῖκα περὶ πλειόνων ἔγραψεν ἐν τῷ προικώῳ συμβολαίῳ ὡς δοθέντων αὐτῷ, εἰ μὲν μὴ κατὰ βούλησιν τοῦ προικίζοντος, οὐδὲν αὐτῷ πρόκριμα ποιεῖ· ἐὰν δὲ βουλομένου αὐτοῦ, ἔδοξε σύμφωνον γίνεσθαι καὶ περὶ τῶν ἄλλων πραγμάτων, ὡς καὶ ταῦτα αὐτῷ δοθῆναι λόγῳ προικός· καὶ ἐπειδὴ ἀπὸ ψιλῆς ἐπαγγελίας ἀπαίτησιν αἱ προῖκες ἔχουσι, δύναται ταῦτα ἀπαιτεῖν.*

14. Ἐν δὲ τῷ πε' κεφ. *Ἡ διάταξις κελεύει, ἀπὸ πάσης ὁμολογίας ἀπαίτησιν ἔχειν τὴν προῖκα, κἂν [μὴ] προηγοῖτο*[2] *ἡ ἐπερώτησις.*

15. *Εἰ μὲν [γὰρ] ἁπλούστερον εἶπεν ὁ πατήρ*[c], *ὅτι δίδωσι*

---

[b] *Ἐχρεώστησέ τις κατὰ ταὐτὸν καὶ τῇ προικὶ καὶ τῷ δημοσίῳ. ἐπεὶ οὖν ἐκ τούτων ὁ προλαβὼν νικᾷ τὸν ἕτερον, οὗτος δὲ κατὰ ταὐτὸν ἐχρεώστησε, καὶ ἐστὶν ἀμφίβολον τίνι δεῖ βοηθεῖν, ὑπὲρ τῆς προικὸς δεῖ ἀποκρίνεσθαι.*

[c] *Ἐν τῷ ε' κεφ. τοῦ αὐτοῦ ε' τί. τοῦ κθ' βι. φησίν· Ἐν μὲν τῷ ἐπιδιδόναι τὴν προῖκα δύναται ὁ πατὴρ συμφωνεῖν ὅσα βούλεται. μετὰ δὲ τὸ ἐπιδοθῆναι δεῖ καὶ τὴν θυγατέρα τοῖς συμφώνοις συναινεῖν.*

---

[1] Leuncl. addit *γάμου βάρη*. [2] Labbaeus *προηγήσατο*.

προῖκα ἢ προγαμιαίαν δωρεὰν, πάντως οἴκοθεν δίδωσι μὴ ἁπτόμενος παντελῶς τῶν τοῦ παιδὸς πραγμάτων. ἐὰν δὲ εἶπεν ἐκ τῶν ἰδίων καὶ τῶν τοῦ παιδὸς, εἰ μὲν ἄπορός ἐστιν αὐτὸς, παντελῶς τὸ ὅλον ἐκ τῶν τοῦ παιδὸς παρεχέτω· εἰ δὲ ἔχει οὐσίαν ἀρκοῦσαν, τὸ ὅλον ἐκ τῶν ἰδίων διδότω. ἔδει γὰρ αὐτὸν, εἰ μὲν ἐβούλετο ἐκ τῶν δύο οὐσιῶν γενέσθαι τὴν τῆς προικὸς ἐπίδοσιν ἢ τῆς προγαμιαίας δωρεᾶς, αὐτὸν μὲν ἅπερ ἐβούλετο οἴκοθεν ἐπιδιδόναι, συναινέσαι δὲ τῷ υἱῷ ἢ τῇ θυγατρὶ παρεχομένης τῆς προικὸς ἢ τῆς προγαμιαίας δωρεᾶς ἐκ τῶν διαφερόντων αὐτοῖς πραγμάτων, ἡνίκα βουληθῶσι μέρος ἢ τυχὸν πᾶσαν τὴν ἰδίαν περιουσίαν, ἣν ἔχουσι, τῇ πατρῴᾳ φιλοτιμίᾳ ὑπὲρ προικὸς ἢ προγαμιαίας δωρεᾶς συνάψαι, ἵνα τῇ ἀληθείᾳ δειχθῇ, τί αὐτὸς βούλεται δοῦναι, καὶ τί ἐκ τῆς ὑποστάσεως τῶν παίδων ἐξέρχεται[d].

16. Ἐν δὲ τῷ πθ' κεφ. Οὐ κεκώλυται ὁ ἀνὴρ τοὺς προικιμαίους δούλους ἐλευθεροῦν ἐν συνεστῶτι τῷ γάμῳ, καὶ ἅμα τῷ τελευτῆσαι, καὶ κατὰ ἀποκατάστασιν ἤγουν μετὰ χρόνους τινὰς, καὶ ἔτι ζῶν· ἀλλ' ἔῤῥωται ἡ ἐλευθερία, κἂν τὰ μάλιστα ἁρμόσῃ τῷ πενθερῷ ἡ ἀπαίτησις τῆς προικὸς τελευτώσης ἐν τῷ γάμῳ τῆς θυγατρός.

17. Ἐν δὲ τῷ ϙα' κεφ. Ὁ ἀνὴρ διατετιμημένην προῖκα λαβὼν τὴν διατίμησιν πιστεύεται ἔχειν ἐν προικὶ, καὶ οὐχὶ τὰ πράγματα. ὅθεν διαλυομένου τοῦ γάμου δύναται μὴ τὰ πράγματα αὐτὰ, ἀλλὰ τὴν διατίμησιν αὐτῶν ἀποδιδόναι.

18. Ἐν δὲ τῷ ϙη' κεφ. Τὸ ἀπὸ προικιμαίων νομισμάτων ἀγοραζόμενον οὐκ ἐστι τῆς δεσποτείας τῆς γυναικὸς, ἀλλ' ἐὰν μέρος μόνον τῆς προικὸς ἐπανέλαβεν ἡ γυνὴ μὴ ὡς ἐπὶ διαλύσει, δύναται περὶ τοῦ ὑπολοίπου μέρους τῆς προικὸς ἐνάγειν. τὴν γὰρ δεσποτείαν τούτων τῶν πραγμάτων οὐκ ὀφείλει διεκδικῆσαι.

19. Ἐν δὲ τῷ ρα' κεφ. Καὶ ἀγράφως δυνατὸν ἐπιδοθῆναι προῖκα. καὶ ἐὰν ἐγγράφως ἐπεδόθη καὶ ἀπόλλωνται τὰ συμβόλαια, οὐδὲν ἧττον ἀπαιτεῖται ἡ προὶξ, ἐὰν ὅλως ἀποδείκνυται ὅτι παρεσχέθη.

20. Ἐν δὲ τῷ ριδ' κεφ. Ἐχέτω δὲ ἡ γυνὴ μὴ μόνον τὴν περὶ τῆς δεσποτείας ἀγωγὴν, ἀλλὰ καὶ τὴν ὑποθηκαρίαν, προτιμοτέρα ὑπάρχουσα πάντων τῶν τοῦ ἀνδρὸς δανειστῶν τῶν μεταγενεστέρων καὶ τῶν προγενεστέρων.

---

d Ζήτει νεαρὰν ἐν αὐτῷ τῷ παρόντι κεφαλαίῳ.

21. *Ἀνάγν. καὶ βι. ιη΄*[1] *τί. ζ΄ κεφ. ιβ΄ θέμ. β΄ καὶ βι. κς΄ τί. ε΄ κεφ. λ΄ [θέμ. ... καὶ] κεφ. μ΄ καὶ μα΄ καὶ ξδ΄*[2] *καὶ οθ΄ καὶ βι. κη΄ τί. γ΄ κεφ. α΄ καὶ γ΄ καὶ βι. λ΄ τί. α΄ κεφ. ς΄ θέμ. ζ΄ καὶ βι. ν΄*[3] *τί. γ΄ κεφ. μβ΄, ἐν ᾧ φησι·* *Τὸ προικιμαῖον οὐδὲ ἀγνοοῦσι*[4] *καλῶς παρὰ τοῦ ἀνδρὸς πιπράσκεται. εἰ δὲ κερδαίνει ὁ πατὴρ τὴν προῖκα, βεβαιοῦται ἡ πρᾶσις. ὥσπερ καὶ εἰ τὸ κλοπιμαῖον ἀγοράσας τὶς κληρονομήσει τοῦ δεσπότου.*

22. *Ἀνάγν. καὶ βι. κθ΄ τί. ε΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί·* *Μετὰ σύστασιν τοῦ γάμου καλῶς συμφωνοῦμεν, εἰ καὶ τὴν ἀρχὴν μηδὲν συνεφωνήθη.*

Πάντες οἱ τὴν ἀπαίτησιν ἔχοντες καὶ οἱ τῇ δόσει ὑποκείμενοι συμφωνεῖν ὀφείλουσι περὶ τῆς ἀποδόσεως· ὁ γὰρ μὴ εὑρεθεὶς οὐκ ὠφελεῖται.

23. *Ἐν δὲ τῷ ια΄ κεφ.* *Ταχύτερον τοῦ ὡρισμένου δυνατὸν συμφωνεῖν ἀποδοθῆναι τὴν προῖκα, οὐ μὴν βραδύτερον, ὥσπερ οὔτε τὸ μηδ᾽ ὅλως ἀποδοθῆναι.*

24. *Πρὸ τῶν γάμων συνεφώνησα, ὥστε τῇ προθεσμίᾳ ᾗ δίδοταί μοι ἡ προὶξ, τῇ αὐτῇ κἀμὲ ἀποδοῦναι. εἰ μὲν ταχύτερον τοῦ νομίμου χρόνου δοθῇ μοι ἡ προὶξ, τυχὸν ἡ διατετιμημένη εἴσω δύο μηνῶν, ἔῤῥωται τὸ σύμφωνον, καὶ μετὰ λύσιν τοῦ γάμου εἴσω δύο μηνῶν ἀποδίδωμι. εἰ δὲ βραδύτερον τοῦ νομίμου χρόνου δοθῇ μοι ἡ προὶξ, οὐκ ἔῤῥωται τὸ σύμφωνον, οὔτε τοσοῦτον χρόνον ἔχω πρὸς τὴν ἀπόδοσιν. κρείττων γὰρ ἡ αἵρεσις τῆς γυναικὸς, οὐ μὴν χείρων διὰ τῶν τοιούτων γίνεσθαι συμφώνων δύναται.*

25. *Τοῦτο ἐν συνεστῶτι τῷ γάμῳ. μετὰ γὰρ διαζύγιον ἐξ εὐλόγου αἰτίας καλῶς συμφωνεῖ βραδύτερον ἀποδοῦναι.*

26. *Ἐν δὲ τῷ ιθ΄ κεφ.* *Ἐὰν συμφωνηθῇ ἐξ ἀπαιδίας κερδᾶναι τὸν ἄνδρα τὴν προῖκα, καὶ ναυαγήσῃ ἡ γυνὴ μετὰ ἐνιαυσιαίου παιδίου, δοκεῖ προτελευτᾶν τῆς μητρὸς ὁ παῖς, καὶ κερδαίνει ὁ ἀνήρ*[e].

---

[e] *Ἰστέον δὲ ὅτι ἡ τοῦ κάσσου σημασία ῥωμαϊστὶ ἀποτυχίαν δηλοῖ, ἐν φάκτῳ δὲ νοουμένη τὸ δ΄ μέρος παρίστησι τῆς προικός· ὅπερ ἐπὶ μὲν τῶν πρῴην ἐδίδοτο γονῆς μὴ ὑπούσης θανάτῳ τοῦ γάμου λυομένου τῷ περιλιμπανομένῳ χάριν οἶμαι παραμυθίας, εἴτε ἀνὴρ ἦν εἴτε γυνή· νῦν δὲ τοῦτο ἀργεῖ.*

---

[1] Lips. *κ΄*. [2] Leuncl. *μδ΄ καὶ ξα΄*. [3] Lips. et Leuncl. *η΄*. [4] Leuncl. *ἀγνοοῦντι* et mox *κερδάνῃ*.

27. Ἐν δὲ τῷ κα΄ κεφ. Ἐὰν συμφωνηθῇ τὴν προῖκα ἐξ ἀπαιδίας ἀποδοῦναι τὸν ἄνδρα, δοκεῖ συμφωνεῖν παίδων ὑπόντων αὐτὴν παρακρατηθῆναι. ἕλκεται δὲ τὸ σύμφωνον καὶ εἰς τὴν ἐπαύξησιν, εἰ μὴ ἕτερόν τι συνέδοξεν.

28. Ἐν δὲ τῷ κγ΄ κεφ. Συνεφώνησε γυνὴ ἐξ ἀπαιδίας δοθῆναι τὴν προῖκα τῇ ἰδίᾳ μητρί. ἀπὸ μὲν τοῦ συμφώνου ἡ μήτηρ ἀγωγὴν οὐκ ἔχει· ἐὰν δὲ οἱ κληρονόμοι τῆς θυγατρὸς καταβάλωσιν αὐτῇ τὴν προῖκα, παραγράφονται τὸν ἄνδρα περὶ τῆς προικὸς ἐνάγοντα.

29. Ἐν δὲ τῷ κϛ΄ κεφ. Καὶ συνεστῶτος τοῦ γάμου δυνατὸν συμφωνεῖν τὴν διατετιμημένην προῖκα γενέσθαι ἀδιατίμητον, καὶ τῇ γυναικὶ κινδυνεύειν. εἰ δὲ βλάψει τοὺς ἀγροὺς ὁ ἀνὴρ, ἐνέχεται τῇ περὶ τῆς προικὸς ἀγωγῇ.

30. Ἐν δὲ τῷ λ΄ κεφ. Τὰ ἐπὶ τῇ προικὶ γινόμενα σύμφωνα περὶ τῆς ἀναδόσεως ἰσχύουσιν. οὐδὲ γάρ ἐστι ψιλὸν πάκτον τὸ τοιοῦτον, ὅτε περὶ ἀναδόσεως τῶν ἐπιδεδομένων γίνεται πραγμάτων.

31. Ἐν δὲ τῷ λβ΄ κεφ. Ἐάν τις συνεφώνησε πρὸς τὸν πενθερὸν, ἵνα ἐὰν συμβῇ αὐτὸν ἐν τῷ γάμῳ τελευτῆσαι παίδων ὑπόντων, τὸ ἥμισυ τῆς προικὸς μόνον ἀποδοθῇ, ἄχρηστόν ἐστι τὸ σύμφωνον.

32. [Ἐν δὲ τῷ λε΄ κεφ.] Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον τοῦτο ἄχρηστόν ἐστιν. οὐδὲ γὰρ δυνατὸν διὰ συμφώνου τυποῦσθαι τὰ περὶ τῆς ἡμετέρας κληρονομίας· ἐξωτικὸς γὰρ ἄνθρωπος διαθήκης χωρὶς ἕτερον οὐ δύναται κληρονομῆσαι.

33. Ἐν δὲ τῷ μα΄ κεφ. Τὴν προῖκα ἡ ἀρίθμησις, οὐχ ἡ γραφὴ τοῦ προικῴου συμβολαίου ποιεῖ. καὶ διὰ τοῦτο οὐκ ἀγνοεῖς οὕτω σὲ πρὸς τὴν ἀπαίτησιν τῆς προικὸς δύνασθαι δεχθῆναι[1], ἐὰν τὴν προῖκα δοθεῖσαν ἐν αὐτῇ τῇ ἀληθείᾳ ἀποδεικνύῃς, τουτέστι μὴ ἐν χάρτῃ μόνῳ, ἀλλ᾽ ἵνα καὶ ἐν αὐτῷ τῷ πράγματι ἡ προὶξ ἐπεδόθη.

34. Ἀνάγν. καὶ βι. ια΄ τί. α΄ κεφ. λβ΄, ἐν ᾧ φησιν· Ὁμολογῶν ὑπὲρ θυγατρὸς προῖκα συνεφώνησα, ἵνα μετὰ θάνατόν μου τελευτώσης αὐτῆς ἄπαιδος τὸ μέρος τῆς προικὸς μείνῃ παρὰ τῷ ἀδελφῷ μου τῷ κληρονόμῳ μου. οἱ μετὰ ταῦτα τεχθέντες ἐξ ἐμοῦ παῖδες καὶ γραφέντες κληρονόμοι τὴν τοῦ δόλου παραγραφὴν ἕξουσιν· ἁπλῶς γὰρ τῶν κληρονόμων μου προενόησα.

---

[1] Lips. et Leuncl. δεχῆναι.

35. Καὶ κεφ. νθ', ἐν ᾧ φησιν· Ἀναθρεπτὴν[f] ἔχουσα γυνὴ καὶ προῖκα ὑπὲρ αὐτῆς ἐπιδιδοῦσα συνεφώνησε διαλυομένου τοῦ γάμου ἑαυτῇ ἀποδοθῆναι τὴν προῖκα. συνέβη ταύτην τὴν ἀναθρεπτὴν ἐν τῷ γάμῳ τελευτῆσαι, καὶ ἦλθεν ἡ προικίσασα αὐτὴν βουλομένη τὴν προῖκα ἀναλαβεῖν κατὰ τὸ σύμφωνον. ὁ δὲ ἀνὴρ ἔλεγε μηδὲν χρεωστεῖν, διϊσχυριζόμενος γυμνὸν εἶναι τοῦτο τὸ σύμφωνον, ἀπὸ γυμνοῦ δὲ συμφώνου μηδενὶ τίκτεσθαι ἀγωγήν. προσῆλθεν οὖν ἡ γυνὴ βασιλεῖ ταῦτα διδάσκουσα, καὶ ἀντέγραψε πρὸς αὐτὴν ὁ βασιλεὺς οὕτως· τὸ σύμφωνον ὅ[περ] ἐξεφώνησας[1], ὅτε τὴν προῖκα ὑπὲρ τῆς ἀναθρεπτῆς ἐδίδως, φυλαχθῆναι δεῖ, καὶ οὐδὲ ἀντικεῖσθαί σοι δύναται, ὅπερ εἴωθε λέγεσθαι, ἀπὸ ψιλοῦ συμφώνου ἀγωγὴν μὴ γεννᾶσθαι[2]. τότε γὰρ τούτῳ τῷ νομίμῳ κεχρήμεθα, ὅτε τὸ σύμφωνον γυμνόν ἐστιν[g]· ἐπεὶ ὅτε πράγματα δίδοται καὶ τίποτε περὶ ἀναδόσεως αὐτῶν συμφωνεῖται, χρήσιμός ἐστιν ὁ τῆς ἀπαιτήσεως λόγος.

36. Καὶ κεφ. ξδ', ἐν ᾧ φησι· Τὸ σύμφωνον τοῦτο ὅπερ τῷ προικώῳ δικαιώματι προσελήφθη, ὡς ἐὰν ὁ πατὴρ τὸν βίον ὑπεξέλθῃ ἐξ ἴσης μοίρας αὐτὴν τὴν θυγατέρα σὺν τῷ ἀδελφῷ κληρονόμον τοῦ ἰδίου πατρὸς εἶναι, οὐδεμίαν ἐνοχὴν ὑπεναντίαν ποιεῖ, οὐδὲ τὴν ἐλευθερίαν τῆς διαθήκης τοῦ πατρὸς τῆς κόρης δύναται ἀφαιρεῖσθαι[h].

37. Ἀνάγν. καὶ βι. κη' τί. η', οὗτινος ἐν τῷ ιβ' κεφ. φησί· Μέχρις εὐπορίας ὁ ἀνήρ, οὐ μὴν καὶ ὁ κληρονόμος αὐτοῦ καταδικάζεται.

38. Τὸ γὰρ προνόμιον προσωπικόν ἐστιν.

39. Ἔχει δὲ αὐτὸ καὶ ὁ διεκδικητὴς ἤτοι ὁ προκουράτωρ τοῦ ἀνδρός.

40. Ἐν δὲ τῷ ιε' κεφ. Καὶ ὁ πατὴρ τοῦ ἀνδρὸς μέχρις εὐπορίας τῇ νύμφῃ καταδικάζεται.

41. Τάξιν γὰρ πατρὸς ὁ πενθερὸς ἐπέχει.

---

f Ἀλούμναν.

g Ὅτε τὸ σύμφωνον γυμνόν ἐστι, δόσεως δηλαδή. οἷον ἐὰν συμφωνήσω ὅτι αὔριον δίδωμί σοι ν' νομίσματα ἢ ὅτι αὔριον κτίζω τὸν οἶκόν σου, μηδεμιᾶς δόσεως προηγησαμένης μοι παρά σου, οὐδεμία ἀγωγὴ τίκτεται κατ' ἐμοῦ.

h Ζήτει νεαρὰν ιθ' τοῦ κυροῦ λέοντος ἐναντίαν τούτου τοῦ κεφαλαίου, ἥτις καὶ μᾶλλον κρατεῖ.

---

1 Lips. συνεφ. 2 Leuncl. γενέσθαι.

42. Ἐν δὲ τῷ ιζ′ κεφ. Ἐὰν τοῦ δικαστοῦ τὸν νόμον ἀγνοήσαντος εἰς ὁλόκληρον ὁ ἀνὴρ ἐν τῇ προικὶ καταδικασθῇ, ἔχει δόλου παραγραφήν.

43. Ἐν δὲ τῷ ιη′ κεφ. Καὶ οἱ παῖδες τῆς γαμετῆς κληρονομοῦντες τοῦ πατρὸς μέχρις εὐπορίας καταδικάζονται.

44. Ἐν δὲ τῷ κ′ κεφ. Ἡ προὶξ τῇ γυναικὶ καὶ συνεστῶτος τοῦ γάμου καλῶς καταβάλλεται ἐπὶ τῷ καταβαλεῖν δανεισταῖς αὐτῆς, ἢ ἀγροὺς εὐπορωτέρους ἀγοράσαι, ἢ ἐπὶ τῷ προνοήσασθαι παίδων ἐξ ἑτέρου γάμου ἢ ἀδελφῶν ἢ γονέων πενομένων, ἢ ἐπὶ τῷ ἀναῤῥύσασθαι τούτους ἀπὸ αἰχμαλωσίας. τὸ αὐτὸ καὶ περὶ ὑπεξουσίας.

45. Εἰ δὲ καὶ συγγενεῖς τῆς γυναικὸς ἀναῤῥύσεται, ἢ παράσχῃ τῇ γυναικὶ ἐπὶ τῷ δεσμῶν ἢ λῃστῶν ἀπολύσαι συγγενῆ, καταλογίζεται, εἴτε πᾶσαν τὴν προῖκα εἴτε μέρος ἔδωκε. καὶ πλέον ὁ πενθερὸς ἐνάγων λογίζεται τὰ εἰς αὐτὸν δαπανηθέντα παρὰ τοῦ ἀνδρὸς ἢ τῆς θυγατρὸς τοῦ ἀνδρὸς δεδωκότος· ὥσπερ εἰ καὶ μετὰ θάνατον τοῦ πατρὸς ἡ θυγάτηρ ἐνάγει. ἡ γὰρ τοῦ δόλου παραγραφὴ ἔνεστι τῇ ἀγωγῇ τῆς προικὸς, ὡς καὶ τοῖς λοιποῖς καλῇ πίστει δικαστηρίοις[1].

---

[1] Ἐνοῦσα τῇ ἀγωγῇ παραγραφὴ λέγεται, οἷον κατὰ δόλον ἠγόρασέ τις τὸ ἐμὸν πρᾶγμα· ἐπειδὴ δὲ ὁ δόλος καὶ ὁ φόβος ἐμποδίζει τῇ συστάσει τῶν καλῇ πίστει συναλλαγμάτων, ὡς βιβλ. ιθ′ τί. α′ κεφ. νζ′ ἐν τέλει, παραγράφομαι τὸν ἀγοραστὴν κινοῦντα κατ᾽ ἐμοῦ νεμομένου τὸ πρᾶγμα, λέγων, ὅτι οὐδὲ ὅλως συνέστη πρᾶσις διὰ τὸν δόλον. καὶ οὕτω μὲν ὧδε ἐνοῦσα τῇ ἀγωγῇ ἡ παραγραφὴ οὐδαμῶς αὐτὴν ἐξ ἀρχῆς εὐθὺς παραδέχεται. μὴ ἐνοῦσα δὲ παραγραφή ἐστιν, ἥτις τὴν μὲν ἀγωγὴν δέχεται, τὴν δὲ καταδίκην ἀποδιώκει. οἷον, ἐδάνεισάς μοι νομίσματα καὶ μετὰ ταῦτα ἐποίησάς μοι σύμφωνον συγχωρητικὸν, εἶτα ἐκίνησας ἀπαιτῶν με τὸ δάνειον· ἐγὼ δὲ ἀντιτιθείς σοι παραγραφὴν τὴν μὲν ἀγωγὴν δέχομαι, τὴν δὲ καταδίκην οὐ παραδέχομαι, προβαλλόμενος τὸ συγχωρητικὸν σύμφωνον. ἴσθι δὲ, ὅτι καὶ δύο εἴδη ἀντελλόγων εἰσί· τὸ ὡς ἐν εἴδει καταβολῆς λογιζόμενον· οἷον χρεωστῶ σοι δέκα νομίσματα, καὶ σὺ ὡσαύτως ἐμοὶ ἕτερα δέκα· ἀπαιτοῦντα οὖν τὰ σὰ παραγράφομαί σε, τὰ χρεωστούμενά μοι παρὰ σοῦ προβαλλόμενος, καὶ ἀντιλογίσασθαί σοι ταῦτα εἰς καταβολὴν τῶν σῶν νομισμάτων ἐπιζητῶν. καὶ οὗτος μὲν ὁ ἀντέλλογος ὡς ἐν εἴδει καταβολῆς· εἰμὶ γὰρ ὡς καταβαλών. θάτερον δὲ εἶδος ἀντελλόγου ἐστὶ τὸ ὡς ἐν εἴδει παρακατασχέσεως· οἷον κατέχω καλῇ πίστει τὸ σὸν πρᾶγμα, ὡς κληρονόμος τυχὸν, σὺ δὲ διαναστὰς ἐκνικᾷς ἤδη αὐτὸ ὡς ἀληθὴς κληρονόμος· οὐκ ἄλλως οὖν ἀντιστρέψω σοι αὐτὸ ἀπαιτοῦντι, εἰ μὴ καταβληθῇ μοι καὶ παρά σου ἅπερ ἴσως περὶ αὐτὸ ἐδαπάνησα, ὡς φησὶ τὸ ζ′ κεφ. τοῦ δ′ τί. τοῦ κδ′ βι. ὅθεν καὶ ὡς ἂν ἡ τούτων καταβολὴ γένοιτό μοι, παρακατέχω τὸ πρᾶγμα, δυνάμενος δεσπόσαι μέρος αὐτοῦ κατὰ ἀναλογίαν ὧν περὶ αὐτὸ ἐδαπάνησα.

46. Ἐν δὲ τῷ κγ' κεφ. *Καὶ συνεστῶτος τοῦ γάμου κινεῖ περὶ τῆς προικὸς ἡ γυνή, ἀφ' οὗ ἄρξεται μὴ ἀρκεῖν πρὸς τὸ ποσὸν αὐτῆς ἡ οὐσία τοῦ ἀνδρός.*

47. Ἀνάγν. καὶ βι. κϑ' τί. α' κεφ. ξη', ἐν ᾧ φησι· *Καὶ συνεστῶτος τοῦ γάμου τῇ μὴ ἀπολλυούσῃ*[k] *γαμετῇ δύναται ἡ προὶξ ἐκ τούτων καταβάλλεσθαι τῶν αἰτιῶν, οἷον ἵνα ἑαυτὴν καὶ τοὺς ἰδίους θρέψῃ, ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ, ἵνα τὸν ἐξορισθέντα πατέρα θρέψῃ, ἢ τὸν ἄνδρα ἢ τοὺς ἀδελφοὺς πενομένους.*

48. Καὶ κεφ. οη', ἐν ᾧ φησιν· *Ἐν συνεστῶτι τῷ γάμῳ καλῶς ὁ προικιμαῖος ἀγρὸς καταβάλλεται τῇ γυναικί, ἐφ' ᾧ πραθῆναι καὶ δοθῆναι τὸ τίμημα τοῖς δανεισταῖς τοῦ πατρὸς τῆς γυναικός, καὶ ἄλλον εὐπορώτερον παρ' αὐτῆς κληρονομούσης τοῦ πατρὸς ἀντεισαχθῆναι τῇ γυναικί.*

49. Καὶ κεφ. ριγ', ἐν ᾧ φησι· *Γυνὴ καὶ συνισταμένων ἔτι τῶν γάμων ἐὰν ἄπορον ὁρᾷ τὸν ἄνδρα, δύναται ὑπὲρ προικὸς καὶ προγαμιαίας δωρεᾶς καὶ ἐξωπροίκων διακρατῆσαι τὴν αὐτοῦ οὐσίαν ὡς ἀπὸ ὑποθήκης, καὶ εἴτε ἐνάγεται,*

ἰστέον δὲ καὶ τοῦτο, ὅτι πᾶσα προὶξ ἢ διατετιμημένη ἐστὶν ἢ ἀδιατίμητος ἢ διατετιμημενο-αδιατίμητος. περὶ μὲν οὖν τῆς ἀδιατιμήτου, ἐπειδὴ αὐτὰ τὰ πράγματα χρεωστεῖ ἀναδιδόναι ὁ ἀνήρ, ἐάν τι δαπανήσῃ ἀναγκαίως περὶ τὴν τοιαύτην προῖκα, χώραν ἔχει ὡς ἐν παρακατασχέσει ἀντέλλογος· παρακατέχει γὰρ ὁ ἀνὴρ τὰ προικιμαῖα, ἄχρις ἂν καταβληθῶσιν αὐτῷ τὰ ἀναγκαῖα δαπανήματα. ἐπὶ δὲ τῆς διατετιμημένης, εἰ γένηται ἡ δαπάνη περὶ τὸν πατέρα τῆς γυναικὸς ἤ τινας συγγενεῖς πρὸς ἀνάῤῥυσιν τυχὸν ἀπὸ αἰχμαλωσίας, ἢ εἰς ἀποτροφὴν παίδων ἐξ ἄλλου συνοικεσίου ὄντων τῇ γυναικί, ἢ ἁπλῶς εἰπεῖν ἐπί τινι αἰτίᾳ, ὥς φησι τὸ παρὸν κεφ. (ἀδύνατον γὰρ θεματίσαι δαπάνην περὶ αὐτὰ τὰ διατετιμημένα πράγματα γεγενημένην καὶ δι' αὐτὴν ἀντέλλογον, διὰ τὸ τὸν ἄνδρα δαπανῶντα περὶ αὐτὰ περὶ ἴδια δαπανᾷν ὡς ἀγοραστὴν τούτων ὄντα), χώραν ἔχει ὡς ἐν εἴδει καταβολῆς ἀντέλλογος. ὡσαύτως δὲ ἐπὶ τῶν διατετιμημενο-αδιατιμήτων προικῶν, ὅταν ὁ ἀνὴρ δαπανήσῃ περὶ τὰ διατετιμημενο-αδιατίμητα προικιμαῖα πράγματα, εἰ μὲν καταβληθῶσιν αὐτῷ τὰ δαπανήματα, πᾶσαν ἀντιστρέφει τὴν προῖκα· εἰ δὲ μή, παρακρατεῖ ἐκ τῆς προικὸς κατὰ δεσποτείαν μέρος τοῖς δαπανήμασιν ἰσοστάσιον. ἐν τῷ παρόντι τοίνυν κεφαλαίῳ νοητέον τὴν προῖκα ἐξ ἀνάγκης ἢ διατετιμημένην ἢ διατετιμημενο-αδιατίμητον, διὰ τὸ σχεῖν χώραν τὸν ὡς ἐν εἴδει καταβολῆς ἀντέλλογον. ἀπαιτῶν οὖν τὴν προῖκα πᾶσαν ὁ πενθερὸς ἀκούσεται ὅτι δόλον ποιεῖς· οὐ γὰρ σώζεταί σοι ἡ ἀγωγὴ ἐπὶ πάσῃ τῇ προικί, ἀλλὰ κατὰ τοσοῦτον μέρος ἐφθάρη σοι, ὅσον ἦσαν τὰ δαπανήματα· ὅθεν καὶ οὕτω πρὸς τὴν πρότασιν ἀπομαχομένη ἡ τοῦ δόλου παραγραφὴ ἔνεστι τῇ περὶ προικὸς ἀγωγῇ.

[k] Τῇ μὴ ἀσώτῳ.

ἔχει παραγραφήν· εἴτε ἐνάγει, νικᾷ. οὐδὲ γὰρ ἀντίκειται αὐτῇ τὸ μήπω[1] διαλυθῆναι τὸν γάμον. ἀλλὰ τέως μὲν λαμβάνει τὰ πράγματα οὕτως, ὡσανεὶ διελύθη ὁ γάμος καὶ ἥρμοσεν αὐτῇ ἡ τῆς προικὸς ἀπαίτησις· λοιπὸν δὲ οἱ δανεισταὶ εἴ τινας νομίζουσιν ἔχειν ἀγωγὰς, ταύτας ὀφείλουσι κινῆσαι κατὰ τοῦ ἀνδρὸς ἤτοι τῶν αὐτοῦ πραγμάτων ὅσα ἐὰν ἐπικτήσηται. ἡ δὲ γυνὴ οὐδὲν δύναται ἐκποιεῖν ἐν τῷ μεταξὺ ζῶντος τοῦ ἀνδρός· ἀλλ᾽ ἀναμένομεν, ἵνα λυομένου τοῦ γάμου ἀγωνίσωνται πρὸς ἀλλήλους ὅ τε ἀνὴρ καὶ ἡ γυνὴ περὶ τῆς προικός. δι᾽ οὐδὲν γὰρ ἕτερον λαμβάνει τὰ πράγματα ἡ γυνὴ, εἰ μὴ μόνον ἵνα καρποῦται καὶ ἀποτρέφῃ αὑτὴν καὶ τὸν ἄνδρα καὶ τοὺς κοινοὺς αὐτῶν παῖδας.

50. Καὶ κεφ. ριδ΄, ἐν ᾧ φησιν· Ἡ γυνὴ διαλυομένου τοῦ γάμου δύναται ἐκδικεῖν τὰ εἰς προῖκα ἐπιδοθέντα παρ᾽ αὐτῆς πράγματα καὶ ἔτι σωζόμενα διὰ τῆς ἀγωγῆς, ὡς ἔτι δέσποινα αὐτῶν εἶναι νομιζομένη. καὶ γὰρ [καὶ] αὐτῆς ὑπῆρχον ἐξ ἀρχῆς τὰ πράγματα, κἂν νῦν ἡ τοῦ νόμου ἀκρίβεια μετήγαγεν αὐτὰ πρὸς τὸν ἄνδρα, ἐπείτοιγε καὶ ἔτι αὐτῆς δοκοῦσιν εἶναι. ἐχέτω δὲ ἡ γυνὴ μὴ μόνον τὴν περὶ [τῆς] δεσποτείας ἀγωγὴν, ἀλλὰ καὶ τὴν ὑποθηκαρίαν· προτιμοτέρα ὑπάρχουσα πάντων τῶν τοῦ ἀνδρὸς δανειστῶν τῶν τε μεταγενεστέρων καὶ τῶν προγενεστέρων[1]. πᾶσα δὲ χρόνου παραγραφὴ ἀντικειμένη τῇ γυναικὶ, εἴτε ὡς ἀπὸ τῆς διὰ τοῦ χρᾶσθαι δεσποτείας, εἴτε ὡς ἀπὸ δέκα ἢ εἴκοσι ἢ τριάκοντα ἢ τεσσαράκοντα ἐνιαυτῶν, ἐξ ἐκείνου τοῦ καιροῦ ψηφιζέσθω αὐτῇ, ἐξ οὗ ἠδύνατο κινῆσαι· τουτέστιν εἰ μὲν εὔπορός ἐστιν ὁ ἀνὴρ, ἐκ τῆς τοῦ γάμου διαλύσεως, εἰ δὲ ἄπορός ἐστιν, ἐκ τοῦ καιροῦ τῆς ἀπορίας. ἐπειδὴ ἠδύνατο ἡ γυνὴ καὶ συνισταμένων ἔτι τῶν γάμων κινῆσαι κατὰ τοῦ ἀνδρὸς περὶ τῆς προικός.

51. Καὶ κεφ. ριζ΄, ἐν ᾧ φησιν· Ἐπειδὴ δὲ ἡ μὲν τὴν προῖκα ἀπαιτοῦσα ἀγωγὴ παραχρῆμα ἀπῄτει πᾶσαν τὴν προῖκα, ἡ δὲ περὶ τῆς ἀναλήψεως τῆς προικὸς ἀγωγὴ τὰ σταθμώμενα ἀρι-

---

1 Ἡ ἀγωγὴ τῆς ἐχούσης προῖκα μετὰ θάνατον τοῦ ἀνδρὸς, εἰ χρέεσιν ὑπόκεινται [τὰ] τοῦ ἀνδρὸς, ἔχει προνόμιον ποιεῖν ἀπογραφὴν, εἰ μέν ἐστιν ἔσωθεν τῆς πόλεως, μέχρι μηνῶν γ΄, καὶ παραγράφεται τοὺς δανειστὰς λαμβάνουσα τὴν ἰδίαν προῖκα καὶ τὰ βοηθοῦντα αὐτῇ· εἰ δὲ ἔξωθεν τῆς πόλεως ἐπὶ θέματος, ἔχει ἐξουσίαν ποιεῖν μέχρι μηνῶν ιβ΄. εἰ δὲ ἴμβεντον οὐ ποιήσει ἐμπροθέσμως, βοηθοῦνται οἱ δανεισταί.

---

1 Leuncl. μηδέπω.

θμούμενα μετρούμενα διὰ τριῶν ἐνιαυτῶν ἀπήτει, καὶ οὐδὲ εἰς ὁλόκληρον ἐκινεῖτο, ἀλλ' εἰς ὅσον· ηὐπόρει καὶ ἡ τὴν προῖκα ἀπαιτοῦσα ἀγωγὴ σήμερον εἰς τοσοῦτον κινείσθω, εἰς ὅσον ὁ ἀνὴρ εὐπορεῖ. ἐκτιθέσθω δὲ ἀσφάλειαν τῇ γυναικὶ, ὡς ἐὰν ἐπικτήσηται, καταβαλεῖ αὐτῇ. ἡ δὲ ἀπαίτησις μήτε διὰ τριῶν ἐνιαυτῶν γίνεσθω ὡς ἐπὶ τῆς ἀναλήψεως τῆς προικὸς, μήτε παραχρῆμα· ἀλλὰ δι' ἐνιαυτοῦ καταβαλλέσθω τὰ σταθμώμενα ἢ ἀριθμούμενα· τὰ μέντοιγε λοιπὰ πράγματα παραχρῆμα καταβαλλέσθωσαν. εἰ δὲ ἀναβάλλεται ὁ ἀνὴρ καταβαλεῖν παραχρῆμα ἢ μετὰ ἐνιαυτοῦ παραδρομὴν τὰ ὀφείλοντα καταβληθῆναι, καὶ ὑπὲρ τῶν κινητῶν τόκους ἀπαιτείσθω, καὶ τοὺς καρποὺς τῶν ἀκινήτων ἀπὸ τοῦ καιροῦ τῆς λύσεως τῶν γάμων, καὶ τὰ ἐνοίκια καὶ τὰ ναῦλα καὶ πάντα ἕτερον καρπόν.

Ἐὰν ἐξωτικὸς προικίσῃ, καὶ μὴ ἐπερωτήσῃ καὶ μὴ συμφωνήσῃ ἐπαναλαβεῖν τὴν προῖκα, ἡ γυνὴ ἔχει τὴν ἀπαίτησιν τῆς προικός· ἐκείνου γὰρ μὴ ἐπερωτῶντος ἢ συμφωνοῦντος ἡ γυνὴ δοκεῖ ἐπερωτᾷν· οὐδὲ γὰρ δοκεῖ ἐξωτικὸς σιωπηρῶς ἐπερωτᾷν. ἐξωτικὸν δὲ νόει μοι πᾶν πρόσωπον χωρὶς τῶν ἐξ ἀῤῥενογονίας ἀνιόντων καὶ ἐχόντων ὑπεξουσίαν τὴν προικιζομένην· οὗτοι γὰρ σιωπηρῶς δοκοῦσιν ἐπερωτᾷν, ἐπειδὴ καὶ τὸ παλαιὸν σιωπηρῶς εἶχον τὴν ἀνάληψιν τῆς προικός.

Πάλιν ἐὰν ζώσης τῆς γυναικὸς ὁ γάμος διαλυθῇ, αὐτὴ ἔχει τὴν περὶ τῆς ἀπαιτήσεως τῆς προικὸς ἀγωγήν.

52. Ἀνάγν. καὶ τί. ια' κεφ. κη' τοῦ κη' βι., ἐν ᾧ φησιν· Οὐκ ὀφείλει προσκυροῦσθαι τῇ γυναικὶ ἡ τοῦ ἀνδρὸς οὐσία ἀντὶ τῆς προικὸς, ἐὰν ἐπὶ κληρονόμοις ἐτελεύτησεν. εἰ δὲ ἀκληρονόμητος ἐτελεύτησε, τότε κατὰ τοὺς νόμους γινέσθω τὸ ἀζήμιον τῇ γυναικὶ πρὸς τὸ ἐγχωροῦν[m].

53. Ἀνάγν. καὶ βι. ζ' τί. ε' κεφ. ξε', ἐν ᾧ φησιν· Ἡ γυνὴ τῇ κατοικήσει τοῦ ἀνδρὸς ἕπεται, κἀκεῖ αὐτὸν ἀπαιτεῖ τὴν προῖκα, οὐ μὴν ἔνθα συνετάγη τὸ συμβόλαιον. οὐ γάρ ἐστι συνάλλαγμα.

54. Ἀνάγν. καὶ βι. θ' τί. ζ' κεφ. ιη' καὶ τί. θ' κεφ. η', ἐν ᾧ φησι· Τὸ προνόμιον ὅπερ ἔχουσιν αἱ γυναῖκες ἐν τῇ ἀπαιτήσει τῆς προικὸς, εἰς κληρονόμους αὐτῶν οὐ διαβαίνει, πλὴν εἰς παῖδας[n].

---

m Ζήτει καὶ ἕτερον νόμιμον, ἔνθα αἱ τοῦ κυροῦ λέοντος νεαραί.

n Περὶ τοῦ προνομίου ὅπερ ἔχουσιν αἱ γυναῖκες ἐν τῇ ἀπαιτήσει τῆς προικὸς, ὅτι οὐ διαβαίνει εἰς κληρονόμους αὐτῶν, πλὴν εἰς παῖδας, φησὶ τὸ α' κεφ. τοῦ ιγ' τί. τοῦ κη' βιβλίου, ἐν ᾧ διαλαμβάνεται καὶ περὶ ἀπαιτήσεως α' ἢ β' προικός.

55. Ἀνάγν. καὶ βι. ιε΄ [1] τί. α΄ κεφ. πθ΄, ἐν ᾧ φησι· Τὰ ἐν προικὶ ἐπιδοθέντα οὐ δύναται ἡ γυνὴ [2] διεκδικεῖν, ἐπειδὴ τοῦ ἀνδρός ἐστιν ἡ τούτων δεσποτεία.

56. Ἀνάγν. καὶ βι. κη΄ τί. ιγ΄, οὗτινος ἐν τῷ α΄ κεφ.° φησί· Γενόμενός τις προτέρας γυναικὸς [3] ἀνὴρ καὶ ταύτην ἀποβαλών, εἶτα δευτέρᾳ συνοικήσας, προῖκά τε [ὑπο]δεξάμενος παρ᾽ ἑκατέρας καὶ παῖδας ἐκ τῆς πρώτης καταλιπών, ἀπῆλθε τῆς δευτέρας ἔτι περιούσης. ἐβούλετο τοίνυν ἡ δευτέρα γυνὴ τὴν προῖκα τὴν δεδομένην παρ᾽ αὐτῆς ἀπαιτεῖν, τῷ προνομίῳ χρωμένη τῷ παρ᾽ ἡμῖν δεδομένῳ· ἀντέλεγον δὲ οἱ ἐκ τῶν πρώτων γάμων παῖδες καὶ αὐτοὶ μητρῴαν προτεινόμενοι προῖκα· καὶ ἀμφισβητήσιμον ἦν, εἰ καὶ μὴ περιούσης τῆς προτέρας γαμετῆς δεῖ δέξασθαι τοὺς ἐκείνης παῖδας κατὰ τῆς δευτέρας προικὸς ἀγωνιζομένους. οὐ γὰρ ἑτέροις δεδώκαμέν τε ἤδη καὶ δίδομεν τοῦτο τὸ προνόμιον ἢ κληρονόμοις ἢ δανεισταῖς, ἀλλὰ μόνοις παισί. πολλαὶ μὲν οὖν ἀμφισβητήσεις γεγόνασιν ἐν τῷ πράγματι, λεγούσης τῆς δευτέρας γαμετῆς, ὡς ἐξαναλώσας ἔφθη καὶ πρὶν ἐπὶ τὸν πρὸς αὐτὴν ἔλθοι γάμον ὁ ἀνὴρ τὴν τῆς προτέρας γαμετῆς προῖκα, καὶ οὐ δίκαιόν ἐστι, τὴν μὲν αὐτῆς προῖκα, διότι τοσοῦτον εὑρέθη καταλιπὼν ὁ ἀνὴρ ὅσον ἀρκεῖ μόνον τῇ δευτέρᾳ προικὶ, αὐτὴν ἀπολέσαι, τοὺς δὲ τὴν ἐξαναλωθεῖσαν ἤδη προῖκα λαβεῖν. ἀλλ᾽ οἱ παῖδες τὰς ὑποθήκας προΐσχοντο, ὅτιπερ ὅλως πραγμάτων ὄντων τῷ τελευτήσαντι αἱ τῆς τελευτησάσης ὑποθῆκαι πρεσβύτεραι τῆς δευτέρας εἰσί. τούτων τοίνυν ἀμφισβητουμένων ἐκεῖνο τῶν ἀνωμολογημένων τε ἤδη καὶ νενομοθετημένων ἐστὶ παρ᾽ ἡμῶν, ὡς εἰ μέν τι φαίνοι[το] ἐκ τῶν πραγμάτων τῆς προτέρας ἢ τῆς δευτέρας, τοῦτο ἀνάγκη [ἢ] τοὺς παῖδας τῆς προτέρας ἢ τὴν δευτέραν ἔχειν, ἢ εἰ τελευτήσει κἀκείνη, τοὺς παῖδας αὐτῆς, ἕκαστον πρὸς ὅπερ ἂν οἰκείως ἔχειν ἑαυτὸν ἀποδείξειεν· ἐνταῦθα γὰρ καὶ [ἡ] ἐπὶ τῷ πράγματι ἀγωγὴ ἡ περὶ δεσποτείας ἁρμόζει καθαρῶς, καὶ ἕκαστον δεῖ τὸ οἰκεῖον ἔχειν μηδὲν προνομίου δεόμενον. εἰ δὲ οὐ φαίνοιτο τῶν ἑκατέρας πραγμάτων οὐδὲν, ἤ τινα μὲν φαίνοιτο, τινὰ δὲ ἐλλείποι, εἴτε περίεισιν αἱ γυναῖκες, διαζυγίῳ τυχὸν τοῦ προτέρου γάμου διαλυθέντος καὶ

° Νεαρὰ ϙα΄.

[1] Lips. ιϛ΄. [2] Basil. ὁ πατήρ. [3] Leuncl. γαμετῆς, et similiter mox γαμετὴ pro γυνή.

ἁρμοσάσης τῇ γυναικὶ τῆς προικὸς, ἢ τετελευτήκασιν, ἢ ἐπὶ παισὶν ἄμφω ἢ καὶ μία τούτων, ἐπὶ τοῖς ἐλλείπουσι κυριωτέραν εἶναι τὴν προτέραν καὶ τοὺς ἐξ αὐτῆς παῖδας πρεσβυτέραν προῖκα προτεινομένους· ταὐτὸν δέ ἐστιν εἰπεῖν καὶ ἐκγόνους καὶ ἀπεκγόνους καὶ τὴν ἐφεξῆς διαδοχὴν, ὁποιασδήποτε φύσεως εἶεν. ὥσπερ γὰρ εἰ δύο δημόσια ὀφλήματα ἦν, ἀνάγκη τὸ πρεσβύτερον κυριώτερον τοῦ μεταγενεστέρου καθεστάναι, οὕτω κἀνταῦθα τὰ προνόμια ἀνάγκη τῇ πρώτῃ προικὶ δοθῆναι πρότερον, οὕτω τε τῇ δευτέρᾳ, καὶ προῖκα μὴ προκρίνειν προικὶ, μηδὲ ὑποθήκην ὑποθήκῃ, ἀλλὰ τὸ πρεσβύτερον καὶ χρόνῳ πλέον μένειν τὴν οἰκείαν ἔχον ἰσχύν τε καὶ προνομίαν. τοὺς γὰρ χρόνους τῶν ὑποθηκῶν ἀμείψασθαι ἢ ἀνελεῖν κατ᾽ οὐδένα τρόπον αἱρούμεθα.

Κἀκεῖνό γε[p] μὴν ἐν τοῖς ἔμπροσθεν ἀμυδρῶς μὲν νομοθετηθὲν, σπανίως δὲ ἐν δικαστηρίοις ἐξητασμένον, ᾠήθημεν χρῆναι νόμῳ σαφεῖ περιλαβεῖν καὶ παραδοῦναι τῇ χρήσει, καὶ μεταγαγεῖν εἰς τὰ δικαστήρια πρὸς κοινὴν ἀποβησόμενον βοήθειαν. εἰ γὰρ συναφθεῖέν τινες ἀλλήλοις ἐπὶ προικὸς καὶ προγαμιαίας δωρεᾶς συμβολαίοις, εἶτα ὁ μὲν ἀνὴρ προγαμιαίαν δοίη δωρεὰν, ἡ δὲ γυνὴ ἀπενέγκοιτο προῖκα, ἢ αὐτὴ παρασχομένη ταύτην ἢ δόντος πατρὸς ἤ τινος ἔξωθεν, εἶτα φανείη παρ᾽ ὅλον τὸν τοῦ γάμου καιρὸν ἡ προὶξ μὴ δοθεῖσα τῷ συνοικήσαντι, ἀλλ᾽ ἀνασχόμενος ἐκεῖνος τῶν τοῦ γάμου βαρῶν, καὶ ὁ γάμος θανάτῳ τοῦ ἀνδρὸς διαλυθείη· οὐκ ἂν εἴη δικαία παντελῶς ἡ γυνὴ προῖκα μὴ δοῦσα τῷ συνοικήσαντι τὴν προγαμιαίαν λαβεῖν δωρεάν. εἰ δὲ καὶ μὴ εἰς ὁλόκληρον δοίη, καὶ αὐτὴ κατὰ τοσοῦτον ἀπαιτείτω τὴν δωρεὰν, καθ᾽ ὅσον ἐπιδοίη τὴν προῖκα. ἰσότητος γάρ ἐσμεν καὶ δικαιοσύνης ἐρασταὶ, καὶ ταύτην ἐν ἅπασί τε τοῖς ἄλλοις καὶ πρός γε ἐν τοῖς συνοικεσίοις βουλόμεθα κρατεῖν. ὥστε ἡ μηδ᾽ ὁτιοῦν ἐπιδοῦσα μηδ᾽ ὁτιοῦν λαμβανέτω· ἡ δὲ ἔλαττον, οὗπερ ὡμολόγησε, δοῦσα τοσοῦτον ἀπολαμβανέτω μόνον, ὅσον ἐπιδέδωκε. καὶ ἔστω καὶ αὐτὴ [καλὴ] τῷ παρόντι νόμῳ προσαύξησις[q].

---

p Περὶ ὑποσχεθείσης προικὸς καὶ μὴ ἐπιδοθείσης νεαρὰ β´ κεφ. ς´.

q Ἐπηγγείλατό τις δοῦναι τῇ θυγατρὶ προῖκα καὶ οὐκ ἔδωκεν, εἶτα ἔλαβεν ἐκεῖνος γυναῖκα καὶ ἐδέξατο προῖκα καὶ ἔθανε. ποία προτιμηθήσεται; ἡ πρώτη ἐπαγγελία τῆς προικὸς τῆς θυγατρὸς ἢ ἡ δευτέρα καταβολὴ, ἣν ἡ γυνὴ πρὸς αὐτὸν κατεβάλλετο; καὶ ἐδικαίωσαν καὶ ἄλλοι δικασταὶ τὴν δευτέραν καταβολὴν, ἐπεψηφίσατο δὲ τοῦτο καὶ ὁ μάγιστρος γράψας οὕτως· οἱ πρώτως δικάσαντες τὴν εἰσαχθεῖσαν προῖκα καὶ τῷ χρόνῳ νεωτέραν τῆς πρωτευούσης ἐπαγγελίας ἐπίπροσθεν ἐποιήσαντο κρίναντες ὥσπερ ἐστὶ νοεῖν.

Εἰ[r] μέντοι ἐποφείλει προῖκα γυνὴ, καὶ ἡ μὲν δοῦναι βουληθείη ἢ ὁ ὑπὲρ αὐτῆς παρεχόμενος αὐτὴν ὅστις ποτ' ἂν εἴη, ὁ δὲ ἀνὴρ ἢ ὁ τούτου πατὴρ ἢ ὁ πάππος τυχὸν ὑποδέξασθαι ταύτην μὴ βουληθεῖεν, τὸ δὲ τῆς γυναικὸς ἐκμαρτύρεται μέρος καὶ ἑτοίμως ἔχοι ταύτην καταβαλεῖν, ἢ καί τι μεῖζον πράξειε καὶ προσαγάγοι τυχὸν, καὶ εἴγε κινητὴ καθεστήκοι καὶ σφραγῖδας ἐπιθείη καὶ κατὰ τὸν νόμον ἀπόθοιτο, ἢ καὶ κατὰ μίαν μοῖραν εἰσβαλὼν εἰς δικαστήριον ἀξιοῖ ταῦτα γενέσθαι, καὶ διαβάντες ἐκ τοῦ δικαστηρίου τινὲς ἀπήγγειλαν ταῦτα πρὸς τὸ τοῦ ἀνδρὸς μέρος, ἐπιμείνοι δὲ καὶ οὕτως ἀναβαλλόμενος· μὴ δύνασθαι διαλυθέντος τοῦ γάμου τὴν τῆς προγαμιαίας δωρεᾶς ἔκτισιν ἐκκλίνειν ὡς δῆθεν προικὸς οὐκ ἐπιδοθείσης· ὁ γὰρ δοῦναι βουληθεὶς, ἐν ᾧ τὴν λῆψιν ὁ λαμβάνειν ἠξιωμένος παραιτεῖται, παραπλήσιός ἐστι τῷ δεδωκότι. καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐπὶ τῆς προικὸς κρατείτω. ὥσπερ γὰρ εἰ μὴ δοίη καθ' ὑπέρθεσιν τὴν προῖκα, ἄρνησιν αὐτῇ τῆς προγαμιαίας[1] ἠγάγομεν, οὕτω κἂν εἰ βουληθείη δοῦναι καὶ ὁ λαμβάνων ἐξεπίτηδες παραιτεῖται τὴν λῆψιν, δίδομεν αὐτῇ τὴν τῆς προγαμιαίας δωρεᾶς τοῦ συνοικεσίου λυθέντος ἀπαίτησιν καὶ τὴν προῖκα διὰ τὴν τοῦ ἀνδρὸς αἰτίαν οὐκ εἰσενεγκούσῃ.

57. Ἀνάγν. καὶ βι. κς'[2] τί. ζ' κεφ. πζ', ἐν ᾧ φησι· Γενικῶς θεσπίζομεν, ἵνα εἴ τις μείζων τῶν κε' ἐτῶν εἴτε ἄῤῥην εἴτε θήλεια προῖκα ἢ ἐπηγγείλατο ἢ δέδωκεν ὑπὲρ οἱασδήποτε γυναικὸς, ἔνθα γάμος νόμιμός ἐστι, παντὶ τρόπῳ ἀναγκάζηται τὴν οἰκείαν[3] ὁμολογίαν πληρῶσαι. οὔτε γὰρ φορητόν ἐστιν, ὡσανεὶ τυχηρᾶς περιστάσεως ὑπούσης τὴν γυναῖκα γίνεσθαι ἄπροικον, καὶ οὕτως ἐκ τοῦ ἀνδρὸς ἐκβάλλεσθαι καὶ διαλύεσθαι τὸν γάμον. ὁπότε γὰρ ἴσμεν τῇ φειδοῖ τῶν προικῶν καὶ τοὺς ἀρχαίους νομοθέτας τὴν αὐστηρίαν τοῦ νόμου[s] καταπραΰναι πολλάκις, ἀξίως καὶ ἡμεῖς πρὸς τὴν τοιαύτην ἐρχόμεθα [διά-]ταξιν. καὶ γὰρ ἐὰν ἑκουσίᾳ βουλήσει ἐξ ἀρχῆς τὴν ἰδίαν φιλοτιμίαν ἐπέδειξεν, ἀνάγκη ἐστὶ τοῦτον ἢ ταύτην ταῖς οἰκείαις ἐπαγγελίαις τὸ ἱκανὸν ποιεῖν, ἵνα ὅπερ ἐξ ἀρχῆς ἑκουσίως ἐγράφη ἢ εἰς ἐπαγγελίαν κατηνέχθη, τοῦτο καὶ παρὰ μὴ βου-

---

r Νεαρὰ ϙα'.
s Αὐστηρίαν τοῦ νόμου τὴν γυναιξὶ βοηθοῦσαν ἐν ἄλλοις θέμασι τοῦ βελλιανείου δόγματος αὐθεντίαν φησίν.

---

1 Scil. δωρεᾶς. 2 Leuncl. κη'. 3 Idem ἰδίαν.

λομένων μετὰ ταῦτα πληρωθῇ, πάσης αὐθεντίας τοῦ βελλιανείου δόγματος[t] *ἐν τούτῳ τῷ θέματι ἀργούσης.*

58. Ἀνάγν. καὶ βι. κη' τί. θ', οὗτινος ἐν τῷ β' κεφ. φησί· *Μὴ παρεχέτω ὁ ἀνὴρ ἐγγυητὴν ἐπὶ τῷ φυλάξαι τὴν προῖκα, κἂν τὰ μάλιστα τοῦτο νόμος ἢ συνήθεια ἐπέτρεπε γίνεσθαι.*

59. *Ἡ διάταξις κελεύει, μήτε ἐγγυητὴν μήτε μανδάτορα*[u] *δίδοσθαι παρὰ τοῦ ἀνδρὸς ἤτοι τοῦ μέρους τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικός*[v].

60. Ἀνάγν. καὶ τί. ι', οὗτινος ἐν τῷ α' κεφ. φησίν· *Τῶν δαπανημάτων τὰ μὲν δι' ἀνάγκην γίνονται, τὰ δὲ διὰ κέρδος, τὰ δὲ διὰ τέρψιν. δι' ἀνάγκην ἐστὶ τὰ ἀναγκαίως γινόμενα· καὶ τότε μειοῦσι τὴν προῖκα, ὅτε περὶ αὐτὴν γένωνται. αἵ γὰρ εἰς ἄλλο τὶ γινόμεναι οὐ λογίζονται τῇ προικί.*

61. *Ἀναγκαῖόν ἐστιν, ὅπερ εἰ μὴ ἐποίησεν ὁ ἀνὴρ, κατεδικάζετο τῇ γαμετῇ εἰς ὅσον αὐτῇ διέφερε γενέσθαι τὴν δαπάνην. καὶ τὰ μὲν γενόμενα λογίζονται, κἂν ὁ οἶκος μετὰ τὸ ἀνορθωθῆναι καυθῇ. ἐπὶ δὲ τοῖς μὴ γενομένοις τότε καταδικάζεται ὁ ἀνὴρ, ὅτε διὰ τὸ μὴ γενέσθαι τὴν δαπάνην καὶ ζημία συνέβη. ἐὰν γὰρ αὐτοῦ μὴ ἀνορθώσαντος ὁ οἶκος καυθῇ, οὐδὲν δίδωσιν.*

62. Ἐν δὲ τῷ γ' κεφ. *Τὸ λεγόμενον, ὅτι τὰ ἀναγκαῖα δαπανήματα ἰδίῳ δικαίῳ μειοῦσι τὴν προῖκα, οὕτω δεῖ νοεῖν, ὥστε μὴ αὐτὰ τὰ σώματα*[1] *μειοῦσθαι, τυχὸν ἀγρὸν ἢ ἕτερον πρᾶγμα· κατέχει δὲ αὐτὰ ὁ ἀνὴρ, ἕως οὗ λάβῃ τὰς δαπάνας. εἰ δὲ χρήματα ἦσαν ἐν τῇ προικὶ, μειοῦνται. εἰ δὲ καὶ πράγματα διατετιμημένα ἦν ἐν τῇ προικὶ, ἰδίῳ δικαίῳ γίνεται ἡ μείωσις διὰ τῶν ἀναγκαίων δαπανῶν. καὶ τῆς γυναικὸς ποιούσης τὸ ἱκανὸν ἡ προὶξ αὔξει.*

63. Ἐν δὲ τῷ δ' κεφ. *Διακερδᾶ*[1] *εἰσι τὰ βελτίονα ποιοῦντα τὴν προῖκα·*

Οἷον τὸ νεόφυτα ποιῆσαι ἢ ἀρτοκοπεῖον [*ἢ ἐργαστήριον*]

---

t Τοῦ βοηθοῦντος ταῖς γυναιξί.

u Ἐγγυητὴς μέν ἐστιν ὁ ἐπερωτηθεὶς ἁπλῶς καὶ ὁμολογήσας δοῦναι τὸ πρᾶγμα, εἰ μὴ ὁ λαμβάνων αὐτὸ ἀποδῷ· μανδάτωρ δὲ καὶ ὁ ἐντειλάμενος καὶ προπαραθαῤῥύνας τὸν διδόντα ὥστε δοῦναι.

v Μετὰ θάνατον δὲ τῆς γυναικὸς ὁ ἀνὴρ ἀπαιτούμενος δίδωσιν ἐγγυητήν· καὶ ἡ γυνὴ δὲ δίδωσιν ἐπὶ τῷ καταβαλεῖν ἣν ἐπηγγείλατο προῖκα, ὡς Θαλέλαιος.

---

1 Leuncl. σωματικά. 2 Leuncl. διὰ κέρδος. Bas. διὰ κέρδη.

ἢ τέχνας διδάξαι τοὺς δούλους. καὶ οὐ μειοῦσι μὲν τὴν προῖκα, ἀπαιτοῦνται δέ.

64. Ἐν δὲ τῷ ϛ' κεφ. Τότε ὑπεξαιροῦνται τὰ ἐπωφελῆ, ὅτε κατὰ γνώμην γένωνται τῆς γυναικός. ἄδικον γάρ ἐστιν μὴ ἔχουσαν ἑτέρωθεν δοῦναι, καταναγκασθῆναι πωλῆσαι τὸ πρᾶγμα, περὶ ὃ γέγονεν ἡ δαπάνη.

65. Ἐν δὲ τῷ ζ' κεφ. Ἐπιλογὴν ἔχει ἡ γυνή, ἢ δοῦναι τὴν διὰ τέρψιν γενομένην δαπάνην, ἢ συγχωρῆσαι τῷ ἀνδρὶ περιελεῖν τὸ γεγονός, εἴ γε δύναται περιαιρεθῆναι, καὶ μέλλει ἔχειν αὐτό· ἐπεὶ οὐ περιαιρεῖ αὐτό.

66. Ἐν δὲ τῷ θ' κεφ. Κἂν γνώμῃ τῆς γυναικὸς γεγόνασι τὰ πρὸς τέρψιν δαπανήματα, οὐκ ἀπαιτοῦνται.

Καὶ ἡ τῆς δαπάνης δωρεὰ μεταξὺ τῶν συνοικούντων κεκώλυται.

67. Ἐν δὲ τῷ ι' κεφ. Τὰ γινόμενα μέτρια ἀναγκαῖα δαπανήματα περὶ οἰκοδομὴν ἢ φυτείαν ἢ ὑγείαν τῶν δούλων οὐκ ἀπαιτεῖται.

68. Ἐν δὲ τῷ ιβ' κεφ. Ἀναγκαῖα δαπανήματά ἐστιν, ὧν μὴ γενομένων ἡ προὶξ μειοῦται· οἷον παραχώματα ποιῆσαι, ποταμοὺς ἀποστρέψαι, οἶκον ὑπορθῶσαι καὶ ἀνανεῶσαι, ἀντὶ τῶν ἀποθανόντων δένδρων ὑποβαλεῖν ἕτερα ἐπωφελῆ, τὸ εἰσαγαγεῖν θρέμματα πρὸς τὸ κοπρίσαι τὸν ἀγρόν. πρὸς τέρψιν δέ ἐστι τὸ ποιῆσαι βαλανεῖον.

69. Ἐν δὲ τῷ ιγ' κεφ. Τότε τὰ ἀναγκαῖα μειοῦσι τὴν προῖκα, ὅτε ἔξωθεν τῆς ἀναγκαίας φυλακῆς τῆς προικὸς εἰς αὐτὴν δαπανηθῇ. φυλάττειν γὰρ ὁ ἀνὴρ ὀφείλει τὴν προῖκα δαπανήμασιν ἰδίοις, ὥσπερ καὶ τρέφειν τοὺς προικιμαίους δούλους, καὶ μέτρια δαπανᾷν εἰς ἀνανέωσιν[1] καὶ ἐπιμέλειαν τῶν ἀγρῶν, οὐχ ὥστε μέντοι περὶ ταῦτα δαπανῆσαι πᾶσαν τὴν πρόσοδον. ἐκ τῆς ποιότητος οὖν καὶ τῆς ποσότητος ἑκάστη δαπάνη σκοπεῖται καὶ ὀφείλει τῆς προικὸς ὑπεξαιρεθῆναι.

70. Ἀνάγν. καὶ βι. κθ' τί. α' κεφ. ρις' θέμ. γ' καὶ βι. λ' τί. α' κεφ. η θέμ. γ'.

---

[1] Bas. ἀναν. τῶν οἰκημάτων καὶ ἐπιμ.

XXX.

Περὶ προικὸς καὶ πρὸ γάμου δωρεᾶς, ὅτι οὐχ ὑπόκεινται κληρονομιαίαις ἀποκαταστάσεσιν, καὶ ὅτι μετὰ τὸν γάμον δύνανται ἐπαυξεῖσθαι, καὶ περὶ τοῦ μὴ ἐκποιεῖσθαι τὰ ἀκίνητα αὐτῶν, καὶ περὶ προνομίου προικὸς, καὶ ὅτι οὐ συλλογίζεται εἰς τὴν τοῦ ἀνδρὸς ὑπόστασιν ἡ προὶξ ἐπιφερομένης αὐτῷ λειτουργίας[a].

1. *Ἀνάγν. βι. κη΄ τί. ιε΄ κεφ. ια΄ θέμ. ς΄, ἐν ᾧ φησι·* Τὰ μὲν ἄλλα πάντα τῆς πρῴην παρ᾽ ἡμῶν τεθειμένης διατάξεως κύρια μένειν βουλόμενοι, τουτὶ δὲ καινίζοντες μόνον, ἵνα εἴ τις τὸ λοιπὸν ἀποκατάστασιν ποιοῖτο τῶν ἑαυτοῦ πραγμάτων, πρῶτον μὲν φυλάττοι τῷ παιδὶ τὸ νόμιμον μέρος, οὐ τὸ τέταρτον (τοῦτο γὰρ ἐπηνωρθώσαμεν πενίαν αὐτοῦ πολλὴν καταγνόντες), ἀλλὰ τὸ τρίτον πάντως ἢ τὸ ἥμισυ κατὰ τὸν τῶν παίδων ἀριθμόν· ἔπειτα καὶ εἰς τὸ λειπόμενον τῆς οὐσίας μέρος, ἐν ᾧ μὴ ἀρκοίη τὸ νόμιμον μέρος πρὸς προικὸς ἢ προγαμιαίας δωρεᾶς ἐπίδοσιν, εὐσχημόνως καὶ πρὸς τὴν τῶν προσώπων ποιότητα συμμετρουμένης, ἐξῃρῆσθαι καὶ αὐτὸ τῆς ἀποκαταστάσεως, καθ᾽ ὅσον προστιθέμενον τῷ νομίμῳ μέρει τὴν προῖκα ἢ τὴν πρὸ γάμου ποιεῖ δωρεάν· θεσπίζομεν γὰρ κατὰ τοῦτον τὸν τρόπον ἐξῃρῆσθαι παντοίως τῆς ἀποκαταστάσεως τὰ γαμικὰ συμβόλαια καὶ τὰς ἐπὶ τούτοις ἐκποιήσεις ἢ ὑποθήκας. κἂν εἰ βεβαρημένον εἴη τὸ πρόσωπον ἢ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς ἀποκαταστάσει τοιαύτῃ, ἐξέστω καὶ οὕτω τὴν καλουμένην προγαμιαίαν δωρεὰν ἢ διὰ γάμον ἐπιδιδόναι, μηδὲν τό γε ἐπὶ τοῖς πράγμασιν ἐκείνοις τῆς ἀποκαταστάσεως δρώσης· εἴτε γυνὴ τῇ ἀποκαταστάσει βαρύνοιτο, μὴ ἐμπόδιον γίνεσθαι πρὸς τὴν τῆς προικὸς ἐπίδοσιν. τὰ γὰρ κοινῇ πᾶσι συμφέροντα τῶν ἰδίᾳ τισὶ λυσιτελούντων προτίθεμεν. καὶ ἔσται τοῦτο ταῖς γαμικαῖς ἐπιδόσεσι καὶ ταῖς ἐντεῦθεν ἀπαιτήσεσι προνόμιον. εἰ γὰρ καὶ οἱ πρὸ ἡμῶν ἐκ τῶν γενικῶν ὑποθηκῶν πολλὰ κατὰ πρόληψιν ἐξεῖλον, καίτοιγε οὐχ οὕτως ἡμῖν ἀναγκαῖα καθεστῶτα, πῶς οὐχ ἡμεῖς ἐκ μείζονός τε καὶ καλλίονος γνώμης τὴν τῶν γαμικῶν κερδῶν ἐξαίρεσιν ποιησόμεθα;

2. *Ἀνάγν. καὶ βι. κθ΄ τί. β΄, οὗτινος ἐν τῷ γ΄ κεφ. φησί*[b]· Πρῶτον

---

[a] *Ἀνάγν. καὶ νεαρὰν ρκζ΄, ἐν ᾗ φησι περὶ πρὸ γάμου δωρεᾶς. περὶ ἀποκαταστάσεως ἀνάγνωθι καὶ λθ΄ νεαράν.*

[b] *Περὶ τῆς γενομένης ἐπαυξήσεως μετὰ τὸν γάμον κατὰ τὴν προῖκα καὶ τὴν πρὸ γάμου δωρεὰν ἀνάγνωθι καὶ νεαρὰν κβ΄ κεφ. κε΄ καὶ νεαρὰν ϟζ΄.*

μὲν οὖν ἐκεῖνο θεσπίζομεν διὰ τὸ μή τινα γενέσθαι περιγραφὴν, εἴπερ ἐπαυξῆσαι βουληθείη τὴν προῖκα ἢ τὴν διὰ τὸν γάμον δωρεὰν, μὴ ἐξεῖναι τῷ μὲν τοῦτο ποιεῖν, τῷ δὲ ἐπὶ τῶν προτέρων μένειν, ἀλλ' ἑκάτερον ποιεῖσθαι πάντως τὴν ἐπαύξησιν, καὶ μὴ ἐν αἱρέσει καθὰ πρότερον, ἀλλ' ἐν ἀνάγκῃ τὸ πρᾶγμα καθεστάναι, πάντως μέντοι ποσότητος ἴσης, τοῦτο ὅπερ καὶ ἡ τοῦ ἡμετέρου λέγει πατρὸς διάταξις. καὶ ἵνα μὴ συμβαίῃ τὴν ἐπαύξησιν οὐκ[1] αὐταῖς γίνεσθαι ταῖς ἀληθείαις, ἀλλ' ἐσχηματισμένην (καὶ μάλιστα ἐπὶ τοῦ μέρους τῆς γυναικὸς, ἵνα τοὺς τοῦ ἀνδρὸς δανειστὰς περιγράψειε τῷ προνομίῳ χρωμένη), εἰ μὲν ἔχοιεν ἑκατέρωθεν πράγματα ἀκίνητα, κάλλιον ἐν τοῖς ἀκινήτοις γίνεσθαι τὴν ἐπίδοσιν, ὅπως ἂν εἴη δῆλόν τε καὶ ἀναμφισβήτητον, τί μὲν τὸ ἐξαρχῆς ἦν, τί δὲ ὕστερον προσγέγονεν· εἰ δὲ οὐχ ἑκατέρωθεν ἀκίνητα πράγματα εἴη, τὴν μὲν γυναῖκα πάντως δι' ἀκινήτων πραγμάτων ποιεῖσθαι τὴν ἐπαύξησιν, ἵνα καὶ ἡ προὶξ καὶ ἡ ἐπαύξησις ὁμοίως ἔχῃ κατὰ τῶν πρεσβυτέρων δανειστῶν τὸ προνόμιον, πανταχόθεν ἀναμφισβητήτου τῆς προσθήκης οὔσης· ὁ δὲ ἀνὴρ καὶ ἐν κινητοῖς ποιείτω τὴν ἐπαύξησιν. οὐδὲ [γὰρ] ἐντεῦθεν ἀναφύεται βλάβη. εἰ δὲ γυνὴ ἀκίνητον οὐκ ἔχουσα περιουσίαν ἐν κινητοῖς γράψειε τὴν ἐπαύξησιν, ἴστω τὸ προνόμιον οὐχ ἕξουσα, εἰ μὴ ἐπὶ τῆς ἀρχαίας μόνης προικὸς, οὐ μὴν ἐπὶ τῆς ἐσχηματισμένης ἴσως ἐπαυξήσεως. τὸ μὲν γὰρ ἐξ ἀρχῆς γενόμενον ὡς ἐπίπαν ἀνύποπτόν ἐστι, τὸ δὲ ὕστερον προσεπιτεχνώμενον τὴν κατὰ τῶν δανειστῶν αὐτόθεν εἰσάγει μελέτην. καὶ βλάπτεσθαι τοὺς ἀνθρώπους ἐκ τοῦ παρ' ἡμῶν ταῖς προιξὶ διδομένου προνομίου κατ' οὐδένα τρόπον βουλόμεθα. εἰ δὲ οὐκ εἴη κατὰ τοῦ ἀνδρὸς χρέος οὐδὲν οὐδὲ ὑποψία τῆς κατὰ τῶν δανειστῶν περιγραφῆς, τότε καὶ ἐν χρήμασι καὶ οἷς βούλονται τὰ τῶν ἐπαυξήσεων γινέσθω παρ' αὐτῶν, ἑκατέρωθεν μέντοι τῆς ἐπαυξήσεως καὶ οὕτω γινομένης καὶ τὸ ἴσον ἐχούσης, ἵνα τὴν ἰσότητα φυλάξωμεν. ποία γὰρ ἂν εἴη περιγραφῆς ὑποψία, τοῦ ἀνδρὸς ὑπευθύνου μηδενὶ καθεστῶτος καὶ διὰ τοῦτο τῶν ἐπαυξήσεων ἀπραγμόνως γινομένων;

3. **Ἀνάγν. καὶ τί. ς', οὗτινος ἐν τῷ δ' κεφ. φησίν·** *Οὔτε ὁ ἀνὴρ οὔτε ὁ μνηστὴρ δύναται τὸν ἀδιατίμητον ἀγρὸν ἐκποιεῖν ἢ ὑποτίθεσθαι*[c].

---

c *Περὶ τοῦ μὴ ἐκποιεῖσθαι ἀγρὸν προικιμαῖον ἀνάγνωθι καὶ νεαρὰν ξα',*

1 ~~Leunel. ἐπ'~~.

4. Ἀνάγν. καὶ τί. ζ', ἐν ᾧ φησιν, ὅτι εἰ καὶ συναινέσουσι γυναῖκες τῇ ἐκποιήσει, καὶ μετὰ δύο ἔτη δευτέραν συναίνεσιν ποιήσουσιν, οὐ προκρίνονται, ἐὰν μὴ ἐκ τῶν λοιπῶν πραγμάτων τοῦ ἀνδρὸς δύναται τὸ ἱκανὸν εὑρεῖν.

5. Ἀνάγν. καὶ βι. νδ' τί. α' κεφ. ιε' θέμ. δ', ἐν ᾧ φησι· Συνισταμένου τοῦ γάμου ἡ προὶξ τοῦ ἀνδρός ἐστιν. ἐὰν δὲ πρὸς τὸ μέτρον τῆς οὐσίας ἐπιφέρηται λειτουργία, οὐ συλλογίζεται εἰς τὴν ὑπόστασιν[1] αὐτοῦ.

XXXI.

Περὶ προξενητῶν καὶ προξενητικῶν.

1. Ἀνάγν. βι. νδ' τί. ιε', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὁ προξενητὴς δανείσματος εἰ καὶ ἐπαινεῖ τὸ συνάλλαγμα, οὐκ ἐνέχεται, οὔτε λαμβάνων τὶ ὑπὲρ μεσιτείας ὑπόκειται. ἀλλ' εἰ δόλον ἐποίησε τῷ δανειστῇ, κατέχεται τῇ περὶ δόλου ἀγωγῇ.

2. Ἐν δὲ τῷ γ' κεφ. Εἰ καὶ ῥυπαρόν ἐστι τὸ λαμβάνειν προξενητικὰ, ὅμως ἀπαιτεῖται μεμετρημένα[2], καὶ πρὸς τὸ ποσὸν καὶ τὸ πρᾶγμα καὶ τὴν ὑπουργίαν τοῦ προξενητοῦ.

3. Ἐν δὲ τῷ δ' κεφ. Ἡ διάταξις βούλεται, τὸν προξενοῦντα γάμον μάλιστα μὲν μηδὲν λαμβάνειν. εἰ δὲ ὅλως ἀνέχεται λαβεῖν, εἰ μὲν μηδὲν συνεφώνησε περὶ τούτου, μηδὲν ὅλως λαμβάνειν· εἰ δὲ καὶ συνεφώνησε, μὴ ὑπὲρ τὴν εἰκοστὴν μοῖραν τῆς προικὸς καὶ τῆς πρὸ γάμου δωρεᾶς ἐπιζητεῖν, ἐὰν ἡ προὶξ ἄχρι διακοσίων λιτρῶν ἐστι χρυσίου. ἔλαττον δὲ εἰ βούλεται λαβεῖν ἐπιτρέπει αὐτῷ. εἰ δὲ καὶ ὁσησδήποτε ποσότητος ἡ προίξ ἐστι, περαιτέρω τῶν δέκα λιτρῶν τοῦ χρυσίου οὐκ ἐπιτρέπει τῷ προξενητῇ λαμβάνειν.

XXXII.

Περὶ προστίμων ἤτοι ποινῶν τῶν ἐξ ἐπερωτήσεως καὶ τῶν ἀπὸ καταδίκης ἀρχόντων.

1. Ἀνάγν. βι. μγ' τί. α' κεφ. ε' καὶ ϛ' θέμ. γ'[3] καὶ κεφ. ιθ' καὶ ξθ' καὶ κεφ. ρκα' θέμ. ϛ'. ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ γ' κεφ. φησί· Μέχρι πεντήκοντα λιτρῶν ἐπὶ τῶν βαρυτάτων ἁμαρτημάτων οἱ ἔπαρχοι προστιμάτωσαν.

ἐν ᾗ φησι τοῦ μὴ ἐκποιεῖσθαι ἢ ὑποτίθεσθαι τὰ ἀκίνητα τῆς προικὸς ἢ τῆς πρὸ γάμου δωρεᾶς.

---

[1] Lips. ὑπόθεσιν. [2] Leuncl. μεμετρημένως. [3] Leuncl. κεφ. ιε' καὶ ιϛ' θέμ. β'.

2. Οἱ δὲ ἔμπρακτοι τῶν ἐπαρχιῶν ἄρχοντες μέχρι δύο οὐγκιῶν προστιμάτωσαν. οἱ δὲ ἀνθύπατοι καὶ ὁ κόμης τῆς ἀνατολῆς καὶ ὁ αὐγουστάλιος ἄχρις ἓξ οὐγκιῶν· οἱ δὲ λοιποὶ περίβλεπτοι ἄρχοντες καὶ οἱ ἐν τάξει τῶν ἐπάρχων ὄντες μέχρι τριῶν οὐγκιῶν προστιμάτωσαν. ταῦτα πάντα τὰ πρόστιμα τῷ ταμείῳ προσκυρούσθωσαν, εἰ μὴ ἔτυχον εἰς δημόσιον ἔργον ἢ εἰς τὸν δρόμον ἢ εἰς ἀναγκαίαν ἑτέραν ἀφορισθέντα χρείαν.

3. Ἐν δὲ τῷ δ' κεφ. Οὐ δύναταί τις πλέον τοῦ τρίτου προστιμῆσαι τῷ αὐτῷ κατὰ τὸν αὐτὸν ἐνιαυτόν· ἐπείτοιγε τὸ προστιμηθὲν μὲν τῷ δημοσίῳ, τὸ δὲ διπλάσιον ἀναδώσει τῷ προστεθέντι[1], σωζομένης δηλονότι τῆς τετυπωμένης τιμωρίας κατὰ τῶν τὰ μείζονα πταιόντων, οἷον ἱεροσυλίαν, ἁρπαγὴν μετὰ βίας, διασεισμὸν, κλοπὴν καὶ εἴ τι τοιοῦτον.

4. Ἀνάγν. καὶ βι. κγ' τί. γ' κεφ. θ'[2] καὶ νη', ἐν ᾧ φησιν· Οὐ δύναταί τις πρόστιμον ἐπερωτᾷν ὑπὲρ τὴν τῶν νομίμων τόκων ποσότητα.

XXXIII.

Περὶ τῶν προσφευγόντων τῇ ἁγίᾳ ἐκκλησίᾳ δούλων τε καὶ ἐλευθέρων, καὶ τίνες μὲν αὐτῶν ἐκδικοῦνται, τίνες δὲ αὐτῶν οὐκ ἔχουσιν ἀθώωσιν.

1. Ἀνάγν. βι. ε' τί. α' κεφ. ια', ἐν ᾧ φησι· Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες τοῖς ἐνδοτέροις λουτροῖς ἢ κήποις ἢ οἰκήμασι χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ἐσθίειν καὶ πίνειν ἢ ὑπνοῦν. ὅπλοις δὲ ἑαυτοὺς μὴ ἀσφαλιζέσθωσαν, ἀλλ' ἀποτιθέσθωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ, ἢ πειθόμενοι πρῶτον, ἢ μετὰ ταῦτα ἐκβαλλόμενοι.

2. Μεθ' ὅπλων ὁ οἰκέτης προσφυγὼν εὐθὺς ἐκβαλλέσθω. ἀνθιστάμενος δὲ μείζονι βιαζέσθω δυνάμει· κἂν μαχόμενος τελευτήσῃ, ἀνεύθυνος ἔσται ὁ ἐπελθὼν δεσπότης.

3. Ἀνάγν. καὶ βι. ς' τί. γ' κεφ. ιζ' θέμ. δ', ἐν ᾧ φησιν· Οὔτε ἀνδροφόνοις οὔτε μοιχοῖς οὔτε παρθένων ἅρπαξιν ἁμαρτάνουσι τὴν ἐκ τῶν ὅρων φυλάξεις[a] ἀσφάλειαν, ἀλλὰ κἀκεῖθεν ἐξελκύσεις καὶ τιμωρίαν αὐτοῖς ἐπάξεις. οὐ γὰρ τῶν τὰ τοιαῦτα

[a] Ὁ λόγος ἀποτείνεται πρὸς ὃν ἐγράφησαν αἱ νεαραί, ὃς ἔπαρχος εἶναι λέγεται Ἰωάννης καλούμενος.

[1] Leuncl. conj. προστιμηθέντι. [2] Leuncl. ιθ'.

ἁμαρτανόντων φείδεσθαι προσήκει, ἀλλὰ τῶν περιόντων, ἵνα μὴ τοιαῦτα ὑπὸ τῶν τολμηροτέρων πάσχοιεν. ἄλλως τε ἡ ἐκ τῶν ἱερῶν ἀσφάλεια οὐ τοῖς ἀδικοῦσιν, ἀλλὰ τοῖς ἀδικουμένοις δέδοται παρὰ τοῦ νόμου. καὶ οὐκ ἂν εἴη δυνατὸν ἑκάτερον ἰσχυρίζεσθαι τῇ παρὰ τῶν ἀσύλων τόπων ἀσφαλείᾳ, καὶ τὸν ἀδικοῦντα καὶ τὸν ἀδικούμενον.

4. Ἀνάγν. καὶ βι. ιθ' τί. ζ' κεφ. ι', ἐν ᾧ φησι· Τοὺς καταφεύγοντας οἰκέτας εἰς σεβασμίους οἴκους καὶ δίκαια αἰτοῦντας οὐ χρὴ περιορᾶν, ἀλλ' εἴπερ διαγνώσεως γενομένης εὑρέθησαν οἱ δεσπόται ἢ ἀμέτρως αὐτοὺς βασανίζοντες ἢ λιμοκτονοῦντες ἢ εἰς πρᾶξιν αἰσχρὰν ἕλκοντες, ἐκ τούτων διαπιπράσκειν αὐτοὺς ἀναγκάζεσθαι πρὸς τὸ μηκέτι ὑποστρέφειν εἰς τὴν ἑαυτῶν δεσποτείαν. ἀλλὰ καὶ τὴν πρᾶσιν καλῇ αἱρέσει ποιεῖν, ὥστε μὴ διά τινων σεσοφισμένων αἱρέσεων καὶ μετὰ τὴν ἐκποίησιν αὐτοὺς κακοποιεῖν, ἢ ἐν δεσμοῖς εἶναι συμφωνοῦντας ἢ ἐπὶ τῷ οἰκεῖν ἐν χώρᾳ βαρυτάτους ἐχούσῃ τοὺς ἀέρας.

5. Ἀνάγν. καὶ βι. ξ' τί. με'[1] κεφ. ιζ', ἐν ᾧ φησιν· Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγίαν ἐκκλησίαν ἰδίᾳ αὐθεντίᾳ ἀποσπάσας τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

XXXIV.

Περὶ τῶν προσφευγόντων εἰς προστασίαν τινῶν δυνατῶν.

1. Ἀνάγν. βι. ζ' τί. θ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἡ διάταξις λέγει, τὸν μὲν προσφεύγοντα προσώποις δυνατοῖς εἰς προστασίαν δίκης ἕνεκεν ἐκπίπτειν τῆς δίκης· τὸν δὲ δεχόμενον εἰς προστασίαν τινά, κἂν συγκλητικός ἐστιν, ἔξω τῶν διατεταγμένων τιμωρεῖσθαι· παρακελευομέν[η] τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν, ταύτην τὴν νομοθεσίαν φυλάττειν ἀπαρεγχείρητον.

2. Ἐν δὲ τῷ β' κεφ. Ἐάν τις ἐν τῷ δανείζειν ἢ ἄλλως πως συναλλάγματα ποιεῖν παραιτεῖται μὲν τὸ εἰς οἰκεῖον ὄνομα λαβεῖν ἀσφάλειαν ἤτοι γραμματεῖον ἢ ἄλλο συμβόλαιον, εἰς ὄνομα δὲ δυνατοῦ προσώπου παρασκευάζει γίνεσθαι τὸ γραμματεῖον, κελεύει ἡ διάταξις ἐκπίπτειν τοῦ τοιούτου χρέους τὸν τοῦτο πεποιηκότα.

3. Ἀνάγν. καὶ τί. ι', ἐν ᾳ φησι· Πολλάκις τινὲς περὶ δι-

---

[1] Lips. μβ'.

καίων αἰτιῶν ἐναγόμενοι καὶ μηδαμόθεν ἐλπίζοντες τὸ νικᾷν καταπτοοῦσι τοὺς ἐνάγοντας δυνατῶν [τινων] προσώπων ὀνόματα προφέροντες, καὶ τίτλους ὀνόματι τούτων τῶν δυνατῶν ἐπιτιθέασι τοῖς πράγμασι περὶ ὧν ἐνάγονται, ἢ ἐπιφημίζουσιν ὅτι τῷδε τῷ δυνατῷ προσώπῳ διαφέρει τὸ πρᾶγμα. κελεύει ἡ διάταξις, εἰ μὲν εἰδότος τοῦ δυνατοῦ προσώπου ταῦτα γίνεται ὀνόματι αὐτοῦ καὶ ἐφησυχάζει, ἀτιμοῦσθαι αὐτόν. ἐὰν δὲ ἀγνοοῦντος τοῦ δυνατοῦ προσώπου ἐπιφημίζῃ ὁ ἐναγόμενος ὀνόματι αὐτοῦ τινα ἢ καὶ τοὺς τίτλους ἐπιτίθησι τοῖς πράγμασι, κελεύει αὐτὸν τὸν ἐναγόμενον τιμωρεῖσθαι ὡς καὶ αὐτὸ τὸ δυνατὸν πρόσωπον λοιδοροῦντα. τῆς δὲ τιμωρίας τὸ εἶδος, ἵνα μολίβδῳ πανταχόθεν περισφιγγόμενος τουτέστι κλοιοφορῶν ἢ πλουβατιζόμενος[a] διηνεκῶς εἰς τὸ μέταλλον ἐκπέμπηται.

Πρὸς τούτοις δὲ νομοθετεῖ ἡ διάταξις πάντα ἐναγόμενον περὶ ὧν νέμεται πραγμάτων, καὶ δεχόμενον τὸ περὶ ὧν νέμεται βιβλίον, ἐὰν ἐν τοῖς ἀντιῤῥήτοις λιβέλλοις ὄνομά τινος τῶν δυνατῶν ἐνθήσῃ, παραχρῆμα τῆς κτήσεως αὐτὸν καὶ τῆς διοικήσεως ἐκπίπτειν· καὶ μηδὲ δύνασθαι αὐτὸν ἐπαναλαμβάνειν τοῦτο τὸ πρᾶγμα, εἰ καὶ δικαίας ἔχει τινὰς ἐπὶ τῷ πράγματι τούτῳ δικαιολογίας. τὸ δὲ δυνατὸν πρόσωπον ἀνεχόμενον ταῖς ἀλλοτρίαις δίκαις τὴν οἰκείαν ἐκτίθεσθαι προσηγορίαν, μήτε τῆς τῶν πραγμάτων δεσποτείας μήτε τῆς νομῆς ἀνηκούσης αὐτῷ, ὡς ἐργολάβον τῆς συκοφαντίας καὶ ὡς τῆς οἰκείας ἐπιτιμίας μὴ φειδόμενον ἀτιμοῦσθαι νομοθετεῖ.

4. Ἀνάγν. καὶ τί. ια', ἐν ᾧ φησι περὶ τῶν τίτλους ἐπιτιθέναι κατατολμώντων ἢ σφραγῖδας, καὶ τοῦ μηδὲ παρὰ τῶν τὰ δημόσια διοικούντων δίδοσθαί τινι προστασίαν προφάσει τοῦ κατάχρεων αὐτὸν εἶναι τῷ δημοσίῳ.

5. Ἀνάγν. καὶ βι. ι' τί. λζ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ἐπίτηδες ἀνθ' ἑαυτοῦ ἐπὶ βλάβῃ μου καταστήσας μοι ἄλλον ἀντίδικον, τυχὸν δυνάστην ἢ ἐξ ἑτέρας ἐπαρχίας, ἐνέχεταί μοι τῇ ἰμφακτοὺμ[b] εἰς τὸ διαφέρον·

6. Ἢ τὸν μέλλοντά με σκύλλειν.

7. Καὶ γὰρ ἐνάγων τῷ ἐξ ἑτέρας ἐπαρχίας ἀναγκάζομαι ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ ἐνάγειν.

8. Ἐν δὲ τῷ δ' κεφ. Οὐ μόνον εἰ δεσποτείαν, ἀλλ' εἰ καὶ

---

[a] Πλουβατίζειν λέγεται τὸ μολίβδινον κλοιὸν περιτιθέναι. βαρύτερος γὰρ ὁ μόλιβδος τοῦ σιδήρου. μολιβδίνους οὖν κλοίους ἐπετίθουν τοῖς τοὺς τίτλους ἐπιτιθεῖσιν.

[b] Ἤγουν ἀγωγῇ τῇ ἀπαιτούσῃ ἐντὸς μὲν ἐνιαυτοῦ τὸ διπλοῦν, μετὰ δὲ ἐνιαυτὸν τὸ ἁπλοῦν.

νομὴν τις μετάγει[1], χώρα τῇ ἰμφακτοὺμ[c], ὡς ἐπὶ αὐτῷ τῷ πράγματι ἀγωγῆς.

Οὐκ ἐνέχεται ὁ διὰ νόσον ἢ γῆρας μεταφέρων ἢ ἀσχολίαν ἀναγκαίαν· ἐπειδὴ κωλυθήσεταί τις καὶ διὰ τοῦ ὡς ἐν ἰδίῳ πράγματι ἐντολέως δικάζεσθαι.

9. Ἐν δὲ τῷ ς' κεφ. Ἡ παροῦσα ἀγωγὴ οὐκ ἔστι ποιναλία, ἀλλὰ πράγματος ἀπαίτησιν ἔχει, καὶ δίδοται κληρονόμοις. κατὰ κληρονόμων δὲ ἢ τῶν ὁμοίων ἢ μετ᾽ ἐνιαυτὸν [οὐ] δίδοται.

10. Ἀνάγν. καὶ βι. νς' τί. ιγ', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐάν τις πρὸς περιγραφὴν τῶν δημοσίων καταφύγῃ εἰς προστασίαν τινὸς, προσχήματι δωρεᾶς ἢ πράσεως ἢ μισθώσεως, μὴ ἐῤῥώσθω τὸ γεγονὸς, καὶ τῶν συμβολαιογράφων τῶν ταῦτα [συν-]τελούντων δημεύσει ὑποκειμένων, καὶ τῆς κώμης τῆς τοῦτο ποιούσης δημευομένης. ὁ δὲ ὑποδεξάμενος, εἰ μὲν εὐπορεῖ, λίτρας ἑκατὸν παρεχέτω· εἰ δὲ ἀπορεῖ, δημευέσθω· τῇ αἰτῇ ποινῇ ὑποκειμένων καὶ τῶν συνεργησάντων τῷ πράγματι.

11. [Ἐν δὲ τῷ β' κεφ.] Μηδεὶς κωμήταις προστασίαν ὑπισχνείσθω, μηδὲ δεχέσθω γεωργοὺς ἐπὶ τούτῳ ὑπόσχεσιν προσόδων ἢ ἕτερον κέρδος λαμβάνων. εἰ δέ τις παραβαίῃ ταῦτα, καὶ τοῖς προειρημένοις ἐπιτιμίοις ὑποπεσεῖται, καὶ ἑτέρᾳ μείζονι πειρασθήσεται κινήσει.

XXXV.

Περὶ προτιμήσεως τῶν πιπρασκομένων παρὰ μητροκωμητῶν.

1. Ἀνάγν. βι. νε' τί. ε' κεφ. α', ἐν ᾧ φησιν· Ἐὰν μητροκωμήτης ἐκποιῆσαι θελήσῃ πρᾶγμα, μηδενὶ ἐξωτικῷ ἐκποιείτω αὐτὸ, ἀλλὰ τῆς αὐτῆς κώμης. ἐπεὶ ἀνίσχυρον ἔσται τὸ πραττόμενον, καὶ οὐδὲν ὠφελήσει ὁ ἀγοραστὴς, εἰ μὴ ἄρα εἰς τὸ λαβεῖν ἅπερ δέδωκε[a].

---

[c] Ἡ ἁρμόζουσα κατὰ ναυκλήρων, ὅταν κλέψῃ ναύτης πρᾶγμα ἐπιβάτου· ἔχει δὲ ποινὴν εἰς τὸ διπλοῦν. ἡ αὐτὴ ἀγωγὴ ἁρμόζει καὶ διὰ τὸ ῥιφὲν ἢ ἐκχυθὲν ἀπὸ οἴκου, καὶ εἰς τὸ διπλοῦν ζημιοῖ.

[a] Περὶ προτιμήσεως ἀνακοί[νωσιν] ἐχόντων ἐν τῷ τίτλῳ περὶ δημοσίου χρέους καὶ προικῴου καὶ ἰδιωτικοῦ. περὶ προτιμήσεως δὲ δανειστῶν εὑρήσεις ἐν τῷ περὶ χρέους ἀπαιτήσεως.

---

[1] Leuncl. μεταγάγῃ.

XXXVI.

Περὶ τῶν προσποριζομένων ἡμῖν.

1. Ἀνάγν. βι. ις' τί. θ'[1] κεφ. ιβ', ἐν ᾧ φησι· Δι' ἐλευθέρου προσώπου αὐτεξουσίου νομὴ μόνη προσπορίζεται ἡμῖν. ἐὰν οὖν ὁ ἡμέτερος προκουράτωρ ὀνόματι ἡμῶν ἐναχθῇ τῇ περὶ πράγματος ἀγωγῇ, καὶ ἡττηθῇ καὶ συμφωνήσῃ πρὸς τὸν ἀγοραστὴν ἄνωθεν περὶ τούτου τοῦ πράγματος δικάσασθαι, καὶ ἐπερωτήσῃ αὐτὸν, οὐδὲν προσπορίζει τῷ δεσπότῃ τῶν πραγμάτων. εἰ μέντοιγε δούλοις ἡμῶν παραδοθῇ πρᾶγμα, προσπορίζεται ἡμῖν ἡ δεσποτεία.

2. Καὶ κεφ. ιγ'· Ὁ ἐπίκοινος οἰκέτης πάντα[2] προσπορίζει πρὸς τὰ τῆς δεσποτείας μέρη, ὑπεξῃρημένων ἐκείνων, ὅσα κατὰ κέλευσιν ἑνὸς τῶν δεσποτῶν ἐπερωτᾷ.

3. Ἀνάγν. καὶ βι. με' τί. δ', περὶ οὗ εἴρηται καὶ ἐν τῷ περὶ κληρονόμων[a].

XXXVII.

Περὶ προχρονισμοῦ.

1. Ἀνάγν. βι. κβ' τί. α' κεφ. λ', ἐν ᾧ φησιν· Εἰ καὶ μὴ χρὴ γίνεσθαι προχρονισμὸν, ὅμως ὅσον πρὸς τοὺς ἐκ συναινέσεως τοῦτο ποιήσαντας οὐχ ἁρμόζει τὸ τοῦ πλαστοῦ ἔγκλημα. μᾶλλον γὰρ ὁ χρεώστης ἤπερ ὁ δανειστὴς ἥμαρτεν.

2. Ἀνάγν. βι. ξ' τί. μα' κεφ. κη', ἐν ᾧ φησι· Προχρονίζων τὴν ἡμέραν τῶν ἐνεχύρων ὁ δανειστὴς ὑπόκειται τῷ πλαστῷ.

Ἀρχὴ τοῦ Ρ στοιχείου.

I.

Περὶ ῥημάτων σημασίας.

1. Ἀνάγν. βι. β' τί. β', οὗτινος ἐν τῷ η' κεφ. φησί· Τῆς ἀγωγῆς τὸ ὄνομα οὐ δηλοῖ τὴν παραγραφήν[a].

---

[a] Περὶ προσπορισμοῦ τῶν παίδων εὑρήσεις ἐν τῷ περὶ κληρονομίας.
[a] Ἀγωγὴ ἔγκλησίς ἐστιν, ἡ δὲ παραγραφὴ ἐγκλήσεως ἐκβολή. οἷον ἐχρε-

[1] Lips. ιθ'. [2] Lips. et Leuncl. πάντας.

2. Ἐν δὲ τῷ κζ' κεφ. Ἀγρὸς λέγεται ὁ χωρὶς τῆς κώμης ἤτοι τῶν οἰκημάτων τόπος.

3. Ἐν δὲ τῷ ξδ' κεφ. Ἀδιάθετός ἐστιν οὐ μόνον ὁ μὴ διαθέμενος, ἀλλὰ καὶ ὁ μὴ κληρονομούμενος ἐκ διαθήκης.

4. Ἐν δὲ τῷ σμ' κεφ. Ἄδβαινα λέγεται ὁ ἄποικος.

5. Ἐν δὲ τῷ ριβ' κεφ. Αἰγιαλός ἐστι, μέχρις οὗ τὸ μέγιστον τῆς θαλάσσης ἐκτρέχει κῦμα.

6. Ἐν δὲ τῷ σλγ' κεφ. Ἀκόντιον λέγεται οὐ μόνον τὸ ἀπὸ τόξου, ἀλλὰ καὶ τὸ ὁπωσοῦν βαλλόμενον.

7. Ἐν δὲ τῷ σλϛ' κεφ. Τῷ ὀνόματι τῶν ἀκροδρύων πάντες[1] οἱ καρποὶ δηλοῦνται.

8. Ἐν δὲ τῷ σμα' κεφ. Ἀκάρδιος καὶ ἄνυσσος λέγεται ὁ μὴ ἔχων καρδίαν ἢ ὑγείαν.

9. Ἐν δὲ τῷ ϥε'[2] κεφ. Τὸ ἀναδοῦναι καὶ τὴν δόσιν δηλοῖ.

10. Ἐν δὲ τῷ ρλγ' κεφ. Οὐ λέγεται γεννῆσαι ἡ ἀνατμηθεῖσα.

11. Ἐν δὲ τῷ ρμβ'[3] κεφ. Δοκεῖ γυνὴ υἱὸν ἔχειν ἐν τῷ τελευτᾷν, ἧς ἀνατμηθείσης ἐξῆλθε τὸ βρέφος.

12. Ἐν δὲ τῷ ρμε' κεφ. Τῇ τοῦ ἀναλογοῦντος μέρους προσηγορίᾳ ἐσθ' ὅτε καὶ ἡ πᾶσα κληρονομία δηλοῦται.

13. Ἐν δὲ τῷ ρνγ'[4] κεφ. Τῇ τοῦ ἀνθρώπου προσηγορίᾳ καὶ ἀνὴρ καὶ γυνὴ δηλοῦται.

14. Ἐν δὲ τῷ θ' κεφ. Τῷ ῥήματι τοῦ ἀπολέσθαι καὶ τὸ σχισθὲν καὶ τὸ κλασθὲν καὶ τὸ βίᾳ ἁρπαγὲν δηλοῦται.

15. Ἐν δὲ τῷ ιγ' κεφ. Πράγματα ἀπεῖναι δοκεῖ καὶ ταῦτα, ὧν τὸ μὲν σῶμα μένει, ἡ δὲ μορφὴ ἐνήλλακται. διά τοι τοῦτο ἐὰν διεφθαρότα ἀποδοθῇ ἢ μεταπλασθέντα, δοκεῖ ἀπεῖναι.

16. Ἐν δὲ τῷ ρϥη' κεφ. Ἄπεστιν ὁ μὴ παρὼν ἔνθα ἀπαιτεῖται, καὶ ὁ μὴ περιὼν ἐν τῇ περιοικίδι.

17. Ἐν δὲ τῷ λε' κεφ. Ἐκεῖνος ἀποκαθιστᾷ ὁ διδοὺς οὕτω τῷ ἐνάγοντι, ὡς ἔμελλεν ἔχειν αὐτὸ ἐν καιρῷ προκατάρξεως.

18. Ἐν δὲ τῷ οε' κεφ. Ἀποκαθιστᾷν δοκεῖ ὁ διδοὺς τῷ ἐνάγοντι, ὅπερ ἤμελλεν ἔχειν μὴ δικασάμενος.

ὤστουν μὲν, ἀλλὰ διὰ μακροῦ χρόνου διελύθην. ὁ κανὼν οὗτος παραγραφή ἐστι τοῦ νόμου τοῦ λέγοντος· ἐν ταῖς παραγραφαῖς ὁ ἐναγόμενος ἐνάγων ἐστὶ καὶ βαρεῖται ταῖς ἀποδείξεσι. λέγει οὖν εἰ καὶ ἐνάγων δοκεῖ ὁ παραγραψάμενος, ἀλλὰ τὸ παρ' αὐτοῦ προτεινόμενον οὐκ ἔστιν ἀγωγὴ, ἀλλὰ παραγραφή. ἀγωγὴ μέν ἐστιν ἡ οἴκοθεν λαβοῦσα τὴν πρότασιν· παραγραφὴ δὲ ἡ ἀπὸ τῆς ἐναγωγῆς.

---

[1] Leuncl. ὁμοίως πάντες. [2] Leuncl. ϥθ'. [3] Idem ρμα'. [4] Idem ρνβ'.

19. Ἐν δὲ τῷ πε΄ [1] κεφ. Ὅτε διαλαλεῖται ἀποκαταστῆναι κτίσμα, καὶ τὴν συμβᾶσαν ζημίαν λαμβάνει ὁ ἐνάγων. τῷ γὰρ ῥήματι τῆς ἀποκαταστάσεως ἡ χρησιμότης τοῦ ἐνάγοντος περιέχεται.

20. Ἐν δὲ τῷ σμε΄ κεφ. Ἀποκαθιστᾷν δοκεῖ ὁ μὴ μόνον τὸ σῶμα τὸ ζητούμενον, ἀλλὰ καὶ ὅλην τὴν τοῦ σώματος αἰτίαν καὶ τύχην διδούς. πᾶσα γὰρ ἀποκατάστασις οὐ μόνον τοῦ σώματος, ἀλλὰ καὶ τοῦ δικαίου ἐστίν [b].

21. Ἐν δὲ τῷ πθ΄ κεφ. Διαφέρει ἀποδοῦναι λόγους τοῦ ἐκδοῦναι. ὁ γὰρ κελευσθεὶς ἐκδοῦναι οὐ δίδωσι τὰ λοιπαζόμενα [c].

22. Ἐν δὲ τῷ ϛρβ΄ κεφ. Ἀπομειοῦται νόμον τὶ ἢ ἀποδαπανᾶται· ἀπομειοῦται, ὅταν μέρος ἀφαιρεῖται· ἀποδαπανᾶται, ὅταν παντελῶς ὁ νόμος ἀναιρεῖται [d].

23. Ἐν δὲ τῷ ρε΄ κεφ. Τὸ εἰπεῖν, τοὺς ἀπελευθέρους μου, οὐ δηλοῖ καὶ τοὺς τῶν ἀπελευθέρων [ἀπ]ελευθέρους.

---

b Ὁ γὰρ δοῦλον ὀφείλων ἀποκαταστῆσαι οὐ μόνον αὐτὸ τὸ σῶμα τουτέστι τὸν δοῦλον χρεωστεῖ ἀποκαταστῆναι, ἀλλὰ καὶ τὴν αἰτίαν τουτέστι τὰς αὐτοῦ δουλείας, καὶ τὴν τύχην τουτέστι τὸ δοῦλον αὐτὸν εἰσέτι μένειν. ὅπερ καὶ δίκαιον λέγεται τῷ ἐνάγοντι ἁρμόσαι.

c Ἕτερόν ἐστιν ἐκδοῦναι λόγους καὶ ἕτερον ἀποδοῦναι λογισμούς. ὁ γὰρ κελευσθεὶς ἐκδοῦναι τοὺς ἑαυτοῦ λόγους οὐ χρεωστεῖ τὰς ἀπὸ τῶν λόγων λοιπάδας καταβάλλειν. καὶ ὁ τραπεζίτης γὰρ ἀπαιτούμενος τοὺς ἑαυτοῦ λόγους πιστεύεται, εἰ καὶ μήπω κατέβαλε. τοῦτο γὰρ ἐπὶ δούλου λέγει ἁμαρτήσαντος. εἰ γὰρ κατ᾽ ἐντολήν μου ἥμαρτεν, ἐνάγομαι τοῦ ἀποδοῦναι λόγους, καὶ ἱκανῶσαι τὴν τοῦ ἁμαρτήσαντος ζημίαν· εἰ δὲ οἴκοθεν ἐνάγομαι βουλόμενος ἱκανῶσαι, εἰς τὸ ἐκδοῦναι μόνον.

d Ὅτε μέρος κεφαλαίου εἰπὼν τὸ ἑξῆς ὑποκρατήσω, τότε ἀπομειῶ. ὡς ὅταν κρινόμενός τις ὡς κακοθελεῖ γνώμῃ κλέψαι τινὶ συμβουλεύσας εἴπῃ, μὴ ἐνέχεσθαι αὐτὸν προθεὶς τὸ τοῦ νόμου κεφάλαιον ἐκ μέρους καὶ εἰπὼν, ὁ σπουδάσας ἐπὶ τῆς κλοπῆς οὐκ ἀδικεῖται, μὴ προσθεὶς τὸ, εἰ μὴ κακοθελῆ γνώμην ἔσχεν. ἀποδαπανᾶται δὲ, ὅτε τελείως διαστρέψω κεφάλαιον καὶ εἴπω ἐν ταῖς καταθέσεσι δύο ἢ τριῶν χρεία μαρτύρων, τοῦ νόμου πέντε διακελευομένου. λέγει δὲ, ὅτι ταῖς αὐταῖς ποιναῖς ὑπόκεινται ἀμφότεροι.

Νόμος γάρ ἐστιν ὁ λέγων, τὸν συμβουλευσάμενον τῷ κλέπτῃ εἶναι ἀνεύθυνον, εἰ μὴ κατὰ δόλον τὴν συμβουλὴν ἐποίησεν. ὁ γοῦν τῷ ἑνὶ σκέλει τοῦ παρόντος νόμου χρησάμενος, τὸ δ᾽ ἕτερον ὑποκρατήσας, ἀπομειοῖ τὸν νόμον. ἀποδαπανᾷ δὲ τὸν νόμον, ὅταν τελείως διαστρέψω τὸ τοῦ νόμου καὶ εἴπω ἐν ταῖς κα[τα]θέσεσι τοῦ χρέους χρείαν εἶναι β΄ ἢ γ΄ μαρτύρων, τοῦ νόμου ῥητῶς ε΄ παρακελευομένου.

---

1 Leuncl. πα΄.

24. Ἐν δὲ τῷ ρογ' κεφ. Τῇ προσηγορίᾳ τοῦ ἀπελευθέρου καὶ ἀπελευθέρα δηλοῦται.

25. Ἐν δὲ τῷ ϙγ' κεφ. Τὰ λεγόμενα περὶ ἄῤῥενος ὡς ἐπὶ τὸ πλεῖστον καὶ περὶ θηλείας λέγεται.

26. Ἐν δὲ τῷ ϛζ' κεφ. Ἀστικὰ κτήματα τὰ οἰκήματα δεχόμεθα οὐ μόνον τὰ ἐν πόλει ὄντα, ἀλλὰ καὶ εἰ τυχὸν σταθμοὶ εἶεν ἢ ἄλλα ἐργαστήρια ἐν ταῖς χώραις καὶ ἐν ταῖς κώμαις· ἢ ἐὰν ἐπαύλια τέρψει[1] μόνον δουλεύοντα· ἐπειδὴ τὸ ἀστικὸν κτῆμα οὐχ ὁ τόπος ποιεῖ, ἀλλ' ἡ ὕλη. ἀμέλει δὲ τοὺς κήπους, οἵτινές εἰσιν ἐν οἰκήμασι καταστάντες, λεκτέον τῇ τῶν ἀστικῶν προσηγορίᾳ περιέχεσθαι. δηλαδὴ δὲ καὶ εἰ τὶ πλέον οἱ κῆποι ἐν προσόδῳ εἰσὶν, ἀμπελικοὶ τυχὸν ἢ λαχανικοὶ ὄντες, μᾶλλον οὔκ εἰσιν ἀστικοί.

27. Ἐν δὲ τῷ κα' κεφ. Ὁ βασιλεὺς παραχωρῶν πράγματα καὶ τὰς ἀγωγὰς παραχωρεῖ.

28. Ἐν δὲ τῷ ρλϛ' κεφ. Τῷ ὀνόματι τῆς βαλάνου πάντες οἱ καρποὶ δηλοῦνται.

29. Ἐν δὲ τῷ ρλα' κεφ. Ἕτερόν ἐστι βλάβος καὶ ἕτερον ποινή. βλάβος μὲν γὰρ δίχα ποινῆς δύναται εἶναι· ποινὴ δὲ δίχα βλάβους οὐ δύναται.

Ποινή ἐστιν ἁμαρτήματος ἐκδίκησις· βλάβος δὲ καὶ τὸ ἁμάρτημα λέγεται, καὶ ὡσανεὶ ποινῆς προπαρασκευή τις.

30. [Ἐν δὲ τῷ πθ' κεφ. Οἱ βόες τῶν βουκολίων εἰσὶ μᾶλλον ἢ τῶν ὑποζυγίων.]

31. Ἐν δὲ τῷ ρνη' κεφ. Τὰ τοῦ αὐτοῦ γένους ὄντα δυνατὸν καὶ πολλὰ ὄντα ἑνικῶς ἐκφωνεῖσθαι. ὡς ὅταν λέγωμεν, πολὺς ἄνθρωπος, πολὺς ἰχθύς· ἢ ὅτε ἐμοὶ καὶ τῷ κληρονόμῳ μου ἐπερωτήσω· καὶ οἱ πολλοὶ γὰρ περιέχονται.

32. Ἐν δὲ τῷ ϙθ' κεφ. Γνῶσιν νοεῖν δυνάμεθα καὶ τὴν διάγνωσιν καὶ τὴν δικαιοδοσίαν.

33. Ἐν δὲ τῷ να' κεφ. Τῇ τοῦ γονέως προσηγορίᾳ πάντες οἱ ἀνιόντες ἄῤῥενες καὶ θήλειαι δηλοῦνται.

34. Ἐν δὲ τῷ δ' κεφ. Τῷ ὀνόματι τοῦ γραμματείου τὸ κεχρεωστημένον πρᾶγμα σημαίνεται.

35. Ἐν δὲ τῷ ϛ' κεφ. Ἡ τοῦ γραμματείου καὶ τοῦ πράγματος προσηγορία εἰς πᾶν συνάλλαγμα καὶ ἐνοχὴν ὁρᾷ.

36. Ἐν δὲ τῷ ιγ' κεφ. Τῷ ὀνόματι τῆς γυναικὸς καὶ ἡ ἔφηβος παρθένος δηλοῦται.

---

[1] Lips. τέρψιν.

37. Ἐν δὲ τῷ ι' κεφ. Δανειστής ἐστιν ὁ ἐξ οἱασοῦν αἰτίας[e] χωρὶς διηνεκοῦς παραγραφῆς χρεωστούμενος. οὐ γὰρ μόνοι οἱ δανείσαντες δανεισταὶ λέγονται, ἀλλὰ καὶ πάντες οἱ ἀπὸ συναλλάγματος ἢ ἁμαρτήματος χρεωστούμενοι. καὶ ἀπὸ ὀρφανικῆς ἀγωγῆς μετὰ προκάταρξιν[f], οὐ μὴν πρὶν ἢ προκατάρξεται. Ἐν δὲ τῷ νδ' καὶ νε' ὁμοίως φησὶ περὶ δανειστῶν.

38. Ἐν δὲ τῷ οθ'[1] κεφ. Χρησίμους δὲ δαπάνας ἤρεσεν εἶναι τὰς βελτίω ποιούσας τὴν προῖκα, οὐ μὴν συγχωρούσας εἶναι αὐτὴν χείρω· ἐξ ὧν πρόσοδος τῇ γυναικὶ προσπορίζεται. οἷον ὡς ἐπὶ τῆς τοῦ ἄλσους φιλοκαλίας, περὶ οὗ ἐπάναγκες ἦν, ὁμοίως καὶ ἐπὶ τῆς διδαχῆς [τῶν] παίδων[g], ὧν ἕνεκα βαρύνεσθαι τὴν γυναῖκα ἀγνοοῦσαν ἢ ἄκουσαν οὐ χρή, ἵνα μὴ ἀναγκασθῇ τοῦ ἀγροῦ ἢ τῶν ἀνδραπόδων στερεῖσθαι. ἐπιτερπεῖς δὲ δαπάναι εἰσὶν αἱ τὸ εἶδος μόνον κοσμοῦσαι, οὐ μὴν καὶ τὸν καρπὸν αὔξουσαι, ὥς ἐστι τὰ χλοηφόρα γήδια[h], καὶ τὰ ἀναβρυτὰ ὕδατα, καὶ αἱ μαρμαρώσεις, καὶ αἱ λωρικατίονες, καὶ αἱ ζωγραφίαι[i].

39. Ἐν δὲ τῷ σις' κεφ. Ὁ ψιλῶς ὢν ἐν φυλακῇ οὐ δοκεῖ δεδέσθαι.

40. Ἐν δὲ τῷ σκγ'[2] κεφ. Δεσμὰ λέγεται καὶ τὰ ἰδιωτικὰ καὶ τὰ δημόσια. φυλακὴ δὲ μόνη ἡ δημοσία.

41. Ἐν δὲ τῷ λθ' κεφ. Διαμαρτύρασθαί ἐστι τὸ παραγγεῖλαι τῷ ἀπολιμπανομένῳ.

42. Ἐν δὲ τῷ σλη' κεφ. Διαμαρτύρασθαί ἐστι τὸ ἐπὶ μαρτύρων παραγγεῖλαι[k].

43. Ἐν δὲ τῷ νς' κεφ. Γινώσκειν δικαιώματά ἐστιν ἀναγινώσκειν καὶ καταγινώσκειν[3].

---

e Πράσεως τυχὸν, μισθώσεως καὶ τῶν τοιούτων. τηνικαῦτα γὰρ οὐδὲ δανειστὴς ὁπωσδήποτε λέγεται ὁ τῇ διηνεκεῖ παραγραφῇ ἀποκλειόμενος.

f Οἱ γὰρ ἐπίτροποι μετὰ προκάταρξιν γίνονται κύριοι τῆς ὀρφανικῆς δίκης, οὐ μὴν πρὸ τῆς προκατάρξεως.

g Τῶν δούλων· δηλαδή.

h Αἱ κρινίαι τε καὶ αἱ ῥοδωνιαί.

i Αἱ χαρτώσεις.

k Οἷον ὁ ὀφείλων διαμαρτύρασθαί τινα νεμόμενον τὸ αὐτοῦ πρᾶγμα καλῇ πίστει διὰ μαρτύρων ὀφείλει τοῦτο ποιῆσαι ἢ διὰ δικαστοῦ. ὡς βι. νη' τί. ιδ' κεφ. πγ'. τὸ γὰρ δι' ἑαυτοῦ παραγγεῖλαι οὐδέν ἐστι. καὶ δεῖ διὰ δικαστικῆς παραγγελίας καὶ ἐκμαρτυρίου. κεφ. σλη' θέμ. β'. τῷ γὰρ μὴ μετὰ μαρτύρων ὑπομνησθέντι ὁ χρόνος οὐ τρέχει, διὰ τὸν κάνονα τὸν λέγοντα, τὰ εἰς περιγραφὴν νόμου γεγονότα ἀντὶ μὴ γεγονότων ἐστίν.

---

1 Lips. σθ'. 2 Leuncl. σκδ'. 3 Lips. κατά τινα γιν.

Διαστίζειν δέ ἐστι δικαιώματα, τὸ ἀντεξετάζειν τὰς λήψεις καὶ τὰς δόσεις.

44. Καὶ κεφ. πε'· Τὰ *δικαιώματα* τῶν ἀγρῶν αὐτοὶ οἱ ἀγροί εἰσι, τουτέστιν ἡ καλλονή, ἡ ὑγεία καὶ τὸ μέγεθος.

45. Ἐν δὲ τῷ γθ'· *Δικαιώματά* ἐστι καὶ τὰ πρὸς ἀπόδειξιν τῆς δίκης συμβαλλόμενα πρόσωπα[1].

46. Ἐν δὲ τῷ ρα'· *Διαίσιον* μεταξὺ ἀνδρὸς καὶ γαμετῆς γίνεσθαι λέγεται. *διαζύγιον* δὲ καὶ μνηστῇ πέμπεσθαι δοκεῖ, ὅπερ εἰς πρόσωπον τῆς γαμετῆς οὐκ εὐήθως πίπτει.

47. Ἐν δὲ τῷ ρλη'· Καὶ ἡ *διακατοχὴ* κληρονομία λέγεται.

48. Ἐν δὲ τῷ ρπβ'· Τὸ *διαφέρειν* δηλοῖ καὶ τὰ ὄντα τῆς δεσποτείας ἡμῶν καὶ ἅτινα νεμόμεθα ἢ ἐλπίζομεν κτᾶσθαι ἢ νέμεσθαι.

49. Ἐν δὲ τῷ ιε' κεφ. Ἡ οὐσία τῆς πόλεως καταχρηστικῶς *δημοσία* εἴρηται. μόνα γὰρ ταῦτα δημόσιά ἐστι τὰ τοῦ ῥωμαίου ὄντα δήμου. Καὶ ἐν τῷ ις' κεφ. ὁμοίως περὶ δημοσίων φησί.

50. Ἐν δὲ τῷ σιβ'· *Δόλους*[1] ἐστὶν ἡ σφοδρὰ ἀμέλεια.

51. Ἐν δὲ τῷ ρα' κεφ. *Δούλων* λεγατευομένων καὶ δοῦλαι κεχρεώστηνται.

52. Ἐν δὲ τῷ ρκγ'[2]· Καὶ ὁ ἐν γαστρὶ ὢν δοκεῖ καταλελεῖφθαι ἐν καιρῷ τελευτῆς.

53. Ἐν δὲ τῷ ρξ' κεφ. Οὐ λέγεται ἄνηβος ὁ ἐν γαστρὶ ὤν.

54. Ἐν δὲ τῷ ρνς'[3]· *Ἐγγύτερος* λέγεται καὶ ὁ μόνος ὤν.

55. Ἐν δὲ τῷ ρκβ'· Τὸ ῥῆμα τὸ *εἴη* ἐνίοτε καὶ τὸν παρῳχηκότα δηλοῖ. ὅπερ ἀναγκαῖόν ἐστιν εἰδέναι. καὶ ὅταν κωδίκελλοι οὕτω βεβαιωθῶσιν ἐν διαθήκῃ, ὅπερ ἐν τοῖς κωδικέλλοις γραφὲν εἴη, πότερον τοῦ μέλλοντος χρόνου δήλωσις ἔσται, ἢ καὶ τοῦ ἐνεστῶτος ἢ καὶ τοῦ παρελθόντος, εἴγε προ-

---

[1] Οἱ μάρτυρες. τοῦτο δηλοῖ, ὅτι ἐκεῖνα λέγονται κυρίως δικαιώματα, ἐφ' οἷς δίδοται τοῖς δικαζομένοις προθεσμία πρὸς τὴν τούτων μετακομιδήν. καὶ ὅτε διὰ παρουσίαν προσώπων τῶν δυναμένων ποιῆσαι τὸν δικαστὴν ἐπιστῆναι τῷ πράγματι αἰτεῖται ὑπέρθεσις καὶ προθεσμία. τυχὸν γὰρ ὁ τὸ πρᾶγμα διοικήσας, εἰ καὶ ἐν δουλείᾳ τοῦτο διῴκησεν, ἐπιζητεῖται παρεῖναι, ἢ ἕτερός τις τῷ πράγματι συμβαλλόμενος· δίδοται ἡ προθεσμία. δοκεῖ γὰρ δικαιωμάτων ἕνεκεν ἡ προθεσμία αἰτεῖσθαι. ἢ τοῦτο λέγει, ὅτι ὅταν μέλλῃ τὶς ἀποκομίσαι δικαιώματα ἀπὸ ἄλλης ἐπαρχίας εἰς ἄλλην, ἔχει μῆνας γ' καὶ λέγει, ὅτι τὸ αὐτό ἐστι κἂν μάρτυρας θέλῃ ἀγαγεῖν.

---

[1] Lips. *Δόνουμ.* [2] Leuncl. ρνγ'. [3] Leuncl. ρνε'.

γραφέντας κωδικέλλους τὶς καταλίποι; ἅπερ ἐκ τῆς βουλήσεως τοῦ γράψαντος ἑρμηνευτέον ἐστίν.

56. Ἐν δὲ τῷ σις'· Ὁ λέγων ποιῆσαι εἴσω ἡμερῶν, καὶ μὴ προστιθεὶς πόσων, εἴσω δύο δοκεῖ λέγειν.

57. Ἐν δὲ τῷ κη'· Ἐκποιεῖ πρᾶγμα καὶ ὁ ἀνεχόμενος αὐτὸ ἐκ τῆς χρήσεως δεσποθῆναι, ἢ τῇ ἀχρησίᾳ ἀπόλλων τὰς δουλείας αὐτοῦ. ὁ δὲ μὴ ἐπικτώμενος οὐ δοκεῖ ἐκποιεῖν, ὡς ἐπὶ τοῦ ἀπαγορεύοντος κληρονομίαν ἢ μὴ χρωμένου τῇ καταλειφθείσῃ αὐτῷ ἐπιλογῇ.

58. Ἐν δὲ τῷ ξζ' κεφ. Τὸ πραθὲν καὶ ὂν παρὰ τῷ πράτῃ οὐ λέγεται ἐκποιηθέν, ἀλλὰ πραθέν.

59. Ἐν δὲ τῷ μζ' κεφ. Τὸ τῆς ἐλευθερίας ὄνομα τὴν αὐτὴν δύναμιν ἔχει τῷ τῆς καταβολῆς ὀνόματι[m].

60. Ἐν δὲ τῷ ρλβ'· Ἐνιαυσιαῖος δοκεῖ τελευτᾶν, ὁ ἐν τῇ ὑστέρᾳ τοῦ ἐνιαυτοῦ ἡμέρᾳ τελευτῶν. καὶ ὅτε γὰρ λέγομεν πρὸ δέκα καλανδῶν, ἢ μετὰ δεκάτην τῶν καλανδῶν, οὐ δηλοῦμεν τὴν ἑνδεκάτην ἡμέραν. Καὶ κεφ. ρλε' ὁμοίως φησί.

61. Ἐν δὲ τῷ σλη'· Κυρίως ἐνέχυρον τὸ κινητὸν λέγεται διὰ τὸ ἐν τῇ χειρὶ δίδοσθαι.

62. Ἐν δὲ τῷ ρ'· Ἐπίσημα πρόσωπα λέγεται τὰ τῶν λαμπροτάτων ἀνδρῶν τε καὶ γυναικῶν.

63. Ἐν δὲ τῷ ρπη'· Ἐπαρχιῶταί εἰσιν οἱ τὴν οἴκησιν ἐν ταῖς ἐπαρχίαις ἔχοντες, οὐ μὴν οἱ ἐν αὐταῖς τεχθέντες.

64. Ἐν δὲ τῷ ρξζ'· περὶ ἐργασίμης ὕλης.

65. Ἐν δὲ τῷ ρκγ'· Τὸ ἐστὶ καὶ τὸν ἐνεστῶτα καὶ τὸν παρεληλυθότα σημαίνει, ὥσπερ καὶ τὸ εἴη.

66. Ἐν δὲ τῷ ρπδ'· Εὐτρεπισμένον ἐργαστήριον τὸ καὶ πράγμασι καὶ ἀνθρώποις πρὸς πραγματείαν ἕτοιμον.

67. Ἐν δὲ τῷ ιβ' κεφ. Ἧττον καταβάλλει ὁ βραδύτερον καταβάλλων, καὶ ὁ μηδὲ ὅλως, ὡς ἐν τῷ λδ' κεφ. φησί.

68. Ἐν δὲ τῷ ρκδ'· Τὸ εἰπεῖν τόδε ἢ τόδε ἵνα γένηται, ἢ δοθῇ, οὐ πάντως διαζευκτικόν ἐστιν, ἀλλ' ἔσθ' ὅτε καὶ ὑποδιαζευκτικὸν, καὶ δεῖ τὰ δύο γενέσθαι ἢ δοθῆναι.

69. Ἐν δὲ τῷ ρξδ' κεφ. Τῇ τῶν θυγατέρων προσηγορίᾳ καὶ αἱ κυοφορούμεναι δηλοῦνται.

70. Ἐν δὲ τῷ ξα' κεφ. Τῇ προσηγορίᾳ τῆς ἱκανοδοσίας ἔσθ' ὅτε καὶ ὁμολογία περιέχεται.

---

[m] Οἷον ἐὰν εἴπω ὅτι ἠλευθέρωσα τὸν χρεώστην μου, δοκῶ λέγειν, ὅτι κατέβαλε τὸ χρεός πρὸς ἐμέ. οὐ μὴν ἐὰν παραγνώμην μου διὰ τῆς τοῦ χρόνου παραγραφῆς ἠλευθερώθη.

71. Ἐν δὲ τῷ σμα΄ κεφ. Ἰμμίσσουμ λέγεται ἡ ἐμβαλλομένη τῷ τοίχῳ δοκός.

72. Ἐν δὲ τῷ σλζ΄ κεφ. Ἴγκολά ἐστιν ὁ λεγόμενος πάροικος, ὃς ἀλλαχοῦ ἐν πόλει ἢ ἐν χωρίῳ τὴν οἴκησιν ἐκτήσατο.

73. Ἐν δὲ τῷ ος΄ κεφ. Τὸν καρπὸν ἀντὶ προσόδου καλεῖσθαι ἤρεσεν, οὐ μόνον τὸν ἀπὸ πυρῶν ἢ ὀσπρίων, ἀλλὰ καὶ τὸν ἀπὸ οἴνου ἢ ὑλῶν τεμνομένων.

74. Ἐν δὲ τῷ ρθ΄ κεφ. Καλῇ πίστει ἀγοραστὴς εἶναι δοκεῖ ὁ ἀγνοήσας τοῦτο τὸ πρᾶγμα ἀλλότριον εἶναι, ἢ νομίσας τὸν πωλήσαντα δίκαιον ἔχειν τοῦ πωλεῖν, οἷον φροντιστὴν ἢ ἐπίτροπον εἶναι.

75. Ἐν δὲ τῷ ρπα΄ κεφ. Καλύβη καλεῖται πᾶν ἀγροικικὸν οἰκοδόμημα.

76. Ἐν δὲ τῷ ρκα΄[1]· Κενσερί ἐστι τὸ διατάττεσθαί τι ποιῆσαι καὶ τὸ καθ᾽ ἑαυτὸν τίποτε κεκρικέναι. ἐκεῖθεν γὰρ τὸ τοῦ κένσωρος ὄνομα δοκεῖ εἱλκῦσθαι.

77. Ἐν δὲ τῷ ργ΄ κεφ. Τὰ κεφαλικὰ θάνατον δηλοῦσι καὶ πολιτείας ἔκπτωσιν.

78. Ἐν δὲ τῷ ϛγ΄ κεφ. Τὸ κινητὰ καὶ τὸ κινούμενα τὸ αὐτὸ δηλοῖ, εἰ μὴ ἄρα δειχθῇ ὁ διαθέμενος τὸ κινούμενα νοήσας ἐπὶ τῶν ἐμψύχων.

79. Ἐν δὲ τῷ κδ΄ κεφ. Κληρονομία ἐστὶ διαδοχὴ εἰς ὁλόκληρον δικαίου, ὅπερ ὁ τελευτήσας εἶχεν[n].

80. Ἐν δὲ τῷ ξε΄ κεφ. Κληρονόμος λέγεται οὐ μόνον ὁ πρῶτος, ἀλλὰ [καὶ] ὁ τοῦ κληρονόμου κληρονόμος, καὶ οἱ ἐφεξῆς.

---

[n] Νόμος. Τῷ ὀνόματι τῆς κληρονομίας καὶ τῆς διακατοχῆς καὶ ἡ ἐπιζήμιος δηλοῦται. δικαίου γάρ ἐστιν ὄνομα. — Ἑρμηνεία. τὸ μὲν παλαιὸν ἀπὸ τοῦ δυοδεκαδέλτου μόνοι οἱ ἐξ ἀῤῥενογονίας ὑπεξούσιοι παῖδες ἐκαλοῦντο εἰς τὴν κληρονομίαν. ὁ δὲ πραιτώριος νόμος μετὰ ταῦτα οἰκονομικώτερόν τι ποιῶν καὶ μήτε πρὸς ἀνατροπὴν τοῦ νόμου χωρήσας μετ᾽ αὐθαδείας μήτε πάντη τῆς κληρονομίας στερεῖσθαι τοὺς λοιποὺς δίκαιον κρίνας, βονόρουμ ποσσέσορας ἤγουν ἀγαθοὺς διακατόχους αὐτοὺς ὠνόμασε, καὶ ὅσον ἐπ᾽ αὐτοῖς καὶ μόνοις τὴν κληρονομίαν διακατοχὴν ὠνόμασε καὶ ἐκάλεσεν. αὕτη οὖν ἡ διαφορὰ τῆς τε κληρονομίας καὶ διατατοχῆς· ἡ μὲν κυρίως κληρονομία μόνοις τοῖς ἐξ ἀῤῥενογονίας κληρονομία τε καὶ διακατοχή· οὐδὲ γὰρ μέλλον ἐστὶ τῷ νομοθέτῃ εἴπερ ἐστὶν ἐπιζήμιος ἡ κληρονομία καὶ ὑπεξουσίοις ἁρμόζουσα· ἡ δὲ διακατοχὴ τοῖς τε αὐτεξουσίοις καὶ ταῖς θηλείαις.

---

[1] Leuncl. ρια΄.

81. Ἐν δὲ τῷ ο' κεφ. Ἡ τοῦ κληρονόμου προσηγορία καὶ εἰς τοὺς πορρωτέρω ἐκτείνεται. σπανίως δὲ ὁ πρῶτος δηλοῦται, ὡς ἐπὶ τῆς ἀνήβου ὑποκαταστάσεως. ἐὰν γὰρ εἴπω, κληρονόμον εἶναι τοῦ ἀνήβου τὸν γινόμενόν μου κληρονόμον, οὐ περιέχεται ὁ τοῦ κληρονόμου [μου] κληρονόμος.

82. Ἐν δὲ τῷ ρξ[ϛ]' κεφ. Οὐ δοκεῖ περιελθεῖν εἰς τὸν κληρονόμον εἰ μὴ τὸ μετὰ τὰ χρέα.

83. Ἐν δὲ τῷ κϛ' κεφ. Ὁ τοκετὸς τῆς κλοπιμαίας οὐκ ἔστι μέρος αὐτῆς.

84. Ἐν δὲ τῷ σκε' κεφ. Κλέπτην καὶ φυγάδα καὶ ῥεμβὸν καὶ μοιχὸν καὶ κοττιστὴν οὐκ ἀπὸ τῆς προθέσεως αὐτῶν, ἀλλ' ἀπὸ τοῦ πρᾶξαι λέγομεν.

85. Ἐν δὲ τῷ σκϛ'. Κοῦλπά ἐστιν ἡ μεγάλη ἀμέλεια. ἡ δὲ μεγάλη κοῦλπα δόλος ἐστίν.

86. Ἐν δὲ τῷ οα' κεφ. Ἕτερον λαβεῖν καὶ ἕτερον δέξασθαι. τὸ λαβεῖν ἐνδυνάμως νοεῖται· δέξασθαι δέ, κἂν οὐχ οὕτω τὶς ἐδέξατο, ἵνα ἔχῃ. διά τοι τοῦτο οὐ δοκεῖ τις λαβεῖν, ὅπερ μέλλει ἀποκαθιστᾷν. ὥσπερ ἐληλυθέναι κυρίως ἐκεῖνο λέγεται τὸ ἀπομένειν μέλλον.

87. Ἐν δὲ τῷ πα'[1]· Τῇ γενικῇ τῶν λεγάτων ἐπαναλήψει καὶ ἐλευθερίαι περιέχονται.

88. Ἐν δὲ τῷ λγ'· Λειμών ἐστιν, ἐν ᾧ εἰς τὸ λαβεῖν καρπὸν δρεπάνου μόνον ἐστὶ χρεία.

89. Ἐν δὲ τῷ ξ'[2]· Λιμήν ἐστι τόπος περικεκλεισμένος, εἰς ὃν εἰσάγονται τὰ φορτία, καὶ ἐξ οὗ ἐξάγονται. τὸ αὐτὸ καὶ στατίων λέγεται.

90. Ἐν δὲ τῷ κθ'· Ὁ λόγος ὁ μὴ ἔχων συμπλοκὴν ἢ διάζευξιν ἀπὸ τῆς διαθέσεως τοῦ εἰπόντος ἢ διαζευκτικὸς ἢ συμπλεκτικὸς νοεῖται.

91. Ἐν δὲ τῷ γε' κεφ. Τῷ ὀνόματι τῶν λοιπῶν καὶ τὸ πᾶν σημαίνεται.

92. Ἐν δὲ τῷ μϛ'· Ματρεφαμιλίας αὐτεξουσίαν ἤτοι σεμνὴν γυναῖκα νοεῖν ὀφείλομεν τὴν μὴ ἀπρεπῶς ζήσασαν.

93. Ἐν δὲ τῷ νζ' κεφ. Μάγιστροι λέγονται ἀπὸ μεταφορᾶς τῶν ἀρχόντων οἱ πλέον τῶν ἄλλων προνοεῖν ὀφείλοντες τῶν ἐπιτετραμμένων αὐτοῖς πραγμάτων. καὶ οἱ διδάσκαλοι οἱασδήποτε ἐπιστήμης.

---

[1] Leuncl. π'. [2] Idem νθ'.

94. Ἐν δὲ τῷ ρι'· *Μεσεγγυητής* ἐστι παρ' ᾧ πολλοὶ ἐπίδικον παράθωνται[1] πρᾶγμα.

95. Ἐν δὲ τῷ ρξε'· Ὁ λέγων *μέρος* καὶ μὴ προστιθεὶς ποῖον τὸ ἥμισυ δηλοῖ.

96. Ἐν δὲ τῷ ρϙϛ'· *Μεμηνυκέναι* ἐστὶ τὸ προσηγγελκέναι, τὸ ἐλέγξαι, τὸ κατηγορῆσαι, τὸ συλλέξαι[2].

97. Ἐν δὲ τῷ ιη' κεφ. Τὸ *μούνους* τρία σημαίνει· δωρεὰν καὶ βάρος καὶ ὀφφίκιον.

98. Ἐν δὲ τῷ σιβ'· *Μούνους* κυρίως μὲν τὸ ἐξ ἀνάγκης νόμου ἢ ἔθους ἢ ἄρχοντος γινόμενον λέγεται. ἐστὶ δὲ καὶ ἡ σφοδρὰ ἀμέλεια[3].

99. Ἐν δὲ τῷ λβ' κεφ. *Νεατὴ* γῆ ἐστιν ἡ προτμηθεῖσα ἢ ἐπὶ ἐνιαυτὸν ἀργήσασα· ἣν οἱ γραῖκες νέασιν καλοῦσιν.

100. Ἐν δὲ τῷ οη' κεφ. Ἔσθ' ὅτε δὲ καὶ τῷ ὀνόματι τῆς *νομῆς* ἡ δεσποτεία δηλοῦται. ὡς ἔνθα τὶς τὰς νομὰς αὐτοῦ λεγατεύει.

101. Ἐν δὲ τῷ ρα' κεφ. Ἀληθές ἐστι τὸ *νόσον* εἶναι τὴν πρόσκαιρον τοῦ σώματος ἀσθένειαν. πάθος δέ ἐστι διηνεκὲς τοῦ σώματος ἐμπόδιον.

102. Ἐν δὲ τῷ ριγ'· *Νόσος* ὀλεθρία ἐστὶν ἡ ἑκάστῳ πράγματι λυμαινομένη.

103. Ἐν δὲ τῷ ρνθ'· Καὶ τὰ *νομίσματα* νοῦμοι λέγονται.

104. Ἐν δὲ τῷ σλθ'· Τῷ ὀνόματι τῆς *νόξης* πᾶν ἁμάρτημα περιέχεται.

105. Ἐν δὲ τῷ ν' κεφ. Τῷ ὀνόματι τῆς *νύμφης* καὶ προνύμφη καὶ ἡ ποῤῥωτέρα δηλοῦται.

106. Ἐν δὲ τῷ ξβ'· Τῇ προσηγορίᾳ τοῦ *ξύλου* πᾶσα ὕλη πρὸς οἰκοδομὴν ποιοῦσα δηλοῦται.

107. Ἐν δὲ τῷ η' κεφ. Τὸ *ὀππορτέβιτ* καὶ τὸν ἐνεστῶτα καὶ τὸν μέλλοντα χρόνον δηλοῖ.

108. Ἐν δὲ τῷ μα'· Τῷ ὀνόματι τῶν *ὅπλων* καὶ τὰ ξύλα καὶ οἱ λίθοι περιέχονται.

109. Ἐν δὲ τῷ σμα'· *Ὀππιδοὺμ* ἀπὸ τοῦ ἔργου τῆς τειχῶν κατασκευῆς.

110. Ἐν δὲ τῷ οα' κεφ. Ταῦτα τὰ ῥήματα ἐπὶ τούτοις τοῖς πράγμασι τὸ *ὀρθῶς* παρασχεθῆναι ὡμολόγησε, τοῦτο σημαί-

---

[1] Leuncl. παρατίθενται. [2] Leuncl. συναλλάξαι. Fabrot. συνελέγξαι.
[3] Haec verba ἐστι δὲ κτλ. apud Leuncl. rectius desunt.

νει, ἵνα μή τινα κίνδυνον ἢ ζημίαν ἐκ τούτου τοῦ πράγματος ὁ ἐπερωτήσας ὑπομένῃ.

111. Ἐν δὲ τῷ ογʹ κεφ. Τὸ ἐπερωτῆσαι πρᾶγμα ὀρθῶς ἀποκαταστῆναι δηλοῖ μετὰ τῶν καρπῶν.

112. Ἐν δὲ τῷ ϙϛʹ κεφ. Τὸ εἰπεῖν, ὅσου φανῇ τὸ πρᾶγμα, οὐ πρὸς τὸ διαφέρον, ἀλλὰ πρὸς τὴν τοῦ πράγματος διατίμησιν φέρεται.

113. Ἐν δὲ τῷ σιζʹ κεφ. Διαφέρει τὸ ὅτε δυνηθῇ λαλῆσαι τοῦ μεθ' ὃ δυνηθῇ λαλῆσαι. ἐπὶ γὰρ τοῦ πρώτου ἐκβαίνει ἡ αἵρεσις καὶ ὅτε πρῶτον λαλῆσαι δυνηθῇ.

114. Ἐν δὲ τῷ σμʹ κεφ. Οὖρβις ἡ πόλις λέγεται, ἀπὸ τοῦ οὐρβάρε, τουτέστιν ἀρότρῳ περιχαράξαι τὸν μέλλοντα πολίζεσθαι τὸν τόπον.

115. Ἐν δὲ τῷ κβʹ κεφ. Παριστᾷν ἐστι τὸ παραστῆσαι τὸ ἐπιζητούμενον πρᾶγμα.

116. Ἐν δὲ τῷ νβʹ κεφ. Τῇ προσηγορίᾳ τοῦ πάτρωνος ἡ πατρώνισσα περιέχεται.

117. Ἐν δὲ τῷ ξγʹ κεφ. Τό παρὰ σοὶ πλέον ἐστὶ τοῦ πρὸς σέ. πρὸς σὲ γάρ ἐστι τὸ ὁπωσοῦν ὑπὸ σοῦ κρατούμενον, παρὰ σοὶ δέ ἐστι τὸ τρόπῳ τινὶ νεμόμενον.

118. Ἐν δὲ τῷ ρμαʹ[1]· Παλλακή ἐστιν ἡ συζῶσά τινι ἐν τῷ οἴκῳ αὐτοῦ νομίμου[2] χωρὶς γάμου.

119. Ἐν δὲ τῷ σʹ[3] κεφ. Τῇ τοῦ πατρὸς προσηγορίᾳ καὶ ὁ πάππος περιέχεται.

120. Ἐν δὲ τῷ ρμϛʹ· Ἡ τοῦ πενθεροῦ προσηγορία καὶ τὸν προπένθερον δηλοῖ.

121. Ἐν δὲ τῷ ροαʹ· Περιέρχεσθαι δοκεῖ καὶ τὸ διὰ προσπορισμοῦ κτώμενον.

122. Ἐν δὲ τῷ νϛʹ κεφ. Παῖδες λέγονται καὶ οἱ αὐτεξούσιοι καὶ οἱ ἐξ ἀῤῥενογονίας καὶ οἱ ἐκ θηλυγονίας κατιόντες.

123. [Ἐν δὲ τῷ ρμηʹ κεφ.] Τῷ ὀνόματι τῶν παίδων καὶ ὁ εἷς μόνος περιέχεται.

124. Ἐν δὲ τῷ σγʹ[4]· Ἡ τοῦ παιδὸς προσηγορία τρεῖς ἔχει σημασίας. μίαν, ὅταν πάντας δούλους παῖδας προσαγορεύομεν. ἑτέραν, ἐπειδὰν παῖδα τῷ ὀνόματι τῆς κόρης λέγωμεν. τρίτην, ἣν ἑκάστην ἡλικίαν παιδικὴν δηλοῦμεν.

125. Ἐν δὲ τῷ σκʹ κεφ. Τῇ τῶν παίδων προσηγορίᾳ καὶ

---

[1] Leuncl. ρμδʹ. [2] Idem νομίμως. [3] Idem σαʹ. [3] Idem σδʹ.

τῇ τῶν ὑπεξουσίων ἔκγονοι καὶ ἀπέκγονοι καὶ πάντες οἱ ἐξ αὐτῶν δηλοῦνται.

126. Ἐν δὲ τῷ σιβ´ [1] κεφ. Πλατεῖα ῥαθυμία ἐστὶν ἡ σφοδρὰ ἀμέλεια, τουτέστι τὸ μὴ νοεῖν, ὃ πάντες νοοῦσιν.

127. Ἐν δὲ τῷ σκα´· Πλαστὸς ἐπίτροπός ἐστιν ὁ μὴ ὢν ἐπίτροπος, καὶ πλαστὴ διαθήκη ἡ μὴ οὖσα διαθήκη, καὶ πλαστὸς μόδιος ὁ μὴ ὢν μόδιος.

128. Ἐν δὲ τῷ ρπθ´· Τὸ προστιθέμενον ἐν τοῖς συμβολαίοις, δέκα ἢ πλέον, οὐκ εἰς ἄμετρον, ἀλλ᾽ εἰς ἐλαχίστην ἀναφέρεται ποσότητα.

129. Ἐν δὲ τῷ σλη´ κεφ. Πλῆθός ἐστιν οἱ λοιποὶ πολῖται χωρὶς τῶν ἀξιωματικῶν.

130. Ἐν δὲ τῷ ριη´ κεφ. Πολέμιοί εἰσιν, οἱ πρὸς οὓς [2] δημόσιον ψηφιζόμεθα πόλεμον. οἱ δὲ ἄλλοι λῃσταὶ ἢ κλέπται εἰσίν.

131. Ἐν δὲ τῷ ρλα´ κεφ. Ποινή ἐστιν ἁμαρτήματος ἐκδίκησις.

132. Ἐν δὲ τῷ σμγ´ κεφ. Ἐπὶ τῆς ποινῆς οὐκ ἔστιν ἔκκλητος, ἀλλὰ ἅμα τὶς καταδικασθῇ, ὑπόκειται τῇ ἀπὸ τῶν νόμων ποινῇ. ὥρισται δὲ ἡ ποινὴ ὑπὸ τοῦ νόμου ἐφ᾽ ἑκάστῳ ἁμαρτήματι.

133. Ἐν δὲ τῷ ροθ´ [3]· Τῷ ῥήματι τῷ ποιῆσαι καὶ ἡ τοῦ ἀποδοῦναι αἰτία περιέχεται.

134. Ἐν δὲ τῷ σιη´· Τῷ ῥήματι τῷ ποιῆσαι πάντα τὰ ποιητὰ περιέχεται, δοῦναι, καταβαλεῖν, ἀριθμῆσαι, δικάσαι, πορευθῆναι.

135. Ἐν δὲ τῷ σλθ´· Πούπιλός ἐστιν ὁ ἄνηβος αὐτεξούσιος.

136. Ἐν δὲ τῷ ε´ κεφ. Ἡ τοῦ πράγματος προσηγορία πλατυτέρα ἐστὶ τῆς τῶν χρημάτων. ἐπειδὴ καὶ τὰ ἔξω [4] τῆς οὐσίας ἡμῶν ὄντα περιέχει, ὁπότε ἡ τῶν χρημάτων σημασία εἰς ταῦτα τὰ πράγματα ἀναφέρεται.

137. Ἐν δὲ τῷ κγ´ κεφ. Τῇ τοῦ πράγματος προσηγορίᾳ καὶ αἰτίαι καὶ τὰ δίκαια περιέχεται.

138. Ἐν δὲ τῷ ρκγ´ [5]· Ἔχειν δοκῶ τὸ πρᾶγμα, ἐφ᾽ ᾧ ἁρμόζει μοι ἀγωγή.

---

[1] Leuncl. σιδ´. [2] Leuncl. οἱ πρὸς ἡμᾶς ἢ πρὸς οὓς ἡμεῖς. [3] Idem ροε´. [4] Leuncl. ἔξω τῆς ψήφου τῆς οὐσ. [5] Idem ρμγ´.

139. Ἐν δὲ τῷ σμα΄· Προτέκτουμ ἐστὶ τὸ ἐξέχον, ὥστε ἐπιτίθεσθαι αὐτῷ ἐξώστην.

140. Ἐν δὲ τῷ μϛ΄· Σεμνὴν γυναῖκα ἐκ τῶν λοιπῶν γυναικῶν οἱ τρόποι διακρίνουσι καὶ χωρίζουσιν. ἀμέλει οὐδὲν διαφέρει, πότερον γεγάμηται ἢ χήρα ἐστὶν, εἴτε εὐγενὴς εἴτε ἀπελευθέρα ἐστίν. οὔτε γὰρ γάμος οὔτε γέννησις ποιεῖ τὴν σεμνὴν γυναῖκα, ἀλλὰ τρόποι χρηστοί.

141. Ἐν δὲ τῷ σλθ΄· Σέρβοι ἀπὸ τοῦ φυλάττεσθαι καὶ μὴ φονεύεσθαι ἐκλήθησαν[o].

142. Ἐν δὲ τῷ ρπγ΄ κεφ. Σκηνὴ λέγεται πᾶσα οἴκησις.

143. Ἐν δὲ τῷ ζ΄· Ἡ συνθήκη πᾶσαν ἐπερώτησιν καὶ ὁμολογίαν δηλοῖ.

144. Ἐν δὲ τῷ σιθ΄· Ἐν τοῖς συναλλάγμασιν οὐ τοῖς ῥήμασιν, ἀλλὰ τῇ διανοίᾳ τῶν συναλλασσόντων προσέχομεν. ὅθεν ἐὰν παρὰ πόλεως μισθώσωμαι, ἐφ᾽ ᾧ διαβῆναι τὴν μίσθωσιν εἰς κληρονόμους, διαβαίνει καὶ εἰς λεγαταρίους.

145. Ἐν δὲ τῷ ροζ΄ κεφ. Σωρίτης λέγεται ὁ παραλογισμὸς ἤτοι ἡ εἰρωνεία.

146. Ἐν δὲ τῷ κζ΄· Στιπενδίουμ λέγεται διὰ τὸ ἀπὸ λεπτῶν ἀργυρίων συνάγεσθαι. τὸ δὲ αὐτὸ καὶ τριβοῦτον λέγεται ἀπὸ τοῦ ἐπικλᾶσθαι τοῖς καταβάλλουσιν ἢ ἐπιμερίζεσθαι τοῖς στρατιώταις.

147. Ἐν δὲ τῷ με΄ κεφ. Τῷ ὀνόματι τῆς στρωμνῆς πᾶσα ἐσθὴς περιέχεται, καὶ τὰ στραγλία[p] καὶ τὰ παλλία[q], καὶ πᾶν ὃ περιβαλλόμεθα. [τῷ ὀνόματι δὲ τῆς τροφῆς ἡ ἐσθὴς, οὐ μὴν τὰ στραγλία περιέχεται.]

148. Ἐν δὲ τῷ νγ΄· Ὁ συμπλεκτικὸς καὶ διαζευκτικὸς ἔσθ᾽ ὅτε ἀντ᾽ ἀλλήλων παραλαμβάνονται. καὶ παρατίθεται τὰ παραδείγματα, ἐν οἷς φησιν, ὅτι ἐπίτροπος χωρὶς οὐσίας οὐ δίδοται. ὁμοίως καὶ ἐν τῷ κθ΄ κεφ. ἔφη. καὶ προείρηται εἰς τὸ Η.

149. Ἐν δὲ τῷ κδ΄[1]· Τρεῖς σύστημα ποιοῦσιν.

150. Ἐν δὲ τῷ λη΄ κεφ. Τέρας ὁρίζεται [ὁ] λαβεὼν ἅπαν τὸ παρὰ φύσιν ἑκάστου πράγματος γεννηθὲν καὶ γεγονός.

---

o Οἱ γὰρ πόλεις πορθοῦντες τοὺς μὲν τῶν αἰχμαλώτων ἀνῄρουν, τοὺς δὲ ἐφύλαττον ἐπὶ τῷ πωλῆσαι· ὅθεν διὰ τὸ φυλάττεσθαι σέρβοι οἱ δοῦλοι ἐκλήθησαν.

p Ἐφαπλώματα.

q Οἱ μανδύαι.

---

1 Leuncl. πδ΄.

151. Ἐν δὲ τῷ ρδ'· Ἡ τῶν τέκνων προσηγορία καὶ εἰς τοὺς ἐκγόνους ἐκτείνεται.

152. Ἐν δὲ τῷ ρκη'· Ὁ τεχθεὶς νεκρὸς οὔτε γεννᾶσθαι δοκεῖ οὔτε παῖς λέγεται.

153. Ἐν δὲ τῷ ρξβ'· Καὶ ἑνὸς μόνου ὑπόντος καλῶς ὑποκαθιστῶμεν λέγοντες, τῷ τελευταῖον ἀποθνήσκοντι. καὶ ὁ μόνος γὰρ συγγενὴς πλησιάζων λέγεται.

154. Ἐν δὲ τῷ σλδ'[1]· Τέκτονας ξύλων λέγομεν οὐ μόνον τοὺς τὰ ξύλα πελεκοῦντας, ἀλλὰ καὶ πάντας τοὺς οἰκοδομοῦντας.

155. Ἐν δὲ τῷ σμα' κεφ. Τεῤῥιτοριοὺμ πάντες οἱ ὑπὸ τὴν πόλιν ἀγροί.

156. Ἐν δὲ τῷ ρκβ' κεφ. Τὸ εἰπεῖν, ἐὰν συμβῇ τῷ υἱῷ μου τίποτε, θάνατον δηλοῖ.

157. Καὶ κεφ. ξ'· Ὁ τόπος μέρος ἀγροῦ ἐστιν, ὁ δὲ ἀγρὸς ὁλόκληρόν τί ἐστι, καὶ ὡς ἐπίπαν χωρὶς τῶν οἰκημάτων. δύναται δὲ ἀπὸ τῆς διαθέσεως τοῦ κεκτημένου καὶ ὁ τόπος ἀγρὸς εἶναι, ὡς ὅταν ἀντὶ ἀγροῦ παραδῶμεν αὐτόν· καὶ ὁ ἀγρὸς εἶναι τόπος, ὡς ὅταν αὐτὸν ἑτέρῳ παραθήσωμεν ἀγρῷ. ὁ δὲ τόπος καὶ ἐπὶ πολιτικῶν καὶ [ἐπὶ] ἀγροικικῶν λέγεται. καὶ ὁ ἀγρὸς ἰδίοις ὅροις περικλείεται, ὁ δὲ τόπος δύναται λανθάνειν μέχρι ποῦ διήκει[r].

158. Ἐν δὲ τῷ ρκ' κεφ. Ὁ τόκος τῶν ἀργυρίων οὐκ ἐστι καρπός.

159. Ἐν δὲ τῷ ρνζ'· Τοῖχός ἐστιν εἴτε περίβολος εἴτε θριγκός.

160. Ἐν δὲ τᾷ μγ' κεφ. Τῷ τῆς τροφῆς ὀνόματι καὶ τὰ βρώσιμα καὶ τὸ πόσιμα περιέχεται, καὶ τὸ ἔνδυμα, καὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, καὶ τὰ πρὸς φυλακὴν ἢ φροντίδα τοῦ σώματος ἐπιτήδεια.

161. Ἐν δὲ τῷ πγ'· [Τῇ τοῦ υἱοῦ προσηγορίᾳ πάντας τοὺς παῖδας νοοῦμεν.]

162. [Ἐν δὲ τῷ ρις'·] Τῇ τοῦ υἱοῦ προσηγορίᾳ καὶ ἡ θυγάτηρ περιέχεται.

---

[r] Περιεκτικός ἐστι τοῦ τόπου ὁ ἀγρός. περιέχει γὰρ πολλοὺς τόπους. λέγεται δὲ τόπος ἐπὶ πολιτικῶν καὶ ἀγροικικῶν. ὁ δὲ χωρὶς τῶν οἰκημάτων τόπος ἐν τῇ πόλει ἔδαφος λέγεται.

---

[1] Leuncl. σλε'.

163. Ἐν δὲ τῷ σ' καὶ ση'[1]· Τῇ τοῦ υἱοῦ προσηγορίᾳ καὶ τῇ τῶν ὑπεξουσίων καὶ οἱ ἔκγονοι περιέχονται.

164. Ἐν δὲ τῷ λθ'· Ὑποσημανθὲν λέγεται τὸ ὑφ᾽ ἑτέρου ὑπογραφόμενον. οἱ γὰρ παλαιοὶ τῷ τῆς ὑποσημειώσεως ὀνόματι ἀντὶ τῆς ὑπογραφῆς χρῆσθαι εἰώθησαν.

165. Ἐν δὲ τῷ μ'· Τῇ φαμιλίᾳ καὶ οἱ ἐλεύθεροι περιέχονται. εἷς δὲ ἢ δύο δοῦλοι φαμιλίαν οὐ ποιοῦσιν.

166. Ἐν δὲ τῷ ρϙδ'· Ἡ φαμιλία καὶ πρᾶγμα δηλοῖ, ὡς ὅταν ὁ νόμος λέγῃ, ἐγγύτερος συγγενὴς ἐχέτω τὴν φαμιλίαν. δηλοῖ καὶ πρόσωπα, ὡς ὅταν λέγωμεν περὶ τοῦ πάτρωνος καὶ τῶν ἀπελευθέρων. λέγεται καὶ φαμιλία κοινῶς ἐπὶ παντὸς γένους. λέγεται καὶ περὶ τῶν ὑπεξουσίων τοῦ ἑνὸς προσώπου.

167. Ἐν δὲ τῷ σλς' κεφ. Τῶν μέσων ἐστὶ τὸ ὄνομα τοῦ φαρμάκου, καὶ δεῖ προστίθεσθαι καλὸν ἢ κακόν.

168. Ἐν δὲ τῷ σλδ'· Κυρίως φέρεσθαι λέγομεν τὰ τῷ σώματι ἡμῶν βασταζόμενα· κομίζεσθαι δὲ διὰ τῶν ὑποζυγίων· ἄγεσθαι δὲ τὰ ἔμψυχα ὄντα.

169. Ἐν δὲ τῷ ρα' κεφ. Μεταξὺ φθορᾶς καὶ μοιχείας τοῦτο διαφέρειν τινὲς δοξάζουσιν, ὅτι ἡ μοιχεία εἰς τὴν γεγαμημένην, ἡ δὲ φθορὰ εἰς τὴν χήραν πλημμελεῖται. ὁ δὲ περὶ μοιχείας λόγος ἀδιαφόρως τούτῳ τῷ λόγῳ χρῆται.

170. Ἐν δὲ τῷ ξς'· Ἡ τοῦ φορτίου προσηγορία μόνα τὰ κινητὰ περιέχει.

171. Ἐν δὲ τῷ σς'[2] κεφ. Τῇ τοῦ φορτίου προσηγορίᾳ οὐ περιέχονται οἱ ἄνθρωποι. ὅθεν οἱ σωματέμποροι οὐ λέγονται ἔμποροι, ἀλλὰ σωματέμποροι.

172. [Ἐν δὲ τῷ ριε'· Φοῦνδός ἐστι πᾶν εἴ τι δή ποτε ὑπὸ τοῦ ἐδάφους κρατεῖται.]

173. Ἐν δὲ τῷ σζ'[3]· Φοῦνδος καλεῖται καὶ τὸ οἴκημα καὶ ὁ ἀγρός. αἱ δὲ οἰκοδομίαι ἐν μὲν τῇ πόλει οἰκίαι λέγονται, ἐν δὲ τοῖς χωρίοις βίλαι. ὁ δὲ χωρὶς οἰκοδομῆς τόπος ἐν πόλει μὲν ἔδαφος λέγεται, ἐν χωρίῳ δὲ ἀγρὸς προσαγορεύεται.

174. Ἐν δὲ τῷ σμβ'· Χήρα λέγεται οὐ μόνον ἡ διαζευχθεῖσα, ἀλλὰ καὶ ἡ μηδὲ ὅλως ἄνδρα ἐσχηκυῖα.

175. Ἐν δὲ τῷ πη' κεφ. Σχεδὸν τοσαῦτα ἕκαστος χρήματα καταλιμπάνει, ὅσα ἐκ τῆς οὐσίας αὐτοῦ ἀθροισθῆναι δύνα-

[1] Leuncl. σκ'. [2] Idem σζ'. [3] Idem σια'.

ται. οὕτω λέγομεν ἑκατοντάκις ἑκατὸν χρυσοῦς ἔχειν τὸν μόνον ἐν κτήμασι καὶ τοῖς λοιποῖς πράγμασιν ἔχοντα οὐσίαν.

176. Ἐν δὲ τῷ ϛζʹ· Ἐὰν ἐπερωτήσω σε, ὅσα χρήματα εἰς σὲ περιέλθῃ ἀπὸ τῆς κληρονομίας τοῦδε, αὐτὰ τὰ πράγματα δοκῶ ἐπερωτᾷν, οὐ μὴν τὰ τιμήματα αὐτῶν.

177. Ἐν δὲ τῷ ροηʹ κεφ. Οὐ μόνα τὰ ἀργύρια περιλαμβάνεται τῇ τῶν χρημάτων προσηγορίᾳ, ἀλλὰ καὶ πάντα τὰ σώματα.

178. Ἐν δὲ τῷ σκβʹ κεφ. Τῷ ὀνόματι τῶν χρημάτων οὐ μόνα τὰ χρήματα, ἀλλὰ καὶ πάντα τὰ κινητὰ καὶ τὰ ἀκίνητα καὶ τὰ σωματικὰ καὶ τὰ δίκαια δηλοῦται.

179. Ἐν δὲ τῷ μϛʹ κεφ. Τὸ ψηφίσασθαι καὶ τὸ ὁρίσασθαι τὸ αὐτὸ δηλοῖ[s].

II.

Περὶ ῥωμαλέων αἰτούντων.

1. Ἀνάγν. βι. νδʹ τί. κζʹ [κεφ. εʹ], ἐν ᾧ φησιν· Ἐξέστω παντὶ τοὺς αἰτοῦντας ὑγιεῖς ὄντας καὶ νεάζοντας ἐρευνᾷν, καὶ προσάγειν τῷ δημοσίῳ καὶ δεικνύειν τοιούτους ὄντας. ὥστε εἰ δοῦλος εὑρεθείη, ἔχειν αὐτὸν ὑπὸ τὴν ἰδίαν χεῖρα· εἰ δὲ ἐλεύθερος, εἰς γεωργίαν. ἔχοντος τοῦ δεσπότου κατὰ τοῦ κρύψαντος ἢ ὑπονοθεύσαντος τὰς ἰδίας ἀγωγάς. προείρηται περὶ τούτου σαφέστερον ἐν τῷ Α στοιχείῳ.

Ἀρχὴ τοῦ Σ στοιχείου.

I.

Περὶ σταυροῦ τιμίου.

1. Ἀνάγν. βι. αʹ τί. αʹ κεφ. ιεʹ καὶ ιϛʹ, ἐν οἷς φησι· Μήτε μοναχὸς μήτε ἕτερός τις ἐν δημοσίῳ τόπῳ, ἢ ἐν ᾧ θέα ἐπιτελεῖται, σταυρὸν ἐπιβαλλέτω ἢ λείψανον ἁγίου.

2. Μηδεὶς ἐν ἐδάφει ἢ μυλίτῃ λίθῳ ἢ ἐν μαρμάρῳ ἐδα-

---

[s] Τῇ ἀποφάσει γενικῇ οὔσῃ καὶ τὸ ψηφίσασθαι καὶ ὁρίσαι περιέχεται, οὐ μὴν τούτοις ἡ ἀπόφασις. ἀποφαίνεται γὰρ ὁ δικαστὴς δοκιμασίᾳ δικαστικῇ, ψηφίζεται δὲ καὶ ὁρίζει ἔσθ' ὅτε καὶ μονομερῶς.

φικῷ γλυφέτω ἢ γραφέτω σταυρὸν, ἀλλὰ περιαιρείσθω, τὴν βαρυτάτην τοῦ παραβαίνοντος ὑφισταμένου ποινήν.

II.

Περὶ στασιωτῶν ἤτοι τῶν στάσεις καὶ θορύβους καὶ ὀχλαγώγια ποιούντων, καὶ τῶν διεγειρόντων αὐτὰ ἢ ὑποδεχομένων.

1. Ἀνάγν. βι. ξ' τί. ιζ' κεφ. γ', ἐν ᾧ φησιν· Ἐάν τις κατὰ δόλον ἐν θορύβῳ ζημιώσῃ, εἴσω μὲν συναπτοῦ ἐνιαυτοῦ εἰς τὸ διπλοῦν ἐνέχεται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν.

Θόρυβος δὲ γίνεται ἀπὸ ι' ἀνθρώπων ἢ καὶ πλειόνων· ἡ γὰρ τῶν ἡττόνων μάχη, καὶ οὐ θόρυβος λέγεται.

Οὐ μόνος δὲ ὁ ἐν θορύβῳ ζημιώσας ἐνέχεται, ἀλλὰ καὶ ὁ ποιήσας δόλον ἐφ' ᾧ ἕτερον ζημιῶσαι· εἴτε παρῆν αὐτὸς τῷ θορύβῳ, εἴτε μή.

Καὶ ὁ ἐλθὼν εἰς τὸν θόρυβον καὶ τοῦ δόλου τῆς ζημίας μετασχὼν ἐνέχεται.

2. Καὶ κεφ. δ', ἐν ᾧ φησιν· Ἐάν τις ἐπὶ τῷ γενέσθαι ζημίαν ὠθήσῃ τὸν δοῦλόν μου καὶ θορύβου γενομένου ἀπολέσῃ τὶ ὁ δοῦλός μου, ἐνέχεταί μοι ὁ ὠθήσας.

Εἰ δὲ καὶ μὴ ἐπὶ τῷ ζημιῶσαι, ἀλλὰ δι' ὕβριν τὸν ὄχλον συνήγαγεν ἐπὶ τῷ μαστιγῶσαι τὸν δοῦλον ἐπὶ αὐτῶν, ἐνέχεται τῇ παρούσῃ ἀγωγῇ ἐπὶ τῇ συμβάσῃ ζημίᾳ.

3. Ἀνάγν. καὶ τί. ιη' κεφ. β', ἐν ᾧ φησι· Καὶ οἱ βουλευσάμενοι θόρυβον ἢ στάσιν ποιῆσαι, καὶ οἱ ἔχοντες ἐνόπλους ἐλευθέρους ἢ δούλους.

Καὶ ὁ ἔφηβος δημοσίᾳ ξίφος ἐπιφερόμενος, καὶ οἱ ἐξ ἐφόδου ἀγροῖς ἐπιόντες καὶ ἁρπάζοντες πράγματα τῷ περὶ βίας δημοσίας νόμῳ κατέχονται[a].

4. Ἀνάγν. καὶ τί. κα' κεφ. ιε'[1], ἐν ᾧ φησιν· Ὁ ποιήσας ὀχλαγώγιον ἢ κατὰ δόλον παρασκευάσας γενέσθαι ἐνέχεται. ἐστὶ δὲ ὀχλαγώγιον πολλῶν τινων σύνοδος, ὅτε πολλῶν τινων φωναὶ παρὰ τοὺς ἀγαθοὺς τῆς πόλεως τρόπους εἰς αὐτὸν[2] συντρέχουσιν εἰς φθόνον καὶ ἀτιμίαν τινός.

---

[a] Ἡ καταδίκη τοῦ περὶ βίας δημοσίου ἐγκλήματος ἡ εἰς μέταλλον διηνεκὴς ἐξορία ἐστίν. ὁ δὲ καταδικασθεὶς τῷ περὶ βίας ἰδιωτικῆς νόμῳ καὶ εἰς τρίτον τῆς οὐσίας δημεύεται, καὶ οὔτε συγκλητικὸς οὔτε ἄρχων γίνεται οὔτε ἄλλης μετέρχεται τιμῆς.

---

[1] Lips. κς'. [2] Bas. εἰς ταὐτὸν.

Καὶ τῷ ἀπόντι γίνεται ὀχλαγώγιον, ὁπότε τὶς ἐπέλθῃ τῷ οἴκῳ ἢ τῇ στατιῶνι ἢ τῷ ἐργαστηρίῳ.

Ὀχλαγώγιον ποιεῖ οὐ μόνον ὁ κράζων, ἀλλὰ καὶ ὁ συγκαλεσάμενος ἄλλους ἢ ὑποβαλὼν ἐπὶ τὸ κράξαι.

5. Ἐν δὲ τῷ κη′ κεφ. *Ἡ ἀπὸ τοῦ ὀχλαγωγίου περὶ ὕβρεως ἀγωγὴ οὔτε κληρονόμοις οὔτε κατὰ κληρονόμων δίδοται.*

6. Ἀνάγν. καὶ τί. να′ κεφ. λδ′· *Οἱ τὸν δῆμον ἐρεθίζοντες εἰς στάσιν ἢ θόρυβον πρὸς τὴν ἀξίαν αὐτῶν ἢ φουρκίζονται ἢ θηριομαχοῦσιν ἢ περιορίζονται.*

7. Ἀνάγν. καὶ τί. ξα′, ἐν ᾧ φησι· *Πᾶς ὁ ὑποδεχόμενος δῆμον ἐπὶ τῷ ποιῆσαι τί κατὰ τῆς κοινῆς εὐταξίας βαρυτάτῃ ὑπόκειται τιμωρίᾳ.*

8. *Οἱ καταβοήσαντές τινος καὶ ἐκ τούτου θόρυβον κινήσαντες μηδὲν μὲν κερδαινέτωσαν ἐξ ὧν αἰτοῦσιν, ὑποβαλλέσθωσαν δὲ ταῖς τιμωρίαις, αἷστισιν οἱ θόρυβον ἀνιστῶντες ὑποβάλλονται.*

III.

Περὶ στρατηγῶν.

1. Ἀνάγν. βι. νδ′ τί. α′ κεφ. ζ′ καὶ ιη′ καὶ κγ′ καὶ βι. νζ′ τί. γ′ κεφ. ιδ′. ἐν δὲ τῷ ζ′ κεφ. τοῦ α′ τί. τοῦ νδ′ βι. φησί· *Τότε ὁ στρατηγὸς ὑπὲρ τοῦ συστρατηγοῦ ἐνέχεται, ὅτε καὶ αὐτὸς ὁ στρατηγὸς καὶ οἱ ἐγγυηταὶ αὐτοῦ καὶ ὀνομασταὶ ἄποροί εἰσι, καὶ οὔτε ἐν τῷ ἀπαιτεῖσθαι τὴν στρατηγίαν ἦσαν εὔποροι. ἐπείτοιγε ἕκαστος εἰς τὴν ἰδίαν ἐνέχεται διοίκησιν.*

IV.

Περὶ στρατιωτῶν, καὶ προνομίων αὐτῶν καὶ πεκουλίων καὶ ῥογῶν καὶ ἀννόνων, καὶ ἐπιδημιῶν καὶ παρόδων, καὶ περὶ τῶν παρ᾽ αὐτῶν ἁμαρτανομένων, καὶ περὶ τιμωρίας ἑκάστου αὐτῶν ἁμαρτήματος, καὶ περὶ ἀποκαταστάσεως αὐτῶν, καὶ τίνες κωλύονται στρατεύεσθαι[a].

1. Ἀνάγν. βι. νζ′ τί. α′, οὗτινος ἐν τῷ δ′[1] κεφ. φησίν· *Αἱ ποιναὶ τῶν στρατιωτῶν αὗταί εἰσι· μαστίζονται, χρηματικῶς προστι-*

[a] Ἀνάγν. καὶ νεαρὰν ρις′, ἐν ᾗ φησι καὶ περὶ φοιδεράτων. καὶ νεαρὰν ρλ′ περὶ τῆς τῶν στρατιωτῶν παρόδου καὶ μιτάτων.

[1] Leuncl. α′.

μῶνται, λειτούργημα αὐτοῖς ἐπικλᾶται, στρατείαν ἀλλάσσουσι, βαθμοῦ ἐκβάλλονται, ἀτίμως ἀποστρατεύονται. οὔτε δὲ εἰς μέταλλον οὔτε εἰς ἔργον μετάλλου καταδικάζονται, ἀλλ' οὐδὲ βασανίζονται.

Ὁ καταλιμπάνων τὴν κατασκοπὴν τῶν πολεμίων ἐφεστώτων καὶ ὁ τοῦ φοσσάτου ἐκπίπτων κεφαλικῶς τιμωρεῖται.

2. Ἐν δὲ τῷ ϛ' κεφ. Ὁ ἐν καιρῷ πολέμου ὅπλα πωλῶν ἢ ἀπολλύων κεφαλικῶς τιμωρεῖται, ἢ φιλανθρώπως τὴν στρατείαν ἐναλλάσσει.

3. Ἐν δὲ τῷ ζ' κεφ. Ὁ κλέψας ἀλλότριον ἅρμα τοῦ βαθμοῦ τῆς στρατείας ἐξωθεῖται.

Ὁ ἐν πολέμῳ ποιῶν τὸ παρὰ τοῦ δουκὸς ἀπαγορευθὲν ἢ μὴ ποιῶν τὸ προσταχθὲν κεφαλικῶς τιμωρεῖται, εἰ καὶ καλῶς τὸ πρᾶγμα ἔπραξεν.

4. Ἐν δὲ τῷ η' κεφ. Ὁ τὸ χαράκωμα παρεξιὼν ἢ διὰ τοῦ τείχους εἰς τὸ κάστρον εἰσιὼν κεφαλικῶς τιμωρεῖται. ὁ δὲ τὴν τάφρον ὑπερπηδῶν ἀποστρατεύεται.

5. Ἐν δὲ τῷ θ' κεφ. Ὁ τραχείαν ἐξερεθίζων στρατιωτῶν στάσιν κεφαλικῶς τιμωρεῖται. εἰ δὲ μέχρι φωνῆς ἢ ψιλῆς μέμψεως ἡ στάσις, τοῦ βαθμοῦ ἐκβάλλεται.

6. Ἐν δὲ τῷ ιβ' κεφ. Ὁ τῷ περὶ μοιχείας ἐγκλήματι ἢ ἑτέρῳ [δημοσίῳ] καταδικασθεὶς οὐ δύναται στρατιώτης εἶναι.

7. Ἐν δὲ τῷ ιγ' κεφ. Ὁ απόφυγος γενόμενος ἐν καιρῷ πολέμου κεφαλικῶς τιμωρεῖται. ὁ δὲ ἐν εἰρήνῃ, ἱππεὺς μὲν ὢν ἐναλλάσσει τὸν βαθμόν, πεζὸς δὲ τὴν στρατείαν.

8. Ἐν δὲ τῷ ιδ' κεφ. Ὁ χεῖρας ἐπαγαγὼν τῷ προεστῶτι αὐτοῦ κεφαλικῶς τιμωρεῖται. πᾶσα δὲ προπέτεια[b] κατὰ δουκὸς ἢ ἄρχοντος τοῦ στρατιώτου κεφαλικὴν ἐπάγει τιμωρίαν.

9. Ἐν δὲ τῷ ιε' κεφ. Ὁ ἀπὸ παρατάξεως πρῶτος φυγὼν ἐπ' ὄψει τῶν στρατιωτῶν κεφαλικῶς τιμωρεῖται.

10. Ἐν δὲ τῷ ιζ'[1] κεφ. Ὁ δυνάμενος καὶ μὴ ὑπερασπίζων τοῦ προεστῶτος τιμωρεῖται· ὁ δὲ μὴ δυνάμενος συγγινώσκεται.

Οἱ προδόται καὶ οἱ αὐτόμολοι κεφαλικῶς ὡς ἐπὶ τὸ πολὺ τιμωροῦνται, καὶ ἀποστρατεύονται καὶ κολάζονται.

---

b Φησὶν ὁ παπιανὸς τὴν προπέτειαν περιέχειν ἐν ἑαυτῇ τὴν τῆς εὐχερείας συγγνώμην καὶ τὴν ἀπρονόητον θυμότητα.

---

1 Leuncl. ιϛ'.

11. Ἐν δὲ τῷ ιη' κεφ. Ὁ στρατιώτης ἔνθα στρατεύεται οὐκ ἀγοράζει χωρίον, εἰ μὴ πατρῷον παρὰ τοῦ δημοσίου. τὸ δὲ παρανόμως ἀγορασθὲν ὁ δημόσιος ἐκδικεῖ· εἰ μὴ ἄρα πρὶν ἢ καταμηνυθῇ πληρώσει τὴν στρατείαν ἢ ἀφεθῇ.

12. Ἐν δὲ τῷ μβ' κεφ. Ἡ διάταξις διαλέγεται περὶ τοῦ μηδένα κατὰ τὸν αὐτὸν καιρὸν ἔχειν δύο στρατείας ἢ δύο ἀξιώματα. καὶ μὴ ἐξεῖναι διπλῆν στρατείαν μετελθεῖν, ἢ συμμίξαι τῇ στρατείᾳ ἀξίωμα. τοὺς δὲ θελήσαντας ἐπιχειρῆσαι ι' λιτρῶν χρυσοῦ ποινὴν καταβάλλειν μετὰ τοῦ μηδὲν ὠφελεῖσθαι. καὶ ἐν τῷ με' κεφ. ὁμοίως φησίν.

13. Ἐν δὲ τῷ μγ' κεφ. Ὑπὲρ τῶν δούλων, οἵτινες μετὰ ταῦτα πρός τινα στρατείαν προσελθεῖν ἀποπειραθῶσιν, ἢ εἰδότων ἢ ἀγνοούντων τῶν δεσποτῶν, προστάττομεν, εἰ μὲν ἀγνοούντων ταύτης ἠξιώθησαν, ἐξεῖναι τοῖς δεσπόταις προσελθεῖν τῷ ἁρμοδίῳ δικαστῇ καὶ τὴν οἰκείαν ἄγνοιαν ἐκ τούτου, ὅτι τὸ ἐναντίον οὐκ ἀποδείκνυται, δεικνύειν, καὶ τούτῳ τῷ τρόπῳ γυμνωθέντας τῆς στρατείας εἰς τὴν ἰδίαν δεσποτείαν ἕλκειν· ἐὰν δὲ εἰδότων αὐτῶν οἱ δοῦλοι ἐστρατεύσαντο, ἐκπίπτειν αὐτοὺς μὴ μόνον τῆς δεσποτείας αὐτῶν, ἀλλὰ καὶ παντὸς τοῦ πατρωνικοῦ δικαίου, ἐκείνους δὲ εὐγενεῖς γενομένους, εἰ μὲν χρήσιμοι πρὸς τὴν στρατείαν τὴν δοθεῖσαν αὐτοῖς δόξουσιν, ἐν αὐτῇ ἀπομένειν· εἰ δὲ μηδαμῶς ἐπιτήδειοι εἴησαν, ταύτης ἀποστερεῖσθαι.

14. Ἐν δὲ τῷ μδ' κεφ. Ἡ διάταξις περὶ τῶν αὐτῶν τῇ προλαβούσῃ φησὶν, ὅτι ἐὰν εἰδήσει δεσπότου στρατεύσηται δοῦλος, ἀπόλλυσιν ὁ δεσπότης καὶ τὴν ἐπὶ τῷ δούλῳ δεσποτείαν καὶ τὸ πατρωνικὸν δίκαιον. εἰ δὲ καὶ ἀξίας ἐπέβη ὁ δοῦλος, τὰ αὐτὰ προβαίνει. ὁρίζει δὲ ἡ διάταξις αὕτη τριάκοντα ἡμερῶν ἀριθμὸν ἐπὶ τῶν προσελθόντων ἀξιώματι οἰκετῶν. ἐστὶν οὖν ἡ μὲν πρὸ ταύτης περὶ στρατείας, αὕτη δὲ περὶ ἀξιωμάτων.

15. Ἀνάγν. καὶ τί. β'. διαλαμβάνει γὰρ περὶ στρατιωτικῶν πεκουλίων. καὶ προείρηται περὶ αὐτῶν ἐν τᾷ περὶ πεκουλίου.

16. Ἀνάγν. καὶ τί. γ', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὁ ἐπὶ κ' ἔτη στρατευσάμενος ἀπήλλακται ῥυπαρῶν λειτουργιῶν.

17. Ἐν δὲ τῷ δ' κεφ. Ἐάν τις ἀπόφυγος γένηται ἐν φοσσάτῳ καὶ τελευτήσῃ, ἡ οὐσία αὐτοῦ δημεύεται.

18. Ἐν δὲ τῷ ιβ' κεφ. Ὁσάκις ἐν ταῖς ὄχθαις λεγεῶνές εἰσι, μηδεὶς τῶν στρατιωτῶν σπουδαζέτω ῥυποῦσθαι τὸν ποταμὸν ἢ γυμνοῦσθαι ἐπὶ τῶν συστρατιωτῶν αὐτοῦ, ἀλλὰ κατωτέρω τῶν σκηνῶν τοὺς οἰκείους ἵππους ἀπολυέτωσαν.

19. Ἀνάγν. καὶ τί. δ', ἐν ᾧ διαλαμβάνεται περὶ ἀννόνων καὶ ῥογῶν αὐτῶν, καὶ τοῦ βαστάζειν ἄχυρα ἀπὸ κ' μιλίων, καὶ τοῦ λαμβάνειν παρὰ τοῦ ῥογάτορος τὴν τοῦ τελευτήσαντος στρατιώτου γαμετὴν καὶ τοὺς παῖδας αὐτοῦ, ὅσα αὐτῷ κεχρεώστηται μέχρι τῆς αὐτοῦ τελευτῆς.

20. Ἀνάγν. καὶ τί. ϛ', ἐν ᾧ φησι περὶ τῶν ἀποστρατευομένων καὶ τῶν προνομίων αὐτῶν.

21. Ἀνάγν. καὶ τί. ζ', ἐν ᾧ φησι περὶ τῶν ἐν πολέμῳ ἀποθνησκόντων, καὶ ὅτι ὁ υἱὸς τοῦ τελευτῶντος στρατιώτου ὁ μείζων παραχρῆμα ὑπεισέρχεται εἰς τὸν τόπον τοῦ πατρὸς αὐτοῦ, καὶ τὰς αὐτὰς ἀννόνας λαμβάνει μέχρι βιάρχου.

22. Ἀνάγν. καὶ τί. η', ἐν ᾧ φησι τοῦ μή τινα στρατιώτην ἢ φοιδεράτον ἔν τισιν ἰδιωτικαῖς χρείαις ἀπασχολεῖσθαι.

23. Ἀνάγν. καὶ βι. ι' τί. λγ', ἐν ᾧ διαλαμβάνεται περὶ τῆς ἀποκαταστάσεως αὐτῶν. οὗτινος ἐν τῷ γ' κεφ. φησίν· Ἅπερ ἡ προλαβοῦσα διάταξις γενικῶς περὶ πάντων τῶν διὰ δημόσια πράγματα ἀποδημούντων ἐνομοθέτησε, ταῦτα ἡ προκειμένη περὶ στρατιώτου νομοθετεῖ, παρακελευομένη· εἴ τις ἐν καιρῷ τῆς στρατείας ἐκ τῆς οὐσίας τοῦ στρατιώτου νεμηθείη πρᾶγμα, τοῦτο μετὰ τὸ παύσασθαι τὸν στρατιώτην διὰ τὴν στρατείαν ἀπεῖναι ἐντὸς ἐνιαυτοῦ ὡρισμένου, ἢ ἀνασχιζομένης τῆς διὰ τῆς χρήσεως κυριότητος, ἐὰν διὰ χρήσεως ἐκτήσατο τὸ πρᾶγμα τοῦ στρατιώτου ὁ τοῦτο νεμόμενος, ἢ ἀναιρουμένης τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς, διεκδικεῖν αὐτὸ ἐπιτέτραπται, καὶ μηδὲν[1] ὑπὸ τοῦ νεμηθέντος καταβλάπτεσθαι. τὸ οὖν ἀποτέλεσμα τῆς διατάξεως, ὅτι οὐδὲ ἡ διὰ χρήσεως κυριότης προβαίνουσα, οὐδὲ ὁ τῆς μακροῦ χρόνου παραγραφῆς περαιούμενος χρόνος βλάπτει τὸν στρατιώτην ἢ τὸν διὰ πρᾶγμα δημόσιον ἀπολιμπανόμενον, ἐὰν ἐντὸς ἐνιαυτοῦ ὡρισμένου μετὰ τὸ παύσασθαι τῆς ἐκδημίας ἐνάγῃ περὶ αὐτοῦ.

24. Ἀνάγν. καὶ βι. ια' τί. α' κεφ. ξ'[2], ἐν ᾧ φησιν· Εἰ καὶ ἰδιῶται περὶ τῆς ἀλλήλων διαδοχῆς ἀνισχύρως συμφωνοῦσι, καὶ οὐδὲ θανάτου αἰτίᾳ δωρεὰν εἰσάγει τὸ σύμφωνον, στρατιῶται ὅμως ἐπὶ παράταξιν ἐξιόντες ἰσχυρῶς τὸ τοιοῦτον συμφωνοῦσιν.

25. Ἀνάγν. καὶ βι. νε'[3] τί. α' κεφ. πη'. ἀνάγν. καὶ βι. νε'[4] τί. ϛ', ἐν ᾧ διαλαμβάνεται περὶ στρατιωτῶν λιμητανέων καὶ καστελλιανῶν, καὶ τῶν τούτοις ἀφωρισμένων ἀγρῶν καὶ νομῶν καὶ λιμνῶν τῶν καὶ λιμητοτρόφων καλουμένων.

---

[1] Bas. μὴ δεῖ. [2] Lips. η'. [3] Leuncl. ιβ'. Quem locum significet, non invenio. [4] Lips. ιε'.

V.

Περὶ συγχαριαρίων.

1. Ἀνάγν. βι. νϛʹ τί. ιζʹ κεφ. ξεʹ [1], ἐν ᾧ φησιν· Οἱ τὰς δημοσίας ἱλαρίας εἴτε οὖν χαρμόσυνα ἐπιφερόμενοι μηδὲν παντελῶς παρὰ τῶν ἐπαρχεωτῶν λαμβανέτωσαν, εἴτε πολεμίων ἀναχώρησιν εἴτε νίκην εἴτε ὑπάτων ἀναγόρευσιν εἴτε εἰρήνην γενομένην πρὸς τοὺς πολεμίους εἴτε λαβράτα καταγγέλλοιεν.

VI.

Περὶ συκοφαντῶν.

1. Ἀνάγν. βι. ξʹ τί. αʹ, οὗτινος ἐν τῷ ιʹ κεφ. φησί· Κατὰ τρεῖς τρόπους ἡ συκοφαντία γίνεται, καὶ τριπλῶς ἡ ἐπεξέλευσις. ἢ γὰρ συκοφαντεῖ τις πλαστῶς κατηγορῶν, ἢ προδότης τῆς ἰδίας ὑποθέσεως γίνεται τὰ ἀληθῆ ἐγκλήματα κρύπτων, ἢ φυγοδικεῖ τελείως ἀναχωρῶν τῆς κατηγορίας.

Οὐ πάντως δὲ συκοφάντης ἐστὶν ὁ μὴ ἀποδεικνὺς ὅπερ κατηγόρησεν, ἀλλ᾽ ἐν τῇ κρίσει τοῦ δικαστοῦ ἐστι μετὰ τὸ ἐλευθερῶσαι τὸν κατηγορούμενον ζητῆσαι περὶ τούτου.

Καὶ εἰ μὲν εἴποι, οὐκ ἀπέδειξας, ἐφείσατο αὐτοῦ· εἰ δὲ εἴποι, ἐσυκοφάντησας, κατεδίκασεν αὐτόν, κἂν μηδὲν εἴπῃ περὶ τῆς ποινῆς· ἐπακολουθεῖ γάρ. ἡ μὲν γὰρ τῆς ὑποθέσεως ζήτησις ἐπιτέτραπται τῷ δικαστῇ, οὐ μὴν ἡ τοῦ νόμου ἐπεξέλευσις.

Εἰ δὲ εἴποι, προπετῶς ἐκίνησας, οὐ ποιεῖ αὐτὸν συκοφάντην, οὐδὲ ποινὴν ὑφίσταται.

2. Ἐν δὲ τῷ ιβʹ κεφ. Ὁ ἀποστὰς οὐ δύναται περαιτέρω κατηγορεῖν.

3. Καὶ ἐν τοῖς ἰδιωτικοῖς ἤτοι χρηματικοῖς ἐγκλήμασι πάντες οἱ συκοφάνται πρὸς τὸ ἁμάρτημα σωφρονίζονται.

4. Ἐν δὲ τῷ λεʹ [2] κεφ. Ἡ διάταξις βούλεται τὸν συκοφαντήσαντα ἐπὶ δημοσίῳ ἐγκλήματι καὶ ἀτιμοῦσθαι καὶ περιορίζεσθαι· μόνον μέντοι ἐὰν ἀλλοτρίαν κατηγορίαν ἐκίνησεν ὡς ἰδίαν ἢ ἰδίων αἰτίᾳ.

5. Ἀνάγν. καὶ βι. γʹ τί. αʹ κεφ. βʹ, ἐν ᾧ φησιν· Ὁ συκοφαντήσας ἐγκληματικῶς ἐπίσκοπον λʹ χρυσίου λίτρας προστιμάσθω τῷ δημοσίῳ. βεβαιούσθωσαν δὲ τὰ |ἐκκλησιαστικὰ πάντα

---

[1] Lips. ξηʹ. [2] Leuncl. λϛʹ.

προνόμια. καὶ μὴ νομιζέσθω ὅλως κληρικὸς ἢ μοναχὸς ὁ συλλαβὼν[a] ἐκτὸς τοῦ οἰκείου ἐπισκόπου τὸ κομητάτον[1] κατειληφώς.

VII.

Περὶ συμβολαιογράφων καὶ συμβολαίων[2].

1. Ἀνάγν. βι. κβ' τί. β', ἐν ᾧ φησι τοῦ μὴ εἰς ἕτερον χάρτην τοὺς συμβολαιογράφους γράφειν συμβόλαιον, εἰ μὴ εἰς τὸν ἔχοντα προκείμενον τὸν καλούμενον πρωτόκολλον· καὶ οὕτως πως ἄρχεσθαι τῶν συμβολαίων· βασιλείας τοῦδε τοῦ θειοτάτου αὐγούστου καὶ αὐτοκράτορος ἔτους τοσοῦδε· καὶ μετ' ἐκεῖνα ἐπιφέρειν τὴν τοῦ ὑπάτου προσηγορίαν τοῦ κατ' ἐκεῖνο τὸ ἔτος ὄντος, καὶ τρίτην[3] τὴν ἐπινέμησιν παρεπομένων τοῦ μηνὸς καὶ τῆς ἡμέρας[a].

VIII.

Περὶ συμφώνων καὶ συναινέσεως καὶ συναλλαγμάτων.

1. Ἀνάγν. βι. ια' τί. α'. οὗτινος ἐν τῷ α' κεφ. φησί· Σύμφωνόν ἐστι δύο ἢ τριῶν εἰς ταὐτὸν ἢ πλειόνων συνέλευσις εἰς τὸ ἀρεστὸν καὶ συναίνεσις.

Τὸ δὲ τῆς συναινέσεως ὄνομα γενικόν ἐστι, φερόμενον πρὸς πᾶσαν συναίνεσιν γενομένην ἐπὶ συστάσει ἐνοχῆς καὶ διαλύσει. ὡς ἐπίπαν δὲ ἡ συναίνεσις εἰς ἰδικὸν ὄνομα μετέρχεται, ὡς εἰς ἀγορασίαν, μίσθωσιν, ἐνέχυρον, ἐπερώτησιν[a].

2. Ἐν δὲ τῷ β' κεφ. Συμφωνεῖ τις καὶ παρὼν καὶ ἀπὼν καὶ δι' ἐπιστολῆς καὶ δι' ἀγγέλου καὶ σιωπηρῶς· ὡς ὅταν ἀναδῷ τῷ χρεώστῃ μου τὸ γραμματεῖον· ἔχει γὰρ ἐπὶ τῷ χρέει παραγραφήν.

3. [Ἐν δὲ τῷ ε' κεφ.] Τῶν συναινέσεων αἱ μὲν ἐξ αἰτίας δημοσίας γίνονται, ὡς ὅταν οἱ στρατηγοὶ πρὸς ἀλλήλους περὶ εἰρήνης συμφωνήσουσι·

---

[a] Γραμμάτων.

[a] Ἀνάγν. καὶ νεαρὰν νδ' καὶ νεαρὰν μζ', ἐν ᾗ φησι περὶ τοῦ προτάττεσθαι τὸ τοῦ βασιλέως ὄνομα ἐν τοῖς συμβολαίοις καὶ τὸ ἔτος.

[a] Ἀγωγὴ συνίσταται ἐξ ἐπερωτήσεως καὶ συμφώνου ἀποκρίσεως· οἷον ὁμολογεῖς κατασκευάζειν μοι οἰκίαν ἢ διδόναι μοι νομίσματα ἑκατόν.

---

[1] Leuncl. conj. τὴν πόλιν. [2] In Paris. 1351 hic in margine adscribitur titulus Bas. XXII, 2 cum scholiis et Nov. Leonis περὶ πολιτικῶν σωματείων. [3] Lege τρίτον.

4. *Αἱ δὲ ἐξ ἰδικοῦ νόμου εἰσί. διὸ ἔσθ' ὅτε καὶ τίκτουσι καὶ ἀναιροῦσιν ἀγωγήν.*

5. *Ἡ τοῦ ἐθνικοῦ νόμου εἰσὶν, αἵτινες ἢ ἀγωγὰς ἢ παραγραφὰς ἔχουσιν ἢ τίκτουσι. καὶ αἱ τίκτουσαι ἀγωγὰς εἰς ἰδικὸν ὄνομα μετέρχονται, ἀγορασίαν, πρᾶσιν, μίσθωσιν καὶ ἐκμίσθωσιν, κοινωνίαν, χρῆσιν, παρακαταθήκην καὶ τὰ παραπλήσια. εἰ δὲ καὶ μὴ μετέρχονται εἰς ἰδικὸν συνάλλαγμα, ὕπεστι δὲ αἰτία, τίκτεται ἐνοχή· ὡς ὅταν δώσω σοι πρᾶγμα, ἵνα μοι ἄλλο δῷς ἢ ἵνα τὶ ποιήσῃς. ὅθεν ἐὰν δώσω σοι πέτρον, ἵνα παῦλον ἐλευθερώσῃς, καὶ μετὰ τὸ ἐλευθερῶσαι ἐκνικηθῇ πέτρος, ἔχεις κατ' ἐμοῦ τὴν πραισκρίπτις βέρβις.*

6. Ἐν δὲ τῷ ς' κεφ. *Τὸ ψιλὸν σύμφωνον ἀγωγὴν οὐ τίκτει, ἀλλὰ παραγραφήν. ἐν ἀρχῇ δὲ γινόμενον τυποῖ τὴν ἀγωγὴν, ὡς*[1] *ἐπὶ τῶν καλῇ πίστει δικαστηρίων. εἰ δὲ μετὰ χρόνον συμφωνηθῇ τι, τῷ μὲν ἐνάγοντι οὐ συμβάλλεται, τῷ δὲ ἐναγομένῳ τίκτει παραγραφήν. ἐὰν γὰρ μετὰ τὸν γάμον συμφωνήσῃ ἡ γυνὴ παραχρῆμα καὶ μὴ τῷ ὡρισμένῳ χρόνῳ ἀναλαβεῖν τὴν προῖκα, ἢ τόκους ἐπὶ τῆς κατὰ τῶν ἐπιτρόπων ἀγωγῆς κινουμένης μείζονας δοθῆναι τῶν νομίμων, οὐκ ἔρρωται, ἵνα μὴ ἀπὸ ψιλοῦ συμφώνου τεχθῇ ἀγωγή. μόνα γὰρ τὰ ἐν ἀρχῇ συμφωνούμενα τυποῦσι τὰς ἀγωγάς. καὶ ἐπὶ τῆς πράσεως ὡς καὶ ἐπὶ τῶν λοιπῶν καλῇ πίστει τὸ παρὰ φύσιν τοῦ συναλλάγματος, εἰ μὴ σύγχρονόν ἐστι συμφωνούμενον, οὐ συμβάλλεται*[2] *τῷ ἐνάγοντι· τῷ δὲ ἐναγομένῳ τίκτει παραγραφήν. ὅσα δὲ κατὰ φύσιν τοῦ συναλλάγματος πράγματος μὴ τυχόντος συμφωνεῖται, ταῦτα καὶ τῷ ἐνάγοντι καὶ τῷ ἐναγομένῳ ὡς ἐνόντα συμβάλλεται. ἐπί τε γὰρ τῆς πράσεως καὶ τῶν λοιπῶν καλῇ πίστει συναλλαγμάτων καὶ μετατυποῦν ἔξεστι καὶ ὑπαναχωρεῖν ἐκ συμφώνου τελείως καὶ μερικῶς. καὶ δύο κληρονόμων ὄντων τῷ ἀγοραστῇ δυνατὸν πρὸς τὸν ἕνα μερικῶς ἐκ συμφώνου λύειν τὴν πρᾶσιν.*

7. Ἐν δὲ τῷ ζ' κεφ. *Τὰ χωρὶς δόλου σύμφωνα καὶ μὴ τοῖς νόμοις ἐναντιούμενα ἢ εἰς περιγραφὴν αὐτῶν γινόμενα*[b] *ἔρρωται.*

---

[b] Στεφάνου. Ἕτερόν ἐστι κόντρα λέγες ποιεῖν καὶ ἕτερον ἰμ φραούδεμ λέγις· τὸ μὲν ὅτε τὶς τὸ ἰδικῶς κεκωλυμένον ὑπὸ τοῦ νόμου ποιεῖ, αὐ-

---

[1] Lips. καὶ ὡς. [2] Lips. in marg. γρ. καὶ συμφωνεῖται.

Τῶν συμφώνων τὰ μέν εἰσι γενικὰ τελείαν ἔχοντα συγχώρησιν· τὰ δὲ προσωπικά. κατὰ πρόληψιν δὲ γενικά εἰσι, κἂν ῥητὸν ἐντίθηται πρόσωπον.

Κατὰ δόλον τὶς συμφωνεῖ, ὁσάκις ἐπὶ παραγραφῇ τινος ἄλλο τὶ πράττει καὶ ἄλλο τὶ προσποιεῖται. εἴτε κατὰ τὴν ἀρχὴν εἴτε μετὰ[1] τὸ σύμφωνον γένηται ὁ δόλος, ἁρμόζει ἀντιπαραγραφή.

8. *Ἐν δὲ τῷ η' κεφ. Παρὰ τὰ κοινὰ νόμιμα συμφωνεῖν οὐκ ἔξεστιν, οὐδὲ λεγατεύειν. καὶ ἐάν τις ὀμόσῃ ἐπὶ τοῖς τοιούτοις μὴ ἐνάγειν, οὐκ ἔῤῥωται. τοῦ δὲ συμφώνου παρανόμου ὄντος οὔτε ἐπερώτησις γενομένη κρατεῖ*[c].

τοῖς ἄντικρυς τοῖς τοῦ νόμου διαμαχόμενον ῥήμασι· τὸ δὲ ὅτε ποιῶν τι τῇ ἐννοίᾳ μᾶλλον τοῦ νόμου καὶ οὐ τοῖς ῥήμασι διαμάχεται· τότε γὰρ περιγράφει νόμον. οἷον νόμου κελεύοντος τὸν ἰλλούστριον δανείζοντα μὴ περαιτέρω τοῦ τρίτου τῆς ἑκατοστῆς τόκον ἐπερωτᾷν, οὗτος, εἰ μὲν δι' ἑαυτοῦ δανείζων περαιτέρω ταύτης ἐπερωτήσει τόκον, κόντρα λέγες ποιεῖ καὶ τοῖς τοῦ νόμου διαμάχεται ῥήμασιν· εἰ δὲ μὴ δι' ἑαυτοῦ, ἰν φραύδεμ λέγις, τὴν ἔννοιαν περιγράφων τοῦ νόμου καὶ τῷ σκοπῷ τῶν αὐτοῦ ῥημάτων διαμαχόμενος.

c *Ὁ φροντιστὴς*[2] *τότε βλάπτει συμφωνῶν τὸν παρ' αὐτοῦ φροντιζόμενον, ὅτε γενικός ἐστι καὶ ὅτε ἐνταλθῇ.*

Ὁ δὲ προβληθεὶς ἐπὶ δίκῃ οὐ βλάπτει συμφωνῶν, ἐπειδὴ μὴ καλῶς αὐτῷ καταβάλλεται.

Τὸ μεῖζον μέρος ἐκ τοῦ ποσοῦ τοῦ χρέους σκοπεῖται. εἰ δὲ ἰσάζει, τοῖς πλείοσι προσώποις προστίθεται· καὶ τούτων δὲ ἴσων ὄντων προκρίνονται οἱ ἀξίᾳ προὔχοντες. πάντων δὲ ὁμοίων εὑρισκομένων ἡ φιλάνθρωπος γνώμη νικᾷ.

Νόει. πολλοὶ ἦσάν τινι δανεισταὶ τελευτήσαντι καὶ συμφωνεῖ ὁ κληρονόμος ἐκείνου μετ' αὐτῶν τὸ ἕκαστόν τι λαβεῖν τῶν χρεῶν. ἔῤῥωται τὸ σύμφωνον, καὶ ἐκ μεταμελείας βουλόμενοι κινῆσαι περὶ ὁλοκλήρου τοῦ χρέους ἐκβάλλονται τῇ τοῦ συμφώνου παραγραφῇ. πλὴν τότε ἀντίκειται αὐτοῖς τὸ τοιοῦτον σύμφωνον, ὅτε κοινῇ συνελθόντες εἴπωσι πόσῳ μέρει ἀρκοῦνται τῶν χρεῶν. εἰ δὲ συνελθόντες διχονοήσουσι, καὶ οἱ μὲν τὸ ἓν εἴπωσιν ἀπαιτεῖν, οἱ δὲ τὸ γ', ἡ τῶν πλειόνων γνώμη κρατεῖ. τοὺς πλείονας δὲ οὐκ ἐν τῷ ἀριθμῷ τῶν προσώπων, ἀλλ' ἐν τῇ ποσότητι τοῦ χρέους σκοποῦμεν. εἰ δὲ ἰσάζει κατὰ τὴν ποσότητα, τότε οἱ πλείονες προκρίνονται. εἰ δὲ ἰσότης κἂν τούτοις εὑρεθῇ, τότε οἱ ἀξίᾳ προὔχοντες. εἰ δὲ καὶ κατὰ πάντα ὁμοιότης συνδραμῇ, τότε τῇ φιλανθρωποτέρᾳ γνώμῃ προστιθέμεθα.

Ἡ δὲ τοῦ ἐνεχύρου ἀνάδοσις οὐκ εἰσάγει τοῦ χρέους συγχώρησιν, εἰ μὴ τοῦτο ἰδικῶς συνέδοξεν.

---

[1] Lips. *κατά.* [2] Haec Leuncl. in textu praestat. Sumta sunt ex Basil. XI, 1, 12. 13. 8 (cum scholio). 3. 39. 38.

9. Ἐν δὲ τῷ ι' κεφ. Ἐὰν ὑποβληθῇ τῷ συμφώνῳ ποινὴ, ἐπιλογὴν ἔχει ὁ ἐπερωτήσας, ἢ τῇ ἐπερωτήσει χρήσασθαι ἢ τῇ παραγραφῇ, καὶ ποιῆσαι τῆς ποινῆς ἀποχήν.

Ἐν ἀτονίᾳ τῆς τοῦ συμφώνου παραγραφῆς ἁρμόζει ἡ τοῦ δόλου ὡς ἐπίπαν· ὡς ἐπὶ φροντιστοῦ συμφωνοῦντος. τὸ γὰρ σύμφωνον αὐτοῦ ὠφελεῖ καὶ βλάπτει τὸν δεσπότην.

10. Ἐπειδὴ καὶ καλῶς αὐτῷ καταβάλλεται.

11. Ἐν δὲ τῷ ιη' κεφ. Τὸ πρὸς ἐμὲ γενόμενον γενικὸν ἢ προσωπικὸν σύμφωνον ὠφελεῖ καὶ τὸν ἀγοράσαντα παρ' ἐμοῦ καὶ τὸν κατὰ δωρεὰν διαδεξάμενον.

12. Ἐν δὲ τῷ κβ' κεφ. Τὰ παράνομα σύμφωνα οὐκ ἔῤῥωται. ὡς ὅταν ὁ ἄνηβος χωρὶς τῆς αὐθεντίας τοῦ ἐπιτρόπου συγχωρῇ χρέος· οὔτε γὰρ αὐτῷ χωρὶς τοῦ ἐπιτρόπου καλῶς καταβάλλεται· κρείττονα δὲ τὴν οἰκείαν αἵρεσιν καὶ χωρὶς τοῦ ἐπιτρόπου ποιεῖ.

Ὁ υἱὸς ἢ δοῦλος ἀνισχύρως συμφωνεῖ μὴ ἀπαιτῆσαι. εἰ δὲ γενικῶς συμφωνήσει μὴ ἀπαιτηθῆναι τὸ χρέος, κἂν ἐκ τοῦ πεκουλίου ἦν καὶ εἶχεν ἐλευθέραν τὴν τοῦ πεκουλίου διοίκησιν, οὐκ ἔῤῥωται, εἰ μὴ ἧττον[1] ἢ πλέον τοῦ χρέους ἔλαβεν ὑπὲρ τοῦ συμφωνῆσαι. οὔτε γὰρ δωρεῖσθαι συγκεχώρηται ὁ ἔχων ἐλευθέραν τοῦ πεκουλίου διοίκησιν.

13. Ἐν δὲ τῷ κε' κεφ. Ὑπεναντίον τοῦ δόγματος τῶν ἀγορασιῶν συμφωνεῖν καὶ ἐν τῷ ἀγοράζειν[2] καὶ μετὰ ταῦτα δυνάμεθα[d].

Τὸ ἀσαφὲς ἢ ἀμφίβολον σύμφωνον κατὰ τοῦ πράτου καὶ τοῦ μισθώσαντός ἐστιν.

Διὰ ἰδιωτικοῦ συμφώνου τὸ κοινὸν νόμιμον οὐκ ἐναλλάσσεται.

d Τινὰ μὲν τῶν νενομοθετημένων παρὰ τοῦ πραίτωρος ἰδικῶς ἐξεφωνήθη, ἃ καὶ πραιτόρια ὀνομάζονται, τινὰ δὲ παρὰ τῶν ἀγορανόμων, οἷς ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν πράσεων καὶ ἀγορασιῶν ἐξῆν νομοθετεῖν. φησὶν οὖν ὁ νομικὸς, ὅτι τὰ ἐκφωνηθέντα παρὰ τῶν ἀγορανόμων ὑπὲρ τῶν πρατῶν καὶ ὑπὲρ τῶν ἀγοραστῶν ἔξεστι τοῖς συναλλάττουσι μεταμορφοῦν καὶ καινήν τινα ἰδέαν τῷ συναλλάγματι ἐπιχροννύειν εἴτε κατ' ἀρχὰς τῶν πράσεων εἴτε μετὰ ταῦτα. ἵνα δὲ μὴ δόξωμεν καὶ παραδειγμάτων ἀπορεῖν, καὶ ἐπί τινος θέματος τὸ τοιοῦτον φάκτον σαφηνίσομεν. πέπρακέ τις δοῦλον κρυπτὸν βίτιον ἤτοι πάθος ἔχοντα· δύναται οὖν ὁ πράτης εἴτε ἐν τῷ πιπράσκειν συμφωνεῖν μὴ ἐνέχεσθαι ὑπαιτίου τοῦ πραθέντος φανέντος, ἀλλὰ καὶ μετὰ τὴν πρᾶσιν εἰ συμφωνήσει μὴ ἐνέχεσθαι ἐκ τῶν προγεγονότων αἰτίων, τὸ τοιοῦτον πάκτον ἰσχύει καὶ μὴ δοκεῖ παρὰ τὸν νόμον εἶναι.

---

[1] Bas. ἶσον. [2] Leuncl. καὶ ἀγορ. καὶ ἐξ ἀρχῆς καὶ μ. τ.

14. Ἐν δὲ τῷ λ' κεφ. *Διὰ ἰδικοῦ συμφώνου τὸ κοινὸν νόμιμον οὐκ ἐναλλάσσεται*[e].

15. Ἐν δὲ τῷ νε'[1] κεφ. *Ὅσα σύμφωνα γένηται ἢ ὑπεναντία νόμων ἢ ὑπεναντία τῶν καλῶν τρόπων, ταῦτα μηδεμίαν ἔχειν ἰσχὺν, ἀναμφιβόλου νομίμου ἐστίν*[f].

16. Ἀνάγν. καὶ βι. κδ' τί. α'[2] κεφ. η', ἐν ᾧ φησι· *Τὴν ἀγαθὴν πίστιν χρὴ ζητεῖν ἐν τοῖς συναλλάγμασιν.*

17. *Ὥσπερ ἐξαρχῆς ἐξουσίαν ἕκαστος ἔχει τοῦ ποιεῖν ἢ μὴ ποιεῖν τὸ συνάλλαγμα, οὕτω μετὰ τὸ γενέσθαι ἀπαγορεύειν τῇ ἅπαξ συστάσῃ ἐνοχῇ τοῦ διαδίκου μὴ συναινοῦντος οὐδεὶς δύναται.* Ἀνάγν. καὶ βι. κς' τί. ς'[3] κεφ. ος' καὶ πθ'.

IX.

Περὶ συνηθειῶν τῶν διδομένων παρὰ τῶν ἐπαρχεωτῶν τοῖς διακομίζουσι καὶ ἐμφανίζουσι τὰς ἐκ βασιλέως ἀποστελλομένας σάκρας ἤτοι ἐπαναγνωστικὰ, καὶ περὶ τῶν διδομένων συνηθειῶν τοῖς διακομίζουσι τὰ διατάγματα τῶν μελλόντων ἄρχειν πολιτικῆς ἢ στρατιωτικῆς ἀρχῆς.

1. Ἀνάγν. βι. ζ' τί. ς' κεφ. ιη', ἐν ᾧ φησιν· *Οἱ τὰ διατάγματα κομίζοντες τῶν μελλόντων ἄρχειν πολιτικῆς ἢ στρατιωτικῆς*

τοῦτο δὲ ἰδικῶς συνεφωνήθη παρὰ τῶν βεριδίλων κουρούλων ἤτοι ἀγορανόμων ἐπὶ ἵππων ὑπατικῶν ὀχουμένων.

e κζ'[4]. Ἔξεστιν ἀπὸ συμφώνου μειοῖν τὰ παρὰ τοῦ πράτου ἢ ἀγοραστοῦ ὀφείλοντα γενέσθαι.

Ὁ ἀγοραστὴς ἐπηρωτήθη ὑπὲρ τιμήματος λιτρῶν κ'. ὁ πράτης ἐποίησεν αὐτῷ σύμφωνον, μὴ ἀπαιτεῖν αὐτὸν πλὴν ιε' λίτρας· ὁ ἀγοραστὴς ἐποίησε σύμφωνον, ὅτι ἐὰν μὴ εἴσω τοῦ ὡρισμένου χρόνου καταβάλῃ τὰς ιε' λίτρας, δίδωσι τὰ κ'. μὴ καταβαλὼν ἀπαιτεῖται τὰ κ'.

λθ'. Ὁ τοῦ μέλλοντος χρόνου λαμβάνων τόκον σιωπηρῶς συμφωνεῖ μὴ ἀπαιτῆσαι τὸ κεφάλαιον ἐν τοσούτῳ.

μα'. Ἐὰν οἱ δανεισταὶ μέρος ἐκ τῶν πραγμάτων ἑτοίμως ἔχωσι λαβεῖν, προτιμῶνται οἱ συγγενεῖς εὔποροι ὄντες.

Μετὰ τὸ ἅπαξ ἀποτάξασθαι τῆς περί τινος καταχθείσης εἰς δικαστήριον οὐδὲ εἷς λογισμὸς ἐπιτρέπει ἐκ μεταμελείας ταύτην ἀνανεωθῆναι.

f νη'. Τὸ[5] πίστει καλῇ γενόμενον σύμφωνον, εἰ καὶ ἀγράφως γέγονεν, ἐξ ἄλλων δὲ ἀποδείξεων τοῦ πράτου ἡ ἀλήθεια δείκνυται, ὁ τῆς ἐπαρχίας ἄρχων παραφυλάττεσθαι ποιήσει.

ξ'. Εἰ καὶ ἰδιῶται περὶ τῆς ἀλλήλων διαδοχῆς ἀνισχύρως συμφωνοῦσι,

---

[1] Leuncl. με'. [2] Lege γ'. [3] Leuncl. ε'. [4] Haec apud Leuncl. partem textus efficiunt. [5] Etiam haec Leuncl. in textu praestat.

ἀρχῆς ιε΄ μόνους χρυσοῦς ἐκ τῆς ἐπαρχίας κομιζέσθωσαν. εἰ δὲ πλέον λάβωσι, τὸ τετραπλάσιον διδότωσαν· μὴ δυνάμενοι πρὸς ἀπολογίαν προφέρειν, ὡς παρ᾽ ἑκόντων εἰλήφασι τὸ περιττόν.

2. Ἀνάγν. καὶ βι. νϛ΄ τί. ιζ΄ κεφ. ξζ΄, ἐν ᾳ φησιν· Ἡ διάταξις βούλεται, ἓξ νομίσματα μόνον παρέχεσθαι ἀφ᾽ ἑκάστης ἐπαρχίας ὑπὲρ τῶν ἐμφανιζομένων θείων ῥημάτων ἢ γενικῶν προστάξεων ἢ δημοσίων συμβολαίων ἢ ἀνδριάντων. τὸν δὲ πλέον λαβόντα τετραπλασίονα διδόναι, κωλυόντων τοῦ τε ἄρχοντος καὶ τοῦ ἐπισκόπου καὶ τῶν πρώτων τῆς πόλεως καὶ πάσης πολιτικῆς καὶ δημοσίας βοηθείας. ὁ μὲν γὰρ ἐπίσκοπος ὑπὸ ἀγανάκτησιν ἔσται βασιλικὴν, ὁ δὲ ἄρχων καὶ ἐκπεσεῖται τῆς ἀρχῆς καὶ δημευθήσεται καὶ ἐξορισθήσεται· καὶ ἡ τάξις δὲ κινδυνεύει.

X.

Περὶ συνηγόρων, καὶ τίνες κωλύονται συνηγορεῖν [1].

1. Ἀνάγν. βι. η΄ τί. α΄ κεφ., οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Τρεῖς εἰσι τάξεις τῶν μὴ δυναμένων συνηγορεῖν. οἱ μὲν γὰρ εἰς τὸ παντελὲς κωλύονται, οἱ δὲ ὑπὲρ μόνον ἑαυτῶν συνηγοροῦσιν, οἱ δὲ ὑπὲρ ἑαυτῶν καί τινων [2] ἄλλων.

Εἰς τὸ παντελὲς κωλύεται συνηγορεῖν ὁ μὴ πληρώσας τὸν ιζ΄ ἐνιαυτὸν, καὶ ὁ παντελῶς μὴ ἀκούων. οὐ μόνοις δὲ τούτοις, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς ἐξ ἑτέρας αἰτίας μὴ ἔχουσι συνηγόρους, ἢ κατὰ περιδρομὴν [a] ἢ φόβον τοῦ ἀντιδίκου, δίδωσιν ὁ πραίτωρ.

Ὑπὲρ μόνων ἑαυτῶν συνηγοροῦσι γυνὴ καὶ τυφλός. ἡ γυνὴ γὰρ οὐ μετέρχεται ἀνδρῷον ὀφφίκιον· ὁ τυφλὸς δὲ καὶ δικάζειν δύναται.

Κωλύεται ὑπὲρ ἄλλων συνηγορεῖν, καὶ ὁ ἡταιρικῶς [b 3] εἰ

καὶ οὐδὲ θανάτου αἰτίᾳ δωρεὰν εἰσάγει τὸ σύμφωνον, στρατιῶται ὅμως ἐπὶ παράταξιν ἐξιόντες ἰσχύρως τὸ τοιοῦτο συμφωνοῦσι.

ξα΄. Αἱ δεσποτεῖαι τῶν πραγμάτων διὰ παραδόσεων καὶ χρήσεων μεταφέρονται, οὐ μὴν διὰ ψιλοῦ συμφώνου.

[a] Ἤγουν δόλον.

[b] Ὁ ἐν τᾳ οἰκείῳ σώματι τὰ γυναικῶν ὑπομείνας. ὑπὲρ ἑαυτοῦ δὲ οὐ κωλύεται.

[1] Cod. Vind. jurid. gr. 1 fol. 245 hic in marg. adscribit: De postulandis. Ulpianu. [2] Leuncl. ῥητῶν. Ita Basil. [3] Lips. ἡταρικώς. Bas. ἡταιρηκῶς.

μὴ κατὰ βίαν λῃστῶν ἢ πολεμίων πέπονθε· καὶ ὁ κεφαλικῷ καταδικασθεὶς ἐγκλήματι.

Καὶ ὁ ἑαυτὸν μισθώσας εἰς τὸ θηριομαχῆσαι, εἰ μὴ τὸ θηρίον τυχὸν λέων ἦν ἢ ἄλλο τὶ καὶ ἥμερον γέγονεν.

Οὐκ ἀτιμοῦται ὁ μισθὸν λαμβάνων ἐπὶ τῷ καταπολεμῆσαι θηρίον ἔξωθεν κυνηγίου βλάπτον τὴν ἐπαρχίαν.

2. Ἐν δὲ τῷ ιγ' κεφ. Ὁ τῷ μέλλοντι συνηγορεῖν τὰ ἀπὸ συνηγορίας[1] χρεωστηθησόμενα ὡς ἐπὶ δανείου χρεωστεῖν ὁμολογήσας, κεχρήσθω τῆς ἀναργυρίας παραγραφῇ, εἰ μὴ παρῆλθεν ὁ χρόνος[c], καὶ τὴν οἰκείαν κομιζέσθω ἀσφάλειαν.

3. Ἐν δὲ τῷ ιε' κεφ. Ὁ δι' ἀπληστίαν τῷ οἰκείῳ συνθέμενος πρόσφυγι φανερὰν τῆς δίκης μοῖραν μετὰ τὴν νίκην λαμβάνειν, καὶ ἐπιμείνας, τοῦ συνηγορεῖν ἐκβαλλέσθω.

4. Ἐν δὲ τῷ ιζ' κεφ. Μὴ ἐξεῖναι τῷ δικολόγῳ ἢ λαθραίως ἢ φανερῶς ὑβρίζειν τὸν ἑαυτοῦ διάδικον. ἐὰν δὲ ὑβρίσῃ, ἀτιμοῦσθαι αὐτόν.

5. Ἐν δὲ τῷ ιη' κεφ. Ἀλλὰ μηδὲ σύμφωνον ἢ συνάλλαγμα περὶ [τῆς] δίκης ποιεῖσθαι ἢ περὶ τῶν μισθῶν τὸν δικολόγον μετὰ τοῦ οἰκείου πρόσφυγος.

6. Ἐν δὲ τῷ κβ' κεφ. Ὁ ἄρχων ἐξ ἴσου τοὺς δικολόγους τοῖς μέρεσι διδότω, ὡς ἂν μὴ εὑρεθεῖεν εἰς ἓν μέρος οἱ ἀπαίδευτοι καὶ ἀτριβεῖς ἔτι.

7. Ἐν δὲ τῷ κδ' κεφ. Ὁ προδοσίας τοῦ οἰκείου κατηγορήσας συνηγόρου μετὰ ἀπόδειξιν τὰς προσφόρους αὐτῷ τιμωρίας ἐπάγει, καὶ ἐξ ἀρχῆς ἡ ὑπόθεσις κινηθήσεται. μὴ ἀποδείξας δὲ ὡς συκοφάντης ἀτιμωθήσεται, καὶ στέρξει μὴ ἐκκαλεσάμενος τὴν ἀπόφασιν.

8. Ἐν δὲ τῷ με' κεφ. Ὅσα περὶ τῶν συνηγορουμένων οἱ συνήγοροι λέγουσιν, αὐτοὶ νομιζέσθωσαν οἱ δικαζόμενοι λέγειν.

9. Ἀνάγν. καὶ βι. κδ'[2] τί. α' κεφ. λϛ', ἐν ᾧ φησι· Τὰ ὡς ἐπὶ συνηγορίᾳ δοθέντα, [εἰ] καὶ οἱ λαβόντες τοῦ μὴ πληρῶσαι τὴν πίστιν ἣν ὑπεδέξαντο τουτέστι τοῦ μὴ συνηγορῆσαι γεγόνασιν αἴτιοι, οὐκ ἀφίστανται[3].

10. Ἀνάγν. καὶ βι. λε' τί. ιη' κεφ. α' καὶ βι. νδ' τί. ιδ' κεφ. α', ἐν ᾧ φησι· Τὰ συνηγορικὰ τῶν συνηγόρων δίδοται πρὸς τὸ μέτρον

---

c Τῆς διετίας δηλονότι.

---

1 Lips. συνηθείας. 2 Lips. et Leuncl. κα'. 3 Basil. ἀποκαθίστανται, omissa negatione.

τῆς δίκης καὶ τῆς εὐγλωττίας, καὶ τὴν συνήθειαν τοῦ φόρου καὶ τοῦ δικαστηρίου, ὥστε μέντοι μὴ παρεξιέναι τὸ ἐπιτετραμμένον ποσόν.

11. Ἀνάγν. καὶ βι. ξ' τί. κς' κεφ. α'[1], ἐν ᾧ φησιν· Ὁ συνήγορος χρηματικὴν ἢ ἐγκληματικὴν δίκην προδιδοὺς σφοδρῶς τιμωρεῖται.

12. Ἀνάγν. καὶ βι. να' τί. δ' κεφ. θ' καὶ κθ'.

XI.

Περὶ συνωνῆς τῆς τε ἐν ὡρείοις ἀποκειμένης καὶ τῆς κατὰ θείαν κέλευσιν χορηγουμένης παρὰ τῶν κτητόρων.

1. Ἀνάγν. βι. νς' τί. θ', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ἐὰν οἱᾳδήποτε ἐπαρχίᾳ ἐπιβληθῇ συνωνή τινος εἴδους, μηδεὶς ἐξκουσσατευέτω ἑαυτὸν οἱῳδήποτε χρόνῳ ἢ τρόπῳ διὰ θείων κεραιῶν ἢ πραγματικοῦ θεσπίσματος ἢ δικαστικῆς διατυπώσεως. οὐδὲ γὰρ ὁ θεῖος οἶκος ἢ τῆς εὐσεβεστάτης αὐγούστης τῆς τοιαύτης λειτουργίας ἀπήλλακται.

2. Ἐν δὲ τῷ ε' κεφ. Οἱ τὰς πόλεις οἰκοῦντες ἢ ἐν αὐταῖς κεκτημένοι μὴ ἀναγκαζέσθωσαν εἰς ἑτέραν πόλιν ἢ εἰς [τὴν] μητρόπολιν εἴδη χορηγεῖν. εἰ δὲ καί τις ἀπαραίτητος αἰτία καταναγκάσει τοῦτο γενέσθαι, τοῖς δικαίοις τιμήμασι τοῖς ἐν ἐκείνῃ τῇ πόλει κρατοῦσιν, ἐξ ὧν[2] τὰ εἴδη παρέχεται, πιπρασκέτωσαν, ἐκείνων ταῦτα μετακομιζόντων τῶν δεομένων τῶν εἰδῶν. ὑπολογιζέσθω δὲ τὰ τιμήματα τῶν εἰδῶν τοῖς πιπράσκουσι εἰς τὰ συντελούμενα παρ' αὐτῶν ἐν χρυσῷ δημόσια. οὐδὲ γὰρ δίκαιον νῦν μὲν ἀπαιτεῖσθαί τινα παρέχειν εἴδη, μετὰ χρόνον δὲ αὐτῷ τὰ τιμήματα λογίζεσθαι, οὕτως εὐθηνίας[3] γενομένης. τοῦ λαμπροτάτου ἄρχοντος ἑκάστης ἐπαρχίας ἐγκινδυνεύοντος εἰς τὸ καταλογίζεσθαι τοῖς πιπράσκουσι τὰ τῶν εἰδῶν τιμήματα κατὰ τὰς ὡρισμένας προθεσμίας ὑπὲρ αὐτῶν ἐκπέμπεσθαι. μηδεὶς δὲ ἀναγκαζέσθω πιπράσκειν πᾶσαν χρείαν αὐτοῦ, ἀλλὰ τὰ ἐκπεριττεύοντα εἴδη. ἀσεβὲς γάρ ἐστιν ἀποστερεῖσθαί τινα τῶν οἰκείων καὶ ἑτέροις ταῦτα χορηγεῖν. ρ' λίτρας χρυσίου ζημίαν ὑφισταμένου καὶ κινδυνεύοντος εἰς τὴν ἀξίαν καὶ τὴν ζώνην αὐτοῦ τοῦ παραβαίνοντος τὸν νόμον ἢ συγχωροῦντος αὐτὸν παραβαθῆναι.

---

[1] Leuncl. δ'. [2] Leuncl. conj. ἧς. [3] Lips. εὐθυνίας.

XII.

Περὶ συστημάτων καὶ σωματείων θεμιτῶν, ἤτοι χαρακτῶν, χαλκέων, μαγκίπων, κήπων, χοιρεμπόρων καὶ λοιπῶν, καὶ περὶ συστημάτων ἀθεμίτων.

1. *Ἀνάγν. βι. η' τί. β' κεφ. ρα'*[1], *ἐν ᾧ φησιν·* Οὐ πᾶσιν ἐφεῖται ποιεῖν ἑταιρείας ἢ συστήματα ἢ σωματεῖα, ἀλλ' ἐπὶ δημοσίων τελῶν καὶ μετάλλων ἀργύρου καὶ χρυσοῦ, καὶ ἁλικῶν καὶ μαγκίπων καὶ ναυκλήρων καί τινων ἄλλων ἀπὸ νόμου βεβαιωθέντων. καὶ ἔξεστιν αὐτοῖς κατὰ μίμησιν τῆς πόλεως ἔχειν τὰ πράγματα κοινὰ καὶ ἄρκαν, καὶ ἐνάγοντα ἤγουν σύνδικον δι' οὗ πράττεται τὰ κοινά.

2. *Ἀνάγν. καὶ βι. νδ' τί. ις', καὶ ιζ' καὶ ιθ' καὶ κ' καὶ κα' καὶ κβ' καὶ βι. νς' τί. α' κεφ. νγ' καὶ βι. ξ' τί. λβ', οὗτινος ἐν τῷ 'α' κεφ. φησίν·* Οἱ ἄρχοντες πανταχοῦ κωλυέτωσαν ἐν ταῖς πόλεσι καὶ κώμαις τοὺς παγανοὺς[a] ἢ στρατιώτας ἐν τοῖς στρατοπέδοις[b] αὐτῶν ἔχειν ἑταιρικὰ συστήματα. τοῖς δὲ μετρίοις ἐφεῖται συνεισφορὰν ἅπαξ ποιεῖν μόνον τοῦ μηνός.

Καὶ χάριν εὐχῆς θεμιτῶς ἔξεστι συνιέναι.

3. *Ἐν δὲ τῷ β' κεφ.* Ὁ παράνομον ποιῶν σύστημα τῇ κατὰ τῶν ὅπλοις τόπον δημόσιον ἢ ἱερὸν κατασχόντων ὑπόκειται ποινῇ.

Ἀρχὴ τοῦ Τ στοιχείου.

I.

Περὶ ταβουλλαρίων.

1. *Ἀνάγν. βι. νδ' τί. η' κεφ. α' καὶ β', ἐν ᾧ φησι τοῦ εἶναι αὐτοὺς ἐλευθέρους καὶ μηδὲ στρατεύεσθαι. ἀνάγν. καὶ τὰ προειρημένα ἐν τῷ περὶ συμβολαιογράφων.*

II.

Περὶ ταβλιζόντων ἐκκλησιαστικῶν προσώπων.

1. *Ἀνάγν. βι. γ' τί. α' κεφ. ιθ', ἐν ᾧ φησιν·* Ἀπαγορεύομεν δὲ τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις

---

a Ἰδιώτας.

b Κάστροις.

---

1 Lips. ϙ'.

καὶ ὑποδιακόνοις καὶ ἀναγνώσταις καὶ παντὶ ἄλλῳ οἱῳδήποτε εὐαγοῦς τάγματος ἢ σχήματος καθεστῶτι ταβλίζειν ἢ τῶν ταῦτα παιζόντων κοινωνοὺς ἢ θεωρητὰς γίνεσθαι, ἢ εἰς οἱανδήποτε θέαν τοῦ θεωρῆσαι χάριν παραγίνεσθαι.

III.

Περὶ τακίτου ἤτοι τοῦ μὴ γινωσκομένου λεγάτου ἀπὸ ἀναγνώσεως τῆς διαθήκης.

1. *Ἀνάγν. βι. κγ' τί. γ κεφ. ιε' θέμ. γ'. ἀνάγν. καὶ βι. νς' τί. β' κεφ. λε' καὶ λη', ἐν ᾧ φησιν·* *Ἐπὶ τῷ τακίτῳ λεγάτῳ ἐκδίκησις ἁρμόζει τῷ δημοσίῳ.*

IV.

Περὶ ταξεωτῶν.

1. *Ἀνάγν. βι. ζ' τί. ς' [κεφ.] ιζ', ἐν ᾧ φησιν·* *Ὁ παραστάσιμος γενόμενος ὑπὸ τῶν αὐτῶν ταξεωτῶν*[1] *πραττέτω ᾧτινι παρεδόθη πρότερον μέχρι πέρατος τῆς ὑποθέσεως. εἰ δὲ καὶ παραβαθῇ τὰ νομοθετηθέντα, ὁ πρῶτος τοῦ σκρηνίου ἕτερον δοὺς ἐκβιβαστὴν ε' λίτρας χρυσοῦ προστιμάσθω.*

2. *Ἀνάγν. καὶ βι. νς' τί. ιζ' ἀπὸ τοῦ κθ' κεφ. ἐν δὲ τῷ λ' κεφ. φησίν·* *Οἱ ταξεῶται τῶν στρατηλατῶν στρατιῶται δοκοῦσιν εἶναι. τοῦτο δὲ εἶπεν, ἵνα δείξῃ ὅτι δύνανται στρατιωτικὸν πεκούλιον ἔχειν.*

V.

Περὶ τάφων, καὶ τί διαφέρουσιν οἱ τάφοι τῶν μνημάτων, καὶ περὶ τῆς γενομένης δαπάνης εἰς ταφὴν καὶ κηδείαν τῶν τεθνεώτων.

1. *Ἀνάγν. βι. ξ' τί. κγ', οὗτινος ἐν τῷ α' καὶ β' κεφ. φησίν·* *Ὁ καταστρέφων μνημεῖον ἢ τὴν ἐπικειμένην αὐτῷ στήλην τῷ μὲν ἀκουϊλίῳ οὐκ ἐνέχεται, ἀλλὰ τῷ περὶ βίας ἢ λάθρα. καὶ ἡ στήλη γάρ, ὥσπερ ἡ σορὸς, μέρος ἐστὶ τοῦ μνημείου.*

Ὁ ποιήσας δόλον εἰς τὸ χρανθῆναι μνημεῖον τῇ τὸ διπλοῦν ἀπαιτούσῃ ἀγωγῇ ἐνέχεται ἐκείνῳ, εἰς ὃν ἀνήκει τοῦτο. εἰ δὲ μηδείς ἐστιν εἰς ὃν ἀνήκει, ἢ οὐ βούλεται κινῆσαι, τῷ βουλομένῳ δίδοται ἀγωγὴ εἰς ρ' χρυσοῦ νομίσματα.

---

[1] Bas. *τὸν αὐτὸν ταξεώτην.*

Μνημεῖον λέγεται πᾶς ὁ ἀφωρισμένος τόπος τῇ ταφῇ.

Καὶ ὁ κληρονόμος καὶ πᾶς ἕτερος παρὰ γνώμην τοῦ διαθεμένου εἰς τάφον κληρονομιαῖον εἰσάγων ἐνέχεται ταύτῃ τῇ ἀγωγῇ. δύναται γὰρ ὁ τελευτήσας καὶ τελείως καὶ τινὰς τῶν κληρονόμων εἰσαγαγεῖν κωλῦσαι.

2. *Ἐν δὲ τῷ θ' κεφ. Ἐὰν οἰκέτης τάφον καταλύσῃ, εἰ μὲν παρὰ γνώμην τοῦ δεσπότου τοῦτο ποιήσει, μεταλλίζεται· εἰ δὲ κατὰ κέλευσιν ἐκείνου, ἐξορίζεται. [εἰ δὲ μάλιστα ἀπὸ τάφου λαβὼν οἰκέτης κατὰ γνώμην τοῦ δεσπότου ἔφερεν ἢ εἰς οἶκον ἢ εἰς ἀγρὸν ἢ ἐποίκιον τοῦ δεσπότου, δημευθήσεται.]*

3. *[Ἐὰν ὁ ἄρχων μὴ σπουδάσει ἐκδικεῖν τὰ κατὰ τῶν τάφων ἁμαρτανόμενα, αὐτὸς ἀπαιτείσθω τὴν τιμωρίαν, ἥντινα*[1] *καὶ οἱ αὐτὴν δήποτε τὴν ὕλην ἀφαιροῦντες, ἤτοι κ' λίτρας χρυσοῦ τῷ δημοσίῳ καταβαλλέτω, εἴτε αὐτὸς ὁ τῆς ταφῆς δεσπότης καταμέμψηται εἴτε τὶς ἕτερος, εἴτε ἡ τάξις προσαγγείλῃ. τῇ αὐτῇ καὶ οἱ τὰ σώματα ψηλαφῶντες τὰ παραδεδομένα ἤδη τελείᾳ ταφῇ ἐνέχονται.]*

4. *Οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι.*

5. *Ἀνάγν. καὶ τί. με' κεφ. β' καὶ δ' καὶ ε', ἐν οἷς φησιν, ὅτι οὐκ ἔξεστι συνθάπτειν τοῖς τεθνεῶσι χρήματα, καὶ περὶ τῶν ταῦτα ἀφαιρουμένων.*

6. *Ἀνάγν. βι. νθ' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ δαπανῶν εἰς ταφὴν τῷ τελευτήσαντι δοκεῖ συναλλάσσειν, οὐ τῷ κληρονόμῳ.*

7. *Ἐν δὲ τῷ β' κεφ. Τάφος ἐστὶν, ἐν ᾧ σῶμα ἢ ὀστέα ἀπετέθη· οὐ πᾶς ὁ ταφῇ ἀφορισθεὶς, ἀλλ' ὅσον ἐστὶ τὸ σῶμα.*

Μνημεῖον δέ ἐστι τὸ διὰ τὴν μνήμην φαινόμενον.

8. *Ἐν δὲ τῷ δ' κεφ. Τὸν καθαρὸν τάφον καὶ τὸ κενοτάφιον ἔξεστι πιπράσκειν καὶ δωρεῖσθαι. τάφος γὰρ κυρίως οὐκ ἐστίν.*

Ὁ εἰσάγων νεκρὸν εἰς ἀλλότριον τόπον ἢ ἀναγκάζεται αὐτὸν ἐπᾶραι ἢ τὴν τιμὴν τοῦ τόπου δίδωσι δι' ἀγωγῆς, ἣ τοῖς κληρονόμοις καὶ κατὰ κληρονόμων ἁρμόζει καὶ διηνεκής ἐστι.

Κατὰ δὲ τοῦ θάψαντος ἐν ἀλλοτρίᾳ σορῷ μήπω δεξαμένῃ νεκρὸν οὐτίλιος[a] *ἁρμόζει.*

Ἐὰν δὲ ὁ τοῦ τόπου δεσπότης παρὰ κέλευσιν ἱερέως ἢ

---

[a] *Συναπτὸς ἀγωγὴ, ἐντὸς ἐνιαυτοῦ κινουμένη.*

[1] Nonnulla exciderunt. Cf. Basil. LX, 23, 13. 14.

κέλευσιν βασιλέως ἐκβάλῃ τὸν ἐξ ἄλλου ταφέντα ἢ τὰ τεθέντα ὀστέα, ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ.

9. Ἐν δὲ τῷ θ' κεφ. Οἱ τάφοι εἰς ἑτέραν χρῆσιν οὐ μεταποιοῦνται.

10. Ἐν δὲ τῷ ι' κεφ. Δαπάνη ταφῆς ἐστιν, ἧς ἐκτὸς οὐ δυνατόν ἐστι γενέσθαι τὴν ταφήν· οἷον τὰ περὶ τὴν ἐκκομιδὴν, καὶ τὸ τίμημα τοῦ τόπου, καὶ [τὰ περὶ] τὸ ἀγαγεῖν τὸ λείψανον ἀπὸ ξένης, καὶ τὰ περὶ τὴν φυλακὴν τοῦ σώματος καὶ τὴν ἔνδυσιν καὶ σορὸν, καὶ τὸ παραθέσθαι αὐτό. οὔτε δὲ κόσμια οὔτε τὶ τοιοῦτον δεῖ συνθάπτειν· ὅπερ οἱ ἁπλούστεροι ποιοῦσιν.

Ἡ ἐπὶ τῇ ταφῇ ἀγωγὴ τὰς διὰ τὴν ταφὴν ἀπαιτεῖ δαπάνας, οὐ μὴν καὶ τὰς ἄλλας. οὔτε πλέον τοῦ δαπανηθέντος ἀπαιτεῖ, οὔτε πᾶν τὸ δαπανηθὲν, εἰ ἄμετρόν ἐστιν. τὸ δίκαιον οὖν δαπάνημα σκοπεῖται ἐκ τῆς ἀξίας καὶ εὐπορίας καὶ τοῦ χρόνου καὶ τῆς αἰτίας καὶ τῆς ἀγαθῆς πίστεως.

Οὔτε τοῦ διαθεμένου διατυπώσαντος ἐφεῖται δαπανᾷν ὑπὲρ τὸ μέτρον, ἀλλὰ πρὸς τὸ ποσὸν τῆς οὐσίας.

Ἐὰν ἐφ' ὕβρει τοῦ τελευτήσαντος πλουσίου μέτριά τις δαπανήσῃ, οὐκ ἔχει ἀπαίτησιν.

11. [Ἐν δὲ τῷ λζ' κεφ. Ὁ προδότης τῆς ἰδίας πατρίδος οὐ πενθεῖται. ἀλλὰ καὶ ἀψόγως παῖς πατέρα τοιοῦτον ἀναιρεῖ, καὶ τοὔμπαλιν· καὶ ἄθλων ἀξιοῦται.]

12. Ἀνάγν. καὶ τί. β', οὗτινος ἐν τῷ γ' κεφ. φησίν· Ὁ θάπτων ἔγκυον πρὶν ἢ τὸ βρέφος δι' ἀνατομῆς ἐκβληθῇ, φονεύειν δοκεῖ.

13. Ἐν δὲ τῷ δ' κεφ. Ἐπὶ τῶν τάφων οὐ συμβάλλεται χρονία νομὴ τῷ μὴ ἔχοντι δίκαιον.

14. Ἀνάγν. καὶ τί. γ' καὶ δ', ἐν οἷς φησι περὶ τῆς γινομένης δαπάνης εἰς τὴν κηδείαν καὶ ταφὴν τῶν τελευτησάντων, καὶ περὶ τῶν ,αρ' ἐργαστηρίων τῆς μεγάλης ἐκκλησίας τῶν ὑπὲρ τῆς τῶν τελευτώντων ὁσίας[1] ἐξκουσσατευομένων, καὶ περὶ τῶν λεκτικαρίων ἤτοι δεκανῶν[b].

VI.

Περὶ τειχῶν.

1. Ἀνάγν. βι. νε' τί. ιγ' κεφ. [α'], ἐν ῷ φησιν· Εἰς ἀνανέωσιν

---

[b] Περὶ τούτων εὑρήσεις ἐν τῇ μγ' νεαρᾷ καὶ ἐν τῇ νθ'·

---

[1] Lips. οὐσίας.

τῶν τειχῶν τὸ τρίτον μέρος τῆς πολιτικῆς προσόδου ἀναλισκέσθω. ἀνάγν. καὶ τὰ προειρημένα ἐν τῷ περὶ καινοτομιῶν.

VII.

Περὶ τέλους δημοσίου, καὶ τελεστῶν καὶ τελωνῶν[1].

1. Ἀνάγν. βι. νς' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ἐὰν τελώνης ἢ ἡ φαμιλία αὐτοῦ κατὰ βίαν ἀφέλωνταί τι ὀνόματι τοῦ τέλους καὶ μὴ ἀποκαταστήσῃ[2], τὸ ἀφαιρεθὲν ἐντὸς μὲν ἐνιαυτοῦ εἰς τὸ διπλοῦν ἐνάγεται· μετὰ δὲ [τὸν] ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν. ὁμοίως κἂν κλέψωσιν ἢ ἀδίκως τινὰ ζημιώσωσι. καὶ περὶ οἰκετῶν τὰ αὐτὰ ἁμαρτανόντων ἐνάγονται, μὴ δυνάμενοι εἰς ἐξέτασιν ἐκδοῦναι.

2. Ἐν δὲ τῷ γ' κεφ. Ἐξουσίαν ἔχει ὁ βλαβεὶς μὴ κινῆσαι ἐκ τοῦ παρόντος δόγματος, ἀλλὰ τὴν περὶ κλοπῆς καὶ [τὴν] περὶ ἁρπαγῆς ἀγωγὴν καὶ τὸν ἀκουΐλιον[a].

Φαμιλία τοῦ τελώνου νοεῖται οὐ μόνον οἱ δοῦλοι αὐτοῦ, ἀλλὰ καὶ ἐλεύθεροι καὶ δοῦλοι ἀλλότριοι περὶ τὸ τέλος ὑπηρετοῦντες αὐτῷ. ὅθεν ἐὰν δοῦλος αὐτοῦ μὴ ὑπηρετῶν εἰς τὸ τέλος ἁρπάσῃ, τὸ παρὸν δόγμα ἀργεῖ.

Μὴ παριστῶντες οὖν τοὺς δούλους ἐνάγονται χωρὶς τοῦ ἐκδοῦναι αὐτοὺς εἰς θεραπείαν τῆς ζημίας, εἴτε ἔχουσιν αὐτοὺς ἐν ἐξουσίᾳ ἢ μή, ἢ δύνανται ἢ μή· ὅπερ ἰδικόν ἐστι τοῦ παρόντος δόγματος. οὔτε γὰρ ἔξεστι τῷ τελώνῃ τὸν δοῦλον ἀπόντα διεκδικεῖν.

Μεθ' ὃ δὲ παραστήσει αὐτόν, χώρα τοῦ ἐκδοῦναι αὐτὸν εἰς ἐξέτασιν.

3. Ἐν δὲ τῷ ζ' κεφ. Τοῖς τέλεσιν οἱ ἀγροί, οὐ μὴν τὰ πρόσωπα ἐνέχονται. ὅθεν ὁ νομεὺς καὶ τὰ τοῦ προλαβόντος ἀπαιτεῖται χρόνου, καὶ ἐὰν τοῦτο ἠγνόησεν, ἔχει ἀγωγήν.

4. Ἐν δὲ τῷ η' κεφ. Εἴτε δημόσιον εἴτε ἰδιωτικὸν πρόσωπον ἀπαιτήσει τὶ παρανόμως, μετὰ τοσούτου ἄλλου ἀποδίδωσιν αὐτὸ τῷ ἀδικηθέντι. εἰ δὲ μετὰ βίας ἀπήτησε, τὸ τετραπλοῦν δίδωσι, καὶ σφοδρῶς τιμωρεῖται.

---

[a] Ὁ ἀκουΐλιος κατὰ μὲν τοῦ ὁμολογοῦντος εἰς τὸ ἁπλοῦν κινεῖται, κατὰ δὲ τῶν ἀρνουμένων εἰς τὸ διπλοῦν.

---

[1] Leuncl. in margine: „Legito et novel. CXXVIII. Item titulum de dominio, in quo tractat et de his, quae annis XL soluta non sunt.“ Nempe Graeca hujus scholii omisit. [2] Leuncl. ἀποκαταστῇ.

Ἐὰν ὁ τελώνης ἀμελείᾳ ἀπολέσῃ[1], ἄλλος ἀπαιτεῖν οὐ κωλύεται.

5. Ἐν δὲ τῷ θ' κεφ. Ἄνευ βασιλικῆς κελεύσεως οὐκ ἔξεστι τῷ ἄρχοντι ἢ τῷ καθολικῷ καινὸν ἐπιθεῖναι τέλος, ἢ τὸ παλαιὸν αὐξῆσαι ἢ μειῶσαι.

Μὴ καταβάλλοντες ἐμπροθέσμως οἱ τελῶναι καὶ πρὸ συμπληρώσεως τοῦ χρόνου ἐξεοῦνται, καὶ τόκους ἐξ ὑπερθέσεως ἀπαιτοῦνται.

6. Ἐν δὲ τῷ ι' κεφ. Οἱ μεγάλα κερδαίνοντες ἐκ τῆς μισθώσεως τῶν τελῶν, μὴ εὑρισκομένων τῶν ὀφειλόντων αὐτὰ ἐπὶ τῷ αὐτῷ ποσῷ μισθώσασθαι, ἀναγκάζονται αὐτοὶ καταδέχεσθαι.

7. Ἀνάγν. καὶ τί. δ', οὗτινος ἐν τῷ ις' κεφ. φησίν· Ὁ περισσοπρακτήσας τελώνης διηνεκῶς ἐξορίζεται, καὶ ἀντικαθίσταται ἕτερος, ὑπερθεματισμοῦ ἐπὶ τῷ τέλει γινομένου ἐπ' ὄψεσι τοῦ ἄρχοντος.

8. Ἐν δὲ τῷ ιζ' κεφ. Τῶν χρεωστούντων δημόσια πάντα τὰ ὑπάρχοντα ὑπεύθυνά ἐστιν.

9. Ἀνάγν. καὶ τί. η', οὗτινος ἐν τῷ γ' κεφ. φησί· Τὰ δημόσια τέλη οὐκ εἰσι κατὰ προσώπων, ἀλλὰ κατὰ πραγμάτων. καὶ δεῖ τὸν ἄρχοντα τῆς ἐπαρχίας σπουδάζειν, ἵνα μηδεὶς ὑπὲρ ὧν οὐ νέμεται συντελῇ.

10. Ἐν δὲ τῷ ζ' κεφ. Ὁ εἰς περιγραφὴν τῶν δημοσίων βασιλέως ἀντίγραφὴν λαβὼν μὴ ὠφελείσθω. χρὴ γὰρ πάντας συντελεῖν τὰ δημόσια.

11. Ἐν δὲ τῷ ι' κεφ. Μηδεὶς προνόμιον ἀξίας προβαλλόμενος μὴ συντελείτω, ἀλλὰ πάντες πρὸς ἀναλογίαν ὧν ἔχουσι κτημάτων συντελείτωσαν.

12. Ἐν δὲ τῷ ιζ' κεφ. Μηδεὶς ἀπαιτούμενος δημόσια ἐν φυλακῇ βαλλέσθω ἢ βασάνους τινὰς ὑπομενέτω, ἀλλὰ μόνον τῇ ἐλευθέρᾳ παραφυλακῇ τῶν στρατιωτῶν παραδιδόσθω. καὶ ἐὰν ἐπιμένῃ[2] ἀγνωμονῶν, τότε καὶ εἰς νομὴν τῆς οὐσίας αὐτοῦ πεμπέσθω τὸ δημόσιον.

13. Ἐν δὲ τῷ κδ' κεφ. Ἐνδοματικὰ μηδεὶς λαμβανέτω, ἀλλὰ καὶ αὐτὸ τὸ ὄνομα παντελῶς ἀπαλειφέσθω.

14. Ἐν δὲ τῷ κς' κεφ. Ἐάν τινες ὑπερτίθωνται τὰ δημόσια καταβάλλειν, πιπράσκονται τὰ κτήματα[3] αὐτῶν, ἐφ' ᾧ τοὺς ἀγοραστὰς ἀσφαλῶς κεκτῆσθαι αὐτά.

15. Ἐν δὲ τῷ κθ' κεφ. Πᾶς συντελεστὴς ἀπαιτούμενος τὰς

---

[1] Leuncl. legi vult ἀπολύσῃ. [2] Leuncl. ἐπιμείνῃ. [3] Leuncl. πράγματα

εἰσφορὰς, ἐὰν δείκνυσι τριῶν ἐνιαυτῶν ἀμεριμνίας, μὴ ἀναγκαζέσθω δεῖξαι μηκέτι, ὅτι καὶ ἐν τοῖς ἀνωτέροις χρόνοις τὰς συντελείας κατέβαλεν· εἰ μὴ ἄρα ὁ ταξεώτης ἢ [ὁ] ὀπτίων ἢ ὁ ὑπομνηματοφύλαξ ἢ ἕτερός τις δημόσιον τέλος ἀπαιτῶν ἢ ἐκβιβάζων ἀσφάλειαν ἔχει παρὰ τοῦ κτήτορος περὶ τῶν συντελειῶν, ἢ ἑτέρως πως ἀποδείκνυσι φανερῶς, ὅτι αἱ συντέλειαι κεχρεώστηνται.

16. Ἐν δὲ τῷ λ' κεφ. Οὐ δύναται ὁ δημοσιεύων ἀναργυρίαν ἀντιτιθέναι κατὰ τῆς γενομένης παρ' αὐτοῦ ἀποδείξεως καὶ νῦν προσφερομένης.

17. Ἀνάγν. καὶ τί. ιβ', οὗτινος ἐν τῷ ε' κεφ. φησίν· Ἐὰν λίθους τινὲς εἰς ἰδιωτικὸν τόπον κόπτωσι, δέκατον τῷ δημοσίῳ καὶ δέκατον τῷ δεσπότῃ διδότωσαν, καὶ τὸ λοιπὸν ἐχέτωσαν αὐτοὶ ὑπὲρ κόπου.

18. Ἐν δὲ τῷ ς' κεφ. Ἐν ἑκάστῳ ἐνιαυτῷ ἑπτὰ κεράτια εἷς ἕκαστος ἄνθρωπος χρυσορύκτης παρεχέτω, οὐ μόνον τῆς ποντικῆς διοικήσεως, ἀλλὰ γὰρ καὶ τῆς ἀσιανῆς.

19. Ἀνάγν. καὶ τί. ιδ' κεφ. ιβ' καὶ τί. ις', ἐν ᾧ φησὶ περὶ τῶν συντελεστῶν τῆς ἐσθῆτος.

20. Ἀνάγν. καὶ τί. ιζ' κεφ. να' [1] καὶ ξ', ἐν ᾧ φησιν· Ὁ ἀποσταλεὶς ἐν ταῖς ἐπαρχίαις πρὸς ἀπαίτησιν δημοσίων καὶ ὀφθεὶς ἄπληστος τιμωρείσθω παρὰ τοῦ ἄρχοντος, μὴ ἀναγκαζομένου ἀναγαγεῖν περὶ τούτου πρὸς βασιλέα. καὶ κεφ. ξδ'.

21. Καὶ τί. ιη', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὑπὲρ δὲ τῶν δημοσίων συντελειῶν τὰς ἀποχὰς ἤτοι ἀμεριμνίας μερικάς τε καὶ πληναρίας πᾶσι τρόποις παρὰ τῶν τὰ δημόσια ὑποδεχομένων γίνεσθαι διορίζομεν, σημαινούσας τὴν τῶν χρημάτων ποσότητα καὶ τῶν εἰδῶν, οὐ μὴν ἀλλὰ καὶ τῶν ζευγῶν ἤτοι ἰουλίων εἴτε οὖν κεντουρίων, καὶ τὰ ὀνόματα τῶν κτήσεων, ὑπὲρ ὧν τὰς συντελείας ὑποδέχονται. εἰ δὲ κατὰ τὸν εἰρημένον τρόπον τὰς ἀποχὰς ἤτοι ἀμεριμνίας μὴ ποιήσουσι, κελεύομεν αὐτοὺς καὶ ποινὴν δέκα χρυσίου λιτρῶν ἀπαιτεῖσθαι καὶ βασάνους ὑπομένειν· τοῦ ἄρχοντος ὁμοίως τῆς ἐπαρχίας ι' χρυσίου λιτρῶν [ποινὴν] εἰσπραττομένου, εἰ περὶ τούτου προκελευσθεὶς[2] μὴ ἐκδικήσει, καὶ συνελάσει τὰς ἀποχὰς ἤτοι ἀμεριμνίας καθ' ἣν διωρίσαμεν τάξιν συγγραφῆναι.

22. Ἐν δὲ τῷ θ' κεφ. [φησὶ] τοῦ μὴ ὀχλεῖσθαι ἕτερον ἀνθ' ἑτέρου, εἰ καὶ χρεώστης ἐστὶ τοῦ τὸ δημόσιον τέλος ὀφείλοντος, εἰ μήτοιγε ἀποροῦντος αὐτοῦ.

---

[1] Lips. ξε'. [2] Leuncl. προσελευθεὶς, quod in προσελευσθεὶς mutari vult.

23. Ἐν δὲ τῷ ιβ' κεφ. Μηδεὶς δὲ τὸ σύνολον ἐνοχλείσθω ὑπὲρ συντελείας γηδίων, ἅπερ οὐ κέκτηται. ἀλλὰ εἰ συμβαίη γεωργούς τινι προσήκοντας ἢ ἐναπογράφους ἰδίαν ἔχειν κτῆσιν, ἐκείνους ὑπὲρ αὐτῆς τὰς δημοσίας εἰσπράττεσθαι συντελείας, τοῦ δεσπότου αὐτῶν μηδεμίαν ὄχλησιν ὑπὲρ αὐτῶν ὑπομένοντος· εἰ μὴ ὡς εἰκὸς αὐτὸς ἰδίᾳ προαιρέσει τῇ τοιαύτῃ συντελείᾳ ἑαυτὸν ἐποίησεν ἔνοχον.

24. Ἐν δὲ τῷ ιγ' κεφ. Τοὺς δὲ τὰ δημόσια τέλη εἰσπράττοντας δικαίοις σταθμοῖς τε καὶ μέτροις [κε]χρῆσθαι κελεύομεν, ἵνα μηδὲν ἐν τούτῳ τοὺς ἡμετέρους ὑποτελεῖς ἀδικῶσιν. εἰ δὲ οἱ συντελεσταὶ νομίσουσι βαρεῖσθαι εἴτε ἐν σταθμοῖς εἴτε ἐν μέτροις, ἐχέτωσαν ἄδειαν, τὰ μὲν τῶν εἰδῶν μέτρα τε καὶ σταθμὰ παρὰ τῶν ἐνδοξοτάτων ἐπάρχων, τὰ δὲ τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου καὶ τῶν λοιπῶν μετάλλων σταθμὰ παρὰ τοῦ κατὰ καιρὸν ἐνδοξοτάτου κόμητος τῶν θείων θησαυρῶν λαμβάνειν. καὶ τὰ αὐτὰ μέτρα καὶ σταθμὰ ἐν τῇ ἁγιωτάτῃ ἑκάστης πόλεως ἐκκλησίᾳ φυλάττεσθαι, ἵνα κατὰ ταῦτα δίχα βάρους τῶν συντελεστῶν καὶ ἡ τῶν δημοσίων εἰσκομιδὴ[1] καὶ αἱ στρατιωτικαὶ καὶ αἱ ἄλλαι δαπάναι γίνωνται.

25. Ἀνάγν. καὶ τί. ιθ' κεφ. κε'[2], ἐν ᾧ φησι περὶ ἐπιβολῶν.

VIII.

Περὶ τεχνιτῶν καὶ ἐργολάβων, τοῦ μὴ ἐξεῖναι αὐτοῖς σύμφωνα ποιεῖν, ἵνα μήτις ὅπερ ἄλλῳ ἐπετράπη ἔργον πληρώσῃ.

1. Ἀνάγν. βι. ιθ' τί. ιη' κεφ. α', ἐν ᾧ φησι· Καὶ [οἱ] τῶν οἰκημάτων ὁμοίως τεχνῖται ἢ ἐργολάβοι ἢ τῶν ἄλλων ἐργοδιδάσκαλοι καὶ οἱ βαλανεῖς παντελῶς κωλυέσθωσαν σύμφωνα μεταξὺ ἀλλήλων διατίθεσθαι, ἵνα μή τις ὅπερ ἄλλῳ ἐπετράπη ἔργον πληρώσῃ ἢ περὶ τὴν δοθεῖσαν ἑτέρῳ φροντίδα ἕτερος μεσολαβήσῃ· διδομένης ἐξουσίας ἑνὶ ἑκάστῳ τὸ παρ' ἑτέρου ἀρχθὲν ἔργον καὶ καταλειφθὲν χωρίς τινος φόβου ἢ ζημίας ἐκπληροῦν, καὶ παντὶ τὰ τοιαῦτα δράματα καταμηνύειν χωρίς τινος φόβου καὶ χωρὶς τῶν ἐν δικαστηρίῳ δαπανημάτων.

IX.

Περὶ τῶν τικτομένων ἀπὸ ἐλευθέρου καὶ δούλης ἢ τοὐναντίον, καὶ ἀπὸ ἐναπογράφων καὶ ἐλευθέρων[a].

1. Ἀνάγν. βι. νε' τί. ια' κεφ. β'[3], ἐν ᾧ φησιν· Ὁ ἀπὸ ἐλευθέρου

[a] Ἀνάγν. καὶ νεαρὰν νδ' καὶ ρξβ'.

[1] Lips. ἐκκομ. [2] Leuncl. κ'. [3] Id ιβ'.

γεωργοῦ καὶ δούλης δεσποτικῆς τικτόμενος τῇ μητρῴᾳ τύχῃ ἀκολουθείτω, καὶ τὴν ἀρχαιογονίαν αὐτῆς μεταδιωκέτω. καὶ τί. ιβ' κεφ. α' καὶ τί. ιδ' κεφ. δ' καὶ ε'.

X.

Περὶ τιμῶν πολιτικῶν.

1. Ἀνάγν. βι. νδ' τί. γ' κεφ. α', ἐν ᾧ φησιν· Ἀπὸ τῶν τιμῶν εἰς τὰς αὐτὰς τιμὰς πενταετίας δίδοται ἀλειτουργησία, τριετίας δὲ εἰς τὰς ἄλλας. τοῖς δὲ πρεσβεύουσι διετίας ἀλειτουργησία παρέχεται.

2. Καὶ κεφ. β', ἐν ᾧ φησι· Τοὺς μείζονας τιμὰς πράξαντας οὐ χρὴ εἰς ἐλάττονας ἕλκεσθαι. δοκοῦσι γὰρ ὑβρίζεσθαι. καὶ τί. δ' ἀπὸ τοῦ ς' κεφ. μέχρι τοῦ ια'.

XI.

Περὶ τόκων ἀπαιτουμένων καὶ μὴ ἀπαιτουμένων, καὶ ἀργυροπρατικῶν, καὶ τῶν μετὰ ὑπέρθεσιν ἀπαιτουμένων[a].

1. Ἀνάγν. βι. ζ' τί. ς' κεφ. α', ἐν ᾧ φησι· Μεθόδευσον[b] τὸν χρεώστην τοὺς τόκους, οὓς οὐκ ἀπήτησας. οὐ γὰρ ἔσβεσται ἡ τούτων ἀγωγὴ τῇ προκατάρξει τοῦ κεφαλαίου[c].

2. Ἀνάγν. καὶ βι. θ' τί. γ' κεφ. πζ' καὶ πη' καὶ πθ', ἐν ᾧ φησιν, ὅτι μετὰ τὴν τετράμηνον τῆς καταδίκης, εἴτε δημόσιον ἐστὶ τὸ χρέος εἴτε ἰδιωτικὸν, ἑκατοστιαῖος τόκος δίδοται τοῦ κεφαλαίου μόνος. τόκος γὰρ τόκων οὐκ ἀπαιτεῖται[d].

3. Ἀνάγν. καὶ βι. ιη' τί. ζ' κεφ. ε' θέμ. γ'.

4. Καὶ βι. κγ' τί. γ', οὔτινος ἐν τῷ α' κεφ. φησίν· Ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν[e] ὀφφικίῳ τοῦ δικάζοντος ὁ τόκος ὁρίζεται

---

[a] Ἀνάγνωθι καὶ νεαρὰν ρς', ἐν ᾗ φησι περὶ τόκων. καὶ νεαρὰν ρκα'. φησὶ γὰρ ὅτι αἱ μερικαὶ καταβολαὶ τῶν τόκων τὸ διπλάσιον οὐχ ὑπερβαίνουσι. καὶ νεαρὰν ρλη'.

[b] Ἤγουν ἀπαίτησον.

[c] Θεόδωρος. Ὁ τόκος οὐ σβέννυται τῷ περὶ κεφαλαίων λόγῳ· ὅθεν καὶ μετὰ τὸ κινῆσαι τὴν πρωτότυπον ἀγωγὴν δύναται καὶ τὴν ex stipulato κινεῖν ἐπὶ τοῖς τόκοις, ἐὰν ἐπερωτήθησαν.

[d] Τοῦ γ' τί. τοῦ θ' βι. κεφ. πα'· ἐὰν ὁ δημόσιος ἐναγάγῃ τινὶ καὶ νικήσῃ, ἑκατοστιαῖον τόκον τοῦ κεφαλαίου μόνον λαμβάνει μετὰ τὴν τετράμηνον τῆς καταδίκης.

[e] Οὐ μὴν ἐπὶ ὑπερθέσει ὀφφικίῳ τοῦ δικάζοντος ἀπαιτεῖται. καὶ οὐ δύναται κινεῖσθαι ἰδιάζουσα ἐπ' αὐτῷ ἀγωγή. διὰ τοῦτο γοῦν ἐὰν ἀποφάσεως ἅπαξ γεγοννίας περὶ τοῦ πρωτοτύπου τὰ περὶ τῶν τοιούτων τόκων

πρὸς τὸ ἔθος τοῦ κλίματος, ἐν ᾧ τὸ συνάλλαγμα γέγονεν, ὥστε μέντοι μὴ ὑπερβαίνειν τὸν νόμιμον.

5. Ἐν δὲ τῷ ς' κεφ. Ἐπὶ τῆς περὶ ἐν πράγματι δαπανήματος ἀγωγῆς, ἐὰν ὁ δεσπότης ἐπὶ πολὺν χρόνον παράσχῃ τόκον ἢ ὁ πατὴρ ὑπὲρ προικὸς τῆς θυγατρὸς, ἀναγκάζονται καὶ οἱ κληρονόμοι αὐτῶν παρασχεῖν.

6. Ἐν δὲ τῷ θ' κεφ. Ἐὰν ὁ δανείσας[1] ἐπερωτήσῃ τὸ διπλοῦν τῶν ἐπηρωτημένων τόκων[2] ἐξ ὑπερθέσεως, μέχρι μόνου τοῦ νομίμου τόκου ἔῤῥωται κατὰ τὸ μέτρον ἑκατέρου χρόνου[3]. Ὁ ἐπερωτήσας ἐλαφροὺς τόκους δύναται μείζονας μέχρι τῶν νομίμων ἐξ ὑπερθέσεως ἐπερωτᾷν.

7. Ἐν δὲ τῷ κζ' κεφ. Εἴτε τόκον τὶς ὑπέρμετρον εἴτε τόκους τόκων ἐπερωτήσει, τὸ παράνομον ἀφαιρεῖται καὶ τὸ λοιπὸν ἀπαιτεῖται[f].

8. [Ἐν δὲ τῷ κθ' κεφ. Τὸ χωρὶς δήλης ποσότητος ἐπερωτῆσαι τοὺς ἁρμόζοντας τόκους οὐδέν ἐστι[g].]

9. Ἐν δὲ τῷ μζ' κεφ. Οἱ ἀπὸ συμφώνου τόκοι[h] καταβληθέντες οὐ δύνανται ἀναλαμβάνεσθαι, οὐδὲ εἰς κεφάλαιον καταλογίζονται. μὴ καταβληθέντες δὲ οὐκ ἀπαιτοῦνται.

παρασιωπηθῇ, ἔκτοτε σβέννυνται καὶ ἀπαιτεῖσθαι οὐ δύνανται. οἱ δὲ κατὰ φύσιν τοῦ συναλλάγματος ἀπαιτούμενοι τόκοι, κἂν ἡ πρωτότυπος ἀγωγὴ καταχθεῖσα εἰς δικαστήριον διὰ τὸ κεφάλαιον ἐπερωτήθῃ[4], δύνανται διὰ τῆς αὐτῆς ἀγωγῆς ἀπαιτεῖσθαι, ὥς φησιν ὁ γαριδᾶς.

f Θαλελαίου. Τὸ παλαιὸν οὐδεὶς ἠδύνατο τόκους τόκων ἐπερωτᾷν, εἰ μὴ ἄρα τοὺς δραμόντας τόκους ἀνήγαγεν εἰς τὸ κεφάλαιον καὶ ἄνωθεν ἐπερώτησε δοῦναι αὐτῶν τούτων τῶν νουισμάτων τῶν ἀπὸ τοῦ τόκου συναχθέντων[5] τόκους. τοῦτο οὐδὲν ἕτερον ἦν, εἰ μὴ τόκους τόκων ἐπερωτῆσαι. Ἀνατόλιος. Μηδεὶς τόκους τόκων ἀπαιτείτω, μηδὲ ἢ τοῦ προλαβόντος ἢ τοῦ μεταγενεστέρου χρόνου τοὺς τόκους εἰς κεφάλαιον ἀγαγέτω, ἀλλὰ μενέτω τόκος ἄτοκος, καὶ μόνον τοῦ προλαβόντος κεφαλαίου καταβαλλέσθω τόκος.

g Ἐάν τις ἐπερωτήσει, ὁμολογεῖς διδόναι μοι τὰ δανεισθέντα σοὶ παρ' ἐμοῦ καὶ τοὺς ἁρμόζοντας τόκους; ἀχρήστως ἔδοξεν ἐπερωτᾷν, ὡς ἀορίστως αὐτοὺς ἐντάξας τῇ ἐπερωτήσει. ἔδει γὰρ αὐτὸν καὶ φανερὸν αὐτοῖς μέτρον ἐπιθεῖναι. οἱ μὴ ἔχοντες δήλην ποσότητα ἢ χωρὶς ἐπερωτήσεως παράνομοι[6].

h Ὑπέξελε τοὺς ἐπὶ τῶν καρπῶν τόκους· ἐκεῖνοι γὰρ ἀπαιτοῦνται καὶ ἀπὸ συμφώνου[7]. οἱ ἀνεπερωτήτως συμφωνηθέντες. περὶ νομίμων τόκων

---

[1] Lips. δαπανήσας. [2] Haec verba τῶν ἐπ. τόκων nec Leuncl. nec Bas. agnoscunt. [3] Lips. τόκου. Bas. ἑκάστου χρόνου. [4] Forte ἀναλωθῇ. [5] Leuncl. διδόναι αὐτὸν τούτων τῶν ἀπὸ τόκου συν. Lips. ἀπὸ τοῦ νόμου. Cf. Bas. ed. Heimb. II, p. 732. [6] Cf. schol. ad Bas. XXIII, 3, 31. [7] Cf. schol. Thalelai ad Bas. XXIII, 3, 52.

10. Ὁ γὰρ ἀνεπερώτητος τόκος ἀπαίτησιν μὲν οὐκ ἔχει, ἐνεχύρου δὲ ὄντος δίδωσι τῷ δανειστῇ παρακατάσχεσιν, ἐὰν συνεφωνήθη· τότε μέντοι, ὅτε καὶ ἐπὶ τόκῳ τὸ ἐνέχυρον ὑπετέθη. ἔξεστι δὲ προσυμφωνεῖν, ἵνα ἐὰν μὴ καταβληθῇ εἴσω τυχὸν ἐνιαυτοῦ τὸ κεφάλαιον καὶ ὁ τόκος, μείζων τόκος ἐξ ἐκείνου τοῦ καιροῦ καταβληθῇ. ἐὰν οὖν δανεισάμενός τις καὶ συμφωνήσας τόκον ὑπέθετο καὶ τὸ ἐνέχυρον ἐπὶ τῶν τόκων, ὑπερχρονίας δὲ γενομένης μείζονα [τόκον] ἐπηγγείλατο καταβαλεῖν, καὶ οὐ συνεφώνησεν ὑποκεῖσθαι τὸ ἐνέχυρον ἐπὶ τῇ προσθήκῃ τοῦ τόκου, οὐ καλῶς παρακρατεῖται τὸ ἐνέχυρον[i].

11. Ἐν δὲ τῷ να' κεφ. Ὁ δανειστὴς ὀφείλει δεικνύειν [καὶ] τὸ χρέος καὶ τὴν τῶν τόκων ἐπερώτησιν[k]. τὸ γὰρ ἐπί τινα χρόνον ἀπὸ συναινέσεως τόκους αὐτὸν λαβεῖν οὐ ποιεῖ πρόκριμα τῷ χρεώστῃ.

12. Ἐν δὲ τῷ νδ' κεφ. Καρπῶν δανειζομένων δύναται καὶ ὁ ἀπὸ συμφώνου τόκος ἀπαιτεῖσθαι.

13. Ἐν δὲ τῷ ξα' κεφ. Ὁ μὴ κεχρεωστημένος τόκος, εἰ μὲν πρὸ τοῦ κεφαλαίου καταβληθῇ, εἰς κεφάλαιον καταλογίζεται· εἰ δὲ

ἀνεπερωτήτως συμφωνηθέντων φησίν. οἱ γὰρ παράνομοι καὶ καταβληθέντες ἀπαιτοῦνται, ἢ λογίζονται εἰς κεφάλαιον, κατὰ τὸ ξα' κεφ. τοῦ αὐτοῦ τίτλου· καὶ κεφ. κ' τοῦ ς' τί. καὶ κδ' κεφ. νόμιμος τόκος ἐστὶ διαποντίως τινὸς τοκίζοντος ἤτοι ἐπικιδύνως ἑκατοστιαῖος, τουτέστι νομίσματα ιβ'· ἐπὶ δὲ τραπεζιτῶν καὶ τῶν ἄλλων πραγματευτῶν δίμοιρον ἑκατοστῆς ἤτοι νομίσματα η'· ἐπὶ δὲ τῶν ἄλλων πλὴν τῶν ἰλλουστρίων ἡμιεκατοστιαῖος, ἤτοι νομίσματα ς'· ἐπὶ δὲ τῶν ἰλλουστρίων τρίτον ἑκατοστῆς, ἤτοι νομίσματα δ'· αἱ δὲ ἐκκλησίαι δ'· ἑκατοστῆς ἤτοι νομίσματα γ'.

i Ἀνατόλιος. Ὑπὲρ τῶν τόκων, κἂν ἀπὸ συμφώνου ὦσι, κατεχέσθω τὸ ἐνέχυρον, ὅταν μέντοι καὶ ἐπὶ τοῖς τόκοις ἰδικῶς ὑπετέθη. ὁ καταβληθεὶς ἀχρεώστητος τόκος πρὸ συμπληρώσεως τοῦ χρόνου οὐ ῥεπετιτεύεται. ὁμοίως ὁ συμφωνηθεὶς τόκος οὐ μεθοδεύεται· δῆλον δέ, εἰ μὴ ὕπεστιν ἐνέχυρον, κατὰ τὴν β' καὶ δ' διάταξιν πρώτου[1] τί. ἐνεχύρου γὰρ ὄντος, ἔχει παρακατάσχεσιν ὁ δανειστὴς ἐπὶ τῷ συμφωνηθέντι τόκῳ, κἂν τὸ ἐνέχυρον ἧττόν ἐστι τοῦ χρέους.

k Ὅτι κατέβαλε πρὸς τὸν χρεώστην, καὶ ὅτι τόκους ἐπηρώτησε. εἰκὸς γάρ τινα καὶ τόκους ἐπὶ χρεωστητοῖς καταβαλεῖν, ἢ μὴ συμφωνηθέντας καταβληθῆναι. αὐτὸς οὖν μαρτυρεῖται τῇ συστάσει τῆς ἐπερωτήσεως ὁ ὀφείλων λαβεῖν, διὰ τὸν κανόνα τὸν λέγοντα . . .

Παρακατεχέσθω μὲν τὸ ἐνέχυρον ὑπὲρ τῶν ἀπὸ συμφωνίας τόκων· εἰ μέντοι μὴ τόκος, ἀλλὰ πρόστιμον συνεφωνήθη, μηδὲ ἀπαίτησις ἔστω, μηδὲ τοῦ ἐνεχύρου παρακατάσχεσις.

---

[1] Heimb. τοῦ πρ. Forte τοῦ παρόντος.

μετὰ τὸ κεφάλαιον καταβληθῇ, ἐπειδὴ οὐκ ἔχει λοιπὸν εἰς τί καταβληθῆναι, ἀναλαμβάνεται.

14. Ἐν δὲ τῷ ξδ' κεφ. Ἐὰν ὁ χρεωστῶν κεφάλαιον καὶ τόκους ἐν τῷ καταβάλλειν μὴ ἐμνημόνευσεν ἐπὶ τίνι καταβάλλῃ, ἐξουσίαν ἔχει ὁ δανειστής, εἰ βούλεται, εἰς τοὺς τόκους μόνον καταλογίσασθαι τὰ καταβληθέντα[l].

15. Ἐν δὲ τῷ ξε' κεφ. Ὁ μέντοι τόκος ἀπὸ συμφώνου δύναται διὰ παρακατασχέσεως τοῦ ἐνεχύρου λαμβάνεσθαι παρὰ τοῦ δανειστοῦ. ἐὰν δὲ ἀντὶ τόκου πρόστιμον συμφωνήσῃ, οὐδὲ ἀγωγὴν ἔχει ἀπὸ τοῦ συμφώνου, ἀλλ' οὐδὲ παρακατάσχεσιν.

16. Ἐν δὲ τῷ ξϛ' κεφ. Ἐπὶ καρπῶν δανειζομένων ἔξεστι καὶ πλείονα τόκον ἐπερωτᾷν διὰ τὸ ἄδηλον τῶν καρπῶν[m].

17. Ἐν δὲ τῷ ξθ' κεφ. Τῆς διατάξεως τῆς βουλομένης τὰς προσωπικὰς φθείρεσθαι ἀγωγὰς λ' ἐνιαυτοῖς εἰσενεχθείσης ὁ ἥρως πατρίκιος[1] μέθοδον ἐπενόει τοιαύτην, ὥστε, φησίν, ἀναιρεῖσθαι τὴν προσωπικὴν ἀγωγὴν τῇ τῶν λ' ἐτῶν παραδρομῇ, ἀναιρείσθω οὖν ἐπὶ τῷ κεφαλαίῳ καὶ μόνῳ, ἐπειδὴ μετὰ τὴν τοῦ κεφαλαίου δόσιν διέδραμεν ἡ τριακονταετηρίς· οἱ δὲ τόκοι, φησίν, ἀπαιτείσθωσαν· οὐδὲ γὰρ πάντως, φησὶν, ἀπεκλείσθησαν οἱ τόκοι τῇ τριακονταετηρίδι. ἐπειδὴ ὁ τόκος καθ' ἕκαστον ἐνιαυτὸν τίκτεται, λ' ἐνιαυτῶν ἐπὶ τῷ κεφαλαίῳ διαδραμόντων εὑρίσκεται ἐπὶ τῷ τόκῳ τοῦ πρώτου ἐνιαυτοῦ διαδραμόντα κθ' ἔτη, ἐπὶ δὲ τῷ τόκῳ τοῦ δευτέρου ἐνιαυτοῦ κη', καὶ οὕτως ἐφεξῆς ἐπὶ τοῖς τόκοις τῶν μετὰ ταῦτα ἐνιαυτῶν ἐλάττων χρόνος εὑρίσκεται διαδραμών. τὸ δὲ αὐτὸ ἔλεγε καὶ περὶ καρπῶν, ὅπερ καὶ περὶ τόκων. ἡ τοίνυν διάταξις ἡ παροῦσα ἀναιρεῖ τὸ τοιοῦτον νόμιμον λέγουσα· ὅτι ἄτοπόν ἐστι τῆς πρωτοτύπου ἀγωγῆς ἀναιρεθείσης περὶ τόκων ἢ

---

l Εἴρηται ἐν τῷ μϛ' βι. διγ. ϛ' τί. γ', ὅτι ἐάν τις χρεωστῶν ἀπὸ κεφαλαίου καὶ τόκου καταβάλλει σοὶ ξ' νομίσματα, δοκεῖ πρὸς ἀναλογίαν διδόναι, μ' μὲν εἰς κεφάλαιον, κ' δὲ εἰς τόκον.

m Πολλάκις γὰρ δανείσας ρ' μοδίους συνεφώνησα λαβεῖν ἕνα μόδιον[2] ὑπὲρ τόκου, ὅ ἐστιν ὅσον ἐπὶ τῷ γενήματι νομίσματι[3] ἑκατοστή. ἀλλ' ἴσως ὅτε ἐδανείσατο τοὺς ρ' μοδίους, ἱκανοὶ ἦσαν οἱ μόδιοι ϛ' τῷ νομίσματι· γενομένης δὲ ἐν τοῖς ὕστερον καιροῖς εὐφορίας.

---

[1] Lips. ὁ ἱερὸς πρωτοπατρίκιος. [2] Leuncl. in suo exemplari ad marginem notatum videtur reperisse: δηλαδὴ κατὰ μῆνα. In latina enim versione adnotat: scilicet in singulos menses. [3] Forte νομίσματος. In Basil. l. l. schol. 3 verbum νομ. deest.

καρπῶν φιλονεικεῖν. ὁρίζει δὲ καὶ ποσότητα ῥητὴν τοῖς τόκοις· ἵνα οἱ μὲν ἀπὸ ἰλλουστρίων[n] καὶ ἀνωτέρω ἄχρι τρίτου ἑκατοστῆς μόνον δανείζωσιν, ἀργυροπράται δὲ καὶ ἔμποροι ἄχρι διμοίρου ἑκατοστῆς, οἱ δὲ λοιποὶ πάντες ἄχρι ἡμίσεως ἑκατοστῆς, εἰ μὴ ἄρα καρποὺς δανείσουσιν. εἰ δὲ πρὸς οἶκον εὐαγῆ τὸ δάνειον εἴη, τότε πάντες οἱ εἰρημένοι μόνον τὸν ἀπὸ τετάρτου[1] ἑκατοστῆς τόκον λαμβανέτωσαν. ἐπὶ δὲ τῶν ναυτικῶν δανείων[o] καὶ ἐπὶ τῶν δανειζομένων εἰδῶν εἴτε καρπῶν, ἐφ᾽ ὧν τὸ παλαιὸν ἐξῆν πλείονα τόκον ἐπερωτᾶν, ἐπιτρέπει καὶ σήμερον ἐπερωτῆσαι πλείονα τόκον, μόνον μέντοι ἕως ἑκατοστῆς[p] καὶ μὴ περαιτέρω. μὴ βουλομένη μηδὲ διὰ παρακατασχέσεως ἐνεχύρων μείζονα τόκον ἀναλαμβάνεσθαι. μηδὲ τοὺς δικαστάς ποτε καταδικάζειν εἰς πλείονα τόκον προφάσει τῆς τῶν τόπων[2] συνηθείας. εἰ δέ τις μείζονα τόκον λάβῃ, εἰς τὸ κεφάλαιον αὐτὸν καταλογίζεσθαι. μὴ ἐξεῖναι δὲ τοῖς δανεισταῖς λαμβάνειν παρὰ τῶν δανειζομένων τινὰ προφάσει τῶν λεγομένων κερατίων[q] ἢ συνηθειῶν· εἰ δέ τι λάβωσι, καὶ τοῦτο εἰς κεφάλαιον λογισθῆναι. μὴ ἐξεῖναι δὲ μηδὲ διὰ μέσου προσώπου πλείονα τόκον λαμβάνειν· ἵνα τυχὸν ὁ ἰλλούστριος, μὴ δυνάμενος λαβεῖν εἰ μὴ τὸν ἀπὸ τρίτου ἑκατοστῆς τόκον, δώσει τὰ νομίσματα [αὐτοῦ] μέσῳ τινὶ τῷ δυναμένῳ λαμβάνειν ἡμιεκατοστήν· ἀλλ᾽ εἴ τι τοιοῦτον γένηται, μόνον ἐκεῖνον τὸν τόκον παρέχεσθαι, ὃν ὀφείλει λαβεῖν αὐτὸς ὃς τὸ δάνειον ἐποιήσατο. ἐκείνους δὲ οἵτινες ἐργαστη-

---

n Ἰλλούστριος λέγεται ὁ ἐνδοξότατος κόμης τῶν δομεστίκων· λέγεται δὲ καὶ ὁ πατρίκιος.

o Ἐνταῦθα μὲν ναυτικὸν λέγει τὸ δάνειον, ἐν δὲ τῷ ξϛ´ κεφ. περὶ τὸ τέλος διαπόντιον τοῦτό φησι. οὐ μόνον δὲ διαπόντιον κληθείη αὐτὸ πρὸς ναύτην γινόμενον, ἀλλὰ καὶ τὸ πρὸς πάντα τὸν ἐπὶ πραγματείᾳ πλέειν μέλλοντα.

p Ἑκατοστιαῖος τόκος ἐστὶ νομίσματα ιβ´ ἐφ᾽ ἑκάστῃ λίτρᾳ ὑπὲρ ὅλου ἐνιαυτοῦ παρέχεσθαι τεταγμένα τῷ νόμῳ· ἑκατοστιαῖος δὲ ὠνομάσθη ὡς πάλαι τῆς λίτρας μὴ ποσουμένης εἰς οὐγγίας οβ´, ὡς ποσοῦνται τὸ σήμερον, ἀλλ᾽ εἰς ρ´. ὥστε ὁ νῦν συμφωνήσας περὶ τοῦ νῦν τῆς λίτρας ποσοῦ ἑκατοστιαίους τόκους λαβεῖν οὐ ιβ´ ἀπαιτήσει δικαίως νομίσματα, ἀλλὰ τὸ ἀναλογοῦν θ´, ὥς φησι καὶ ὁ βαλσαμὼν ἐξηγούμενος τὸν ιζ´ κανόνα τῆς οἰκουμενικῆς ἁγίας πρώτης συνόδου.

q Χρὴ γινώσκειν ὅτι τὸ ἓν κεράτιον φόλλεις εἰσὶ ιβ´ ἤτοι μιλλιαρισίου τὸ ἥμισυ. τὰ οὖν ιβ´ κεράτιά εἰσι νομίσματος ἥμισυ. τὸ γὰρ ἀκέραιον νόμισμα ἔχει μιλλιαρίσια ιβ´ ἤτοι κεράτια κδ´.

---

[1] Lips. τετάρτης. [2] Lips. τόκων.

ρίων προεστήκασιν ἤ τινα θεμιτὴν πραγματείαν χειρίζουσιν, ἕως διμοίρου ἑκατοστῆς τὴν ἰδίαν ἐπερώτησιν συμμετρεῖν[r].

18. [Ἐν δὲ τῷ οα' κεφ.] Ἡ διάταξις βούλεται μηδὲ ὑπὲρ τοῦ τόκου τοῦ μέλλοντος χρόνου μηδὲ ὑπὲρ τοῦ τόκου τῶν ἤδη παρελθόντων χρόνων δύνασθαι κατὰ μηδένα τρόπον τόκον ἐπερωτηθῆναι, μηδὲ εἰ κατὰ τὸ σχῆμα τοῖς παλαιοῖς γνωριζόμενον γένηται.

19. Ἐν δὲ τῷ οβ' κεφ. Οἱ κατὰ μικρὸν καὶ κατὰ χρόνον καταβαλλόμενοι τόκοι τῷ διπλῷ συμψηφίζονται, κἂν μὴ καθάπαξ ὑφ' ἓν κατεβλήθησαν.

20. Ἐν δὲ τῷ ογ' κεφ. Ἡ παροῦσα διάταξις δηλοῖ, ὅτι οἱ κατὰ μέρος καταβαλλόμενοι τόκοι τὸ διπλοῦν τοῦ χρέους οὐχ ὑπερβαίνουσιν.

Ὑπεξήρηται δὲ τὸ κείμενον[s] ἐν τῇ ρξ'[1] νεαρᾷ περὶ τῶν τόκων τῶν πολιτικῶν χρημάτων.

21. Ἀνάγν. καὶ τί. δ' κεφ. δ' καὶ ε', ἐν οἷς φησι τοῦ λαμβάνειν τους ἀργυροπράτας διμοίρου ἑκατοστῆς τόκον.

22. Ἀνάγν. καὶ βι. κδ' τί. ς' κεφ. κ'[2] [ἐν ᾧ φησιν]· Ἐάν τις χρεωστῶν κεφάλαιον τόκους μὴ κεχρεωστημένους καταβάλῃ, οὐκ ἀναλαμβάνει. ὁ δὲ τόκους ὑπὲρ τὸ νόμιμον καταβαλὼν οὐκ ἀναλαμβάνει μέν, καταλογίζεται δὲ αὐτοὺς εἰς τὸ κεφάλαιον. εἰ δὲ [καὶ] τὸ κεφάλαιον κατέβαλεν ὡς τὸ κεφάλαιον χρεωστῶν εἰ κατέβαλεν[3] ἀναλαμβάνει, εἴτε πρὸ τοῦ κεφαλαίου τοὺς τόκους κατέβαλεν, εἴτε μετὰ ταῦτα, εἴτε ἅμα ἑκάτερον.

Ὑπὲρ τὸ διπλοῦν οὐκ ἐπερωτᾶται τόκος οὔτε ἀπαιτεῖται· οὔτε τόκος τόκου ἢ τῶν μελλόντων τόκων τόκος, καὶ καταβληθεὶς ἀναλαμβάνεται.

23. Ἀνάγν. καὶ βι. κε' τί. β' κεφ. α' θέμ. δ' καὶ βι. κς' τί. δ' κεφ. ξε' καὶ τί. ε' κεφ. γ' [ἐν ᾧ φησιν]· Ὁ κεχρεωστημένος τόκους ἐξ ἐπερωτήσεως καὶ ἑτέρους ἀπὸ συμφώνου, τὴν τιμὴν τῶν παρ' αὐτοῦ πιπρασκομένων ἐνεχύρων εἰς ἑκατέρους τοὺς τόκους λογίζεται ἐπίσης, εἰ καὶ ἀνίσου ποσότητός εἰσιν. ἐὰν δὲ ὁ χρεωστῶν τόκους μὴ ἀπαιτουμένους οἷον ἀπὸ συμφώνου καταβάλλῃ

[r] Εἰ γὰρ ἀθέμιτον πραγματείαν μετέρχονται, τυχὸν βάμμα πορφύρας ἢ μονήτας, καὶ τιμωρεῖσθαι ὀφείλουσι.

[s] Κείμενον ἐνταῦθα λέγεται τὸ ὑποκείμενον κεφάλαιον τοῦτο δὴ τὸ ἐκ τῶν νεαρῶν τὸ τρέχειν τὸν τόκον διόλου ἐπὶ τῶν ἁρμοζόντων ταῖς πόλεσι χρεῶν καὶ τόκων δημοσιακῶν.

[1] Lips. ρξη'. [2] Lips. η'. [3] Basil. ὡς τὸ κεφ. μὴ χρ. ὃ κατέβαλεν.

ἁπλούστερον[1], εἰς τὸ κεφάλαιον δοκεῖ διδόναι. τότε γὰρ πρῶτον εἰς τόκους λογίζεται τὸ καταβαλλόμενον, ὅτε τῶν ἀπαιτουμένων εἰσίν. οἱ γὰρ ἀπὸ συμφώνου καταβληθέντες μὲν οὐκ ἀναλαμβάνονται· μὴ καταβληθέντας δὲ αὐτοὺς ὡς τόκον οὐ δύναται λέγειν ὁ δανειστὴς ὡς τόκον εἰληφέναι.

Ἐὰν εἴπῃ ὁ δανειστής, λογίζεσθαι εἰς κεφάλαιον καὶ τόκους, τὸ καταβληθὲν πρῶτον εἰς τόκους λογίζεται καὶ τότε τὸ περιττὸν εἰς κεφάλαιον.

24. Οὔτε γὰρ τῇ τάξει τῆς γραφῆς προσέχομεν.

25. [Καὶ κεφ. ϛα'· Ὅτε καταβάλλεται πολλῶν ὑπόντων χρεῶν, καὶ ἐξ οὐδετέρου μέρους λέγεται, εἰς ποῖον καταβάλλεται, εἰς ἐκείνην χρὴ λογίζεσθαι τὴν αἰτίαν τὴν ἔχουσαν ἀτιμίαν, καὶ μετ' αὐτὴν εἰς τὴν ἔχουσαν ποινήν, εἶτα τὴν ἔχουσαν ὑποθήκην ἢ ἐνέχυρον, καὶ μετὰ ταῦτα μᾶλλον εἰς τὸ ἴδιον χρέος τοῦ καταβαλόντος ἤπερ εἰς ἀλλότριον χρεωστὴν ὡς ἐγγυητήν[1]. μηδενὸς τούτων ὄντος εἰς τὸ παλαιότερον καταβάλλεται· εἰ δὲ ὑπερβαίνει αὐτὸ τὸ δοθέν, εἰς τὸ δεύτερον χρέος τὸ περιττὸν καταλογίζεται.]

26. Ἀνάγν. κεφ. ϛζ'[2], ἐν ᾧ φησι· Φιλονεικίας περὶ τῶν τόκων γινομένης ἐψηφίσθη, τοὺς μὲν καταβληθέντας μὴ ἀντιστραφῆναι, τοὺς δὲ μέλλοντας μὴ χρεωστεῖσθαι. ἐὰν οὖν τὰ καταβληθέντα χρήματα εἶπεν ὁ χρεώστης εἰς κεφάλαιον διδόναι, οὐ δύναται ὁ δανειστὴς[3] εἰς τόκους αὐτὰ λογίζεσθαι.

Ἐὰν ἀπόδειξιν γράψω καὶ εἴπω λαβεῖν ἐκ τῶν κεχρεωστημένων μοι εἰς τὸ μεῖζον χρέος ρ' νομίσματα, εἰς τὸ ἀρχαιότερον καταλογίζονται. καὶ κεφ. ρθ' καὶ ρι'.

27. Ἀνάγν. καὶ βι. να' τί. δ' κεφ. ιϛ'. ἀνάγν. καὶ βι. νδ' τί. α'[4] κεφ. ιε' καὶ κεφ. ιη', ἐν οἷς φησι· Τῶν ἀπὸ ζημίας ἐποφειλομένων χρημάτων οὐκ ἀπαιτοῦνται τόκοι, οὔτε παρὰ τοῦ διοικήσαντος ἢ τῶν αὐτοῦ ἐγγυητῶν. ἀνάγν. καὶ βι. νϛ' τί. ϛ' κεφ. ιζ'.

---

t Μὴ μνημονεύσας τίνος χάριν ἐστὶν ἡ καταβολή. δεῖ δὲ γινώσκειν ὅτι ἄνευ ἐπερωτήσεως ἀπὸ ψιλοῦ συμφώνου τόκος οὐκ ἀπαιτεῖται, εἰ μὴ καὶ ἐνέχυρα εἰς τοὺς ἀπὸ συμφώνου τόκους κατέχεται. τότε γὰρ καὶ χωρὶς ἐπερωτήσεως ἀπαιτεῖται.

---

1 Legerim: ὃ χρεωστεῖ ὡς ἐγγυητής. Basil. ἤπερ εἰς ἀλλότριον, τουτέστιν οὐκ εἰς ὃ χρεωστεῖ ὡς ἐγγυητής. 2 Lips. ιζ'. 3 Leuncl. δικαστής. 4 Lips. ια'.

XII.

Περὶ τυμβωρύχων.

1. Ἀνάγν. βι. ξ' τί. κγ', οὗτινος ἐν τῷ α' κεφ. φησί· Τὸ τῆς τυμβωρυχίας ἔγκλημα ἀτιμίαν ἐπιφέρει.

2. Ἐν δὲ τῷ γ' κεφ. Οἱ τυμβωρυχοῦντες καὶ γυμνοῦντες τὰ τῶν τεθνεώτων[1] σώματα, εἰ μὲν μετὰ ὅπλων, κεφαλικῶς τιμωροῦνται· εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλου[a].

XIII.

Περὶ τοιχωρύχων.

1. Ἀνάγν. βι. ξ' τί. κη' κεφ. α', ἐν ᾧ φησιν· Οἱ νυκτερινοὶ τοιχωρύχοι ῥοπαλιζόμενοι μεταλλίζονται· οἱ δὲ ἡμερινοὶ ῥοπαλιζόμενοι δηνεκῶς ἢ προσκαίρως εἰς ἔργον βάλλονται.

Ἀρχὴ τοῦ Υ στοιχείου.

I.

Περὶ ὕβρεων[a].

1. Ἀνάγν. βι. ξ' τί. κα', οὗτινος ἐν τῷ α' κεφ. φησί· Γενικῶς μὲν

---

[a] Οἱ τὰ λείψανα ἢ τὰ ὀστᾶ μετακινήσαντες, εὐτελεῖς μὲν ὄντες ἄκρως τιμωροῦνται, ἔντιμοι δὲ εἰς νῆσον περιορίζονται· εἰ δὲ ἄλλως περὶ μνημεῖα πλημμελίζεται, ἐξορίζεται ἢ εἰς μέταλλον καταδικάζεται[2].

Τὸν ταφέντα ἐν γῇ ἢ σορῷ ἐπὶ τῷ ἀλλαχοῦ μετενεχθῆναι οὐ δεῖ σκύλλεσθαι. αὐτὴ μέντοι ἡ σορὸς χρείας χάριν εἰς ἐπιτηδειότερον μεταφέρεται[3].

Βι. γ' τοῦ κώδικος τί. μη' ἤτοι τῶν βασιλικῶν νθ' τί. γ' κεφ. ι'. τὸ σῶμα τὸ [μὴ] παραδοθὲν ταφῇ διηνεκεῖ δύναται ἀπὸ τόπου εἰς ἕτερον τόπον μετενεχθῆναι.

Μηδεὶς ἀνθρώπινον σῶμα χωρὶς κελεύσεως βασιλικῆς εἰς ἕτερον τόπον μεταφερέτω[4].

Ὑπόκεινται καὶ οἱ τυμβώρυχοι καὶ τῷ περὶ ἱεροσυλίας νόμῳ, ὡς βι. μη' τί. ιγ' καὶ διάταξις ε' τοῦ ιθ' τί. τοῦ θ' βι. τοῦ κώδικος, ἐν ᾧ καὶ τὰς χρηματικὰς αὔξει ποινάς.

Βι. τῶν βασιλικῶν ξ' τί. κγ' κεφ. ἔσχατον· οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι.

[a] Ἀνάγνωθι καὶ νεαρὰν ρκα' κεφ. μς', ἐν ᾧ φησι περὶ ὕβρεως εἰς ἐκκλησίαν ἢ πρὸς ἐπίσκοπον γινομένης ἢ κληρικόν.

---

[1] Leuncl. τελευτώντων. [2] Bas. LX, 23, 11. [3] Bas. LIX, 1, 39. [4] Bas. LIX, 3, 14.

ὕβρις λέγεται τὸ παράνομον, ἰδικῶς δὲ ἡ περιφρόνησις καὶ ἡ ζημία, ὡς ἐπὶ τοῦ ἀκουϊλίου· καὶ ἡ ἀδικία, ὡς ἐπὶ τοῦ ἀδίκως καὶ παρανόμως ψηφισαμένου.

Ἡ ὕβρις ἢ λόγῳ ἢ ἔργῳ γίνεται.

Καὶ ἢ εἰς σῶμα ἢ εἰς ἀξίαν ἢ εἰς ἀτιμίαν. εἰς σῶμα, ὡς ἐπὶ τοῦ πληγέντος· εἰς ἀξίαν, ὡς ὅταν [ὁ] ἀκολουθῶν τῇ οἰκοδεσποίνῃ ἀφέλκηται· εἰς ἀτιμίαν, ὡς ὅταν ἀποπειρᾶται τῆς σωφροσύνης τινός.

Ὑβρίζεται δέ τις ἢ δι' ἑαυτοῦ ἢ δι' ἑτέρων, οἷον υἱῶν, δούλων, γυναικὸς, νύμφης.

Καὶ λειψάνου ὑβριζομένου ὁ κληρονόμος αὐτοῦ ὑβρίζεται.

Εἰ δὲ καί τις βουλόμενον τὸν υἱόν μου πωλήσει ἢ ὑβρίσει, αὐτῷ μὲν οὐχ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή· ὕβρις γὰρ οὐκ ἔστιν ἡ γενομένη εἰς τὸν βουλόμενον· ἐμοὶ δὲ ἁρμόζει.

2. Ἐν δὲ τᾷ γ' κεφ. Εἴτε ᾔδεις εἴτε ἠγνόεις, ὡς ἐμὸν υἱὸν ὑβρίζεις ἢ γαμετήν μου, ἔχω ὀνόματί μου τὴν περὶ ὕβρεως ἀγωγήν.

Καὶ ἐν[1] μιᾷ ὕβρει τρισὶ προσώποις ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή. τῆς γὰρ γυναικός μου ὑβρισθείσης καὶ αὐτὴ καὶ ὁ πατὴρ αὐτῆς κἀγὼ ἔχομεν τὴν ἀγωγήν.

Καὶ οὐκ ἀναιρεῖται διὰ τοῦ ἑνὸς ἡ τοῦ ἑτέρου. ὑβριζομένου δὲ τοῦ ἀνδρὸς ἡ γυνὴ οὐκ ἐνάγει.

Κἂν τὰ μάλιστα κεκανόνισται ἐκείνους ὑβρίζεσθαι τοὺς δυναμένους καὶ ὑβρίζειν, ὅμως εἰσί τινες ὑβριζόμενοι μὲν, μὴ δυνάμενοι δὲ ὑβρίζειν, ὡς ὁ μαινόμενος καὶ ἄνηβος ὁ μὴ ὢν δόλου δεκτικός.

Ὑβρίζεσθαι μὲν γὰρ καὶ ὁ μὴ αἰσθανόμενος δύναται· οὐδεὶς δὲ ὑβρίζει, εἰ μὴ ἀπὸ διαθέσεως, καὶ ὁ γινώσκων ὡς ὑβρίζει, κἂν ἀγνοῇ τίνι γίνεται ἡ ὕβρις.

Ὅθεν ἐὰν παίζων ἢ ἀγωνιζόμενος κρούσῃς τινὰ, οὐκ ἐνέχῃ τῇ περὶ ὕβρεως ἀγωγῇ.

Οὔτε μὴν ὁ τὸν ἐλεύθερον ὡς δοῦλον τύπτων·

Οὔτε ἐὰν τὸν δοῦλόν μου θέλων τύψαι παρεστῶτά σε τύψω ἄκων.

3. Ἐν δὲ τῷ ς' κεφ. Ἐπὶ τῆς περὶ ὕβρεως ἀγωγῆς καλῶς ὁ ἐνάγων ὅρκον ἐπιφέρει τῷ ἐναγομένῳ, ὡς οὐχ ὕβρισεν.

4. Ἐν δὲ τᾷ θ' κεφ. Οὔτε αὐτεξουσίῳ υἱῷ κατὰ πατρὸς οὔτε ἀπελευθέρῳ κατὰ πάτρωνος ἁρμόζει ἡ περὶ ὕβρεως

---

[1] Leuncl. ἐπί.

ἀγωγή, εἰ μὴ σφοδρῶς ὕβρισε, πλήξας τυχὸν ἢ τραυματίσας. ἐφεῖται γὰρ τοῖς πάτρωσι[1] μετρίως σωφρονίζειν τοὺς ἀπελευθέρους.

Τῷ δὲ ὑπεξουσίῳ παιδὶ οὔτε ἀπὸ ὕβρεως τραχείας ἡ περὶ ὕβρεως ἁρμόζει κατὰ τοῦ πατρός.

5. Ἐν δὲ τῷ ια' κεφ. Περὶ πάσης ὕβρεως ἔξεστι χρηματικῶς κινεῖν.

Ἡ τραχεῖα ὕβρις ἢ ἀπὸ τοῦ προσώπου ἢ ἀπὸ τοῦ πράγματος ἢ τοῦ τόπου[2] κανονίζεται· ἀπὸ τοῦ προσώπου, ὅταν ἄρχοντι ἢ πατρὶ γένηται· ἀπὸ τοῦ τόπου, ὅταν ἐν θεάτρῳ, πάντων ὁρώντων· ἀπὸ τοῦ πράγματος, ὅταν τραῦμα δοθῇ ἢ ὄψις πληγῇ.

6. Οὐ μόνον τὸ μέγεθος τοῦ πράγματος εἰσάγει τραχεῖαν ὕβριν, ἀλλὰ καὶ ὁ τόπος, ἐὰν τυχὸν ἐν ὀφθαλμῷ γέγονε.

7. Καὶ τὸ σχίσαι τὴν ἐσθῆτά τινος, καὶ τὸ ἀποσπάσαι τὸν ἀκόλουθον, καὶ τὸ ποιῆσαι ὀχλαγώγιον, καὶ τὸ ἐν θεάτρῳ πλῆξαι, εἰ καὶ μὴ σφοδρῶς, τραχεῖαν ὕβριν εἰσάγει, εἴτε αὐτεξουσίῳ γένηται εἴτε ὑπεξουσίῳ.

Δούλου τραχείαν ὕβριν ποιήσαντος εἰ μὲν πάρεστιν ὁ δεσπότης, ἐνάγεται· εἰ δὲ μὴ πάρεστιν, ὁ ἄρχων αὐτὸν φραγγελίζει.

8. Ἐν δὲ τῷ ιγ' κεφ. Οὐ μόνον ὁ τύψας ἢ ὑβρίσας, ἀλλὰ καὶ ὁ παρασκευάσας τοῦτο γενέσθαι κατέχεται.

9. Ἐν δὲ τῷ ιη' κεφ. Οὔτε κληρονόμοις οὔτε κατὰ κληρονόμων ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή, κἂν δοῦλος ὑβρισθῇ τοῦ τελευτήσαντος περιόντος αὐτοῦ, εἰ μὴ προκατήρχθη.

10. Ἐν δὲ τῷ κε' κεφ. Ὁ πολλάκις ἀνατείνας τὴν χεῖρα καὶ μὴ τύψας οὐτιλίᾳ περὶ ὕβρεως ἀγωγῇ ἐνέχεται.

11. Ἐν δὲ τῷ κθ' κεφ. Ὁ προσβαλὼν[3] γυναικὶ ἐνδεδυμένῃ σχῆμα δούλης ἢ πόρνης ἧττον μὲν ἁμαρτάνει, ὑπόκειται δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ· καὶ ὁ ἀποσπάσας τὸν ἀκόλουθον αὐτῆς, εἴτε δοῦλός ἐστιν εἴτε ἐλεύθερος, ἀνὴρ ἢ γυνή, ἐν δημοσίῳ ἢ ἰδιωτικῷ τόπῳ.

Ἀκόλουθος δέ ἐστιν ὁ ἀφορισθεὶς ἐπὶ τῷ συνεχῶς ἀκολουθεῖν αὐτῇ, ὁποῖός ἐστι καὶ ὁ παιδαγωγός.

Ἀποσπᾶν δὲ δοκεῖ οὐχ ὁ ἀρξάμενος, ἀλλ' ὁ ἀποτελέσας.

Ἀποσπᾶν δοκεῖ οὐ μόνον ὁ βιαζόμενος, ἀλλὰ καὶ ὁ συμβουλεύσας αὐτῷ καταλιπεῖν αὐτήν.

[1] Lips. πατρᾶσι. [2] Leuncl. τρόπου. [3] Leuncl. conj. προσλαλῶν.

Καὶ ὁ προσβαλὼν καὶ ὁ συνεχῶς μετὰ σιωπῆς ἐπακολουθῶν ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ.

Προσβαλεῖν δέ ἐστι τὸ ἀπατηλοῖς ῥήμασιν ἀποπειράσασθαι[1] τῆς ἄλλου σωφροσύνης.

Ὁ δὲ ῥήμασιν αἰσχροῖς χρώμενος οὐ προσβάλλει μὲν, ὑπόκειται δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ.

Πρὸς τὴν ποιότητα τοῦ πράγματος καὶ τῶν προσώπων ποιεῖται τὴν ζήτησιν καὶ τὴν ἐπεξέλευσιν ὁ ἄρχων.

12. Ἐν δὲ τῷ λβʹ κεφ. Ὁ τὸν ἀλλότριον δοῦλον παρὰ τοὺς ἀγαθοὺς τρόπους μαστίζων ἢ ἀγνοοῦντος τοῦ δεσπότου ἐξετάζων ὑπόκειται τῇ περὶ ὕβρεως ἀγωγῇ.

Ἐάν τις μὴ παρὰ τοὺς ἀγαθοὺς τρόπους τύψῃ, ἀλλὰ διὰ τὸ διορθώσασθαι, οὐκ ἔχει χώραν ἡ ἀγωγή.

Τυπτῆσαι λέγεται καὶ τὸ γρόνθῳ δοῦναι.

Κουαεστίων δέ ἐστι τὸ ἐπαγαγεῖν βάσανον καὶ πόνον τῷ σώματι πρὸς κατάληψιν τῆς ἀληθείας, καὶ τὸ ἐμβαλεῖν τοὺς πόδας ξύλῳ. ἡ δὲ ψιλὴ ἐρώτησις καὶ ἡ μετρία καταπτόησις οὐκ ἀνήκει πρὸς τὴν περὶ ὕβρεως ἀγωγήν.

Καὶ ὁ κελεύσει δεσπότου ἐξετάζων, ἐὰν τὸ μέτρον παρεξέλθῃ, ὑπόκειται.

Ἐὰν τυπτηθῇ δοῦλος ἢ ἐξετασθῇ, παντὶ τρόπῳ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή.

Εἰ δὲ ἄλλως ὑβρισθῇ, οὐ πάντως, ἀλλὰ τῆς αἰτίας διαγινωσκομένης ἐκ τῆς ποιότητος τῆς ὕβρεως καὶ τοῦ προσώπου τοῦ δούλου.

13. Τινὲς ὕβρεις ἀπὸ ἐλευθέρων γινόμεναι ἐλαφραὶ ἀντʼ οὐδενός εἰσιν, ἀπὸ δὲ δούλων τραχεῖαί εἰσιν.

Ὥσπερ ἐπὶ ἄλλων ἁμαρτημάτων τῶν δούλων, οὕτως ἐπὶ τῆς ὕβρεως ἁρμόζει νοξαλία. καὶ ἐπιλογὴν ὁ δεσπότης ἔχει, ἢ δοῦναι αὐτὸν εἰς τὸ μαστιγωθῆναι ἢ εἰς θεραπείαν τῆς ζημίας, ἢ δοῦναι τὴν ἀποτίμησιν τῆς δίκης.

14. Ἐν δὲ τῷ λγʹ κεφ. Τὸ μέτριον τῶν βασάνων ὡς ἀνὴρ ἀγαθὸς ὁ δικαστὴς ὀφείλει δοκιμάζειν.

Ἐὰν κελεύσει τοῦ δεσπότου δοῦλος ὑβρίσῃ, ἰδίῳ ὀνόματι ἐνάγεται, καὶ μετʼ ἐλευθερίαν αὐτὸς ὁ δοῦλος. οὔτε γὰρ ἐν πᾶσιν ὀφείλει τῷ δεσπότῃ πειθαρχεῖν, οὔτε κελεύσει αὐτοῦ φονεύειν.

---

[1] Leuncl. ἀποπειρᾶσθαι.

Εἰ δὲ τῷ δεσπότῃ βοηθῶν ἐποίησέ τι, οὐκ ἔστιν ὑπὸ μέμψιν, ἀλλὰ καὶ παραγραφὴ ἀντίκειται τῷ κινοῦντι.

15. *Ἐν δὲ τῷ λς′ κεφ. Δοῦλος δοῦλον ὑβρίζων οὕτως ἐστὶν ὡσανεὶ τὸν δεσπότην αὐτοῦ ὕβρισεν.*

16. *Ἐν δὲ τῷ μγ′ κεφ. Ἐάν τις αἰσχρὸν ποιήσῃ δούλῃ ἢ ἄλλῳ τινὶ κλοπιμαίῳ λογισμῷ κατάσχῃ αὐτὴν, καὶ τῇ περὶ ὕβρεως ἀγωγῇ καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν κατέχεται. εἰ δὲ ἄνηβον[1] αὐτὴν οὖσαν διαπαρθενεύσει, [καὶ] τῷ ἀκουϊλίῳ ὑπόκειται.*

17. *Ἐν δὲ τῷ να′ κεφ. Ὁ περιφρονῶν τῆς περὶ ὕβρεως ἀγωγῆς διὰ τὴν προσοῦσαν αὐτῷ ἀπορίαν καὶ ἀτιμίαν, καὶ σφοδρότερον διὰ τοῦτο ἐνυβρίζων, σφοδρῶς τιμωρεῖται.*

18. *Ἐν δὲ τῷ νγ′ κεφ. Καὶ ἀπὸ τοῦ κορνελίου νόμου ἡ περὶ ὕβρεως ἀγωγὴ κινεῖται χρηματικῶς, καὶ ἀποτιμᾶται δοκιμασίᾳ τοῦ ἄρχοντος.*

19. *Ἐν δὲ τῷ νζ′ κεφ. Ὁ ἐκκαλούμενος ἐὰν ὑβρίσῃ τὸν δικαστὴν, ἀτιμοῦται.*

20. *Ὁ κατὰ συκοφαντίαν κινήσας τὴν περὶ ὕβρεως ἀγωγὴν ἢ ἐξορίζεται ἢ τοῦ ἀξιώματος ἀποκινεῖται.*

21. *Ἐν δὲ τῷ ξ′ κεφ. Ἡ περὶ ὕβρεως ἀγωγὴ ἐξτραορδίνως κινεῖται[2], καὶ οἱ μὲν δοῦλοι φραγγελιζόμενοι τοῖς δεσπόταις ἀποδίδονται, οἱ δὲ ἐλεύθεροι καὶ εὐτελεῖς ῥοπαλίζονται[b]· οἱ δὲ λοιποὶ[3] ἢ πρὸς καιρὸν ἐξορίζονται, ἢ τινος κωλύονται πράγματος.*

22. *Ἐν δὲ τῷ ξγ′[4] κεφ. Μάχην τὶς ἐποίησέ τινι, ὁ δὲ ὡς ὑβρισκόμενος καὶ λέγων, ὅτι φονέα με ἐκάλεσεν, ἠπείλει κινεῖν τὴν περὶ ὕβρεως ἀγωγήν. προσῆλθεν ἐκεῖνος τῷ βασιλεῖ λέγων, ὅτι οὐδὲν ὕβρισε· καὶ παρῆλθεν ὁ ἐνιαυτός. ὅρα οὖν τὸ κατὰ πόδα· ἐὰν ὑβριστικὸν συμβουλεῦσαι μηδὲν ἢ εἰρηκέναι ἀποδεῖξαι δύνασαι, ἡ πίστις τῆς ἀληθείας πρὸς τὴν συκοφαντίαν σοι βοηθεῖ. εἰ δὲ ἐν τῇ μάχῃ προπετῶς τῇ θερμότητι ὀλισθήσας φόνου ὕβριν ἐπήγαγες, καὶ ἐξ ἐκείνης τῆς ἡμέρας ἐνιαυτὸς παρέδραμεν, ὁπότε ἡ περὶ ὕβρεως ἀγωγὴ*

---

b *Ἢ καὶ χρηματικῶς ποινὴν παρέχουσι μέχρι τῶν ρν′ νομισμάτων παρὰ τοῦ δικαστοῦ τυπουμένην πρὸς τὴν ποιότητα τῆς ὕβρεως.*

---

1 Leuncl. *ἀκμόν*, et conj. *ἄακμον*. Basil. *ἄνακμον*. 2 Leuncl. *νοεῖται*.
3 Idem *ἄλλοι*. 4 Lips. *μθ′*.

ἐνιαυσιαίῳ χρόνῳ γέγραπται[c], διὰ τὸ τῆς ὕβρεως ὄνομα ἐνάγεσθαι οὐ δύνασαι.

23. Ἐν δὲ τῷ ξη' κεφ. Ἐὰν ὑβρισθῶσιν ἰλλούστριοι ἢ ἔμπρακτοι ἢ μόνον τῇ ἀξίᾳ τετιμημένοι, ἢ αἱ γυναῖκες αὐτῶν καὶ οἱ παῖδες καὶ αἱ θυγατέρες, ἢ ἐὰν κατά τινος τούτων τῶν προσώπων κινεῖται ἡ περὶ ὕβρεως ἀγωγὴ, δύναται καὶ δι' ἐντολέως ἀγωνίσασθαι, τῆς ἀποφάσεως ἐκφερομένης οὐ κατὰ τοῦ ἐντολέως, ἀλλὰ κατὰ τοῦ δεδωκότος αὐτόν.

24. Ἀνάγν. καὶ τί. κβ' κεφ. α' θέμ. β', καὶ βι. γ' τί. α' κεφ. μγ', ἐν ᾧ φησιν· Εἴ τις τῶν θείων μυστηρίων ἢ τῶν ἄλλων ἁγίων λειτουργιῶν ἐπιτελουμένων ἐν ἁγίᾳ εἰσελθὼν[1] ἐκκλησίᾳ ἢ τῷ ἐπισκόπῳ ἢ τοῖς κληρικοῖς ἢ τοῖς ἄλλοις ὑπηρέταις τῆς ἐκκλησίας ὕβρεώς τι ἐπαγάγῃ, κελεύομεν τούτους βασάνους ὑπομεῖναι[2] καὶ εἰς ἐξορίαν πεμφθῆναι. εἰ δὲ καὶ αὐτὰ τὰ θεῖα μυστήρια καὶ τὰς θείας λειτουργίας παράξει ἢ ἐπιτελεῖσθαι κωλύσει, κεφαλικῶς τιμωρείσθω. τούτου αὐτοῦ καὶ ἐπὶ ταῖς λιταῖς, ἐν αἷς ἢ ἐπίσκοποι ἢ κληρικοὶ εὑρίσκονται, φυλαττομένου· ἵνα εἰ μὲν ὕβριν μόνην ποιήσει, βασάνοις καὶ ἐξορίᾳ παραδοθῇ, εἰ δὲ καὶ τὴν λιτὴν διασκεδάσει, κεφαλικὸν κίνδυνον ὑπομείνῃ.

II.

Περὶ ὕδατος ἀντλήσεως εἴρηται ἐν τῷ περὶ δουλειῶν.

III.

Περὶ υἱοθετούντων καὶ υἱοθετουμένων, καὶ τίνες δύνανται υἱοθετεῖν ἢ υἱοθετεῖσθαι, καὶ τίνες οὐ δύνανται.

1. Ἀνάγν. βι. λγ' τί. α' οὗτινος, ἐν τῷ ιζ' κεφ. φησίν· Οὐδεὶς υἱοθετεῖσθαι τὸν ἄνηβον[a] δύναται, εἰ μὴ συγγενὴς αὐτοῦ ἢ χρηστὴν ἔχων πρὸς αὐτὸν διάθεσιν[b]· ἵνα μὴ ἔχωσιν ἄδειαν οἱ ἐπίτροποι

---

c Σημείωσαι ὅτι ἡ περὶ ὕβρεως ἀγωγὴ ἐντὸς ἐνιαυτοῦ κινεῖται.

a Τὸν ἐπιτροπευόμενον, οὐ μὴν μὲν τὸν ὑπὸ πατέρα ὄντα.

b Εἰ γὰρ μηδέν, φησιν, εἴη τοιοῦτον, ἡ θέσις κεκώλυται, ἵνα μὴ ἐξείη τοῖς ἐπιτροπεύουσι τῶν ἀνήβων εἰς θέσιν αὐτοὺς διδόναι, καὶ κατ' αὐτῶν τήν τε ἐπιτροπὴν περαιοῦν, καὶ τὴν ἐπ' αὐτοῖς πουπιλαρίαν ἤτοι κατὰ ἀνηβότητα ὑποκατάστασιν ἐκ τοῦ πατρὸς γεγενημένην ἀφανίζειν. εἰ γὰρ δοθεὶς εἰς θέσιν ὁ ἄνηβος ἐν ὑπεξουσιότητι τελευτήσῃ, οὐκέτι καλεῖται ὁ ὑποκατάστατος εἰς κλῆρον. ὑπεξούσιος γὰρ κληρονόμον οὐκ ἔχει.

---

1 Lips. εἰσέλθῃ. 2 Id. ὑπομένειν.

λύειν τὰς ἐπιτροπὰς καὶ τὰς παρὰ τῶν γονέων γενομένας ὑποκαταστάσεις υἱοθετοῦντες τοὺς ὑπ' αὐτῶν ἐπιτροπευομένους[c].

Ζητεῖται δὲ καὶ τὰ περὶ τῆς οὐσίας τοῦ ἀνήβου καὶ τοῦ θέλοντος αὐτὸν υἱοθετήσασθαι[d], *μήποτε οὐ συμφέρει, καὶ τὰ περὶ τῶν τρόπων τοῦ υἱοθετουμένου καὶ τῆς ἡλικίας, μήποτε ὀφείλει μᾶλλον παιδοποιῆσαι, καὶ εἰ ἔχει παῖδας, ἵνα μὴ μειωθῇ ἡ ἐλπὶς αὐτῶν τῆς διαδοχῆς, ἢ ὁ ἄνηβος εὑρεθῇ λαμβάνων ἧττον ἤπερ ἐστὶν ἄξιον.*

2. [*Ἐν δὲ τῷ μς' κεφ. Ἡ γυνὴ οὐ δύναται υἱοποιεῖσθαι, ἥτις οὐδὲ ὑπεξουσίους ἔχει τοὺς παῖδας. ἀλλ' ἐπειδὴ εἰς παραμυθίαν τῶν ἀπολομένων παίδων βούλεται λαβεῖν, δίδομεν αὐτῇ τοῦτο ποιεῖν ὡσανεὶ ἐξ αὐτῆς τεχθέντα αὐτόν*[e].]

3. *Ἐν δὲ τῷ μζ' κεφ. Ἡ υἱοθεσία τῶν αὐτεξουσίων οὐκ ἄλλως γίνεται, ἢ ἐνταῦθα ἢ ἐν ἐπαρχίᾳ, εἰ μὴ κατὰ βασιλικὴν ἀντιγραφὴν γένηται ἡ θέσις.*

4. *Ἐν δὲ τῷ να' κεφ. Δεῖ τὸν λαμβάνοντα εἰς υἱοθεσίαν εἶναι μείζονα τοῦ λαμβανομένου, ἐπειδὴ πρὸς μίμησιν τῆς φύσεως ἐπινενόηται, ἡ δὲ φύσις πρεσβύτερον εἶναι*[1] *τοῦ υἱοῦ τὸν πατέρα. νομίζεται γὰρ τέρας εἶναι καὶ τῆς φύσεως ἀλλότριον τὸ λέγειν μείζονα εἶναι τὸν παῖδα τοῦ πατρός. ταῦτα δὲ καὶ*[2] *ὑπεξουσίων καὶ αὐτεξουσίων συμβαίνει*[3]. *δεῖ δὲ καὶ προηγεῖσθαι τὸν πατέρα ὀκτωκαίδεκα ἐνιαυτούς. ἡ γὰρ τοιαύτη ἡλικία ἐφηβότης λέγεται τελεία, ὅτε καὶ οἱ βραδέως ἡβῶντες ἡβῶσι τοῦ σχήματος πάντως συντρέχοντος.*

5. *Ἐν δὲ τῷ νβ' κεφ. Ὅτι ὁ μὲν καστράτος καὶ ὁ θλιβίας οὐ λαμβάνουσιν εἰς θέσιν, οὔτε αὐτεξούσιον παρὰ βασιλέως*

---

c *Ἐπειδὴ γὰρ ὑπεξούσιος ὁ ἄνηβος διὰ τῆς θέσεως γενόμενος οὐκέτι ἐπιτροπεύεται· ἀλλότριον γὰρ ὑπεξουσίων τὸ ἐπιτροπεύεσθαι· λύεται ἡ ἐπιτροπή, καὶ εἰ ὁ δοθεὶς εἰς θέσιν ἐν ὑπεξουσιότητι τοῦ θετοῦ πατρὸς τελευτήσει, οὐκέτι καλεῖται ὁ ὑποκατάστατος πρὸς τὴν κληρονομίαν αὐτοῦ· ὑπεξούσιος γὰρ κληρονόμον οὐκ ἔχει καὶ λύεται ἡ ὑποκατάστασις.*

d *Ἵνα ἐκ τῆς αὐτῶν οὐσίας διακριθῇ περὶ θέσεως, εἰ σωτηριώδης ἤτοι σύμφορός ἐστι τῷ ἀνήβῳ ἡ θέσις καὶ ἵνα μὴ σκηνικὸς ἢ ἄσωτος ᾖ.*

e *Μὴ ἐναντιωθῇ σοι ἡ η' διάταξις τοῦ λγ' τίτλου τοῦ ζ' βι. τοῦ κώδικος ἀδιαστίκτως λέγουσα, μὴ δύνασθαι υἱοθετεῖν τὰς γυναῖκας· ἀλλὰ νόει αὐτὴν κατὰ τὸ εἰρημένον ἐνταῦθα.*

---

1 Lege *οἶδε*. 2 Adde *ἐπὶ*. 3 Leuncl. *προβ*.

οὔτε ὑπεξούσιον παρὰ ἄρχοντος[f]· οἷς γὰρ ἡ φύσις ἠρνήσατο τὸ παιδοποιεῖν, τούτοις καὶ ὁ νόμος κατὰ πόδα βαδίζων τῆς φύσεως. ἀνέλπιστα γὰρ αὐτοῖς τὰ τῆς παιδοποιΐας. ὁ δὲ σπάδων, ἐπειδὴ τοῦτον ἐλπὶς εἰκὸς τοῦ πάθους ἀπαλλαγέντα δύνασθαι παιδοποιεῖν, εἰς θέσιν λήψεται καὶ ὑπεξούσιον καὶ αὐτεξούσιον. ἀλλ' ὁ σπάδων λαμβάνων ὑπεξούσιον εἰς θέσιν οὐχ ἕξει τοῦτον ὑπεξούσιον[g].

6. Ἐν δὲ τῷ νγʹ κεφ. Ἔστι καὶ ἑτέρα κοινωνία υἱοθεσίας, ἣν ἀποτελεῖ ἡ γυνή. γυνὴ γὰρ οὐδὲ κατὰ βασιλικὴν αἴτησιν οὐδὲ κατὰ ἀρχοντικὴν δύναται λαβεῖν εἰς θέσιν τινά. ἡ γὰρ θέσις δίδωσιν ἡμῖν τὴν κατὰ τοῦ παιδὸς ὑπεξουσιότητα, αὕτη δὲ τοὺς φυσικοὺς παῖδας ὑπεξουσίους οὐκ ἔχει· ὁ δὲ νόμος ἀκολουθεῖ τῇ φύσει. εἰκότως οὐ λήψεται εἰς θέσιν τινὰ, εἰ μὴ ἄρα ἐκ φιλοτιμίας βασιλέως πρὸς παραμυθίαν τῶν τελευτησάντων αὐτῆς παίδων βουληθῇ λαβεῖν. ὥστε οὖν ἡ ἔχουσα παῖδας γυνὴ οὐδὲ διὰ βασιλέως ἀντιγραφῆς εἰς θέσιν λήψεταί τινα. πρὸς ταῖς εἰρημέναις διαφοραῖς ἐστὶ καὶ αὕτη.

7. Ἀνάγν. καὶ βι. ιʹ τί. δʹ κεφ. δʹ θέμ. δʹ. φησὶ γάρ· Ὁ ἀφήλιξ καὶ κατὰ υἱοθεσίαν ἀποκαθίσταται. τυχὸν γὰρ αὐτὸς μέν ἐστι πλούσιος, ὁ δὲ λαβὼν αὐτὸν πένης.

IV.

Περὶ ὑπεξουσίων δούλων τε καὶ υἱῶν καὶ τῶν καλῇ πίστει δουλευόντων ἡμῖν, καὶ πότε καὶ πῶς ὑπὲρ αὐτῶν ἐνάγονται καὶ εὐθύνονται οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους ἀπό τε συναλλαγμάτων αὐτῶν καὶ ἁμαρτημάτων καὶ χρέους, εἴτε ὡς προστήσαντες αὐτοὺς πραγματείας τινὸς ἢ καὶ ὡς παραχωρήσαντες αὐτοῖς τὴν τοῦ πεκουλίου διοίκησιν ἢ καὶ ὡς δαπανησάντων αὐτῶν εἰς τὰ τοῦ δεσπότου ἢ τοῦ πατρὸς πράγματα.

1. Ἀνάγν. βι. ιηʹ, οὗτινος ἐν τῷ αʹ τί. κεφ. αʹ φησίν· Ὁ προβαλλόμενος προεστῶτα ἐργαστηρίου ἐνάγεται μὲν παρὰ τῶν συναλλαξάν-

---

f Οἱ μὲν αὐτεξούσιοι παρὰ βασιλέως τὴν υἱοθεσίαν δέχονται, οἱ δὲ ὑπεξούσιοι καὶ παρὰ ἄρχοντος, ὥς φησι τὸ αʹ κεφ. τοῦ αʹ τί. τοῦ λγʹ βι.

g Εὐνοῦχος[1] ὄνομά ἐστι γενικὸν, τέμνεται δὲ εἰς γʹ. τῶν γὰρ εὐνούχων οἱ μέν εἰσι σπάδωνες, οἱ δὲ καστράτοι, οἱ δὲ θλιβίαι. καὶ σπάδωνες μέν εἰσιν, οἵτινες διά τι πάθος ἢ ψύξιν ἐνοχλήσασαν τοῖς γονίμοις μορίοις παιδοποιεῖν κωλύονται. θλιβίαι δὲ, οἵτινες ὑπὸ τῆς τροφοῦ ἢ τῆς μητρὸς τυχὸν ἔκθλιψιν τῶν διδύμων ὑπέστησαν. καστράτοι δὲ, ἐφ' ὧν γέγονεν ἐκτομὴ τῶν γεννητικῶν μορίων.

1 Haec Leuncl. textui subjicit. In Lips. plane desunt.

των αὐτῷ[a], οὐκ ἐνάγει δὲ αὐτοῖς, εἰ μὴ δοῦλος αὐτοῦ ἐστιν ὁ προεστὼς τοῦ ἐργαστηρίου. εἰ δὲ δοῦλος ἀλλότριός ἐστιν ἢ ἐλεύθερος, ἔχει κατ' αὐτοῦ ἢ τοῦ δεσπότου τὴν περὶ ἐντολῆς ἀγωγὴν ἢ τὴν κατὰ πραγματευτῶν κινουμένην. ἔχει δὲ καὶ κατὰ τῶν συναλλαξάντων τῷ προεστῶτι τοῦ ἐργαστηρίου[1], ἔνθα τὸ ἴδιον ἄλλως οὐ δύναται σῶσαι.

2. Ἐν δὲ τῷ γ' κεφ. Ἀπὸ μόνων τῶν προσφόρων τῇ προστασίᾳ κατέχεται ὁ προβαλλόμενος.

Ὁ δανείζων τῷ προεστῶτι ἀγορασίας ἐπὶ τὸ δοῦναι τὸ ἐνοίκιον τοῦ ἐργαστηρίου ἔχει καὶ κατὰ τοῦ προστήσαντος ἀγωγὴν, εἰ μὴ ἐκωλύθη δανείζεσθαι.

Καὶ ὁ δανείζων ἔλαιον τῷ ἐπιτραπέντι ἀγοράζειν καὶ πιπράσκειν ἔλαιον· καὶ ὁ διδοὺς αὐτῷ ἀῤῥαβῶνα, εἰ καὶ[2] ἐπετέτραπτο παραχρῆμα τὸ τίμημα λαμβάνειν.

Καὶ ὁ δεδωκὼς ἐνέχυρον ἐπὶ τιμήματι, καὶ ὁ τὸν προεστῶτα ἐγγυησάμενος ἔχει κατὰ τοῦ προστήσαντος ἀγωγήν.

3. Ἐν δὲ τῷ δ' κεφ. Γίνονται προεστῶτες καὶ ἄῤῥενες καὶ θήλειαι, ἐλεύθεροι καὶ δοῦλοι, ἴδιοι καὶ ἀλλότριοι. καὶ προϊστῶσι πάντες. καὶ γυνὴ γὰρ ἐὰν προστήσῃ ἢ προσταθῇ, ἐνέχεται, ὡς ἐπὶ τῆς ἀγωγῆς τῆς κινουμένης κατὰ τοῦ προστήσαντος τὸν ἴδιον δοῦλον μαγίστωρα τοῦ ἰδίου πλοίου. κἂν ὑπεξουσία ἢ δούλη ἢ ἄνηβος προστῇ, χώρα τῇ κατὰ τῶν προεστώτων ἀγωγῇ. οἱ πολλοὶ γὰρ παῖδας καὶ παιδίσκας προϊστῶσιν ἐργαστηρίων.

4. Αὐτὸς μέντοι ὁ ἄνηβος προϊστῶν σὺν αὐθεντίᾳ τοῦ ἐπιτρόπου ἐνέχεται·

5. Εἰ δὲ χωρὶς αὐθεντίας αὐτοῦ προέστησεν, οὐκ ἐνέχεται.

6. Ἐνάγεται μέντοι εἰς ὅσον ἐκ τούτου γέγονεν εὐπορώτερος.

Εἰ δὲ καὶ κληρονόμος ὁ ἄνηβος ἐγένετο τοῦ προβαλλομένου, ἐνέχεται ἕως οὗ ἀποκινήσωσιν αὐτὸν οἱ ἐπίτροποι. ε

---

[a] Τῇ ἰνστιτορίᾳ ἀγωγῇ. καὶ σημείωσαι ὅτι ἡ μὲν ἰνστιτορία εἰς ὁλόκληρον κινεῖται κατὰ τοῦ προστήσαντος, ἡ δὲ τριβουτορία μέχρι τοῦ πεκουλίου. καὶ ἡ μὲν ἰνστιτορία κινεῖται ἀεὶ κατὰ τοῦ προστήσαντος, ἡ δὲ τριβουτορία κατὰ τῶν πεκουλιαρίων φορτίων τοῦ δούλου τοῦ πολλὰ χρεωστήσαντος, ἥτις καὶ μεταξὺ αὐτῶν καὶ τοῦ δεσπότου ἀναλόγως διαιρεῖται τὰ φορτία.

---

[1] Lips. δικαστηρίου. [2] Bas. εἰ μή.

θὲ νέος προστήσας ἀποκαθίσταται, ἀλλ' οὐ χωρὶς αἰτίας εὐλόγου.

7. Ἐν δὲ τῷ ε' κεφ. Ὁ προστήσας ἐνέχεται, εἰ μὴ κωλύσει διὰ προγράμματος συναλλάξαι τῷ προεστῶτι. δεῖ δὲ τὸ πρόγραμμα εἶναι ἔνθα ἡ πραγματεία γίνεται, δυνάμενον ἐξ ἐπιπέδου ἀναγινώσκεσθαι, γράμμασι τοῖς ἐν τῷ τόπῳ συχνάζουσι[b]. Δεῖ δὲ τὸ πρόγραμμα κεῖσθαι διὰ παντὸς εὐανάγνωστον· ἐπείτοιγε ἐὰν ὑπὸ παλαιότητος ἢ βροχῆς ἢ τινὸς ἑτέρου[c] ἢ αὐτοῦ τοῦ προεστῶτος περιαιρεθέντος ἀμαυρωθέντος αὐτοῦ συναλλάξῃ τὶς μὴ μετασχὼν τοῦ δόλου, ἔχει τὴν κατὰ[1] τῶν προστησαμένων ἀγωγήν. ὀφείλει δὲ ὁ ὅρος ἐφ' ᾧ τις προβάλλεται φυλάττεσθαι. εἰ δέ ποτε μὲν ἐπιτρέπει, ποτὲ δὲ κωλύει συναλλάξαι αὐτῷ, διὰ τὴν συνεχῆ μεταβολὴν[d] πᾶσιν ἐνέχεται. εἰ μέντοι τελείως ἀπαγορεύσει αὐτῷ συναλλάξαι, οὐκ ἔστι προεστώς, ἀλλὰ φύλαξ· καὶ οὐδὲν ἐκποιῆσαι δύναται.

8. Ἐν δὲ τῷ θ' κεφ. Ἐκ τῶν συναλλαγμάτων τοῦ διοικητοῦ τοῦ χωρίου μου ἡ κατὰ τοῦ προστήσαντος ἀγωγὴ οὐχ ἁρμόζει. ὑποδοχεὺς γάρ ἐστι τῶν καρπῶν, εἰ μὴ ἄρα ἐπετράπη τὶς πιπράσκειν.

9. Ἐν δὲ τῷ ια' κεφ. Προεστώς ἐστιν ὁ προβληθεὶς ἐπὶ τῷ πωλεῖν ἢ ἀγοράζειν ἐν τόπῳ ἢ ἐκτὸς τόπου.

10. Ἐν δὲ τῷ ιβ' κεφ. [Ὁ προβληθείς μου δοῦλος ἐὰν ἐλευθερωθεὶς ἐπιμείνῃ τῇ πραγματείᾳ, μένω ἐνεχόμενος.]

11. [Ἐν δὲ τῷ ιγ' κεφ.] Ὁ δεσπότης προστησάμενος τὸν οἰκέτην πραγματείας τινὸς τότε κατέχεται δανειζομένου αὐτοῦ, ὅτε ἐπέτρεψεν αὐτῷ καὶ δανείζεσθαι[e]. εἰ [δὲ] μὴ δείκνυται

---

b Τούτων γὰρ φυλαττομένων οὐ δύναται λέγειν ὁ συναλλάξας, ὡς οὐκ ᾔδειν γράμματα ἢ οὐκ ἐθεώρησεν αὐτά.

c Καπνοῦ τυχὸν ἢ κονιορτοῦ[2].

d Σήμερον προέγραψεν εἰς οἶνον αὐτῷ συναλλάσσειν, αὔριον εἰς ἔλαιον, καὶ οὕτω διαφόρως ἤμειψε τὴν προγραφήν.

e Πολλάκις ἐπέτρεψεν αὐτῷ οἰκημάτων φροντίζειν. ἰδοὺ τοῦτο οὐκ ἔστι πραγματεία, ἵνα μὴ εὑρεθῇ τοῦτο ἐναντίον τῷ β' θέματι τοῦ ε' κεφ. ἐκεῖ μὲν γὰρ εἴρηται, ὅτι σιωπηρῶς δοκεῖ ὁ δεσπότης ἐπιτρέπειν αὐτῷ καὶ δανείζεσθαι· ἐνταῦθα δέ, ὅτι χρὴ δειχθῆναι τὴν τοιαύτην τοῦ δεσπότου ἐπιτροπήν. οὕτω νόησον, εἰ μὴ δειχθῇ ὁ δεσπότης τοῦτο ἐπιτρέψας, ἐξ ὧν οὐκ ἐκώλυσεν αὐτὸν δι' ἀπογραφῆς δανείσασθαι. εἰ δὲ προέγραψε τοῦ ἐργαστηρίου μὴ δανείζεσθαι αὐτόν, τότε ὡμολογημένως οὐκ ἐνέχεται· ἵνα τὴν ἐπιτροπὴν ἐκ τοῦ μὴ κωλῦσαι μὴ[3] δεξάμεθα.

---

[1] Lips. περί. [2] Lips. textui inserit. [3] Negatio delenda.

ἐπιτρέψας, τότε ζητοῦμεν τὴν περὶ πεκουλίου ἀγωγὴν καὶ τὴν περὶ τῶν ἀναλωθέντων ἐν τοῖς πράγμασι τοῦ δεσπότου.

12. Εἰ καὶ παρὰ γυναικὸς προβληθῇ προνοητὴς τῶν πραγμάτων αὐτῆς, ἐκ τῶν πρὸς αὐτὸν συναλλαγμάτων κατέχεται ἡ γυνὴ τῇ κατὰ τοῦ προεστῶτος ἀγωγῇ. κἂν γὰρ προεστῶτα προβάληται ἡ γυνὴ, τῇ κατὰ τοῦ προεστῶτος ἀγωγῇ κατέχεται[f].

13. Ἐν δὲ τῷ β' τί. κεφ. α' φησί· Τῆς περὶ τοῦ πεκουλίου ἀγωγῆς κινουμένης ὑπεξαιρεῖ ὁ δεσπότης τὸ κεχρεωστημένον, ἐὰν ἠγνόει ὁ δεσπότης· εἰ δὲ γινώσκει τὸν δοῦλον ἐν τῷ πεκουλιαρίῳ φορτίῳ πραγματεύεσθαι, ὡς ἐξωτικὸς εἰς τὴν ἀγωγὴν ἔρχεται[1] τὴν διαιροῦσαν μεταξὺ τοῦ δεσπότου καὶ τῶν πρὸς αὐτὸν συναλλαξάντων ἀναλόγως τὸ κέρδος[g], οἱαδήποτε ἂν εἴη πραγματεία[h]. χώραν δὲ ἡ τοιαύτη ἀγωγὴ ἔχει, κἂν μηδέν ἐστιν ἐν τῷ πεκουλίῳ.

Εἴδησιν ἐπὶ τῆς τοιαύτης ἀγωγῆς τὸ ἀνέχεσθαι λέγομεν. εἰδὼς γὰρ ὁ δεσπότης καὶ μὴ διαμαρτυρόμενος καὶ ἀντειπὼν ἐνέχεται τῇ τοιαύτῃ ἀγωγῇ.

Ἁρμόζει δὲ ἐπὶ παντὸς ὑπεξουσίου καὶ τοῦ καλῇ πίστει δουλεύοντος, ἐλευθέρου τε καὶ δούλου ἀλλοτρίου καὶ τοῦ ἐν χρήσει δουλεύοντος δούλου ἀλλοτρίου·

14. Ἐάν μέντοι τὸ πεκουλιάριον φορτίον εἰς ὃ πραγματεύεται ἀνήκῃ τῷ ἐναγομένῳ.

15. Ἐν δὲ τῷ β' κεφ. Οὐ πᾶν συνάλλαγμα, ἀλλὰ τὸ ἐπὶ τοῖς φορτίοις εἰσάγει τὴν διαιροῦσαν τὸ κέρδος ἀγωγήν· καὶ μερίζεται ὅπερ ἐκ τῶν φορτίων ἔχει καὶ κατὰ πρόφασιν αὐτῶν ἔσχε.

Μερίζεται ὁ ἔχων ὑπεξούσιον τὸν συναλλάξαντα μετὰ τῶν δανειστῶν, εἴτε ἐπὶ τῷ φορτίῳ κεχρεώστηται εἴτε ὅθενδήποτε,

---

f Εἰ καὶ γυνὴ ὑπὲρ ἀλλοτρίων συναλλαγμάτων παρεμβάλλουσα ἑαυτὴν οὐ κατέχεται, ἐνταῦθα οὐκ εἰς ἀλλότρια, ἀλλὰ τῆς γυναικὸς, εἰ καὶ ἀπὸ ἀλλοτρίων συναλλαγμάτων, ἡ ἀγωγὴ τίκτεται, καὶ διὰ τοῦτο ἐνάγεται.

g Τὴν οὕτως ὠνομασμένην τριβουτορίαν. ἐστὶ δὲ αὕτη διαιρετική. εἰ γὰρ συμβῇ διαφόροις ἐποφλῆναι καὶ τῷ δεσπότῃ αὐτοῦ, ἀναγκάζεται εἰς τὸ μέσον ἀγαγεῖν τὰ φορτία, καὶ ἀναλόγως τῶν κεχρεωστημένων γίνεται ἡ διαίρεσις, μὴ προτιμωμένου τοῦ δεσπότου ἔν τινι, ἀλλ' ἴσου γινομένου ἐν τῇ διαιρέσει τοῦ χρέους.

h Εἴτε κατὰ γῆν εἴτε κατὰ θάλατταν.

---

1 Bas. ἐνέχεται.

[καὶ] εἴτε πρὸ τοῦ πραγματεύσασθαι τὸν ὑπεξούσιον ἐχρεωστήθη ἢ ἄλλοι αὐτοῦ ὑπεξούσιοι εἴτε μετὰ ταῦτα. εἰ δὲ τὰ φορτία τοῖς δανεισταῖς ὑπετέθη, προτιμῶνται τοῦ δεσπότου. εἰ δὲ πολλοί εἰσιν οἱ δεσπόται, πᾶσι πρὸς ἀναλογίαν τοῦ χρέους μερίζεται.

Οὐ πᾶν τὸ πεκούλιον, ἀλλ' ἡ πραγματεία μερίζεται, καὶ τὸ ἐξ αὐτῆς λειφθέν[1] τε καὶ ὀφειλόμενον, καὶ τὸ ἐξ αὐτῆς ἀγορασθὲν πεκούλιον, καὶ τὰ ὄντα ἐν τῷ ἐργαστηρίῳ δικαιώματα. ταῦτα γὰρ ἀεὶ τῆς δεσποτείας εἶναι πιστεύεται.

Ἐὰν δύο μέτεισι πραγματείας, ἢ ἐν διαφόροις τόποις ἐργαστήρια ἔχῃ διαφόρους ἔχοντα λογοσυνάκτας καὶ κεχωρισμένως ἐπ' αὐτοῖς δανείζεται, οἱ τῆσδε τῆς πραγματείας ἢ τοῦδε τοῦ ἐργαστηρίου δανεισταὶ οὐ καλοῦνται εἰς τὰ φαρτία τῆς ἄλλης[2]. εἰ δὲ εἰς ἓν ἐργαστήριον ἐφέρετο πάντα, καλοῦνται πάντες· κἂν φαίνωνται ἐκ τῶν πραγμάτων τοῦ ἑνὸς ἀγορασθέντα, εἰ μὴ ὑπετέθησαν αὐτῷ.

Εἰ δὲ ἐπὶ προφάσει φορτίων αὐτὰ δέδωκα καὶ φαίνωνται[3], εἰ μὲν τὴν δεσποτείαν μετέθηκα, πάντες καλοῦνται· εἰ δὲ μή, οὐ μερίζεται, ἀλλ' ἐκδικῶ αὐτά. οὐ παύεται γὰρ εἶναι τὸ πρᾶγμα τοῦ πιπράσκοντος, εἰ μὴ λάβῃ τὸ τίμημα ἢ τὸ ἱκανὸν ἢ ἐγγυητάς.

16. Ἐν δὲ τῷ γ' κεφ. Ἐπιλογὴν ὁ δανειστὴς ἔχει, ἢ τὴν περὶ πεκουλίου ἀγωγὴν ἢ τὴν διαιροῦσαν τὸ κέρδος κινῆσαι. ὑποστρέφειν δὲ πρὸς τὴν ἑτέραν οὐ δύναται. ἐκ διαφόρων δὲ αἰτιῶν ἑκατέραν δύναται κινεῖν[i].

17. Ἐν δὲ τῷ δ' κεφ. Ποτὲ μὲν συμφέρει τῷ ἐνάγοντι κινῆσαι τὴν περὶ τοῦ πεκουλίου ἀγωγήν, ποτὲ δὲ τὴν διαιροῦσαν τὸ κέρδος. εἰς μὲν γὰρ τὴν διαιροῦσαν τὸ κέρδος τὰ τῆς πραγματείας φορτία φέρεται καὶ τὸ λειφθὲν[4] ἐξ αὐτῶν· εἰς δὲ τὴν περὶ τοῦ πεκουλίου ἀγωγὴν ἅπαν τὸ πεκούλιον συγκειμένων καὶ τῶν φορτίων. συμβαίνει δὲ καὶ τὸ μηδὲν τὸν πατέρα ἢ τὸν δεσπότην ἐποφείλεσθαι.

18. Ἐν δὲ τῷ ια' κεφ. Ὁ δανείζων οἰκέτῃ ἀλλοτρίῳ ζῶντος μὲν τοῦ οἰκέτου διηνεκῶς, μετὰ δὲ τὴν ἐκείνου τελευτὴν ἐντὸς ἐνιαυτοῦ ἔχει τὴν περὶ τοῦ πεκουλίου ἀγωγήν. εἰ δὲ δα-

---

i Σημείωσαι, ὅτι ἐπὶ τῆς τριβουτορίας διηνεκῶς ὁ δεσπότης ἐνέχεται, ἐπὶ δὲ τῆς περὶ πεκουλίου ἀγωγῆς ἐντὸς ἐνιαυτοῦ.

[1] Leuncl. ληφθέν. [2] Lips. τοῖς ἄλλοις. [3] Leuncl. φαίνεται. [4] Leuncl. ληφθέν.

πάνημα εἰς τὰ τοῦ δεσπότου πράγματα ἐγένετο, διηνεκῶς τὴν περὶ τῶν ἀναλωθέντων ἐν τοῖς πράγμασι τοῦ δεσπότου ἀγωγὴν ἔχει. εἰ δὲ ἐλευθέρῳ τινὶ διοικοῦντι πράγματά τινος συναλλάξας τῇ περὶ αὐτὸν τὸν φροντιστὴν διαθέσει ἐδάνεισας, οὐδεμίαν ἀγωγὴν ἔχεις κατὰ τοῦ κυρίου τῶν πραγμάτων, εἰ μὴ ἄρα εἰς τὴν οὐσίαν αὐτοῦ τὰ νομίσματα προεχώρησαν ἢ ἔφθασεν ἐκεῖνος τὸ πραχθὲν δεκτὸν ἡγήσασθαι.

19. Ἐν δὲ τῷ ιγ' κεφ. Ὁ ὑπεξούσιος θεμιτῶς[k] δανεισάμενος, [ἢ] ἐὰν τὸν πατέρα ἐνεγγυήσατο, καὶ ὑπεξούσιος ὢν κατέχεται εἰς ὁλόκληρον, καὶ μετὰ θάνατον δὲ τοῦ πατρὸς, εἰ μὲν κληρονόμος ἐγράφη[l], πάλιν εἰς ὁλόκληρον· εἰ δὲ οὐκ ἐγράφη κληρονόμος, εἰς ὅσον εὐπορεῖ· εἰ δὲ καὶ αὐτεξούσιος ἐγένετο, πάλιν ὁμοίως εἰς ὅσον εὐπορεῖ κατέχεται.

20. Ἐν δὲ τῷ ιζ' κεφ. Ὁ δεσπότης ἰδίῳ ὀνόματι ἔνοχος οὐ γίνεται τοῦ οἰκέτου συναλλάξαντος, κατέχεται δὲ τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ [ὑπεξαιρῶν τὸ φυσικὸν τοῦ χρέους[1]] καὶ τῇ περὶ τῶν ἀναλωθέντων εἰς τὰ πράγματα αὐτοῦ.

21. Τότε κατέχεται ὁ δεσπότης τῇ ἐπὶ τῷ συναλλάγματι τοῦ οἰκέτου ἀγωγῇ, ὅτε ἰδικῶς ὁρίσει τὴν ποσότητα τὴν ὀφείλουσαν δανεισθῆναι ἢ τῷ δούλῳ ἢ τῷ μισθωτῷ ἤ[τοι] τῷ γεωργῷ ἢ τῷ διοικητῇ τοῦ ἀγροῦ. ἐπείτοιγε οὐκ ἔστι κατ' αὐτοῦ ἀγωγὴ, ἐὰν παρέθετο δι' ἐπιστολῆς τῷ δανείσαντι τὸν οἰκέτην αὐτοῦ ἢ τοὺς μισθωτοὺς ἢ τὸν τοῦ ἀγροῦ διοικητήν[m].

22. Ἐν δὲ τῷ γ' τί. κεφ. α'· Ἐὰν κελεύσει μου[n] ὁ ὑπεξούσιός μου συναλλάξῃ, εἰς ὁλόκληρον ἐνάγομαι· ἢ ἐὰν μὴ ἐκέλευσα,

---

k Τουτέστι μὴ παρὰ τὸ μακεδονιάνειον δόγμα. — εἰ μὴ ὑπὲρ μακεδονιάνιον τυχὸν ἐδανείσατο.

l Ταῦτα νόει κἂν εἰς ἐλάχιστον γέγονε κληρονόμος.

m Ἀνατόλιος. Τότε κατέχεται ὁ δεσπότης τῇ quod jussu, ὅτε φανερῶς κελεύσει δανεῖσαι ποσότητα. καὶ ὁ μὴ οὕτω δανείσας οἰκέταις ἢ γεωργοῖς ἢ μισθωτοῖς κτήματος ἢ φροντιστῇ μηδεμίαν ἐχέτω ἀγωγὴν, μήτε κατὰ τῶν δανεισαμένων αὐτῶν, μήτε κατὰ τοῦ δεσπότου. ἀλλὰ μὴ παραθῆναι δι' ἐπιστολῆς ἔνοχόν τινα ποιείτω, εἰ μὴ ἰδίου δεσπότου παρακολουθήσει ἐπιτροπή. ἐκπιπτέτω τοίνυν τοῦ χρέους ὁ τοῖς εἰρημένοις δανείσας δίχα γνώμης δεσπότου ἢ δόσεως ἐγγυητοῦ. ἐν ᾧ δὲ καὶ οἰκέτης ἐστὶν ὁ δανεισάμενος, καὶ μὴ ὑπόκειται λόγοις δεσπότου, κινείσθω ἡ de peculio.

n Τί γὰρ, ὅτι διεβεβαιώσατο ὁ πατὴρ πολὺ εἶναι καὶ εὔπορον τὸ τοῦ ὑπεξουσίου πεκούλιον;

---

1 Lege αὐτοῦ χρέος.

πρὸς τὸ γεγονὸς δαπάνημα εἰς τὰ πράγματά μου ἢ μηδενὸς τούτων ὄντος (ἢ τῆς κατὰ τοῦ προστήσαντος ἀγωγῆς, δι' ἧς ὁ δεσπότης εἰς ὁλόκληρον ἐνάγεται τοῖς τῷ ὑπεξουσίῳ συναλλάξασιν, ἢ τῆς διαιρούσης μεταξὺ τοῦ δεσπότου καὶ τῶν συναλλαξάντων τὸ κέρδος ἀναλόγως) χώρα τῇ περὶ πεκουλίου ἀγωγῇ.

23. Ἐν δὲ τῷ β' κεφ. *Ὁ δυνάμενος κινῆσαι τὴν κινουμένην ἀγωγὴν κατὰ τοῦ δεσπότου, ἡνίκα κελεύσει αὐτοῦ συναλλάξει μοι δοῦλος αὐτοῦ, ἐὰν κινήσῃ τὴν περὶ τοῦ πεκουλίου, οὐ δύναται μετὰ ταῦτα κινεῖν τὴν προειρημένην ἀγωγὴν, εἰ μὴ ἀπαιτηθεὶς*[1] *ἐκίνησε τὴν περὶ πεκουλίου ἀγωγήν.*

24. Ἐν δὲ τῷ ς' κεφ. *Προέστησα τὸν δοῦλόν μου ἐπὶ τῷ δανείζειν καὶ λαμβάνειν ἐνέχυρα. ὁ δὲ λαβὼν χρυσίον παρά τινος ἀγοράζοντος κριθὴν καὶ παραδοθεὶς*[2] *ἀντ' αὐτοῦ εἰς τὸ πληρῶσαι τῷ πράτῃ ἔφυγεν. εἰ καὶ μὴ ἐπὶ τούτῳ προέστη, ὅμως ἐὰν ἐν πᾶσι τὸν τόπον μου ἐπεῖχεν, ἐνέχομαι τῷ προσλαβόντι αὐτὸν εἰς τὸ ἀποπληρωθῆναι· εἰ καὶ τὰ μάλιστα ἐγγύη δοκεῖ τὸ ὑπὲρ ἄλλου καταβαλεῖν, οὐ μὴν τὸ παρ' ἑτέρου δέξασθαι, καὶ οὐκ εἴωθεν ὁ δεσπότης ἐκ τῆς τοιαύτης αἰτίας ἐνέχεσθαι, οὔτε δοκεῖ τοῦτο ἐντέλλεσθαι.*

25. Ἐν δὲ τῷ δ' τί. κεφ. α'· *Ὁ δανείζων ὑπεξουσίῳ χρήματα οὔτε μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ ἔχει ἀπαίτησιν.*

Οἱοσδήποτε ἀξιωματικὸς ὑπεξούσιος κεκώλυται δανείζεσθαι, πλὴν τοῦ ἔχοντος ἰδιόκτητον πεκούλιον. δανείζεται γὰρ μέχρι τοῦ ποσοῦ τοῦ ἰδιοκτήτου πεκουλίου.

26. *Ὁ γὰρ ὑπεξούσιος ἐν τῷ ἰδιοκτήτῳ πεκουλίῳ τάξιν ἔχει αὐτεξουσίου.*

27. Ἐν δὲ τῷ γ' κεφ. θέμ. ζ'· *Ἐὰν ὑπεξούσιος προεστὼς δανείσηται, ὁ μὲν προστήσας αὐτὸν ἐνάγεται τῇ κατὰ τοῦ προστήσαντος κινουμένῃ ἀγωγῇ, αὐτὸς δὲ τὴν τοῦ δόγματος ἔχει παραγραφὴν, εἰ μὴ ὁ πατὴρ αὐτὸν τῆς ἰδίας προεστήσατο πραγματείας ἢ ἠνέσχετο ἐν τῷ πεκουλίῳ αὐτὸν πραγματεύεσθαι*[o]. *γινώσκων γὰρ αὐτὸν πραγματεύσασθαι δοκεῖ καὶ τοῦτο ἐπιτρέπειν, εἰ μὴ ῥητῶς κωλύσει.*

---

[o] *Θεμάτισον δανεισθῆναι τὸν υἱὸν παρὰ πατρὸς καὶ στραφῆναι εἰς τὴν οὐσίαν τοῦ πατρὸς τὰ χρήματα.*

---

[1] Leuncl. conj. *ἀπατηθείς*. [2] Idem addit *αὐτῷ*.

Ἐὰν δὲ τὸ δανεισθὲν στρέψῃ εἰς τὴν οὐσίαν τοῦ πατρὸς, κἂν μὴ τοιαύτῃ γνώμῃ ἐδανείσατο, ἀργεῖ τὸ δόγμα. εἰ μέντοι ἀγνοοῦντι τῷ πατρὶ ὑπὲρ χρέους κατέβαλεν, οὐκ ἔστι δαπάνημα ὑπὲρ πατρὸς, καὶ χώρα τῷ δόγματι.

28. Ἐὰν λαβὼν δωρεὰν ὑπεξούσιος καταβάλῃ τῷ δανείσαντι, παντὶ τρόπῳ ἀπαιτεῖ αὐτὰ ὁ πατήρ. οὔτε γὰρ εἶχεν αὐτῶν ὁ υἱὸς τὴν ἐκποίησιν, εἰ μὴ ὁ δωρησάμενος ἐπὶ τῷ καταβληθῆναι αὐτὰ τῷ δανειστῇ ἐδωρήσατο.

Καὶ ἐπὶ ὑπεξουσίας χώρα τῷ δόγματι, κἂν ἐκ τῶν δανεισθέντων ἠγόρασε κόσμια. καὶ ἐπὶ υἱοῦ γὰρ, εἴτε δαπανηθῇ τὸ δανεισθὲν εἴτε φαίνεται ἐν τῷ πεκουλίῳ, χώρα τῷ δόγματι [p].

Ὁ ὑπεξούσιος καὶ οἱ παρεμβάλλοντες [q] εἰ καὶ διηνεκῆ ἔχουσι παραγραφὴν, ὅμως καταβαλόντες οὐκ ἀναλαμβάνουσιν. ἡ γὰρ τοιαύτη παραγραφὴ οὐ δι᾽ εὔνοιαν αὐτῶν, ἀλλὰ διὰ μῖσος εἰσήχθη τοῦ ἐνάγοντος καὶ φυσικῶς ἐνέχονται.

29. Ἐν δὲ τῷ ι′ κεφ. Ἐὰν ὁ υἱὸς δανεισάμενος ἐπιδῷ προῖκα ὑπὲρ τῆς ἀδελφῆς, ἐνάγεται ὁ πατὴρ ὡσανεὶ τὰ δανεισθέντα εἰς αὐτὸν ἐδαπανήθησαν [r]. αὐτὸς γὰρ ἔχει τὴν ἀνάληψιν τῆς προικὸς ἀποθνησκούσης αὐτῆς ἐν τῷ γάμῳ [s].

30. Ἐν δὲ τῷ ις′ [1] κεφ. Ἐπὶ δανείου μόνον χώρα τῷ δόγματι. ἐὰν δὲ ἐξ ἀγορασίας χρεωστήσῃ ὁ ὑπεξούσιος, ἀργεῖ τὸ δόγμα [t].

31. Ἐν δὲ τῷ ιη′ κεφ. Ἐὰν ὑπεξούσιος δανείσηται ἐλευθερίων σπουδασμάτων ἢ πρεσβείας ἕνεκεν ἀπολιμπανόμενος, ἀργεῖ τὸ δόγμα. κατέχεται οὖν καὶ αὐτὸς καὶ ὁ πατὴρ, οὐ

---

p Σημείωσαι, ὅτι ὁ δανείσας παρὰ τὸ μακεδονιάνειον οὐδὲ φαινομένων τῶν νούμμων καὶ ὄντων ἐν τῷ πεκουλίῳ τοῦ ὑπεξουσίου δύναται ἀπαίτησιν ἔχειν.

q Κείμενον τῶν βασιλικῶν· καὶ οἱ ἐγγυηταὶ καὶ οἱ μανδάτορες τοῦ ὑπεξουσίου βοηθοῦνται, εἰ μὴ ὁλοψύχῳ προθέσει [2] παρενέβαλον ὅλον τὸ συνάλλαγμα βεβαιοῦσθαι.

r Τοῦτο νόησον, φησὶ Στέφανος, φρονίμως, ἔνθα τοσαύτη ἐστὶν ἡ προὶξ, ὅσην ἔδει ἐπιδοῦναι τὸν πατέρα.

s Κύριλλος. Ἐὰν ὑπεξούσιος δανείσηται καὶ προικίσῃ τὴν ἀδελφὴν, ὁ πατὴρ ἐνάγεται. αὐτῷ γὰρ ἁρμόζει τελευτησάσης τῆς κόρης ἡ ἀνάδοσις τῆς προικός.

t Θεόδωρος. Ἐὰν ἀγοράσας ὑπεξούσιος ἐπερωτηθῇ τὸ τίμημα μετὰ τόκων, καλῶς ἀπαιτεῖται αὐτό.

---

1 Lips. ξς′. 2 Lege: εἰ μὴ ψυχῇ δωρουμένου παρενέβαλον. καὶ εἰ βουλήσει τοῦ πατρὸς παρενέβαλον κτλ. Cf. Bas. XVIII, 4, 9 th. 4.

μόνον περιόντος[1] *αὐτοῦ ἀλλὰ καὶ μετὰ θάνατον ἐντὸς ἐνιαυτοῦ. εἰ μέντοι κατὰ κέλευσιν τοῦ πατρὸς γέγονε τὸ δάνειον, τότε οὐδὲ εἰς τί δεδαπάνηται τὰ δανεισθέντα ζητοῦμεν, ἀλλὰ καὶ διηνεκῶς ἐστιν ἀγωγὴ κατὰ τοῦ πατρός.*

32. Ἐν δὲ τῷ ε' τί. κεφ. α'· *Ὁ συναλλάσσων δούλῳ ἢ δούλῃ ἔχει τὴν περὶ τοῦ πεκουλίου*[u] *ἀγωγήν. εἰ δὲ ἄνηβός ἐστιν ὁ συναλλάξας υἱὸς ἢ δοῦλος, τότε ἁρμόζει, ὅτε τὸ πεκούλιον γέγονεν εὐπορώτερον.*

Οὐ μόνον ὀνόματι τῶν ἰδίων καὶ τῶν κοινῶν δούλων ἐναγόμεθα, ἀλλὰ καὶ τῶν καλῇ πίστει δουλευόντων ἡμῖν ἐλευθέρων τε καὶ δούλων ἀλλοτρίων.

33. Ἐν δὲ τῷ ις' κεφ. *Ὁ δοῦλος τοῦ δούλου καὶ τὸ πεκούλιον αὐτοῦ πεκούλιόν εἰσι τοῦ πρώτου δούλου*[v] *τὸ οὖν χρεωστούμενον τῷ δεσπότῃ παρὰ τοῦ πρώτου δούλου ὑπεξαιρεῖται [καὶ] ἐκ τοῦ πεκουλίου τοῦ δούλου τοῦ δούλου· ὅπερ δὲ χρεωστεῖται παρὰ τοῦ δούλου τοῦ δούλου, οὐχ ὑπεξαιρεῖται ἐκ τοῦ πεκουλίου τοῦ πρώτου δούλου, ἀλλὰ ἀπὸ μόνου τοῦ αὐτοῦ, εἴτε τῷ δεσπότῃ εἴτε τῷ πρώτῳ δούλῳ χρεωστεῖ. ὅπερ δὲ ὁ πρῶτος δοῦλος χρεωστεῖ τῷ δούλῳ αὐτοῦ, οὐχ ὑπεξαιρεῖται μέν, αὔξει δὲ τὸ πεκούλιον τοῦ δούλου τοῦ δούλου, ὥσπερ ὅτε χρεωστεῖ τῷ δούλῳ ὁ δεσπότης.*

34. Ἐν δὲ τῷ κβ'[2] κεφ. *Τοῦ πεκουλίου ἐστὶν ἡ ἐσθής, ἣν ὁ δεσπότης παράσχῃ τῷ δούλῳ ἐπὶ τῷ αὐτὸν μόνον αὐτῇ διηνεκῶς κεχρῆσθαι καὶ ἐπὶ τούτῳ φυλάττεσθαι παρ' αὐτῷ. εἰ δὲ πρὸς δήλην χρῆσιν ἢ καιρὸν ἔδωκεν ὡρισμένον, ἵνα τυχὸν ὅτε ἀκολουθῇ ἢ ὑπηρετῇ κέχρηται αὐτῇ, οὐκ ἐστι πεκούλιον.*

35. Ἐν δὲ τῷ λβ' κεφ. *Κατὰ νόμον οὔτε χρεωστεῖ δοῦλος οὔτε χρεωστεῖται. τά τε γὰρ αὐτῷ χρεωστούμενα ὁ δεσπότης ἀπαιτεῖ, περὶ δὲ τῶν παρ' αὐτοῦ χρεωστουμένων ἐνάγεται τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ ἢ τῇ περὶ δαπανημάτων τῶν γενομένων εἰς τὰ τοῦ δεσπότου πράγματα.*

---

u *Πεκούλιον ἐκλήθη ὡσανεὶ μικρὸν οὐσίδιον. πεκούλιον δέ ἐστιν, ὅπερ ὁ δοῦλος ἔχει συγχωροῦντος τοῦ δεσπότου κεχωρισμένον τῶν δεσποτικῶν λογισμῶν, ἐξῃρημένων τῶν τῷ δεσπότῃ κεχρεωστημένων.*

v *Σημείωσαι, ὅτι ὁ πρῶτος δοῦλος λέγεται ὀρδινάριος· ὁ δὲ δοῦλος τοῦ δούλου λέγεται βικάριος.*

---

1 Lips. *παρόντος.* 2 Lips. *κη'.*

36. Ἐν δὲ τῷ λγ' κεφ. Ἐὰν μετὰ προκάταρξιν τῆς περὶ τοῦ πεκουλίου ἀγωγῆς πραθῇ ὁ δοῦλος, ἐνέχεται ὁ πράτης καὶ ὑπὲρ τοῦ κτηθέντος παρὰ τῷ ἀγοραστῇ πεκουλίου [w].

37. [Ἐν δὲ τῷ λε' κεφ.] Ὁ συναλλάξας υἱῷ ὑπεξουσίῳ αὐτὸν μὲν εἰς ὁλόκληρον ἔνοχον ἔχει, τὸν δὲ πατέρα τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ.

38. Καὶ ἀφαιρουμένου γὰρ τοῦ πεκουλίου ἐνάγεται ὁ υἱός.

39. Ἐν δὲ τῷ λς' κεφ. Ὁ συγχωρῶν τῷ ὑπεξουσίῳ διοικεῖν τὸ πεκούλιον ἐκεῖνα δοκεῖ γενικῶς ἐπιτρέπειν, ἅπερ ἰδικῶς ἐπιτρέπειν ἤμελλεν.

40. Ἐν δὲ τῷ λζ' κεφ. Ἀπὸ τῆς ἐγγύης τοῦ δούλου οὐκ ἐνάγεται ὁ δεσπότης, εἰ μὴ εἰς τὸ πρᾶγμα τοῦ δεσπότου ἢ τοῦ πεκουλίου ἐνεγγυήσατο.

41. Ἐν δὲ τῷ ς' τί. κεφ. α'· Ἐφ' ὅσον ἐστὶν ὑπεξούσιος ὁ υἱὸς ἢ δοῦλος, διηνεκῶς ἁρμόζει ἡ περὶ τοῦ πεκουλίου ἀγωγή· μετὰ δὲ τὸν θάνατον ἢ ἐκποίησιν ἢ αὐτεξουσιότητα ἢ ἐλευθερίαν ἐνιαυσιαία ἐστίν. ὁ δὲ ἐνιαυτὸς συναπτός ἐστιν, ἀρχόμενος ἀφ' οὗ τις εὐχέρειαν σχοίη τοῦ κινῆσαι. ὅθεν ἐπὶ τοῦ αἱρετικοῦ χρέους οὐκ ἀπὸ τῆς αὐτεξουσιότητος, ἀλλ' ἀπὸ τῆς ἐκβάσεως τῆς αἱρέσεως ἀριθμεῖται. κινεῖται δὲ εἰς τὸ πεκούλιον καὶ εἰς ὃ γέγονεν ἧττον τὸ πεκούλιον κατὰ δόλον τοῦ τὸν ὑπεξούσιον ἔχοντος.

42. Ἐν δὲ τῷ β' κεφ. Ἐὰν ἀπὸ τῆς περὶ χρεῶν ἀγωγῆς κινῆται μετὰ θάνατον τοῦ ὑπεξουσίου [εἰ μὲν κινεῖται ἡ περὶ πεκουλίου, ἐστὶν ἐνιαυσιαία· εἰ δὲ περὶ τοῦ πραθέντος ὑπαιτίου ἀντιστροφῆς][1], εἴσω ἓξ μηνῶν μετὰ τὴν τελευτὴν τοῦ υἱοῦ κινεῖται. τὸ αὐτὸ καὶ ἐπὶ πασῶν τῶν προσκαίρων ἀγωγῶν.

43. Εἰ καὶ τῷ θανάτῳ καὶ τῇ ἐλευθερίᾳ τοῦ δούλου παύεται εἶναι πεκούλιον, ὅμως καὶ μετὰ θάνατον αὐτοῦ τῆς ἐνιαυσιαίας ἀγωγῆς κινουμένης σκοπεῖται ἡ αὔξησις αὐτοῦ καὶ ἡ μείωσις.

44. Ἐν δὲ τῷ ζ' τί. κεφ. α' φησίν· Ἡνίκα τὸ λειφθὲν[2] ὁ δοῦλος εἰς τὰ τοῦ δεσπότου δαπανήσει, ἀναγκαία ἐστὶ τῷ δανείσαντι ἡ περὶ τῆς δαπάνης ἀγωγή. τὶ γάρ; ὅτι οὐκ ἐστι

---

[w] Ὁ μετὰ προκάταρξιν πωλήσας τὸν οἰκέτην καὶ εἰς τὸ ἐπικτηθὲν πεκούλιον καταδικάζεται.

---

[1] Quae uncis inclusa sunt, non tantum Lips. sed et Basil. et Tipucitus omittunt. [2] Leuncl. ληθὲν, ex quo ληφθὲν conjicit.

πεκούλιον ἢ ἧττόν ἐστι τὸ πεκούλιον τοῦ χρέους, ἢ χωρὶς δόλου ἀφῃρέθη, ἢ ἀπέθανεν ὁ ὑπεξούσιος καὶ παρῆλθεν ὁ ἐνιαυτὸς ὡς μὴ ἔχειν χώραν τὴν περὶ τοῦ πεκουλίου ἀγωγήν; ἡ γὰρ περὶ τῆς δαπάνης ἀγωγὴ καὶ διηνεκής ἐστι καὶ κινεῖται μὴ ὄντος πεκουλίου.

45. Ἐν δὲ τῷ β΄[1] κεφ. Κανονικῶς τότε χώρα τῇ περὶ δαπάνης ἀγωγῇ, ὅτε εἴπερ ἦν ἐλεύθερος ὁ δαπανήσας, ἤμελλεν ἔχειν τὴν περὶ ἐντολῆς ἀγωγὴν ἢ τὴν κατὰ τοῦ διοικοῦντος ἀλλότρια ἀγωγὴν, καὶ ὁσάκις ὁ δοῦλος δαπανήσας κρείττονα ἢ οὐ χείρονα ποιήσει τὰ τοῦ δεσπότου.

Καὶ ἔνθα δανεισάμενος ἑαυτὸν ἀποθρέψει ἢ ἐνδύσει πρὸς τὴν συνήθειαν τοῦ δεσπότου. τὸ αὐτὸ καὶ περὶ υἱοῦ.

Εἰ δὲ τὰ εἰς τέρψιν ἔργα ποιήσει, ἅπερ οὐκ ἂν ὁ δεσπότης ἐποίει, οὔκ ἐστι δαπάνημα, ἀλλ᾽ ἄδειαν ὁ δεσπότης ἔχει συγχωρῆσαι τοῖς δανεισταῖς περιελεῖν αὐτὰ χωρὶς τοῦ βλάψαι τὸν οἶκον, ἵνα μὴ ἀναγκασθῇ διὰ τὴν ἀπόδοσιν πωλῆσαι τὸν οἶκον. οὔτε γὰρ φροντιστὴς τοιαῦτα δαπανῶν παρὰ γνώμην ἢ ἐντολὴν τοῦ δεσπότου ἔχει ἀπαίτησιν.

46. Ἐπὶ μὲν τῶν ἀναγκαίως ἀγοραζομένων[x] ὅλον τὸ διδόμενον δαπάνημά ἐστι, κἂν μὴ δεκτὸν ὁ δεσπότης ἡγήσηται. ἐπὶ δὲ τῶν οὐκ ἀναγκαίων μὲν, ὡς ἀναγκαίων δὲ ἀγοραζομένων, δαπάνημά ἐστι τὸ ἀληθὲς τίμημα[y].

47. Ἐν δὲ τῷ γ΄ κεφ. θέμ. β΄· Ἐὰν ὡς πράττων τῷ πατρί μου δανείσωμαι καὶ προικίσω τὴν θυγατέρα μου, δαπάνημά ἐστι.

48. Τὸ αὐτὸ κἂν ἀδελφὴν ἢ ἐξ ἄλλου ἀδελφοῦ ἐκγόνην τοῦ πατρός μου προικίσω, κἂν δοῦλος δανεισάμενος προικίσῃ τὴν θυγατέρα τοῦ δεσπότου.

49. Ἐν δὲ τῷ ε΄ κεφ. Ἐὰν ἐγγυησάμενος ὁ παῖς τὸν πατέρα καταβάλῃ, δαπάνημά ἐστιν· ἐλευθεροῖ γὰρ αὐτόν. ὥσπερ καὶ ὅτε διεκδικήσας αὐτὸν καταδικασθῇ· ὑποδεχόμενος γὰρ τὴν ἀγωγὴν αὐτοῦ ἐλευθεροῖ αὐτόν.

50. Ἐν δὲ τῷ ς΄ κεφ. Ἐὰν υἱὸς ἢ δοῦλος τῷ πατρὶ ἢ τῷ δεσπότῃ ἀγοράσῃ ἀγρὸν, δαπάνημά ἐστι. [καὶ] εἰ μὲν ἧτ-

---

x Εἰ γὰρ μὴ οἰκέτην, ἀλλὰ ἀγρὸν ἠγόρασεν ὁ οἰκέτης κατὰ πρόληψιν ἐνομίζετο ὡς ἀναγκαῖον αὐτὸν ἠγορακέναι.

y Ὅσον ἄξιός ἐστιν ὁ ἀγορασθεὶς ἀγρὸς, ἐπὶ τοσαύτῃ ποσότητι κατέχεται ὁ δεσπότης.

---

1 Lips. η΄.

τονος ἄξιός ἐστι, τὸ ἀληθὲς τίμημα λογίζεται· εἰ δὲ πλείονος, μόνον τὸ δοθέν.

51. Ἐν δὲ τῷ η' κεφ. Ἐὰν υἱὸς ὑπὲρ πατρὸς ἀντιφωνήσῃ, τότε δαπάνημα ποιεῖ, ὅτε καταβάλῃ[z].

52. Ἐν δὲ τῷ η' τί. κεφ. α'· Εἴτε ἐπὶ μαρτύρων ἐπιτρέψει μοί τις συναλλάξαι τῷ δούλῳ αὐτοῦ εἴτε δι' ἐπιστολῆς εἴτε ψιλοῖς ῥήμασιν εἴτε δι' ἀγγέλου, εἴτε ἐφ' ἑνὶ πράγματι εἴτε γενικῶς, εἴτε οὕτως· ὅπερ θέλεις συνάλλαξον τῷδε τῷ δούλῳ μου, εἰς ὁλόκληρον ὡς [καὶ] αὐτὸς συναλλάξας ἐνέχεται, εἰ μὴ νόμος ἰδικός τι κωλύει[aa]. ἔξεστι δὲ αὐτῷ πρὶν ἢ συναλλάξω τὴν ἰδίαν ἀνακαλεῖσθαι κέλευσιν καὶ δῆλόν μοι ποιεῖν. οὕτω γάρ ἐστι καὶ ἐπὶ ἐντολῆς[bb]. εἰ δὲ καὶ ἐντελεῖται[1] ὁ πατὴρ ἢ ὁ δεσπότης ἢ ὑπογράψει τὸ χειρόγραφον τοῦ δούλου, ἐνέχεται τῇ κατ' αὐτοῦ ἀγωγῇ ὡς ἐπιτρέψας, οὐ μὴν ἐὰν ἐγγυήσηται τὸν δοῦλον. καὶ ἐὰν δεκτὸν ἡγήσηται τὸ πραχθὲν παρὰ τοῦ υἱοῦ ἢ τοῦ δούλου, χώρα τῇ κατὰ τοῦ δεσπότου ἀγωγῇ ὡς ἐπιτρέψαντος.

53. Ἐν δὲ τῷ ε' κεφ. Ἐὰν πατὴρ ἢ δεσπότης μέλλων δανείζεσθαι κελεύσῃ ἀπαριθμηθῆναι τῷ υἱῷ ἢ τῷ δούλῳ, οὐχ ὡς ἐπιτρέψας πραγματεύσασθαι ἀλλὰ τῷ δανειακῷ ἐνάγεται.

54. Ἀνάγν. καὶ βι. ζ' τί. ε' κεφ. νζ', ἐν ᾧ φησιν· Ὁ ὑπεξούσιος καὶ ἀπὸ συναλλαγμάτων καὶ ἀπὸ ἁμαρτημάτων ἐνάγεται. καὶ τελευτῶντος αὐτοῦ μετὰ προκάταρξιν, μεταβαίνει ἡ δίκη[2] πρὸς τὸν πατέρα μέχρι τοῦ πεκουλίου καὶ τοῦ δαπανηθέντος περὶ τὰ τοῦ πατρὸς πράγματα.

55. Ἀνάγν. καὶ τί. ιε' κεφ. β' καὶ γ' καὶ δ' καὶ βι. ιε' τί. α' κεφ. μα' καὶ νη' καὶ τί. δ'[3] κεφ. ις' καὶ ιζ' καὶ κ' καὶ κβ'[4]. ἀνάγν. [καὶ] βι. ιζ' τί. α' κεφ. ε' καὶ ιγ' καὶ ιε', ἐν ᾧ φησι· Δοῦλος διοικῶν τινος πρά-

---

[z] Ἐπειδὴ δοκεῖ τὰ χρήματα περιελθεῖν εἰς τὰ πράγματα καὶ μόνον αὐτὸν ὁρᾷ. τὸ γὰρ παρὰ τοῦ πατρὸς ἐνδυνάμως χρεωστηθὲν ἀντεφώνησεν ὁ ὑπεξούσιος.

[aa] Ὡς ἐπὶ τῶν δούλων τὸν γάμον καὶ ἐπὶ τῶν ὑπεξουσίων τὸ δάνειον. κωλύει γὰρ ὁ νόμος δάνειον γενέσθαι πρὸς υἱὸν ὑπεξούσιον

[bb] Μὴ νόμιζε αὐτὸ ἀποτέλεσμα κέλευσιν καὶ μανδάτον. ἔνθα μὲν γὰρ ἐκέλευσεν ὁ δεσπότης, δύναται ὁ κελευσθεὶς πληρῶσαι τὸ κελευσθέν, ἔνθα δὲ ἐντελλόμενος ἐπέτρεψεν, οὐ δύναται παραιτεῖσθαι τὸ φάκτον ἢ τὸ μανδάτον ἅπαξ καταδεξάμενος, διὰ τὴν καθολικὴν τῶν μανδάτων φύσιν. τὸ μὲν γὰρ κελεύειν δεσπότου ἢ πατρός· τὸ δὲ κελεύεσθαι δούλου ἢ υἱοῦ.

---

[1] Leuncl. ἐντέλληται. [2] Lips. διοίκησις. [3] Leuncl. η'. [4] Lips. κη'.

γματα καὶ μετὰ τὴν ἐλευθερίαν ἐπιμείνας τῇ διοικήσει οὔτε τῇ περὶ ἐντολῆς ἀγωγῇ οὔτε τῇ περὶ διοικήσεως ἐνέχεται εἰς ἅπερ ἐν καιρῷ δουλείας διῴκησεν, εἰ μὴ ἄρα οὕτως ἑκατέρα διοίκησις ἥνωται[1] ὡς μὴ δύνασθαι τοὺς λογισμοὺς αὐτῶν χωρίζεσθαι[cc].

56. Ἀνάγν. καὶ βι. ιθ' τί. ι' κεφ. να' θέμ. δ', ἐν ᾧ φησιν· Οὐ τὸ διάστημα οὐχ ὁ χρόνος τῆς δουλείας διακρίνει τὸν νεώνητον καὶ μὴ ἐντριβέντα τῶν τῆς πολιτείας ἐθῶν ἐκ τοῦ προβληθέντος δούλου ποιεῖν ἃ ποιοῦσιν ἐλεύθεροι, ἀλλὰ τὸ γένος καὶ ἡ αἰτία. καὶ νεώνητον γὰρ ἐὰν ἀγοράσω παρὰ σωματεμπόρου καὶ προστήσω αὐτὸν ὑπηρεσίας, ἔμπειρος εὑρίσκεται. καὶ οὐ διαφερόμεθα, εἰ οἶδε ῥωμαϊστὶ ἢ μὴ οἶδεν. ὁ δὲ παιδευθεὶς ἐλευθέρια σπουδάσματα κατ' αὐτὸ τοῦτο ἔμπειρός ἐστιν.

57. Ἀνάγν. βι. κγ' τί. α' κεφ. κθ' βι. κϛ' τι. ζ' κεφ. μα', ἐν ᾧ φησιν· Ἡ ἀποκαταστατικὴ ἀγωγὴ[dd] καὶ ἡ κατὰ τοῦ προστήσαντος ἀγωγὴ διηνεκεῖς εἰσιν, ἁρμόζουσαι κληρονόμοις καὶ κατὰ κληρονόμων.

58. Ἀνάγν. καὶ βι. ξ' τί. ε', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Αἱ νοξαλίαι κατὰ τῶν δεσποτῶν ἁρμόζουσιν ἀπὸ τῶν ἁμαρτημάτων τῶν δούλων· καὶ ἔξεστιν αὐτοῖς τῇ νόξῃ[2] καταδικασθεῖσιν ἐκδοῦναι τοὺς ἡμαρτηκότας, καὶ φυγεῖν τὴν ἀποτίμησιν τῆς δίκης.

59. Ἐν δὲ τῷ β' κεφ. Ἐὰν εἰδότος τοῦ δεσπότου καὶ δυναμένου κωλῦσαι[3] φονεύσῃ δοῦλος, ὁ δεσπότης ὡς φονεῦσαι δοκῶν ἐνάγεται· εἰ δὲ ἀγνοοῦντος, νοξαλία ἁρμόζει.

Ὁ γὰρ μὴ κωλύσας δεσπότης ἐνέχεται[4], κἂν ἐκποιηθῇ ἢ ἐλευθερωθῇ ὁ δοῦλος. καὶ αὐτὸς δὲ ὁ πλημμελήσας ἐνέχεται κατὰ τὸν κανόνα τὸν λέγοντα· τὸ ἁμάρτημα τῇ κεφαλῇ ἀκολουθεῖ. εἰ δὲ ὁ δεσπότης ἐκέλευσε τῷ δούλῳ πλημμελῆσαι, αὐτὸς μόνος ἰδίῳ ὀνόματι, οὐ μὴν ὁ πλημμελήσας ἐνέχεται. εἰ δὲ δοῦλος εἰδότος τοῦ δεσπότου κλέψει ἢ ἄλλο τὶ

---

cc Τοῖχον γὰρ ᾠκοδόμησε, καὶ ἐν καιρῷ δουλείας ἀρξάμενος τοῦτον μετὰ τὴν ἐλευθερίαν ἐπεραίωσε. τότε γὰρ ἐνάγεται ὑπὲρ τῆς ἐν τῇ δουλείᾳ διοικήσεως.

dd Ἡ[5] κινουμένη κατὰ τοῦ προσταγέντος ἀποκαταστῆσαί τινι κληρονομίαν.

---

[1] Lips. ἠγνόηται. [2] Verba τῇ νόξῃ Leuncl. non habet. [3] Haec verba καὶ δυν. κωλ. ex scholio irrepserunt. Apud Leuncl. desunt. [4] Lips. ἐνάγεται. [5] Hoc scholium Lips. textui inserit.

πλημμελήσει, νοξαλίως καὶ οὐκ ἰδίῳ ὀνόματι ὁ δεσπότης κατὰ τὸν δυοδεκάδελτον ἐνάγεται· ὡς ἐπ' ἐκείνου μὲν τοῦ νόμου διδόντος ἄδειαν τοῖς δούλοις μὴ πειθαρχεῖν τοῖς δεσπόταις, ἐπὶ δὲ τοῦ ἀκουϊλίου συγγινώσκοντος αὐτοῖς πειθαρχοῦσιν. ἀλλ' ἐπειδὴ [καὶ] ἐκ τῶν προγενεστέρων νόμων οἱ μεταγενέστεροι κανονίζονται, καὶ ἐπὶ τοῦ ἀκουϊλίου καὶ νοξαλίως ὁ δεσπότης ὀνόματι τοῦ δούλου ἐνάγεται.

60. Ἐν δὲ τῷ γ' κεφ. Ἐν πάσαις ταῖς νοξαλίαις εἴδησιν τοῦ δεσπότου λέγομεν, ὅτε δυνάμενος οὐκ ἐκώλυσεν.

61. Ἐν δὲ τῷ δ' κεφ. Ὅτε γινώσκει ὁ δεσπότης, καὶ ἰδίῳ ὀνόματι καὶ νοξαλίως ἐνάγεται. μιᾶς δὲ ποινῆς ἀπαιτηθείσης, ἣν ἂν ὁ ἐνάγων ἐπιλέξηται, ἀναιρεῖται ἡ ἄλλη.

Εἴτε δὲ τὴν νοξαλίαν εἴτε τὴν ἰδίῳ ὀνόματι κινήσει, δύναται πρὸ ψήφου μέντοι καταλιμπάνειν αὐτὴν καὶ τὴν ἑτέραν κινεῖν· μετὰ δὲ ψῆφον ἐπὶ τῷ παντὶ πράγματι ἀντίκειται ἡ περὶ τοῦ πράγματος κρίσις, ἥτις ἐκβάλλει τὸν ἐνάγοντα.

62. Ἐν δὲ τῷ ε'[1] κεφ. Ὁ γινώσκων καὶ εἰς ὁλόκληρον ἐνάγεται, καὶ μετὰ τὸ ἐκποιηθῆναι ἢ ἐλευθερωθῆναι ἢ ἀποθανεῖν τὸν δοῦλον ἐνέχεται. οὐ μὴν ὁ κληρονόμος αὐτοῦ.

63. Ἐν δὲ τῷ ιγ' κεφ. Ἐὰν παρὰ πλειόνων ἐνάγωμαι νοξαλίως προφάσει τοῦ αὐτοῦ δούλου, ὁ πρῶτος νικήσας λαμβάνει αὐτὸν, καὶ οὐχ ὑπόκειμαι τοῖς μετὰ ταῦτα νικῶσι, κἂν πρῶτοι ἐνήγαγον.

Εἰ δὲ ὑπὸ αἵρεσιν ἐλευθερωθησόμενος ἦν, καὶ πρὸ ψήφου τῆς αἱρέσεως ἐξελθούσης ἐλευθερώσω αὐτὸν ἢ παράσχω τῷ λεγαταρίῳ, ἐλευθεροῦμαι, ὥσπερ εἰ καὶ πρὸ ψήφου ἀποκαταστατικὴν ἐλευθερίαν αὐτῷ ἐπιθήσω.

Ὁ ἐκδιδοὺς ὀφείλει περὶ ἐκνικήσεως ἀσφαλίζεσθαι ἐξ οἰκείου ἔργου συμβαινούσης.

64. Ἐν δὲ τῷ κ' κεφ. Μὴ θέλων ὁ δεσπότης ἐναχθῆναι τῇ νοξαλίᾳ ἐκδιδότω τὸν δοῦλον· τοῦτο γὰρ [μὴ] ποιῶν ἐνάγεται. οὐ καταδικάζεται δὲ, εἰ μὴ νέμεται ἢ δόλῳ ἐπαύσατο.

65. Ἐν δὲ τῷ κα' κεφ. Ὁ δεσπότης ὁμολογῶν ἔχειν τὸν δοῦλον ἢ προαγαγέτω αὐτὸν ἢ ἀπόντα διεκδικείτω· ἐπεὶ εἰς τὸ διαφέρον καταδικάζεται, ὡσανεὶ παρόντα μὴ ἐκδιδοὺς αὐτόν.

Ἀρνουμένου τοῦ δεσπότου ἔχειν τὸν δοῦλον ἐπιτέτραπται τῷ ἐνάγοντι, ἢ ὅρκον ἐπιφέρειν ἢ ἐνάγειν εἰς τὸ διαφέρον·

---

[1] Lips. η'.

καὶ ἐὰν ἀποδείξῃ αὐτὸν ἔχειν ἢ δόλῳ παυσάμενον, νικᾷ· εἰ δὲ μὴ, ἐκπίπτει τῆς ὑποθέσεως.

66. Ἐν δὲ τῷ κε' κεφ. Οὐ μόνον ὁ μὴ ἔχων τὸν δοῦλον οὐκ ἀναγκάζεται ἐναχθῆναι, ἀλλὰ καὶ ὁ ἔχων μὲν, παραχωρῶν δὲ τῷ ἐνάγοντι τὸ ἴδιον δίκαιον, ὡσανεὶ καταδικασθῇ.

67. Ἐν δὲ τῷ κζ' κεφ. Ἐὰν ἡ φαμιλία μου κλέψῃ, καὶ μὴ θέλω ἐκδοῦναι αὐτοὺς, τοσοῦτον δίδωμι, ὅσον εἷς ἐλεύθερος κλέψας· τουτέστι τὸ διπλοῦν καὶ τὴν τοῦ πράγματος διατίμησιν.

68. Ἐν δὲ τῷ λη' κεφ. Αἱ νοξαλίαι διηνεκεῖς εἰσιν, καὶ χώραν ἔχουσιν ἐφ' ὅσον ὁ ἐναγόμενος ἐκδοῦναι δύναται. καὶ ἁρμόζουσι κληρονόμοις καὶ κατὰ κληρονόμων, οὐχ ὡς κληρονόμων, ἀλλ' ὡς δεσποτῶν. ὅθεν μετὰ ἐκποίησιν καὶ ὁ νέος δεσπότης ἐνάγεται.

69. Ἔνθα οἱ δοῦλοι ἥμαρτον, ὀφείλουσι παρίστασθαι καὶ διεκδικεῖσθαι. καὶ μὴ διεκδικῶν ὁ δεσπότης πάντων στερεῖται.

70. Ἐν δὲ τῷ μβ' κεφ. Ἡ διάταξις ὁμοία τῇ β' καὶ τῇ γ'[1] καὶ λέγει, ὅτι ὁ δεσπότης ἀγνοῶν τὸ πταῖσμα τοῦ οἰκέτου νοξαλίως μόνον κατέχεται· εἰδὼς δὲ ἰδίῳ ὀνόματι. ὅλον δὲ τὸ τῆς διατάξεως νόμιμον τοιοῦτόν ἐστι, ὅτι ἐὰν οἰκέτης ἀλλότριος ἁρπάσῃ, εἴσω μὲν ἐνιαυτοῦ τὸ τετραπλοῦν ζητεῖ ἡ περὶ ἁρπαγῆς πραγμάτων ἀγωγή, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν, ἤτοι ἐφ' ᾧ δοῦναι τὸν οἰκέτην εἰς νόξαν, ἢ κατέχεσθαι τὸν δεσπότην αὐτοῦ καὶ εἰς τὸ περιελθὸν εἰς αὐτόν. εἰ δὲ συνειδότος τοῦ δεσπότου ἥρπασεν, εἰς τὸ διαφέρον ἐνέχεται ὁ δεσπότης πάντως· τουτέστιν ἢ εἰς τὸ τετραπλοῦν ἢ εἰς τὸ ἁπλοῦν. εἰ δὲ τὴν σὴν γαμετὴν ἥρπασε, κατ' αὐτοῦ τοῦ οἰκέτου κίνησον τὸ δημόσιον ἔγκλημα.

71. Ἀνάγν. καὶ τί. ς' κεφ. λε' καὶ τί. ιβ' κεφ. ζ' καὶ κεφ. νγ', θέμ. ς', ἐν ᾧ φησιν· Ἐὰν δύο δοῦλοί σου ἄργυρον καὶ ἐσθῆτά μου κλέψωσι, καὶ κινήσω[2] κατά σου περὶ τοῦ ἑνὸς ἐπὶ τῇ ἐσθῆτι, καλῶς περὶ τοῦ ἄλλου κινῶ ἐπὶ τῷ ἀργύρῳ. καὶ κεφ. νς' καὶ τί. να' κεφ. λε'[3].

---

[1] Leuncl. in marg.: „scilicet supra recitatae ex Digestis." Graeca hujus scholii omittit. [2] Lips. νικήσω. [3] Leuncl. λα'.

V.

Περὶ ὑπεξουσίων καὶ λύσεως ὑπεξουσιότητος, καὶ ὅτι ἐὰν ἀχάριστοι φανῶσιν οἱ λυθέντες τῆς ὑπεξουσιότητος, γίνονται αὖθις ὑπεξούσιοι[a].

1. *Ἀνάγν. βι. γ' τί. α' κεφ. ι' θέμ. β'*, *ἐν ᾧ φησιν·* Ὅτι εἰ συμβῇ τὸν χειροτονούμενον ἐπίσκοπον ὑπὸ τὴν τοῦ ἰδίου γονέως ἐξουσίαν εἶναι, ἐξ αὐτῆς τῆς χειροτονίας αὐτεξούσιος ἔστω.

2. *Ἀνάγν. βι. λα' τί. α', οὕτινος ἐν τῷ δ' κεφ. φησί·* [Καὶ] οἱ ἐξ ἀῤῥένων ἔκγονοι[b] ἡμῶν καὶ οἱ ἐφεξῆς ὑπεξούσιοι ἡμῶν εἰσιν[c].

3. *Ἐν δὲ τῷ ζ'*[1] *κεφ.* Ἐὰν ὁ υἱός μου τὴν πολιτείαν ἀπώλεσεν ἢ ὑπεύθυνος γίνεται[2] ποινῆς, ὁ ἐξ αὐτοῦ ἔκγονος εἰς τὸν τόπον αὐτοῦ [ὑπ]εισέρχεται.

4. Ὁ μαινόμενος ἔχει τοὺς παῖδας ὑπεξουσίους, καὶ τοὺς πρὸ τῆς μανίας καὶ τοὺς μετὰ ταύτην τεχθέντας ἢ συλληφθέντας. τὸ αὐτό, κἂν ἡ γυνὴ μανῇ ἢ καὶ οἱ δύο.

5. *Ἀνάγν. καὶ τί. γ', οὕτινος ἐν τῷ ζ' κεφ. φησίν·* Εἴ τις δήποτε τῶν παίδων ἀχάριστος ὀφθῇ περὶ τὸν εὐεργετήσαντα γονέα, καὶ εἴτε ὀχλαγώγιον αὐτῷ πεποιηκὼς εἴτε ἄλλως πως ὑβριστικῶς διαγενόμενος, ἐκπίπτει[3] τῆς ἐλευθερίας, καὶ ὑπεξούσιος πάλιν ἔστω.

6. *Ἀνάγν. καὶ τί. δ', οὕτινος ἐν τῷ γ' κεφ. φησίν·* Διαλύει τὴν τοῦ παιδὸς ὑπεξουσιότητα καὶ ὁ περιορισμὸς τοῦ πατρὸς, καὶ ὥσπερ τῇ αὐτοῦ τελευτῇ, οὕτω καὶ τῷ περιορισμῷ αὐτοῦ παύεται ὁ παῖς αὐτοῦ εἶναι ὑπεξούσιος. εἰ μέντοι ἐκ βασιλέως φιλανθρωπίας ἀνακληθεὶς ἀπολάβῃ τὴν πολιτείαν, ἅπαντα αὐτῷ εἰς τὴν ἀρχαίαν ἀποκαθίστανται τάξιν.

Ἀλλὰ καὶ εἰ γένηται ὁ ὑπεξούσιος ἢ πατρίκιος ἢ ἔπαρχος ἢ στρατηγὸς ἢ ἐπίσκοπος, παρευθὺ τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλλάττεται.

Καὶ εἰ συμβῇ δὲ τὸν πατέρα αἰχμαλωτισθῆναι, εἰ μὲν τῆς αἰχμαλωσίας ἀναῤῥυσθῇ, μένει ὁ υἱὸς αὐτοῦ ὑπεξούσιος,

---

a *Ἀνάγνωθι καὶ νεαρὰν πη'.*

b *Οἱ γὰρ ἀπὸ θυγατέρων ἔκγονοι, εἰ καὶ ὑπὸ τὴν ἡμῶν ἐξουσίαν αἱ τούτων μητέρες εἰσὶν, ἀλλ' οὖν οὐ γίνονται ἡμῶν ὑπεξούσιοι, ἀλλὰ μᾶλλον τῶν ἰδίων πατέρων.*

c *Οἱ ἀδνάτοι. οἱ γὰρ κογνάτοι ἤτοι ἀπὸ θηλυγονίας ἐκ θυγατέρων δηλαδὴ τικτόμενοι τῶν ἐπ' αὐταῖς γαμβρῶν ὑπεξούσιοι γεννῶνται.*

---

1 Leuncl. *ε'*. 2 Idem: *ἀπολέσῃ* et *γένηται*. 3 Idem: *ἐκπιπτέτω*.

καὶ οὐ μόνον πρὸς τὸν μετέπειτα χρόνον, ἀλλὰ καὶ τὸν τῆς αἰχμαλωσίας καιρὸν νομίζεται ὑπεξούσιος· εἰ δὲ παρὰ τοῖς πολεμίοις τελευτήσει ὁ πατὴρ, ἐκ τοῦ καιροῦ τῆς ἁλώσεως δοκεῖ γίνεσθαι ὁ παῖς αὐτεξούσιος. ὅθεν εἰ καὶ συμβῇ τινα δύο παῖδας ἔχοντα καὶ δισχιλίων νομισμάτων περιουσίαν ληφθῆναι ὑπὸ τῶν πολεμίων, καὶ τὸν μὲν τῶν παίδων σπουδαῖον ὄντα λαβεῖν τὰ χίλια νομίσματα καὶ δι' ἐμπορεύσεως[1] κερδᾶναι ἕτερα χίλια, τὸν δὲ ἕτερον ῥᾴθυμον μηδὲν προσκτήσασθαι, καὶ τελευτήσει παρὰ τοῖς πολεμίοις ὁ πατήρ· τὰ μὲν ἀρχαῖα δισχίλια νομίσματα συμμερίζονται οἱ παῖδες ἐξ ἴσου, ὡς ὄντα πατρῷον κλῆρον, τὰ δὲ ἕτερα χίλια νομίσματα μόνος ὁ ἐμπορευσάμενος [καὶ] κερδάνας λαμβάνει υἱὸς, ὡς ἐξ ἐκείνου γενόμενος αὐτεξούσιος, ἐξ οὗ καὶ ὁ κοινὸς ᾐχμαλωτίσθη πατήρ.

Διαλύει τῆς ὑπεξουσιότητος καὶ τὸ προσελθεῖν τοὺς γονεῖς τῷ ἁρμοδίῳ δικαστῇ ἢ ἄρχοντι καὶ τοὺς οἰκείους υἱοὺς ἢ θυγατέρας ἢ ἐκγόνους ἢ ἐκγόνας καὶ τοὺς ἐφεξῆς τῆς οἰκείας ἐλευθεροῦν ὑπεξουσιότητος, λέγοντας ὅτι τόνδε ἢ τούσδε ποιῶ αὐτεξουσίους καὶ τῆς ἐμῆς ἀφίημι χειρός.

Δύνανται δὲ οἱ γονεῖς τὸν υἱὸν ποιεῖν αὐτεξούσιον, τοὺς δὲ ἐκγόνους κρατεῖν ὑπεξουσίους, καὶ τὸ ἀνάπαλιν.

7. Ἀνάγν. καὶ τί. ε', οὗτινος ἐν τῷ α' κεφ. φησί· Θεσπίζομεν τούς τε ἐμβάθμους ὑπάτους, εἴπερ ἐν ὑπεξουσίοις τελοῖεν, ἅμα τῷ ῥήματι τῷ ταύτην αὐτοῖς χαριζομένῳ τὴν τάξιν εἰς αὐτεξουσιότητα φέρεσθαι· καὶ πρόσγε τοῖς τιμωμένοις παρὰ τῆς βασιλείας ὑπατικοῖς συμβόλοις, εἴπερ ὑπὸ τὴν τῶν πατέρων τελοῖεν χεῖρα, γίνεσθαι τὸ σύμβολον αὐτεξουσιότητος πρόφασιν.

8. Ἀνάγν. καὶ βι. νζ' [τί. β'] ἐν ᾳ φησι καὶ περὶ πεκουλίου, οὗτινος ἐν τῷ κγ' κεφ. φησίν· Ὁ ὑπεξούσιος οὐ δύναται κινεῖν ἢ πωλεῖν παρὰ γνώμην πατρὸς, εἰ μὴ μόνον τὸ στρατιωτικὸν πεκούλιον.

VI.

Περὶ ὑπερθέσεων.

1. Ἀνάγν. βι. ζ' τί. ιζ' κεφ. ζ', ἐν ᾧ φησιν· Ἐπὶ ζητήσει δικαιωμάτων καὶ πολλάκις δίδοται ὑπέρθεσις, μάλιστα ἐὰν ἀπρόοπτόν τι ἀναφανῇ.

---

[1] Leuncl. ἐμπορίας.

2. Ἀνάγν. καὶ βιβλίον θ' τί. γ' κεφ. πδ', ἐν ᾧ φησιν· Ἐὰν ἐπὶ τῇ καταδίκῃ ὑπερτίθηται ὁ ἐναγόμενος καὶ συμβῇ τὰ σώματα τὰ ἐν τῇ καταδίκῃ κείμενα τελευτῆσαι, τὴν διατίμησιν αὐτῶν ἀναγκάζεται παρασχεῖν.

3. Ἀνάγν. καὶ βι. ις' τί. α' κεφ. λς', ἐν ᾧ φησιν· Ἐὰν ὑπέρθεσιν ποιήσαντος τοῦ κληρονόμου ἀποθάνῃ ὁ εἰς χρῆσιν δοθεὶς δοῦλος, εἰς τὸ διαφέρον καταδικάζεται ἀπὸ τῆς ὑπερθέσεως ἕως τῆς [τοῦ δούλου] τελευτῆς[a].

4. Καὶ κεφ. λζ' καὶ μζ'. ἀνάγν. καὶ βι. ιθ' τί. ς' κεφ. θ'. ἀνάγν. καὶ βι. κγ' τί. γ', ἐν ᾧ φησι περὶ τῶν εὐθυνομένων ἀπὸ ὑπερθέσεως εἰς καρποὺς ἢ εἰς τόκους, οὗτινος ἐν τῷ ιθ' κεφ. φησίν· Ὁ εὐλόγως ὑπερτιθέμενος οὐ ποιεῖ ὑπέρθεσιν. τί γάρ; ὅτι πρὸς εὐλύτωσιν τοῦ χρέους ζητεῖ φίλους ἢ ἐγγυητὰς, ἢ προβάλλεται παραγραφήν;

5. Εἰ μὴ διὰ περιγραφὴν προσποιεῖται.

6. Ἐν δὲ τῷ κα' κεφ. Τοῦ ἐναγομένου ὑπέρθεσιν ποιοῦντος καὶ ἐγγυητὴς αὐτοῦ ἐνέχεται.

7. Ἐν δὲ τῷ κθ' κεφ. Ἐπὶ τῶν καλῇ πίστει ἀγωγῶν ἀπὸ ὑπερθέσεως χρεωστεῖται τόκος[b].

8. Ἀνάγν. καὶ βι. κς' τί. ε' κεφ. ξη' θέμ. ζ' καὶ τί. ζ' κεφ. κα' καὶ κγ', ἐν ᾧ φησιν· Ὅτι τὸν μετὰ ὑπέρθεσιν ἀποθανόντα δοῦλον, ὃν ὡμολόγησα διδόναι, ἐὰν ἀντιφωνήσω παρασχεῖν, ἐπὶ τῷ τιμήματι ἐνέχομαι.

VII.

Περὶ ὑπερθεματισμοῦ.

1. Ἀνάγν. βι. ιε' τί. α' κεφ. λα'. καὶ βι. ιθ' τί. β', οὗτινος ἐν τῷ δ' κεφ. φησίν· Ἔξεστι τῷ πράτῃ γινομένης τῆς αἱρέσεως αὐτῷ κρείττονος προσκυροῦν τῷ δευτέρῳ, εἰ μὴ πλέον ὁ πρῶτος ὑπερθεματίζει.

2. Ἐν δὲ τῷ η' κεφ. Δυνατὸν καὶ ἐπὶ τῷ ὑπερθεματίζοντι συμφωνεῖν τὴν τῆς ἡμέρας ὡρισμένην ἔκβασιν, ὥστε ἀφαιρεθῆναι αὐτοῦ τὸ πραθὲν ἄλλου ὑπερθεματίζοντος· καὶ τοῦτο ἐπὶ τρίτου ἀγοραστοῦ.

---

a Εἰς ὅ τι διέφερε τῷ τὴν χρῆσιν ἔχοντι τὸν δοῦλον σχεῖν. τυχὸν γὰρ διαθέσει τοῦ τὴν χρῆσιν ὀφείλοντος ἔχειν τοῦ δούλου κατέλειψέ τις τῷ δούλῳ ληγάτον, καὶ ἐκ τῆς ὑπερθέσεως ἐφθάρη τὸ ληγάτον.

b Ἀπὸ ὑπερθέσεως τόκος ἐστὶν ὁ λεγόμενος ἀπαιτεῖσθαι ὀφφικίῳ τοῦ δικαστοῦ, οὐ μὴν ὁ κατὰ φύσιν τῆς ἀγωγῆς. οὗτος γὰρ χωρὶς μόρας ἀπαιτεῖται. ἀνάγν. κεφ. α' θέμ. β' καὶ κεφ. ξ'.

3. Ἐν δὲ τῷ ια' κεφ. Ἐὰν ἐκ καινῆς πρᾶγμα προστεθῇ τῷ ὑπερθεματίζοντι ἄξιον ὂν τῆς παρ' αὐτοῦ γενομένης προσθήκης, ἡ πρώτη πρᾶσις οὐ λύεται, ὥσπερ οὔτε [εἰ] ὑπερθέσεως ἐπὶ τῇ καταβολῇ δοθείσης τοσοῦτος ἠδύνατο ληφθῆναι τόκος, ὅσον ἐστὶν ἡ γενομένη προσθήκη.

4. Ἀνάγν. καὶ τί. ι' κεφ. νη', ἐν ᾧ φησιν· Ἐάν τις τὸ ἴδιον πρᾶγμα ἐλαχίστου τιμήματος πωλήσῃ, δύναται τὸ τίμημα ἀναδιδοὺς λαμβάνειν τὸ ἴδιον πρᾶγμα. ἐλάχιστον δὲ τίμημά ἐστι τὸ μηδὲ εἰς ἡμίσειαν διατίμησιν ἀναφερόμενον. ἐὰν δὲ ὁ ἀγοραστὴς ἐπιλέξηται τὸ λεῖπον τῷ δικαίῳ τιμήματι δοῦναι, ἔχειν αὐτὸν τὸ πεπραμένον πρᾶγμα. τὸ αὐτὸ δὲ δίκαιον καὶ ἐπὶ τοῖς παισὶ τοῦ πράτου προβαινέτω.

5. Καὶ κεφ. ξβ' καὶ ξδ', ἐν ᾧ φησιν· Ὅτι οὐκ ἀρκεῖ πρὸς ἀπόδειξιν δόλου τὸ λέγειν, πλείονος ἄξιον εἶναι τὸ πρᾶγμα. ἔξεστι γὰρ ἐν τῇ πράσει καὶ τῇ ἀγορασίᾳ περιγράφειν, εἰ μὴ ἄρα ἔλαττον τοῦ ἡμίσεος μέρους τοῦ δικαίου τιμήματος δέδωκεν ὁ πράτης, τῆς ἐπιλογῆς τῆς ἤδη παρασχεθείσης τῷ ἀγοραστῇ φυλαττομένης.

VIII.

Περὶ ὑπευθύνων εἰς φυλακὴν βαλλομένων ἢ ἐγγυητὰς διδόντων.

1. Ἀνάγν. βι. ξ' τί. λε', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ ἄρχων διασκοπείτω, πότερον ὁ κατηγορούμενος ὀφείλει φυλακῇ ἐμβάλλεσθαι, ἢ στρατιώταις παραδίδοσθαι, ἢ ἐγγυηταῖς ἢ ἑαυτῷ καταπιστεύεσθαι. τοῦτο δὲ γίνεται ἐκ τῆς ποιότητος τοῦ ἐγκλήματος, ἢ διὰ τὴν τιμὴν ἢ τὴν εὐπορίαν τοῦ ἐναγομένου ἢ τὴν ἀξίαν αὐτοῦ, ἢ διὰ τὸ μηδὲν αὐτὸν ἡμαρτηκέναι.

2. Ἐν δὲ τῷ γ' κεφ. Ὁ ἔχων ἐγγύας οὐ δεσμεῖται, εἰ μὴ βαρύ ἐστι τὸ παρ' αὐτοῦ ἁμαρτηθέν, ὡς μήτε ἐγγυηταῖς μήτε στρατιώταις αὐτὸν ὀφείλειν παραδοθῆναι.

3. Ἐν δὲ τῷ δ' κεφ. Ὁ ἐγγυησάμενος τὸν κατηγορηθέντα χρηματικὴν δίδωσι ποινὴν μὴ παριστῶν αὐτόν. εἰ δὲ κατὰ δόλον οὐ παρίστησι, καὶ ἐξτραορδινὲμ καταδικάζεται.

IX.

Περὶ ὑπηρεσιῶν ἤτοι καρπῶν δούλων ἀπαιτουμένων.

1. Ἀνάγν. βι. ιε' τί. α' κεφ. λα' καὶ λβ', ἐν ᾧ φησιν· Οὐ μόνον τῶν

ἐφήβων οἰκετῶν ἀπαιτοῦνται καρποί, ἀλλὰ[1] *γὰρ καὶ τοῦ ἀνήβου ὑπηρεσίαι. ἀναισχύντως δὲ καρποὺς ὁ κύριος ἐπιζητεῖ τέχνης, ἣν ὁ νομεὺς οἰκείοις ἐδίδαξε δαπανήμασι. μετὰ δὲ τὸν κε΄ ἐνιαυτὸν ἀντιλογίζονται ταῖς δαπάναις αἱ ὑπηρεσίαι τοῦ τεχνίτου. καὶ κεφ. οθ΄ καὶ πα΄.*

2. *Ἀνάγν. καὶ βι. ιϛ΄*[2] *τί. ζ΄, οὗτινος ἐν τῷ γ΄ κεφ. φησίν· Ὁ καρπὸς τοῦ δούλου αἱ ὑπηρεσίαι εἰσί. καὶ διὰ τοῦτο ὡς ἐν τοῖς ἄλλοις καρποῖς ὑπεξαιροῦνται αἱ ἀναγκαῖαι δαπάναι.*

3. *Ἐν δὲ τῷ δ΄ κεφ. Αἱ ὑπηρεσίαι τῶν τεχνιτῶν καὶ τῶν ἀτέχνων πρὸς τὴν ποιότητα καὶ τὴν ὑπηρεσίαν ἀπαιτοῦνται.*

X.

Περὶ ὑποδεκτῶν.

1. *Ἀνάγν. βι. ξ΄ τί. ϛ΄ κεφ. κη΄, ἐν ᾧ φησιν· Οἱ ὑποδεξάμενοι παρὰ δούλου ἐν εἰδήσει τὰ ὑπ᾽ αὐτοῦ κλαπέντα πράγματα, καὶ περὶ αὐτῶν τῶν πραγμάτων κατέχονται τῇ ἀπαιτήσει· κατέχονται δὲ καὶ τῇ εἰς τὸ διπλοῦν ἀγωγῇ.*

2. *Ἀνάγν. καὶ τί. ιη΄ κεφ. ιδ΄, ἐν ᾧ φησιν· Ὅμοιόν ἐστι τὸ ἁρπάσαι καὶ τὸ ὑποδέξασθαι τὰ ἁρπαγέντα ἐν εἰδήσει.*

3. *Ἀνάγν. βι. νγ΄ τί. α΄ κεφ. ι΄ θέμ. β΄.*

XI.

Περὶ ὑποδεκτῶν τῶν ὑποδεχομένων λῃστὰς ἢ ἑτέρους ὑπευθύνους, καὶ μὴ προσαγόντων αὐτοὺς τῷ δικαστῇ.

1. *Ἀνάγν. βι. ξ΄ τί. κζ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Οἱ ὑποδοχεῖς τῶν λῃστῶν ὡς λῃσταὶ τιμωροῦνται. καὶ οἱ δυνάμενοι κρατῆσαι τοὺς λῃστὰς καὶ ἀπολύσαντες χρήματα λαβόντες ἢ μέρος τῶν λῃστευθέντων ὁμοίως τιμωροῦνται.*

2. *Ὁ δὲ συγγενῆ ἢ ἀγχιστέα λῃστὴν φυλάξας καὶ διασώσας μέσως πως τιμωρεῖται.*

3. *Ἐν δὲ τῷ β΄ κεφ. Ὁ ὑποδεξάμενός τινα ἐνεχόμενον ἐγκλήματι ἐν εἰδήσει τὴν αὐτὴν ὑποστήσεται τιμωρίαν· ὁ δὲ ὑποδεξάμενος λῃστὰς καὶ μὴ προσάγων αὐτοὺς τῷ δικαστηρίῳ δημευέσθω ἢ τιμωρείσθω κατὰ τὴν ποιότητα τοῦ προσώπου, ὡς ἂν ὁ δικαστὴς συνίδῃ.*

---

[1] Leuncl. *εἰσί.* [2] Idem *νϛ΄.*

XII.

Περὶ ὑποβολιμαίου τοκετοῦ.

1. Ἀνάγν. βι. ξ΄ τί. μα΄ κεφ. λ΄, ἐν α̅ φησιν· Οὐ πάντες περὶ ὑποβολιμαίου τοκετοῦ κινοῦσιν, ἀλλὰ μόνοι γονεῖς καὶ οἷς διαφέρει.

2. Καὶ κεφ. λϛ΄, ἐν ω̅ φησιν· Ἡνίκα γυνὴ λέγεται ὑποβολιμαῖον παιδίον [προσ]ποιήσασθαι τεκεῖν, δύναται κινηθῆναι κατ᾽ αὐτῆς τὸ ἔγκλημα τὸ περὶ τοῦ πλαστοῦ καὶ πρὸ τοῦ ἡβῆσαι τὸν παῖδα. οὐδὲν γὰρ ἀπίθανόν[1] ἐστιν ἐκείνην ἐν τῷ ἐγκλήματι ἐξεταζομένην ἐπίτηδες προδιδόναι τὴν δίκην.

XIII.

Περὶ ὑπονομιαίων ἤτοι καναλῶν.

1. Ἀνάγν. βι. νη΄ τί. κβ΄, οὗτινος ἐν τᾳ̅ α΄ κεφ. φησί· Λέγει ὁ πραίτωρ μὴ κωλύεσθαι τὸν θέλοντα καθαρίσαι ἢ ἀνανεῶσαι κανάλην αὐτοῦ διήκοντα ἐκ τοῦ οἴκου αὐτοῦ εἰς τὸν οἶκόν σου· ἀσφαλίζεσθαι μέντοι αὐτὸν τὴν προσδοκωμένην ζημίαν.

Καὶ ὅτι ἔξεστι καὶ εἰς τὸν δημόσιον κανάλην βαλεῖν τὸν ἰδιωτικόν.

Τὸ δὲ διήκειν δεῖ νοεῖν τὸ ἀπευθύνεσθαι, τὸ ἐκτείνεσθαι, τὸ ἔρχεσθαι.

Καὶ πρὸς τοὺς πόῤῥωθεν γείτονας ἁρμόζει τὸ νόμιμον παράγγελμα, δι᾽ ὧν ὁ κανάλης ἐκτρέχει.

Δύναμαι εἰς τὸν τοῦ γείτονος οἶκον εἰσελθεῖν καὶ ἀνασχίσαι τὰς ψηφώσεις διὰ τὴν κάθαρσιν. καὶ ἐὰν ἕτοιμός εἰμι ἀποκαταστῆσαι τὸ γενόμενον ὄρυγμα, οὐχ ὑποπίπτω τῇ διὰ τὴν ζημίαν ἀγωγῇ.

Καταφρονεῖ τῆς παραγγελίας ὁ καθαίρων κανάλην· ἐπερωτᾶται δὲ τὴν προσδοκωμένην ζημίαν.

Λέγει ὁ πραίτωρ· τὸ ἐν δημοσίῳ κανάλῃ γενόμενον, δι᾽ οὗ χείρων ἡ χρῆσις αὐτοῦ γίνεται, ἀποκατάστησον. κωλύει δὲ καὶ τὸ γενέσθαι τὶ πάλιν ἐν αὐτῷ.

Τοῦτο οὖν τὸ νόμιμον παράγγελμα πρὸς τοὺς δημοσίους κανάλας ὁρᾷ, ἵνα μὴ χείρονες γίνωνται.

[1] Basil. πιθανόν.

XIV.

Περὶ ὑποφθορᾶς καὶ ὑπονοθεύσεως δούλων τε καὶ σεμνῶν γυναικῶν, καὶ περὶ τῶν ὑποδεχομένων φυγάδα δοῦλον.

1. *Ἀνάγν. βι. ξ' τί. ϛ', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* Ὁ δοῦλον ἀλλότριον ὑποδεξάμενος ἢ κατὰ δόλον αὐτῷ συμβουλεύσας, ἐφ' ᾧ χείρονα αὐτὸν ποιῆσαι, εἰς τὸ διπλοῦν ἐνάγεται.

Ὁ ὑποδεξάμενος ἐπὶ τῷ ἀποκρύψαι ἐν ἰδίῳ ἢ ἀλλοτρίῳ τόπῳ ἐνάγεται.

Συμβουλεύει δὲ ὁ συνωθῶν καὶ ἀναγκάζων ἑαυτῷ πεισθῆναι.

Εἴτε δὲ τὸν καλὸν ὑποφθείρει εἴτε τὸν κακὸν χείρονα ποιήσει, ἐνέχεται. τυχὸν γὰρ τῷ[1] πάντως μέλλοντι κλέπτειν ἢ φεύγειν τρόπον ὑπέθετο, ἢ τὸν σκοπὸν ἐπῄνει.

Ὑποφθείρει ὁ συμβουλεύων δούλῳ ζημιῶσαι ἢ κλέψαι ἢ φυγεῖν ἢ ὑπονοθεῦσαι δοῦλον ἀλλότριον, ἵνα τὸ πεκούλιον δαπανήσῃ, ἢ ἐρωτικὸς γένηται ἢ ῥεμβὸς ἢ κακότεχνος ἢ θεωρητὴς ἄγαν ἢ στασιαστὴς, ἢ ἵνα τοὺς δεσποτικοὺς ἀπαλείψῃ λογισμοὺς ἢ πλαστεύσῃ ἢ φυράσῃ·

2. Ἢ γενέσθαι ἄσωτον ἢ καταφρονητὴν ἢ αἰσχρουργηθῆναι[a].

3. *Ἐν δὲ τῷ γ' κεφ.* Ὁ δολερῶς ὑποδεξάμενος ἐνέχεται, οὐ μὴν ὁ διὰ τὸ ἀποδοῦναι τῷ δεσπότῃ, ἢ δι' ἕτερον δίκαιον λογισμόν.

4. *Ἐν δὲ τῷ δ' κεφ.* Εἰ καὶ νομίζει τὶς ἐλεύθερον εἶναι ὃν ὑποφθείρει, ἐνέχεται.

Ἡ περὶ δούλου ὑποφθορᾶς ἀγωγὴ κατὰ τοῦ συνομολογοῦντος εἰς τὸ διπλοῦν ἁρμόζει, ὁ δὲ ἀκουΐλιος κατὰ μόνου τοῦ ἀρνουμένου.

Ὀνόματι δούλου καὶ δούλης ὑπονοθευσάντων νοξαλία κινεῖται.

5. *Ἐν δὲ τῷ η' κεφ.* Διπλασιάζεται τὸ μειωθὲν τίμημα τοῦ ὑποφθαρέντος, καὶ κατάγεται εἰς τὴν περὶ ὑποφθορᾶς δούλου ἀγωγὴν ὅσα ὑφείλετο, καὶ πᾶσα ζημία διπλασιάζεται, εἰ καὶ μὴ ἦλθεν εἰς τὸν ὑποφθείραντα τὰ πράγματα.

6. Τὰ δὲ μετὰ ταῦτα κλαπέντα οὐκ ἀποτιμῶνται.

---

[a] *Τὰ τῶν γυναικῶν ὑπομεῖναι.*

---

[1] Leuncl. *αὐτῷ*.

7. *Ἐν δὲ τῷ ια' κεφ.* *Ἡ περὶ ὑποφθορᾶς δούλου ἀγωγὴ κληρονόμοις ἁρμόζει, οὐ μὴν κατὰ κληρονόμων, καὶ διηνεκής ἐστι.*

8. *Παίδων ὑπεξουσίων ὑποφθαρέντων οὐχ ἁρμόζει ἡ περὶ ὑποφθορᾶς δούλου ἀγωγή· χρηματικὴν γὰρ εἶναι δεῖ τὴν ζημίαν· ὅμως μέντοι καὶ περὶ αὐτῶν οὐτιλίως ἁρμόζει, καὶ ἀποτιμᾶται ὀφφικίῳ τοῦ δικαστοῦ.*

Οὐ δίδοται ἔξωθεν τοῦ πράγματος τὸ διπλοῦν· ἡ γὰρ ζημία διπλ[ασι]άζεται.

Ἐὰν συμβουλεύσῃς δούλῳ μου κλέψαι παρὰ πέτρου, οὐ μόνον εἰς ὃ γέγονε χείρων καταδικάζῃ, ἀλλὰ καὶ εἰς ὃ παρασχεῖν ἀναγκάζομαι πέτρῳ.

Τὸ αὐτὸ κἂν συμβουλεύσῃς αὐτῷ ζημιῶσαί τινα.

9. *Ἐν δὲ τῷ ιγ' κεφ.* *Ὑποφθείρει δοῦλον ὁ συμβουλεύων αὐτῷ τοῦ δεσπότου καταφρονεῖν.*

10. *Ἐν δὲ τῷ ιδ' κεφ.* *Ἐὰν τοῦ εἰωθότος δούλου διοικεῖν ἢ δανείζειν τὰ δεσποτικὰ χρήματα λόγον ποιοῦντος μετὰ τὸ ἐλευθερωθῆναι εὑρεθῇ χρήματα δαπανήσας μετὰ γυναικός, ἁρμόζει κατ᾽ αὐτῆς ἡ περὶ ὑποφθορᾶς δούλου ἀγωγὴ καὶ ἡ περὶ κλοπῆς, περὶ ὧν πρὸς αὐτὴν ὁ δοῦλος ἀπηγάγετο.*

11. *Ἐν δὲ τῷ ιη' κεφ.* *Ὁ τὸν ἀλλότριον δοῦλον ὑπονοθεύσας μόνον ἐπὶ τῷ φυγεῖν κατέχεται εἰς εἴ τι χείρων γέγονε τοῖς τρόποις. ὁ δὲ μετὰ τὴν φυγὴν ὑποδεξάμενος καὶ κρύψας αὐτὸν τῇ περὶ κλοπῆς ἀγωγῇ εἰς τὸ διπλοῦν κατέχεται*[1].

12. *Ἐν δὲ τῷ λγ' κεφ.* *Ἐάν τις συνεβούλευσε τῷ δούλῳ τῷ ἀλλοτρίῳ κλέψαι τινὰ παρὰ τοῦ δεσπότου καὶ χρήσασθαι φυγῇ, ἐπαγγειλάμενος ὑποδέχεσθαι αὐτόν· ὁ δὲ δοῦλος ἀνήγαγε τῷ δεσπότῃ, καὶ κατὰ κέλευσιν αὐτοῦ πράγματα λαβὼν ἀπῆλθε πρὸς τὸν ὑπονοθεύσαντα· ἁρμόζει κατ᾽ αὐτοῦ καὶ ἡ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγή, καὶ ἡ κατὰ τῶν ὑποφθειρόντων τὸν δοῦλον ἤτοι τοὺς ἀγαθοὺς τρόπους αὐτοῦ. οὐ δεῖ γὰρ ἀτιμωρήτους εἶναι τὰς τοιαύτας τῶν ἀνθρώπων ἐγχειρήσεις.*

13. *Ἀνάγν. καὶ τί. ζ', οὗτινος ἐν τῷ α' κεφ. φησίν·* *Ὁ τὸν φυγάδα δοῦλον κρύπτων κλέπτης ἐστί.*

Καὶ προστιμῶνται οἱ οἰκονόμοι καὶ προκουράτορες τῶν κτητόρων καὶ ὑποδεχόμενοι ἢ κρύπτοντες αὐτόν.

---

[1] Leuncl. hic inserit tit. X *περὶ ὑποδεκτῶν.*

῾Ο τὸν φυγάδα εἴσω κ' ἡμερῶν τοῦ εὑρεῖν αὐτὸν ἐν τῷ ἰδίῳ ἀγρῷ τῷ δεσπότῃ διδοὺς ἢ τῇ τάξει συγγινώσκεται. ῾Ο κρατῶν φυγάδα δοῦλον δημοσίᾳ παραγέτω, καὶ ὁ στρατηγὸς ἀσφαλῶς αὐτὸν φυλαττέτω διὰ τὸ μὴ φυγεῖν.

14. Ἐν δὲ τῷ θ' κεφ. ῾Ο τὸν φυγάδα ὑποδεξάμενος ἀποδίδωσιν αὐτὸν μετὰ ἑτέρου ὁμοίου αὐτοῦ, ἢ κ' νομίσματα· εἰ δὲ ὑπεδέξατο αὐτὸν μετὰ ἄλλων δύο ἢ τριῶν οἰκετῶν, ἀναδιδότω αὐτὸν καὶ ἄλλους δύο ἢ τρεῖς δούλους, ἤτοι μ' ἢ ξ' νομίσματα. εἰ δὲ ἀτελὴς τὴν ἡλικίαν ἐστὶν, οἱ ἐπίτροποι ἢ οἱ κουράτορες τὴν ποινὴν παρεχέτωσαν. εἰ δὲ ἄπορός ἐστιν ὁ ὑποδεξάμενος, σωφρονιζέσθω. εἰ δὲ ἐψεύσατο ὁ δοῦλος, εἰπὼν ἑαυτὸν εὐγενῆ, καὶ ἐπὶ μισθῷ εἰργάσατο παρά τινι, ἀνεύθυνός ἐστιν ὁ ἐν ἀγνοίᾳ δεξάμενος αὐτόν. χρὴ δὲ βασανίζεσθαι τὸ ἀνδράποδον, ἵνα γνῶμεν, μή τι ἐξ ὑποθήκης τοῦ δεσπότου ἔφυγεν. καὶ ἐὰν τοῦτο ἐλεγχθῇ, ἀποστερεῖται ὁ δεσπότης τοῦ δούλου, καὶ λαμβάνει αὐτὸν ὁ δημόσιος.

15. Ἐν δὲ τῷ ι' κεφ. Ἐάν τις τὰ πολιτικὰ ἀνδράποδα τέχνας ἐπιστάμενα ὑπονοθεύσῃ, καὶ μετὰ ἄλλου δούλου ἀποδώσει καὶ μετὰ ιβ' νομίσματων. ὁμοίως [δὲ] εἰ καὶ ἀπελεύθερον πολιτικὸν τεχνίτην ὑφείλετό τις, καὶ μετὰ ἄλλου δούλου καὶ μετὰ ιβ' νομισμάτων αὐτὸν ἀποδώσει.

16. Ἐν δὲ τῷ ια' κεφ. Πολλάκις τὶς ὑποδεξάμενος φυγάδα καὶ βουλόμενος φυγεῖν τὴν ἀπὸ τῶν διατάξεων τιμωρίαν ἢ δοῦλον ἴδιον [εἶναι] λέγει τὸν φυγάδα, ἢ ὑποτίθεται αὐτὸν εἰς ἐλευθερίαν ἀναφωνῆσαι, ἵνα δόξῃ μὴ φυγάδα ἔχειν, ἀλλὰ νέμεσθαι ὡς καλῇ πίστει ἢ ἐλεύθερον διεκδικεῖν. κελεύει τοίνυν ἡ διάταξις, ἵνα τούτου γενομένου αὐτὸς [ὁ δοῦλος] βασανίζηται. τοῦτο γὰρ καὶ τὴν ἀλήθειαν εὐκατάληπτον ποιεῖ καὶ τοὺς δούλους σωφρονεστέρους.

17. Ἐν δὲ τῷ ιβ' κεφ. Ἐάν τις δημόσιον δοῦλον ἀποκρύψῃ, μὴ μόνον αὐτὸν, ἀλλὰ καὶ δώδεκα λίτρας ἀργύρου τιμωρίας ἕνεκα τῷ δημοσίῳ καταβαλεῖν ἀναγκαζέσθω. κατὰ δὲ τῶν κληρονόμων τῶν ὑποδεξαμένων τὸ ἐπιτίμιον οὐχ ἁρμόζει.

18. Ἀνάγν. καὶ τί. ιβ' κεφ. ιδ' καὶ λε' καὶ ος', ἐν ᾧ φησιν· ῾Ο διὰ ἡδονὴν δούλην μὴ[1] πόρνην οὖσαν κλέψας ἐνέχεται τῇ [περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ· εἰ δὲ κρύψει, καὶ τῇ] τῶν ἀνδραποδιστῶν ἀγωγῇ[b].

---

[b] Ἀνάγνωθι περὶ δούλης καὶ τοῦ ια' τί. κεφ. β' ὅπερ εἴρηται ἐν τῷ

---

[1] Leuncl. et Lips. μοῦ.

19. *Ἀνάγν. καὶ τί. κα' κεφ. μγ' καὶ τί. κβ' κεφ. α' καὶ β', ἐν ᾧ φησιν·* Ὁ συμβουλεύων παιδίῳ ἢ γυναικὶ αἰσχρόν τι ἢ ὑπονοθεύων, ἢ ἀφέλκων τὸν ἀκόλουθον ἢ διδοὺς ἐπὶ αἰσχρότητι δῶρα, πραχθέντος μὲν τοῦ ἁμαρτήματος κεφαλικῶς κολάζεται, μὴ πραχθέντος δὲ διηνεκῶς ἐξορίζεται· καὶ ὁ ὑποφθαρεὶς ἀκόλουθος ἄκρως τιμωρεῖται.

20. *Ἀνάγν. βι. δ' τί. α' κεφ. ις'. ἀνάγν. καὶ τὰ εἰρημένα ἐν τῷ περὶ ἀνδραποδιστῶν.*

XV.

Περὶ ὑποφθορᾶς ἀντιδίκων, καὶ τίνες δύνανται αὐτοὺς ὑποφθείρειν καὶ τίνες οὐ δύνανται.

1. *Ἀνάγν. βι. ξ' τί. κς' κεφ. ς', ἐν ᾧ φησιν·* Ἀντὶ ἐλεγχθέντος ἐστὶν ὁ τὸν κατήγορον ὑποφθείρας, χωρὶς τῶν δι' αἵματος ἐχόντων τὴν καταδίκην.

2. *Ἀνάγν. καὶ τί. νγ' κεφ. α'*[1], *ἐν ᾧ φησιν·* Ἐν τοῖς ἔχουσι θάνατον τὴν καταδίκην ἔξεστι τῷ ἐναγομένῳ ὑποφθείρειν τὸν ἀντίδικον. *καὶ κεφ. β'.*

3. *Ἀνάγν. καὶ βι. νς' τί. β' κεφ. κς', ἐν ᾧ φησιν·* Ὁ ὑποφθείρας τὸν μηνυτὴν ἀντὶ ἡττηθέντος ἐστίν. τοῦτο γὰρ κρατεῖ ἐπὶ τῶν τοῦ δημοσίου δικῶν. ἡ δὲ τιμωρία αὕτη κατὰ κληρονόμων αὐτοῦ οὐχ ἁρμόζει. οὔτε γὰρ αὐτός, εἰ μὴ καταδικασθῇ, περὶ τούτου ὑπόκειται. ἐξ ὑποφθορᾶς δὲ ἡττηθέντος τοῦ μηνυτοῦ καλῶς ὁ δημόσιος ἀνανεοῖ τὴν δίκην.

Ἀρχὴ τοῦ Φ στοιχείου.

I.

Περὶ φαλκιδίου.

1. *Ἀνάγν. βι. μα' τί. α', οὗτινος ἐν τῷ β' κεφ. φησί·* Τὰ εἰς τα-

---

περὶ κλοπῆς. ζήτει καὶ τοῦ ιβ' τί. κεφ. λς' ἐναντίον φανέν, ὅπερ ἐστὶν εἰς τὸ περὶ πορνευόντων[2].

[1] Lips. λ'. [2] Lips. simpliciter: *ζήτει τοῦ ιβ' τί. λζ'.*

φὴν δαπανώμενα ὡς χρέος ὑπεξαιροῦνται[a], οὐ μὴν τὰ εἰς ποίησιν μνημείου[b]. ταῦτα γὰρ ὑπόκειται τῷ φαλκιδίῳ·

Καὶ ᾧτινι λεγατευθῶσιν οὐ συγχωρεῖται δαπανᾶν πλέον τοῦ συμμέτρου μνημείου.

2. Ἐν δὲ τῷ θ' κεφ. Οἱ ἐν τῇ τελευτῇ τοῦ διαθεμένου πέπειροι ὄντες καρποὶ μετὰ τὴν τελευτὴν λαμβανόμενοι αὔξουσι τὴν κληρονομίαν. ποιοῦσι γὰρ τὸν ἀγρὸν τιμιώτερον[c]. ἐπὶ δὲ τῆς ἐγκύου δούλης οὐδεμιᾷ διαστίξει[1] χρώμεθα· ὁ γὰρ μήπω τεχθεὶς οὐ λέγεται ἄνθρωπος.

3. Ἐν δὲ τῷ ιε' κεφ. Ἐὰν θανάτου αἰτίᾳ συγχωρητικὸν σύμφωνον ποιήσω τῷ χρεώστῃ μου, χώρα τῷ φαλκιδίῳ[d].

4. Ἐν δὲ τῷ κγ' κεφ. Ὁ κληρονόμος ὧν ὑπέκλεψε πραγμάτων οὐ παρακρατεῖ φαλκίδιον.

Ὁ τοκετὸς τῆς λεγατευθείσης δούλης πρὸ τῆς προχωρήσεως[e] τῷ κληρονόμῳ ἁρμόζει, καὶ λογίζεται αὐτῷ εἰς τὸν φαλκίδιον καὶ τοὺς καρποὺς αὐτοῦ.

5. Ἐν δὲ τῷ κθ' κεφ. Οἱαδήποτε ζημία τῇ κληρονομίᾳ εἰ συμβῇ ἄνευ δόλου τῶν λεγαταρίων, τὸν κληρονόμον βλάπτει,

---

a Ὁ δανείζων εἰς ἔξοδον ταφῆς τῷ διαθεμένῳ δοκεῖ συναλλάσσειν, καὶ διὰ τοῦτο ὡς χρέος τοῦ διαθεμένου ὑπεξαιροῦνται· μετὰ τοῦτο γίνεται ὁ φαλκίδιος.

b Ὑπεξαιροῦνται τὰ πρὸς ταφὴν, αἱ ἐλευθερίαι καὶ τὰ χρέα. διαφέρει δὲ τάφος μνημείου· τάφος μὲν γάρ ἐστιν ἐν ᾧ τὰ σώματα κατάκειται· μνημεῖον δὲ τὸ κτίσμα τὸ ὑπεράνω τοῦ τάφου.

c Ἄλλως γὰρ ἀποτιμᾶται ὁ ἀγρὸς μετὰ τῶν πεπείρων καρπῶν, καὶ ἄλλως ἄνευ καρπῶν, καὶ ἐπεὶ πλείονος ἀποτιμᾶται, αὔξεται καὶ ἡ περιουσία· καὶ γίνεται καὶ πλείων ὁ φαλκίδιος τῆς μείζονος περιουσίας. εἰ δὲ δούλη ἔγκυος κατελείφθη, ἐπεὶ οὐκ αὔξεται ἡ ταύτης τιμὴ, οὐδὲ ἡ περιουσία αὔξεται.

Κύριλλος. Οἱ καρποὶ οὓς ἦρε πεπείρους ὁ κληρονόμος, αὔξουσι τὸν κλῆρον ἐν τῷ φαλκιδίῳ, οὐ μὴν τὸ ἐν γαστρὶ τῆς δούλης. τὸ γὰρ μήπω τεχθὲν οὐ νομίζεται ἄνθρωπος.

d Δοκῶ γὰρ πρὸς περιγραφὴν τοῦ κληρονόμου ποιεῖν τὴν συγχώρησιν. φησὶ γὰρ ὁ κανὼν, ἡ θανάτου αἰτίᾳ δωρεὰ λεγάτῳ ἔοικεν· ὅθεν καὶ ὑπόκειται τῷ φαλκιδίῳ, διὰ τὸ, εἰ θνήσκειεν, ἐν τῇ οὐσίᾳ μου μένειν, καὶ μὴ ἐν τῇ τοῦ δωρηθέντος οὐσίᾳ. τῆς γὰρ κληρονομίας μου οὔσης ρ' λιτρῶν, εἰ ι' λίτρας δωρήσω, ἀφέλωμεν ὡς πρὸς ρ' τὸν φαλκίδιον, ἀλλὰ μὴ ὡς πρὸς ϟ'.

e Τουτέστι, πρὸ τῆς αἱρέσεως ἢ τῆς ἡμέρας τέκῃ. μετὰ γὰρ ἡμέραν ἢ αἵρεσιν τότε χώραν ἔχει ληγατευθέν. χρεωστεῖται γὰρ τῷ κληρονόμῳ καρπὸς φαλκιδίου.

---

1 Lips. οὐδεμίαν διάστιξιν.

καὶ ἡ ἐπαύξησις αὐτὸν ὠφελεῖ, καὶ οὐ λογίζεται εἰς τὸν φαλκίδιον[f].

6. Οὐκ ἔρχεται εἰς συμψηφισμὸν τοῦ φαλκιδίου τὰ τῷ κληρονόμῳ παρ' ἑαυτοῦ λεγατευθέντα, ἢ τοῖς δούλοις αὐτοῦ χωρὶς αἱρέσεως[g], ἢ τοῖς δούλοις τοῦ διαθεμένου χωρὶς ἐλευθερίας, ἢ τὰ πράγματα ἅτινα λεγατεύεσθαι οὐκ ἠδύνατο. τὰ μέντοι ὑπὸ ἡμέραν λεγατευθέντα τοῖς δούλοις τοῦ κληρονόμου, τῆς ἐλευθερίας ἐν τῷ μεταξὺ πρὸ τῆς προχωρήσεως ἁρμοζούσης, κεχρεώστηνται καὶ συμψηφίζονται.

7. Ἐν δὲ τῷ λβ' κεφ. Ἐὰν λεγατευθῇ σοι δοῦλος ἐπὶ τῷ ἐλευθερωθῆναι καὶ μηδὲν ἕτερον, ἀργεῖ ὁ φαλκίδιος.

8. Ταῦτα ἐν ᾧ τοῦ διαθεμένου ἦν. εἰ μέντοι χρήματα ἢ ἄλλο τὶ λεγατεύσω σοι, ἐπὶ τῷ σὸν δοῦλον ἢ ἀλλότριον ἐλευθερῶσαι, χώραν ἔχει ὁ φαλκίδιος.

9. Ἐν δὲ τῷ λϛ' κεφ. Ὁ ὑπὸ ὅρον ἐλευθερούμενος οὐ συμψηφίζεται ἐν τῇ οὐσίᾳ[1] τοῦ κληρονόμου.

Οἱ δὲ κοινοὶ δοῦλοι ἐν τῇ ἑκατέρου δεσποτείᾳ[2] εἰσιν[h].

10. Ἐν δὲ τῷ λζ' κεφ. Οὐ μόνον τῶν ἐλευθερωθέντων ὑπεξαιροῦνται αἱ τιμαὶ, ἀλλὰ καὶ τῶν ἀναιρουμένων διὰ τοῦ νόμου[i], καὶ τῶν ἐλευθερουμένων διὰ τὸ καταμηνύσαι τὴν τοῦ δεσπότου ἀναίρεσιν[k] ἢ τὴν κατ' αὐτοῦ συνωμοσίαν.

11. Ἐν δὲ τῷ νζ'[3] κεφ. Τῶν ἀποκλαπέντων ὁ κληρονόμος οὐ παρακρατεῖ φαλκίδιον. εἰ δὲ φιλονεικεῖ ἴδιον εἶναι τὸ πρᾶγμα, ὕστερον δὲ δειχθῇ τῆς κληρονομίας εἶναι, παρακρατεῖ.

---

[f] Κύριλλος. Θάνατος δούλων, ζώων, καὶ ζημία μη παρ' αἰτίαν τοῦ ληγαταρίου συμβᾶσα τὸν κληρονόμον ὁρᾷ, καὶ τὸ κέρδος, οἷον καρποὶ, τοκετοὶ, καὶ προσπορισμοὶ δούλων.

[g] Σημείωσαι, ὅτι ὑπὸ αἵρεσιν τοῖς δούλοις τοῦ κληρονόμου καλῶς ληγατεύω.

[h] Φησὶ γὰρ ὁ κανών[4]· αἱ ἐλευθερίαι οὐχ ὑπόκεινται φαλκιδίῳ .ὁ[5] statuliber οὐκ αὔξει τὴν οὐσίαν τοῦ κληρονόμου. ὁ δὲ κοινὸς δοῦλος τὴν ἑκατέραν κληρονομίαν αὔξει.

[i] Τοῦ σιλιανείου δόγματος τοῦ λέγοντος ἀναιρεῖσθαι τοὺς ἐν τῇ αὐτῇ στέγῃ ὄντας δούλους καὶ μὴ διεκδικοῦντας τὸν τοῦ δεσπότου θάνατον.

[k] Ἀναιρεῖ γὰρ ὁ νόμος τοὺς μὴ βοηθήσαντας τῷ δεσπότῃ ἐπιβούλως κινδυνεύοντι, ὥσπερ καὶ ἐλευθερίας ἀξιοῖ τοὺς τὸν φόνον καταμηνύσαντας.

---

[1] Leuncl. οἰκίᾳ. [2] Leuncl. δεσπότου. [3] Leuncl. in marg. ξζ'.
[4] Lege ὁ κύριλλος. [5] Sic lego. Leuncl. ὡς.

12. Ἐν δὲ τῷ οδ΄ [1] κεφ. Τὸ τρίτον τοῦ φαλκιδίου ἐκ πάντων τῶν λεγαταρίων πρὸς ἀναλογίαν παρακατέχεται[l].

13. Ἐν δὲ τῷ οη΄ κεφ. Ὅτε γένηται λόγος φαλκιδίου, πάντα τὰ χρέα ὑπεξαιροῦνται, καὶ ὅσα τῷ αὐτῷ κληρονόμῳ κεχρεώστηται. κἂν σύγχυσις ἐγένετο κληρονομήσαντος αὐτοῦ[m], ὅμως τὰ χρέα ὑπεξαιροῦνται.

14. Ἐν δὲ τῷ οθ΄ κεφ. Ἐπὶ στρατιωτικῆς διαθήκης ἀργεῖ ὁ φαλκίδιος[n]. πλὴν ἐὰν [ὁ διαθέμενος] χρεωστῇ τῷ γεγραμμένῳ κληρονόμῳ[o], δύναται ταῦτα παρακατασχεῖν· ἐπειδὴ μετὰ τὰ χρέα τότε παρέχονται τὰ λεγάτα.

15. Ἐν δὲ τῷ πα΄ κεφ. Ἐὰν ὁ κληρονόμος τὸ πρᾶγμα ἀγνοήσας[p] οὐκ ἐχρήσατο τῷ φαλκιδίῳ, καὶ διὰ τοῦτο πλέον κατέβαλε, δύναται ἀναλαμβάνειν. ἐὰν δὲ τὸν νόμον ἠγνόησεν, οὐκ ἔτι συγγινώσκεται.

16. Ἐν δὲ τῷ πδ΄ κεφ. Ἐὰν ὁ ἀνὴρ δωρήσηται τῇ γυναικὶ ἢ ἡ γυνὴ τῷ ἀνδρὶ, τελευτῇ τοῦ δωρησαμένου βεβαιοῦται ἡ δωρεά. ἐπειδὴ οὖν κατὰ τοῦτο μιμεῖται ἀποκατάστασιν, μειοῦται τῷ φαλκιδίῳ[q].

17. Ἀνάγν. καὶ τί. β΄, οὗτινος ἐν τῷ α΄ κεφ. θέμ. γ΄ φησίν· Εἰσὶ διαθῆκαι, ἐξ ὧν οὐ παρακρατεῖται φαλκίδιος· ἀλλὰ καὶ ἐπὶ αὐτῶν μετὰ ὑπεξαίρεσιν τῶν χρεῶν καὶ τῶν ἐλευθεριῶν τὰ λεγάτα παρέχονται.

18. Ἀνάγν. καὶ τί. γ΄, οὗτινος ἐν τῷ ς΄ κεφ. φησίν· Ὁσάκις πατὴρ ἢ μήτηρ τοὺς παῖδας ἢ τὰς θυγατέρας γράψει κληρονό-

---

l Ὑπέξελε τὴν ριθ΄ νεαρὰν λέγουσαν, ὅτι οὐχ ὑπόκειται φαλκιδίῳ τὸ λεγατευόμενον ἐφ᾽ ᾧ μὴ πραθῆναι.

m Τουτέστιν, εἰ καὶ τοῦ κληρονόμου ὑπεισελθόντος συνήφθη ἡ ἐκείνου οὐσία τῇ τοῦ τελευτήσαντος.

n Ἐστὶ καὶ τοῦτο στρατιωτικὸν προνόμιον, ἀρκεῖσθαι τὸν κληρονόμον εἰς ὅσον παρ᾽ ἐκείνου γραφῇ, καὶ μὴ ὁλόκληρον ζητεῖν τὸν φαλκίδιον.

o Δηλονότι τῷ κληρονόμῳ ἀπὸ τῆς τοῦ στρατιώτου οὐσίας.

p Τουτέστι τὸ καταλειφθὲν τῷ ληγαταρίῳ ἠγνόησε, πόσου ἦν ἄξιον, καὶ οὐχ ὑπεκράτησε τὸν φαλκίδιον. — Τυχὸν κωδίκελλος ἀγνοούμενος μετὰ ταῦτα ἐνεφανίσθη.

q Ληγάτοις γὰρ ἐοίκασι, καὶ οὐ δωρεαί εἰσι, καθὼς καὶ πᾶσα ἡ μετὰ θάνατον δωρεά. — Ἐπειδὴ αἱ τοιαῦται δωρεαὶ μόρτις καῦσα γίνονται καὶ τῇ τελευτῇ τοῦ δωρησαμένου βεβαιοῦνται, διὰ τοῦτο μειοῦνται τῷ φαλκιδίῳ. — Ἀνατόλιος. καὶ ἐπὶ τῶν δωρεῶν τῶν μεταξὺ ἀνδρὸς καὶ γυναικὸς γινομένων, ἐν ᾧ σβέννυνται[2], χώραν ἔχει ὁ φαλκίδιος.

---

[1] Leuncl. οα΄. [2] Lege μὴ σβ.

μους, καὶ ἀξιώσει τὸν πρῶτον ἄπαιδα τελευτῶντα τῷ ἑτέρῳ τὸ μέρος τὸ ἴδιον ἀποκαταστῆσαι, ἰσχύει ἡ βούλησις αὐτοῦ, παρακρατοῦντος ἐκείνου τὸ τρίτον μέρος αὐτοῦ ἐν τοῖς πράγμασιν αὐτοῖς, κερδαίνοντος δὲ καὶ ἔξωθεν εἴ τι ἂν δυνηθῇ ἀπὸ προσόδου τῶν πραγμάτων ἀποκερδάναι· τούτου αὐτοῦ κρατοῦντος καὶ ἐπὶ τοῦ νόμου τοῦ φαλκιδίου. βούλεται γὰρ ἡ διάταξις καὶ τὸν κληρονόμον παρα[κατα]σχεῖν ἐν αὐτοῖς τοῖς πράγμασι τὸν φαλκίδιον, κερδαίνοντα ἔξωθεν εἴ τι ἂν ἀπὸ τῶν καρπῶν τῶν πραγμάτων δυνηθῇ λαβεῖν[r].

19. Ἀνάγν. καὶ τί. δ', οὗτινος ἐν τῷ η' κεφ. φησίν[s]· Θεσπίζομεν, εἰ μὲν ἑνός ἐστι παιδὸς πατὴρ ἢ μήτηρ ἢ δυοῖν ἢ τριῶν ἢ τεσσάρων, μὴ τριούγκιον αὐτοῖς καταλιμπάνειν μόνον, ἀλλὰ τὴν τρίτην τῆς ἑαυτοῦ περιουσίας μερίδα τουτέστιν οὐγκίας δ', καὶ τοῦτο εἶναι τὸ διωρισμένον μέτρον ἄχρι τοῦ ῥηθέντος ἀριθμοῦ. εἰ δὲ ὑπὲρ τοὺς δ' ἔχει παῖδας, τὴν ἡμίσειαν τῆς πάσης περιουσίας αὐτοῖς καταλιμπάνεσθαι μοῖραν, ὥστε ἑξαούγκιον

---

r Σημείωσαι, ὡς οὐ μόνον τὸ τρίτον, ἢ ὡς ὁ φαλκίδιος ἐξ αὐτῶν ἀποκαταστῆναι μέρος πραγμάτων[1], παρακρατεῖ, ἀλλὰ καὶ χωρὶς τοῦ φαλκιδίου τοὺς καρπούς.

s Ἰστέον ὅτι [ἐπὶ] ἐξωτικοῦ κληρονόμου ὁ φαλκιδιούμενος υἱὸς σῶον τὸ γ' τῆς καθαρᾶς οὐσίας λαμβάνει. ἐπὶ δὲ υἱοῦ τὸν φαλκίδιον ἐπίσης λαμβάνουσιν ὅ τε κληρονομῶν καὶ ὁ φαλκιδιούμενος· τὴν γὰρ λοιπὴν οὐσίαν ὡς ἰδίαν φιλοτιμίαν ἡγεῖται, ἐπεὶ καὶ ἐξωτικῷ ἠδύνατο ὁ πατὴρ αὐτὴν καταλιπεῖν. τυχὸν ὡς ἐπὶ θέματος εἶχον τρεῖς υἱοὺς, πέτρον παῦλον καὶ ἰωάννην· δέδωκα τῷ πέτρῳ λίτρας ι', καὶ τῷ παύλῳ ϛ'. τελευτῶν δὲ κατέλιπον τὸν πέτρον κληρονόμον, γράψας δοθῆναι τῷ ἰωάννῃ λίτραν α'. ζητεῖ τὸν φαλκίδιον· συμψηφίζονται πάντα, καὶ αἱ ι' λίτραι καὶ αἱ ϛ' καὶ ἡ λοιπὴ περιουσία· ὑπόθου δὲ εἶναι αὐτὴν λιτρῶν η', ὡς ὁμοῦ συνάγεσθαι πάσας λίτρας κδ'. ὑπεξαιροῦνται αἱ ι' καὶ αἱ ϛ'· λαμβάνουσι ταύτας ἐν ἐξαιρέτῳ τὰς μὲν ι' ὁ πέτρος, τὰς δὲ ϛ' ὁ παῦλος· τὰς δὲ λοιπὰς η' λίτρας ἐπιμερίζονται οἱ τρεῖς ἤτοι τὸ γ' τῆς ὁλότητος τῶν κδ' λιτρῶν. ὁ γὰρ φαλκίδιος ἄχρι παίδων δ' τὸ γ' ἐστὶ τῆς καθαρᾶς οὐσίας· εἰ δὲ πλείονες τῶν δ' ὦσιν, τὸ ἥμισυ.

Ἐὰν ὁ πατὴρ ἔχῃ δύο παῖδας ἢ τρεῖς, τότε παρακατέχει ἑαυτῷ δύο μέρη, τὸ δὲ γ' ἐκπρὸς[2] τοὺς αὐτοῦ παῖδας. εἰ δὲ δ' ἔχει ἢ πλείονας, τότε τὸ ἥμισυ τῆς κληρονομίας παρακατέχει ἑαυτῷ, τὸ δὲ ἕτερον ἥμισυ πέμπει πρὸς τοὺς υἱούς. ἡ δὲ ιη' νεαρὰ τοῦ δεσπότου κυροῦ λέοντός φησιν, ἄχρι μὲν τῶν δ' παίδων ὀφείλειν τὸν πατέρα ὑπὲρ φαλκιδίου τὸ γ' αὐτοῖς καταλιμπάνειν· εἰ δὲ ε' ἢ πλείονες εἶεν, τὸ ἥμισυ τῆς περιουσίας αὐτοῦ. ζήτει καὶ βι. ϛ' τί. λ' διατ. κα'.

---

[1] Legendum videtur: ἢ ὅσον ὁ φ. ἐξ αὐτῶν τῶν ἀπ. μελλόντων πρ.
[2] Lege πέμπει πρός.

εἶναι πάντως τὸ ὀφειλόμενον· ἑκάστῳ κατ' ἴσον τὸ τετραούγκιον τυχὸν ἢ τὸ ἑξαούγκιον διαιρούμενον. καὶ τοῦτο οὐκ ἐν ἀδίκῳ περιστάσει πραγμάτων· εἰκὸς γὰρ κἀνταῦθα τοὺς ἄλλους ἀδικηθῆναι, τῶν μὲν κατὰ[1] καλλίονα, τῶν δὲ κατὰ χείρονα λαμβανόντων· ἀλλὰ τοῦτο δὴ τὸ ἐπιβάλλον ἑκάστῳ διὰ πάντων ἴσον εἶναι ἐν ποιότητι καὶ ποσότητι, εἴτε τὶς αὐτὸ κατὰ τρόπον ἐνστάσεως εἴτε κατὰ πρεσβείου καταλιμπάνει πρόφασιν. πάρεστι γὰρ αὐτῷ τὸ λοιπὸν ὀκταούγκιον τυχὸν ἢ ἑξαούγκιον ἔχειν, καὶ φιλοτιμεῖσθαι καθ' ὅσον ἂν βουληθείη, ἢ τοῖς παισὶν αὐτοῦ ἢ τοῖς ἔξωθεν, καὶ τῆς φύσεως πρότερον θεραπευθείσης τὰ εἰκότα οὕτως ἐπὶ τὰς ἔξωθεν φιλοτιμίας χωρεῖν.

Τοῦ νομίμου δὲ τούτου μέρους, ὅπερ νῦν ἀφωρίσαμεν, πάντως καὶ τὴν χρῆσιν καὶ τὴν ἐπικαρπίαν πρὸς τῇ δεσποτείᾳ καταλιμπανέτω[t], εἰ βούλεται παίδων οὐκ εὐθὺς λιμῷ τελευτώντων ἀλλὰ καὶ ζῆν δυναμένων καλεῖσθαι πατήρ. καὶ ταῦτα πάντα φαμὲν, οὐκ ἐπὶ πατρὸς μόνου, ἀλλὰ καὶ ἐπὶ μητρὸς καὶ πάππου καὶ προπάππου, καὶ τῶν παρεζευγμένων ἑκάστῳ θηλέων προσώπων, μάμμης φαμὲν καὶ προμάμμης, εἴτε καὶ πρὸς πατρὸς εἴτε καὶ πρὸς μητρὸς εἶεν· οὐδὲ ἐκείνου φυλαττομένου τὸ λοιπὸν ἐπὶ τοῖς ἐκγόνοις καὶ προεκγόνοις τοῖς οὐχὶ γνησίοις καὶ ὑπεξουσίοις, ὥστε παρὰ τὸ τρίτον ἔχειν αὐτοὺς τῆς μοίρας, ἣν τοῖς αὐτῶν γονεῦσι περιοῦσιν ἔδει καταλιπεῖν τοὺς διατιθεμένους[u]. οὐ γὰρ ἐξαιροῦμεν ἔτι τοὺς ἐκγόνους τοὺς ἀπὸ παιδὸς τοῖς πρὸς πατρὸς πάπποις γενομένοις, ὥστε ἐκείνους μὲν τέλειον λαμβάνειν τὸ μέρος, ὅσον ἂν ὁ αὐτῶν πατὴρ ἐλάμβανε περιὼν, τοὺς δὲ ἐκγόνους τοὺς ἀπὸ τοῦ πάππου διὰ μέσης θυγατρὸς γενομένους ἢ τοὺς ἀπὸ τῆς μάμμης πρὸς πατρὸς ἢ μητρὸς παρὰ τὸ τρίτον λαμβάνειν· ἀλλὰ μίαν τάξιν ἐφ' ἅπασι τίθεμεν ἐκγόνοις καὶ προεκγόνοις, οὐκ ἀνεχόμενοι τὸ θῆλυ τοῦ ἄῤῥενος ἐν τοῖς τοιούτοις ἐλαττοῦν. οὐδὲ γὰρ τὸ ἄῤῥεν αὐτὸ καθ' ἑαυτὸ, οὐδὲ τὸ θῆλυ μόνον πρὸς τεκνογονίαν αὔταρκες, ἀλλ' ὥσπερ ἑκά-

---

[t] Χρεωστεῖται γὰρ ἀκαινοτομήτως τοῖς παισὶν ἀσφαλῶς μετά γε τῆς δεσποτείας καὶ ἡ χρῆσις.

[u] Σημείωσαι, ὅτι τὸ παλαιὸν οἱ ἐκ θηλειῶν ἔγγονοι οὐκ ἐλάμβανον φαλκίδιον ὡς μὴ ὑπεξούσιοι, καὶ ὅτι ἐξ ἴσου δίδωσιν ὁ νόμος φαλκίδιον τοῖς ἐγγόνοις καὶ τοῖς ἀπὸ θηλειῶν καὶ τοῖς ἐξ ἀῤῥένων.

---

[1] Leuncl. hic et mox τὰ pro κατά.

τερον συνήρμοσεν ὁ Θεὸς πρὸς τὴν τῆς γενεσιουργίας χρείαν, οὕτω καὶ ἡμεῖς τὴν αὐτὴν ἑκατέρῳ φυλάττομεν ἰσότητα. ἀλλ' οὐδὲ μέχρι τούτου στήσομεν τὸν νόμον. ταῦτα γάρ φαμεν καὶ ἐπ' ἐκείνων τῶν παίδων, οἵπερ ἐκ γάμων εἰσὶ γνησίων, εἰ καὶ μὴ προῖκες τοῖς γάμοις ἀκολουθήσαιεν, ἀλλὰ διάθεσις ὡμολογημένη καὶ σαφὴς μεταξὺ τῶν συνοικούντων οὖσα τοῖς παισὶ διδοίη τὸ γνήσιον. προῖκα μὲν γὰρ ἀποτελεῖ γάμος, γάμον δὲ προῖκες οὐ ποιοῦσιν, ἀλλὰ τῶν συνοικούντων ἀμοιβαία διάθεσις. ταῦτα δὲ κρατείτω καὶ ἐπὶ τῶν ἐκ μεταγενεστέρας διαθέσεως μετὰ προικῴων κατὰ τὰς ἡμετέρας διατάξεις γενομένων γνησίων[v].

20. Ζήτει τοῦ αὐτοῦ δ' τί. κεφ. ιζ', ἐν ᾧ φησι· Δύνασθαι τὸν παῖδα τὴν κατὰ τῆς διαθήκης τοῦ πατρὸς ἢ τῆς δωρεᾶς μέμψιν κινεῖν, εἰ μὴ τὸ καταλελειμμένον αὐτῷ διὰ πάντων ἀρκεῖ αὐτῷ πρὸς τὸ γ', ἢ ἐπέγνω τὴν τοῦ πατρὸς βούλησιν, ἢ ε' ἔτη παρέδραμε, καὶ μείζων ἐστὶ τῶν κε' ἐνιαυτῶν.

21. Καὶ ὅτι χώρα τῇ μέμψει καὶ κατὰ τῶν μητρῴων δωρεῶν, εἰ μὴ ἡ θυγάτηρ ἔλαβε τὸ ἀναλογοῦν εἰς τὸ τρίτον.

22. Ἀνάγν. καὶ τί. ε'[1], οὕτινος ἐν τῷ α' κεφ. φησί· Θεσπίζομεν, ὥστε εἴ τις δωρεὰν ἄμετρον εἴς τινα ἢ τινας τῶν παίδων ποιήσαιτο, ἀνάγκην ἔχειν ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν πρὶν τὴν δωρεὰν ὁ πατὴρ εἰς τὸν παῖδα ἢ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο. οὕτω γὰρ οὐδὲ ἐπὶ ταῖς δωρεαῖς ἐγκαλέσουσιν, ἔχοντες μὲν ἐπὶ πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν νόμων, κατὰ τοσοῦτον δὲ αὐξανομένου τούτου τοῦ μέτρου, καθ' ὅσον καὶ τὰ πράγματα εἶχε τοῦ πατρὸς πρὶν ταῖς δωρεαῖς ἐξαντληθῇ. οὐ δυναμένων τῶν ταῖς δωρεαῖς τετιμημένων παίδων φάσκειν, ἀρκεῖσθαι μὲν ταῖς ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου, [ἀλλ'] οὐκ ἀναγκαζομένων μὲν, εἰ ἀρκοῦνται ταῖς δωρεαῖς, καταδέχεσθαι τὸν κλῆρον, ἀνάγκην δὲ ἐχόντων πᾶσι

---

[v] Οἷον, ἐὰν πρότερον εἶχεν αὐτὴν παλλακὴν, εἶτα δὲ σεμνὴν[2] γαμικὴν ἐπ' αὐτῇ ἐκτήσατο μὴ ἰλλούστριος ὤν, γαμετὴ γίνεται, καὶ οἱ ἐξ αὐτῆς παῖδες γνήσιοι· ὡς ἐπὶ τῶν ἰλλουστρίων εἰσὶν, εἰ πρὸς αὐτὴν προικῷα μετὰ ταῦτα γένηται. κυροῦται γὰρ ὁ ἔννομος μετὰ ταῦτα γάμος ἐπὶ μὲν τῶν ἀξιωματικῶν ἀπὸ τῆς ὡς πρὸς γαμετὴν διαθέσεως, ἐπὶ δὲ τῶν ἰλλουστρίων ἀπὸ τῆς τῶν προικῴων γραφῆς.

---

[1] Lips. ιε'. [2] Lege διάθεσιν.

τρόποις ἐπανισοῦν τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον καθ᾽ ὅσον εἰρήκαμεν μέτρον, ὥστε μὴ ἔλαττον αὐτοὺς ἔχειν τὸ ἐκ τῶν νόμων αὐτοῖς ὀφειλόμενον διὰ τὴν γενομένην ἐπὶ ταῖς δωρεαῖς ἀμετρίαν. ταῦτα μέντοι φαμὲν περὶ παίδων κεχαρισμένων ὄντων αὐτοῖς, οὐ μὴν περὶ τῶν ἀγνωμόνων καὶ οἷς ὁ πατὴρ δικαίαν τε καὶ νόμιμον ἀχαριστίαν ἐπάγει. εἰ γὰρ τοῦτο οὕτως ἔχον φανείη καὶ ἀποδειχθείησαν αἱ τῆς ἀχαριστίας αἰτίαι, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τοῖς ἀχαρίστοις κειμένων κύρια μηδὲν ἐκ τῆσδε ἡμῶν τῆς νομοθεσίας ἐλαττούμενα.

23. Ἐν δὲ τῷ δ′ κεφ. Εἴ ποτέ τις διάθηται καί τι πρᾶγμα ἀκίνητον τῇ ἰδίᾳ φαμιλίᾳ ἢ ἑτέρῳ τινὶ προσώπῳ ὀνόματι λεγάτου καταλείψει καὶ ἰδικῶς εἴπῃ, μηδενὶ χρόνῳ τὸ αὐτὸ πρᾶγμα ἐκποιεῖσθαι, ἀλλὰ παρὰ τοῖς κληρονόμοις ἢ διαδόχοις ἐκείνου ᾧτινι κατελείφθη διαμένειν, ἐπὶ τούτου τοῦ λεγάτου κελεύομεν τὸν φαλκίδιον νόμον χώραν παντελῶς μὴ ἔχειν, ἐπειδὴ τὴν ἐκποίησιν τούτου αὐτὸς ἐκώλυσεν ὁ διαθέμενος.

24. Ἀνάγν. [καὶ] βι. λε′ τί. ια′ κεφ. δ′ καὶ κϛ′ [1] καὶ ξβ′ θέμ. β′ καὶ οα′ [2] καὶ βι. λθ′ τί. α′ κεφ. μϛ′, ἐν ᾧ φησι· Τῷ εἰς τετραούγκιον γραφέντι ἀνήβῳ παιδὶ κληρονόμῳ δύναται κατὰ ἀνηβότητα ὑποκατάστατον παρέχειν ὁ πατὴρ, καὶ οὐ δοκεῖ τοῦτο μείωσις εἶναι.

25. Ἀνάγν. [καὶ] βι. μζ′ τί. γ′ κεφ. λθ′, ἐν ᾧ φησιν· Ἐὰν τελευτῶν χωρὶς αἱρέσεως δωρήσωμαί σοι, οὐ καλῶς οἱ κληρονόμοι μου παρακρατῆσαι φαλκίδιον ἐπιζητοῦσιν. ὁ γὰρ φαλκίδιος οὐκ ἐπὶ τῶν ἁπλῶν δωρεῶν, ἀλλ᾽ ἐπὶ τῶν θανάτου αἰτίᾳ χώραν ἔχει [w].

II.

Περὶ φαρμακῶν καὶ τῶν διδόντων ἢ πωλούντων φάρμακον.

1. Ἀνάγν. βι. ξ′ τί. λθ′ κεφ. δ′ [3], ἐν ᾧ φησι· Τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται καὶ ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον φάρμακον ποιῶν ἢ πιπράσκων ἢ ἔχων.

---

[w] Ἀνάγν. καὶ νεαρὰν α′ κεφ. β′ καὶ νεαρὰν ιη′, ἐν ᾗ φησι, μὴ μόνον τετραούγκιον εἶναι τὸν φαλκίδιον, ἀλλὰ καὶ τοῦ ἔχειν πρὸς τῇ δεσποτείᾳ καὶ τὴν χρῆσιν καὶ ἐπικαρπίαν τοὺς κληρονόμους τοῦ μέρους τούτου. καὶ νεαρὰν ϙβ′, ἐν ᾗ φησι καὶ περὶ τῶν εἰς τοὺς παῖδας ἀμέτρων δωρεῶν.

---

[1] Leuncl. μϛ′. [2] Idem οβ′. [3] Idem γ′.

Εἰσὶ δὲ φάρμακα ὑγείαν ἐμποιοῦντα καὶ τὰ λεγόμενα φίλτρα. οἱ δὲ τὰ φίλτρα ποιοῦντες δημευόμενοι ἐξοριζέσθωσαν. εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ δώσει γυναικὶ συλληπτικόν, καὶ ἀποθάνῃ ἡ λαβοῦσα, ἐξορίζεται.

Εἴ τις ἐλεύθερος ἢ δοῦλος ἐπὶ οἱᾳδήποτε προφάσει δώσει ποτόν, εἴτε ἀνὴρ γυναικὶ εἴτε γυνὴ ἀνδρὶ εἴτε δούλη δεσποίνῃ εἴτε δοῦλος δεσπότῃ, καὶ διὰ τῆς τοιαύτης προφάσεως ἀσθενείᾳ περιπέσοι ὁ τὸν ποτὸν ἐκπιών, καὶ συμβῇ αὐτὸν ἐκ τούτου καταῤῥεῦσαι καὶ ἀποθανεῖν, ξίφει τιμωρείσθω.

Κατέχεται τῷ περὶ ἀνδροφόνων νόμῳ καὶ ὁ πριμεντάριος[a] προπετῶς διδούς τινι κώνειον[1] ἢ σαλαμάνδραν ἢ ἀκόνιτον ἢ πιτυοκάμπτην ἢ βούβωστριν ἢ μανδραγόραν ἢ κανθαρίδας.

2. Καὶ τί. να' κεφ. λδ'[2] θέμ. ς', ἐν ᾧ φησιν· Ὁ δεδωκὼς πόμα πρὸς φίλτρον ἢ ἀμβλωθρίδιον, κἂν χωρὶς δόλου, εὐτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ ἐξορίζεται μετὰ μερικῆς δημεύσεως. εἰ δὲ ἀποθάνῃ ὁ πιών, ἐσχάτως τιμωρεῖται.

III.

Περὶ φθορέων παρθένων καὶ περὶ συντέκνων.

1. Ἀνάγν. βι. ξ' τί. λζ', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὁ γυναῖκα σεμνὴν καὶ εὐγενῆ παλλακευόμενος[a], καὶ μὴ ποιῶν ἐν ἐκμαρτυρίῳ τοῦτο κατάδηλον, ἢ γαμετὴν αὐτὴν ἔχει, ἢ τοῦτο παραιτούμενος ἀσέλγειαν πρὸς αὐτὴν πλημμελεῖ.

Οὐ μὴν καὶ μοιχείαν, δηλονότι ἐν ᾧ πόρον ἐκ τοῦ ἰδίου σώματος οὐκ ἐποίησεν.

2. Ἐν δὲ τῷ κθ' κεφ. Ὅτι οὐ περικλείεται τῇ πενταετίᾳ ἡ κατὰ βίαν γενομένη φθορὰ ἀνδρὶ ἢ γυναικί. ἀπροσδιορίστως γὰρ κινεῖται, ἐπειδὴ καὶ δημοσίᾳ βίᾳ πλημμελεῖται.

3. Ἐν δὲ τῷ ξη' κεφ. Γυνὴ μὴ ἔχουσα ἄνδρα τῷ ἰδίῳ δούλῳ μιγεῖσα, εἰ μὲν [μὴ] ἔχουσα παῖδας τοῦτο διαπράξεται, τυπτέσθω καὶ κουρευέσθω, καὶ ὁ τοιοῦτος δοῦλος τυπτόμενος καὶ

---

[a] Ὁ μυρεψός.

[a] Ὁ παλλακισμὸς νόμιμός ἐστι, κἀκείνας ἔχειν δυνάμεθα παλλακὰς ἄνευ ἐγκλήματος, πρὸς ἃς οὐ πλημμελεῖται ἀθέμιτον, οἷον τὴν τοῦ ἰδίου πατρὸς ἢ πάππου παλλακὴν ἢ τὴν θυγατέρα τῆς ἰδίας ἀδελφῆς. παλλακεύονται δὲ ἀπελεύθεραι καὶ εὐγενεῖς ἄσημοι, οὐ μὴν εὐγενεῖς καὶ σεμναί.

---

[1] Leuncl. κόνιον. [2] Lips. λθ'.

κουρευόμενος πιπρασκέσθω καὶ ἡ τιμὴ αὐτοῦ εἰσκομιζέσθω. εἰ δὲ ἐπὶ παισὶ τοῦτο διαπραχθείη, καὶ ἡ ὑπόστασις αὐτῆς πᾶσα κατὰ δεσποτείας τρόπον παραυτίκα τοῖς παισὶν ἀνεκποιήτως παραφυλαττέσθω, τῆς χρήσεως μόνης παρ᾽ αὐτῇ μενούσης· ἡ τιμὴ δὲ τοῦ διαπραθέντος δούλου τοῖς παισὶν ἀνήκει.

4. Ἐν δὲ τῷ οα′ κεφ. Οἱ ταῖς μοναζούσαις ἢ ταῖς διακονίσσαις ἢ ταῖς ἀσκητρίαις ἐνασελγαίνοντες, ὡς εἰς τὴν νύμφην χριστοῦ ἐκκλησίαν ἐνυβρίζοντες ῥινοκοπείσθωσαν αὐτοί τε καὶ αἷς οὗτοι συνεφθάρησαν.

5. Ἐν δὲ τῷ οβ′ κεφ. Ὁ τῇ ἰδίᾳ συντέκνῳ ἢ ὀνόματι γάμου μιγνύμενος ἢ καὶ ἄλλως λαθραίως συμπλεκόμενος ἅμα αὐτῇ ῥινοκοπείσθω· δηλονότι πρότερον αὐτῶν ἀπ᾽ ἀλλήλων διϊσταμένων. εἰ μέντοι εἰς ὕπανδρον σύντεκνον τοῦτο διαπράττοιτο, ἡ μὲν ποινὴ ὡσαύτως προβαινέτω, πρὸς τούτοις δὲ καὶ τυπτέσθωσαν.

6. Ἐν δὲ τῷ ογ′ κεφ. Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης, εἰ μὲν θέλει αὐτὴν λαβεῖν εἰς γυναῖκα καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω τὸ συνάλλαγμα. εἰ δὲ ἓν μέρος τῶν γονέων, τουτέστιν ἑκατέρου προσώπου, οὐ θελήσει, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεὺς, τῇ φθαρείσῃ κόρῃ διδότω χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς αὐτοῦ ὑποστάσεως. εἰ δὲ παντελῶς εἴη ἀνεύπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

7. Ἐν δὲ τῷ οδ′ κεφ. Ὁ βιαζόμενος κόρην καὶ φθείρων αὐτὴν ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ.

8. Ἐν δὲ τῷ οε′ κεφ. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ἤγουν πρὸ τοῦ τρὶς καὶ δεκαετοῦς χρόνου ῥινοκοπείσθω, καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ κόρῃ.

9. Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ μὲν προαιρέσει τῆς κόρης, ῥινοκοπείσθω· εἰ δὲ ἀπροαιρέτως, μετὰ ταύτην τὴν ποινὴν καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω αὐτῇ.

10. Ἐν δὲ τῷ ος′ κεφ. Ὁ ἔχων γυναῖκα καὶ πορνεύων διὰ ιβ′ ἀλλακτῶν σωφρονιζέσθω. καὶ ὁ μὴ ἔχων δὲ καὶ τῇ αὐτῇ περιπίπτων ἁμαρτίᾳ, διὰ ἓξ ἀλλακτῶν σωφρονιζέσθω. ὁ μέντοι γυναῖκα ἔχων καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος αὐτὸς μὲν τυπτόμενος σωφρονιζέσθω, ἡ δὲ δούλη ὑπὲρ ἐπαρχίαν πιπρα-

σκέσθω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης[b].

11. Ἀνάγν. καὶ τί. να' κεφ. λδ' θέμ. δ', ἐν ᾧ φησιν· Ὁ τὴν ἄνηβον φθείρων εὐτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ εἰς νῆσον πέμπεται ἢ ἐξορίζεται.

12. Ἀνάγν. καὶ τί. νζ' κεφ. α', ὃ εἴρηται εἰς τὸ περὶ ἐπιτρόπων. ἀνάγνωθι καὶ βι. δ' τί. α' κεφ. ις'.

IV.

Περὶ φλυαριῶν χαρτῶν, τουτέστι τῶν ῥιπτομένων πιττακίων καὶ ἐχόντων κατηγορίας κατά τινων.

1. Ἀνάγν. βι. ξ' τί. ξγ' κεφ. α', ἐν ᾧ φησι· Πᾶς ὁ εὑρίσκων φλυαρίαν ἐσφραγισμένην ἢ ἀσφράγιστον, καὶ μὴ παραχρῆμα καίων ἀλλ᾽ ἀναγινώσκων, ὑποκείσθω τῇ τιμωρίᾳ ἥτινι ὑπέκειτο καὶ ὁ συντεθεικὼς τὴν φλυαρίαν.

Ὁ εὑρὼν φλυαρίαν μηδενὶ ἑτέρῳ λεγέτω τὴν δύναμιν αὐτῆς, ἀλλὰ διαῤῥήξει αὐτὴν ἢ καύσει. ὁ δὲ μὴ ταῦτα ποιήσας κεφαλικῇ τιμωρίᾳ ὑποβληθήσεται. πᾶς γὰρ θαῤῥῶν ἅπερ ἐντάττει ἐν τῇ φλυαρίᾳ κατηγορείτω, γινώσκων ὅτι ἐὰν ἀποδείξῃ τιμῆς ἀξιοῦται, μὴ ἀποδείξας δὲ τιμωρεῖται. ὁ δὲ τοιοῦτος χάρτης τὴν καθ᾽ οὗ ἐτέθη ὑπόληψιν μὴ βλάψῃ.

V.

Περὶ φόβου, ὅτι τὸ κατὰ φόβον γινόμενον οὐκ ἔῤῥωται.

1. Ἀνάγν. βι. ι' τί. β', οὗτινος ἐν τῷ ε' κεφ. φησίν· Ὅτι φόβον οὐ τὸν τυχόντα δεχόμεθα, ἀλλὰ τὸν ἀπὸ μεγάλης κακοθελείας.

2. Καὶ τὸν δυνάμενον ἄνδρα τίμιον, οὐ μὴν μάταιον καταπτοῆσαι.

3. Ἐν δὲ τῷ ιγ' κεφ. Ἡ διὰ φόβον αἰτίασις μετ᾽ ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν δίδοται, ὅτε μὴ ὕπεστιν ἑτέρα ἀγωγή. ὅθεν ὁ κληρονόμος τοῦ βιασθέντος εἴσω μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν ἔχει τὴν διὰ φόβον αἰτίασιν, μετὰ δὲ τὸν ἐνιαυτὸν οὔτε εἰς τὸ ἁπλοῦν· ἔχει γὰρ τὴν περὶ τῆς κληρονομίας νομῆς ἀγωγὴν κατὰ τοῦ βιασαμένου· βιαίαν γὰρ νομὴν οὗτος νέμεται. ὡς ἔχουσα δὲ ἡ διὰ φόβον αἰτίασις πραγματικὸν παντοῖον ἐκβιβασμὸν δίδοται διαδόχοις.

4. Ἐν δὲ τῷ ις' κεφ. Ἡ διὰ φόβον αἰτίασις δίδοται διαδό-

---

[b] Περὶ δούλης ἀνάγνωθι τὸ περὶ ὕβρεως, καὶ τὸ περὶ κλοπῆς.

χοις, ὡς ἔχουσα πραγματικὸν παντοῖον ἐκβιβασμόν. κληρονόμοι δὲ εἰς τὸ περιελθὸν ἐνέχονται. τὸ γὰρ αἰσχρῶς κτηθὲν οὐκ ὀφείλει κέρδος εἶναι τοῦ κληρονόμου.

5. Εἰ δὲ καὶ δαπανήσει τὸ περιελθὸν εἰς αὐτὸν ὁ κληρονόμος, οὐδὲν ἧττον καὶ αὐτὸς καὶ οἱ κληρονόμοι αὐτοῦ, κἂν μηδὲν εἰς αὐτοὺς περιῆλθε, διηνεκῶς ἐνάγονται.

6. Ἐν δὲ τῷ κθ΄ κεφ. Ἐὰν πράσεως ἢ ἐπερωτήσεως [ἢ] οἱουδήποτε συναλλάγματος ἢ ἐνοχῆς ᾖ τελεσθὲν τὸ συμβόλαιον ἤτοι τὸ δικαίωμα φόβῳ θανάτου ἢ βασάνων τοῦ σώματος ἐκβιασθὲν ἢ τῷ κεφαλικὰς ἀπειλὰς ἀπειληθῆναι[a], προσελθὼν τῷ ἄρχοντι τῆς ἐπαρχίας ἀποδεῖξαι δυνηθείης τοῦτο, βέβαιον ἔχεσθαι κατὰ τὸν τοῦ νομικοῦ διατάγματος τύπον οὐκ ἀναγκάζεται.

7. Ἀνάγν. καὶ βι. ια΄ τί. β΄ κεφ. ϛα΄, ἐν ᾧ φησι· Τὰς παρεντεθείσας φόβου ἕνεκεν διαλύσεις βεβαίας μὴ εἶναι τῷ διηνεκεῖ δόγματι περιέχεται. οὐχ ὁμοίως δὲ οἱοσδήποτε φόβος εἰς ἀνάσχισιν ἐκείνων τῶν κατὰ συναίνεσιν περαιωθέντων ἀρκεῖ, ἀλλὰ τοιοῦτον φόβον ἀποδείκνυσθαι χρή, ὅστις τὸν ἐπὶ σωτηρίᾳ κίνδυνον ἢ τὰς τοῦ σώματος τιμωρίας περιέχει.

8. Ἀνάγν. βι. μγ΄ τί. ε΄ κεφ. θ΄, ἐν ᾧ φησιν· Ἐάν τις διὰ θάνατον ἢ σώματος αἰκισμὸν δεδοικὼς ὡμολόγησέ τι, ἐναγόμενος ἔχει παραγραφήν. εἰ δὲ δι᾽ εὔλογον οὐ μὴν αἰσχρὰν αἰτίαν ὡμολόγησε, κρατεῖται. εἰ δὲ διὰ τὸ μὴ κατηγορηθῆναι ἐγκληματικῶς, οὐκ ἔῤῥωται.

9. Προείρηται περὶ φόβου καὶ ἐν τῷ περὶ ἀποκαταστάσεως.

VI.

Περὶ φόνων τῶν ἐξ οἱασοῦν προφάσεως γενομένων ἑκουσίων τε καὶ ἀκουσίων, καὶ περὶ τῶν βασανιζομένων ἐν τῇ περὶ τούτων ἐξετάσει, καὶ τίνες τῶν φονέων τιμωροῦνται καὶ τίνες συγγινώσκονται.

1. Ἀνάγν. βι. λε΄ τί. ις΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησίν· Ὅτι παιδὸς τοῦ αἰχμαλώτου ἀναιρεθέντος οἱ δοῦλοι [βασανίζονται].

---

[a] Σημ. ὅτι τὸ ἀπειλῆσαί μοί τινα κεφαλικὴν τιμωρίαν εἰς φόβον παραλαμβάνεται καὶ τίκτει τὴν μέτους καῦσα κατὰ τοῦ ἀπειλοῦντος. δοκεῖ δὲ ἐναντιοῦσθαι τῇ διατάξει ταύτῃ ἡ ι΄ τοῦ παρόντος τί. τοῦ ϙβ΄[1] κώδ. διάτ. λέγουσα προφανῶς, ὅτι φοβηθεὶς τὴν κατ᾽ αὐτοῦ γενομένην κατηγορίαν ἢ τὴν μέλλουσαν γίνεσθαι, καὶ διὰ τοῦτο πωλήσας πρᾶγμα ἢ ἐπερωτηθεὶς,

[1] Adde βι. τοῦ.

Καὶ ὅτι τοῦ πατρὸς ἀναιρουμένου οἱ ἐν τῷ ἰδιοκτήτῳ πεκουλίῳ τοῦ υἱοῦ δοῦλοι βασανίζονται, εἰ καὶ αὐτεξούσιός ἐστιν ὁ υἱός.

Καὶ ὅτι ἀνδρὸς ἢ γυναικὸς ἀναιρουμένου οἱ ἑκατέρων δοῦλοι καὶ οἱ τοῦ πενθεροῦ τιμωροῦνται.

Καὶ ὅτι ἐσφαγμένος ἐστὶν ὁ κατὰ βίαν ἢ σφαγὴν ἀναιρούμενος ἢ πνιγόμενος ἢ κατακρημνιζόμενος ἢ ῥοπάλοις τυπτηθεὶς ἢ λίθοις ἢ ἄλλῳ τινὶ ἀκοντίῳ. εἰ δὲ φαρμάκῳ ἢ ἄλλῳ[1] *τινὶ δυναμένῳ λάθρα φονεῦσαι ἀνῃρέθη, οὐ βασανίζονται οἱ δοῦλοι, εἰ μὴ βεβαίως*[2] *ἔλαβε τὸ φάρμακον. οἱ δεδωκότες γὰρ ἢ συνειδότες τῷ γινομένῳ κολάζονται.*

Ἐπὶ τοῦ ἀναιρεθέντος φαρμάκῳ καὶ ἡ διαθήκη πρὸ ἐξετάσεως ἀνοίγεται, καὶ ἡ κληρονομία κληρονομεῖται.

Καὶ ὅτι οἱ ὑπὸ τὴν αὐτὴν στέγην[a] *πάντως κολάζονται. ὑπὸ δὲ τὴν αὐτὴν στέγην νοοῦμεν τοὺς δυναμένους ἀκοῦσαι τῆς φωνῆς τοῦ φονευθέντος*[3]. *καὶ ἡ δούλη δὲ κἂν μὴ δύνηται σώματι βοηθεῖν, ἀλλ᾽ οὖν ὀφείλει κράζειν, ἵνα οἱ λοιποὶ ἀκούσωσιν ἢ οἱ γείτονες. τοῦτο δὲ μὴ ποιήσασα ἐσχάτως τιμωρεῖται, κἂν φόβῳ τοῦ ἀποθανεῖν οὐκ ἔκραξε. δεῖ γὰρ τοὺς οἰκέτας προκρίνειν τῆς οἰκείας σωτηρίας τὴν τῶν δεσποτῶν*[b].

2. *Ἐν δὲ τῷ γ΄ κεφ.* *Ὁ διὰ βαρεῖαν νόσον μὴ βοηθήσας συγγινώσκεται.*

Ἐὰν τελευτῶν ὁ δεσπότης εἴπῃ παρὰ τοῦ δούλου ὑπαρ-

οὐκ ἔχει τὴν μέτους καῦσα. ἀλλὰ δυνατὸν εἰπεῖν, ὅτι ἐκείνη τῆς οἱασδήποτε κατηγορίας ἐμνημόνευσεν, οὐχὶ κεφαλικῆς, αὕτη δὲ κεφαλικῆς ἀπειλῆς μνείαν ποιεῖται.

a *Τουτέστι, ὁ ἐν τῇ οἰκίᾳ ὤν.*

b *Δούλη μὴ ἐκβοήσασα σφαζομένης τῆς δεσποίνης τιμωρεῖται, κἂν ὁ σφαγεὺς ἠπείλει αὐτῇ θάνατον, εἰ κράξει. προτιμάτω γὰρ τὴν σωτηρίαν τῆς δεσποίνης τῆς ἰδίας. τὸ δὲ ὑπὸ τὴν αὐτὴν στέγην ἴδωμεν πῶς ὀφείλει νοεῖσθαι, πότερον εἰ ὑπὸ τοὺς αὐτοὺς τοίχους ἦν ἢ καὶ περαιτέρω, ἢ ὑπὸ τὴν αὐτὴν δίαιταν ἦσαν, ἢ ἐν τῷ αὐτῷ οἴκῳ, ἢ ἐν τοῖς αὐτοῖς κήποις. καὶ λέγει ὁ σέρβιος, ὅτι πολλάκις οὕτως ἐκρίθη, ἵνα οἱ ἐν ἐκείνῳ τῷ τόπῳ ὄντες, ἐν ᾧ τὴν φωνὴν τοῦ δεσπότου ἠδύναντο ἀκοῦσαι, οὗτοι κολάζονται ὡσανεὶ ὑπὸ τὴν αὐτὴν στέγην ἦσαν. εἰ καὶ τὰ μάλιστα οὐ πάντες μίαν ἔχομεν φωνήν, ἀλλ᾽ οἱ μὲν ἐῤῥωμενεστέραν, οἱ δὲ ἀσθενεστέραν, καὶ οὐ πάντες πανταχόθεν ἀκούεσθαι δυνάμεθα.*

---

[1] Leuncl. *ἑτέρῳ.* [2] Idem conj. *βιαίως.* [3] Leuncl. addit: *ὁ μὴ δυνάμενος ἀκοῦσαι τῆς φωνῆς τοῦ ἀναιρεθέντος οὐ τιμωρεῖται, εἰ μὴ συνίστωρ ἐστί.*

χθῆναι αὐτῷ τὴν αἰτίαν τοῦ φόνου, οὐ πιστεύεται, εἰ μὴ ἑτέρωθεν[1] *δείκνυται.*

Ἐὰν ἑκὼν ὁ δοῦλος κατηγορήσῃ καὶ διελέγξῃ τὴν ἀναίρεσιν τοῦ δεσπότου, ἀναρπάζεται εἰς ἐλευθερίαν, κἂν ἐκεκώλυτο ἐλευθερωθῆναι[c].

Οὐ μὴν ἐὰν βασανιζόμενος ἐλέγξῃ τοὺς αἰτίους.

Καὶ οἱ ἐλευθερωθέντες ἐν τῇ διαθήκῃ τοῦ ἀναιρεθέντος ὁμοίως τοῖς ἄλλοις οἰκέταις κολάζονται.

3. Ἐν δὲ τῷ ϛʹ κεφ. *Εἰ δὲ καὶ δῆλός ἐστιν ὁ πλήξας, γίνεται ἡ ἐξέτασις, ἵνα εὑρεθῇ ὁ ἐντειλάμενος. καὶ τιμωροῦνται μὲν πάντες, ὁ δὲ πλήξας πικρότερον.*

4. Ἐν δὲ τῷ ιβʹ κεφ. *Καὶ ὁ λεγατευθεὶς ὑπὸ ἀναιρεθέντος ἐλευθεροῦται διελέγχων τὸν φόνον αὐτοῦ.*

5. Ἐν δὲ τῷ ιδʹ κεφ. *Ἐὰν πλησιάζων τῇ ἥβῃ ὁ ἄνηβος παρακαθεύδων τῷ ἀναιρεθέντι δεσπότῃ μὴ δημοσιεύσῃ τὸ γεγονὸς, τιμωρεῖται*[d]. *τοῖς γὰρ ὑπὸ τὴν αὐτὴν στέγην ἀνήβοις συγχωρεῖ, οὐ μὴν τοῖς ὑπηρέταις ἢ μετόχοις, οἳ δύνανται νοεῖν τὸ πραττόμενον. οἱ γὰρ τοιοῦτοι οὐδὲ ἐφʼ ἑτέρᾳ αἰτίᾳ βοηθοῦνται.*

6. Ἐν δὲ τῷ ιϛʹ κεφ. *Ὁ ἐπίκοινος δοῦλος μηνύων τὴν ὑπὸ τῆς φαμιλίας τοῦ ἑνὸς τῶν δεσποτῶν ἀναίρεσιν ἐλευθεροῦται, τοῦ μέρους τοῦ τιμήματος τῷ ἑτέρῳ διδομένου.*

7. Ἐν δὲ τῷ ιηʹ κεφ. *Δεῖ τῷ δεσπότῃ βοηθεῖν χειρὶ καὶ ὅπλοις καὶ κραυγῇ, καὶ ὑποβάλλειν τὸ ἴδιον σῶμα. ταῦτα δὲ δυνάμενοι ποιῆσαι καὶ μὴ ποιήσαντες κολάζονται.*

8. Ἐν δὲ τῷ κεʹ[2] κεφ. *Ὁ ἀναζητῶν τοὺς πρὸ τῆς ἐξετάσεως ἀποφεύγοντας δούλους καὶ μηνύων αὐτοὺς εἰς ἕνα ἕκαστον δοῦλον ἀνελόντα εʹ νομίσματα λαμβάνει ἐκ τῆς οὐσίας τοῦ τελευτήσαντος, ἢ ἐὰν ἄπορός ἐστιν ἐκ τοῦ δημοσίου.*

---

[c] *Τυχὸν ἐφʼ ὅρῳ πεπραμένος ἦν τοῦ μὴ ἐλευθερωθῆναι· ἐπειδὴ κοινῇ συμφέρον ἐστὶ τὸ διελέγχεσθαι τὴν ἀναίρεσιν τῶν δεσποτῶν, ἐλευθεροῦται καὶ οὗτος.*

[d] *Εἰ γὰρ καὶ ὡμολόγηται ὁ ἄνηβος μὴ δύνασθαι βοηθῆσαι, ὅμως καὶ τὸ σιωπῆσαι τὴν ἀναίρεσιν ὑπέβαλεν αὐτὸν τῇ τιμωρίᾳ. πιστεύομεν γὰρ ὡς μόνοις ἐκείνοις τοῖς ἀνήβοις ἡ σύγκλητος συνεχώρησε τοῖς ὑπὸ τὴν αὐτὴν στέγην εὑρεθεῖσι μόνον. εἰ δέ τινες ὑπηρέται ἢ μέτοχοι τῆς ἀναιρέσεως γεγόνασιν οἱασδηποτοῦν ἡλικίας ὄντες, εἰ καὶ μηδέπω ἔφηβοι, δυνάμενοι μέντοι αἰσθάνεσθαι τὸ πραττόμενον, τούτοις οὐδὲ ἐπὶ τῆς ἀναιρέσεως τοῦ δεσπότου, οὐδὲ ἐπὶ ἄλλης τινὸς αἰτίας δεῖ συγγινώσκειν ἡμᾶς.*

---

[1] Leuncl. καὶ ἑτέρ. [2] Lips. καʹ.

9. *Ἀνάγν. βι. ξ' τί. γ' κεφ. ιζ', ἐν ᾧ φησι·* Κατέχεται ὁ οἱῳδήποτε ὀργάνῳ φονεύων.

Ὁ δὲ βάρος πολὺ βαστάζων ἐὰν ῥίψας ἢ ὀλισθήσας ἀνέλῃ δοῦλον, ὑπόκειται τῷ ἀκουϊλίῳ· ὥσπερ καὶ ὁ ἀμελῶς διὰ πηλοῦ παριὼν καὶ ζημιῶν.

Εἰ δὲ ὠθήσαντος αὐτὸν ἄλλου ἡ ζημία γέγονεν, ὁ ὠθήσας μόνος ὑπόκειται τῇ περὶ τοῦ διπλοῦ ἀπαιτήσει.

Ὁ ἐν τῷ παλαίειν ἢ παγκρατιάζειν ἢ ἑτέρως ἐν δημοσίῳ ἀγῶνι τὸν ἀντίπαλον ἀνελὼν ἢ τραυματίσας οὐχ ὑπόκειται τῷ ἀκουϊλίῳ, εἰ μὴ ἄρα μετὰ τὸ εἶξαι ὡς ἡττηθέντα τραυματίσει. τὸ δὲ τοῦ δημοσίου ἀγῶνος χώραν ἐπὶ δούλων οὐκ ἔχει. μόνοι γὰρ εὐγενεῖς ἀγωνίζονται δημοσίᾳ[e]. εἰ δὲ ἰδίᾳ καὶ μὴ ἐν ἀγῶνι δημοσίῳ τὶς ἀνέλῃ τὸν δοῦλον, ὑπόκειται τῷ ἀκουϊλίῳ, εἰ μὴ τοῦ δεσπότου ἐπιτρέποντος πρὸς ἑαυτοὺς[1] ἠγωνίζοντο.

Καὶ ὁ τὸν ἀσθενῆ δοῦλον ἐλαφρῶς πλήξας, ἐὰν ἀποθάνῃ, κατέχεται.

Ὁ μὴ φονεύσας, ἀλλ' αἰτίαν θανάτου δεδωκώς, τῇ τοῦ διπλοῦ ἀπαιτήσει ὑπόκειται· ὡς ὁ δεδωκὼς φάρμακον ἀντὶ ἰατρείας ἢ ξίφος τῷ μαινομένῳ.

Ὁ μέντοι ῥίψας εἰς ποταμόν τινα ἢ λίθῳ φονεύσας ὑπόκειται τῷ ἀκουϊλίῳ.

10. *Καὶ κεφ. ια', ἐν ᾧ φησιν·* Ἐάν τις σφαιρίζων ῥίψῃ τὴν σφαῖραν εἰς τὴν χεῖρα τοῦ κουρέως καὶ λαρυγγοτομηθῇ ὁ κουρευόμενος δοῦλος, ὁ κουρεὺς ἐνέχεται, ἐὰν ἐκούρευεν ἔνθα κατὰ συνήθειαν ἐγίνετο τὸ παίγνιον, ἢ ἔνθα συνεχὴς ἦν ἡ πάροδος· εἰ καὶ τὰ μάλιστα καλῶς λέγει τὶς ἑαυτῷ ὀφείλειν μέμφεσθαι τὸν ἑαυτὸν κουρεῖ καταπιστεύσαντα ἐν ἐπικινδύνῳ τόπῳ κουρεύοντι.

Ἐὰν ἄλλος κρατήσῃ καὶ ἄλλος ἀνέλῃ, ὁ κρατήσας τῇ ἀγωγῇ τῇ τὸ διπλοῦν[2] ἀπαιτούσῃ ἐνέχεται[3].

Ἐὰν πολλοὶ πλήξωσι καὶ μή ἐστι δῆλον τῇ πληγῇ τίνος ἀπέθανε πάντες, ὑπόκεινται ὡς φονεῖς, καὶ τοῦ ἑνὸς καταβάλλοντος, οἱ λοιποὶ οὐκ ἐλευθεροῦνται· ποινὴ γάρ ἐστιν.

Ἐάν τις θανατηφόρως τραυματίσῃ, καὶ ἄλλος ἀνέλῃ, ὁ πρῶτος ὡς τραυματίσας καὶ ὁ δεύτερος ὡς ἀνελὼν ὑπόκειται.

---

[e] *Καὶ μὴν δύναται δοῦλος ἡνίοχος εἶναι, ὡς πρὸς τῷ τέλει τοῦ μγ' διγ. τοῦ α' τί. τοῦ ιθ' βι. φησί. ἀλλὰ δύναται καὶ ἡνίοχος εἶναι καὶ μὴ ἀγωνίζεσθαι δημοσίᾳ.*

---

[1] Lips. *αὐτούς.* [2] Leuncl. *ἁπλοῦν.* [3] Leuncl. *ὑπόκειται.*

Ἐὰν πολλοὶ δοκὸν ῥίψαντες ἀνέλωσι, πάντες τῷ ἀκουϊλίῳ ἐνάγονται.

Εἰ μέν τις κρατῶν κύνα παρασκευάσει αὐτὸν δακεῖν, ὑπόκειται τῷ ἀκουϊλίῳ. εἰ δὲ μὴ κρατῶν ἠρέθισε, τῇ ἀγωγῇ τῇ τὸ διπλοῦν ἀπαιτούσῃ.

11. Καὶ κεφ. ις', ἐν ᾧ φησιν· *Ἐὰν θανατηφόρως τραυματίσω δοῦλον, καὶ ἀποθάνῃ ἐν συμπτώματι ἢ ναυαγίῳ, ἢ ἑτέρου πλήξαντος, οὐκ ἐνάγομαι ὡς φονεύσας, ἀλλ' ὡς τραυματίσας. εἰ δὲ ἐκποιηθεὶς ἢ ἐλευθερωθεὶς ἀπέθανεν ἐκ τοῦ τραύματος, ἐνάγομαι ὡς φονεύσας.*

12. Καὶ κεφ. ιζ' καὶ κθ', ἐν ᾧ φησιν· *Ἐὰν κλαδευτὴς ἢ ξυλοκόπος κλάδον δένδρου ῥίψας ἀνέλῃ τινά, εἰ μὲν παρὰ δημοσίαν ἢ ἰδιωτικὴν ὁδὸν γέγονε, καὶ ἀπὸ ἀμελείας ἐνέχεται, τουτέστιν εἰ μὴ προέκραξεν. ἀμέλεια δέ ἐστι καὶ τὸ μὴ προγνῶναι, ἢ τότε ἔκραξεν, ὅτε τὸν κίνδυνον οὐκ ἐνῆν διαφυγεῖν. εἰ δὲ μηδεμία πάροδος ἦν ἐκεῖθεν, ἀπὸ μόνου δόλου ἐνέχεται ῥίπτων εἰς ὃν προεῖδε.*

13. Καὶ κεφ. μη', ἐν ᾧ φησιν· *Ἐὰν ἀπὸ τῶν πληγῶν ἀποθάνῃ δοῦλος, καὶ μὴ ἐξ ἀμαθείας τοῦ ἰατροῦ ἢ ἐξ ἀμελείας τοῦ δεσπότου, ἡ περὶ φόνου κινουμένη ἀγωγὴ ἁρμόζει.*

Δοῦλον ὤθησέ τις τῶν σὺν αὐτῷ σφαιριζόντων καὶ ἀπέθανεν· οὐχ ἁρμόζει ὁ ἀκουΐλιος κατὰ τοῦ ὠθήσαντος. οὐ γὰρ ἀμελείᾳ, ἀλλὰ τυχηρῶς συνέβη.

14. Ἀνάγν. καὶ τί. ιβ' κεφ. να' καὶ τί. λθ', οὗτινος ἐν τῷ β' κεφ. φησίν· *Ἀκινδύνως τὶς φονεύει τὸν βιαζόμενον αὐτὸν ἢ τοὺς αὐτοῦ πρὸς ἀσέλγειαν.*

Εἰ δὲ καί τις τὴν αὐτοῦ γαμετὴν συλλαβὼν μοιχευομένην φονεύσει, εὐτελὴς μὲν ὢν διηνεκῶς εἰς ἐξορίαν πέμπεται· ἔν τινι δὲ τιμῇ ὢν προσκαίρως ἐξορίζεται.

15. Ἐν δὲ τῷ γ'[1] κεφ. *Ἡ ποινὴ κατὰ ἀνδροφόνων ἐπὶ μὲν τῶν ἐντίμων περιορισμός ἐστι καὶ τελεία δήμευσις, ἐπὶ δὲ τῶν εὐτελῶν ξίφει καὶ θηρίοις ὑποβληθῆναι.*

16. Ἐν δὲ τῷ ι' κεφ. *Οὔτε ὁ μὴ ὢν ἑπταέτης οὔτε μαινόμενος φονεύων ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ.*

17. Ἐν δὲ τῷ ιβ' κεφ. *Ἐν τοῖς ἐγκλήμασιν οὐ τὸ γεγονός, ἀλλ' ἡ διάθεσις σκοπεῖται.*

18. Ἐν δὲ τῷ ιγ' κεφ. *Οὐδὲν διαφέρει τὸ φονεῦσαι καὶ τὸ παρασχεῖν αἰτίαν φόνου.*

---

[1] Lips. δ'.

19. Ἐν δὲ τῷ ιδ΄ κεφ. Ὁ ἐντειλάμενός τινι φονεῦσαι ὡς φονεὺς κατακρίνεται.

20. Ἐν δὲ τῷ ιε΄ κεφ. Ἐὰν ἐν μάχῃ φονευθῇ τις, ἑκάστου τῶν συνελθόντων ἡ πληγὴ σκοπεῖται.

Καὶ εἰ μὲν μετὰ ξίφους πλήξας ἐφόνευσε, ξίφει τιμωρεῖται· εἰ δὲ ὁ πληγεὶς οὐ τελευτήσει, ὁ τὴν πληγὴν δεδωκὼς χειροκοπείσθω, διότι ὅλως μετὰ ξίφους δοῦναι ἐτόλμησεν.

Εἰ δὲ διὰ ξύλων τελείων ἢ λίθων μεγάλων ἢ λακτισμάτων ὁ φόνος ἐτελέσθη, καὶ οὕτως οἱ τοῦτον πεποιηκότες χειροκοπείσθωσαν· εἰ δὲ δι' ἐλαφροτέρων ποινῶν συμβῇ γενέσθαι τὸν θάνατον, τυπτέσθωσαν καὶ ἐξοριζέσθωσαν.

21. Ἐν δὲ τῷ ις΄ κεφ. Ἐὰν ἐν μάχῃ μετὰ χειρὸς τύψῃ τὶς καὶ φονεύσῃ, τυπτόμενος ἐξοριζέσθω.

22. Ἐν δὲ τῷ ιζ΄ κεφ. Ὁ φονεύσας τινὰ οὐ ψυχῇ φονεύοντος μὴ κρινέσθω ὡς ἀνδροφόνος, εἰ μὴ ἄρα εἴη στρατιώτης[1], συμμέτρως δὲ σωφρονιζέσθω. ἀπαιτεῖ δὲ ἡ διάταξις αὐτὸν τὸν φονεύσαντα ἀποδεικνῦναι, ὅτι οὐ ψυχῇ φονεύοντος τὴν πληγὴν ἐπήγαγεν.

23. Ἐν δὲ τῷ ιη΄ κεφ. Ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ τὴν ζωὴν ἐκινδύνευεν, ἀνεύθυνός ἐστιν.

24. Ἐν δὲ τῷ ιθ΄ κεφ. Τὸν ληστὴν ἐπιόντα ἀκινδύνως ἔξεστι φονεύειν.

25. Ἐξέστω παντὶ τὸν ἐν τοῖς ἀγροῖς νυκτὸς ἐπιόντα ἢ παρακαθήμενον τὰς ὁδοὺς καὶ οὕτως ἐπιβουλεύοντα τοῖς παριοῦσιν ἀκινδύνως ἀναιρεῖν, κἂν στρατιώτης ἐστί. κρεῖττον γὰρ ἐν τοῖς τοιούτοις βοηθεῖν ἑαυτῷ, ἢ μετὰ τὸ παθεῖν ἐπιζητεῖν ἑαυτῷ τὴν ἐκδίκησιν.

26. Ἐν δὲ τῷ κα΄ κεφ. Ἐάν τις λακτίσας τινὰ φονεύσῃ, μὴ ψυχὴν ἔχων φονεύοντος, μὴ κρινέσθω φόνου. τύχῃ γὰρ μᾶλλον ὀφείλει τὸ πρᾶγμα λογίζεσθαι[2].

27. Ἐν δὲ τῷ κγ΄ κεφ. Ὁ περιπατῶν ἐπὶ τῷ πλῆξαι ἄνθρωπον μετὰ σιδήρου ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ.

28. Ἐν δὲ τῷ κε΄[3] κεφ. Ἐὰν ὁ ἀνὴρ λέγηται ἐπιβουλεῦσαι τῇ γυναικί, ἢ ἡ γυνὴ λέγηται ἐπιβουλεῦσαι τῷ ἀνδρί, χρὴ καὶ τοὺς δούλους αὐτῶν εἰς τὴν ἐξέτασιν βασανισθῆναι τῆς ἀληθείας[f].

---

[f] Ζήτει[4] καὶ βι. τῶν βασιλικῶν λε΄ τί. ις΄ κεφ. δ΄, ὅ φησι· Ἐὰν τῶν συνοικούντων ἕτερος τὸν ἄλλον φονεύσῃ συγκαθεύδοντα, μὴ βοηθήσαντες

[1] Lips. ὡς στρατ. ὁ φονευθείς. [2] Leuncl. λογισθῆναι. [3] Id. κς.
[4] Haec ex Leunclavio praesto, ubi partem textus faciunt.

29. Ἐν δὲ τῷ λα′ κεφ. Οἱ ἀξιωματικοὶ οὐχ ὑπόκεινται βασάνοις, εἰ μὴ ἐπὶ τῆς καθοσιώσεως. εἰ δὲ καί τινες εὑρεθῶσι γόητες ἢ οἱανδήποτε μαντείαν ἐπαγγελλόμενοι, μηδὲ[1] προνομίῳ ἀξιώματος κεχρήσθωσαν. πρέπει γὰρ τῷ γενομένῳ παρ᾽ αὐτῶν ἁμαρτήματι τὸ τιμωρεῖσθαι αὐτούς, ἐὰν ἐν τῷ κομιτάτῳ[g] τί ποτε τοιοῦτον ἁμάρτωσιν.

30. Ἀνάγν. καὶ τί. μ′, ἐν ᾧ διαλαμβάνεται περὶ πατροκτόνων καὶ συγγενῶν παντοίων φονευτῶν. οὗτινος ἐν τῷ α′ κεφ. φησίν· Ὁ φονεύων πατέρα ἢ μητέρα, πάππον ἢ μάμμην, ἀδελφὸν ἢ ἀδελφήν, θεῖον ἢ θεῖαν, ἀνεψιὸν ἢ ἀνεψιάν, ἢ τοὺς ἄλλους συγγενεῖς, ἄνδρα ἢ μνηστῆρα ἢ γυναῖκα ἢ μνηστὴν ἢ γαμβρὸν ἢ νύμφην ἢ πενθερὸν ἢ πενθεράν, πατρῳὸν ἢ μητρυιάν, ἢ προγονὸν ἢ προγονήν, πάτρωνα ἢ πατρώνισσαν, ἢ κατὰ δόλον τοῦτο ποιήσας γενέσθαι, πυρὶ παραδίδοται.

Καὶ ἡ μήτηρ φονεύουσα τὸν υἱὸν η τὴν θυγατέρα, καὶ πάππος τὸν ἔκγονον· καὶ ὁ ἀγοράσας φάρμακον ἐπὶ τῷ δοῦναι τῷ ἰδίῳ πατρί, κἂν μὴ δυνηθῇ δοῦναι.

31. Ἐν δὲ τῷ ε′ κεφ. Οὐ μόνον οἱ φονεύοντες, ἀλλὰ καὶ οἱ συνίστορες, κἂν ὦσι ἐξωτικοί, τῇ τιμωρίᾳ τῶν πατροκτόνων ὑπόκεινται.

32. Ἀνάγν. καὶ τί. νθ′, οὗτινος ἐν τῷ α′ κεφ. φησίν· Ἐὰν ὁ δεσπότης λώροις ἢ ῥάβδοις τυπτήσῃ τὸν ἴδιον οἰκέτην, ἢ ἕνεκεν τοῦ φυλάξαι αὐτὸν δεσμὰ περιβάλῃ αὐτῷ, κἀκεῖνος ὁτεδήποτε ἀποθάνῃ, οὐδὲν ἐντεῦθεν ὁ δεσπότης κινδυνεύει. εἰ μέντοιγε τὴν δεσποτικὴν ἐξελθὼν συμμετρίαν βασάνους αὐτῷ ἐπαγάγει, ἢ πῦρ αὐτῷ προσάψει, ἢ ξίφει ἢ λίθοις ἢ ξύλοις αὐτὸν φονεύσει θανατηφόρον αὐτῷ πληγὴν ἐπαγαγών, ἢ προσέταξεν αὐτὸν ἀγχόνῃ χρήσασθαι ἢ κρημνίσαι ἑαυτὸν ἢ θα-

---

οἱ δοῦλοι τιμωροῦνται ἐν ᾧ τῆς κραυγῆς ἤκουσαν, καὶ οὐ μόνοι οἱ τοῦ φονευθέντος, ἀλλὰ καὶ οἱ τοῦ φονεύσαντος· εἰ μὴ καταλαβὼν ὁ ἀνὴρ μοιχευομένην τὴν γυναῖκα ἀνεῖλεν αὐτήν. τότε γὰρ ἐπειδὴ συγγινώσκεται, οὐδὲ οἱ μὴ βοηθήσαντες τιμωροῦνται, κἂν τῆς γυναικὸς ἦσαν. Σχόλιον· Συγγινώσκεται εἰς τὸ τιμωρηθῆναι ὡς φονεὺς ἐπεὶ ὁ ἐπ᾽ αὐτοφώρῳ τὴν ἰδίαν γαμετὴν μοιχευομένην καταλαβὼν ἀνελών, εἰ μὲν εὐτελής ἐστι, εἰς ἔργον δημοσίου βάλλεται· εἰ δὲ σεμνός, εἰς νῆσον ἐξορίζεται. ὡς βι. ξ′ τί. λζ′ δίγεστον λζ′ λέγει. δοῦλοι καὶ δοῦλαι ἄνηβοι οὐ κολάζονται, οὔτε βασανίζονται. φοβερίζονται μὴν λώροις ἢ νάρθηξι τύπτονται.

[g] Ἐν τῇ πόλει.

[1] Leuncl. μηδενί

νάσιμον φάρμακον ἑαυτῷ μετὰ βίας ἐπενεγκεῖν, ἢ οὕτω πικρῶς αὐτὸν ἐβασάνισεν, ὥστε καὶ ἐν ταῖς βασάνοις ἀποθανεῖν, τὸ τηνικαῦτα φόνου δίκας ὑφέξει.

33. *Ἀνάγν. καὶ τί. νγ' κεφ. γ'* [*ἐν ᾧ φησιν*]· Οὐ παντὸς ἑαυτὸν ἀνελόντος ἡ οὐσία δημεύεται, ἀλλὰ τοῦ κατηγορηθέντος, ἢ τοῦ καταληφθέντος ἐπὶ μυσαρᾷ τινι πράξει. καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ὅτε ἡ καταδίκη τοῦ ἐγκλήματος, ᾧτινι κατηγορεῖτο, θάνατον ἢ περιορισμὸν ἐπέφερεν ἢ δήμευσιν.

Ὁ μέντοι περὶ συμμέτρου κλοπῆς ἐναγόμενος ἐὰν ἑαυτὸν ἀνέλῃ, οὐ δημεύεται ἡ οὐσία αὐτοῦ.

Οὐδὲ τοῦ ἀνελόντος ἑαυτὸν διὰ τὸ μῖσος τῆς ζωῆς ἢ διὰ πόνον νόσου ἢ δι' ἑτέραν αἰτίαν.

Καὶ ὁ ἑαυτὸν γὰρ ἀνελὼν, ἐπειδὴ τὸν ἴδιον υἱὸν ἐλέγετο πεφονευκέναι, δοκεῖ διὰ τὴν λύπην τοῦ υἱοῦ τοῦτο ποιεῖν, καὶ οὐ δημεύεται ἡ οὐσία αὐτοῦ.

Ὁ δὲ χεῖρας ἐπιβαλὼν χωρὶς αἰτίας, καὶ μὴ ἐπιτυχὼν, τιμωρεῖται ὡς ἑαυτὸν καταψηφισάμενος. ὁ γὰρ ἑαυτοῦ μὴ φεισάμενος οὐκ ἂν ἑτέρου φείσαιτο.

34. *Ἀνάγν. καὶ βι. ζ' τί. ε' κεφ. ϙβ' καὶ βι. λε' τί. ϛ' κεφ. α' θέμ. ζ', ἐν ᾧ φησιν*· Ἐάν τις ἑαυτὸν ἀνέλῃ, οὐ χώρα τῇ ἐξετάσει, εἰ μὴ ἄρα δυνάμενοι κωλῦσαι οὐκ ἐκώλυσαν. [εἰ γὰρ ἐπ' ὄψεσι τῶν οἰκετῶν τοῦτο ἐποίησε, καὶ ἠδύναντο χαλεπαίνοντα αὐτὸν καθ' ἑαυτοῦ κωλῦσαι καὶ οὐκ ἐκώλυσαν, τιμωροῦνται. εἰ δὲ οὐκ ἠδύναντο, ἐλευθεροῦνται τῆς τιμωρίας.]

Ἡ δὲ διαθήκη τοῦ μὴ διὰ φόβον ἐγκλήματος ἑαυτὸν ἀνελόντος[h] ἀνοίγεται[i].

VII.

Περὶ φροντιστῶν δημοσίων τῶν ἐν ταῖς πόλεσι τῶν δημοσίων πραγμάτων φροντιζόντων.

1. *Ἀνάγν. βι. νϛ' τί. ιζ' κεφ. λζ', ἐν ᾧ φησιν*· Οἱ ἐν ταῖς πόλεσι τῶν δημοσίων πραγμάτων φροντίζοντες μήτε περισσοπρακτείτωσαν μήτε φυλακὴν ἐχέτωσαν ἰδικὴν, μήτε κατεχέτωσαν παρ' ἑαυτοῖς τὸν ἐπὶ ἐγκλήματος εὐθυνόμενον, εἰ καὶ φανερὸν εἴη τὸ ἔγκλημα. οἱ δὲ παρὰ ταῦτα ποιήσαντες κεφαλικῶς τιμωρείσθωσαν.

---

h Ἀλλ' ὡς μὴ ὑποφέροντος τὸν παρενοχλοῦντα αὐτὸν πόνον.
Μὴ ἐμποδιζομένη διὰ τὸ οὕτως αὐτὸν τελευτῆσαι.

VIII.

Περὶ φυγάδων δούλων.

1. Ἀνάγν. βι. ξ΄ τί. ιβ΄ κεφ. λδ΄ θέμ. δ΄, ἐν ᾧ φησιν· Ἐὰν δύο δοῦλοι φυγὴν ἀλλήλοις συμβουλεύσωσιν, οὐκ εἰσιν ἀλλήλων κλέπται. εἰ δὲ ἀλλήλους ἔκρυψαν, ἀλλήλων εἰσὶ κλέπται καὶ ὧν συναφείλοντο πραγμάτων.

IX.

Περὶ φυλακητῶν καὶ φυλάκων καὶ φυλακῆς, καὶ τίσιν ὑποβάλλονται τιμωρίαις οἱ ἀποδιδράσκοντες τῆς φυλακῆς καὶ οἱ φύλακες αὐτῶν, καὶ περὶ τοῦ μὴ εἶναι φυλακὴν ἰδιωτικήν.

1. Ἀνάγν. βι΄. ξ΄ τί. λε΄, οὗτινος ἐν τῷ ιβ΄ κεφ. φησίν· Οἱ ἀποφυγόντες τὴν φυλακὴν, εἴτε κλάσαντες αὐτὴν ἢ τοῖς λοιποῖς συμπνεύσαντες, κεφαλικῶς κολάζονται. εἰ δὲ κατὰ ῥαθυμίαν τῶν φυλάκων ἀπέφυγον, μετριώτερον τιμωροῦνται.

2. Ἐν δὲ τῷ ιδ΄[1] κεφ. Ἐὰν συμπνεύσαντες οἱ δέσμιοι ῥήξωσι τὰ δεσμὰ καὶ τὴν φυλακὴν καὶ ἀποφύγωσιν, εἴτε ἀνεύθυνοι ἦσαν τιμωροῦνται, εἴτε ὑπεύθυνοι πλέον κολάζονται ἤπερ[2] τὸ ἔγκλημα ἀπῄτει ἐφ᾽ ᾧ συνεσχέθησαν. οἱ δὲ τὴν συσκευὴν διελέγξαντες ἀπολύονται.

3. Ἐν δὲ τῷ κα΄ κεφ. Ὁ κατασχεθεὶς μὴ ἐπὶ πολὺν χρόνον μενέτω ἐν τῇ φυλακῇ. χρὴ γὰρ αὐτὸν ἢ συντόμως ἀπολυθῆναι ἢ συντόμως τιμωρηθῆναι. κελεύομεν οὖν τὸν ὑπομνηματογράφον, ἀφ᾽ οὗ ἐμβληθῇ τις ἐν τῇ φυλακῇ, καθ᾽ ἑκάστην ἡμέραν ἕως λ΄ ἡμερῶν προφέρειν τῷ ἄρχοντι τὴν γνῶσιν τῶν ἐγκεκλεισμένων, ἐν ᾗ δεῖ περιέχεσθαι καὶ τὴν ποιότητα τῶν ἁμαρτημάτων. εἰ δὲ μὴ ταῦτα γένηται, ἡ μὲν τάξις κ΄ λιτρῶν χρυσίου προστιμηθήσεται, ὁ δὲ ἄρχων ἐκπίπτων τῆς ἀξίας ι΄ χρυσίου λιτρῶν καὶ τοῖς ἡμετέροις εἰσαχθῆναι[3] θησαυροῖς.

4. Οὐδένα χρὴ ἐμβάλλεσθαι φυλακῇ χωρὶς κελεύσεως τῶν μεγάλων ἀρχόντων τῆς βασιλίδος πόλεως, ἐν δὲ ταῖς ἐπαρχίαις χωρὶς τῶν ταύτας ἰθυνόντων ἢ τῶν κατὰ τόπον ἐκδίκων. Χρὴ δὲ τὸν ἐπίσκοπον κατὰ τετράδα καὶ παρασκευὴν

---

[1] Lips. ιε΄. [2] Ita Basil. Lips. εἴτε. Leuncl. ἢ. [3] Bas. αἳ—εἰσαχθήσονται.

ἐπισκέπτεσθαι[a] διὰ τί ἐνεβλήθησαν. καὶ εἰ μὲν δοῦλοί εἰσιν, διὰ[1] κ΄ ἡμερῶν ἐκβάλλεσθαι αὐτοὺς ἢ σωφρονιζομένους ἢ τοῖς δεσπόταις παραδιδομένους, ἢ ἐὰν μὴ φαίνηται ὁ δεσπότης, ἀπολύειν αὐτούς. εἰ δὲ ἐλεύθεροί εἰσιν ἐπὶ ἀταξίᾳ κατεχόμενοι, παραχρῆμα κρίνειν αὐτούς· ἢ ἐὰν περὶ ἄλλης οἱασδήποτε αἰτίας, παρασχεῖν αὐτοὺς ἐγγύας· εἰ δὲ μὴ ἔχουσιν ἐγγυητάς, εἰ μὲν ἐπὶ ἐγκλήματι κατέχονται χωρὶς φόνου, ἐν τάχει αὐτοὺς κρίνεσθαι· εἰ δὲ κεφαλικόν ἐστι τὸ ἔγκλημα, εἴσω λ΄ ἡμερῶν.

Ἐὰν δὲ χρεία πλείονος ὑπερθέσεως μηδαμοῦ παρέχοντος αἰτίαν τοῦ ἐγκεκλεισμένου, δοθῆναι αὐτὸν ἐπὶ ἐξωμοσίᾳ, ἵνα ἡ ψῆφος γένηται κατ᾽ αὐτοῦ ἐὰν ἀπολειφθῇ. ἐὰν δὲ φόνου ἐστίν, εἰ μὲν ἀπὸ ἀναφορᾶς δημοσιευόντων, εἴσω ἓξ μηνῶν κρίνεσθαι· εἰδότων τῶν δημοσιευόντων, ὅτι ἐὰν ψεύσωνται, τῇ αὐτῇ ὑπόκεινται τιμωρίᾳ. εἰ δέ τις ἐγγραψάμενος αἴτιος γέγονε τῆς ἐνοχῆς, δίδοσθαι αὐτὸν ὑπὸ ἐγγύας· ἢ ἐὰν μὴ εὐπορῇ ἐγγυητῶν, μεῖναι μὲν ἐν τῷ δεσμωτηρίῳ, τέμνεσθαι δὲ τὴν δίκην ἐντὸς ἐνιαυτοῦ. προλήψεως δὲ περὶ αὐτοῦ γενομένης ὡς ὑπευθύνου, εἶναι αὐτὸν ἐν τῇ φρουρᾷ ἕως ὅτε περαιωθῇ ἡ δίκη. εἰ δὲ ἤδη ψῆφος γέγονε περὶ τῶν ἐγκεκλεισμένων, ἐκβιβάζεσθαι αὐτήν, εἴτε σωματική ἐστιν εἴτε χρηματική.

5. Ἀνάγν. καὶ τί. να΄ κεφ. ξ΄ θέμ. β΄ καὶ τί. νε΄ κεφ. α΄, ἐν ᾧ φησι· Μὴ ἐν οἱᾳδήποτε πόλει μήτε ἐν ἀγροῖς ἔστωσαν ἰδιωτικαὶ φυλακαὶ ἢ ἐν οἴκοις, ἀλλὰ φροντιζέτωσαν τούτου καὶ οἱ τῶν ἐπαρχιῶν ἄρχοντες. ἐὰν δὲ ῥᾳθυμήσωσιν, ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι. καὶ οἱ πρῶτοι δὲ τῆς τάξεως τῷ αὐτῷ ἐγκλήματι ἐνεχέσθωσαν, οἳ μὴ εὐθέως ἅμα ἔγνωσαν ἀνήγαγον τῷ ἄρχοντι. καὶ αὐτοὶ δὲ οἱ ἡμαρτηκότες ὑποκείσθωσαν τῷ περὶ καθοσιώσεως δικαστηρίῳ.

6. Ἡ διάταξις κελεύει μὴ γίνεσθαι ἰδιωτικὰς φυλακάς. τοὺς δὲ τοῦτο πράττοντας ὑποκεῖσθαι καὶ ἐπιτιμίῳ καὶ διάγειν ἐν τῇ δημοσίᾳ φρουρᾷ τοσαύτας ἡμέρας, ὅσας δήποτε ἂν γέγονεν ὁ ἐγκλεισθεὶς ἐν τῇ γενομένῃ παρ᾽ αὐτῶν φυλακῇ, ὁποίας ἂν εἴησαν τύχης ἢ ἀξίας· ἐκπίπτειν δὲ καὶ τῆς δίκης τῆς ἁρμοζούσης αὐτοῖς κατὰ τῶν ἐγκλεισθέντων, προνοίᾳ τοῦ ἐπι-

---

[a] Τοὺς ἐν φυλακῇ.

[1] Leuncl. εἴσω.

σκόπου καὶ τοῦ ἄρχοντος. εἰ δὲ καὶ ῥαθυμήσει ὁ ἄρχων, ὑφίστασθαι κίνδυνον καὶ περὶ τὴν οὐσίαν καὶ περὶ τὴν σωτηρίαν.

7. Ἀνάγν. καὶ βι. γ' τί. α' κεφ. δ' καὶ βι. νϛ' τί. ιζ' κεφ. λζ', ὅπερ εἴρηται ἐν τῷ περὶ φροντιστῶν.

Ἀρχὴ τοῦ Χ στοιχείου.

I.

Περὶ χηρῶν.

1. Ἀνάγν. βι. νδ' τί. α' κεφ. ιϛ' θέμ. β'[1]· Ἡ χήρα καὶ τὴν κατοίκησιν καὶ τὴν ἀξίαν ἐπέχει τοῦ τελευτήσαντος ἀνδρὸς, εἰ μὴ δευτερογαμήσει.

II.

Περὶ χρέους ἀπαιτήσεως, καὶ περὶ τῶν χρεωστούντων καὶ χρεωστουμένων, καὶ περὶ ἐκστάσεως καὶ χωρισμοῦ καὶ πράσεως τῶν ὑπαρχόντων τῷ χρεώστῃ, καὶ τίνες προτιμῶνται εἰς τὴν ἐξώνησιν αὐτῶν, καὶ περὶ τῶν ἐκποιουμένων παρὰ χρεώστου εἰς περιγραφὴν δανειστοῦ, καὶ περὶ διαφορᾶς χρέους καὶ δανείου, καὶ περὶ τῶν ἀρνουμένων τὰ ἴδια χειρόγραφα, καὶ τοῦ μὴ ἐνέχεσθαι γαμετὴν ὑπὲρ ἀνδρὸς εἰ καὶ συνῄνεσεν ἐν τῷ δανειακῷ γραμματείῳ, μήτε μητέρα ὑπὲρ τῶν τοῦ παιδὸς χρεῶν, εἰ καὶ μερικὴν ἐποιήσατο καταβολὴν, μήτε πατέρα ὑπὲρ παίδων, μήτε παῖδας ὑπὲρ πατρός· καὶ περὶ τοῦ μὴ κατέχεσθαι τὰ τῶν χρεωστῶν τέκνα παρὰ τῶν δανειστῶν εἰς ἐνέχυρον ἢ δουλικὴν ὑπηρεσίαν, μηδὲ ἐνυβρίζεσθαι τὰ λείψανα τῶν χρεωστῶν· καὶ περὶ ἀντελλόγου χρέους.

1. Ἀνάγν. βι. ζ' τί. ϛ' κεφ. κβ', ἐν ᾧ φησι· Πᾶς τῶν ἐναγόντων, καὶ ἄῤῥενες καὶ γυναῖκες, πρὸ τῆς ὡρισμένης προθεσμίας τῶν χρεῶν ἐνάγοντες καὶ κατὰ τοῦτο τὸν ἐναγόμενον βλάπτοντες, ἄλλον τοσοῦτον περιμενέτωσαν χρόνον μηδένα τόκον ἐν τῷ μέσῳ λαμβάνοντες, ὅσον αὐτοὶ προφθάσαι τὴν προθεσμίαν ἐπεχείρησαν[a]. καὶ τοῦ χρόνου δὲ τούτου παρατρέχοντος μὴ ἄλλως ἐναγέτωσαν, εἰ μὴ καὶ τὰ δαπανήματα

---

[a] Ὑπέξελε τὸν χρεωστοῦντα τῷ ἀπόρῳ χρεώστῃ τοῦ δημοσίου. οὗτος γὰρ καλῶς ἀπαιτεῖται καὶ πρὸ τῆς προθεσμίας ὑπὸ τοῦ δημοσίου, ὡς βι. δ' τοῦ κώδ. τί. θ' διάτ. α'.

[1] Cf. Bas. ed. Heimb. LIV, 2, 8 not. q.

τῆς πρώτης εἰσόδου τὰ ὑπὲρ τῆς μεθοδείας συμβάντα τῷ διαδίκῳ καταβάλωσιν.

2. Ἐάν τις ρ΄ λόγου χάριν νομίσματα χρεωστούμενος κατὰ δόλον καὶ μηχανὴν παρασκευάσῃ τὸν χρεώστην σ΄ νομισμάτων ὁμολογίαν αὐτῷ ἐκθέσθαι, καὶ περὶ τῶν σ΄ αὐτὸν αἰτιάσηται, εἰ μὲν πρὸ τῆς προκατάρξεως μεταμεληθείη καὶ συνομολογήσει τὸν δόλον αὐτοῦ, μηδὲν ζημιούσθω, ἀλλὰ τὰ ρ΄ τὰ ἀληθῶς αὐτῷ κεχρεωστημένα λαμβανέτω· ἐὰν δὲ καὶ προκατήρξατο καὶ ἠγωνίσατο καὶ διελέγχθῃ τὸν δόλον πεποιηκώς, μὴ μόνον τῶν ρ΄ τῶν ἐκ περισσοῦ προστεθέντων, ἀλλὰ καὶ τῶν ἀληθῶς κεχρεωστημένων ἑτέρων ρ΄ ἐκπιπτέτω· εἰ μὴ ἄρα ἢ διάλυσις γέγονεν, ἢ β΄ ὁμολογία ἐπὶ τῶν σ΄ νομισμάτων. οὔτε γὰρ μετὰ διάλυσιν οὔτε μετὰ β΄ ὁμολογίαν ἐξέσται τινὶ μεταβάλλειν[1] τὴν ἤδη ὑπ᾿ αὐτοῦ γεγενημένην ὁμολογίαν.

3. Ἀνάγν. βι. θ΄ τί. γ΄ κεφ. ιζ΄ καὶ ιθ΄, ἐν ᾧ φησι· Μεταξὺ τῶν ἐξ ὁμοίας αἰτίας ἐποφειλομένων καλλίων ἔσται ὁ προλαβών, καὶ οὐδὲ ἀφαιρεῖται ὅσον ἔχει. γίνεται γὰρ καὶ αὐτοῦ λόγος, ἵνα μὴ δεῖται. καὶ κεφ. λα΄.

4. Ἀνάγν. καὶ τί. ε΄, ἐν ᾧ διαλαμβάνεται περὶ ἐκστάσεως ὑπαρχόντων· οὗτινος ἐν τῷ γ΄ κεφ. φησίν· Ὁ ἐκστὰς[b], εἰ ἐπικτήσεταί τι, εἰς ὅσον εὐπορεῖ ἀπαιτεῖται. αὐτὸς δὲ οὐδὲ ἀπὸ ἄλλου τινὸς ὀχλεῖται[c].

5. Ἐν δὲ τῷ ε΄ κεφ. Ὁ μετὰ τὸ ἐκστῆναι μέτρια κτησάμενος οὐ πάσχει διάπρασιν. τοῦτο δὲ ἐκ τῆς ποσότητος διακρίνεται καὶ οὐκ ἐκ τῆς ποιότητος τοῦ ἐπικτηθέντος[2]. εἰ δέ τις μηνιαῖον ἢ ἐτήσιον δαπάνημα διὰ οἶκτον αὐτῷ κατέλιπεν, οὐ πιπράσκονται ἐκ δευτέρου τὰ αὐτοῦ. τὸ αὐτὸ κἂν χρῆσις αὐτῷ ἐδόθη ἢ κατελείφθη εἰς καθημερινὸν δαπάνημα.

6. Ἐν δὲ τῷ η΄ κεφ. Οἱ ἐκστάντες καὶ μὴ ἀρκέσαντες πληρῶσαι τοὺς δανειστὰς καὶ πάλιν ἐνάγονται παρὰ τῶν δανειστῶν.

7. Ἀνάγν. καὶ τί. ϛ΄, ἐν ᾧ διαλαμβάνεται περὶ τῶν εἰς νομὴν πεμπομένων τῶν τοῦ χρεώστου πραγμάτων. καὶ τί. ζ΄, οὗτινος ἐν τῷ ια΄ κεφ.

---

b Ὁ διὰ χρέος ἀποταξάμενος τῇ περιουσίᾳ αὐτοῦ.

c Οὐ μόνον παρ᾿ ἐκείνων τῶν δανειστῶν οὐκ ἐνάγεται, δι᾿ οὓς ἐχρήσατο τῇ ἀποστάσει, ἀλλὰ γενικῶς παρ᾿ οὐδενὸς δανειστοῦ μετὰ τὴν ἔκστασιν ὀχλεῖται.

[1] Leuncl. ἔξεστι — διαβάλλειν. [2] Haec verba καὶ οὐκ — ἐπικτηθέντος nec Leuncl. nec Bas. agnoscunt.

φησί· *Διαπράσεως τῆς οὐσίας τοῦ χρεώστου*[1] *γινομένης, τοῦ μὲν ἐξωτικοῦ ὁ δανειστὴς ἢ ὁ συγγενὴς προτιμᾶται εἰς τὸ ἀγοράσαι, τοῦ δὲ συγγενοῦς ὁ δανειστὴς, τῶν δὲ δανειστῶν ὁ τὸ πλέον χρεωστούμενος.*

8. Ἐν δὲ τῷ λϛ΄ κεφ. *Οὐ συμπιπράσκονται τοῖς τοῦ χρεώστου πράγμασιν παλλακὴ ἢ παῖδες φυσικοί.*

9. *Εἰ ἐπερωτήσω τὸν κληρονόμον κατὰ μετάθεσιν ὃ ἐχρεώστει μοι ὁ διαθέμενος, καὶ λάβω τόκους παρ᾿ αὐτοῦ, οὐ δύναμαι λοιπὸν αἰτεῖν χωρισμὸν, ὥσπερ οὐδὲ εἰ ἐγγυητήν μοι δώσει.*

Εἰ μιγῶσι τὰ κληρονομιαῖα πράγματα τοῖς τοῦ κληρονόμου, οὐκέτι αἰτεῖται χωρισμὸς, πλὴν εἰ μὴ φαίνονται τὰ χρήματα ἢ τὰ ἀνδράποδα ἢ τὰ θρέμματα ἢ ἄλλο τὶ τῶν δυναμένων χωρίζεσθαι.

Μετὰ πενταετίαν τῆς προσελεύσεως οὐκ ἀπαιτεῖται χωρισμός.

Ταῦτα πάντα σκοπεῖ πραίτωρ καὶ ἄρχων μόνοι.

Ὁ λαβὼν ἐνέχυρον ἀπὸ κληρονόμου οὐκ αἰτεῖ χωρισμόν.

10. Ἐν δὲ τῷ μβ΄ κεφ. *Οἱ τοῦ τελευτήσαντος δανεισταὶ χωρισμὸν αἰτήσαντες οὐ δύνανται κατὰ τοῦ κληρονόμου ὑποστρέφειν.*

11. Ἀνάγν. καὶ τί. η΄, οὗτινος ἐν τῷ ζ΄ κεφ. φησίν· *Εἰ πρὸς περιγραφὴν δανειστῶν μου ἐλάττονος πωλήσω ἀγρὸν, ἀνατρέπεται τὸ πραθὲν, κἂν μὴ ἀναδοθῇ ἡ τιμή.*

12. Ἐν δὲ τῷ θ΄ κεφ. *Ὁ ἐπὶ περιγραφῇ [τῶν] δανειστῶν ἐν εἰδήσει ἀγοράσας εἰ ἑτέρῳ πωλήσει καλῇ πίστει ἀγοράζοντι, αὐτὸς μόνος εἰς τὸ πᾶν ἐνέχεται, οὐχ ὁ ἀγοράσας παρ᾿ αὐτοῦ· ὥσπερ οὐδὲ ὁ ἐν ἀγνοίᾳ παρὰ τοῦ χρεώστου ἀγοράσας.*

13. Ἐν δὲ τῷ θ΄[2] κεφ. *Λέγει ὁ πραίτωρ· ὅσα τὶς διὰ βλάβην δανειστῶν εἰδότος σου μετά σου ἔπραξεν, εἰ μὴ παρῆλθεν ἐνιαυτὸς οὐτίλιος*[d]*, ἀποκατάστησον. ἔσθ᾿ ὅτε δὲ κἂν μὴ ἔγνως, ὑπόκεισαι ἰμφακτοὺμ ἀγωγῇ. ἡ δὲ ἀνάκλησις τοῦ πραττομένου γίνεται, εἰ αὐτοὶ οἱ δανεισταὶ, οὓς ἠθέλησαν βλάψαι, πιπράσκουσι τὰ τοῦ χρεώστου πράγματα. εἰ γὰρ ἐκείνους ἐπλήρωσεν, ἄλλους δὲ ἔχει, εἰ μὲν ἁπλούστερον τοῦτο ἔπραξεν, ἀργεῖ ἡ ἀνάκλησις· εἰ δὲ τὰ χρήματα τῶν δευτέρων τοῖς πρώτοις δέδωκεν, ἀνατρέπεται.*

---

d Συναπτὸς, ἀκέραιος.

---

1 Verba τῆς οὐσ. τοῦ χρ. Leuncl. et Bas. non habent. 2 Lege ι΄.

Ἐὰν γυνὴ ἐπὶ περιγραφῇ δανειστῶν χρεωστοῦντι τῷ ἀνδρὶ ποιήσῃ ἀποχὴν ὀνόματι προικὸς, ὅλον τὸ χρέος ἀπαιτεῖται ὁ ἀνὴρ, καὶ σβέννυται ἡ προίξ. οὐδὲ γὰρ συνίσταται προὶξ ἐπὶ περιγραφῇ δανειστῶν.

Εἰ τὸν χρεωστοῦντα ἐμοὶ καὶ ἄλλοις φεύγοντα κρατήσω, καὶ ἐξ ὧν ἐπεφέρετο χρημάτων λάβω τὸ χρέος, εἰ μὲν πρὸ τοῦ πεμφθῆναι τοὺς δανειστὰς εἰς νομὴν, ἀργεῖ ἡ ἴμφακτος· εἰ δὲ μετὰ ταῦτα, χώραν ἔχει.

14. Ἐν δὲ τῷ ιά κεφ. Εἷς ἐνιαυτὸς ἀφ᾽ οὗ διαπραθῇ τὰ τοῦ χρεώστου ψηφίζεται. ἀπαιτεῖται δὲ τοκετὸς καὶ καρποὶ, ὅσοι ληφθῆναι ἠδύναντο ἐκ τοῦ περιγράψαντος. ὑπεξαιροῦνται μέντοι τὰ ἐπ᾽ αὐτοῖς ἀναγκαῖα δαπανήματα.

Μετὰ ἐνιαυτὸν ἡ ἀγωγὴ αὕτη εἰς τὸ περιελθὸν δίδοται, ἵνα μὴ ἐξ ἀπάτης κερδάνῃ τὶς, εἴτε εἰς τὸν βλάψαντα εἴτε εἰς ἄλλον περιῆλθεν ἢ καὶ δόλῳ οὐ περιῆλθεν.

Δίδοται δὲ κληρονόμοις καὶ διαδόχοις, καὶ κατὰ κληρονόμων καὶ τῶν ὁμοίων, μόνον μέντοι εἰς τὸ περιελθόν.

15. Ἐν δὲ τῷ ιέ κεφ. Εἰ ἄπορος ὢν ἐπὶ περιγραφῇ πέτρου τοῦ δανειστοῦ ἐλευθερώσω δούλους ἐν διαθήκῃ, εἶτα πληρώσω πέτρον, δανείσομαι δὲ παρ᾽ ἑτέρου, ἔῤῥωνται αἱ ἐλευθερίαι. εἰς γὰρ τὸ ἀνατραπῆναι ταύτας καὶ γνώμην καὶ ἀποτέλεσμα δεῖ συνδραμεῖν.

16. [Ἐν δὲ τῷ κζ´ κεφ.] Ἡ διάταξις λέγει, ὅτι κἂν εἰς προῖκά τις ἔδωκεν ὑπὲρ θυγατρὸς πρᾶγμα ἐπὶ περιγραφῇ τῶν δανειστῶν, δύνανται ἐνάγεσθαι οἱ λαβόντες.

17. Ἀνάγν. καὶ τί. θ´, ἐν ᾧ διαλαμβάνεται περὶ χρέους δημοσίου καὶ προικιμαίου, καὶ ὅτι τῶν μὲν ἄλλων δανειστῶν καὶ προγενεστέρων προτιμῶνται, ἐν ἑκατέροις δὲ νικᾷ ἡ προγενεστέρα· καὶ ὅτι τὸ προνόμιον τῶν γυναικῶν εἰς κληρονόμους οὐ διαβαίνει αὐτῶν, πλὴν εἰς παῖδας. περὶ τούτου δὲ τοῦ τίτλου εὑρήσεις πλατύτερον κατωτέρω, ἔνθα περὶ παντοίου χρέους προτιμήσεως λεχθήσεται.

18. Ἀνάγν. βι. ια´ τί. α´ κεφ. γ´, ἐν ᾧ φησιν· Ἡ τοῦ ἐνεχύρου ἀνάδοσις οὐκ εἰσάγει τοῦ χρέους συγχώρησιν, εἰ μὴ τοῦτο ἰδικῶς[1] συνέδοξε.

19. Καὶ κεφ. λη´[2]. Ὁ παραχωρηθεὶς μέρος χρέους καὶ συμφωνήσας τὸ λοιπὸν εἴσω προθεσμίας καταβαλεῖν ἢ ἐπιδιδόναι τὸ πᾶν, ὑπερήμερος γενόμενος ἀπαιτεῖται τὸ ὅλον.

20. Καὶ κεφ. μζ´[3]· Ὁ τοῦ μέλλοντος χρόνου λαβὼν τόκον σιωπηρῶς συμφωνεῖ μὴ ἀπαιτῆσαι τὸ κεφάλαιον ἐν τοσούτῳ.

---

[1] Lips. addit εἶναι. [2] Imo est schol. I ad Basil. XI, 1, 46. [3] Leuncl. λθ´.

Τὸ δὲ αὐτὸ σύμφωνον εἶναι δύναται ἀπὸ μὲν τοῦ ἑνὸς μέρους προσωπικὸν, ἀπὸ δὲ τοῦ ἑτέρου γενικόν· ἐὰν γὰρ εἴπω, ἐγὼ οὐκ ἀπαιτήσω, οἱ κληρονόμοι μου καὶ σὲ καὶ τοὺς κληρονόμους σου ἀπαιτοῦσιν· εἰ δὲ εἴπω, σὲ οὐκ ἀπαιτῶ, κἀγὼ καὶ οἱ κληρονόμοι τοὺς κληρονόμους σου ἀπαιτοῦμεν.

21. Ἀνάγν. καὶ βι. ιε' τί. δ' κεφ. ιη' καὶ κη', ἐν ᾧ φησιν· Ὁ χρεώστης καταβαλὼν, ὅπερ ἐποφείλει, κινεῖ τὴν ἀποκαταστατικὴν ἀγωγὴν, ἀπαιτῶν καὶ τὸ χειρόγραφον αὐτῷ ἀναδοθῆναι καὶ τὰ ἄλλα δικαιώματα τὰ ἀνήκοντα τῷ συναλλάγματι.

22. Ἀνάγν. καὶ βι. ιζ' τί. β' κεφ. ιβ' καὶ βι. κγ' τί. α', οὗτινος ἐν τῷ ε κεφ. φησίν· Ὁ χρεωστῶν μοί τι ἐὰν ἐμποδίσῃ δοῦναι αὐτὸ, καὶ ἀπόληται, αὐτὸς ζημιοῦται. ἐμποδίζει δὲ οὐ μόνος ὁ ἐσχηκὼς εὐχέρειαν καὶ μὴ δεδωκὼς, ἢ δόλῳ μὴ ἐσχηκὼς, ἀλλὰ καὶ ὁ εὐλόγως ὀφείλων εἰδέναι ὡς ἐχρῆν αὐτὸν δοῦναι.

23. Ἐν δὲ τῷ ια' κεφ. Ἐὰν δανείσω σοι ι' νομίσματα ἐπὶ τῷ ἀποδοῦναί μοι θ', εἰς μόνα τὰ θ' ἐνέχῃ. εἰ δὲ ἐπὶ τῷ ἀποδοῦναι ια', τὰ ι' μόνα ἀπαιτῶ.

24. Ἐν δὲ τῷ νε' κεφ. Ἐάν τις δανείσηται χρήματα, εἰ καὶ εἰς ἀλλότρια πράγματα ἐδανείσατο[e], αὐτὸς ἐνέχεται, μὴ περιεργαζομένων ἡμῶν τὴν αἰτίαν.

25. Ἐν δὲ τῷ νη' κεφ. Ὁ δανείσας ἄρχοντι ἐπαρχίας, ἐὰν ἐν τῇ ἐπαρχίᾳ ἧς ἄρχει[1] παραγένηται ὀφείλων λαβεῖν παρ' αὐτοῦ τὰ κεχρεωστημένα, ἐπειδὴ πρόξενος αὐτῷ γίνεται κλοπῆς[f], ὡς ἀγοραστὴς τῶν νόμων ἐξοριζέσθω. εἰ δὲ μέλλοντι αὐτῷ ἄρχειν δανείσει τὴν δόσιν τῆς ἀρχῆς, αὐτὸς καὶ ὁ ἄρχων ἐξοριζέσθω.

26. Ἐν δὲ τῷ νθ' κεφ. Ἐὰν προφέροιτό τινος συγγραφὴ, ὁ δὲ αὐτὴν ἐξαρνοῖτο καὶ ταῦτα γράμματα ἔχουσαν αὐτοῦ, ὡς ἀναγκασθῆναι τὸν διώκοντα πράγματα ὑπομεῖναι περὶ τὴν σύστασιν αὐτῆς, ἢ τὰ μὲν γράμματα δέχοιτο, φήσει δὲ μὴ καταβεβλῆσθαι τὸ χρέος αὐτῷ, καὶ συσταίη τοῦτο νομίμοις τρόποις ὁ διώκων, τὴν καταδίκην κατ' αὐτοῦ διπλασίαν ἐφ' ἑκατέρου θέματος γίνεσθαι θεσπίζομεν. οὐχ ὅτι τοῖς πικροτέροις τῶν νόμων[g] ἡδόμεθα, ἀλλ' ὅτι τὰς δίκας διὰ τούτων

---

e Εἰ καὶ εἰς ἀνοικοδομὴν ἑτέρου προσώπου πρᾶγμά τι ἐδανείσατο.

f Τῶν δημοσίων ἢ κλοπῆς τῆς ἐν κρυπτῷ δωροδοκίας, δι' ἣν ἡ ἐλευθερία τῶν νόμων καταδουλοῦται.

g Κατὰ τὸν ἀκουΐλιον, δι' οὗ πάλαι ὁ δῆμος ἐνομοθέτησε τὸν ἀγνωμο-

---

1 Lips. εἰς ἀρχήν.

ἐλάττους ἀποτελοῦμεν, ὥστε τῷ δέει τῆς ποινῆς θᾶττον αὐτοὺς λέγειν, ἅπερ ὁμολογεῖν προσήκει. ταῦτα δέ φαμεν, εἰ μὴ περὶ τὰς ἀποδείξεις ὁ διώκων ἀπειπὼν ὅρκῳ τοῦ φεύγοντος τὴν μέχρι νῦν ἄρνησιν λυθῆναι βουληθείη. εἰ γὰρ τοιοῦτό τι πράξειεν, εἰ μὲν εὐθὺς ἐξ ἀρχῆς μετὰ τὴν ἄρνησιν ἐπαγάγοι τὸν ὅρκον, κἀκεῖνος εὐθὺς ὁμολογήσειε τὸ εἰς ἄρνησιν ἐνεχθὲν, ἀκινδύνως τό γε εἰς τὸ διπλάσιον ἔσται. εἰ δὲ μακροτέρας γενομένης τῆς δίκης τηνικαῦτα ὁ διώκων ἐπαγάγοι τὸν ὅρκον, ὁ δὲ καὶ οὕτως τὸ ἐπαγόμενον[h] ὁμολογήσειε, τῆς μὲν τοῦ διπλασίονος αὐτὸν ἐξαιροῦμεν ποινῆς, πᾶσαν δὲ τὴν δαπάνην τὴν μέχρι τότε γεγενημένην διὰ τὰς ἀποδείξεις ἐνάγοντι τῷ[1] ὅρκῳ τούτου κρινομένην[2] καταβάλλειν τὸν τὴν ἀρχὴν μὲν ἀρνησάμενον, ὕστερον δὲ ὁμολογήσαντα κελεύομεν. εἰ δέ τις τὴν ἀρίθμησιν ἐπ᾽ αὐτῷ γενέσθαι τῶν χρημάτων ἀρνησάμενος, εἶτα ὕστερον χρήσαιτο καταβολαῖς παρ᾽ αὐτοῦ γενομέναις[i], τῷ τοιούτῳ μηδὲν ὄφελος εἶναι τῶν ταῖς ἀληθείαις καταβεβλημένων θεσπίζομεν, ἀλλ᾽ ὁλόκληρον αὐτὸν τὸ χρέος ἀπαιτεῖσθαι κελεύομεν, καὶ ταύτην μόνην ὑπέχειν τῆς ἀρνήσεως τὴν ποινήν· οὐδενὸς τῶν δικαζόντων οὐδὲ πρὸς τοῦτο ὑποκατακλινομένου[k], ἀλλὰ τὴν ἀκρίβειαν τοῦ νόμου φυλάττοντος. εἰ δὲ καὶ ὁ φεύγων προκομίσειε τοῦ διώκοντος γράμματα, εἶτα ἐκεῖνος ταῦτα ἀρνηθείη, ὁ δὲ συσταίη τοῦτο, μὴ μόνον ἐκεῖνο λογιζέσθω, περὶ οὗ τὰ τῆς ἀρνήσεως ἦν, ἀλλὰ καὶ τοσοῦτον ἕτερον προσκατατιθέσθω. κἀνταῦθα δὲ ὁ περὶ τῆς τῶν ὅρκων δόσεως ὁμοίως καὶ [ἐπὶ] τοῦ ἐνάγοντος εἰσαγέσθω λόγος.

27. Ἀνάγν. καὶ τί. β', οὗτινος ἐν τῷ α' κεφ. φησί· Θεσπίζομεν, εἴ τις ἐκείνου περιόντος ἔτι τοῦ νομιζομένου χρεωστεῖν αὐτῷ καταλάβοι οἰκίαν τὴν αὐτοῦ, καὶ ἐνοχλοίη περιόντα τὸν ἄνθρωπον καὶ τοὺς οἰκείους τοὺς αὐτοῦ (γαμετήν φαμεν καὶ παῖδας καὶ οἶκον ὅλον) ἢ καὶ σήμαντρα[1] κατ᾽ οἰκείαν ἐξου-

---

νοῦντα καὶ ἀρνούμενον τὸ ὄφλημα διπλαῖς ἐνέχεσθαι ταῖς εἰσπράξεσιν. ἣν δὲ ὁ ἀκουΐλιος οὗτος δήμαρχος, ἀφ᾽ οὗ καὶ ἡ νομοθεσία αὕτη ἀκουϊλία κέκληται.

h Τὸ περὶ τοῦ χρέους ἐπαγόμενον αὐτῷ.

i Ὡς τοῦ δανειστοῦ ἀριθμηθῆναι αὐτῷ τὸ δάνειον ἰσχυρῶς ἀποδείξαντος, ἐκείνου δὲ ἀναγκαίως καταθεμένου, μέρος δὲ καταβαλεῖν τοῦ χρέους ἀποδεικνῦντος.

k Οὐκ ἔχοντος τοῦ δικαστοῦ εὐχέρειαν πρὸς τὸ συμπαθέστερον ἀποκλῖναι.

l Σφραγῖδας.

---

1 Bas. τῷ ἐνάγ. ὅρκῳ. 2 Lips. γενομένην.

σίαν ἐπιτιθέναι τολμώη[1], μὴ πρότερον ψήφου καὶ τάξεως νομίμης μετὰ τὴν τοῦ λεγομένου χρεωστεῖν τελευτὴν φυλαχθείσης· τῆς μὲν ἀγωγῆς πάντως, εἴτε δικαίαν ἔχει ταύτην εἴτε καὶ μὴ, ἐκπιπτέτω· ὁπόσον δὲ ὀφείλεσθαι λέγει, τοσοῦτον ἕτερον προσαπαιτείσθω, καὶ διδότω τοῖς τοῦ περινβρισμένου κληρονόμοις. δήμευσιν δὲ εἰς τὸ τρίτον τῆς περιουσίας ὑφιστάσθω, καθὰ καὶ μάρκος ὁ φιλοσοφώτατος τῶν αὐτοκρατόρων ἐπὶ τῶν ἑαυτοῦ γέγραφε νόμων, καὶ ἀτιμίᾳ πληττέσθω. ὁ γὰρ τὴν ἀνθρώπου φύσιν μὴ[2] αἰσχυνθεὶς δίκαιος ἂν εἴη καὶ χρήμασι καὶ δόξῃ καὶ τοῖς ἄλλοις ἅπασι ζημιοῦσθαι. εἰ δὲ καὶ τελευτήσαντός [τινος] περὶ τὴν ταφὴν ἁμάρτοι τὶς τοῦ τελευτήσαντος καὶ τὴν ἐκφορὰν κωλύει, γέγραπται μὲν ἤδη νόμος καὶ τῷ ἡμετέρῳ πατρὶ[m] περὶ τούτων, πλὴν ἀλλὰ καὶ ἐξ ἡμῶν μείζων ἐπέστω[3] τοῖς πλημμελήμασι ποινὴ, καὶ τοῖς αὐτοῖς ὑποκείσθω οἷς ὁ παρὼν ὑπάγει νόμος τοὺς ἐν ζωῇ τοιοῦτό τι ὁποῖον ἔφημεν πλημμελήσαντας[n].

28. Ἀλλὰ[o] μηδὲ τοὺς κληρονόμους τοῦ τελευτήσαντος ἢ τοὺς γονεῖς ἢ τοὺς παῖδας ἢ γαμετὴν ἢ τοὺς ἄλλους συγγενεῖς ἢ καὶ προσγενεῖς καὶ ἐγγυητὰς μηδενὶ παντελῶς ἐξεῖναι θεσπίζομεν πρὸ τῆς [τῶν] θ' ἡμερῶν προθεσμίας, ἐν αἷς πενθεῖν δοκοῦσιν, αἰτιᾶσθαι ἢ καθ᾽ οἱονδήποτε τρόπον παρενοχλεῖν, ἤ τινα ὑπόμνησιν αὐτοῖς ἐπιφέρειν, ἢ ἐν δικαστηρίῳ αὐτοὺς καλεῖν, εἴτε ὀνόματι χρέους παρὰ τοῦ τελευτήσαντος καταγομένου εἴτε ἄλλης οἱασοῦν αἰτίας χάριν εἰς τὰ μνημονευθέντα ἰδικῶς ἑρώσης πρόσωπα. εἰ δὲ ἐντὸς τῶν θ' ἡμερῶν τολμήσει τίς τινα τῶν εἰρημένων κρατῆσαι προσώπων ἢ μεθοδεῦσαι, ἤ τινα ὁμολογίαν ἢ ὑπόσχεσιν ἢ ἐγγύην παρ᾽ αὐτοῦ κομίσασθαι, ταῦτα [πάντα] ἀνίσχυρα εἶναι θεσπίζομεν. μετὰ δὲ τὴν τῶν θ' ἡμερῶν παραδρομὴν, εἴ τις κατὰ τῶν τοιούτων προσώπων τινὰς ἔχειν νομίσειεν ἀγωγὰς, ταύτας κατὰ τὸν νόμον ἐγγυμναζέτω· μηδενὸς δηλαδὴ τοῖς ἐνάγουσι προκρίματος ἐκ ταύτης τῆς προθεσμίας περὶ χρονίαν παραγραφὴν ἢ ἐν ἄλλῃ οἱᾳδήποτε νομίμῳ δικαιολογίᾳ παντελῶς γινομένου.

---

[m] Τῷ ἰουστίνῳ τῷ πατρὶ αὐτοῦ τοῦ ἰουστινιανοῦ.

[n] Ἔσωθεν γὰρ τῶν ἐννάτων κινῶν κατὰ τοῦ τελευτήσαντος χρεώστου, καὶ ἐνοχλῶν τοῖς κληρονόμοις αὐτοῦ, ἐκπίπτει τοῦ χρέους· οὐδὲ οἱ ἐγγυηταὶ ἐνάγονται παρὰ τῶν δανειστῶν πρὸ τῶν ἐννάτων.

[o] Ὁ μέγας ἰουστινιανὸς ὁ ταῦτα λέγων ἐν νεα. ριε'.

---

[1] Lips. τολμῶν. [2] Leuncl. οὐκ. [3] Leuncl. et Bas. ἐπέσθω.

29. Ἐν δὲ τῷ β' κεφ. Ἐπειδὴ δὲ καὶ τοιαύτην ἀσέβειαν ἐν διαφόροις τόποις τῆς ἡμετέρας πολιτείας ἔγνωμεν ἁμαρτάνεσθαι, ὅτι οἱ δανεισταὶ τὰ τέκνα τῶν χρεωστούντων τολμῶσι κατέχειν ἢ εἰς ἐνέχυρον ἢ εἰς δουλικὴν ὑπηρεσίαν ἢ μισθοῦντες, τοῦτο πᾶσι τρόποις κωλύομεν· καὶ κελεύομεν, εἴ τις τοιοῦτόν τι πλημμελήσει, μὴ μόνον ἐκπίπτειν αὐτὸν τοῦ χρέους, ἀλλὰ καὶ τοσαύτην ἄλλην ποσότητα καταδικάζεσθαι δοθησομένην τῷ κρατηθέντι παρ' αὐτοῦ ἢ τοῖς γονεῦσιν αὐτοῦ, καὶ μετὰ τοῦτο καὶ σωματικαῖς ποιναῖς αὐτὸν καθυποβάλλεσθαι παρὰ τῶν κατὰ τόπον ἀρχόντων, ἐπειδὴ πρόσωπον ἐλεύθερον ὑπὲρ χρέους ἐτόλμησε κατασχεῖν ἢ μισθῶσαι ἢ ἐνεχυράσαι.

30. Ἐν δὲ τῷ γ' κεφ. Εἴ τις γυνὴ ἐν δανειακῷ γραμματείῳ συναινέσει τῷ οἰκείῳ ἀνδρὶ ἢ ὑπογράψει, καὶ τὴν οἰκείαν περιουσίαν ἢ καὶ ἑαυτὴν ἔνοχον ποιήσει, κελεύομεν, μηδὲν τοιοῦτον ἰσχύειν ἢ κρατεῖν, εἴτε ἅπαξ εἴτε πολλάκις τοιοῦτό τι ὑπὲρ τοῦ αὐτοῦ πράγματος γένηται[p], εἴτε ἰδιωτικὸν εἴτε δημόσιον εἴη τὸ ὄφλημα, ἀλλ' οὕτως εἶναι, ὡσανεὶ μηδὲ γεγραμμένον ἦν, εἰ μὴ φανερῶς ἀποδειχθῇ, ὅτι τὰ χρήματα εἰς ἰδίας αὐτῆς τῆς γυναικὸς χρείας ἐδαπανήθησαν.

31. Ἀνάγν. καὶ βι. κδ' τί. α' κεφ. ις' καὶ λα'. ἀνάγν. καὶ τί. γ' κεφ. α', ἐν ᾧ φησιν· Ὁ διὰ τροφὰς στρατιωτῶν ἀπὸ πριμιπίλου[1] τῷ δημοσίῳ χρεωστῶν, ἐὰν ἄπορος εὑρεθῇ, ὀφείλουσιν οἱ τούτου χρεῶσται, κἂν μετὰ αἱρέσεως χρεωστῶσιν, ἐνάγεσθαι πρὸ τοῦ ὡρισμένου χρόνου καὶ ἀπαιτεῖσθαι τὰ κεχρεωστημένα[q].

32. Ἐν δὲ τῷ ζ'[2] κεφ. Ἀνὴρ ἔχων δανειστὰς ἐμίσθωσε τὸν ἴδιον ἀγρὸν, ὁ δὲ μισθωτὸς τὸν συναρέσαντα μισθὸν κατέβαλε τῷ μισθώσαντι. μετὰ ταῦτα ἐλθόντες οἱ δανεισταὶ ἐβούλοντο τὸν μισθὸν ἀπαιτεῖν· καὶ ἡ διάταξις ἀρνεῖται τὴν με-

---

[p] Κἂν ἅπαξ ἡ γυνὴ κἂν πολλάκις ἐπὶ τοῦ αὐτοῦ πράγματος συναινέσῃ, ὡς εἴρηται, ἐντὸς διετίας οὐκ ἀπόλλυσι τὸ ἀνῆκον αὐτῇ. ἀλλ' εἴπερ μετὰ διετίαν πάλιν συναινέσει ἐπὶ τῷ αὐτῷ δι' ἑτέρου ἐγγράφου, καὶ ἐν τῷ προτέρῳ ἐγγράφῳ ἀποτάξεται τῷ βελλιανείῳ δόγματι πρὸς τὸ συναλλάξαν τῷ ἀνδρὶ πρόσωπον, τότε ὑπάγεται τὸ πρᾶγμα τῇ ἐνοχῇ.

[q] Μὴ ἐναντιωθῇ σοι τὸ κείμενον ἐν τῇ δ' ἰνστιτουτιόνι καὶ ἐν ἑτέροις βιβλίοις, ὅτι ὁ πρὸ τῆς ἡμέρας κινῶν περὶ τοῦ ἐποφειλομένου αὐτῷ χρέους ἄλλον τοσοῦτον χρόνον ἀναγκάζεται παρα[μένειν] ὅσον λαβεῖν[3] ἐτόλμησεν. ἐνταῦθα γὰρ ἡ ἀνάγκη τῆς διατροφῆς τῶν στρατιωτῶν ἐποίησε καὶ πρὸ τῆς ἡμέρας τὴν ἀπαίτησιν.

---

[1] Leuncl. Ὁ διατροφὰς στρατιώταις τῷ δημ. [2] Lips. ιζ'. [3] Leuncl. emendat προλαβεῖν.

θοδείαν, λέγουσα οὕτως· διὰ τὰς αἰτίας τοῦ ἰδιαζόντως χρεώστου[1] τοῦ μισθώσαντος μεθοδεύεσθαι τοὺς μισθωσαμένους, τοῖς κανόσι καὶ τῷ συναρέσαντι μισθώματι τὸ ἱκανὸν ποιήσαντας, πάνυ ἄδικόν ἐστι.

33. Ἐν δὲ τῷ ι' κεφ. Ὁ δανειστὴς ἀντὶ καταβολῆς λαβὼν παρὰ τοῦ ἰδίου χρεώστου γραμματεῖόν τινος ἄλλου αὐτῷ τῷ χρεώστῃ ἐποφείλοντος ἔχει καὶ τὰς ὑποθηκαρίας ἀγωγάς. εἰ δὲ καὶ προγενέστεροι ἐκείνου δανεισταὶ ὑποθήκας ἔχοντες ἐπώλησαν ταῦτα τὰ πράγματα, παρὰ τῶν ἀγοραστῶν οὐκ ἀποσπῶνται.

34. Ἐν δὲ τῷ ιδ' κεφ. Ἡ κατὰ τοῦ χρεώστου προσωπικὴ ἀγωγὴ οὐκ ἀναιρεῖται, κἂν ὁ δανειστὴς ἐπιλέξηται τὰ ἐνέχυρα· ἀλλὰ λογίζεται μὲν εἰς τὸ χρέος τὸ τίμημα τοῦ ἐνεχύρου, τὸ δὲ ὑπόλοιπον ἀπαιτεῖ διὰ τῆς προσωπικῆς ἀγωγῆς[r].

35. Ἐν δὲ τῷ ιε' κεφ. Ὁ δανείσας μισθωτοῖς οὐ δύναται τὸν δεσπότην αὐτῶν ἀπαιτεῖν, οὐδὲ εἰ παρόντος αὐτοῦ ἐδάνεισεν.

36. Οὐκ ἀναγκάζονται οἱ ἄποροι χρεῶσται δουλεύειν τοῖς ἰδίοις δανεισταῖς[s].

37. Ἀνάγν. καὶ τί. δ', ἐν ᾧ φησι τοῦ μὴ εὐθύνεσθαι ἄλλον ἀντ' ἄλλου. οὗτινος ἐν τῷ β' κεφ. φησίν· Οὐδὲ ἐὰν ὁ ἀνὴρ δημευθῇ, συνυπάγονται τῇ δημεύσει τὰ πράγματα τῆς γυναικός.

38. Ἐν δὲ τῷ δ' κεφ. Μήτηρ ὑπὲρ τῶν τοῦ παιδὸς χρεῶν μερικὴν ποιησαμένη καταβολὴν, καὶ ἀπαιτουμένη καὶ τὰ λοιπὰ παρασχεῖν, ἐδεήθη βασιλέως· καὶ ἀντιγράφει πρὸς αὐτὴν ἡ διάταξις· ὅτι εἰ καὶ μέρος τῶν χρεῶν τοῦ παιδὸς κατέβαλες, τὰ λοιπὰ παρασχεῖν οὐκ ἀναγκάζῃ[t].

39. Ἀνάγν. [καὶ] τί ε', ἐν ᾧ φησι περὶ τῶν μετὰ τὴν ἐλευθερίαν ἐνεχομένων ὑπὲρ ὧν ἐν δουλείᾳ ἐχρεώστησαν. ἀνάγν. καὶ τί. ς', ἐν ᾧ διαλαμβάνεται περὶ μὴ χρεωστουμένων, καταβληθέντων δὲ καὶ ἀπαιτουμένων, περὶ ὧν προείρηται ἐν τῷ περὶ ἀπαιτήσεως.

---

r Ἐκβάλλεται εἰ διώκεται ἀπὸ τῶν ἐνεχύρων ἱκανωθῆναι. εἰ οὖν μὴ ἐξικανεῖ[2] ταῦτα, οὐ κωλύεται καὶ τὸ λοιπὸν ἐκζητεῖν. καὶ γὰρ ἡ κατὰ τοῦ χρεώστου προσωπικὴ καὶ[3] ἡ περὶ κληρονομίας, λεγάτων, πράσεως, μισθώσεως, κοινωνίας, καὶ αἱ λοιπαί.

s Οὐδένα γὰρ τῶν ἐλευθέρων ὁ νόμος τὰ τῶν δούλων ποιεῖν βούλεται.

t Καὶ γὰρ οὐ τὸ μέρος παρασχεῖν ἀναγκάζεται.

---

[1] Bas. τοῦ ἰδιάζοντος χρέους. [2] Leuncl. conj. ἐξικνεῖ. [3] Heimb. legi vult ὡς pro καί.

40. Ἐν δὲ τῷ ξε' κεφ. τοῦ αὐτοῦ [ς'] τί. φησίν· Οὐκ ἀπαιτεῖ ὁ δημόσιος τοὺς χρεώστας τοῦ ἰδίου χρεώστου, εἰ μὴ ὅτε αὐτὸς ὁ πρωτότυπος ἄπορος εὑρεθῇ[u].

41. Ἀνάγν. καὶ τί. ζ', ἐν ᾧ διαλαμβάνεται περὶ κληρονομιαίων χρεῶν. οὗτινος ἐν τῷ δ' κεφ. φησί· Ἐὰν ἄνηβος κληρονομήσῃ τινά, ὀφείλει τὰ κληρονομιαῖα χρέα καταβαλεῖν[v].

42. Ἐν δὲ τῷ ζ' κεφ. Περὶ χρεῶν οἱ κληρονόμοι κατέχονται, οὐχ οἱ λεγατάριοι.

43. Ἀνάγν. καὶ τί. ι', ἐν ᾧ διαλαμβάνεται περὶ ἀντελλόγου χρέους. οὗτινος ἐν τῷ κγ' κεφ. φησίν· Ἀπαιτοῦντος ἐπιτρόπου ὀρφανικὸν χρέος οὐ συμψηφίζεται χρέος ἰδικὸν τοῦ ἐπιτρόπου.

44. Ἐν δὲ τῷ κδ' κεφ. Καὶ ὁ δημόσιος ἀπαιτῶν καὶ χρεωστῶν ὑφίσταται συμψηφισμόν.

45. Ἐν δὲ τῷ κε' κεφ. Ὁ δημόσιος ἐν διαφόροις ἐπαρχίαις ἔχει τοὺς προνοοῦντας τῶν αὐτοῦ πραγμάτων, καὶ λέγεται ἑκάστη φροντὶς στατίων. κἀκεῖνο δὲ μάθε, ὅτι ὁ δημόσιος ἐνάγων ὑπομένει ἀντέλλογον, πλὴν τότε μόνον, ὅτε ἡ αὐτὴ στατίων ἐστὶν ἡ καὶ χρεωστοῦσα. κεχωρισμένος γάρ ἐστιν ὁ λόγος ἑκάστης στατίωνος. καὶ ἐὰν εἴπωμεν γίνεσθαι τοὺς ἀντελλόγους, συγχέονται αἱ φροντίδες καὶ οἱ λόγοι τῶν καθολικῶν[w].

46. Ἐν δὲ τῷ κς' κεφ. Ὁ μὲν μὴ χρεωστούμενον καταβαλὼν ὡς ἀπὸ καταδίκης οὐ δύναται αὐτὸ ἀναλαμβάνειν. ἀλλ' οὐδὲ ἐξ ἄλλης αἰτίας ὁ χρεωστῶν δύναται εἰς ἀντέλλογον αὐτῷ ἀντιτιθέναι λέγων, ὅτι λόγισαί μοι τὸ μὴ χρεωστούμενον ὃ κατέβαλόν σοι. τῇ μέντοι καταδίκῃ κινουμένῃ δύναται ἀντέλλογος ἀντιτεθῆναι[x].

47. Ἐν δὲ τῷ κζ' κεφ. Μέχρι τῆς συγκροτούσης[y] ποσότη-

---

[u] Αἰσχύνεται γὰρ ὁ δημόσιος ἀλλότριον αὐτῷ ἀπαιτεῖν.

[v] Μὴ προβαλλέτω τὴν ἡλικίαν ὁ ὀρφανὸς εἰς τὴν τῶν χρεωστουμένων ὑπέρθεσιν.

[w] Μηδεὶς ἀντιτιθέτω κομπεσσατίονα τῷ φίσκῳ, εἰ μὴ ἐκ τῆς αὐτῆς κεχρεώστηται στατίωνος ἐξ ἧς μεθοδεύεται. ἐὰν γὰρ τυχὸν ἀπῄτει δημόσιον χρέος ὁ ἐν ἀλεξανδρείᾳ καθολικός, ὁ δὲ χρεώστης ἔλεγεν ἐν ἀντιοχείᾳ χρεωστεῖσθαι ἑαυτῷ, ἐπειδὴ ἄλλη στατίων ἐστὶ, οὐκ ἔχει τὴν παραγραφήν.

[x] Τουτέστιν, ὁ ἀπὸ καταδίκης καταβαλών, κἂν παράνομος ἦν, οὐ μόνον οὐ δύναται τὸ καταβληθὲν ἁπλῶς ἀναλαμβάνειν, ἀλλ' οὐδὲ εἰς ἀντέλλογον ἑτέρου τινὸς χρεωστουμένου παρὰ τοῦ ἀντιδίκου αὐτῷ τοῦτο ἀντιτιθέναι, εἰ μὴ προσελεύσει χρήσεται καὶ τὰ τῆς δίκης ἄνωθεν γυμνασθῇ.

[y] Τῆς ἐξισαζούσης.

τος τῆς ἐξ ἑκατέρου πλευροῦ κεχρεωστημένης ἡ τοῦ ἀντελλόγου δύναμις μίμησιν ἔχει καταβολῆς, καὶ ἐξ ἐκείνου ἀναιρεῖται ἑκατέρῳ ἡ ἀπαίτησις τῶν τόκων. ἐπὶ δὲ τῇ ὑπερβαλλούσῃ ποσότητι ἔστω ἰσχυρὰ ἡ τῶν τόκων ἀπαίτησις, εἴ γε ὅλως κεχρεώστηνται τόκοι ἐξ ἐπερωτήσεως[z].

48. Ἐν δὲ τῷ λα΄ κεφ. Ἐὰν ἀπὸ πράσεως τὸ τίμημα τῷ πράτῃ[aa] κεχρεώστηται, ὁ τοῦ ἀντελλόγου ἀντίκειται λόγος. κατὰ τοῦ δημοσίου γὰρ μόνου οἱ ἀγορασταὶ τῇ ἀπαιτήσει τοῦ τιμήματος ἀντέλλογον ἀντιθεῖναι κωλύονται.

49. Ἀνάγν. [καὶ] βι. κς΄ τί. α΄ κεφ. οβ΄, ἐν ᾧ φησιν· Ἐὰν τὸ χρέος μετατεθῇ ἤτοι ἀνακαινισθῇ[bb], ἐλευθεροῦνται καὶ οἱ ἐγγυηταὶ καὶ οἱ μανδάτορες, εἰ μὴ ἄρα πάλιν ἐνόχους ἑαυτοὺς εἰς τὸ χρέος ἐποίησαν.

50. Ἀνάγν. καὶ τί. γ΄, οὗτινος ἐν τῷ ς΄ κεφ. φησίν· Ἐὰν πολλοὶ μὲν ὡμολόγησαν, εἷς δὲ ἀπαριθμηθῇ, οὐδὲν ἧττον πάντες εὐθύνονται, μὴ δυνάμενοι ἀναργυρίαν αἰτιᾶσθαι οἱ μὴ λαβόντες.

51. Ἀνάγν. καὶ τί. δ΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Μετάθεσις[cc] χρέους ἐστὶ τοῦ προτέρου χρέους εἰς ἑτέραν ἐνοχὴν ἢ φυσικὴν μεταγωγὴ[1], ἐφ᾽ ᾧ τὴν πρώτην ἀναιρεθῆναι[dd].

Πᾶσα δὲ ἐνοχὴ διὰ τῆς ἐπερωτήσεως δύναται καινοποιεῖσθαι καὶ μεταφέρεσθαι, εἴτε πολιτική ἐστιν εἴτε τῆς ἐξ ἐπερωτήσεως ἢ τῆς ἐκ συναλλάγματος, ἵνα μέντοι ἡ β΄ ἐνοχὴ ἔῤῥωται ἢ πολιτικῶς ἢ φυσικῶς· ὡς ὅτε ἄνηβος χωρὶς αὐθεντείας ἐπιτρόπου ἐπερωτᾶται[ee].

52. [Ἐν δὲ τῷ λγ΄ κεφ. Ἐὰν μετάθεσις γένηται τοῦ χρέους, ἀφανίζεται τελείως ἡ προτέρα ἐνοχή.]

---

z Ἐάν τις χρεωστῶν ἀντιχρεωστηθῇ, μειούσθω παραχρῆμα τὸ χρέος, καὶ μόνου τοῦ πλείονος ἀπαιτείσθωσαν τόκοι· μόνον εἰ ὕπεστιν ἡ τούτων ἀπαίτησις.

aa Χρεωστοῦν[τι] τῷ ἀγοραστῇ τοῦ πράγματος.

bb Τουτέστι τῆς πρωτοτύπου ἐνοχῆς μετατεθείσης καὶ τοῦ χρέους.

cc Νοβατίων. μετάθεσις τῆς ἐνοχῆς ἀπὸ τοῦ μετατίθεσθαι τὸν παλαιὸν χρεώστην εἰς καινόν.

dd Μετάθεσις δὲ χρέους ἐστὶν, ἡνίκα ὁ χρεώστης ἕτερον ἀνθ᾽ ἑαυτοῦ δῷ πληρῶσαι τὸ χρέος.

ee Τοῦτο γὰρ κατὰ νόμον οὐ συνίσταται οὔτε ὑποβάλλεται ἀπαιτήσει. φυσικῶς δὲ ἐρωτᾶται[2] ὅταν ἀπὸ ἐλευθέρου προσώπου ἐλεύθερος ἐπερωτᾶται.

---

1 Lips. μεταγωγήν. Sed adde πολιτικὴν ante ἢ φυσ. Ita Bas. 2 Leuncl. emendat ἐπερ.

53. Ἐν δὲ τῷ λϛ' κεφ. Ὁ ὑπὲρ ἄλλου ἐπερωτηθεὶς ὀφείλει τὸ ἱκανὸν ποιῆσαι, κἂν αὐτὸς μὴ ἔλαβεν.

54. Οὐδὲ τῷ δανειστῇ τοῦ δανειστοῦ μου ἄκων ὑποβάλλομαι[ff].

55. Ἐν δὲ τῷ λη' κεφ. Ἐάν τις ἢ ἄλλο πρόσωπον προσλάβῃ ἢ ἐναλλάξῃ, ἢ ἐνέχυρον λάβῃ, ἢ τὸ χρέος αὐξήσῃ ἢ μειώσῃ [ἢ] αἵρεσιν ἢ χρόνον προσθήσῃ, μὴ εἶναι [τοῦτο] χρέους ἀνακαινισμὸν, εἰ μὴ ἰδικῶς τοῦτο ῥηθῇ, ὅτι ἀπὸ τοῦ παλαιοῦ ἀναχωροῦμεν χρέους. ἡμεῖς γὰρ τοῖς ῥήμασι προσέχομεν τοῖς οὖσιν, οὐ μὴν ἑρμηνείᾳ.

56. Ἀνάγν. καὶ τί. ε', οὗτινος ἐν τῷ α' κεφ. φησί· Τῷ ἐκ πολλῶν αἰτιῶν χρεωστοῦντι ἔξεστι λέγειν ἐν τῷ καταβάλλειν, εἰς ποῖον δίδωσι χρέος. εἰ δὲ μὴ εἴποι, ἔξεστι τῷ δανειστῇ παραχρῆμα λέγειν εἰς ποῖον λαμβάνει, οὕτω μέντοι, ἵνα μὴ εἰς ἀμφίβολον ἢ[1] τὸ ἐξ ἐγγύης αὐτῷ χρεωστούμενον[gg] ἢ τὸ ὑπὸ ἡμέραν πρὸ τῆς ἡμέρας. οὕτω γὰρ ὀφείλει προνοεῖν ἐν τούτῳ τοῦ χρεώστου, ὡσανεὶ αὐτὸς χρεωστῶν κατέβαλεν.

57. Ἐν δὲ τῷ καταβάλλειν δύναται καὶ ὁ δανειστὴς λέγειν μὴ δέχεσθαι εἰς ἄλλο χρέος, καὶ ὁ χρεώστης μὴ διδόναι εἰς ἄλλο, παρ' ὃ θέλει.

58. Εἰ δὲ μηδέτερος ὁρίσει, εἰς τὸ σκληρότερον δοκεῖ καταβάλλεσθαι· οἷον τὸ χωρὶς αἱρέσεως·

59. Καὶ εἰς ὅπερ ὀνόματι οἰκείῳ χρεωστεῖ ὁ καταβάλλων, οὐ μὴν ὡς ἐγγυητής· καὶ εἰς τὸ ὑπὸ ποινὴν χρεωστούμενον ἢ ὑπὸ ἐγγύην.

60. Τὸ γὰρ ὑπὸ ἐγγύην χρεωστούμενον βαρύτερόν ἐστι τοῦ χωρὶς ἐγγύης. εἰ δὲ πάντα χωρὶς[2] αἱρέσεως χρέα ἴσα ἐστὶν, εἰς τὸ προγενέστερον δοκεῖ καταβάλλεσθαι[3].

61. Ἐν δὲ τῷ γ' κεφ. Ἐὰν εἴπῃ ὁ δανειστὴς λογίζεσθαι εἰς κεφάλαιον καὶ τόκους τὸ καταβληθὲν, πρῶτον εἰς τόκους λογίζεται, καὶ τότε τὸ περιττὸν εἰς κεφάλαιον.

62. Οὔτε γὰρ τῇ τάξει τῆς γραφῆς προσέχομεν.

63. Ἐν δὲ τῷ δ' κεφ. Ἐάν τις ἐξ αἰτίας ἀτιμοποιοῦ χρεωστῇ

---

ff Εἰ καὶ τοῦ γραμματείου μου διδομένου, αὐτὸ ἀπαιτεῖ με.

gg Διὰ τὸ πρῶτον ὀφείλειν τὸν χρεώστην εὐθυνθῆναι, εἶτα τὸν ἐγγυητήν.

---

1 Leuncl. ἢ ἄρα. 2 Id. τὰ χωρὶς, Bas. καὶ χωρίς. 3 Leuncl. hic subjicit locum, quem supra habes T. IX, 23. Inscriptio Τῷ αὐτῷ κεφ., quam praestat Leunclavius, additamentum arguit.

καὶ μὴ τοιαύτης, εἰς αὐτὴν δοκεῖ καταβάλλειν, καὶ εἰς τὸ ἀπὸ καταδίκης χρεωστούμενον, καὶ εἰς τὸ ἐξ ἀρνήσεως αὖξον, καὶ τὸ ὑπὸ ποινὴν ἐποφειλόμενον[hh].

64. Ἐν δὲ τῷ κϛ' κεφ. Ἐκπίπτει τῆς ἀγωγῆς[ii] ὁ δανειστὴς μὴ δεχόμενος τὸ χρέος.

65. Ἐν δὲ τῷ κθ' κεφ. Ἐὰν τὸ δοθὲν ἐκνικηθῇ ἢ ὑπὸ ὅρον ἐλευθερωθῇ, ἄνωθεν ὁ καταβάλλων ἐνάγεται.

66. Ἐν δὲ τῷ νϛ' κεφ. Κἂν ἀλλότριον δώσω δοῦλον καὶ διὰ χρήσεως κυριευθῇ, ἐλευθεροῦμαι.

67. Ἐν δὲ τῷ ριγ'[1] κεφ. Ὁ ἀνὴρ τὰ κεχρεωστημένα τῇ γυναικὶ ἀφήλικι οὔσῃ λαβὼν οὐ ποιεῖ αὐτῇ πρόκριμα τούτου χάριν, εἰ μὴ τελεία γενομένη ἀπεδέξατο τὸ πραχθέν[kk].

68. Ἐν δὲ τῷ ρκε' κεφ. Ἐὰν ἐν ἐπιλογῇ ἀγρὸν ἀντὶ ἀργυρίων δέδωκας τῷ δανειστῇ, εἶτα πλείονος αὐτὸν οὗτος ἐπώλησεν, αὐτὸς κερδαινέτω, ὥσπερ καὶ ἐζημιοῦτο εἰ ἥττονος ἐπώλησεν.

69. Ἀνάγν. καὶ βι. λε' τί. ιγ' κεφ. λε', ἐν ᾧ φησιν· Ὁ ἄπορος χρεώστης δύναται δοῦλον ἴδιον σὺν ἐλευθερίᾳ γράψαι κληρονόμον, εἰ καὶ τὰ μάλιστα ἐπὶ περιγραφῇ τῶν δανειστῶν [ἡ] ἐλευθερία καταλιμπάνεται. ἐὰν δὲ ὁ οἰκέτης εἰς ἐνέχυρον ᾖ δεδομένος καὶ διέμεινεν ἐν τῷ ἐνεχύρῳ, οὐδὲ παρὰ εὐπόρου[2] δεσπότου δύναται σὺν ἐλευθερίᾳ γραφῆναι κληρονόμος[ll].

---

hh Ὁ καταβαλὼν εἰς τὴν σκληροτέραν ἐνοχὴν δοκεῖ καταβαλεῖν. ὅθεν καί φησιν· ἐάν τις ἐξ αἰτίας ἀτιμοποιοῦ χρεωστῇ τινι καὶ μὴ ἀτιμοποιοῦ, καὶ καταβάλῃ, ἐν τῇ ἀτιμοποιῷ δοκεῖ καταβαλεῖν. ὁμοίως καὶ ἐὰν ἀπὸ καταδίκης χρεωστῇ καὶ ἑτέρας, εἰς τὸ ἀπὸ καταδίκης. τοῦτο δὲ καὶ ἐπὶ τὸ ἐξ ἀρνήσεως αὖξον τὸ διπλοῦν, καὶ εἰς τὸ ὑπὸ ποινὴν φερόμενον. σκληρότεραι γάρ εἰσιν αὗται τῶν ἄλλων ἐνοχῶν, καὶ δοκοῦσι διὰ τοῦτο ἐν αὐταῖς καταβάλλεσθαι.

ii Τῶν ἐνεχύρων δηλονότι καὶ τῆς προσωπικῆς.

kk Λαβοῦσα καὶ συγχρησαμένη καὶ καταναλώσασα ὡς κυρία καὶ μὴ ὑποκειμένη τῷ ἀνδρί· ἐπεὶ ἄλλως συναινέσασα οὐ νοεῖται. τὸ γὰρ μὴ ἀντιλέγειν τῷ ἀνδρὶ ἀπαιτοῦντι ἢ τὸ μὴ ἐπιζητεῖν τὸν δανειστὴν οὐκ ἔστι συναίνεσις, ἐπεὶ ὑπεξουσία ἐστὶ τοῦ ἀνδρὸς τοῦ ἀπαιτοῦντος.

ll Ὁ ἐν ἀπορίᾳ ὢν γραφέτω τὸν οἰκεῖον δοῦλον necessarion κληρονόμον, εἰ μὴ εἰς ἐνέχυρον τοῦτον ἔτυχε δούς· τουτέστιν εἰ καὶ δύναται ὁ ἄπορος ἕνα τῶν δούλων ἐλεύθερον καὶ κληρονόμον γράφειν, ὅμως οὐ συγχωρεῖται ἐπὶ τοῦ εἰς ἐνέχυρον δοθέντος δούλου τοῦτο ποιεῖν. ὁ γὰρ εἰς ἐνέχυρον δοθεὶς οὐκ ἐλευθεροῦται, εἰ μὴ τῇ τοῦ ὅλου χρέους καταβολῇ. ὅλον δὲ εἶπε

---

1 Leuncl. ριβ'. 2 Leuncl. conj. ἀπόρου.

70. Ἀνάγν. [καὶ] βι. να' τί. δ' κεφ. β' θέμ. δ', ἐν ᾧ φησιν· Ὁ τοῦ μέλλοντος χρόνου λαβὼν τόκους δοκεῖ συμφωνεῖν μὴ ἐνάγειν πρὸ συμπληρώσεως τοῦ τοιούτου χρόνου περὶ τοῦ χρέους. κινῶν οὖν ἐκβάλλεται δόλου[1] παραγραφῇ.

71. Ἀνάγν. βι. νβ' τί. α' κεφ. ιδ' καὶ ιε' καὶ ις', ἐν ᾧ φησι· Πάντες δὲ οἱ χρεῶσται, οἱ[2] ἀπὸ ἐπικερδοῦς αἰτίας[mm] ῥητὸν εἶδος χρεωστοῦντες, ἐλευθεροῦνται τοῦ πράγματος ἀπὸ ἐπικερδοῦς αἰτίας εἰς τὸν δανειστὴν ἐρχομένου.

72. Καὶ κεφ. κβ'· Ἐάν τις δανεισάμενος διαπόντιον ὁμολογήσῃ, ὡς εἰ μὴ ἐμπροθέσμως καταβάλῃ, δίδωσι ποινήν, εἰ καὶ [μὴ] ὀχληθεὶς μέρος μόνον τοῦ δανείου ἐμπροθέσμως καταβάλῃ, δίδωσι μετὰ τὴν προθεσμίαν ὁ κληρονόμος[3] τὴν ποινήν. οὔτε γὰρ ἄλλως τῆς ποινῆς ἐλευθεροῦται, εἰ μὴ αὐτὸς οὐκ ἐνεπόδισεν ἐμπροθέσμως καταβαλεῖν.

73. Ἀνάγν. καὶ βι. νγ' τί. ε', οὗτινος ἐν τῷ α' κεφ. φησί· Διαπόντια χρήματά εἰσι τὰ πέραν θαλάσσης ἀπιόντα, οὐ μὴν τὸ ἐπὶ τόπου δαπανώμενα· καὶ τὰ ἐξ αὐτῶν ἀγοραζόμενα, ἐὰν κινδύνῳ τοῦ δανειστοῦ πλέωσιν.

74. Ἐν δὲ τῷ ιε' κεφ. Ὁ διαπόντια ἢ καρποὺς δανείζων τελείαν ἑκατοστὴν δύναται λαβεῖν.

75. Ἐν δὲ τῷ ιη' κεφ. Ὁ μὴ κινδυνεύων δανειστὴς ἐπὶ τοῦ πλοϊσμοῦ τῆς θαλάσσης μείζονα τόκον οὐ λαμβάνει.

76. Ἀνάγν. καὶ βι. ε' τί. β' κεφ. ζ', ἐν ᾧ φησιν· Εἰ δὲ συμβαίη τινὰ τῶν εἰρημένων[4] οἴκων ὀνόματι δημοσίων συντελειῶν ἢ ἄλλης οἱασοῦν συμβαινούσης ἀνάγκης τῷ εὐαγεῖ οἴκῳ χρημάτων δεηθῆναι, ἐξεῖναι τοῖς τούτου διοικηταῖς ἀκίνητον πρᾶγμα ὑποτίθεσθαι καὶ δοῦναι εἰς ἰδικὸν ἐνέχυρον, ἵνα ὁ δανειστὴς νέμηται τὸ αὐτὸ πρᾶγμα καὶ τοὺς τούτου καρποὺς ἀναλέγηται, καὶ λογίζηται ἑαυτῷ τὰ μὲν εἰς τὰ δανεισθέντα[5]

διὰ τὸν ἕτερον κανόνα, ὅς φησιν· [ὁ] μέρος καταβαλὼν οὐκ ἐλευθεροῖ τὸ ἐνέχυρον.

Ἀνατόλιος. Ἐάν τις τὸν ἴδιον δοῦλον οὕτως ἔγραψεν· ὁ ἐμὸς ἀπελεύθερος ἔστω κληρονόμος, δέδεκται κατὰ φιλαγαθίαν· οὐκέτι δὲ καὶ λεγάτον[6] αὐτό ἐστιν.

mm Οἷον ἀπὸ λεγάτου ἢ δωρεᾶς.

---

[1] Lips. χρόνου. [2] Lips. ἤ. [3] Basil. ὁλόκληρον. [4] Leuncl. εὐαγῶν. [5] Lips. δαπανηθέντα. [6] Heimb. emendat: οὐκέτι δὲ καὶ ἐπὶ λεγάτου τὸ αὐτό ἐστιν. Caeterum pertinet haec Anatolii epitome ad Cod. VI, 27, 1.

χρήματα, τὰ δὲ εἰς τόκους μὴ πλείους τοῦ τετάρτου μέρους τῆς ἑκατοστῆς. καὶ κεφ. ι' καὶ ια' [nn].

III.

Περὶ χρέους δημοσίου καὶ προικιμαίου καὶ ἰδιωτικοῦ, καὶ περὶ προτιμήσεως αὐτῶν.

1. Ἀνάγν. βι. θ' τί. ε', οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὁ δανείσας εἰς ἐπανόρθωσιν οἴκου προτιμᾶται.

2. [Ἐν δὲ τῷ β' κεφ.] Ἐν ταῖς προσωπικαῖς οἱ δανείσαντες ἐφ' ᾧ τοῖς πρώτοις δοθῆναι δανεισταῖς, εἰς τὸν τόπον αὐτῶν εἰσέρχονται.

3. Ἀνάγν. καὶ τί. θ', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ἐάν τις χρεωστήσῃ πρῶτον τῷ δημοσίῳ, ὥστε ὑποκεῖσθαι αὐτῷ τὰ πράγματα αὐτοῦ, καὶ μετὰ ταῦτα λάβῃ γυναῖκα, ὥστε [καὶ] τῇ προικὶ ὑποκεῖσθαι, προτιμότερός ἐστι καὶ τῆς προικὸς ὁ δημόσιος. ἐὰν δὲ τὸ ἐναντίον πρότερον ὡς ἀπὸ προικὸς ἐχρεώστησεν, ἡ προὶξ προτιμᾶται τοῦ δημοσίου.

4. Ἐν δὲ τῷ δ' κεφ. Ἐάν τις πωλήσῃ πρᾶγμα [καὶ] μετὰ

[nn] Ζήτει βι. κς' τί. ε' κεφ. ϙθ' θέμ. β'· ὁ δανειστὴς οὐκ ἀναγκάζεται ἄλλου τύπου λαβεῖν, ἐὰν ἐκ τούτου βλάπτηται. ἀνάγνωθι καὶ νεαρὰν δ' κεφ. γ', ἐν ᾧ φησιν, ὅτι μὴ ἔχοντος χρυσίον τοῦ χρεώστου ἀναλαμβάνεται ὁ δανειστὴς τὰ καλλίω τῶν πραγμάτων αὐτοῦ ὑπὸ διατίμησιν. καὶ νεαρὰν ξ' περὶ τοῦ μὴ ὑβρίζεσθαι τὰ λείψανα τῶν τελευτώντων παρὰ τῶν δανειστῶν. καὶ νεαρὰν λγ' τοῦ μηδένα δανείζοντα γεωργῷ κρατεῖν τὴν ἐκείνου γῆν. καὶ νεαρὰν ριε' τοῦ μὴ ἐξεῖναί τινι τοὺς κληρονόμους τοῦ τελευτήσαντος χρεώστου ἐντὸς τῶν ἐννάτων καθ' οἱονδήποτε τρόπον ἐνοχλεῖν. καὶ νεαρὰν ρλδ' κεφ. θ' τοῦ μὴ κατέχεσθαι τὰ τέκνα τῶν χρεωστῶν εἰς ἐνέχυρον ἢ δουλικὴν ὑπηρεσίαν παρὰ τῶν δανειστῶν, μήτε γυναῖκα τῷ ἰδίῳ ἀνδρὶ συναινοῦσαν ἐν δανειακῷ γραμματείῳ κατέχεσθαι. ἀνάγν. καὶ βι. ζ' τοῦ κώδικος τί. λθ' κεφ. ζ', ἐν ᾧ φησιν, ὅτι ὁ δανειστὴς κινεῖ κατὰ μὲν τοῦ ἰδίου χρεώστου ἐντὸς μ' ἐτῶν τὴν ὑποθηκαρίαν, κατὰ δὲ ἐξωτικοῦ νεμομένου βοναφίδε τὸ ὑποκείμενον αὐτῷ κινεῖ ἐντὸς δέκα καὶ εἴκοσι ἐνιαυτῶν. εἰ γὰρ μάλα φίδε νέμεται, τουτέστι κακῇ πίστει, καὶ ἕως λ' καλῶς ἐνάγει αὐτῷ. ἐὰν δὲ κατὰ δανειστοῦ μεταγενεστέρου θελήσει κινῆσαι τὴν εἰρημένην ἀγωγὴν, τότε τῇ τεσσαρακονταετίᾳ μόνον περικλείεται, εἴπερ περίεστιν ὁ χρεώστης. εἰ γὰρ ἐτελεύτησεν, οὐ δύναται εἰ μὴ ἐντὸς λ' ἐτῶν κινεῖν. ἐσθ' ὅτε δὲ οὐ περικλείεται ὁ δανειστὴς τῇ τεσσαρακονταετίᾳ. τί γάρ; ὅτι κατὰ τοῦ χρεώστου κινεῖ κατέχοντος ὃ ὑπέθετο αὐτῷ; τότε γὰρ οὐκ ἐκβάλλεται χρονίᾳ οἱᾳδήποτε παραγραφῇ. ἐν δὲ τῷ η' κεφαλαίῳ, ὅτι περὶ τῶν ἐντόκων χρεῶν ὁ τῆς τριακονταετίας χρόνος ψηφίζεται οὐκ ἀπὸ τῆς συστάσεως τοῦ συναλλάγματος, ἀλλ' ἀφ' οὗ ὁ τόκος ἄρξεται μὴ καταβάλλεσθαι.

ταῦτα συναλλάξῃ[1] πρὸς τὸν δημόσιον, ὁ ἀγοράσας παρ᾽ αὐτοῦ τὸ πρᾶγμα οὐκ ὀχλεῖται παρὰ τοῦ δημοσίου.

5. Ἐν δὲ τῷ ζ' κεφ. Ὁ ὑπεισελθὼν εἰς τὰ δίκαια τοῦ δημοσίου προτιμότερός ἐστιν ἐκείνων τῶν δανειστῶν, ὧν καὶ ὁ δημόσιος προετιμᾶτο.

6. Ἀνάγν. καὶ βι. ια' τί. α' κεφ. μθ', ἐν ᾧ φησιν· Ἐὰν οἱ δανεισταὶ μέρος ἐκ τῶν πραγμάτων ἑτοίμως ἔχωσι λαβεῖν, προτιμῶνται οἱ συγγενεῖς εὔποροι ὄντες[a].

7. Ἀνάγν. καὶ βι. κε' τί. β' κεφ. νη' [ἐν ᾧ φησι]· Κἂν τὰ τοῦ ἀνδρὸς σιωπηρῶς ὑπόκεινται ἐπὶ τῇ προικὶ, ὅμως προτιμᾶται τῆς προικὸς τὸ πριμίπιλον[b].

8. Ἀνάγν. καὶ τί. ε', οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὁ γενικὴν ὑποθήκην ἔχων προτιμᾶται τοῦ μετ᾽ αὐτὸν ἰδικὴν λαβόντος ἐκ τῶν αὐτῶν πραγμάτων, κἂν ἐκ τῶν λοιπῶν δύναται πληρωθῆναι· εἰ μὴ ἄρα συνεφώνησε τότε τὰ λοιπὰ ὑποκεῖσθαι, ὅτε διὰ τῶν γενικῶν οὐ δύναται πληρωθῆναι. τηνικαῦτα γὰρ δυναμένου αὐτοῦ πληρωθῆναι διὰ τῶν γενικῶν, μόνος ὁ δεύτερος δανειστὴς ὑποθήκην ἔχει τοῦ δοθέντος αὐτῷ[c].

9. Ἐν δὲ τῷ ι' κεφ. Ἐὰν βουλήσει τοῦ πρώτου ὑποτεθῇ ἄλλῳ, προτιμᾶται ὁ δεύτερος. λοιπὸν δὲ τὸ φάκτον ζητοῦμεν, πότερον τῆς ὑποθήκης ἀνεχώρησεν ἢ μόνης τῆς προγενεσίας.

Ὁ μετ᾽ ἐμὲ λαβὼν ὑποθήκην μεταγενέστερός μου ἐστὶ,

---

a Ἐὰν ὦσι καὶ αὐτοὶ δανεισταὶ δηλονότι, εἰς τὸ λαβεῖν τὸ πρᾶγμα τοῦ χρεώστου καὶ ἀποφλῆσαι καὶ τοῖς λοιποῖς.

b Πριμίπιλόν ἐστιν ἡ στρατιωτικὴ ἀννόνα· ὡς ὅταν τὶς πριμίπιλον χρεωστῇ καὶ προῖκα, τὸ πριμίπιλον προτιμᾶται.

c Περὶ γενικῆς καὶ ἰδικῆς ὑποθήκης [ὅτε] ὑπεξεῖλόν τινα πράγματα, καὶ εἶπον ὑποκεῖσθαί σοι καὶ ταῦτα ἐφ᾽ ὅσον μὴ ἀρκοῦσι τὰ γενικά.

Γενικὴν[2] ὑποθήκην ὁ χρεώστης δεδωκὼς ὑπεξεῖλέ τινα, οὕτως εἰπών· ἔστω σοὶ καὶ ταῦτα ὑποτεθειμένα, εἰ μὴ ἐκ τῆς γενικῆς ὑποθήκης τὸ ἱκανὸν λήψῃ. εἶτα μεταγενεστέρῳ δανειστῇ τὰ αὐτὰ ὑπέθετο. προτιμᾶται διὰ τὴν αἵρεσιν μεταγενεστέραν εὑρισκομένην, εἰ μὴ συνεφώνησε τότε τὰ λοιπὰ ὑποκεῖσθαι, ὅτε διὰ τῶν γενικῶν οὐ δύναται πληρωθῆναι. εἰ γὰρ δύναται πληρωθῆναι διὰ τῶν γενικῶν, μόνος ὁ δεύτερος δανειστὴς ὑποθήκην ἔχει τοῦ δοθέντος αὐτῷ.

---

1 Lips. συναλλάξας scil. propter omissum καί. 2 Hoc commentariolum in Lips. deest, Leuncl. autem rubricam quasi σχόλιον exhibet, textum capiti 8 subjicit. Vide Heimbachii notas ad Bas. XXV, 5, 2.

κἂν πρὸ ἐμοῦ ἐδάνεισεν. ὁ δὲ ὑπὸ ἡμέραν λαβὼν προτιμᾶται τοῦ μετ' αὐτὸν[1] χωρὶς αἱρέσεως λαβόντος[d].

10. Ἐν δὲ τῷ ιβ' κεφ. Προτιμᾶται ὁ πρῶτος, εἰ καὶ αὐτὸς μὲν μηδὲν συμφωνήσει περὶ τοῦ πωλεῖν τὸ ἐνέχυρον, ὁ δὲ δεύτερος συμφωνήσει[e].

Ἐὰν τῷ μὲν πρώτῳ ψιλῶς ὑπετέθη, τῷ δὲ δευτέρῳ καὶ παρεδόθη, προτιμᾶται ὁ πρῶτος.

11. Ἐν δὲ τῷ ις' κεφ. Προτιμῶμαι τοῦ δευτέρου δανειστοῦ καὶ ἐπὶ τοῖς δραμοῦσι τόκοις μετὰ τὸ δανεῖσαι αὐτόν.

12. Ἐν δὲ τῷ ιθ' κεφ. Χρεωστῶν τις ἀπὸ τῆς κατὰ τῶν ἐπιτρόπων ἀγωγῆς ὑπέθετο τὰ ὄντα καὶ τὰ ἐσόμενα, καὶ δανεισάμενος παρὰ τοῦ δημοσίου ἐπὶ ὑποθήκῃ, ἐκαινοποίησεν τὸ πρότερον χρέος ἀναλαβὼν τὰς ὑποθήκας[f]. προτιμᾶται τοῦ δημοσίου ἐφ' οἷς εἶχεν ὁ χρεώστης καὶ ἐφ' οἷς ἐπεκτήσατο[g].

13. Ἐν δὲ τῷ κ'[2] κεφ. Ἐδάνεισα μαρμαρίῳ ἐπὶ ὑποθήκῃ τῶν λίθων, καὶ ἐκ τῶν ἐμῶν αἱ τιμαὶ κατεβλήθησαν· ὁ δὲ αὐτὸς χρεώστης μισθωσάμενος ὡρεῖα βασιλικὰ ἐχρεώστησεν· ἐγὼ προτιμῶμαι.

14. Ἐν δὲ τῷ λδ' κεφ. Ὁ προγενέστερος δανειστὴς γενικὴν ὑποθήκην] ἔχων καλλίων ἐστὶ τοῦ ἰδικὴν μετ' αὐτὸν ὑπο-

---

d Τοῦτο, ὅτε ὑπὸ αἵρεσιν ἐγὼ προέλαβον τὴν ὑποθήκην. τῆς γὰρ αἱρέσεως ἐξιούσης ἐγὼ δοκῶ ἄνωθεν εἰληφέναι. σημ. ὅτι τὸ ἐπὶ τῷ κεφαλαίῳ ὑποτεθὲν πρᾶγμα καὶ ἐπὶ τοῖς τόκοις ὑπόκειται.

e Θεμάτισον, ὅτι δεύτερος δανειστὴς τὴν αὐτὴν ὑποθήκην εἶχεν, ἣν καὶ ὁ πρῶτος ἔτυχε λαβὼν δανειστής.

f Οἷον μνήμην τῶν ὑποθηκῶν καὶ αὖθις ποιησάμενος[3].

g Ὁ ἐπίτροπος ὑπεύθυνος ἐγένετο τῷ παρ' αὐτοῦ ἐπιτροπευθέντι, καὶ εἰς ἔκτισιν ὑπέθετο τὰ ὄντα καὶ τὰ ἐσόμενα. ὕστερον ὑπεύθυνος καὶ τῷ δημοσίῳ γενόμενος ὑπέθετο τὰ αὐτά. ἐὰν οὖν μέρος καταβάλῃ τῶν ἀπὸ ἐπιτροπῆς παρ' αὐτοῦ χρεωστουμένων [καὶ ἐπὶ τοῖς λοιποῖς] κατάθεσιν τοῦ δοῦναι ποιήσῃ, εἰ μὴ ἐν τῇ καταθέσει καὶ τῶν ἐνεχύρων μνείαν ποιήσεται, οὐχ ὑπόκεινται. δοκεῖ γὰρ νέαν ἐνοχὴν ποιεῖν.

Σημείωσαι ὅτι ἐπὶ τῆς ὑποθήκης[4] οὐ τὸν καιρὸν τοῦ δανείου σκοποῦμεν, ἀλλὰ τὸν τῆς ὑποθέσεως. τοῦτο δὲ νόει, ἔνθα τὸ δάνειον πρὸ τῆς ὑποθέσεως συνέστη. ἐὰν γὰρ μήπω δι' αὐτῆς τῆς ἀπαριθμήσεως συστάντος τοῦ δανείου . . . .

---

[1] Lips. ἐνιαυτόν. Caeterum hoc thema praecedenti praeponendum erat. [2] Lips. η'. [3] In Lips. hoc scholium textui insertum est. [4] Leuncl. ὑποθέσεως.

θήκην λαβόντος. ὥστε οὖν ὁ ἀγοράζων παρὰ τοῦ προτέρου οὐκ ὀχληθήσεται τούτου χάριν παρὰ τοῦ μεταγενεστέρου.

15. [Ἐν δὲ τῷ λε' κεφ.] Εἰ καὶ πολλοῖς δανεισταῖς τὰ αὐτὰ ἐνέχυρα ἐν διαφόροις χρόνοις ὑπετέθη, ὅμως εἰ ἐκ τῶν χρημάτων ἑνὸς αὐτῶν ἠγοράσθη ἀγρὸς καὶ ὑπετέθη αὐτῷ ἰδικῶς, καλλίων οὗτος πάντων ἐστὶν ἐπὶ τῷ ἀγρῷ.

16. Ἐν δὲ τῷ λζ' κεφ. Ὁ λαβὼν ἐνέχυρον τὴν ἐπ' αὐτῷ ἀγωγὴν ἔχει. προτιμᾶται οὖν πάντων τῶν ἐχόντων προνόμια ἐπὶ προσωπικαῖς ἀγωγαῖς.

17. Ἐν δὲ τῷ μ' κεφ. Καὶ ἐν ταῖς ὑποθήκαις προτιμᾶται ἡ προὶξ τῶν προτέρων δανειστῶν, κἂν ἀναλωθῶσι τὰ πράγματα τῆς γυναικὸς, κἂν παῖδας μὴ ποιήσῃ· ἐξῃρημένης τῆς προτέρας προικός. ἐνταῦθα γὰρ ἡ προτέρα προτιμᾶται. ταῦτα ἐπὶ προικὸς, οὐ μὴν πρὸ γάμου δωρεᾶς φαμεν· ἐκείνη γὰρ κατὰ τοὺς οἰκείους χρόνους ἐξετάζεται[h]. ἄλλως τε ζημιουμέναις, οὐ μὴν κερδαινούσαις βοηθοῦμεν ταῖς γυναιξί.

18. Καὶ τί. ζ' κεφ. λη', ἐν ᾧ φησιν· Ἐὰν δανειστὴς τὸ ὑποκείμενον ἄλλῳ πρᾶγμα πωλήσῃ, οὐ ποιεῖ αὐτῷ πρόκριμα, εἴτε γενικὴν εἴτε ἰδιωτικὴν ἔχει ὑποθήκην.

19. Ἀνάγν. βι. κη' τί. ιγ' κεφ. α' καὶ βι. κθ' τί. β' κεφ. γ' θέμ. ε' καὶ ς' καὶ κδ'[1]. ἀνάγν. καὶ βι. νγ' τί. ε'[2] κεφ. ιγ' καὶ ιδ', ἐν ᾧ φησι· Τότε προτιμᾶται ὁ μεταγενέστερος δανειστὴς, ὅταν δανείσῃ εἰς τὸ ἐξαρτισθῆναι τὸ ὑποτεθὲν αὐτῷ πλοῖον ἢ ἀνανεωθῆναι, ἢ εἰς τροφὴν τῶν ναυτῶν, ἢ σωθῆναι τὰ ὑποτεθέντα αὐτῷ φορτία, ἢ δοθῆναι τὸ ναῦλον· καὶ αὐτὸ γὰρ τὸ ναῦλον ἐπικρατέστερόν ἐστιν· ἢ ὑπὲρ μισθοῦ τῶν ὡρείων, ἢ τοῦ μεσαύλου, ἢ ὑπὲρ κτηνομισθίων[i].

20. Ἀνάγν. βι. νς' τί. β' κεφ. γ' θέμ. η' καὶ θ', ἐν οἷς φησιν· Ὁ δημόσιος μεταγενέστερον διαδεξάμενος δανειστὴν τοῖς ἐκείνου κέχρηται δικαίοις. οὐ δύναται δὲ ὁ δημόσιος χωρεῖν κατὰ

---

[h] Κατὰ τοὺς οἰκείους ἐξετάζεται χρόνους ἡ πρὸ γάμου δωρεά· οἷον εἰ μὲν προγενεστέρα ἐστὶ, προτιμηθήσεται, εἰ δὲ μεταγενεστέρα, μεταγενεστέρα ταχθήσεται. ἐπειδὴ κέρδος αὐτῆς ἐστι, καθὸ ἐν μὲν τῇ προικὶ ἃ προσέφερον ἐπιζητοῦσιν, ἐν δὲ τῇ πρὸ γάμου δωρεᾷ ἃ μᾶλλον αὐταῖς ἐδωρήθη. ἀντὶ τοῦ νῦν χρόνου, καὶ οὐκ εἰς τὸν ὀπίσω χρόνον· ἢ ὡς οὐκ εἰς τὸ ἀναποδίζειν κατὰ τῶν προγενεστέρων δανειστῶν τὸν δεύτερον δανειστήν.

[i] Τῶν ἀγωγιασθέντων ὑποζυγίων ἤτοι τῶν τὰ φορτία βασταζόντων[3].

---

[1] Leuncl. κεφ. δ'. [2] Lips. α'. [3] Lips. hoc schol. textui subjicit.

τῶν χρεωστῶν τοῦ ἰδίου χρεώστου, εἰ μὴ ἀπορήσει, ἢ ἀπὸ τοῦ δημοσίου συναλλάγματος τὸ χρέος κατάγεται.

21. Καὶ κεφ. θ' [1], ἐν ᾧ φησι· Τὸ δημόσιον καὶ τόκους ἀπαιτεῖ τοὺς τοῦ δημοσίου[k], ἐξ ὅτου ὀχλήσει τὸν χρεώστην κἀκεῖνος ἐπιγνῷ τὸ χρέος.

22. Καὶ κεφ. ιζ', ἐν ᾧ φησι· Τῶν τοῦ δημοσίου ποινῶν οἱ δανεισταὶ προτιμῶνται.

23. Καὶ κεφ. ιθ', ἐν ᾧ φησιν· Ὁ παρὰ τοῦ ἰδίου χρεώστου δημόσια χρήματα[2] λαβὼν, κἂν ἠγνόει κἂν ἐδαπάνησεν αὐτὰ, [ὑπόκειται ἀποδοῦναι αὐτά]· ἀλλ' οὐ μετὰ τόκων. ἔχει δὲ ὁ δανειστὴς κατὰ μὲν τοῦ χρεώστου διρέκταν[l], κατὰ δὲ τοῦ ἐγγυητοῦ οὐτιλίαν[m]· καὶ οὐκ ἐλευθεροῦνται τὰ ἐνέχυρα. ἀδιάφορον δὲ, εἴτε τὰ δοθέντα χρήματα ἀπέσπασεν ὁ δημόσιος, εἴτε ἀντ' αὐτῶν ἕτερα.

24. Καὶ κεφ. κε' καὶ λβ' καὶ μ' θέμ. δ' καὶ θέμ. ι', ἐν ᾧ φησιν· Ὁ τοῦ δημοσίου χρεώστης καλῶς αἰτεῖ προθεσμίαν αὐτῷ δοθῆναι ἐπὶ τῷ εὐτρεπίσαι τὰ χρήματα καὶ καταβαλεῖν. καὶ ἐπὶ μὲν μεγάλης ποσότητος οὐ πλέον τῶν γ' μηνῶν δίδοται, ἐπὶ δὲ ἥττονος β'. τὸ δὲ πλεῖον τούτου τοῦ χρόνου ὁ βασιλεὺς δίδωσιν[3]. καὶ θέμ. ια' καὶ ιβ', κεφ. μα' θέμ. δ' καὶ κεφ. μβ'.

25. Ἀνάγν. καὶ τί. ε' κεφ. δ', ἐν ᾧ φησιν· Οἱ ὑπεύθυνοι τῷ δημοσίῳ [ὄντες] ἀνυπερθέτως μεθοδευέσθωσαν. καὶ μεθὸ πληρώσουσι τὸν δημόσιον, τότε τοὺς ἰδίους χρεώστας ἀπαιτείτωσαν.

26. Ἀνάγν. καὶ τί. ς', ἐν ᾧ διαλαμβάνεται καὶ περὶ διαπράσεως[4] πραγμάτων τῶν τοῦ δημοσίου χρεωστῶν. οὗτινος ἐν τῷ ια' κεφ. φησίν· Ὁ δανειζόμενος ἀπὸ ἀπαιτητῶν ἢ ταβουλλαρίων ἢ ταξεωτῶν δημόσια χρήματα τὸ τετραπλοῦν ἀποδιδότω.

27. Ἐν δὲ τῷ ιβ' κεφ. Μηδεὶς ἀπὸ τῶν θείων[5] θησαυρῶν δανειζέσθω. εἰ δέ τις ἐκ τοῦ θείου ταμείου λαθραίως ἢ φανερῶς ἢ ἐγγράφως [ἢ] μετ' ἐγγυῶν δανείσεται χωρὶς βασι-

---

k Οἱ τοῦ δημοσίου τόκοι ἡμιεκατοστιαῖοί εἰσιν[6].
l Ἤγουν ὀρθήν.
m Πλαγιαστικήν.

---

1 Lips. ς'. 2 Lips. πράγματα. 3 Hoc caput in edit. Leuncl. desideratur. Locus restituendus in Basil. LVI, 2: repraesentat l. 45 §. 10 D. XLIX, 14. 4 Leuncl. ἀπαιτήσεως. 5 Id. δημοσίων. 6 Etiam hoc schol. Lips. textui inserit.

λικῆς κελεύσεως, δημευέσθω καὶ περιοριζέσθω. ὁ δανείσας δὲ ἐκ τῶν θείων θησαυρῶν κεφαλικῶς τιμωρείσθω[1].

28. Ἐν δὲ τῷ ιγ' κεφ. Ὁ δημόσιος ἀπαιτῶν τὰ ἴδια χρέα[2] πάντων προτιμᾶται. ἀπαιτῶν δὲ τὰ ἀπὸ προστίμου, ἡττᾶται τοῖς δανεισταῖς τοῦ προστιμηθέντος.

29. Ἀνάγν. καὶ τί. ιζ' κεφ. ξδ', ἐν ᾧ φησι· Τὸ χρεωστούμενον εἰς δημόσιον τουτέστιν[3] εἰς πριμίπιλον[n] πάντων τῶν ἰδιωτικῶν χρεῶν προτιμᾶται. ὅθεν καὶ εἰ προῖκα χρεωστεῖται γυνὴ τοῦ τὸ πριμίπιλον εἰς δημόσιον ἐποφείλοντος, πρότερον τὸ ἱκανὸν γίνεται τῷ δημοσίῳ, καὶ τότε ἡ γυνὴ δύναται ἀπαιτεῖν.

30. Παράδοξον λέγει νόμιμον ἡ διάταξις, ὅτι οἱ παῖδες, εἰ καὶ μὴ κληρονομήσουσι τὸν πατέρα, κατέχονται εἰς τὸ πριμίπιλον, ὅπερ ὁ πατὴρ ἐχρεώστησεν. καὶ καλῶς εἶπεν· ἀπὸ μόνου τοῦ πριμιπίλου κατέχονται. οὐδεμιᾷ γὰρ ἀγωγῇ ἐνάγονται ἀπὸ τῶν πατρῴων δανειστῶν οἱ τὸν πατέρα μὴ κληρονομήσαντες, εἰ μὴ μόνον ἀπὸ τοῦ πριμιπίλου.

IV.

Περὶ χρήσεως καρπῶν καὶ χρήσεως ψιλῆς[a], καὶ οἷς κέχρηνται προνομίοις οἱ ταύτην ἔχοντες, καὶ περὶ τῶν ἀπὸ λεγάτου χρήσεων, καὶ ποίοις δαπανήμασι καὶ βάρεσιν ὑπόκεινται, καὶ ὅτι δύνανται κατὰ μίμησιν τοῦ ἀγοραστοῦ ἐξεοῦν τὸν μισθωτόν.

1. Ἀνάγν. βι. ιϛ' τί. α', οὗτινος ἐν τῷ α' κεφ. φησί· Χρῆσις καρπῶν ἐστι δίκαιον τοῦ κεχρῆσθαι πράγμασιν ἀλλοτρίοις καὶ καρπίζεσθαι αὐτὰ, φυλαττομένης τῆς τοῦ πράγματος ὑποστάσεως.

---

[n] Πριμίπιλόν ἐστιν ἡ στρατιωτικὴ ἀννόνα ἡ διδομένη τοῖς πρώτοις ἀκοντισταῖς. πρῖμος γὰρ ὁ πρῶτος ῥωμαϊστὶ, πῖλον δὲ τὸ ἀκόντιον.

[a] Χρῆσις καρπῶν ἀγροῦ ἐστι τὸ τὸν ἀγρὸν γεωργεῖν καὶ καρπίζεσθαι πᾶν ὅτι ἐκφέρεται καὶ καρποφορεῖται γεωργούμενον ἐν αὐτῷ. χρῆσις δὲ μόνη ἐστὶν τὸ κεχρῆσθαι τοῖς ἐκεῖσε λαχάνοις, ὀπώραις, ἄνθεσι, χόρτῳ, τοῖς φύλλοις[4] [καὶ ξύλοις τοῖς πρὸς τὴν καθ' ἡμέραν χρείαν ἐξαρκοῦσιν]· ἥντινα ψιλὴν χρῆσιν οὐκ ἔξεστι τῷ ἔχοντι αὐτὴν πιπράσκειν ἢ μισθοῦν ἢ προῖκα πρὸς ἕτερον ἀποδιδόναι, [ὁπότε] τῷ ἔχοντι χρῆσιν καρπῶν ταῦτα [πάντα] ποιεῖν ἐπιτέτραπται, ὡς κεφ. ξζ'. χρῆσις δὲ καρπῶν προβάτων ἐστὶ τὸ κεχρῆσθαι τῷ γάλακτι, τοῖς ἀρνίοις, τῷ ἐξ αὐτῶν ἐρίῳ· χρῆσις δὲ τούτων μόνη ἐστὶν τὸ κοπρίζειν δι' αὐτῶν τὸν ἴδιον ἀγρόν.

---

[1] Leuncl. καὶ ὁ δαν. — κολαζέσθω. [2] Id. χρήματα. [3] Verba εἰς δημ. τουτέστιν Leuncl. non habet. Idem mox verba εἰς δημ. omittit. [4] Lips. ἄλλοις.

2. Ἐν δὲ τῷ ζ' κεφ. *Πᾶς πόρος τῷ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντι ἀνήκει.*

[Ὁ τοῦ ἐδάφους οἰκήματος ἔχων τὴν χρῆσιν, οἱαδήποτε κέρδη ἐστὶ τῶν οἰκημάτων, αὐτὸς ἔχει.][1] *ὅθεν αὐτὸς εἰς νομὴν τῆς ἐπὶ μελλούσης ζημίας ἀγωγῆς*[2] *πέμπεται, καὶ δεσπόζει τῆς τοῦ γείτονος οἰκίας, εἰ μὴ λάβῃ τὴν ἀσφάλειαν, καὶ οὐκ ἀπόλλει τὴν δεσποτείαν φθειρομένης τῆς χρήσεως.*

Ὁ τὴν χρῆσιν ἔχων τῶν καρπῶν δίδωσι τὰ δημόσια καὶ τὰ δαπανήματα καὶ τὰς ἐκ τοῦ πράγματος ἐαθείσας διατροφάς·

Καὶ ἀνανεοῖ, ὥσπερ [καὶ] ἐγκεντρίζει τὰ δένδρα.

3. Ἐν δὲ τῷ θ' κεφ. *Ἀναγκάζεται ὁ τὴν χρῆσιν ἔχων γεωργεῖν τὸν ἀγρόν. αὐτῷ γὰρ διαφέρει τὰ ἐν αὐτῷ γινόμενα*[3] *καὶ τὰ ἐξ αὐτοῦ δυνάμενα λαμβάνεσθαι.*

4. Ἐν δὲ τῷ ιγ' κεφ. *Κρείττονα τὴν αἵρεσιν, οὐ μὴν χείρονα τῆς δεσποτείας δύναται ποιεῖν ὁ τὴν χρῆσιν ἔχων. οὔτε γὰρ ἐκκόπτει κάρπιμον δένδρον οὔτε τὰ πρὸς τέρψιν ἐκ τῶν ἐπιτερπῶν τόπων διὰ τὸ ποιῆσαι πρόσοδον*[b].

5. Ἐν δὲ τῷ κζ' κεφ. *Τὸ τέλος τοῦ κανάλου καὶ τοῦ ὑδραγωγίου καὶ τῆς ὁδοστρωσίας καὶ τῆς στρατιωτικῆς παρόδου καὶ τοῦ πολιτικοῦ (τυχὸν γὰρ ἔθος ἐστὶν ὀλίγου τιμήματος καρποὺς πιπράσκειν τῇ πόλει τοὺς κτήτορας) καὶ τὰ δημόσια τέλη ὁ τὴν χρῆσιν ἔχων δίδωσιν.*

6. Ἐν δὲ τῷ ξζ' κεφ. *Ὁ ἔχων χρῆσιν καρπῶν δύναται πωλεῖν αὐτὴν καὶ ἄκοντος τοῦ δεσπότου ἢ καὶ τοῦ κληρονόμου αὐτοῦ.*

7. Ἐν δὲ τῷ ξη' κεφ. *Ὁ τοκετὸς τῶν δουλῶν οὐκ ἀνήκει τῷ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντι*[c]· *οὐδὲ ἔχει ἐπ' αὐτῷ χρῆ-*

Ἡ λεγομένη δὲ ψιλὴ χρῆσις τῶν λαχάνων, ὀπωρῶν, χόρτου, φύλλων, ξύλων τῶν ἀρκούντων ἐστίν. ἡ τοιαύτη οὖν χρῆσις οὔτε μισθοῦται οὔτε πιπράσκεται.

Ἀλεξάνδρου[4]. Ὁ χρῆσιν τῶν καρπῶν ἔχων τὴν δι' ἐγγυητῶν ἀσφάλειαν δίδωσιν, ὅτι καλῶς τῷ πράγματι κέχρηται.

b Τυχὸν τόπους ἀνθέων καὶ δένδρων ἀκάρπων οὐκ ὀφείλει καταστρέφειν ὁ τὴν χρῆσιν ἔχων, ἵνα τυχὸν κήπους λαχανηφόρους ποιήσῃ, ἢ ἄλλην τινὰ πρόσοδον ἢ ἀμπελῶνα ἢ ἐλαιῶνα.

c Διὰ τὸν κανόνα τὸν λέγοντα, οὐκ ἔστι καρπὸς ὁ τοκετός, ὡς δι' αὐτὸν πάντων τῶν καρπῶν γινομένων.

---

[1] Quae uncis inclusa sunt, nec Lips. nec Basilica nostra agnoscunt. Quamquam l. 7 §. 1 D. VII, 1 repraesentant et in Bas. XVI, 1, 7 restituenda esse videntur. [2] Leuncl. addit χάριν. [3] Lips. γενόμ. [4] Imo Basil. XVI, 8, 27.

σιν, εἰ μὴ ῥητῶς εἴποι ὁ διαθέμενος. ἡ δὲ γονὴ τῶν θρεμμάτων τῷ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντι ἀνήκει.

Ἔνθα δὲ ἀγέλης ἢ βουκολίου χρῆσις καρπῶν λεγατεύεται, ὀφείλει τὰ φθειρόμενα ἀναπληροῦν ἐκ τῶν ἐπιγεννωμένων·

Καὶ τὰ ἄχρηστα· καὶ γίνεται τὰ μὲν ὑποβληθέντα τοῦ τὴν δεσποτείαν ἔχοντος, τὰ δὲ ὑπὲρ ὧν ὑπεβλήθησαν τοῦ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντος.

8. Ἀνάγν. καὶ τί. β', ἐν ᾧ φησι περὶ χρήσεως αὐξανομένης. οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὅτε ἡνωμένως λεγατευθῇ ἡ χρῆσις τῶν καρπῶν, οὐ μὴν ὅτε διῃρημένως, ἁρμόζει τὸ δίκαιον τῆς προσαυξήσεως.

Ἐὰν οὖν κοινῷ δούλῳ λεγατευθῇ χρῆσις καρπῶν, καὶ ὁ εἷς τῶν δεσποτῶν μὴ καταδέξηται ἢ μὴ χρήσηται[d], τὸ μέρος αὐτοῦ τῷ ἑτέρῳ δεσπότῃ προσαύξει, κἂν εἰ ἀνίσως ἐδέσποζον.

Εἰ δὲ κοινῷ δούλῳ λεγατευθῇ χρῆσις καρπῶν, καὶ διῃρημένως πέτρῳ λεγατευθῇ, τὸ φθειρόμενον μέρος ἑνὸς τῶν δεσποτῶν τῷ ἑτέρῳ προσαύξει. ὥσπερ ὅτε δύο τισὶν ἡνωμένως καὶ ἑτέρῳ διῃρημένως λεγατευθῇ.

9. Ἀνάγν. καὶ τί. γ', ἐν ᾧ διαλαμβάνεται ποίαις ἡμέραις ὁ λεγατευθεὶς τῆς χρήσεως καρπὸς προχωρεῖ.

10. Ἀνάγν. καὶ τί. δ', ἐν ᾧ φησι ποίοις τρόποις ἡ χρῆσις τῶν καρπῶν ἀπόλλυται.

11. Ἀνάγν. καὶ τί. ε', ἐν ᾧ φησι ποίοις τρόποις ἡ χρῆσις τῶν πραγμάτων μειοῦται.

12. Ἀνάγν. καὶ τί. ς', ἐν ᾧ φησι περὶ χρήσεως ἐκδικήσεως.

13. Ἀνάγν. καὶ τί. η', ἐν ᾧ φησι περὶ χρήσεως [καὶ] οἰκήσεως, καὶ τί διαφέρει χρῆσις καὶ οἴκησις τῆς τῶν καρπῶν χρήσεως. οὗτινος ἐν τῷ β' κεφ. φησίν· Ὁ τὴν χρῆσιν μόνην ἔχων κέχρηται, οὐ μὴν καρπίζεται.

Ἐπὶ δὲ οἴκου[1] καὶ ἀνὴρ τῇ γυναικὶ καὶ γυνὴ τῷ ἀνδρὶ συνοικεῖ, καὶ τῇ ἰδίᾳ φαμιλίᾳ καὶ τοῖς ἀπελευθέροις.

14. Ἐν δὲ τῷ ι'[2] κεφ. [θέμ. δ']· Ὁ τὴν χρῆσιν μόνην ἔχων καὶ πρὸς τὴν καθημερινὴν χρείαν κέχρηται τοῖς ξύλοις καὶ τῷ κήπῳ, καὶ ταῖς ὀπώραις καὶ λαχάνοις καὶ φύλλοις καὶ τῷ ὕδατι· οὐ πρὸς κέρδος, οὔτε κατακέχρηται.

---

[d] Τυχὸν ἐφθάρη τὸ μέρος τοῦ ἑνὸς δεσπότου καταστάσεως ἐναλλαγὴν ὑπομείναντος.

---

[1] Leuncl. οἰκήσεως. [2] Id. θ'.

15. Ἐν δὲ τῷ ιβ' κεφ. Ἐκ τῶν ἐν τῷ ἀγρῷ γινομένων κελλαρικῶν ὁ τὴν χρῆσιν μόνην ἔχων τὸ πρὸς ἐνιαυτὸν ἀρκοῦν αὐτῷ λαμβάνει, εἰ καὶ πάντα δαπανᾶται[e]. καὶ τῷ δούλῳ γὰρ καὶ τῷ οἴκῳ κέχρηται ὁ τὴν χρῆσιν μόνην ἔχων, ὥστε μὴ ὑπολειφθῆναι τὸν καρπὸν ἄλλῳ.

16. Ἐν δὲ τῷ κε'[1] κεφ. Ὁ ἔχων χρῆσιν οἰκίας τὰ κατακέραμα ὀφείλει ποιεῖν τῆς οἰκίας ἀναλώμασιν οἰκείοις, ὡς ἔγνωμεν καὶ ἐν τῷ β'[2] βι. τῶν διγέστων τί. α'. εἰ δέ τι περαιτέρω ἀνάλωσεν εἰς τὴν τῆς οἰκίας διόρθωσιν, τοῦτο λήψεται παρὰ τοῦ ἔχοντος τὴν δεσποτείαν.

17. Ἐν δὲ τῷ λ' κεφ. Ἡ χρῆσις τῆς οἰκήσεως οὔτε χρῆσις ἁπλῆ ἐστιν οὔτε χρῆσις καρπῶν, ἀλλ' ἰδιάζον δίκαιον. ὁ δὲ ἔχων χρῆσιν οἰκήσεως δύναται αὐτὴν μισθοῦν ἑτέρῳ τινί· πολλῷ δὲ πλέον, ἐὰν οἰκήσεως χρῆσις ἐλεγατεύθη, διὰ τὴν ἰδικὴν τῆς χρήσεως μνήμην δύναται μισθοῦν. οὐδέποτε δὲ οἰκήσεως λεγατευθείσης δύναται λέγειν ὁ λεγατάριος, ὅτι ἡ δεσποτεία τοῦ οἴκου ἐλεγατεύθη μοι, εἰ μὴ ἄρα δείκνυται ῥητῶς, ὅτι καὶ τὴν δεσποτείαν ὁ διαθέμενος ἐλεγάτευσεν.

18. Ἐν δὲ τῷ λα' κεφ. Ἰστέον, ὅτι χρῆσις μόνη οἰκήσεως διαφέρει χρήσεως καρπῶν. ὁ γὰρ χρῆσιν μόνην ἔχων οἰκήσεως δύναται μόνος οἰκεῖν μετὰ τῆς γαμετῆς αὐτοῦ καὶ τῶν οἰκείων παίδων καὶ ἀπελευθέρων, καὶ ἄλλων ἀπελευθέρων[3] οἷς οὐχ ἧττον ἢ ὡς οἰκέταις κέχρηται· οὐ μὴν δύναται τὴν οἴκησιν μισθοῦν. ὁ δὲ χρῆσιν καρπῶν οἰκήσεως ἔχων δύναται τὴν οἴκησιν μισθοῦν ἑτέρῳ τοῦ κατοικεῖν· ὡς ἰνστιτουτίωνι δευτέρᾳ τί. ε'.

19. Ἀνάγν. καὶ τί. θ', ἐν ᾧ διαλαμβάνεται ποίοις τρόποις ἀσφαλίζεται ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων τῷ τὴν δεσποτείαν ἔχοντι. οὗτινος ἐν τῷ α' κεφ. φησίν· Ὡς ἂν συστῇ ἡ χρῆσις τῶν καρπῶν κινητοῦ ἢ ἀκινήτου πράγματος, ἀσφαλίζεται ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων, ὅτι ἀνδρὸς ἀγαθοῦ δοκιμασίᾳ κέχρηται, καὶ ὅτι φθειρομένης τῆς χρήσεως τῶν καρπῶν τὸ εὑρισκόμενον ἀποκαθίστησι, καὶ ὅτι οὐ ποιεῖ χείρονα τὴν αἵρεσιν τῆς χρήσεως τῶν καρπῶν, καὶ ὅτι ὡς ἐν ἰδίῳ πράγματι διαγίνεται.

---

e Ὅτι ἔνθα ἐστὶν ὁ ἀγρὸς πάνυ μέγας καὶ ἀμετρήτους ποιεῖ καρπούς, τότε ὁ τὴν χρῆσιν μόνην ἔχων τὸ πρὸς ἐνιαυτὸν ἀρκοῦν αὐτῷ μόνον λαμβάνει.

---

1 Leuncl. ιε'. 2 Lege ζ'. 3 Bas. ἐλευθ.

20. Ἐν δὲ τῷ ι' κεφ. Ἐὰν λεγατεύσω τῇ γαμετῇ μου χρῆσιν μόνην οἴκου, δίδωσι τὴν ἀσφάλειαν, εἰ καὶ εἶπα τοὺς παῖδάς μου κληρονόμους ὄντας συνοικεῖν αὐτῇ.

21. Ἀνάγν. καὶ βι. ιη' τί. ς' κεφ. α' θέμ. δ'. ἀνάγν. καὶ βι. να' τί. δ' κεφ. δ' θέμ. ιδ'.

Ἀρχὴ τοῦ Ψ στοιχείου.

I.

Περὶ ψευδομαρτύρων.

1. Ἀνάγν. βι. γ' τί. α' κεφ. λζ', ἐν ᾧ φησι· Τοῖς δὲ εὐλαβεστάτοις πρεσβυτέροις καὶ διακόνοις, εἰ εὑρεθεῖεν ὑπὲρ χρηματικῆς αἰτίας ψευδομαρτυρήσαντες, ἀρκέσει[1] ἀντὶ βασάνων ἐπὶ τρεῖς ἐνιαυτοὺς χωρίζεσθαι τῆς θείας ὑπηρεσίας καὶ μοναστηρίοις παραδίδοσθαι. ὑπὲρ δὲ ἐγκληματικῶν αἰτιῶν εἰ ψευδομαρτυρίαν εἴποιεν, τῆς ἐν τῷ κλήρῳ ἀξίας γυμνουμένους ταῖς νομίμοις ὑποβάλλεσθαι ποιναῖς κελεύομεν· τοὺς δὲ λοιποὺς τοὺς ἐν ταῖς ἄλλαις ἐκκλησιαστικαῖς τάξεσιν ἀναφερομένους, εἰ πλαστὴν μαρτυρίαν ἐν οἱῳδήποτε πράγματι εἴτε χρηματικῷ εἴτε ἐγκληματικῷ εἰρηκέναι διελεγχθείησαν, μὴ μόνον τοῦ κλήρου καὶ τῆς ἐκκλησιαστικῆς τάξεως ἐκβάλλεσθαι, ἀλλὰ καὶ βασάνοις ὑποβάλλεσθαι.

2. Ἀνάγν. βι. κα' τί. α' κεφ. λδ', ἐν ᾧ φησι· Ὁ τὰ ψευδῆ μαρτυρήσας πρότερον μὲν ἐπιορκεῖ, δεύτερον δὲ καὶ ὡς πλαστογράφος ἐνάγεται, καὶ ἐν αὐτῷ δὲ τῷ καιρῷ τῆς μαρτυρίας ὑπονοηθεὶς ψεύδεσθαι βασάνοις ὑπόκειται. εἰ δὲ βουληθείη ὁ ἐκ τῆς ψευδοῦς μαρτυρίας καταδικασθεὶς πολιτικῶς κινῆσαι κατὰ τοῦ μαρτυρήσαντος, λήψεται παρ' αὐτοῦ πᾶσαν ἣν ὑπέστη ζημίαν, πρὸς τῷ καὶ τὴν ἀπὸ τῶν νόμων ὡρισμένην τιμωρίαν ὑφίστασθαι. εἰ δὲ καὶ ἐν αὐτῇ τῇ πρωτοτύπῳ δίκῃ ψευσάμενος ἐλεγχθείη, ἔργον ἔστω τοῦ δικάζοντος, ἢ εἰς πᾶσαν τὴν ἐπιφερομένην ἐκείνῳ καθ' οὗ ἐμαρτύρησε δίκην καταδικάζειν αὐτόν, ἢ [εἰς] ἔλαττον, ἢ καὶ τιμωρίαις αὐτὸν ὑποβάλλειν, φυλαττομένων πάντων τῶν ἤδη νενομοθετημένων περὶ τῶν τὰ ψευδῆ μαρτυρούντων. καὶ κεφ. λε'.

---

[1] Lips. ἀρκέσειεν.

II.

Περὶ ψιλῆς ἐπαγγελίας, καὶ περὶ ψιλοῦ συμφώνου[a].

1. Ἀνάγν. βι. ια΄ τί. α΄ κεφ. ϛ΄, ὅπερ προείρηται ἐν τῷ περὶ συμφώνων. καὶ κεφ. ξθ΄, ἐν ᾧ φησι· Παραδόσεσι καὶ διὰ χρήσεως ἐνισταμέναις κυριότησιν, οὐ μὴν ψιλοῖς συμφώνοις αἱ δεσποτεῖαι μεταφέρονται.

2. Καὶ κεφ. οϛ΄, ἐν ᾧ φησι· Κινούμενός τις ἐκ φιλοτιμίας ἐπηγγείλατό τινι χωρὶς ἐπερωτήσεως καθ᾽ ἕκαστον ἐνιαυτὸν παρέχειν αὐτὸν λόγου χάριν νομίσματα ν΄. καὶ δὴ φυλάττων ταύτην τὴν ψιλὴν ἐπαγγελίαν αὐτοῦ ἐπί τινας ἐνιαυτοὺς παρέσχε τὰ ἐτήσια ν΄ νομίσματα. ἀλλὰ μετὰ ταῦτα μεταμεληθεὶς οὐκέτι ἠνέσχετο παρασχεῖν τὰ ἐπαγγελθέντα. λέγει τοίνυν ἡ διάταξις, μὴ ἀναγκάζεσθαι αὐτὸν ταῦτα παρέχειν εἰς τὸν ἐφεξῆς χρόνον, εἰ μὴ παρηκολούθησεν ἐπερώτησις.

3. Ἀνάγν. βι. κ΄ τί. α΄ κεφ. πζ΄, ἐν ᾧ φησιν· Ἐὰν ὁ τοῦ ἀγροῦ δεσπότης τὴν δοθεῖσαν πρόχρειαν τοῖς γεωργοῖς αὐτὸς ἐπηρωτήθη διδόναι τῷ μισθωσαμένῳ τὸν ἀγρὸν, κατέχεται. ἐὰν δὲ συμφωνήσῃ μόνον ἀπὸ ψιλοῦ συμφώνου, ἀγωγὴ οὐ τίκτεται.

4. Ἀνάγν. καὶ βι. κθ΄ τί. ε΄ κεφ. λ΄ θέμ. γ΄. [ἀνάγν. καὶ βι. μγ΄ τί. ε΄ κεφ. γ΄, ὅπερ εἴρηται ἐν τῷ περὶ ἐπερωτήσεως. καὶ βι. ια΄ τί. α΄ κεφ. νθ΄, ὅπερ εἴρηται ἐν τῷ περὶ προικός.]

---

a Τὸ ψιλὸν σύμφωνον ἐξαχῶς. α΄, ὅταν συμφωνήσω διδόναι τινί τι μηδεμιᾶς ὑποκειμένης αἰτίας ἢ δόσεως ἢ ποιήσεως. β΄, ὅταν μετὰ χρόνου τοῦ συναλλάγματος σκληροτέραν αἵρεσιν συμφωνήσω γενέσθαι. γ΄, ὅταν συμφωνήσω δοῦναί τι ἵνα μηδὲν ἄτοπον πράξῃς. δ΄, ὅταν μὴ ἐπερώτησιν ἐνθήσω τῷ συμφώνῳ. ε΄, ὅταν συμφώνου γενομένου παράδοσις τοῦ πράγματος μὴ γένηται. ϛ΄, ὅταν ἐκ μονοπλεύρου γένηται δόσις καὶ μὴ μεταξὺ ἑκατέρων συμφωνηθεῖσα τῶν μερῶν.

Τὸ ψιλὸν σύμφωνον κατὰ ζ΄ αἰτίας γίνεται καὶ τρόπους· ἢ τὸ ἄνευ αἰτίας γεγονός· ἢ ὅταν τὶς εἴπῃ δοῦναι ἢ ποιῆσαί τι, μὴ φθάσῃ δὲ γενέσθαι ἡ δόσις ἢ ποίησις· ἢ ὅταν μετὰ χρόνον γένηται σκληροτέραν ἔχον τὴν αἵρεσιν εἰς πάντα τὰ ἐξ ἀρχῆς δόξαντα, οἷον ὅταν πωλήσω ἢ ἄλλως πως συναλλάξω μὴ συμφωνήσας δοῦναι ἐγγυητὴν, καὶ ὕστερον συμφωνήσω δοῦναι ἐγγυητὴν, ὅπερ παραγραφὴν μὲν τίκτει τῷ ἐναγομένῳ, ἀγωγὴν δὲ τῷ ἐνάγοντι οὐ παρέχει. καὶ ψιλὸν, ὅταν αἰσχρότης ἐστὶ τοῦ ὀφείλοντος λαβεῖν. ψιλὸν τὸ ἀτελές. ψιλὸν καὶ ὅτε πρᾶσις γένηται, μὴ δοθῇ δὲ τὸ τίμημα ἢ τὸ πρᾶγμα. ἐστὶ καὶ ψιλὸν τὸ μὴ ἔχον ἐπερώτησιν.

III.

Περὶ ψήφων δικαστικῶν ἤτοι ἀποφάσεων, καὶ ποῖαί εἰσιν ἀπειλητικαὶ ἀποφάσεις.

1. Ἀνάγν. βι. ζ′ τί. ε′ κεφ. μϑ′ καὶ ο′. ἀνάγν. καὶ βι. η′ τί. α′ κεφ. μζ′, ἐν ᾧ φησι· Τὴν ἀποφάσει τμηϑεῖσαν δίκην μηδὲ βασιλέως ἀνακαλείτω ἀντιγραφή. μὴ μάτην οὖν τὴν πλάνην αἰτιῶ τῶν συνηγόρων, παροῦσα καὶ μὴ παραχρῆμα ἀντειποῦσα ἢ ἐκκαλεσαμένη τὴν ἀπόφασιν.

2. Ἀνάγν. βι. ϑ′ τί. α′, ἐν ᾧ καὶ περὶ ἐκκλήτου διαλαμβάνει, οὗτινος ἐν τῷ νε′ κεφ. φησίν· Ἐὰν ἐξενεχϑῇ ἀπόφασις κατὰ ἀπόντος τινὸς, ὁ δὲ γνοὺς μὴ ἐκκαλέσηται, οὐκέτι δύναται προφάσει τῆς ἰδίας ἀπουσίας τὴν ἀπόφασιν ἀνατρέπειν.

3. Ἐν δὲ τῷ ξ′ κεφ. Ἐάν τις ἐξ ἀνάγκης ἀπολειφϑῇ, ἡ γενομένη κατ᾽ αὐτοῦ ἀπόφασις οὐκ ἰσχύει.

4. Ἐν δὲ τῷ ξδ′ κεφ. Ἐὰν ἀπόφασις λεχϑῇ μόνον, μὴ μέντοι γραφεῖσα πρότερον ἀναγνωσϑῇ, ἄχρηστος[1] ἔστω.

5. Ἐν δὲ τῷ ξη′ κεφ. Ἡ ἀπόφασις ἡ παρὰ τὸν τύπον τῶν δικαστηρίων ἐξενεχϑεῖσα ἀνυπόστατός ἐστιν.

6. Ἐν δὲ τῷ ο′ κεφ. Ἡ ἀπόφασις ἡ λαϑραίως λεχϑεῖσα ἀνίσχυρός ἐστιν.

7. Ἐν δὲ τῷ οε′ κεφ. Ἡ διάταξις κελεύει, μηκέτι τὸν δικαστὴν ἀκολουϑεῖν ἑτέρᾳ ψήφῳ γεγενημένῃ, ἀλλὰ σκοπεῖν, τί κατὰ νόμους ἀκόλουϑον, καὶ οὕτως ἀποφαίνεσϑαι.

8. Ἐν δὲ τῷ ϟη′ κεφ. Ἐὰν ἀπόφασις γένηται κατὰ τοῦ μείζονος τῶν κε′ ἐνιαυτῶν, καὶ μὴ ἐκκαλέσηται μηδὲ διαλύσηται, ἀνάγκην ἔχει πληρῶσαι τὰ ἀποφανϑέντα.

9. Ἀνάγν. καὶ τί. γ′, οὗτινος ἐν τῷ λη′ κεφ. φησί· Εἰ ἐξ ἴσων δικαστῶν ἐναντίαι γένωνται ψῆφοι, ἐπὶ μὲν ἐλευϑερίας τὰ ὑπὲρ αὐτῆς κρατεῖ· ἐπὶ δὲ τῶν ἄλλων, κἂν ἐγκλήματα ὦσι, τὰ ὑπὲρ τοῦ φεύγοντος. εἰ δὲ εἰς διαφόρους ποσότητας κατεδίκασαν, ἡ ἐλάττων κρατεῖ.

10. Ἐν δὲ τῷ με′ κεφ. Τὴν οἰκείαν ψῆφον δι᾽ ἄλλης οὐκ ἀναιρεῖ ὁ ἄρχων. τὰ δὲ ἀκόλουϑα τῇ ψήφῳ καλῶς ἀναπληροῖ, τῇ αὐτῇ μέντοιγε ἡμέρᾳ.

11. Ἐν δὲ τῷ νδ′[2] κεφ. Ὁ ψηφισάμενος παύεται εἶναι δικαστὴς, καὶ οὐκέτι διορϑοῦται τὴν ψῆφον.

---

[1] Lips. ἀνίσχυρος. [2] Leuncl. να′.

12. Ἐν δὲ τῷ οε΄ κεφ. Ἐπὶ προσχήματι καινῶν συμβολαίων μετὰ ταῦτα[a] εὑρεθέντων τὰς ἀποφάσεις ἀνανεοῦσθαι, εἰς ὑπόδειγμα βαρύ ἐστι.

13. [Ἐν δὲ τῷ ος΄ κεφ.] Τὸν γὰρ πρὸς καταβολὴν ὑπέρθεσιν αἰτοῦντα ἐφησυχάζειν τῇ ἀποφάσει φανερῶς ἀποδείκνυται· ὥσπερ ἐκεῖνος ὅστις οἱῳδήποτε τρόπῳ τῇ ἀποφάσει ἐφησύχασεν. οὐδὲ γὰρ ἀνακαινίζεσθαι τὰ ἀποφανθέντα ἡ τῶν ἀποφάσεων ἀνέχεται αὐθεντία.

14. Ἐν δὲ τῷ ϛϛ΄ κεφ. Δικαστὴς καταδικάσας τινὰ παρασχεῖν νομίσματα ρ΄, μετὰ ταῦτα ὡς ἀπειλῶν αὐτῷ εἶπεν, ὅτι ἐὰν μὴ καταβάλλῃ εἴσω τοῦδε τοῦ χρόνου, τόκους τυχὸν ἡμιεκατοστιαίους δίδωσι. λέγει οὖν ἡ διάταξις, ὅτι οὔτε ἀπόφασίς ἐστιν αὕτη, οὔτε ἐπερώτησις.

15. Ἐν δὲ τῷ ϛθ΄ κεφ. Ἐὰν διαλαλήσας ὁ ἄρχων δοθῆναι τυχὸν ρ΄ νομίσματα [ἐπήγαγεν], ἐὰν μὴ δοθῶσιν εἴσω τοῦδε τοῦ χρόνου, δοθῆναι τὸ διπλάσιον ἢ τὸ τετραπλάσιον, τοῦτο ἀπειλή ἐστιν, οὐχὶ ἀπόφασις.

16. Ἐν δὲ τῷ ργ΄[1] κεφ. Ἐὰν ὡς διαθήκης προενεχθείσης ἔκρινεν ὁ ἄρχων, μετὰ δὲ ταῦτα εὑρεθῇ πλαστὴ ἐκείνη ἡ διαθήκη, κινεῖται ἄνωθεν τὸ δικαστήριον, μὴ ἀντικειμένης τῆς ἀπὸ [τῆς] καταδίκης παραγραφῆς.

17. Ἡ διάταξίς φησιν, ὅτι καὶ χωρὶς ἐκκλήτου ἄχρηστος ἡ ἀπόφασις ἡ ἀπὸ πλαστῶν δικαιωμάτων γενομένη.

18. Ἡ διάταξις κάλλιστον λέγει νόμιμον, ὅτι κἂν τὰ μάλιστα δύναταί τις ἀποδεῖξαι πλαστὸν δικαίωμα προενεχθὲν ἐν τῷ δικαστηρίῳ, ὅμως οὐκ ἄλλως ἀνατρέπει τὴν ἀπόφασιν, εἰ μὴ ἀποδείξει, ὅτι ὁ δικαστὴς ἀκολουθήσας ἐκείνῳ τῷ δικαιώματι κατεδίκασεν αὐτόν.

19. Λέγοντός τινος ἀπὸ πλαστῶν δικαιωμάτων καταδικασθῆναι χρὴ ὑπερτεθῆναι τὸν τῆς ἀποφάσεως ἐκβιβασμόν.

20. Ἀνάγν. καὶ βι. ι΄[2] τί. δ΄ κεφ. ις΄ θέμ. δ΄ καὶ κεφ. ιζ΄ καὶ ιη΄ καὶ μβ΄, ἐν οἷς φησιν περὶ ἀποκαταστάσεως ψήφων καὶ ἀποφάσεων. ἀνάγν. καὶ τί. λβ΄ κεφ. α΄, ἐν ᾧ φησιν· Ὅταν τὶς ἐκκαλέσηται κατὰ ἀποφάσεως, ἢ μὴ ἐκκαλέσηται μὲν, αἰτήσῃ δὲ ἀποκατάστασιν, πάντα ἐν τῇ οἰκείᾳ καταστάσει[b] μένειν χρὴ, ἕως ὅτε τὸ πρᾶγμα πλη-

---

[a] Μετὰ τὴν καταδίκην.

[b] Ἐν ᾗ δηλαδὴ καὶ πρὸ τῆς ἀποφάσεως ἦν, ἵνα μηδὲν ἐκ τῆς ἀποφάσεως ἐκβιβάζηται, μηδὲ καινόν τι γένηται παντελῶς.

---

[1] Leuncl. ριγ΄. [2] Idem ε΄.

[library stamp]

ρωθῇ. τούτου δὲ φροντίδα ποιείσθω ἐκεῖνος, εἰς ὃν ἀνήκει τὸ περὶ τούτου πρᾶγμα.

21. Ἀνάγν. βι. λθ' τί. α' κεφ. η', ἐν ᾧ φησιν· Ἐὰν μέρος τῶν δικαστῶν ὑπὲρ τῆς διαθήκης καὶ μέρος κατ' αὐτῆς ψηφίσηται, τὰ ὑπὲρ αὐτῆς κρατεῖ· εἰ μὴ δείκνυται προφανῶς[1] ὑπὲρ τοῦ γεγραμμένου κληρονόμου ἀδίκως ψηφισάμενον.

Ἀρχὴ τοῦ Ω στοιχείου.

I.

Περὶ ὡρειαρίων τῶν [καὶ] ὑποδεκτῶν καλουμένων, καὶ περὶ ὡρείων καὶ τῶν ἐν αὐτοῖς ἀποκειμένων εἰδῶν.

1. [Ἀνάγν. βι. νϛ' τί. θ' κεφ. α' καὶ β' καὶ γ' καὶ τί. ια' κεφ. ζ'.] Ἡ διάταξις κελεύει μοδίους χαλκοῦς καὶ λιθίνους γενέσθαι, ἵνα ἕκαστος συντελεστὴς ἀσφαλῶς καταβάλλῃ. λαμβανέτωσαν δὲ οἱ ὑποδέκται τοῦ μὲν σίτου τὴν πεντηκοστὴν, τῶν δὲ κριθῶν τὴν τεσσαρακοστὴν, οἴνου δὲ καὶ λάρδου[2] εἰκοστήν. οἱ δὲ ἐν ἀρμενίᾳ ὑποδέκται καὶ κριθῆς καὶ σίτου τεσσαρακοστὴν λαμβανέτωσαν· οἴνου δὲ καὶ λάρδου πεντεκαιδεκάτην μοῖραν[3].

2. Ἐν δὲ τῷ θ' κεφ. Ὁ ὑποδέκτης ἢ ὁ ταβουλλάριος ἅπαξ ἐλεγχθεὶς περὶ τὴν οἰκείαν ὑπηρεσίαν μηκέτι μετερχέσθω διὰ τοῦ αὐτοῦ ἐπιτηδεύματος.

---

[1] Lips. φανερῶς. [2] Lips. λαρδίου. [3] Leuncl. addit λαμβανέτωσαν.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

INDEX MEMORABILIUM.

(Numerus paginam designat.)

Alexander 698.
Alexii Comneni Novella 145.
Anatolius 49. 620 sq. 638. 660. 691.
Anonymus 29. 215. 358.
Balsamon 623.
Basilica emendantur V. 303. 333. 358. 553. 681. restituuntur 83. 269. 696. 698.
Cyrillus 401. 640. 658 sq.
Garidas 620.
Herodotus 489.
Josephus Tenedius IX.
Leonis Novellae 63. 87. 359. 603.
Παραπομπαί V.
Πεῖρα 195. 429. 445. 503. 505. 570.
Psellus 286.
Stephanus 29. 44. 522 sq. 528. 604. 640.
Thalelaeus 23. 195. 221. 364 sq. 375. 413. 572. 620.
Theodorus 49. 64. 65. 164. 182. 213. 364 sq. 619. 640.

BAYERISCHE
STAATS-
BIBLIOTHEK
MUENCHEN

F. X. BEER
kgl. Hofbuchbinder
in
MÜNCHEN
Ledererga∫se N° 25.